5. Скиѳы говорятъ, что ихъ народъ моложе всѣхъ *другихъ* и произошелъ слѣдующимъ образомъ: въ ихъ землѣ, бывшей *безлюдной* пустыней, родился первый человѣкъ, по имени Таргитай; родителями этого Таргитая они называютъ, по моему мнѣнію невѣрно, Зевса и дочь рѣки Борисѳена. Такого-де происхожденія былъ Таргитай, а у него родились три сына: Липоксай, Арпоксай и младшій Колаксай.

Digitized by Google

πόξαϊν καὶ Ἀρπόξαϊν καὶ νεώτατον Κολάξαϊν. ἐπὶ τούτων ἀρχόντων ἐκ τοῦ οὐρανοῦ φερόμενα χρύσεα ποιήματα, ἄροτρόν τε καὶ ζυγὸν καὶ σάγαριν καὶ φιάλην, πεσεῖν ἐς τὴν Σκυθικήν· καὶ τῶν ἰδόντα πρῶτον τὸν πρεσβύτατον ἄσσον ἰέναι βουλόμενον αὐτὰ λαβεῖν, τὸν δὲ χρυσὸν ἐπιόντος καίεσθαι. ἀπαλλαχθέντος δὲ τούτου προσιέναι τὸν δεύτερον, καὶ τὸν αὖτις ταὐτὰ ποιέειν. τοὺς μὲν δὴ καιόμενον τὸν χρυσὸν ἀπώσασθαι, τρίτῳ δὲ τῷ νεωτάτῳ ἐπελθόντι κατασβῆναι, καί μιν ἐκεῖνον κομίσαι ἐς ἑωυτοῦ· καὶ τοὺς πρεσβυτέρους ἀδελφεοὺς πρὸς ταῦτα συγγνόντας τὴν βασιληίην πᾶσαν παραδοῦναι τῷ νεωτάτῳ. 6. ἀπὸ μὲν δὴ Λιποξάϊος γεγονέναι τούτους τῶν Σκυθέων οἳ Αὐχάται γένος καλέονται, ἀπὸ δὲ τοῦ μέσου Ἀρποξάιος οἳ Κατίαροί τε καὶ Τράσπιες καλέονται, ἀπὸ δὲ τοῦ νεωτάτου αὐτῶν τοῦ βασιλέος οἳ καλέονται Παραλάται· σύμπασι δὲ εἶναι οὔνομα Σκολότους, τοῦ βασιλέος ἐπωνυμίην, Σκύθας δὲ Ἕλληνες ὠνόμασαν. 7. γεγονέναι μέν νυν σφέας ὧδε λέγουσι οἱ Σκύθαι, ἕτεα δὲ σφίσι ἐπείτε γεγόνασι τὰ σύμπαντα λέγουσι εἶναι ἀπὸ τοῦ πρώτου βασιλέος Ταργιτάου ἐς τὴν Δαρείου διάβασιν τὴν ἐπὶ σφέας χιλίων οὐ πλέω ἀλλὰ τοσαῦτα. τὸν δὲ χρυσὸν τοῦτον τὸν ἱρὸν φυλάσσουσι οἱ βασιλέες ἐς τὰ μάλιστα, καὶ θυσίῃσι μεγάλῃσι ἱλασκόμενοι μετέρχονται ἀνὰ πᾶν ἔτος. ὃς δ' ἂν ἔχων τὸν χρυσὸν τὸν ἱρὸν ἐν τῇ ὁρτῇ ὑπαίθριος κατακοιμηθῇ, οὗτος λέγεται ὑπὸ Σκυθέων οὐ διενιαυτίζειν· δίδοσθαι δέ οἱ διὰ τοῦτο ὅσα ἂν ἵππῳ ἐν ἡμέρῃ μιῇ περιελάσῃ αὐτός. τῆς δὲ χώρης ἐούσης μεγάλης τριφασίας τὰς βασιληίας τοῖσι παισὶ τοῖσι ἑωυτοῦ καταστήσασθαι Κολάξαϊν, καὶ τουτέων μίαν ποιῆσαι μεγίστην, ἐν τῇ τὸν χρυσὸν φυλάσσεσθαι. τὰ δὲ κατύπερθε πρὸς βορέην λέγουσι ἄνεμον τῶν ὑπεροίκων τῆς χώρης οὐκ οἷά τε εἶναι ἔτι προσωτέρω οὔτε ὁρᾶν οὔτε διεξιέναι ὑπὸ πτερῶν κεχυμένων. πτερῶν γὰρ καὶ τὴν γῆν καὶ τὸν ἠέρα εἶναι πλέον, καὶ ταῦτα εἶναι τὰ ἀποκληίοντα τὴν ὄψιν.

8. Σκύθαι μὲν ὧδε ὑπὲρ σφέων τε αὐτῶν καὶ τῆς χώρης τῆς κατύπερθε λέγουσι, Ἑλλήνων δὲ οἱ τὸν Πόντον οἰκέοντες ὧδε. Ἡρακλέα ἐλαύνοντα τὰς Γηρυόνεω βοῦς

Прп нихъ упали-де съ неба на скиѳскую землю золотые предметы: плугъ, ярмо, сѣкира и чаша. Старшій изъ братьевъ, первымъ увидѣвъ эти предметы, подошелъ ближе, желая ихъ взять, но при его приближеніи золото воспламенилось. По его удаленіи подошелъ второй, но съ золотомъ повторилось то же самое. Такимъ образомъ золото, воспламеняясь, не допустило ихъ къ себѣ, но съ приближеніемъ третьяго брата, самаго младшаго, горѣніе прекратилось, и онъ отнесъ къ себѣ золото. Старшіе братья, понявъ *значеніе этого чуда*, передали младшему все царство.

6. И вотъ отъ Липоксая-де произошли тѣ Скиѳы, которые носятъ названіе рода Авхатовъ, отъ средняго *брата* Арпоксая — тѣ, которые называются Катіарами и Траспіями, а отъ младшаго, царя, — тѣ, что называются Паралатами; общее-же названіе всѣхъ ихъ — Сколоты, по имени *одного* царя; Скиѳами назвали ихъ Эллины.

7. Такъ разсказываютъ Скиѳы о своемъ происхожденіи; лѣтъ имъ, съ начала ихъ существованія *или* отъ перваго царя Таргитая до похода на нихъ Дарія, по ихъ словамъ, круглымъ счетомъ не болѣе тысячи, а *именно* столько. Вышеупомянутое священное золото цари ихъ очень ревностно охраняютъ и ежегодно чтутъ богатыми жертвами. Кто съ этимъ священнымъ золотомъ во время праздника заснетъ подъ открытымъ небомъ, тотъ, по словамъ Скиѳовъ, уже не проживетъ года; поэтому ему дается столько земли, сколько онъ самъ объѣдетъ на конѣ въ одинъ день. Такъ какъ страна была обширна, то Колаксай раздѣлилъ ее на три царства для своихъ сыновей и одно изъ нихъ сдѣлалъ гораздо больше другихъ; въ немъ-то и сохраняется золото.

Въ мѣстностяхъ, лежащихъ къ сѣверу выше верхнихъ обитателей этой страны, по словамъ *Скиѳовъ* нельзя ни смотрѣть впередъ, ни пройдти вслѣдствіе разсыпанныхъ перьевъ: перьями-де наполнена земля и воздухъ и они-то мѣшаютъ зрѣнію [1]).

8. Такъ разсказываютъ Скиѳы о себѣ самихъ и о странѣ, лежащей выше ихъ, а живущіе на Понтѣ Эллины *повѣствуютъ* такъ: Иракъ, гоня быковъ Гиріона, при-

V. 19: τοῦ βασιλῆος Io. le Febvre: τοὺς βασιλέας L. τοὺς βασιληίους Wesseling.
1) Объясненіе этого явленія см. ниже въ гл. 31.

Digitized by Google

ἀπικέσθαι ἐς γῆν ταύτην ἐοῦσαν ἐρήμην, τὴν νῦν Σκύθαι νέμονται. Γηρυόνεα δὲ οἰκίσαι ἔξω τοῦ Πόντου, κατοικημένον τὴν Ἕλληνες λέγουσι Ἐρύθειαν νῆσον τὴν πρὸς Γαδείροισι τοῖσι ἔξω Ἡρακλέων στηλέων ἐπὶ τῷ Ὠκεανῷ. τὸν δὲ Ὠκεανὸν λόγῳ μὲν λέγουσι ἀπὸ ἡλίου ἀνατολέων ἀρξάμενον γῆν περὶ πᾶσαν ῥέειν, ἔργῳ δὲ οὐκ ἀποδεικνύναι. ἐνθεῦτεν τὸν Ἡρακλέα ὡς ἀπικέσθαι ἐς τὴν νῦν Σκυθίην χώρην καλεομένην, καὶ καταλαβεῖν γὰρ αὐτὸν χειμῶνά τε καὶ κρυμόν, ἐπειρυσάμενον τὴν λεοντέην κατυπνῶσαι, τὰς δὲ οἱ ἵππους [τὰς] ὑπὸ τοῦ ἅρματος νεμομένας ἐν τούτῳ τῷ χρόνῳ ἀρανωσθῆναι θείῃ τύχῃ. 9. ὡς δ' ἐγερθῆναι τὸν Ἡρακλέα, δίζησθαι, πάντα δὲ τῆς χώρης ἐπεξελθόντα τέλος ἀπικέσθαι ἐς τὴν Ὑλαίην καλεομένην γῆν· ἐνθαῦτα δὲ αὐτὸν εὑρεῖν ἐν ἄντρῳ μιξοπάρθενον τινά, ἔχιδναν διφυέα, τῆς τὰ μὲν ἄνω ἀπὸ τῶν γλουτῶν εἶναι γυναικός, τὰ δὲ ἔνερθε ὄφιος. ἰδόντα δὲ καὶ θωμάσαντα ἐπειρέσθαι μιν εἴ κου ἴδοι ἵππους πλανωμένας· τὴν δὲ φάναι αὐτὴν ἔχειν καὶ οὐκ ἀποδώσειν ἐκείνῳ πρὶν ἢ οἱ μιχθῇ· τὸν δὲ Ἡρακλέα μιχθῆναι ἐπὶ τῷ μισθῷ τούτῳ. κείνην τε δὴ ὑπερβάλλεσθαι τὴν ἀπόδοσιν τῶν ἵππων, βουλομένην ὡς πλεῖστον χρόνον συνεῖναι τῷ Ἡρακλέι, καὶ τὸν κομισάμενον ἐθέλειν ἀπαλλάσσεσθαι· τέλος δὲ ἀποδιδοῦσαν αὐτὴν εἰπεῖν· «ἵππους μὲν δὴ ταύτας ἀπικομένας ἐνθάδε ἔσωσά τοι ἐγώ, σῶστρά τε σὺ παρέσχες· ἐγὼ γὰρ ἐκ σεῦ τρεῖς παῖδας ἔχω· τούτους, ἐπεὰν γένωνται τρόφιες, ὅ τι χρὴ ποιέειν, ἐξηγέο σύ, εἴτε αὐτοῦ κατοικίζω (χώρης γὰρ τῆσδε ἔχω τὸ κράτος αὐτή) εἴτε ἀποπέμπω παρὰ σέ». τὴν μὲν δὴ ταῦτα ἐπειρωτᾶν, τὸν δὲ λέγουσι πρὸς ταῦτα εἰπεῖν· «ἐπεὰν ἀνδρωθέντας ἴδῃ τοὺς παῖδας, τάδε ποιεῦσα οὐκ ἂν ἁμαρτάνοις· τὸν μὲν ἂν ὁρᾷς αὐτῶν τόδε τὸ τόξον ὧδε διατεινόμενον καὶ τῷ ζωστῆρι τῷδε κατὰ τάδε ζωννύμενον, τοῦτον μὲν τῆσδε τῆς χώρης οἰκήτορα ποιεῦ· ὃς δ' ἂν τούτων τῶν ἔργων τῶν ἐντέλλομαι λείπηται, ἔκπεμπε ἐκ τῆς χώρης. καὶ ταῦτα ποιεῦσα αὐτή τε εὐφρανέαι καὶ τὰ ἐντεταλμένα ποιήσεις». 10. τὸν μὲν δὴ εἰρύσαντα τῶν τόξων τὸ ἕτερον (δύο γὰρ δὴ φορέειν τέως Ἡρακλέα) καὶ τὸν ζωστῆρα προδέξαντα, παραδοῦναι τό τόξον τε καὶ τὸν ζωστῆρα ἔχοντα ἐπ' ἄκρης τῆς συμβολῆς φιάλην χρυσέην, δόντα δὲ ἀπαλλάσσεσθαι. τὴν δ', ἐπεί οἱ γενομένους τοὺς παῖδας ἀνδρωθῆναι, τοῦτο μέν σφι οὐνό-

был въ страну, которую теперь занимаютъ Скиѳы и которая тогда еще не была населена.

Гиріонъ по словамъ Эллиновъ живетъ внѣ Понта на островѣ, который Эллины называютъ Ерѳеіею и *который лежитъ* близъ Гадиръ за Иракловыми столбами на Океанѣ. Относительно Океана они на словахъ говорятъ, что онъ, начинаясь съ востока, обтекаетъ всю землю, но на дѣлѣ доказать этого не могутъ. Оттуда прибылъ-де Иракъ въ страну, называемую нынѣ Скиѳіей; и, такъ какъ его застигла вьюга и морозъ, то онъ закутался въ львиную шкуру и заснулъ, а въ это время его лошади *какимъ-то* чудомъ на пастбищѣ исчезли изъ подъ ярма.

9. Проснувшись, Иракъ сталъ искать ихъ и, исходивъ всю землю, пришелъ наконецъ въ такъ называемое Полѣсье; тутъ онъ нашелъ въ пещерѣ смѣшанной породы существо, полудѣву и полуэхидну, у которой верхняя часть тѣла отъ ягодицъ была женская, а нижняя — змѣиная. Увидѣвъ ее и изумившись, Иракъ спросилъ, не видѣла-ли она гдѣ нибудь заблудившихся кобылицъ; на это она отвѣтила, что кобылицы у нея, но что она не отдастъ ихъ ему прежде, чѣмъ онъ сообщится съ нею; и Иракъ сообщился-де за эту плату, но она все откладывала возвращеніе лошадей, желая какъ можно дольше жить въ связи съ Иракломъ, тогда какъ послѣдній желалъ получить ихъ и удалиться. Наконецъ она возвратила лошадей со словами: «я сберегла тебѣ этихъ лошадей, забредшихъ сюда, и ты отплатилъ мнѣ за это: я имѣю отъ тебя трехъ сыновей. Разскажи, что мнѣ дѣлать съ ними, когда они выростутъ: поселить ли здѣсь (я одна владѣю этой страной), или отослать къ тебѣ?» Такъ спросила она, а Иракъ, говорятъ, сказалъ ей въ отвѣтъ: «Когда ты увидишь сыновей возмужавшими, поступи лучше всего такъ: посмотри, который изъ нихъ натянетъ вотъ такъ этотъ лукъ и опояшется по моему этимъ поясомъ, и тому предоставь для жительства эту землю; а который не въ состояніи будетъ выполнить предлагаемой мною задачи, того вышли изъ страны. Поступая такимъ образомъ, ты и сама останешься довольна, и исполнишь мое желаніе».

10. При этомъ Иракъ натянулъ одинъ

Digitized by Google

ματα θέσθαι, τῷ μὲν Ἀγάθυρσον αὐτῶν, τῷ δ' ἑπομένῳ Γελωνόν, Σκύθην δὲ τῷ νεωτάτῳ, τοῦτο δὲ τῆς ἐπιστολῆς μεμνημένην αὐτὴν ποιῆσαι τὰ ἐντεταλμένα. καὶ δὴ δύο μέν οἱ τῶν παίδων, τόν τε Ἀγάθυρσον καὶ τὸν Γελωνόν, οὐκ οἵους τε γενομένους ἐξικέσθαι πρὸς τὸν προκείμενον ἄεθλον, οἴχεσθαι ἐκ τῆς χώρης ἐκβληθέντας ὑπὸ τῆς γειναμένης, τὸν δὲ νεώτατον αὐτῶν Σκύθην ἐπιτελέσαντα καταμεῖναι ἐν τῇ χώρῃ. καὶ ἀπὸ μὲν Σκύθεω τοῦ Ἡρακλέος γενέσθαι τοὺς αἰεὶ βασιλέας γινομένους Σκυθέων, ἀπὸ δὲ τῆς φιάλης ἔτι καὶ ἐς τόδε φιάλας ἐκ τῶν ζωστήρων φορέειν Σκύθας. τὸ δὴ μοῦνον μηχανήσασθαι τὴν μητέρα Σκύθῃ. ταῦτα δὲ Ἑλλήνων οἱ τὸν Πόντον οἰκέοντες λέγουσι.

11. Ἔστι δὲ καὶ ἄλλος λόγος ἔχων ὧδε, τῷ μάλιστα λεγομένῳ αὐτὸς προσκειμαι, Σκύθας τοὺς νομάδας οἰκέοντας ἐν τῇ Ἀσίῃ, πολέμῳ πιεσθέντας ὑπὸ Μασσαγετέων, οἴχεσθαι διαβάντας ποταμὸν Ἀράξην ἐπὶ γῆν τὴν Κιμμερίην (τὴν γὰρ νῦν νέμονται Σκύθαι, αὐτὴ λέγεται τὸ παλαιὸν εἶναι Κιμμερίων), τοὺς δὲ Κιμμερίους ἐπιόντων Σκυθέων βουλεύεσθαι ὡς στρατοῦ ἐπιόντος μεγάλου, καὶ δὴ τὰς γνώμας σφέων κεχωρισμένας, ἐντόνους μὲν ἀμφοτέρας, ἀμείνω δὲ τὴν τῶν βασιλέων· τὴν μὲν γὰρ δὴ τοῦ δήμου φέρειν γνώμην ὡς ἀπαλλάσσεσθαι πρῆγμα εἴη μηδὲ πρὸς πολλοὺς μένοντας κινδυνεύειν, τὴν δὲ τῶν βασιλέων διαμάχεσθαι περὶ τῆς χώρης τοῖσι ἐπιοῦσι. οὔκων δὴ ἐθέλειν πείθεσθαι οὔτε τοῖσι βασιλεῦσι τὸν δῆμον οὔτε τῷ δήμῳ τοὺς βασιλέας. τοὺς μὲν δὴ ἀπαλλάσσεσθαι βουλεύεσθαι ἀμαχητὶ τὴν χώρην παραδόντας τοῖσι ἐπιοῦσι· τοῖσι δὲ βασιλεῦσι δόξαι ἐν τῇ ἑωυτῶν κεῖσθαι ἀποθανόντας μηδὲ συμφεύγειν τῷ δήμῳ λογισαμένους ὅσα τε ἀγαθὰ πεπόνθασι καὶ ὅσα φεύγοντας ἐκ τῆς πατρίδος κακὰ ἐπίδοξα καταλαμβάνειν. ὡς δὲ δόξαι σφι ταῦτα, διαστάντας καὶ ἀριθμὸν ἴσους γενομένους μάχεσθαι πρὸς ἀλλήλους. καὶ τοὺς μὲν ἀποθανόντας πάντας ὑπ' ἑωυτῶν θάψαι τὸν δῆμον τῶν Κιμμερίων παρὰ ποταμὸν Τύρην (καὶ σφέων ἔτι δῆλός ἐστι ὁ τάφος), θάψαντας δὲ οὕτω τὴν ἔξοδον ἐκ τῆς χώρης ποιέεσθαι· Σκύθας

1 изъ луковъ (до тѣхъ поръ онъ носилъ два), показалъ способъ опоясыванія и передалъ ей лукъ и поясъ съ золотой чашей на концѣ пряжки, а затѣмъ удалился. Она 5 же, когда родившіеся у нея сыновья возмужали, дала имъ имена, одному—Агаѳирсъ, слѣдующему — Гелонъ, младшему — Скиѳъ, а потомъ, помня завѣтъ Иракла, исполнила его порученіе. Двое изъ ея сыновей, Агаѳирсъ и Гелонъ, оказавшись неспособными 10 исполнить предложенный подвигъ, были изгнаны родительницею и удалились изъ страны, а самый младшій, Скиѳъ, исполнивъ *задачу*, остался въ странѣ. Отъ этого-то Иаклова сына Скиѳа и произошли-де всегдашніе скиѳскіе цари, а отъ 15 чаши Иракла — существующій до сихъ поръ у Скиѳовъ обычай носить чаши на поясахъ. Такъ разсказываютъ живущіе у Понта Еллины.

11. Есть, впрочемъ, и иной разсказъ, которому я самъ наиболѣе довѣряю. По этому разсказу кочевые Скиѳы, жившіе въ Азіи, будучи тѣснимы войною со стороны Массагетовъ, перешли рѣку Араксъ и удалились въ Киммерійскую землю (дѣйствительно страна, занимаемая теперь Скиѳами, первоначально принадлежала, говорятъ, Киммерійцамъ). При наступленіи Скиѳовъ Киммерійцы, имѣя въ виду многочисленность приближавшейся рати, стали совѣщаться между собою и мнѣнія ихъ раздѣлились, при чемъ оба *предлагались* съ одинаковою настойчивостью; но предложеніе царей было благоразумнѣе: именно, по мнѣнію народа, слѣдовало удалиться и не подвергать себя опасности *въ борьбѣ* съ многочисленной ратью, а цари предлагали бороться за родину съ наступающими. Однако ни народъ не захотѣлъ послушаться царей, ни цари — народа; первый задумалъ удалиться, безъ боя предоставивъ *родную* землю врагамъ, а цари предпочли лечь мертвыми въ родной землѣ и не бѣжать вмѣстѣ съ народомъ, представивъ себѣ тѣ блага, которыми они пользовались *до тѣхъ поръ*, и тѣ бѣдствія, которыхъ слѣдовало ожидать въ бѣгствѣ изъ отечества. Рѣшивъ такимъ образомъ, *цари* раздѣлились на двѣ стороны, равныя по численности, и стали драться между собою. Всѣхъ *царей*, перебитыхъ другъ

V. 34 «locus vel corruptus vel mutilus». Stein. || πρὸ σποδοῦ St.

Digitized by Google

δὲ ἐπελθόντας λαβεῖν τὴν χώρην ἐρήμην.— 12. καὶ νῦν ἔστι μὲν ἐν τῇ Σκυθικῇ Κιμμερίων τείχεα, ἔστι δὲ πορθμὶς Κιμμέρια, ἔστι δὲ καὶ χώρη οὔνομα Κιμμερίη, ἔστι δὲ καὶ Βόσπορος Κιμμέριος καλεόμενος· φαίνονται δὲ οἱ Κιμμέριοι φυγόντες ἐς τὴν Ἀσίην τοὺς Σκύθας καὶ τὴν χερσόνησον κτίσαντες, ἐν τῇ νῦν Σινώπη πόλις Ἑλλὰς οἴκισται. φανεροὶ δὲ εἰσὶ καὶ οἱ Σκύθαι διώξαντες αὐτοὺς καὶ ἐσβαλόντες ἐς γῆν τὴν Μηδικήν, ἁμαρτόντες τῆς ὁδοῦ. οἱ μὲν γὰρ Κιμμέριοι αἰεὶ τὴν παρὰ θάλασσαν ἔφευγον, οἱ δὲ Σκύθαι ἐν δεξιῇ τὸν Καύκασον ἔχοντες ἐδίωκον ἐς οὗ ἐσέβαλον ἐς γῆν τὴν Μηδικήν, ἐς μεσόγαιαν τῆς ὁδοῦ τραφθέντες. οὗτος δὲ ἄλλος ξυνὸς Ἑλλήνων τε καὶ βαρβάρων λεγόμενος λόγος εἴρηται.

13. Ἔφη δὲ Ἀριστέης ὁ Καϋστροβίου ἀνὴρ Προκοννήσιος ποιέων ἔπεα, ἀπικέσθαι ἐς Ἰσσηδόνας φοιβόλαμπτος γενόμενος, Ἰσσηδόνων δὲ ὑπεροικέειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους, ὑπὲρ δὲ τούτων τοὺς χρυσοφύλακας γρῦπας, τούτων δὲ τοὺς Ὑπερβορέους κατήκοντας ἐπὶ θάλασσαν. τούτους ὦν πάντας πλὴν Ὑπερβορέων ἀρξάντων Ἀριμασπῶν αἰεὶ τοῖσι πλησιοχώροισι ἐπατίθεσθαι, καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρης Ἰσσηδόνας, ὑπὸ δὲ Ἰσσηδόνων Σκύθας, Κιμμερίους δὲ οἰκέοντας ἐπὶ τῇ νοτίῃ θαλάσσῃ ὑπὸ Σκυθέων πιεζομένους ἐκλείπειν τὴν χώρην. οὕτω οὐδὲ οὗτος συμφέρεται περὶ τῆς χώρης ταύτης Σκύθῃσι.

другомъ, Киммерійскій народъ похоронилъ у рѣки Тираса — могила ихъ *до сихъ поръ* еще видна,— а послѣ погребенія удалился изъ страны, такъ что вторгнувшіеся Скиѳы заняли страну *уже* лишенную населенія.

12. И теперь еще есть въ Скиѳіи Киммерійскія стѣны, есть Киммерійскія переправы, есть и область, называемая Киммеріею, есть и такъ называемый Киммерійскій Воспоръ. Киммерійцы, очевидно, бѣжавъ отъ Скиѳовъ въ Азію, поселились на полуостровѣ, гдѣ нынѣ стоитъ эллинскій городъ Синопа. Видно также, что Скиѳы гнались за ними и вторглись въ Мидійскую землю, сбившись съ дороги: ибо Киммерійцы постоянно бѣжали вдоль моря, а Скиѳы гнались за ними, имѣя Кавказъ по правую руку, пока не вторглись въ Мидійскую землю, свернувши внутрь материка. Таковъ иной разсказъ, одинаково распространенный среди Эллиновъ и варваровъ.

13. Аристей, сынъ Каистровія изъ Проконниса, въ своей поэмѣ разсказываетъ, что по внушенію онъ прибылъ къ Иссидонамъ, а выше Иссидоновъ живутъ одноглазые люди Аримаспы, выше ихъ стерегущіе золото грипы, а еще выше Иперборей, простирающіеся до моря; и всѣ эти народы, за исключеніемъ Иперборeевъ, начиная съ Аримасповъ, постоянно нападали на своихъ сосѣдей, такъ что Аримаспами вытѣснены изъ своей земли Иссидоны, Иссидонами — Скиѳы, а Киммерійцы, жившіе у южнаго моря, покинули свою страну подъ натискомъ Скиѳовъ. Такимъ образомъ и Аристей несогласенъ со Скиѳами относительно этой страны.

[Главы 14 и 15 содержатъ эпизодъ объ Аристеѣ].

3. Населеніе Скиѳіи.

(Гл. 16—27).

16. Τῆς δὲ γῆς, τῆς πέρι ὅδε ὁ λόγος ὅρηται λέγεσθαι, οὐδεὶς οἶδε ἀτρεκέως ὅ τι τὸ κατύπερθε ἐστί· οὐδενὸς γὰρ δὴ αὐτόπτεω εἶναι φαμένου δύναμαι πυθέσθαι· οὐδὲ γὰρ οὐδὲ Ἀριστέης, τοῦ περ ὀλίγῳ πρότερον τούτων μνήμην ἐποιεύμην, οὐδὲ οὗτος προσωτέρω Ἰσσηδόνων ἐν αὐτοῖσι τοῖσι ἔπεσι ταύτοισι ἔφησε ἀπικέσθαι, ἀλλὰ τὰ κατύπερθε ἔλεγε ἀκοῇ, φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα λέγοντας. ἀλλ' ὅσον μὲν ἡμεῖς

16. Никто не знаетъ въ точности, что находится выше земли, о которой у насъ начата рѣчь: я не могу найдти никого, кто бы сказалъ, что знаетъ эти страны какъ очевидецъ; даже Аристей, о которомъ я немного ранѣе упомянулъ, даже онъ въ своей поэмѣ говоритъ, что не проникалъ далѣе *земли* Иссидоновъ, а о *странахъ*, *лежащихъ* выше, говорилъ по слухамъ, утверждая, что такъ говорили Иссидоны.

Digitized by Google

ἀτρεκέως ἐπὶ μακρότατον οἷοί τε ἐγενόμεθα ἀκοῇ ἐξικέσθαι, πᾶν εἰρήσεται.

17. Ἀπὸ τοῦ Βορυσθενειτέων ἐμπορίου (τοῦτο γὰρ τῶν παραθαλασσίων μεσαίτατον ἐστὶ πάσης τῆς Σκυθίης), ἀπὸ τούτου πρῶτοι Καλλιππίδαι νέμονται, ἐόντες Ἕλληνες Σκύθαι, ὑπὲρ δὲ τούτων ἄλλο ἔθνος, οἱ Ἀλαζόνες καλέονται. οὗτοι δὲ καὶ οἱ Καλλιππίδαι τὰ μὲν ἄλλα κατὰ ταὐτὰ Σκύθῃσι ἐπασκέουσι, σῖτον δὲ καὶ σπείρουσι καὶ σιτέονται, καὶ κρόμμυα καὶ σκόροδα καὶ φακοὺς καὶ κέγχρους. ὑπὲρ δὲ Ἀλαζόνων οἰκέουσι Σκύθαι ἀροτῆρες, οἳ οὐκ ἐπὶ σιτήσι σπείρουσι τὸν σῖτον ἀλλ' ἐπὶ πρήσι. τούτων δὲ κατύπερθε οἰκέουσι Νευροί. Νευρῶν δὲ τὸ πρὸς βορέην ἄνεμον ἔρημον ἀνθρώπων, ὅσον ἡμεῖς ἴδμεν.—18. ταῦτα μὲν παρὰ τὸν Ὕπανιν ποταμόν ἐστι ἔθνεα πρὸς ἑσπέρης τοῦ Βορυσθένεος. ἀτὰρ διαβάντι τὸν Βορυσθένεα ἀπὸ θαλάσσης πρῶτον μὲν ἡ Ὑλαίη, ἀπὸ δὲ ταύτης ἄνω ἰόντι οἰκέουσι Σκύθαι γεωργοί, τοὺς Ἕλληνες οἱ οἰκέοντες ἐπὶ τῷ Ὑπάνι ποταμῷ καλέουσι Βορυσθενείτας, σφέας δὲ αὐτοὺς Ὀλβιοπολίτας. οὗτοι ὦν οἱ γεωργοὶ Σκύθαι νέμονται τὸ μὲν πρὸς τὴν ἠῶ ἐπὶ τρεῖς ἡμέρας ὁδοῦ, κατήκοντες ἐπὶ ποταμὸν τῷ οὔνομα κέεται Παντικάπης, τὸ δὲ πρὸς βορέην ἄνεμον πλόον ἀνὰ τὸν Βορυσθένεα ἡμερέων ἕνδεκα· ἤδη δὲ κατύπερθε τούτων ἡ ἔρημος ἐστί· ἐπὶ πολλόν. μετὰ δὲ τὴν ἔρημον Ἀνδροφάγοι οἰκέουσι, ἔθνος ἐὸν ἴδιον καὶ οὐδαμῶς Σκυθικόν. τὸ δὲ τούτων κατύπερθε ἔρημον ἤδη ἀληθέως καὶ ἔθνος ἀνθρώπων οὐδέν, ὅσον ἡμεῖς ἴδμεν.—19. τὸ δὲ πρὸς τὴν ἠῶ τῶν γεωργῶν τούτων Σκυθέων, διαβάντι τὸν Παντικάπην ποταμόν, νομάδες ἤδη Σκύθαι νέμονται, οὔτε τι σπείροντες οὐδὲν οὔτε ἀροῦντες· ψιλὴ δὲ δενδρέων ἡ πᾶσα αὕτη πλὴν τῆς Ὑλαίης. οἱ δὲ νομάδες οὗτοι τὸ πρὸς τὴν ἠῶ ἡμερέων τεσσέρων καὶ δέκα ὁδὸν νέμονται χώρην κατατείνουσαν ἐπὶ ποταμὸν Γέρρον.—20. πέρην δὲ τοῦ Γέρρου ταῦτα δὴ τὰ καλεύμενα βασιλήια ἐστὶ καὶ Σκύθαι οἱ ἄριστοί τε καὶ πλεῖστοι καὶ τοὺς ἄλλους νομίζοντες Σκύθας δούλους σφετέρους εἶναι· κατήκουσι δὲ οὗτοι τὸ μὲν πρὸς μεσαμβρίην ἐς τὴν Ταυρικήν, τὸ δὲ πρὸς ἠῶ ἐπί τε τάφρον, τὴν δὴ οἱ ἐκ τῶν τυφλῶν γενόμενοι ὤρυξαν, καὶ ἐπὶ τῆς λίμνης τῆς Μαιήτιδος τὸ ἐμπόριον τὸ καλέεται Κρημνοί· τὰ δὲ αὐτῶν κατήκουσι ἐπὶ ποταμὸν Τάναϊν. τὰ δὲ κατύπερθε πρὸς βο-

А что намъ доподлинно удалось узнать по слухамъ до самыхъ отдаленныхъ странъ, *это* все будетъ *здѣсь* разсказано.

17. Начиная отъ торжища Борисѳенитовъ (это самый срединный изъ приморскихъ пунктовъ всей Скиѳіи), первыми живутъ Каллиппиды, являющіеся Эллинами-Скиѳами, а выше ихъ другое племя, которое именуется Алазонами. Эти послѣдніе, какъ и Каллиппиды, въ прочихъ отношеніяхъ живутъ одинаково со Скиѳами, но сѣютъ и употребляютъ въ пищу хлѣбъ, а также лукъ, чеснокъ, чечевицу и просо. Выше Алазоновъ живутъ Скиѳы-пахари, которые сѣютъ хлѣбъ не для *собственнаго* употребленія въ пищу, а на продажу. Выше ихъ живутъ Невры, а страна, лежащая къ сѣверу отъ Невровъ, на сколько мы знаемъ, не заселена людьми.

18. Эти племена живутъ по рѣкѣ Ипанису къ западу отъ Борисѳена; а если переправиться черезъ Борисѳенъ со стороны моря, *то* во первыхъ будетъ Полѣсье, а отъ него вверхъ живутъ Скиѳы-земледѣльцы, которыхъ Эллины, живущіе на рѣкѣ Ипанидѣ, называютъ Борисѳенитами, а самихъ себя *эти эллины зовутъ* Ольвіополитами. Эти Скиѳы-земледѣльцы къ востоку занимаютъ пространство на 3 дня пути вплоть до рѣки, носящей названіе Пантикапа, а къ сѣверу пространство 11-ти дней плаванія вверхъ по Борисѳену. Надъ ними уже на обширное пространство *раскинулась* пустыня; за пустынею живутъ Андрофаги (Людоѣды), особое племя, вовсе не скиѳское. Выше ихъ *лежитъ* уже настоящая пустыня, и *тамъ не живетъ*, на сколько намъ извѣстно, ни одинъ народъ.

19. Къ востоку отъ этихъ Скиѳовъ-земледѣльцевъ, за рѣкою Пантикапомъ, обитаютъ уже Скиѳы-кочевники, ничего не сѣющіе и не пашущіе; вся эта страна лишена деревьевъ за исключеніемъ Полѣсья. Эти кочевники къ востоку занимаютъ область на 14 дней пути, простирающуюся до рѣки Герра.

20. По ту сторону Герра находятся такъ называемыя царскія владѣнія и живутъ самые лучшіе и многочисленные Скиѳы, считающіе прочихъ Скиѳовъ своими рабами. Занимаемая ими мѣстность простирается къ югу до Таврики, а къ востоку — до рва, который выкопали по-

Digitized by Google

ἄνεμον τῶν βασιληίων Σκυθέων οἱ-
σι Μελάγγχλαινοι, ἄλλο ἔθνος καὶ οὐ
κόν. Μελαγγχλαίνων δὲ τὸ κατύπερθε
α καὶ ἔρημος ἐστὶ ἀνθρώπων, κατ'
ἡμεῖς ἴδμεν.

21. Τάναϊν δὲ ποταμὸν διαβάντι οὐκέτι
κή, ἀλλ' ἡ μὲν πρώτη τῶν λαξίων
ρματέων ἐστί, οἳ ἐκ τοῦ μυχοῦ ἀρξά-
τῆς Μαιήτιδος λίμνης νέμονται τὸ
βορέην ἄνεμον ἡμερέων πεντεκαίδεκα
πᾶσαν ἐοῦσαν ψιλὴν καὶ ἀγρίων καὶ
ων δενδρέων· ὑπεροικέουσι δὲ τούτων
έρην λάξιν ἔχοντες Βουδῖνοι, γῆν νεμό-
πᾶσαν δασέαν ὕλῃ παντοίῃ.—22. Βου-
ν δὲ κατύπερθε πρὸς βορέην ἐστὶ πρώτη
ἔρημος ἐπ' ἡμερέων ἑπτὰ ὁδόν, μετὰ
την ἔρημον ἀποκλίνοντι μᾶλλον πρὸς
ώτην ἄνεμον νέμονται Θυσσαγέται,
πολλὸν καὶ ἴδιον· ζῶσι δὲ ἀπὸ θή-
συνεχέες δὲ τούτοισι ἐν τοῖσι αὐτοῖσι
κατοικημένοι εἰσὶ τοῖσι οὔνομα κεῖ-
Τύρκαι, καὶ οὗτοι ἀπὸ θήρης ζῶντες
τοιῶδε· λοχᾷ ἐπὶ δένδρεον ἀναβάς,
ἐστὶ πυκνὰ ἀνὰ πᾶσαν τὴν χώρην·
ς δὲ ἑκάστῳ δεδιδαγμένος ἐπὶ γαστέρα
ναι ταπεινότητος εἵνεκα ἕτοιμος ἐστὶ
κύων· ἐπεὰν δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ
δενδρέου, τοξεύσας ἐπιβὰς ἐπὶ τὸν ἵπ-
διώκει, καὶ ὁ κύων ἔχεται. ὑπὲρ δὲ τού-
τὸ πρὸς τὴν ἠῶ ἀποκλίνοντι οἰκέουσι
ναι ἄλλοι, ἀπὸ τῶν βασιληίων Σκυθέων
στάντες καὶ οὕτω ἀπικόμενοι ἐς τοῦ-
τὸν χῶρον.

23. Μέχρι μὲν δὴ τῆς τούτων τῶν
θέων χώρης ἐστὶ ἡ καταλεχθεῖσα
α πεδιάς τε γῆ καὶ βαθύγαιος, τὸ δ'
τούτου λιθώδης τ' ἐστὶ καὶ τρηχέα.
λθόντι δὲ καὶ τῆς τρηχέης χώρης πολ-
οἰκέουσι ὑπώρεαν ὀρέων ὑψηλῶν ἄν-
τοι λεγόμενοι εἶναι πάντες φαλακροὶ ἐκ
τῆς γινόμενοι, καὶ ἔρσενες καὶ θήλεαι
ως, καὶ σιμοὶ καὶ γένεια ἔχοντες με-
, φωνὴν δὲ ἰδίην ἱέντες, ἐσθῆτι δὲ
μενοι Σκυθικῇ, ζῶντες δὲ ἀπὸ δεν-
ν. ποντικὸν μὲν οὔνομα τῷ δενδρέῳ
τὸ ζῶσι, μέγαθος δὲ κατὰ συκέην μά-
κη· καρπὸν δὲ φορέει κυάμῳ ἴσον,
να δὲ ἔχει· τοῦτο ἐπεὰν γένηται πέ-
σσακκέουσι ἱματίοισι, ἀπορρέει δὲ ἀπ'

томки слѣпыхъ, и до торжища при Мэотійскомъ озерѣ, называемаго Кримнами; частію же ихъ владѣнія простираются до рѣки Танаида. Мѣстности, лежащія къ сѣверу отъ царскихъ Скиѳовъ, занимаютъ Меланхлэны (Черноризцы), особое, не скиѳское племя. Выше Меланхлэновъ, на сколько намъ извѣстно, лежатъ озера и безлюдная пустыня.

21. За рѣкою Танаидомъ уже не скиѳская земля; первый изъ *тамошнихъ* участковъ земли принадлежитъ Савроматамъ, которые, начиная отъ угла Мэотійскаго озера, занимаютъ пространство на 15 дней пути къ сѣверу; во всей этой землѣ нѣтъ ни дикихъ, ни садовыхъ деревьевъ. Выше Савроматовъ на второмъ участкѣ живутъ Будины, занимающіе мѣстность сплошь покрытую разнороднымъ лѣсомъ.

22. Выше Будиновъ къ сѣверу сначала простирается пустыня на 7 дней пути, а за пустынею, болѣе въ направленіи къ востоку, живутъ Ѳиссагеты, племя многолюдное и особое; живутъ они охотою. Рядомъ съ ними въ той же мѣстности живетъ народъ, называемый Іирками; они также промышляютъ охотою, слѣдующимъ образомъ: *охотникъ*, взобравшись на дерево, которыми густо покрыта эта страна, подстерегаетъ звѣря; у каждаго на готовѣ лошадь, пріученная ложиться на брюхо, чтобы казаться ниже, и собака; когда охотникъ съ дерева завидитъ звѣря, онъ стрѣляетъ изъ лука, потомъ садится на коня и пускается въ погоню, причемъ не отстаетъ и собака. Выше Іирковъ по направленію къ востоку живутъ другіе Скиѳы, отдѣлившіеся отъ царскихъ и прибывшіе въ эту землю.

23. Вся описанная мною страна до области этихъ Скиѳовъ представляетъ собою равнину съ глубокой почвой, а начиная отсюда, земля становится камениста и неровна. Когда пройдешь значительное пространство этой неровной страны, у подножья высокихъ горъ обитаютъ люди, которые, какъ говорятъ, всѣ плѣшивы отъ рожденія, какъ мужчины, такъ и женщины, курносы и съ большими подбородками; они говорятъ на особомъ языкѣ, одѣваются по скиѳски, а питаются древесными плодами. Дерево, плодами котораго они питаются, называется понтикомъ и по величинѣ болѣе всего подходитъ къ смоковницѣ; оно приноситъ плодъ, похожій на бобъ,

Digitized by Google

αὐτοῦ παχὺ καὶ μέλαν· οὔνομα δὲ τῷ ἀπορρέοντι ἐστὶ ἄσχυ· τοῦτο καὶ λείχουσι καὶ γάλακτι συμμίσγοντες πίνουσι, καὶ ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγὸς παλάθας συντιθεῖσι καὶ ταύτας σιτέονται. πρόβατα γάρ σφι οὐ πολλά ἐστι· οὐ γάρ τι σπουδαῖαι αἱ νομαὶ αὐτόθι εἰσί. ὑπὸ δενδρέῳ δὲ ἕκαστος κατοίκηται, τὸν μὲν χειμῶνα ἐπεὰν τὸ δένδρεον περικαλύψῃ πίλῳ στεγνῷ λευκῷ, τὸ δὲ θέρος ἄνευ πίλου. τούτους οὐδεὶς ἀδικέει ἀνθρώπων· ἱροὶ γὰρ λέγονται εἶναι· οὐδέ τι ἀρήιον ὅπλον ἐκτέαται. καὶ τοῦτο μὲν τοῖσι περιοικέουσι οὗτοί εἰσι οἱ τὰς διαφορὰς διαιρέοντες, τοῦτο δὲ ὃς ἂν φεύγων καταφύγῃ ἐς τούτους, ὑπ' οὐδενὸς ἀδικέεται. οὔνομα δέ σφι ἐστὶ Ἀργιππαῖοι.

24. Μέχρι μέν νυν τῶν φαλακρῶν τούτων πολλὴ περιφανείη τῆς χώρης ἐστὶ καὶ τῶν ἔμπροσθε ἐθνέων· καὶ γὰρ Σκυθέων τινὲς ἀπικνέονται ἐς αὐτούς, τῶν οὐ χαλεπόν ἐστι πυθέσθαι καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθένεός τε ἐμπορίου καὶ τῶν ἄλλων Ποντικῶν ἐμπορίων· Σκυθέων δὲ οἳ ἂν ἔλθωσι ἐς αὐτούς, δι' ἑπτὰ ἑρμηνέων καὶ δι' ἑπτὰ γλωσσέων διαπρήσσονται.—25. μέχρι μὲν δὴ τούτων γινώσκεται, τὸ δὲ τῶν φαλακρῶν κατύπερθε οὐδεὶς ἀτρεκέως οἶδε φράσαι. ὄρεα γὰρ ὑψηλὰ ἀποτάμνει ἄβατα καὶ οὐδείς σφεα ὑπερβαίνει· οἱ δὲ φαλακροὶ οὗτοι λέγουσι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, οἰκέειν τὰ ὄρεα αἰγίποδας ἄνδρας, ὑπερβάντι δὲ τούτους ἀνθρώπους ἄλλους οἳ τὴν ἑξάμηνον κατεύδουσι. τοῦτο δὲ οὐκ ἐνδέκομαι τὴν ἀρχήν, ἀλλὰ τὸ μὲν πρὸς ἠῶ τῶν φαλακρῶν γινώσκεται ἀτρεκέως ὑπὸ Ἰσσηδόνων οἰκεόμενον, τὸ μέντοι κατύπερθε πρὸς βορέην ἄνεμον οὐ γινώσκεται οὔτε τῶν φαλακρῶν οὔτε τῶν Ἰσσηδόνων, εἰ μὴ ὅσα αὐτῶν τούτων λεγόντων. — 26. νόμοισι δὲ Ἰσσηδόνες τοῖσιδε λέγονται χρᾶσθαι· ἐπεὰν ἀνδρὶ ἀποθάνῃ πατήρ, οἱ προσήκοντες πάντες προσάγουσι πρόβατα, καὶ ἔπειτα ταῦτα θύσαντες καὶ καταταμόντες τὰ κρέα κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου τεθνεῶτα γονέα, ἀναμίξαντες δὲ πάντα τὰ κρέα δαῖτα προτίθενται. τὴν δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ ἐκκαθήραντες κατα-χρυσοῦσι καὶ ἔπειτα ἄτε ἀγάλματι χρέωνται, θυσίας μεγάλας ἐπετείους ἐπιτελέοντες. παῖς δὲ πατρὶ τοῦτο ποιέει, κατά περ Ἕλληνες τὰ γενέσια. ἄλλως δὲ δίκαιοι καὶ

съ косточкой внутри; когда онъ созрѣетъ, его выжимаютъ сквозь ткань, при чемъ изъ него вытекаетъ густой черный *сокъ;* названіе вытекающаго сока — асхи; его лижутъ или пьютъ, смѣшавъ съ молокомъ, а изъ оставшейся гущи дѣлаютъ лепешки и ѣдятъ ихъ. Скота у нихъ не много, потому что пастбища тамъ небогатыя. Каждый *изъ жителей* селится подъ деревомъ, которое на зиму окружаетъ плотнымъ бѣлымъ войлокомъ, а лѣтомъ *оставляетъ* безъ войлока. Ихъ не обижаетъ никто изъ людей, такъ какъ они считаются священными; у нихъ даже нѣтъ никакого оружія. Они разбираютъ споры, возникающіе между ихъ сосѣдями, а когда какой нибудь изгнанникъ прибѣгнетъ *подъ ихъ защиту*, то его уже никто не трогаетъ. Называется этотъ народъ Аргиппэями.

24. О странѣ до этихъ плѣшивыхъ и о племенахъ, обитающихъ по сю сторону ихъ, имѣются очень достовѣрныя свѣдѣнія: къ нимъ ходятъ нѣкоторые Скиѳы, отъ которыхъ не трудно добыть свѣдѣнія, равно какъ и отъ Еллиновъ изъ торжища Борисѳена и изъ другихъ приионтійскихъ торжищъ. Тѣ изъ Скиѳовъ, которые приходятъ къ нимъ, ведутъ свои дѣла при помощи семи переводчиковъ на семи языкахъ.

25. Итакъ, страна до этихъ *плѣшивыхъ* извѣстна, но никто не можетъ сказать ничего достовѣрнаго о томъ, что находится выше плѣшивыхъ, такъ какъ тѣ страны отдѣлены высокими непроступными горами, чрезъ которыя никто не переходитъ. По разсказамъ плѣшивыхъ, для меня представляющимся невѣроятными, на горахъ живутъ люди съ козлиными ногами, а за ними другіе люди, которые спятъ по шести мѣсяцевъ; я совсѣмъ этому не вѣрю. Область къ востоку отъ плѣшивыхъ, населенная Исседонами, хорошо извѣстна; а о мѣстности, лежащей къ сѣверу какъ отъ Исседоновъ, такъ и отъ плѣшивыхъ, ничего неизвѣстно кромѣ того, что они сами о ней разсказываютъ.

26. Разсказываютъ, что у Исседоновъ слѣдующіе обычаи: если у кого умретъ отецъ, то всѣ родственники пригоняютъ къ нему скотъ, затѣмъ, убивъ животныхъ и разрѣзавъ на куски ихъ мясо, разрѣзаютъ на части и трупъ отца хозяина, потомъ смѣшиваютъ все мясо и устраиваютъ

Digitized by Google

αὐτοι λέγονται εἶναι, ἰσοκρατέες δὲ ὁμοίως αἱ γυναῖκες τοῖσι ἀνδράσι. — 27. γινώσκονται μὲν δὴ καὶ οὗτοι, τὸ δὲ ἀπὸ τούτων τὸ κατύπερθε Ἰσσηδόνες εἰσὶ οἱ λέγοντες μουνοφθάλμους ἀνθρώπους καὶ χρυσοφύλακας γρῦπας εἶναι· παρὰ δὲ τούτων Σκύθαι παραλαβόντες λέγουσι, παρὰ δὲ Σκυθέων ἡμεῖς οἱ ἄλλοι νενομίκαμεν καὶ ὀνομάζομεν αὐτοὺς Σκυθιστὶ Ἀριμασπούς· ἄριμα γὰρ ἓν καλέουσι Σκύθαι, σποῦ δὲ ὀφθαλμόν.

пиршество. Голову покойника обнажаютъ отъ волосъ, вычищаютъ извнутри, покрываютъ позолотою и затѣмъ употребляютъ въ качествѣ священнаго сосуда при совершеніи ежегодныхъ большихъ жертвоприношеній. Это дѣлаетъ сынъ въ честь отца, подобно тому какъ Эллины *справляютъ* праздникъ поминовенія. Впрочемъ и этотъ народъ считается справедливымъ, и женщины у нихъ равноправны съ мужчинами.

27. Итакъ Исседоны также еще извѣстны, а выше ихъ (къ сѣверу), по разсказамъ Исседоновъ, живутъ одноглазые люди и стерегущіе золото грипы. Со словъ Исседоновъ передаютъ этотъ разсказъ Скиѳы, а отъ Скиѳовъ знаемъ и мы, прочіе, и называемъ ихъ по скиѳски Аримаспами: *арима* Скиѳы называютъ единицу, а *спу* — глазъ [1]).

4. Климатъ Скиѳіи.

(Гл. 28, 29, 31, 32).

28. Δυσχείμερος δὲ αὕτη ἡ καταλεχθεῖσα πᾶσα χώρη οὕτω δή τι ἐστί, ἔνθα τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀφόρητος οἷος γίνεται κρυμός, ἐν τοῖσι ὕδωρ ἐκχέας πηλὸν οὐ ποιήσεις, πῦρ δὲ ἀνακαίων ποιήσεις [πηλόν]· ἡ δὲ θάλασσα πήγνυται καὶ ὁ Βόσπορος πᾶς ὁ Κιμμέριος, καὶ ἐπὶ τοῦ κρυστάλλου οἱ ἐντὸς τάφρου Σκύθαι κατοικημένοι στρατεύονται καὶ τὰς ἁμάξας ἐπελαύνουσι πέρην ἐς τοὺς Σίνδους. οὕτω μὲν δὴ τοὺς ὀκτὼ μῆνας διατελέει χειμὼν ἐών, τοὺς δ' ἐπιλοίπους τέσσερας ψῦχος αὐτόθι ἐστί. κεχώρισται δὲ οὗτος ὁ χειμὼν τοὺς τρόπους πᾶσι τοῖσι ἐν ἄλλοισι χωρίοισι γινομένοισι χειμῶσι, ἐν τῷ τὴν μὲν ὡραίην οὐκ ὗει λόγου ἄξιον οὐδέν, τὸ δὲ θέρος ὕων οὐκ ἀνιεῖ. βρονταί τε ἡμος τῇ ἄλλῃ γίνονται, τηνικαῦτα μὲν οὐ γίνονται, θέρεος δὲ ἀμφιλαφέες ἢν δὲ χειμῶνος βροντὴ γένηται, ὡς τέρας νενόμισται θωμάζεσθαι· ὡς δὲ καὶ ἢν σεισμὸς γένηται ἤν τε θέρεος ἤν τε χειμῶνος ἐν τῇ Σκυθικῇ, τέρας νενόμισται. ἵπποι δὲ ἀνεχόμενοι φέρουσι τὸν χειμῶνα τοῦτον, ἡμίονοι δὲ οὐδὲ ὄνοι οὐκ ἀνέχονται ψυχήν· τῇ δὲ ἄλλῃ ἵπποι μὲν ἐν κρυμῷ ἑστεῶτες ἀποσφακελίζουσι, ὄνοι δὲ καὶ ἡμίονοι ἀνέχονται. — 29. δοκέει δέ μοι καὶ τὸ γένος

28. Вся описанная страна отличается столь суровымъ климатомъ, что въ продолженіи 8 мѣсяцевъ тамъ стоятъ нестерпимые холода; въ это время не сдѣлаешь грязи, проливъ воды *на землю*, развѣ если разведешь огонь; море и весь Воспоръ Киммерійскій замерзаютъ, такъ что Скиѳы, живущіе по сю сторону рва, толпами переходятъ по льду и на повозкахъ переѣзжаютъ на ту сторону въ землю Синдовъ. Такимъ образомъ въ продолженіи 8 мѣсяцевъ бываетъ непрерывная зима, но и въ остальные 4 мѣсяца тамъ стоятъ холода. Зима тамъ по своему характеру отличается отъ зимы во всѣхъ другихъ странахъ, такъ какъ въ теченіи ея, когда именно дождливая пора, тамъ почти не бываетъ дождей, а лѣтомъ они идутъ безпрерывно; когда въ другихъ странахъ бываетъ громъ, здѣсь его не бываетъ, а лѣтомъ бываетъ очень часто; если зимою случится гроза, то она возбуждаетъ изумленіе, какъ чудо. Точно также въ Скиѳіи считается чудомъ, если случится землетрясеніе, *будетъ ли оно* лѣтомъ или зимою. Лошади легко переносятъ такую зиму, но мулы и ослы совсѣмъ не выносятъ ея; въ

C. 28, v. 10: Σίνδους Holsten: ινδους *AB*, ἰνδούς reliqui.

1) Объ Аримаспахъ ср. выше III, 116.

Digitized by Google

τῶν βοῶν τὸ κόλον διὰ ταῦτα οὐ φύειν κέρεα αὐτόθι· μαρτυρέει δέ μοι τῇ γνώμῃ καὶ Ὁμήρου ἔπος ἐν Ὀδυσσείῃ ἔχον ὧδε·

καὶ Λιβύην, ὅθι τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι,

ὀρθῶς εἰρημένον, ἐν τοῖσι θερμοῖσι ταχὺ παραγίνεσθαι τὰ κέρεα, ἐν δὲ τοῖσι ἰσχυροῖσι ψύχεσι ἢ οὐ φύειν κέρεα τὰ κτήνεα ἀρχὴν ἢ φύοντα φύειν μόγις.

1 другихъ странахъ, *напротивъ*, лошади, стоя на морозѣ, заболѣваютъ костоѣдой, а мулы и ослы выносятъ его.

29. Мнѣ кажется, что такъ называемая комолая порода быковъ по той же причинѣ не имѣетъ тамъ роговъ. Въ пользу моего мнѣнія свидѣтельствуетъ слѣдующій стихъ Омира въ Одиссеѣ [1]): «и Ливію, гдѣ у барановъ быстро ростутъ рога». Совершенно вѣрно сказано, что въ теплыхъ странахъ быстро выростаютъ рога, — а въ очень холодныхъ мѣстностяхъ у скота или вовсе не растутъ рога, или едва выростаютъ.

[Въ гл. 30 объясняется причина, почему въ Индѣ не родятся мулы].

31. Περὶ δὲ τῶν πτερῶν τῶν Σκύθαι λέγουσι ἀνάπλεον εἶναι τὸν ἠέρα, καὶ τούτων εἵνεκα οὐκ οἷοί τε εἶναι οὔτε ἰδεῖν τὸ πρόσω τῆς ἠπείρου οὔτε διεξιέναι, τήνδε ἔχω περὶ αὐτῶν γνώμην· τὰ κατύπερθε ταύτης τῆς χώρης αἰεὶ νίφεται, ἐλάσσονι δὲ τοῦ θέρεος ἢ τοῦ χειμῶνος, ὥσπερ καὶ οἰκός· ἤδη ὦν ὅστις ἀγχόθεν χιόνα ἀδρὴν πίπτουσαν εἶδε, οἶδε τὸ λέγω· ἔοικε γὰρ ἡ χιὼν πτεροῖσι· καὶ διὰ τὸν χειμῶνα τοῦτον ἐόντα τοιοῦτον ἀνοίκητα τὰ πρὸς βορέην ἐστὶ τῆς ἠπείρου ταύτης. τὰ ὦν πτερὰ εἰκάζοντες τὴν χιόνα τοὺς Σκύθας τε καὶ τοὺς περιοίκους δοκέω λέγειν. ταῦτα μέν νυν τὰ λέγεται μακρότατα εἴρηται.

31. Что касается перьевъ, которыми по словамъ Скиѳовъ наполненъ воздухъ и изъ за которыхъ нельзя ни смотрѣть впередъ по материку, ни пройти [2]), то о нихъ я держусь такого мнѣнія: въ мѣстностяхъ, лежащихъ выше этой страны, постоянно идетъ снѣгъ, впрочемъ лѣтомъ, какъ и слѣдуетъ ожидать, меньше, чѣмъ зимою. Итакъ всякій, кто вблизи видѣлъ, какъ идетъ обильный снѣгъ, уже понимаетъ, о чемъ я говорю, ибо хлопья снѣга похожи на перья. Вслѣдствіе такой суровой зимы сѣверныя области этого материка необитаемы. Итакъ я полагаю, что Скиѳы и ихъ сосѣди называютъ хлопья снѣга перьями, благодаря ихъ сходству. Таковы мои свѣдѣнія объ отдаленнѣйшихъ мѣстностяхъ.

32. Ὑπερβορέων δὲ πέρι ἀνθρώπων οὔτε τι Σκύθαι λέγουσι οὐδὲν οὔτε τινὲς ἄλλοι τῶν ταύτῃ οἰκημένων, εἰ μὴ ἄρα Ἰσσηδόνες. ὡς δ' ἐγὼ δοκέω, οὐδ' οὗτοι λέγουσι οὐδέν· ἔλεγον γὰρ ἂν καὶ Σκύθαι, ὡς περὶ τῶν μουνοφθάλμων λέγουσι. ἀλλ' Ἡσιόδῳ μὲν ἐστὶ περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ δὴ τῷ ἐόντι γε Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε.

32. Объ Ипербореяхъ ничего не сообщаютъ ни Скиѳы, ни другіе обитатели той страны, за исключеніемъ развѣ Иссидоновъ. Впрочемъ, какъ мнѣ кажется, и эти послѣдніе ничего о нихъ не говорятъ: ибо *въ противномъ случаѣ* разсказывали бы о нихъ и Скиѳы, какъ разсказываютъ объ одноглазыхъ. Объ Ипербореяхъ говорится у Исіода, а также у Омира въ «Епигонахъ», если дѣйствительно Омиръ составилъ эту поэму.

[Главы 33 — 36 содержатъ разсказы объ Ипербореяхъ, слышанные Иродотомъ на островѣ Дилосѣ].

5. Отрывки изъ описанія трехъ частей свѣта.

(Гл. 37—45).

37. Πέρσαι οἰκέουσι κατήκοντες ἐπὶ τὴν νοτίην θάλασσαν τὴν Ἐρυθρὴν καλεομένην, τούτων δὲ ὑπεροικέουσι πρὸς βορέην ἄνεμον

37. Персы живутъ вплоть до южнаго моря, называемаго Краснымъ; выше ихъ къ сѣверу живутъ Мидяне, выше Мидянъ

1) Од. IV, 85. 2) Ср. выше IV, 7.

Digitized by Google

Μήδοι, Μήδων δὲ Σάσπειρες, Σασπείρων δὲ Κόλχοι κατήκοντες ἐπὶ τὴν βορηίην θάλασσαν, ἐς τὴν Φᾶσις ποταμὸς ἐκδιδοῖ. ταῦτα τέσσερα ἔθνεα οἰκέει ἐκ θαλάσσης ἐς θάλασσαν.—38. ἐνθεῦτεν δὲ τὸ πρὸς ἑσπέρης ἀκταὶ διφάσιαι ἀπ' αὐτῆς κατατείνουσι ἐς θάλασσαν, τὰς ἐγὼ ἀπηγήσομαι. ἔνθεν μὲν ἡ ἀκτὴ ἡ ἑτέρη τὰ πρὸς βορέην ἀπὸ Φάσιος ἀρξαμένη παρατέταται ἐς θάλασσαν παρά τε τὸν Πόντον καὶ τὸν Ἑλλήσποντον μέχρι Σιγείου τοῦ Τρωικοῦ...

Саспиры, выше Саспировъ — Колхи вплоть до сѣвернаго моря, въ которое изливается рѣка Фасидъ. Эти четыре народа живутъ *на пространствѣ* отъ моря до моря.

38. Отсюда къ западу тянутся отъ нея [т. е. отъ Азіи] два полуострова [*дословно*: берега], которые я опишу. Одинъ изъ нихъ, съ сѣверной стороны начинаясь отъ Фасида, тянется къ морю вдоль Понта и Геллеспонта до Троянскаго Сигея...

40. ...τὰ δὲ κατύπερθε Περσέων καὶ Μήδων καὶ Σασπείρων καὶ Κόλχων, τὰ πρὸς ἠῶ τε καὶ ἥλιον ἀνατέλλοντα, ἔνθεν μὲν ἡ Ἐρυθρὴ παρήκει θάλασσα, πρὸς βορέω δὲ ἡ Κασπίη τε θάλασσα καὶ ὁ Ἀράξης ποταμός, ῥέων πρὸς ἥλιον ἀνίσχοντα.

40... Выше Персовъ, Мидянъ, Саспировъ и Колховъ къ востоку съ одной стороны простирается Красное море, а къ сѣверу — Каспійское море и рѣка Араксъ, текущая къ востоку...

45. Ἡ δὲ Εὐρώπη πρὸς οὐδαμῶν φανερή ἐστι γινωσκομένη, οὔτε τὰ πρὸς ἥλιον ἀνατέλλοντα οὔτε τὰ πρὸς βορέην, εἰ περίρρυτος ἐστί· μήκεϊ δὲ γινώσκεται παρ' ἀμφοτέρας παρήκουσα. οὐδ' ἔχω συμβαλέσθαι ἐπ' ὅτευ μιῇ ἐούσῃ γῇ οὐνόματα τριφάσια κέεται ἐπωνυμίας ἔχοντα γυναικῶν, καὶ ὁρίσματα αὐτῇ Νεῖλός τε ὁ Αἰγύπτιος ποταμὸς ἐτέθη καὶ Φᾶσις ὁ Κόλχος (οἱ δὲ Τάναϊν ποταμὸν τὸν Μαιήτην καὶ πορθμία τὰ Κιμμέρια λέγουσι), οὐδὲ τῶν διουρισάντων τὰ οὐνόματα πυθέσθαι, καὶ ὅθεν ἔθεντο τὰς ἐπωνυμίας.

45. Омывается ли Европа водою съ востока и сѣвера — это никому достовѣрно неизвѣстно. Относительно же длины извѣстно, что она равняется обѣимъ *другимъ частямъ свѣта*. Я не могу также разрѣшить, почему землѣ, въ сущности единой, приданы три названія по именамъ женщинъ, и границами ея признаны эгипетская рѣка Нилъ и колхидская Фасидъ (иные называютъ *границею* меотійскую рѣку Танаидъ и Киммерійскія переправы), *не могу* узнать имена разграничившихъ и откуда они взяли названія...

6. Описаніе рѣкъ Скиѳіи.

(Гл. 46—58).

46. Ὁ δὲ Πόντος ὁ Εὔξεινος, ἐπ' ὃν ἐστρατεύετο ὁ Δαρεῖος, χωρέων πασέων παρέχεται ἔξω τοῦ Σκυθικοῦ ἔθνεα ἀμαθέστατα. οὔτε γὰρ ἔθνος τῶν ἐντὸς τοῦ Πόντου οὐδὲν ἔχομεν προβαλέσθαι σοφίης πέρι οὔτε ἄνδρα λόγιον οἰδαμὲν γενόμενον, πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος καὶ Ἀναχάρσιος. τῷ δὲ Σκυθικῷ γένεϊ ἓν μὲν τὸ μέγιστον τῶν ἀνθρωπηίων πρηγμάτων σοφώτατα πάντων ἐξεύρηται τῶν ἡμεῖς ἴδμεν, τὰ μέντοι ἄλλα οὐκ ἄγαμαι. τὸ δὲ μέγιστον οὕτω σφι ἀνεύρηται ὥστε ἀποφυγεῖν τε μηδένα ἐπελθόντα ἐπὶ σφέας, μὴ βουλομένους τε ἐξευρεθῆναι καταλαβεῖν μὴ οἷόν τε εἶναι· τοῖσι γὰρ μήτε ἄστεα μήτε τείχεα ἢ ἐκτισμένα,

46. По берегамъ Понта Евксинскаго, куда выступалъ походомъ Дарій, обитаютъ племена за исключеніемъ скиѳскаго несравненно болѣе грубыя, чѣмъ во всѣхъ другихъ странахъ. Мы не можемъ указать ни одно племя по сю сторону Понта, которое бы выдавалось по уму, и не знаемъ ни одного замѣчательнаго человѣка, за исключеніемъ развѣ скиѳскаго народа и Анахарсиса [1]). Впрочемъ и у скиѳскаго народа одно *только, но* самое важное изъ человѣческихъ дѣлъ придумано наиболѣе мудро изъ всѣхъ извѣстныхъ намъ *народовъ*, а остальное *у нихъ* не заслуживаетъ вниманія. Эта самая важная особенность

1) Объ Анахарсисѣ см. ниже гл. 76 сл.

Digitized by Google

ἀλλὰ φερέοικοι ἐόντες πάντες ἕωσι ἱπποτοξόται, ζῶντες μὴ ἀπ' ἀρότου ἀλλ' ἀπὸ κτηνέων, οἰκήματά τέ σφι ἡ ἐπὶ ζευγέων, κῶς οὐκ ἂν εἴησαν οὗτοι ἄμαχοί τε καὶ ἄποροι προσμίσγειν;—47. ἐξεύρηται δὲ σφι ταῦτα τῆς τε γῆς ἐούσης ἐπιτηδέης καὶ τῶν ποταμῶν ἐόντων σφι συμμάχων· ἥ τε γὰρ γῆ ἐοῦσα πεδιὰς αὕτη ποιώδης τε καὶ εὔυδρος ἐστί, ποταμοί τε δι' αὐτῆς ῥέουσι οὐ πολλῷ τεῳ ἀριθμὸν ἐλάσσονες τῶν ἐν Αἰγύπτῳ διωρύχων. ὅσοι δὲ ὀνομαστοί τε εἰσὶ αὐτῶν καὶ προσπλωτοὶ ἀπὸ θαλάσσης, τούτους ὀνομανέω... Ἴστρος μὲν πεντάστομος, μετὰ δὲ Τύρης τε καὶ Ὕπανις καὶ Βορυσθένης καὶ Παντικάπης καὶ Ὑπάκυρις καὶ Γέρρος καὶ Τάναϊς· ῥέουσι δὲ οἵδε κατὰ τάδε.

Скиѳовъ состоитъ въ томъ, что никакой *врагъ*, *напавшій* на нихъ, не можетъ ни спастись отъ нихъ бѣгствомъ, ни захватить ихъ, если они не захотятъ быть открытыми: вѣдь *народу*, у котораго нѣтъ ни городовъ, ни укрѣпленій, который свои жилища переноситъ съ собою, гдѣ каждый — конный стрѣлокъ, гдѣ средства къ жизни добываются не земледѣліемъ, а скотоводствомъ, и жилища устраиваются на повозкахъ — такому народу какъ не быть непобѣдимымъ и неприступнымъ?

47. Этой особенности жизни Скиѳовъ благопріятствуетъ *самая* земля, и содѣйствуютъ рѣки: земля ихъ, представляя собою равнину, изобилуетъ травою и хорошо орошена; по ней протекаютъ рѣки, по числу лишь немногимъ уступающія каналамъ въ Египтѣ. Я назову только тѣ изъ нихъ, которыя болѣе замѣчательны и доступны для судовъ съ моря: пятпустный Истръ, за нимъ Тирасъ, Ипанидъ, Борисѳенъ, Пантикапъ, Ипакирь, Герръ и Танандъ. Текутъ они слѣдующимъ образомъ.

48. Ἴστρος μὲν, ἐὼν μέγιστος ποταμῶν πάντων τῶν ἡμεῖς ἴδμεν, ἴσος αἰεὶ αὐτὸς ἑωυτῷ ῥέει καὶ θέρεος καὶ χειμῶνος, πρῶτος δὲ τὸ ἀπ' ἑσπέρης τῶν ἐν τῇ Σκυθικῇ ῥέων κατὰ τοιόνδε μέγιστος γέγονε· ποταμῶν καὶ ἄλλων ἐς αὐτὸν ἐκδιδόντων εἰσὶ δὴ οἵδε οἱ μέγαν αὐτὸν ποιεῦντες, διὰ μέν γε τῆς Σκυθικῆς χώρης πέντε μὲν οἱ ῥέοντες, τόν τε Σκύθαι Πόρατα καλέουσι, Ἕλληνες δὲ Πυρετόν, καὶ ἄλλος Τιάραντος καὶ Ἄραρός τε καὶ Νάπαρις καὶ Ὀρδησσός. ὁ μὲν πρῶτος λεχθεὶς τῶν ποταμῶν μέγας καὶ πρὸς ἠῶ ῥέων ἀνακοινοῦται τῷ Ἴστρῳ τὸ ὕδωρ, ὁ δὲ δεύτερος λεχθεὶς Τιάραντος πρὸς ἑσπέρης τε μᾶλλον καὶ ἐλάσσων, ὁ δὲ δὴ Ἄραρός τε καὶ ὁ Νάπαρις καὶ ὁ Ὀρδησσὸς διὰ μέσου τούτων ἰόντες ἐσβάλλουσι ἐς τὸν Ἴστρον.

48. Истръ, величайшая изъ всѣхъ извѣстныхъ намъ рѣкъ, всегда бываетъ одинаковой величины и лѣтомъ и зимою; это первая изъ рѣкъ Скиѳіи съ западной стороны, а величайшею она становится вотъ почему: въ нее впадаютъ и другія рѣки, а вотъ тѣ, которыя способствуютъ ея многоводію; *изъ ихъ числа* по скиѳской землѣ текутъ пять: та, которая у Скиѳовъ называется Пората, а у Еллиновъ Пиретъ, затѣмъ Тіарантъ, Араръ, Напарь и Ординссъ. Первая изъ названныхъ рѣкъ велика и, протекая на востокѣ, сливаетъ свои воды съ Истромъ; названный вторымъ Тіарантъ течетъ далѣе къ западу и меньше *первой*, а Араръ, Напарь и Ординссъ впадаютъ въ Истръ въ промежуткѣ между этими *двумя*.

[Гл. 49 содержитъ перечень нескиѳскихъ притоковъ Истра и указаніе его истоковъ].

50. Τούτων ὦν τῶν καταλεχθέντων καὶ ἄλλων πολλῶν συμβαλλομένων τὸ σφέτερον ὕδωρ γίνεται ὁ Ἴστρος ποταμῶν μέγιστος, ἐπεὶ ὕδωρ γε ἓν πρὸς ἓν συμβάλλειν ὁ Νεῖλος πλήθεϊ ἀποκρατέει· ἐς γὰρ δὴ τοῦτον οὔτε ποταμὸς οὔτε κρήνη οὐδεμία

50. Благодаря притоку воды перечисленныхъ рѣкъ, а также и многихъ другихъ, Истръ становится величайшею рѣкою, хотя, если сравнивать самъ по себѣ Истръ съ Ниломъ, то послѣдній оказывается полноводнѣе: въ самомъ дѣлѣ, въ Нилъ не

V. 13: «desiderantur fere talia: εἰσὶ δὲ ὀκτὼ οἵδε». Stein.

Digitized by Google

ἐκδιδοῦσα ἐς πλῆθός οἱ συμβάλλεται. ἴσος δὲ αἰεὶ ῥέει ἔν τε θέρεϊ καὶ χειμῶνι ὁ Ἴστρος κατὰ τοιόνδε τι, ὡς ἐμοὶ δοκέει· τοῦ μὲν χειμῶνος ἐστὶ ὅσος περ ἐστί, ὀλίγῳ τε μέζων τῆς ἑωυτοῦ φύσιος γίνεται· ὕεται γὰρ ἡ γῆ αὕτη τοῦ χειμῶνος πάμπαν ὀλίγῳ, νιφετῷ δὲ πάντα χρᾶται. τοῦ δὲ θέρεος ἡ χιὼν ἡ ἐν τῷ χειμῶνι πεσοῦσα, ἐοῦσα ἀμφάρης, τηκομένη πάντοθεν ἐσδιδοῖ ἐς τὸν Ἴστρον. αὕτη τε δὴ ἡ χιὼν ἐσδιδοῦσα ἐς αὐτὸν συμπληθύει καὶ ὄμβροι πολλοί τε καὶ λάβροι σὺν αὐτῇ· ὕει γὰρ δὴ τὸ θέρος. ὅσῳ δὲ πλέον ἐπ' ἑωυτὸν ὕδωρ ὁ ἥλιος ἐπέλκεται ἐν τῷ θέρεϊ ἢ ἐν τῷ χειμῶνι, τοσούτῳ τὰ συμμισγόμενα τῷ Ἴστρῳ πολλαπλήσια ἐστὶ τοῦ θέρεος ἢ περ τοῦ χειμῶνος· ἀντιτιθέμενα δὲ ταῦτα ἀντισηκωσις γίνεται, ὥστε ἴσον μιν αἰεὶ φαίνεσθαι ἐόντα.

впадаетъ ни одна рѣка, ни одинъ источникъ, которые бы способствовали его многоводію. *А что* Истръ имѣетъ одинаковое количество воды лѣтомъ и зимою, *это*, мнѣ кажется, *происходитъ* по слѣдующей причинѣ: зимою вода въ немъ имѣетъ нормальную высоту или поднимается лишь немного выше нормы вслѣдствіе того, что земля эта зимою очень мало орошается дождями и все покрыто снѣгомъ; а лѣтомъ снѣгъ, въ изобиліи выпавшій зимою, таетъ и отовсюду стекаетъ въ Истръ; вотъ этотъ то стекающій въ него снѣгъ и кромѣ того частые и сильные дожди, идущіе тамъ лѣтомъ, пополняютъ количество воды; и на сколько больше воды солнце притягиваетъ къ себѣ лѣтомъ, чѣмъ зимою, на столько стекающія въ Истръ воды дѣлаются лѣтомъ многочисленнѣе, чѣмъ зимою; такъ какъ эти два явленія возмѣщаютъ другъ друга, то устанавливается равновѣсіе и поэтому количество воды въ Истрѣ оказывается всегда одинаковымъ.

51. Εἷς μὲν δὴ τῶν ποταμῶν τοῖσι Σκύθῃσι ἐστὶ ὁ Ἴστρος, μετὰ δὲ τοῦτον Τύρης, ὃς ἀπὸ βορέω μὲν ἀνέμου ὁρμᾶται, ἄρχεται δὲ ῥέων ἐκ λίμνης μεγάλης ἣ οὐρίζει τήν τε Σκυθικὴν καὶ Νευρίδα γῆν. ἐπὶ δὲ τῷ στόματι αὐτοῦ κατοίκηνται Ἕλληνες, οἳ Τυρῖται καλέονται. — 52. τρίτος δὲ Ὕπανις ποταμὸς ὁρμᾶται μὲν ἐκ τῆς Σκυθικῆς, ῥέει δὲ ἐκ λίμνης μεγάλης τὴν πέριξ νέμονται ἵπποι ἄγριοι λευκοί· καλέεται δὲ ἡ λίμνη αὕτη ὀρθῶς μήτηρ Ὑπάνιος. ἐκ ταύτης ὦν ἀναπέλλων ὁ Ὕπανις ποταμὸς ῥέει ἐπὶ μὲν πέντε ἡμερέων πλόον βραχὺς καὶ γλυκύς ἐστι, ἀπὸ δὲ τούτου πρὸς θάλασσης τεσσέρων ἡμερέων πλόον πικρὸς δεινῶς. ἐκδιδοῖ γὰρ ἐς αὐτὸν κρήνη πικρή, οὕτω δή τι ἐοῦσα πικρή, ἣ μεγάθεϊ σμικρὴ ἐοῦσα κιρνᾷ τὸν Ὕπανιν, ἐόντα ποταμὸν ἐν ὀλίγοισι μέγαν. ἔστι δὲ ἡ κρήνη αὕτη ἐν οὔροισι χώρης τῆς τε ἀροτήρων Σκυθέων καὶ Ἀλαζόνων· οὔνομα δὲ τῇ κρήνῃ καὶ ὅθεν ῥέει τῷ χώρῳ Σκυθιστὶ μὲν Ἐξαμπαῖος, κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν Ἱραὶ ὁδοί. συνάγουσι δὲ τὰ τέρματα ὅ τε Τύρης καὶ ὁ Ὕπανις κατὰ Ἀλαζόνας· τὸ δὲ ἀπὸ τούτου ἀποστρέψας ἑκάτερος ῥέει εὐρύνων τὸ μέσον.

51. Итакъ одна рѣка у Скиѳовъ — Истръ, а за нимъ *слѣдуетъ* Тирасъ, который течетъ съ сѣвера и беретъ начало изъ большаго озера, служащаго границею земли Скиѳовъ и Невровъ. У устья его живутъ Еллины, которые называются Тиритами.

52. Третья рѣка Ипанидъ беретъ начало въ землѣ Скиѳовъ и вытекаетъ изъ большаго озера, вокругъ котораго водятся дикія бѣлыя лошади; это озеро справедливо зовется матерью Ипанида. Вытекая изъ этого *озера*, рѣка Ипанидъ на протяженіи пяти дней плаванія еще мелка и прѣсна, а затѣмъ до моря на четыре дня плаванія вода въ ней очень горька; ибо въ нее впадаетъ горькій источникъ, на столько горькій, что, несмотря на свою незначительную величину, онъ измѣняетъ вкусъ воды въ Ипанидѣ, съ которымъ немногія рѣки могутъ сравняться по величинѣ. Источникъ этотъ находится на границѣ земли Скиѳовъ-пахарей и Алазоновъ; названіе источника и мѣстности, откуда онъ вытекаетъ, по скиѳски Ексампэй, а на эллинскомъ языкѣ — Святые пути. Тирасъ и Ипанидъ сближаютъ свои теченія около земли Алазоновъ, а отсюда обѣ текутъ въ разныя стороны и промежутокъ между ними расширяется.

V. 34: . . . γλυκύς ἐστι St.

Digitized by Google

53. Τέταρτος δὲ Βορυσθένης ποταμός, ὃς ἐστί τε μέγιστος μετὰ Ἴστρον τούτων καὶ πολυαρκέστατος κατὰ γνώμας τὰς ἡμετέρας οὔτι μοῦνον τῶν Σκυθικῶν ποταμῶν ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, πλὴν Νείλου τοῦ Αἰγυπτίου· τούτῳ γὰρ οὐκ οἷά τε ἐστὶ συμβαλεῖν ἄλλον ποταμόν· τῶν δὲ λοιπῶν Βορυσθένης ἐστὶ πολυαρκέστατος, ὃς νομάς τε καλλίστας καὶ εὐκομιδεστάτας κτήνεσι παρέχεται ἰχθύας τε ἀρίστους διακριδὸν καὶ πλείστους, πίνεσθαί τε ἥδιστος ἐστί, ῥέει τε καθαρὸς παρὰ θολεροῖσι, σπόρος τε παρ' αὐτὸν ἄριστος γίνεται, ποίη τε, τῇ οὐ σπείρεται ἡ χώρη, βαθυτάτη· ἄλες τε ἐπὶ τῷ στόματι αὐτοῦ αὐτόματοι πήγνυνται ἄπλετοι· κήτεά τε μεγάλα ἀνάκανθα, τὰ ἀντακαίους καλέουσι, παρέχεται ἐς ταρίχευσιν, ἄλλα τε πολλὰ θωμάσαι ἄξια. μέχρι μέν νυν Γέρρου χώρου, ἐς τὸν τεσσεράκοντα ἡμερέων πλόος ἐστί, γινώσκεται ῥέων ἀπὸ βορέω ἀνέμου· τὸ δὲ κατύπερθε δι' ὧν ῥέει ἀνθρώπων οὐδεὶς ἔχει φράσαι· φαίνεται δὲ ῥέων δι' ἐρήμου ἐς τῶν γεωργῶν Σκυθέων τὴν χώρην· οὗτοι γὰρ οἱ Σκύθαι παρ' αὐτὸν ἐπὶ δέκα ἡμερέων πλόον νέμονται. μούνου δὲ τούτου τοῦ ποταμοῦ καὶ Νείλου οὐκ ἔχω φράσαι τὰς πηγάς, δοκέω δέ, οὐδὲ οὐδεὶς Ἑλλήνων. ἀγχοῦ τε δὴ θαλάσσης ὁ Βορυσθένης ῥέων γίνεται καὶ οἱ συμμίσγεται ὁ Ὕπανις ἐς τὠυτὸ ἕλος ἐκδιδούς. τὸ δὲ μεταξὺ τῶν ποταμῶν τούτων, ἐὸν ἔμβολον τῆς χώρης, Ἱππόλεω ἄκρη καλέεται, ἐν δὲ αὐτῷ ἱρὸν Δήμητρος ἐνίδρυται· πέρην δὲ τοῦ ἱροῦ ἐπὶ τῷ Ὑπάνι Βορυσθενεῖται κατοίκηνται.

54. Ταῦτα μὲν τὰ ἀπὸ τούτων τῶν ποταμῶν, μετὰ δὲ τούτους πέμπτος ποταμὸς ἄλλος, τῷ οὔνομα Παντικάπης, ῥέει μὲν καὶ οὗτος ἀπὸ βορέω τε καὶ ἐκ λίμνης, καὶ τὸ μεταξὺ τούτου τε καὶ τοῦ Βορυσθένεος νέμονται οἱ γεωργοὶ Σκύθαι, ἐκδιδοῖ δὲ ἐς τὴν Ὑλαίην, παραμειψάμενος δὲ ταύτην τῷ Βορυσθένεϊ συμμίσγεται.—55. ἕκτος δὲ Ὑπάκυρις ποταμός, ὃς ὁρμᾶται μὲν ἐκ λίμνης, διὰ μέσων δὲ τῶν νομάδων Σκυθέων ῥέων ἐκδιδοῖ κατὰ Καρκινῖτιν πόλιν, ἐς δεξιὴν ἀπέργων τήν τε Ὑλαίην καὶ τὸν Ἀχιλλήιον

53. Четвертая рѣка Борисѳенъ — величайшая послѣ Истра изъ этихъ рѣкъ и, по нашему мнѣнію, самая полезная не только между скиѳскими рѣками, но и между всѣми другими кромѣ египетскаго Нила; съ этимъ послѣднимъ нельзя сравнить ни одной рѣки; но изъ остальныхъ рѣкъ Борисѳенъ самая прибыльная: онъ доставляетъ стадамъ прекраснѣйшія и очень питательныя пастбища, превосходнѣйшую рыбу въ огромномъ количествѣ, вода его очень пріятна на вкусъ и отличается чистотою среди мутныхъ *рѣкъ Скиѳіи;* вдоль его тянется превосходная пахатная земля или *растетъ* очень высокая трава тамъ, гдѣ почва не засѣвается; въ устьѣ его сама собою въ изобиліи осѣдаетъ соль; въ немъ ловятся для соленія большія рыбы безъ позвоночника, называемыя осетрами, а кромѣ того *есть* многое другое, достойное удивленія. Въ своемъ теченіи съ сѣвера Борисѳенъ извѣстенъ до земли Герра, до которой 40 дней плаванія; выше *этой мѣстности* никому неизвѣстны земли, чрезъ которыя онъ протекаетъ; *достовѣрно* извѣстно, что онъ течетъ черезъ пустыню до области Скиѳовъ-земледѣльцевъ, а эти послѣдніе живутъ вдоль его на 10 дней плаванія. Истоковъ только этой рѣки да Нила не могу назвать я, да, какъ мнѣ кажется, и никто изъ Эллиновъ. Когда Борисѳенъ въ своемъ теченіи приближается къ морю, съ нимъ соединяется Ипанидъ, впадающій въ одинъ съ нимъ лиманъ. Находящійся между этими рѣками выступъ земли называется мысомъ Ипполая; на немъ стоитъ святилище Димитры; на противоположномъ отъ святилища берегу при Ипанидѣ живутъ Борисѳениты.

54. Вотъ наши свѣдѣнія объ этихъ рѣкахъ. За ними пятая рѣка, по имени Пантикапъ; и она также течетъ съ сѣвера и изъ озера; пространство между нею и Борисѳеномъ занимаютъ Скиѳы-земледѣльцы; она протекаетъ черезъ Полѣсье и, миновавъ его, сливается съ Борисѳеномъ.

55. Шестая рѣка — Ипакирь, которая беретъ начало изъ озера и, протекая среди земли Скиѳовъ-кочевниковъ, впадаетъ *въ море* около города Каркинитиды, остав-

V. 19: Γερρέων St. || V. 33: μητρὸς *ABC*.

Digitized by Google

δρόμον καλεόμενον.—56. ἕβδομος δὲ Γέρρος ποταμὸς ἀπέσχισται μὲν ἀπὸ τοῦ Βορυσθένεος κατὰ τοῦτο τῆς χώρης ἐς ὃ γινώσκεται ὁ Βορυσθένης· ἀπέσχισται μέν νυν ἐκ τούτου τοῦ χώρου, οὔνομα δὲ ἔχει τὸ περ ὁ χῶρος αὐτός, Γέρρος, ῥέων δὲ ἐς θάλασσαν οὐρίζει τήν τε τῶν νομάδων χώρην καὶ τὴν τῶν βασιληίων Σκυθέων, ἐκδιδοῖ δὲ ἐς τὸν Ὑπάκυριν.—57. ὄγδοος δὲ δὴ Τάναϊς ποταμός, ὃς ῥέει τανέκαθεν ἐκ λίμνης μεγάλης ὁρμώμενος, ἐκδιδοῖ δὲ ἐς μέζω ἔτι λίμνην καλεομένην Μαιῆτιν, ἣ οὐρίζει Σκύθας τε τοὺς βασιληίους καὶ Σαυρομάτας. ἐς δὲ Τάναϊν τοῦτον ἄλλος ποταμὸς ἐσβάλλει τῷ οὔνομα ἐστὶ Ὕργις.

58. Τοῖσι μὲν δὴ ὀνομαστοῖσι ποταμοῖσι οὕτω δή τι οἱ Σκύθαι ἐσκευάδαται, τοῖσι δὲ κτήνεσι ἡ ποίη ἀναφυομένη ἐν τῇ Σκυθικῇ ἐστὶ ἐπιχολωτάτη πασέων ποιέων τῶν ἡμεῖς ἴδμεν· ἀνοιγομένοισι δὲ τοῖσι κτήνεσι ἔστι σταθμώσασθαι ὅτι τοῦτο οὕτω ἔχει.

ляя вправо Полѣсье и такъ называемый Ахилловъ Бѣгъ.

56. Седьмая рѣка, Герръ, отдѣляется отъ Борисѳена въ томъ мѣстѣ, до котораго извѣстенъ Борисѳенъ; отдѣляется она съ этого мѣста, а названіе имѣетъ одинаковое съ мѣстностью — Герръ; на пути къ морю она служитъ границею между землями кочевниковъ и царскихъ Скиѳовъ, а впадаетъ въ Ипакирь.

57. Восьмая рѣка — Танандъ, который течетъ сверху, получая начало изъ большаго озера, и впадаетъ въ бо́льшее еще озеро, называемое Меотидою, которое отдѣляетъ Скиѳовъ царскихъ отъ Савроматовъ. Въ этотъ Танандъ впадаетъ другая рѣка, именуемая Иргисъ.

58. Таковы значительныя рѣки, которыя протекаютъ въ Скиѳіи. Трава, растущая въ Скиѳіи, способствуетъ развитію желчи у скота больше всѣхъ травъ, намъ извѣстныхъ; вскрывая *трупы* животныхъ, можно удостовѣриться, что это такъ.

7. Обычаи Скиѳовъ.

(Гл. 59—75).

59. Τὰ μὲν δὴ μέγιστα οὕτω σφι εὔπορά ἐστι, τὰ δὲ λοιπὰ νόμαια κατὰ τάδε σφι διακέεται. Θεοὺς μὲν μούνους τούσδε ἱλάσκονται, Ἱστίην μὲν μάλιστα, ἐπὶ δὲ Δία τε καὶ Γῆν, νομίζοντες τὴν Γῆν τοῦ Διὸς εἶναι γυναῖκα, μετὰ δὲ τούτους Ἀπόλλωνά τε καὶ οὐρανίην Ἀφροδίτην καὶ Ἡρακλέα καὶ Ἄρεα. τούτους μὲν πάντες Σκύθαι νενομίκασι, οἱ δὲ καλεόμενοι βασιλήιοι Σκύθαι καὶ τῷ Ποσειδέωνι θύουσι. ὀνομάζεται δὲ Σκυθιστὶ Ἱστίη μὲν Ταβιτί, Ζεὺς δὲ ὀρθότατα κατὰ γνώμην γε τὴν ἐμὴν καλέομενος Παπαῖος, Γῆ δὲ Ἀπί, Ἀπόλλων δὲ Γοιτόσυρος, οὐρανίη δὲ Ἀφροδίτη Ἀργίμπασα, Ποσειδέων δὲ Θαγιμασάδας. ἀγάλματα δὲ καὶ βωμοὺς καὶ νηοὺς οὐ νομίζουσι ποιέειν πλὴν Ἄρεϊ τούτῳ δὲ νομίζουσι.

59. Такимъ образомъ *все* важнѣйшее *для жизни* имѣется у Скиѳовъ въ изобиліи; обычаи же у нихъ слѣдующіе. Они чтутъ только слѣдующихъ боговъ: выше всѣхъ Естію, затѣмъ Зевса и Землю, признавая послѣднюю супругою Зевса, далѣе Аполлона, Небесную Афродиту, Иракла и Арея. Эти божества чтутъ всѣ Скиѳы, а такъ называемые Скиѳы царскіе приносятъ жертвы *еще* и Посидону. Естія по скиѳски называется Тавити, Зевсъ — Папай, по моему мнѣнію совершенно правильно, Земля — Апи, Аполлонъ — Гитоспиръ, Афродита Небесная — Аргимпаса, Посидонъ — Оагамадъ. *Скиѳы* не имѣютъ обыкновенія ставить кумиры, алтари и храмы *ни одному божеству* кромѣ Арея; сооруженія же въ честь послѣдняго у нихъ въ обычаѣ.

60. Θυσίη δὲ ἡ αὐτὴ πᾶσι κατέστηκε περὶ πάντα τὰ ἱρὰ ὁμοίως, ἑρδομένη ὧδε· τὸ μὲν

60. Способъ жертвоприношенія всѣмъ божествамъ у всѣхъ *Скиѳовъ* одинъ и тотъ

7, v. 13: «ἀνία *ABC* || Γοιτόσυρος Hesychius; οἰτόσυρος *L*, Γογγόσυρος Celsus apud Origen. c. Cels. VI 39 || v. 14: ἀργίμπασα *PR*. Celsus: ἀρίππασα *ABC*, Ἀρτιμήασα Hesychius || v. 15: Θαγιμασάδας St.: θαγιμασάδα et θατιμασάδα Origenis codd., θαμιμασάδας *ABC*, θαγιμασά PR.» St.

Digitized by Google

ἱρήιον αὐτὸ ἐμπεποδισμένον τοὺς ἐμπροσθίους πόδας ἕστηκε, ὁ δὲ θύων ὄπισθε τοῦ κτήνεος ἑστεὼς σπάσας τὴν ἀρχὴν τοῦ στρόφου καταβάλλει μιν, πίπτοντος δὲ τοῦ ἱρηίου ἐπικαλέει τὸν θεὸν τῷ ἂν θύῃ, καὶ ἔπειτα βρόχῳ περὶ ὧν ἔβαλε τὸν αὐχένα, σκυταλίδα δὲ ἐμβαλὼν περιάγει καὶ ἀποπνίγει, οὔτε πῦρ ἀνακαύσας οὔτε καταρξάμενος οὔτ' ἐπισπείσας· ἀποπνίξας δὲ καὶ ἀποδείρας τράπεται πρὸς ἕψησιν.—61. τῆς δὲ γῆς τῆς Σκυθικῆς αἰνῶς ἀξύλου ἐούσης ὧδέ σφι ἐς τὴν ἕψησιν τῶν κρεῶν ἐξεύρηται· ἐπεὰν ἀποδείρωσι τὰ ἱρήια, γυμνοῦσι τὰ ὀστέα τῶν κρεῶν, ἔπειτα ἐσβάλλουσι, ἢν μὲν τύχωσι ἔχοντες, ἐς λέβητας ἐπιχωρίους, μάλιστα Λεσβίοισι κρητῆρσι προσεικέλους, χωρὶς ἢ ὅτι πολλῷ μέζονας· ἐς τούτους ἐσβάλλοντες ἕψουσι ὑποκαίοντες τὰ ὀστέα τῶν ἱρηίων· ἢν δὲ μή σφι παρῇ λέβης, οἱ δὲ ἐς τὰς γαστέρας τῶν ἱρηίων ἐσβάλλοντες τὰ κρέα πάντα καὶ παραμίξαντες ὕδωρ ὑποκαίουσι τὰ ὀστέα. τὰ δὲ αἴθεται κάλλιστα, αἱ δὲ γαστέρες χωρέουσι εὐπετέως τὰ κρέα ἐψιλωμένα τῶν ὀστέων· καὶ οὕτω βοῦς τε ἑωυτὸν ἐξέψει καὶ τἆλλα ἱρήια ἑωυτὸ ἕκαστον. ἐπεὰν δὲ ἑψηθῇ τὰ κρέα, ὁ θύσας τῶν κρεῶν καὶ τῶν σπλάγχνων ἀπαρξάμενος ῥίπτει ἐς τὸ ἔμπροσθε. θύουσι δὲ καὶ τὰ ἄλλα πρόβατα καὶ ἵππους μάλιστα.

же и состоитъ въ слѣдующемъ: жертвенное животное ставится съ связанными передними ногами, а приносящій жертву, стоя позади животнаго, тянетъ за конецъ веревки и опрокидываетъ его на землю; въ то время какъ животное падаетъ, онъ взываетъ къ тому божеству, которому приноситъ жертву, затѣмъ накидываетъ петлю на шею животнаго, поворачиваетъ палку, вдѣтую *въ петлю*, и удавливаетъ *животное*, не зажегши огня и не совершивъ посвященій и возліянія; удавивъ *животное* и снявъ *съ него* шкуру, *жертвоприноситель* приступаетъ къ варенію мяса.

61. Такъ какъ скиѳская земля очень бѣдна лѣсомъ, то *Скивами* придуманъ слѣдующій способъ варенія мяса: содравъ съ животнаго кожу, очищаютъ кости отъ мяса, затѣмъ кладутъ его въ котлы туземенаго издѣлія, если *таковые* случится имѣть; *эти котлы* болѣе всего походятъ на Лесвійскія чашн, только гораздо больше ихъ; вложивъ мясо въ эти *котлы*, зажигаютъ кости животныхъ и *на нихъ* варятъ *мясо;* если котла не окажется, то вкладываютъ все мясо въ желудки животныхъ, подливаютъ воды и зажигаютъ кости; онѣ горятъ отлично, а очищенное отъ костей мясо легко умѣщается въ желудкѣ. Такимъ образомъ быкъ самъ себя варитъ, а равно и *всѣ* другія жертвенныя животныя. Когда мясо сварится, то жертвоприноситель, посвятивъ *божеству* самые лучшіе куски мяса и внутренностей, бросаетъ ихъ впередъ. Въ жертву приносится всякій скотъ, а особенно лошади.

62. Τοῖσι μὲν δὴ ἄλλοισι τῶν θεῶν οὕτω θύουσι καὶ ταῦτα τῶν κτηνέων, τῷ δὲ Ἄρεϊ ὧδε· κατὰ νομοὺς ἑκάστους τῶν ἀρχέων ἐσίδρυταί σφι Ἄρεος ἱρὸν τοιόνδε· φρυγάνων φάκελοι συννενέαται ὅσον τ' ἐπὶ σταδίου τρεῖς μῆκος καὶ εὖρος, ὕψος δὲ ἔλασσον. ἄνω δὲ τούτου τετράγωνον ἄπεδον πεποίηται, καὶ τὰ μὲν τρία τῶν κώλων ἐστὶ ἀπότομα, κατὰ δὲ τὸ ἓν ἐπιβατόν. ἔτεος δὲ ἑκάστου ἁμάξας πεντήκοντα καὶ ἑκατὸν ἐπινέουσι φρυγάνων· ὑπονοστέει γὰρ δὴ αἰεὶ ὑπὸ τῶν χειμώνων. ἐπὶ τούτου δὴ τοῦ ὄγκου ἀκινάκης σιδήρεος ἵδρυται ἀρχαῖος ἑκάστοισι, καὶ τοῦτ' ἐστὶ τοῦ Ἄρεος τὸ ἄγαλμα. τούτῳ δὲ τῷ ἀκινάκῃ θυσίας ἐπετείους προσάγουσι προβάτων καὶ ἵππων, καὶ

62. Такимъ именно образомъ и такихъ животныхъ Скиѳы приносятъ другимъ богамъ, а *жертвоприношенія* Арею *совершаютъ* они слѣдующимъ образомъ: въ каждой области по околоткамъ построены у нихъ слѣдующія святилища Арея: связки хвороста накладываются одна на другую на пространствѣ 3-хъ стадій въ длину и шприну, а въ вышину нѣсколько меньше; на верху устраивается четыреугольная площадка; три стороны *кургана* дѣлаются отвѣсными, а съ одной есть доступъ. Ежегодно привозятъ полтораста возовъ хвороста, потому что отъ непогоды *это сооруженіе* постоянно осѣдаетъ. На каждомъ такомъ курганѣ водруженъ старинный желѣзный

V. 39: «ἑκάστους St.: ἑκάστοισι || ἀρχέων St.: ἀρχείων *AB*, ἀρχαίων *PR*, ἀρχηίων *C*.» St.

Digitized by Google

δὴ καὶ τοῖσιδ' ἔτι πλέω θύουσι ἢ τοῖσι ἄλλοισι θεοῖσι· ὅσους ἂν τῶν πολεμίων ζωγρήσωσι, ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν ἄνδρα ἕνα θύουσι τρόπῳ οὐ τῷ αὐτῷ καὶ τὰ πρόβατα, ἀλλ' ἑτεροίῳ. ἐπεὰν γὰρ οἶνον ἐπισπείσωσι κατὰ τῶν κεφαλέων, ἀποσφάζουσι τοὺς ἀνθρώπους ἐς ἄγγος καὶ ἔπειτα ἀνενείκαντες ἄνω ἐπὶ τὸν ὄγκον τῶν φρυγάνων καταχέουσι τὸ αἷμα τοῦ ἀκινάκεω. ἄνω μὲν δὴ φορέουσι τοῦτο, κάτω δὲ παρὰ τὸ ἱρὸν ποιεῦσι τάδε· τῶν ἀποσφαγέντων ἀνδρῶν τοὺς δεξιοὺς ὤμους πάντας ἀποταμόντες σὺν τῇσι χερσὶ ἐς τὸν ἠέρα ἰεῖσι, καὶ ἔπειτα καὶ τὰ ἄλλα ἀπέρξαντες ἰρήια ἀπαλλάσσονται· χεὶρ δὲ τῇ ἂν πέσῃ κέεται, καὶ χωρὶς ὁ νεκρός.

63. Θυσίαι μέν νυν αὐταί σφι κατεστᾶσι. ὑσὶ δὲ οὐτοι οὐδὲν νομίζουσι, οὐδὲ τρέφειν ἐν τῇ χώρῃ τὸ παράπαν θέλουσι.

64. Τὰ δ' ἐς πόλεμον ἔχοντα ὧδέ σφι διακέαται· ἐπεὰν τὸν πρῶτον ἄνδρα καταβάλῃ ἀνὴρ Σκύθης, τοῦ αἵματος ἐμπίνει, ὅσους δ' ἂν φονεύσῃ ἐν τῇ μάχῃ, τούτων τὰς κεφαλὰς ἀποφέρει τῷ βασιλέι. ἀπενείκας μὲν γὰρ κεφαλὴν τῆς λητης μεταλαμβάνει τὴν ἂν λάβωσι, μὴ ἐνείκας δὲ οὔ. ἀποδείρει δὲ αὐτὴν τρόπῳ τοιῷδε· περιταμὼν κύκλῳ περὶ τὰ ὦτα καὶ λαβόμενος τῆς κεφαλῆς ἐκσείει, μετὰ δὲ σαρκίσας βοὸς πλευρῇ δέψει τῇσι χερσί, ὀργάσας δὲ αὐτὸ ἅτε χειρόμακτρον ἕκτηται, ἐκ δὲ τῶν χαλινῶν τοῦ ἵππου τὸν αὐτὸς ἐλαύνει, ἐκ τούτου ἐξάπτει καὶ ἀγάλλεται· ὃς γὰρ ἂν πλεῖστα δέρματα χειρόμακτρα ἔχῃ, ἀνὴρ ἄριστος οὗτος κέκριται. πολλοὶ δὲ αὐτῶν ἐκ τῶν ἀποδαρμάτων καὶ χλαίνας ἐπείνυσθαι ποιεῦσι, συρράπτοντες κατά περ βαίτας. πολλοὶ δὲ ἀνδρῶν ἐχθρῶν τὰς δεξιὰς χεῖρας νεκρῶν ἐόντων ἀποδείραντες αὐτοῖσι ὄνυξι καλύπτρας τῶν φαρετρέων ποιεῦνται. δέρμα δὲ ἀνθρώπου καὶ παχὺ καὶ λαμπρὸν ἥν ἄρα, σχεδὸν δερμάτων πάντων λαμπρότατον λευκότητι. πολλοὶ δὲ καὶ ὅλους ἀνδρας ἐκδείραντες καὶ διατείναντες ἐπὶ ξύλων ἐπ' ἵππων περιφέρουσι.—65. ταῦτα μὲν δὴ οὕτω σφι νενόμισται, αὐτὰς δὲ τὰς κεφαλάς, οὔτι πάντων ἀλλὰ τῶν ἐχθίστων, ποιεῦσι τάδε· ἀποπρίσας [ἕκαστος] πᾶν τὸ ἔνερθε τῶν ὀφρύων ἐκκαθαίρει· καὶ ἢν μὲν ᾖ πένης, ὃ δὲ ἔξωθεν

мечъ, и онъ то служитъ кумиромъ Арея. Этому мечу они ежегодно приносятъ въ жертву *рогатый* скотъ и лошадей. Сверхъ такихъ жертвоприношеній, которыя совершаются и прочимъ божествамъ, въ честь Арея они приносятъ еще слѣдующія: изъ числа плѣнныхъ враговъ приносятъ ему каждаго сотаго мужчину, но не тѣмъ же способомъ какъ скотъ, а инымъ: совершивъ возліяніе надъ головами *жертвъ* виномъ, они рѣжутъ ихъ надъ сосудомъ, затѣмъ несутъ кровь на вершину кучи хвороста и обливаютъ ею мечъ; на верхъ они относятъ кровь, а внизу у святилища совершаютъ слѣдующее: отрубивъ у всѣхъ убитыхъ людей правыя плечи съ руками, бросаютъ ихъ въ воздухъ, затѣмъ, совершивъ другія жертвоприношенія, удаляются; каждая рука остается тамъ, гдѣ упадетъ, а туловище *лежитъ* отдѣльно.

63. Таковы у Скиѳовъ жертвоприношенія. Свиней они совсѣмъ не приносятъ въ жертву и даже вовсе не желаютъ разводить ихъ въ своей странѣ.

64. Военные обычаи у нихъ таковы: Скиѳъ пьетъ кровь перваго убитаго имъ врага, а головы всѣхъ убитыхъ имъ въ сраженіи относитъ къ царю, потому что принесшій голову получаетъ долю захваченной добычи, а не принесшій не *получаетъ*. Съ головы онъ сдираетъ кожу слѣдующимъ образомъ: вокругъ головы около ушей дѣлаетъ надрѣзъ, *потомъ* беретъ голову *въ руки* и вытряхиваетъ ее *изъ кожи*, затѣмъ, очистивъ *кожу* отъ мяса при помощи бычачьяго ребра, онъ мнетъ *ее* руками и, выдубивъ ее въ видѣ утиральника, держитъ у себя, привязываетъ къ уздѣ коня, на которомъ самъ ѣздитъ, и гордится этимъ, такъ какъ тотъ, который имѣетъ наибо́льшее количество такихъ кожаныхъ утиральниковъ, считается самымъ доблестнымъ мужемъ. Многіе Скиѳы изъ содранныхъ кожъ дѣлаютъ себѣ для одѣянія плащи, сшивая ихъ какъ козьи шкурки. Многіе также, содравъ кожу вмѣстѣ съ ногтями съ правыхъ рукъ убитыхъ непріятелей, дѣлаютъ покрышки для колчановъ. Человѣческая кожа, дѣйствительно, и толста и блестяща; блестящею бѣлизною она превосходитъ почти всѣ *другія* кожи. *Наконецъ* многіе сдираютъ кожу со всего трупа, напяливаютъ на палки и возятъ съ собою на лошадяхъ.

Digitized by Google

ὠμοβοέην μούνην περιτείνας οὕτω χρᾶται, ἢν δὲ ᾖ πλούσιος, τὴν μὲν ὠμοβοέην περιτείνει, ἔσωθεν δὲ καταχρυσώσας οὕτω χρᾶται ποτηρίῳ. ποιεῦσι δὲ τοῦτο καὶ ἐκ τῶν οἰκηίων, ἢν σφι διάφοροι γένωνται καὶ ἢν ἐπικρατήσῃ αὐτοῦ παρὰ τῷ βασιλέι. ξείνων δέ οἱ ἐλθόντων τῶν ἄν λόγον ποιέηται, τὰς κεφαλὰς ταύτας παραφέρει καὶ ἐπιλέγει ὡς οἱ ἐόντες οἰκήιοι πόλεμον προσεθήκαντο καί σφεων αὐτὸς ἐπεκράτησε, ταύτην ἀνδραγαθίην λέγοντες.

65. Таковы у Скиѳовъ обычаи относительно кожи, а съ головами враговъ, впрочемъ не всѣхъ, а только злѣйшихъ, они обращаются слѣдующимъ образомъ: отпиливъ всю часть черепа до бровей, Скиѳъ очищаетъ его и затѣмъ, если онъ бѣденъ, то только снаружи обтягиваетъ его сырою воловьею кожей и пользуется имъ въ такомъ видѣ, а если богатъ, то обтягиваетъ черепъ кожею, покрываетъ изнутри позолотою и въ такомъ видѣ употребляетъ вмѣсто чаши. Такъ поступаютъ они и съ родственниками, если разсорятся съ ними и если предъ лицемъ царя одинъ одержитъ верхъ надъ другимъ. Когда явятся гости, которымъ Скиѳъ желаетъ оказать вниманіе, то онъ приноситъ такіе черепа и разсказываетъ, что это были его родственники, но вступили съ нимъ въ борьбу и онъ одержалъ надъ ними верхъ. Это разсказывается, какъ геройскій подвигъ.

66. Ἅπαξ δὲ τοῦ ἐνιαυτοῦ ἑκάστου ὁ νομάρχης ἕκαστος ἐν τῷ ἑωυτοῦ νομῷ κιρνᾷ κρητῆρα οἴνου, ἀπ' οὗ πίνουσι τῶν Σκυθέων τοῖσι ἂν ἄνδρες πολέμιοι ἀραιρημένοι ἔωσι· τοῖσι δ' ἂν μὴ κατεργασμένον ᾖ τοῦτο, οὐ γεύονται τοῦ οἴνου τούτου, ἀλλ' ἠτιμωμένοι ἀποκατέαται· ὄνειδος δέ σφι ἐστὶ μέγιστον τοῦτο. ὅσοι δὲ ἂν αὐτῶν καὶ κάρτα πολλοὺς ἄνδρας ἀραιρηκότες ἔωσι, οὗτοι δὲ σύνδυο κύλικας ἔχοντες πίνουσι ὁμοῦ.

66. Ежегодно по разу каждый начальникъ въ своей области приготовляетъ чашу вина, изъ которой пьютъ только тѣ Скиѳы, которые умертвили враговъ; тѣ, которымъ не удалось этого сдѣлать, не вкушаютъ этого вина и, *какъ* обезчещенные, садятся отдѣльно; это для нихъ величайшій позоръ. Напротивъ тѣ изъ нихъ, которымъ удалось убить очень много враговъ, получаютъ по двѣ чаши и пьютъ *изъ обѣихъ* разомъ.

67. Μάντιες δὲ Σκυθέων εἰσὶ πολλοί, οἳ μαντεύονται ῥάβδοισι ἰτείνῃσι πολλῇσι ὧδε· ἐπεὰν φακέλους ῥάβδων μεγάλους ἐνείκωνται, θέντες χαμαὶ διεξειλίσσουσι αὐτούς, καὶ ἐπὶ μίαν ἑκάστην ῥάβδον τιθέντες θεσπίζουσι, ἅμα τε λέγοντες ταῦτα συνειλέουσι τὰς ῥάβδους ὀπίσω καὶ αὖτις κατὰ μίαν συντιθεῖσι. αὕτη μέν σφι ἡ μαντικὴ πατρωίη ἐστί. οἱ δὲ Ἐνάρεες οἱ ἀνδρόγυνοι τὴν Ἀφροδίτην σφίσι λέγουσι μαντικὴν δοῦναι· φιλύρης δ' ὦν φλοιῷ μαντεύονται· ἐπεὰν τὴν φιλύρην τρίχα σχίσῃ, διαπλέκων ἐν τοῖσι δακτύλοισι τοῖσι ἑωυτοῦ καὶ διαλύων χρᾷ.—68. ἐπεὰν δὲ βασιλεὺς ὁ Σκυθέων κάμῃ, μεταπέμπεται τῶν μαντίων ἄνδρας τρεῖς τοὺς εὐδοκιμέοντας μάλιστα, οἳ τρόπῳ τῷ εἰρημένῳ μαντεύονται· καὶ λέγουσι οὗτοι ὡς τὸ ἐπίπαν μάλιστα τάδε, ὡς τὰς

67. У Скиѳовъ есть много гадателей, которые гадаютъ при помощи множества ивовыхъ прутьевъ слѣдующимъ образомъ: принесши большія связки прутьевъ и положивъ ихъ на землю, они раскладываютъ ихъ порознь и затѣмъ, перекладывая прутья по одному, гадаютъ; произнося предсказанія, они вмѣстѣ съ тѣмъ снова собираютъ прутья и раскладываютъ ихъ по одиночкѣ. Таковъ у нихъ исконный способъ гаданія. По словамъ Энареевъ [1]), женоподобныхъ мужчинъ, искусство гаданія даровано имъ Афродитою; они гадаютъ при помощи липовой коры: гадатель разрѣзываетъ ее на 3 полоски, затѣмъ, переплетая ихъ между пальцами и расплетая, произноситъ предсказанія.

68. Въ случаѣ болѣзни царь скиѳскій

1) Ср. о нихъ выше I, 105.

Digitized by Google

βασιληίας ἱστίας ἐπιώρκηκε ὃς καὶ ὅς, λέγοντες τῶν ἀστῶν τὸν ἂν δὴ λέγωσι. τὰς δὲ βασιληίας ἱστίας νόμος Σκύθῃσι τὰ μάλιστά ἐστι ὀμνύναι τότε ἐπεὰν τὸν μέγιστον ὅρκον ἐθέλωσι ὀμνύναι. αὐτίκα δὲ διαλελαμμένος ἄγεται οὗτος τὸν ἂν δὴ φῶσι ἐπιορκῆσαι, ἁπιγμένον δὲ ἐλέγχουσι οἱ μάντιες ὡς ἐπιορκήσας φαίνεται ἐν τῇ μαντικῇ τὰς βασιληίας ἱστίας καὶ διὰ ταῦτα ἀλγέει ὁ βασιλεύς· ὃ δὲ ἀρνέεται, οὐ φάμενος ἐπιορκῆσαι, καὶ δεινολογέεται. ἀρνεομένου δὲ τούτου ὁ βασιλεὺς μεταπέμπεται ἄλλους διπλησίους μάντιας· καὶ ἢν μὲν καὶ οὗτοι ἐσορῶντες ἐς τὴν μαντικὴν καταδήσωσι ἐπιορκῆσαι, τοῦ δὲ ἰθέως τὴν κεφαλὴν ἀποτάμνουσι, καὶ τὰ χρήματα αὐτοῦ διαλαγχάνουσι οἱ πρῶτοι τῶν μαντίων· ἢν δὲ οἱ ἐπελθόντες μάντιες ἀπολύσωσι, ἄλλοι πάρεισι μάντιες καὶ μάλα ἄλλοι. ἢν ὦν οἱ πλεῦνες τὸν ἄνθρωπον ἀπολύσωσι, δέδοκται τοῖσι πρώτοισι τῶν μαντίων αὐτοῖσι ἀπόλλυσθαι.—69. ἀπολλῦσι δῆτα αὐτοὺς τρόπῳ τοιῷδε· ἐπεὰν ἅμαξαν φρυγάνων πλήσωσι καὶ ὑποζεύξωσι βοῦς, ἐμποδίσαντες τοὺς μάντιας καὶ χεῖρας ὀπίσω δήσαντες καὶ στομώσαντες κατεργνῦσι ἐς μέσα τὰ φρύγανα, ὑποπρήσαντες δὲ αὐτὰ ἀπιεῖσι φοβήσαντες τοὺς βοῦς. πολλοὶ μὲν δὴ συγκατακαίονται τοῖσι μάντισι βόες, πολλοὶ δὲ περικεκαυμένοι ἀποφεύγουσι, ἐπεὰν αὐτῶν ὁ ῥυμὸς κατακαυθῇ. κατακαίουσι δὲ τρόπῳ τῷ εἰρημένῳ καὶ δι' ἄλλας αἰτίας τοὺς μάντιας, ψευδομάντιας καλέοντες. τοὺς δ' ἂν ἀποκτείνῃ βασιλεύς, τούτων οὐδὲ τοὺς παῖδας λείπει, ἀλλὰ πάντα τὰ ἔρσενα κτείνει, τὰ δὲ θήλεα οὐκ ἀδικέει.

70. Ὅρκια δὲ ποιεῦνται Σκύθαι ὧδε πρὸς τοὺς ἂν ποιέωνται· ἐς κύλικα μεγάλην κεραμίνην οἶνον ἐγχέαντες αἷμα συμμίσγουσι τῶν τὸ ὅρκιον ταμνομένων, τύψαντες ὑπέατι ἢ ἐπιταμόντες μαχαίρῃ σμικρὸν τοῦ σώματος, καὶ ἔπειτα ἀποβάψαντες ἐς τὴν

приглашаетъ къ себѣ трехъ самыхъ славныхъ гадателей, которые и производятъ гаданіе вышесказаннымъ способомъ; по бо́льшей части они говорятъ при этомъ, что такой-то и такой-то изъ жителей, котораго они называютъ по имени, ложно поклялся божествами царскаго очага; а клясться божествами царскаго очага у Скиѳовъ въ обычаѣ преимущественно тогда, когда они желаютъ дать величайшую клятву. Человѣка, на котораго укажутъ какъ на клятвопреступника, тотчасъ схватываютъ и приводятъ; когда онъ явится, гадатели уличаютъ его въ томъ, что онъ по свидѣтельству гаданія оказывается клятвопреступникомъ предъ божествами царскаго очага и что вслѣдствіе этого болѣетъ царь; обвиняемый отрицаетъ это и съ божбою увѣряетъ, что онъ не преступалъ клятвы. Въ виду несознанія обвиняемаго царь приглашаетъ другихъ гадателей въ двойномъ числѣ; если и эти на основаніи своихъ гаданій обвинятъ его въ клятвопреступленіи, то ему немедленно отрубаютъ голову и первые гадатели по жребію раздѣляютъ между собою его имущество. Если же вторые гадатели оправдаютъ его, то вызываются новые и новые гадатели, и если большинство ихъ оправдываетъ подсудимаго, то первые гадатели сами присуждаются къ смерти.

69. Казнятъ ихъ слѣдующимъ образомъ: наполнивъ телѣгу хворостомъ и запрягши въ нее быковъ, гадателей сковываютъ по ногамъ, а руки связываютъ на спинѣ, рты затыкаютъ и *въ такомъ видѣ* кладутъ ихъ въ средину хвороста, затѣмъ поджигаютъ его, пугаютъ быковъ и гонятъ ихъ. Много быковъ гибнетъ въ пламени вмѣстѣ съ гадателями, а многіе, хотя съ обжогами, успѣваютъ убѣжать, когда сгоритъ дышло. Описаннымъ способомъ сожигаютъ гадателей и за другія провинности, называя ихъ лжепророками. Царь не оставляетъ въ покоѣ и дѣтей тѣхъ гадателей, которыхъ онъ казнитъ: всѣхъ сыновей ихъ онъ также убиваетъ, но дочерей не трогаетъ.

70. Клятвенные договоры съ кѣмъ бы то ни было Скиѳы совершаютъ такъ: въ большую глиняную чашу наливаютъ вина и примѣшиваютъ *къ нему* кровь договаривающихся, сдѣлавъ уколъ шиломъ или небольшой надрѣзъ ножемъ на тѣлѣ, за-

Digitized by Google

κύλικα ἀκινάκην καὶ ὀιστοὺς καὶ σάγαριν καὶ ἀκόντιον· ἐπεὰν δὲ ταῦτα ποιήσωσι, κατεύχονται πολλὰ καὶ ἔπειτα ἀποπίνουσι αὐτοί τε οἱ τὸ ὅρκιον ποιεύμενοι καὶ τῶν ἑπομένων οἱ πλείστου ἄξιοι.

71. Ταφαὶ δὲ τῶν βασιλέων ἐν Γέρροισι εἰσὶ [ἐς ὃ ὁ Βορυσθένης ἐστὶ προσπλωτός]· ἐνθαῦτα, ἐπεάν σφι ἀποθάνῃ ὁ βασιλεύς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγωνον, ἕτοιμον δὲ τοῦτο ποιήσαντες ἀναλαμβάνουσι τὸν νεκρόν, κατακεκηρωμένον μὲν τὸ σῶμα, τὴν δὲ νηδὺν ἀνασχισθεῖσαν καὶ καθαρθεῖσαν, πλέην κυπέρου κεκομμένου καὶ θυμιήματος καὶ σελίνου σπέρματος καὶ ἀνησσου, συνερραμμένην ὀπίσω, καὶ κομίζουσι ἐν ἁμάξῃ ἐς ἄλλο ἔθνος. οἱ δὲ ἂν παραδέξωνται κομισθέντα τὸν νεκρόν, ποιεῦσι τάπερ οἱ βασιλήιοι Σκύθαι· τοῦ ὠτὸς ἀποτάμνονται, τρίχας περικείρονται, βραχίονας περιτάμνονται, μέτωπον καὶ ῥῖνα καταμύσσονται, διὰ τῆς ἀριστερῆς χειρὸς ὀιστοὺς διαβυνέονται. ἐνθεῦτεν δὲ κομίζουσι ἐν τῇ ἁμάξῃ τοῦ βασιλέος τὸν νέκυν ἐς ἄλλο ἔθνος τῶν ἄρχουσι. οἱ δέ σφι ἕπονται ἐς τοὺς πρότερον ἦλθον. ἐπεὰν δὲ πάντας περιέλθωσι τὸν νέκυν κομίζοντες, ἔν τε Γέρροισι ἔσχατα κατοικημένοισι εἰσὶ τῶν ἐθνέων τῶν ἄρχουσι καὶ ἐν τῇσι ταφῇσι. καὶ ἔπειτα, ἐπεὰν θέωσι τὸν νέκυν ἐν τῇσι θήκῃσι ἐπὶ στιβάδος, παραπήξαντες αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ ξύλα ὑπερτείνουσι καὶ ἔπειτα ῥιψὶ καταστεγάζουσι, ἐν δὲ τῇ λοιπῇ εὐρυχωρίῃ τῆς θήκης τῶν παλλακέων τε μίαν ἀποπνίξαντες θάπτουσι καὶ τὸν οἰνοχόον καὶ μάγειρον καὶ ἱπποκόμον καὶ διήκονον καὶ ἀγγελιηφόρον καὶ ἵππους καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχὰς καὶ φιάλας χρυσέας· ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέωνται. ταῦτα δὲ ποιήσαντες χοῦσι πάντες χῶμα μέγα, ἁμιλλώμενοι καὶ προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι.—72. ἐνιαυτοῦ δὲ περιφερομένου αὖτις ποιεῦσι τοιόνδε· λαβόντες τῶν λοιπῶν θεραπόντων τοὺς ἐπιτηδεοτάτους (οἱ δὲ εἰσὶ Σκύθαι ἐγγενέες· οὗτοι γὰρ θεραπεύουσι τοὺς ἂν αὐτὸς ὁ βασιλεὺς κελεύσῃ, ἀργυρώνητοι δὲ οὐκ εἰσί σφι θεράποντες), τούτων ὧν τῶν διηκόνων ἐπεὰν ἀποπνίξωσι πεντήκοντα καὶ ἵππους τοὺς καλλίστους πεντήκοντα, ἐξελόντες αὐτῶν τὴν κοιλίην καὶ καθήραντες ἐμπιπλᾶσι ἀχύρων καὶ συρράπτουσι. ἀψῖδος δὲ ἥμισυ ἐπὶ δύο ξύλα στήσαντες ὕπτιον καὶ τὸ ἕτερον ἥμισυ τῆς ἀψῖδος ἐπ' ἕτερα δύο, καταπήξαντες τρόπῳ τοιούτῳ πολλὰ ταῦτα,

тѣмъ погружаютъ въ чашу мечъ, стрѣлы, сѣкиру и дротикъ. По совершеніи этого *обряда* они долго молятся, а затѣмъ пьютъ *смѣсь* какъ сами договаривающіеся, такъ и достойнѣйшіе изъ присутствующихъ.

71. Царскія гробницы находятся въ Геррахъ, до которыхъ судоходенъ Борисѳенъ. Когда у нихъ умретъ царь, здѣсь выкапываютъ большую четырехугольную яму, изготовивъ ее, намазываютъ трупъ покойнаго воскомъ, разрѣзываютъ животъ, вычищаютъ его, наполняютъ рубленнымъ купероиъ, ладаномъ, сѣменами сельдерея, анисомъ, затѣмъ снова зашиваютъ, берутъ трупъ и на повозкѣ везутъ къ другому племени. Тѣ, къ которымъ привезутъ покойника, дѣлаютъ то же, что и царскіе Скиѳы: отрѣзываютъ себѣ *часть* уха, обстригаютъ кругомъ волосы, надрѣзываютъ руки, разцарапываютъ лобъ и носъ и протыкаютъ стрѣлы сквозь лѣвую руку. Оттуда везутъ на повозкѣ трупъ царя къ другому подвластному имъ племени, при чемъ тѣ, къ которымъ пріѣзжали раньше, слѣдуютъ за ними. Объѣхавъ такимъ образомъ съ трупомъ всѣхъ, они пріѣзжаютъ къ Геррамъ, которые изъ всѣхъ подвластныхъ народовъ живутъ на самой отдаленной окраинѣ и въ землѣ которыхъ находится кладбище. Здѣсь кладутъ трупъ въ могилу на подстилкѣ, по обѣимъ сторонамъ его втыкаютъ копья, на нихъ кладутъ доски и покрываютъ ихъ камышемъ, а въ остальномъ пространствѣ могилы хоронятъ одну изъ наложницъ царя, предварительно задушивъ ее, а также виночерпія, повара, конюха, слугу, вѣстника, лошадей, по отборной штукѣ всякаго другаго *скота* и золотыя чаши (серебро и мѣдь вовсе не употребляется); послѣ всего этого они всѣ *вмѣстѣ* насыпаютъ большой курганъ, всячески стараясь сдѣлать его какъ можно больше.

72. По прошествіи года снова совершаютъ слѣдующее: изъ оставшихся слугъ выбираютъ самыхъ способныхъ (они природные Скиѳы, ибо царю служатъ тѣ, которымъ онъ самъ прикажетъ, а покупныхъ рабовъ у нихъ вовсе нѣтъ) и изъ этихъ слугъ 50 человѣкъ, а также 50 отборнѣйшихъ коней задушаютъ, затѣмъ, вынувъ внутренности и очистивъ животъ, наполняютъ ихъ мякиной и зашиваютъ; потомъ укрѣпляютъ на двухъ столбахъ половину

Digitized by Google

τα τῶν ἵππων κατὰ τὰ μήκεα ξύλα γέα διελάσαντες μέχρι τῶν τραχήλων βιβάζουσι αὐτοὺς ἐπὶ τὰς ἀψῖδας· τῶν αἱ μὲν πρότεραι ἀψῖδες ὑπέχουσι τοὺς ους τῶν ἵππων, αἱ δὲ ὄπισθε παρὰ τοὺς ους τὰς γαστέρας ὑπολαμβάνουσι· σκέ- δὲ ἀμφότερα κατακρέμαται μετέωρα. ινους δὲ καὶ στόμια ἐμβαλόντες ἐς τοὺς ους κατατείνουσι ἐς τὸ πρόσθε αὐτῶν ἔπειτα ἐκ παρασάλων δέουσι. τῶν δὲ δὴ νίσκων τῶν ἀποπεπνιγμένων τῶν πεν- οντα ἕνα ἕκαστον ἀναβιβάζουσι ἐπὶ τὸν ον, ὧδε ἀναβιβάζοντες, ἐπεὰν νεκροῦ στου παρὰ τὴν ἄκανθαν ξύλον ὀρθὸν άσσουσι μέχρι τοῦ τραχήλου· κάτωθεν δὲ ρέχει τοῦ ξύλου τούτου τὸ ἐς τόρμον νύουσι τοῦ ἑτέρου ξύλου τοῦ διὰ τοῦ ου. ἐπιστήσαντες δὲ κύκλῳ τὸ σῆμα έας τοιούτους ἀπελαύνουσι.

73. Οὕτω μὲν τοὺς βασιλέας θάπτουσι· ς δὲ ἄλλους Σκύθας, ἐπεὰν ἀποθάνωσι, άγουσι οἱ ἀγχοτάτω προσήκοντες κατὰ ς φίλους ἐν ἁμάξῃσι κειμένους· τῶν δὲ στος ὑποδεκόμενος εὐωχέει τοὺς ἑπομέ-, καὶ τῷ νεκρῷ ἁπάντων παραπλησίως ατίθησι ὅσα τοῖσι ἄλλοισι. ἡμέρας δὲ σεράκοντα οὕτω οἱ ἰδιῶται περιάγονται, τα θάπτονται. θάψαντες δὲ οἱ Σκύθαι αίρονται τρόπῳ τοιῷδε. σμησάμενοι τὰς αλὰς καὶ ἐκπλυνάμενοι ποιεῦσι περὶ τὸ α τάδε· ἐπεὰν ξύλα στήσωσι τρία ἐς ηλα κεκλιμένα, περὶ ταῦτα πίλους εἰρι- ους περιτείνουσι, συμφράξαντες δὲ ὡς μά- τα λίθους ἐκ πυρὸς διαφανέας ἐσβάλ- σι ἐς σκάφην κειμένην ἐν μέσῳ τῶν ξύ- τε καὶ τῶν πίλων.—74. ἔστι δὲ σφι κάν- ις φυομένη ἐν τῇ χώρῃ πλὴν παχύτητος μεγάθεος τῷ λίνῳ ἐμφερεστάτη· ταύτῃ πολλῷ ὑπερφέρει ἡ κάνναβις. αὕτη καὶ τομάτη καὶ σπειρομένη φύεται, καὶ ἐξ τῆς Θρῆικες μὲν καὶ εἵματα ποιεῦνται σι λινέοισι ὁμοιότατα· οὐδ' ἄν, ὅστις μὴ τα τρίβων εἴη αὐτῆς, διαγνοίη λίνου αννάβιος ἐστί· ὃς δὲ μὴ εἰδέ κω τὴν ναβίδα, λίνεον δοκήσει εἶναι τὸ εἶμα.— ταύτης ὦν οἱ Σκύθαι τῆς καννάβιος τὸ ῥμα ἐπεὰν λάβωσι, ὑποδύνουσι ὑπὸ τοὺς ους, καὶ ἔπειτα ἐπιβάλλουσι τὸ σπέρμα τοὺς διαφανέας λίθους τῷ πυρί· τὸ δὲ ται ἐπιβαλλόμενον καὶ ἀτμίδα παρέ- ται τοσαύτην ὥστε Ἑλληνικὴ οὐδεμία

колеса ободомъ внизъ, а другую половину на двухъ другихъ столбахъ; сколотивъ такимъ образомъ много такихъ *станковъ*, протыкаютъ сквозь лошадей, во всю длину ихъ до самой шеи, толстые колья и поднимаютъ лошадей на эти колеса такъ, что передними полукружіями поддерживаются плечи лошадей, задними — животы у бедеръ, а обѣ пары ногъ свѣшиваются внизъ, недоставая до земли; затѣмъ накидываютъ на лошадей уздечки съ удилами, протягиваютъ ихъ впередъ и привязываютъ къ колышкамъ. Наконецъ каждаго изъ 50 удавленныхъ юношей сажаютъ на лошадь слѣдующимъ образомъ: въ трупъ каждаго протыкаютъ вдоль позвоночнаго столба прямой колъ до самой шеи; выдающійся внизъ конецъ этого кола втыкаютъ въ дыру, *просверленную* въ другомъ колѣ, *проткнутомъ* сквозь трупъ лошади. Разставивъ вокругъ могилы такихъ всадниковъ, *Скивы* расходятся.

73. Такъ хоронятъ Скивы своихъ царей; въ случаѣ же смерти одного изъ прочихъ Скивовъ ближайшіе родственники обвозятъ покойника на повозкѣ по всѣмъ его друзьямъ; каждый изъ нихъ устраиваетъ угощеніе провожатымъ, при чемъ и покойнику предлагаетъ часть всѣхъ *яствъ*, которыя *предлагаетъ* другимъ. Частныхъ лицъ возятъ такимъ образомъ сорокъ дней, а затѣмъ хоронятъ. Послѣ похоронъ Скивы очищаютъ себя слѣдующимъ образомъ: сначала умащаютъ и обмываютъ голову, а потомъ для очищенія тѣла устраиваютъ слѣдующее: поставивъ три шеста, наклоненные однимъ къ другому, натягиваютъ на нихъ шерстяной войлокъ и, стянувъ его какъ можно плотнѣе, бросаютъ раскаленные до-красна камни въ сосудъ, поставленный между этими обтянутыми войлокомъ шестами.

74. Въ ихъ землѣ растетъ конопля, весьма похожая на ленъ, кромѣ вышины и толщины: въ этомъ отношеніи конопля значительно превосходитъ *ленъ;* она растетъ и въ дикомъ состояніи и засѣвается. Ѳракійцы дѣлаютъ изъ нея одежды, весьма похожія на льняныя, такъ что даже человѣкъ, не особенно хорошо ее знающій, не въ состояніи различить, *сдѣлано ли платье* изъ льна, или изъ конопли; а кто не видѣлъ пеньковой матеріи, тотъ приметъ пеньковое платье за льняное.

Digitized by Google

ἄν μιν πυρίη ἀποκρατήσειε. οἱ δὲ Σκύθαι ἀγάμενοι τῇ πυρίῃ ὠρύονται. τοῦτό σφι ἀντὶ λουτροῦ ἐστι· οὐ γὰρ δὴ λούονται ὕδατι τὸ παράπαν τὸ σῶμα. αἱ δὲ γυναῖκες αὐτῶν ὕδωρ παραχέουσαι κατασώχουσι περὶ λίθον τρηχὺν τῆς κυπαρίσσου καὶ κέδρου καὶ λιβάνου ξύλου, καὶ ἔπειτα τὸ κατασωχόμενον τοῦτο παχὺ ἐὸν καταπλάσσονται πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον· καὶ ἅμα μὲν εὐωδίη σφέας ἀπὸ τούτου ἴσχει, ἅμα δὲ ἀπαιρέουσαι τῇ δευτέρῃ ἡμέρῃ τὴν καταπλαστὺν γίνονται καθαραὶ καὶ λαμπραί.

75. Скиѳы берутъ сѣмена этой конопли, входятъ подъ войлоки и бросаютъ сѣмена на раскаленные камни. Отъ брошенныхъ сѣмянъ поднимается такой дымъ и паръ, что никакая греческая паровая баня не превзойдетъ этой *скиѳской*. Скиѳы восхищаются *такой* баней и воютъ отъ удовольствія; это замѣняетъ имъ омовеніе, такъ какъ они вовсе не обмываютъ себѣ тѣла водою. Женщины ихъ трутъ о шероховатый камень кипарисовое, кедровое и ливанное дерево, подливая къ нимъ воды, и получаемой при этомъ густой массой вымазываютъ себѣ все тѣло и лицо; это придаетъ тѣлу пріятный запахъ, а когда на другой день снимутъ мазь, то тѣло оказывается чистымъ и глянцевитымъ.

8. Анахарсисъ и Скилъ.

(Гл. 76—80).

76. Ξεινικοῖσι δὲ νομαίοισι καὶ οὗτοι φεύγουσι αἰνῶς χρᾶσθαι, μήτε τεῶν ἄλλων, Ἑλληνικοῖσι δὲ καὶ ἥκιστα, ὡς διέδεξαν Ἀνάχαρσίς τε καὶ δεύτερα αὖτις Σκύλης. τοῦτο μὲν γὰρ Ἀνάχαρσις ἐπείτε γῆν πολλὴν θεωρήσας καὶ ἀποδεξάμενος κατ' αὐτὴν σοφίην πολλὴν ἐκομίζετο ἐς ἤθεα τὰ Σκυθέων, πλέων δι' Ἑλλησπόντου προσίσχει ἐς Κύζικον· καὶ εὗρε γὰρ τῇ Μητρὶ τῶν θεῶν ἀνάγοντας τοὺς Κυζικηνοὺς ὀρτὴν μεγαλοπρεπέως κάρτα, εὔξατο τῇ Μητρὶ ὁ Ἀνάχαρσις, ἢν σῶς καὶ ὑγιὴς ἀπονοστήσῃ ἐς ἑωυτοῦ, θύσειν τε κατὰ ταὐτὰ κατὰ ὥρα τοὺς Κυζικηνοὺς ποιεῦντάς καὶ παννυχίδα στήσειν. ὡς δὲ ἀπίκετο ἐς τὴν Σκυθικήν, καταδὺς ἐς τὴν καλεομένην Ὑλαίην (ἡ δ' ἔστι μὲν παρὰ τὸν Ἀχιλλήιον δρόμον, τυγχάνει δὲ πᾶσα ἐοῦσα δενδρέων παντοίων πλέη), ἐς ταύτην δὴ καταδὺς ὁ Ἀνάχαρσις τὴν ὀρτὴν ἐπετέλεε πᾶσαν τῇ θεῷ, τύμπανόν τε ἔχων καὶ ἐκδησάμενος ἀγάλματα. καί τῶν τις Σκυθέων καταφρασθεὶς αὐτὸν ταῦτα ποιεῦντα ἐσήμηνε τῷ βασιλέι Σαυλίῳ· ὁ δὲ καὶ αὐτὸς ἀπικόμενος ὡς εἶδε τὸν Ἀνάχαρσιν ποιεῦντα ταῦτα, τοξεύσας αὐτὸν ἀπέκτεινε. καὶ νῦν ἢν τις εἴρηται περὶ Ἀναχάρσιος, οὐ φασί μιν Σκύθαι γινώσκειν, διὰ τοῦτο ὅτι ἐξεδήμησέ τε ἐς τὴν Ἑλλάδα καὶ ξεινικοῖσι ἔθεσι διεχρήσατο. ὡς δ' ἐγὼ ἤκουσα Τύμνεω τοῦ Ἀριαπείθεος ἐπιτρόπου, εἶναι αὐτὸν Ἰδανθύρσου τοῦ Σκυθέων

76. И Скиѳы *(подобно другимъ варварамъ)* избѣгаютъ заимствованія чужеземныхъ обычаевъ, притомъ не только отъ другихъ народовъ, но и въ особенности отъ Еллиновъ. Это доказали Анахарсисъ и затѣмъ Скилъ. Именно Анахарсисъ, обозрѣвъ много странъ и пріобрѣтя въ путешествіи много мудрости, на возвратномъ пути въ родную Скиѳію, проѣзжая чрезъ Геллеспонтъ, присталъ въ Кизикѣ; заставъ Кизикинцевъ совершающими съ большою торжественностью праздникъ въ честь Матери боговъ, онъ далъ обѣтъ Матери, если возвратится на родину здравымъ и невредимымъ, совершить ей жертвоприношеніе такимъ же образомъ, какой онъ видѣлъ у Кизикинцевъ, и установить всенощное *празднество*. По возвращеніи въ Скиѳію онъ отправился въ такъ называемое Полѣсье (оно лежитъ у Ахиллова Бѣга и все покрыто разнородными деревьями) и совершилъ въ честь богини полное празднество съ тимпаномъ въ рукахъ и увѣшанный изображеніями *богини*. Кто-то изъ Скиѳовъ, подмѣтивъ дѣйствія Анахарсиса, донесъ *объ этомъ* царю Савлію; послѣдній, прибывъ туда лично и увидѣвъ, что Анахарсисъ совершаетъ это *празднество*, убилъ его стрѣлою изъ лука. И теперь, если спросить объ Анахарсисѣ, Скиѳы говорятъ, что не знаютъ его, и это

Digitized by Google

βασιλέος πάτρων, παῖδα δὲ εἶναι Γνούρου τοῦ Λύκου τοῦ Σπαργαπείθεος. εἰ ὦν ταύτης ἦν τῆς οἰκίης ὁ Ἀνάχαρσις, ἴστω ὑπὸ τοῦ ἀδελφεοῦ ἀποθανών· Ἰδάνθυρσος γὰρ ἦν παῖς Σαυλίου, Σαύλιος δὲ ἦν ὁ ἀποκτείνας Ἀνάχαρσιν.—77. καίτοι τινὰ ἤδη ἤκουσα λόγον ἄλλον ὑπὸ Πελοποννησίων λεγόμενον, ὡς ὑπὸ τοῦ Σκυθέων βασιλέος Ἀνάχαρσις ἀποπεμφθεὶς τῆς Ἑλλάδος μαθητὴς γένοιτο, ὀπίσω τε ἀπονοστήσας φαίη πρὸς τὸν ἀποπέμψαντα Ἕλληνας πάντας ἀσχόλους εἶναι ἐς πᾶσαν σοφίην πλὴν Λακεδαιμονίων, τούτοισι δὲ εἶναι μούνοισι σωφρόνως δοῦναί τε καὶ δέξασθαι λόγον. ἀλλ' οὗτος μὲν ὁ λόγος ἄλλως πέπλασται ὑπ' αὐτῶν Ἑλλήνων, ὁ δ' ὦν ἀνὴρ ὥσπερ πρότερον εἰρέθη διεφθάρη.

потому, что онъ путешествовалъ въ Элладу и принялъ чужеземные обычаи. Я слышалъ отъ Тимна, повѣреннаго Аріапиѳа, что Анахарсисъ былъ дядя по отцу скиѳскаго царя Иданѳирса, сынъ Гнура, внукъ Лика и правнукъ Спаргапиѳа. Если Анахарсисъ дѣйствительно происходилъ изъ этого дома, то онъ погибъ, значитъ, отъ руки родного брата: ибо Иданѳирсъ былъ сынъ Савлія, а Савлій былъ убійцею Анахарсиса.

77. Впрочемъ я слышалъ еще другой разсказъ, сообщаемый Пелопоннисцами, именно, что Анахарсисъ былъ отправленъ въ Элладу скиѳскимъ царемъ и учился тамъ, а по возвращеніи на родину сказалъ пославшему *его царю*, что всѣ Эллины за исключеніемъ Лакедэмонянъ, занимаются всѣми областями знанія, но что только съ Лакедэмонянами можно вести разумныя бесѣды. Но этотъ разсказъ вымышленъ самими Эллинами, а Анахарсисъ *во всякомъ случаѣ* погибъ такъ, какъ разсказано выше.

78. Οὗτος μὲν νυν οὕτω δὴ ἔπρηξε διὰ ξεινικά τε νόμαια καὶ Ἑλληνικὰς ὁμιλίας. πολλοῖσι δὲ κάρτα ἔτεσι ὕστερον Σκύλης ὁ Ἀριαπείθεος ἔπαθε παραπλήσια τούτῳ. Ἀριαπείθεϊ γὰρ τῷ Σκυθέων βασιλέι γίνεται μετ' ἄλλων παίδων Σκύλης· ἐξ Ἰστριηνῆς δὲ γυναικὸς οὗτος γίνεται καὶ οὐδαμῶς ἐγχωρίης· τὸν ἡ μήτηρ αὕτη γλῶσσάν τε Ἑλλάδα καὶ γράμματα ἐδίδαξε. μετὰ δὲ χρόνῳ ὕστερον Ἀριαπείθης μὲν τελευτᾷ δόλῳ ὑπὸ Σπαργαπείθεος τοῦ Ἀγαθύρσων βασιλέος, Σκύλης δὲ τήν τε βασιληίην παρέλαβε καὶ τὴν γυναῖκα τοῦ πατρός, τῇ οὔνομα ἦν Ὀπόιη· ἦν δὲ αὕτη ἡ Ὀπόιη ἀστὴ, ἐξ ἧς ἦν Ὄρικος Ἀριαπείθεϊ παῖς. βασιλεύων δὲ Σκυθέων ὁ Σκύλης διαίτῃ οὐδαμῶς ἠρέσκετο Σκυθικῇ, ἀλλὰ πολλὸν πρὸς τὰ Ἑλληνικὰ μᾶλλον τετραμμένος ἦν ἀπὸ παιδεύσιος τῆς ἐπεπαίδευτο, ἐποιεέ τε τοιοῦτο· εὖτε ἀγάγοι τὴν στρατιὴν τὴν Σκυθέων ἐς τὸ Βορυσθενειτέων ἄστυ (οἱ δὲ Βορυσθενεῖται οὗτοι λέγουσι σφέας αὐτοὺς εἶναι Μιλησίους), ἐς τούτους ὅκως ἔλθοι ὁ Σκύλης, τὴν μὲν στρατιὴν καταλίπεσκε ἐν τῷ προαστείῳ, αὐτὸς δὲ ὅκως ἔλθοι ἐς τὸ τεῖχος καὶ τὰς πύλας ἐγκλήισειε, τὴν στολὴν ἀποθέμενος τὴν Σκυθικὴν λάβεσκε ἂν

78. Такъ погибъ Анахарсисъ за сочувствіе иноземнымъ обычаямъ и за сношенія съ Эллинами. Много лѣтъ спустя подобная же участь постигла Скила, сына Аріапиѳа. У Скиѳскаго царя Аріапиѳа кромѣ другихъ дѣтей былъ сынъ Скилъ; онъ родился отъ жены Истріанки [1]), а не туземки; мать научила его эллинскому языку и грамотѣ. Нѣсколько времени спустя Аріапиѳъ палъ жертвою коварства Спаргапиѳа, царя Агаѳирсовъ, а Скилъ получилъ царскую власть и одну изъ женъ отца, по имени Опію; она была Скиѳянка и отъ нея у Аріапиѳа былъ сынъ Орикъ. Царствуя надъ Скиѳами, Скилъ вовсе не любилъ скиѳскаго образа жизни, такъ какъ вслѣдствіе полученнаго имъ воспитанія питалъ гораздо болѣе склонности къ эллинскимъ обычаямъ, и потому поступалъ слѣдующимъ образомъ: когда ему случалось приходить съ большою свитою Скиѳовъ въ городъ Борисѳенитовъ (а Борисѳениты эти сами себя называютъ Милитянами), онъ оставлялъ свиту въ предградіи [2]), а самъ входилъ въ городъ, приказывалъ запирать ворота, затѣмъ снималъ съ себя скиѳское платье и надѣвалъ эллинское; въ этомъ

1) Т. е. гражданки г. Истра или Истрополя.

2) О значеніи этого слова и вообще объ исторіи Скила см. Латышева Изслѣдованія объ исторіи и государственномъ строѣ г. Ольвіи (Спб. 1887), стр. 41 сл.

Digitized by Google

Ἑλληνίδα ἐσθῆτα, ἔχων δ' ἂν ταύτην ἡγόραζε οὔτε δορυφόρων ἑπομένων οὔτε ἄλλου οὐδενός· τὰς δὲ πύλας ἐφύλασσον, μή τίς μιν Σκυθέων ἴδοι ἔχοντα ταύτην τὴν στολήν· καὶ τά τε ἄλλα ἐχρᾶτο διαίτῃ Ἑλληνικῇ καὶ θεοῖσι ἱρὰ ἐποίεε κατὰ νόμους τοὺς Ἑλλήνων. ὅτε δὲ διατρίψειε μῆνα ἢ πλέον τούτου, ἀπαλλάσσετο ἐνδὺς τὴν Σκυθικὴν στολήν. ταῦτα ποιέεσκε πολλάκις, καὶ οἰκία τε ἐδείματο ἐν Βορυσθένεϊ καὶ γυναῖκα ἔγημε ἐς αὐτὰ ἐπιχωρίην.—79. ἐπείτε δὲ ἔδεέ οἱ κακῶς γενέσθαι, ἐγένετο ἀπὸ προφάσιος τοιῆσδε. ἐπεθύμησε Διονύσῳ Βακχείῳ τελεσθῆναι· μέλλοντι δὲ οἱ ἐς χεῖρας ἄγεσθαι τὴν τελετὴν ἐγένετο φάσμα μέγιστον. ἦν οἱ ἐν Βορυσθενειτέων τῇ πόλι οἰκίης μεγάλης καὶ πολυτελέος περιβολή, τῆς καὶ ὀλίγῳ τι πρότερον τούτων μνήμην εἶχον, τὴν πέριξ λευκοῦ λίθου σφίγγες τε καὶ γρῦπες ἕστασαν· ἐς ταύτην ὁ θεὸς ἐνέσκηψε βέλος. καὶ ἡ μὲν κατεκάη πᾶσα, Σκύλης δὲ οὐδὲν τούτου εἵνεκα ἧσσον ἐπετέλεσε τὴν τελετήν. Σκύθαι δὲ τοῦ βακχεύειν πέρι Ἕλλησι ὀνειδίζουσι· οὐ γὰρ φασὶ οἰκὸς εἶναι θεὸν ἐξευρίσκειν τοῦτον ὅστις μαίνεσθαι ἐνάγει ἀνθρώπους. ἐπείτε δὲ ἐτελέσθη τῷ Βακχείῳ ὁ Σκύλης, διεδρήστευσε τῶν τις Βορυσθενειτέων πρὸς τοὺς Σκύθας λέγων «ἡμῖν γὰρ καταγελᾶτε, ὦ Σκύθαι, ὅτι βακχεύομεν καὶ ἡμέας ὁ θεὸς λαμβάνει· νῦν οὗτος ὁ δαίμων καὶ τὸν ὑμέτερον βασιλέα λελάβηκε, καὶ βακχεύει τε καὶ ὑπὸ τοῦ θεοῦ μαίνεται. εἰ δέ μοι ἀπιστέετε, ἕπεσθε, καὶ ὑμῖν ἐγὼ δέξω». εἵποντο τῶν Σκυθέων οἱ προεστεῶτες, καὶ αὐτοὺς ἀναγαγὼν ὁ Βορυσθενείτης λάθρῃ ἐπὶ πύργον κατεῖσε. ἐπείτε δὲ παρήιε σὺν τῷ θιάσῳ ὁ Σκύλης καὶ εἶδόν μιν βακχεύοντα οἱ Σκύθαι, κάρτα συμφορὴν μεγάλην ἐποιήσαντο, ἐξελθόντες δὲ ἐσήμαινον πάσῃ τῇ στρατιῇ τὰ ἴδοιεν.—80. ὡς δὲ μετὰ ταῦτα ἐξήλαυνε ὁ Σκύλης ἐς ἧθεα τὰ ἑωυτοῦ, οἱ Σκύθαι προστησάμενοι τὸν ἀδελφεὸν αὐτοῦ Ὀκταμασάδην, γεγονότα ἐκ τῆς Τήρεω θυγατρός, ἐπανιστέατο τῷ Σκύλῃ. ὁ δὲ μαθὼν τὸ γινόμενον ἐπ' ἑωυτῷ καὶ τὴν αἰτίην δι' ἣν ἐποιέετο, καταφεύγει ἐς τὴν Θρηίκην. πυθόμενος δὲ ὁ Ὀκταμασάδης ταῦτα ἐστρατεύετο ἐπὶ τὴν Θρηίκην· ἐπείτε δὲ ἐπὶ τῷ Ἴστρῳ ἐγένετο, ἠντιάσαν μιν οἱ Θρη-

платьѣ онъ ходилъ по площади, не сопровождаемый ни тѣлохранителями, ни кѣмъ либо другимъ (а ворота охраняла стража, чтобы кто либо изъ Скиѳовъ не увидѣлъ его въ такой одеждѣ), во всемъ жилъ по еллински и приносилъ жертвы богамъ по еллинскому обычаю. Пробывъ *въ городѣ* мѣсяцъ или болѣе, онъ снова надѣвалъ скиѳское платье и удалялся. Такія посѣщенія повторялись часто; онъ даже выстроилъ себѣ домъ въ Борисѳенѣ и поселилъ въ немъ жену туземку.

79. Такъ какъ ему суждено было несчастливо окончить жизнь, то это произошло по слѣдующему случаю: онъ возымѣлъ сильное желаніе быть посвященнымъ въ таинства Діониса-Вакхія; когда онъ уже готовился къ посвященію, явилось величайшее чудесное знаменіе: въ городѣ Борисѳенитовъ, какъ я упомянулъ немного выше, у него былъ обширный и дорогой домъ, вокругъ котораго стояли бѣломраморные сфинксы и грифы; въ этотъ-то *домъ* божество ударило *огненною* стрѣлою и весь домъ сгорѣлъ. Тѣмъ не менѣе Скилъ совершилъ обрядъ посвященія. Скиѳы осуждаютъ Еллиновъ за ихъ вакхическія празднества, говоря, что не подобаетъ выдумывать такого бога, который приводитъ людей въ изступленіе. Когда Скилъ былъ посвященъ въ таинства Вакхія, одинъ изъ Борисѳенитовъ съ насмѣшкою сказалъ Скиѳамъ: «Вы, Скиѳы, смѣетесь надъ нами, что мы устраиваемъ вакхическія празднества и что въ насъ вселяется богъ, а вотъ теперь этотъ богъ вселился и въ вашего царя: онъ совершаетъ вакханаліи и находится въ изступленіи подъ напоромъ божества; если вы мнѣ не вѣрите, то слѣдуйте *за мною* и я покажу вамъ». Начальники скиѳскіе послѣдовали за Борисѳенитомъ, который тайкомъ возвелъ ихъ на башню и посадилъ тамъ. Когда показался Скилъ съ процессіею и Скиѳы увидѣли его въ вакхическомъ изступленіи, они пришли въ сильное негодованіе и, сойдя *съ башни*, разсказали всему войску видѣнное *ими*.

80. Когда послѣ этого Скилъ возвратился во свояси, Скиѳы взбунтовались противъ него, поставивъ царемъ его брата

V. 27: διεπρήστευσε St.

Digitized by Google

ας μελλόντων δὲ αὐτῶν συνάψειν ἔπεμψε
ιτάλκης παρὰ τὸν Ὀκταμασάδην λέγων
άδε· «Τί δεῖ ἡμέας ἀλλήλων πειρηθῆναι;
ὺ μέν μευ τῆς ἀδελφεῆς παῖς, ἔχεις δὲ
ευ ἀδελφεόν. σὺ δέ μοι ἀπόδος τοῦτον,
αὶ ἐγὼ σοὶ τὸν σὸν Σκύλην παραδίδωμι·
πρατῇ δὲ μήτε σὺ κινδυνεύσῃς μήτ' ἐγώ».
ταῦτά οἱ πέμψας ὁ Σιτάλκης ἐπεκηρυ-
ατο· ἦν γὰρ παρὰ τῷ Ὀκταμασάδῃ
ἀλφεὸς Σιτάλκεω πεφευγώς. ὁ δὲ Ὀκτα-
ασάδης καταινέει ταῦτα, ἐκδοὺς δὲ τὸν
υτοῦ μήτρωα Σιτάλκῃ ἔλαβε τὸν ἀδελ-
εὸν Σκύλην. καὶ Σιτάλκης μὲν παραλα-
ὼν τὸν ἀδελφεὸν ἀπήγετο, Σκύλεω δὲ
Ὀκταμασάδης αὐτοῦ ταύτῃ ἀπέταμε τὴν
εφαλήν. οὕτω μὲν περιστέλλουσι τὰ σφέ-
ερα νόμαια Σκύθαι, τοῖσι δὲ παρακτωμέ-
ισι ξεινικοὺς νόμους τοιαῦτα ἐπιτίμια
δοῦσι.

Октамасада, сына дочери Тирея [1]). Скилъ, узнавъ о возстаніи противъ него и о причинѣ, вслѣдствіе которой оно произошло, спасается бѣгствомъ во Оракію. Октамасадъ, узнавъ объ этомъ, пошелъ войною на Оракію. Когда онъ приблизился къ Истру, противъ него выступили Оракійцы; предъ самымъ началомъ битвы Ситалкъ послалъ къ Октамасаду *глашатая* съ слѣдующимъ предложеніемъ: «Къ чему намъ испытывать другъ друга? Ты сынъ моей сестры, и въ рукахъ у тебя мой братъ: выдай мнѣ его, а я передамъ тебѣ твоего Скила; а подвергать опасности войска не слѣдуетъ ни мнѣ, ни тебѣ». Съ такимъ предложеніемъ послалъ глашатая Ситалкъ, такъ какъ у Октамасада *дѣйствительно* скрывался братъ Ситалка, бѣжавшій *отъ него*. Октамасадъ принялъ это предложеніе и, выдавъ Ситалку своего дядю по матери, получилъ брата Скила. Ситалкъ, взявъ брата, удалился, а Октамасадъ тутъ же велѣлъ отрубить голову Скилу. Такъ оберегаютъ Скиѳы свои обычаи и такъ сурово караютъ тѣхъ, которые заимствуютъ чужіе.

9. Численность Скиѳовъ и достопримѣчательности ихъ страны.

(Гл. 81—82).

81. Πλῆθος δὲ τὸ Σκυθέων οὐκ οἷός τε
ενόμην ἀτρεκέως πυθέσθαι, ἀλλὰ διαφόρους
γους περὶ τοῦ ἀριθμοῦ ἤκουον· καὶ γὰρ
ρτα πολλοὺς εἶναι σφέας καὶ ὀλίγους ὡς
ὠθας εἶναι. τοσόνδε μέντοι ἀπέφαινόν μοι
ὧν. ἔστι μεταξὺ Βορυσθένεός τε ποτα-
οῦ καὶ Ὑπάνιος χῶρος, οὔνομα δέ οἱ ἐστὶ
ξαμπαῖος· τοῦ καὶ ὀλίγῳ τι πρότερον τού-
ν μνήμην εἶχον, φάμενος ἐν αὐτῷ κρή-
ν ὕδατος πικροῦ εἶναι, ἀπ' ἧς τὸ ὕδωρ
ορρέον τὸν Ὑπανιν ἄποτον ποιέειν. ἐν
ύτῳ τῷ χώρῳ κέεται χαλκήιον, μεγάθεϊ
ἐξαπλήσιον τοῦ ἐπὶ στόματι τοῦ Πόν-
κρητῆρος, τὸν Παυσανίης ὁ Κλεομβρό-
ανέθηκε. ὃς δὲ μὴ εἰδέ κω τοῦτον, ὧδε
λώσω· ἑξακοσίους ἀμφορέας εὐπετέως

81. Численности Скиѳовъ мнѣ не удалось узнать въ точности; я слышалъ различныя мнѣнія объ ихъ числѣ: одно — что они очень многочисленны, другое — что собственно Скиѳовъ мало. Однако мнѣ лично показали слѣдующее: между рѣками Борисѳеномъ и Ипанидомъ есть мѣстность, называемая Ексампэй; о ней я упоминалъ уже немного выше [2]), говоря, что въ ней есть источникъ горькой воды, и что вытекающая изъ него вода дѣлаетъ воду Ипанида негодною для питья; въ этой-то мѣстности стоитъ мѣдный сосудъ, по величинѣ вшестеро превосходящій чашу, находящуюся у входа въ Понтъ и посвященную *богамъ* Павсаніемъ, сыномъ Клеомврота [3]);

1) Тирей былъ царь оракійскаго племени Одрисовъ (Ѳукид. II, 29). Его сынъ Ситалкъ, упоминаемый ниже, распространивъ предѣлы своихъ владѣній до самаго Истра и въ началѣ пелопоннисской войны бывъ нѣкоторое время союзникомъ аѳинянъ, умеръ въ 424 г. (Ѳукид. II, 67; IV, 101).

2) IV, 52.

3) Павсаній — извѣстный предводитель спартанцевъ въ битвѣ при Платэяхъ. О посвященной имъ чашѣ ср. Аѳинэя 12 p. 536ᵃ.

Digitized by Google

χωρέει τὸ ἐν Σκύθῃσι χαλκήιον, πάχος δὲ τὸ Σκυθικὸν τοῦτο χαλκήιόν ἐστι δακτύλων ἕξ. τοῦτο ὦν ἔλεγον οἱ ἐπιχώριοι ἀπὸ ἀρδίων γενέσθαι. βουλόμενον γὰρ τὸν σφέτερον βασιλέα, τῷ οὔνομα εἶναι Ἀριάνταν, [τοῦτον] εἰδέναι τὸ πλῆθος τὸ Σκυθέων κελεύειν μιν πάντας Σκύθας ἄρδιν ἕκαστον μίαν [ἀπὸ τοῦ οἰστοῦ] κομίσαι· ὃς δ' ἂν μὴ κομίσῃ, θάνατον ἀπείλεε. κομισθῆναί τε δὴ χρῆμα πολλὸν ἀρδίων καὶ οἱ δόξαι ἐξ αὐτέων μνημόσυνον ποιήσαντι λιπέσθαι· ἐκ τούτων δή μιν τὸ χαλκήιον ποιῆσαι τοῦτο καὶ ἀναθεῖναι ἐς τὸν Ἐξαμπαῖον τοῦτον. ταῦτα δὴ περὶ τοῦ πλήθεος τοῦ Σκυθέων ἤκουον.

82. Θωμάσια δὲ ἡ χώρη αὕτη οὐκ ἔχει, χωρὶς ἢ ὅτι ποταμούς τε πολλῷ μεγίστους καὶ ἀριθμὸν πλείστους. τὸ δὲ ἀποθωμάσαι ἄξιον καὶ πάρεξ τῶν ποταμῶν καὶ τοῦ μεγάθεος τοῦ πεδίου παρέχεται, εἰρήσεται· ἴχνος Ἡρακλέος φαίνουσι ἐν πέτρῃ ἐνεόν, τὸ ἔοικε μὲν βήματι ἀνδρός, ἔστι δὲ τὸ μέγαθος δίπηχυ, παρὰ τὸν Τύρην ποταμόν. τοῦτο μέν νυν τοιοῦτό ἐστί, ἀναβήσομαι δὲ ἐς τὸν κατ' ἀρχὰς ἤια λέξων λόγον.

тѣмъ, кто ея не видалъ, я объясню такъ: мѣдный сосудъ въ Скиѳіи свободно вмѣщаетъ въ себѣ 600 амфоръ, а толщина этого скиѳскаго сосуда — шесть пальцевъ. По словамъ туземцевъ онъ сдѣланъ изъ наконечниковъ стрѣлъ: однажды царь ихъ, по имени Аріантъ, желая узнать численность Скиѳовъ, приказалъ, чтобы каждый Скиѳъ принесъ по одному наконечнику стрѣлы, а кто не принесетъ, *тому* грозилъ смертью. Такимъ образомъ было снесено огромное количество наконечниковъ, и царь рѣшилъ соорудить изъ нихъ памятникъ себѣ: онъ приказалъ отлить изъ нихъ этотъ мѣдный сосудъ и поставилъ его въ Ексампэѣ. Вотъ что слышалъ я о численности Скиѳовъ.

82. Достопримѣчательностей страна эта не имѣетъ, за исключеніемъ развѣ очень большихъ и многочисленныхъ рѣкъ. Упомяну, впрочемъ, объ одной достопримѣчательности кромѣ рѣкъ и обширности равнины: у рѣки Тираса показываютъ отпечатокъ ступни Иракла въ скалѣ; онъ похожъ на слѣдъ человѣка, но въ длину имѣетъ 2 локтя. Таковъ этотъ слѣдъ, а я *теперь* приступлю къ продолженію начатаго разсказа.

10. Походъ Дарія отъ Сусъ до Истра. Описаніе Понта Евксинскаго.

(Гл. 83—98).

83. Παρασκευαζομένου Δαρείου ἐπὶ τοὺς Σκύθας καὶ ἐπιπέμποντος ἀγγέλους ἐπιτάξοντας τοῖσι μὲν πεζὸν στρατόν, τοῖσι δὲ νέας παρέχειν, τοῖσι δὲ ζεύγνυσθαι τὸν Θρηίκιον Βόσπορον, Ἀρτάβανος ὁ Ὑστάσπεος, ἀδελφεὸς ἐὼν Δαρείου, ἐχρήιζε μηδαμῶς αὐτὸν στρατιὴν ἐπὶ Σκύθας ποιέεσθαι, καταλέγων τῶν Σκυθέων τὴν ἀπορίην. ἀλλ' οὐ γὰρ ἔπειθε συμβουλεύων οἱ χρηστά, ὃ μὲν ἐπέπαυτο, ὃ δέ, ἐπειδὴ οἱ τὰ ἅπαντα παρεσκεύαστο, ἐξήλαυνε τὸν στρατὸν ἐκ Σούσων.

83. Когда Дарій готовился *къ походу* на Скиѳовъ и разсылалъ вѣстниковъ съ приказаніемъ однимъ доставить сухопутное войско, другимъ — флотъ, третьимъ — построить мостъ чрезъ Ѳракійскій Воспоръ, братъ его Артаванъ, сынъ Истаспа, настоятельно совѣтовалъ ему вовсе не выступать противъ Скиѳовъ, указывая на ихъ неприступность [1]); но, не убѣдивъ его своими благоразумными совѣтами, Артаванъ оставилъ его въ покоѣ, и Дарій, закончивъ всѣ приготовленія, выступилъ съ войскомъ изъ Сусъ.

[Гл. 84 содержитъ эпизодъ объ Іовазѣ].

V. 6: τοῦτον del. Schäfer. || V. 8: ἀπὸ τοῦ οἰστοῦ secl. St.

1) Объ этомъ совѣтѣ есть слѣдующее упоминаніе въ кн. VII гл. 10, въ рѣчи, влагаемой Иродотомъ въ уста Артавана предъ походомъ Ксеркса на Элладу: «я и отцу твоему, а моему брату Дарію говорилъ не идти походомъ на Скиѳовъ, нигдѣ на землѣ не имѣющихъ городовъ; но онъ, надѣясь покорить Скиѳовъ-кочевниковъ, не послушался меня и, двинувшись въ походъ, потерялъ много храбрыхъ воиновъ и вернулся *ни съ чѣмъ*. Ты же, о царь, собираешься идти на народъ, стоящій гораздо выше Скиѳовъ» и т. д.

Digitized by Google

85. Δαρεῖος δὲ ἐπείτε πορευόμενος ἐκ Σούσων ἀπίκετο τῆς Καλχηδονίης ἐπὶ τὸν Βόσπορον, ἵνα ἔζευκτο ἡ γέφυρα, ἐνθεῦτεν ἐσβὰς ἐς νέα ἔπλεε ἐπὶ τὰς Κυανέας καλευμένας, τὰς πρότερον πλαγκτὰς Ἕλληνες φασὶ εἶναι, ἑζόμενος δὲ ἐπὶ ῥίῳ ἐθηεῖτο τὸν Πόντον, ἐόντα ἀξιοθέητον. πελαγέων γὰρ ἁπάντων πέφυκε θωμασιώτατος· τοῦ τὸ μὲν μῆκος στάδιοι εἰσὶ ἑκατὸν καὶ χίλιοι καὶ μύριοι, τὸ δὲ εὖρος, τῇ εὐρύτατος αὐτὸς ἑωυτοῦ, στάδιοι τριηκόσιοι καὶ τρισχίλιοι. τούτου τοῦ πελάγεος τὸ στόμα ἐστὶ εὖρος τέσσερες στάδιοι· μῆκος δὲ τοῦ στόματος, ὁ αὐχήν, τὸ δὴ Βόσπορος κέκληται, κατ' ὃ δὴ ἔζευκτο ἡ γέφυρα, ἐπὶ σταδίους εἴκοσι καὶ ἑκατόν ἐστι. τείνει δ' ἐς τὴν Προποντίδα ὁ Βόσπορος· ἡ δὲ Προποντίς, ἐοῦσα εὖρος μὲν σταδίων πεντακοσίων, μῆκος δὲ τετρακοσίων καὶ χιλίων, καταδιδοῖ ἐς τὸν Ἑλλήσποντον, ἐόντα στεινότητα μὲν ἑπτὰ σταδίους, μῆκος δὲ τετρακοσίους. ἐκδιδοῖ δὲ ὁ Ἑλλήσποντος ἐς χάσμα πελάγεος τὸ δὴ Αἰγαῖον καλέεται. μεμέτρηται δὲ ταῦτα ὧδε. — 86. νηῒ ἐπίπαν μάλιστά κῃ κατανύει ἐν μακρημερίῃ ὀργυιὰς ἑπτακισμυρίας, νυκτὸς δὲ ἑξακισμυρίας. ἤδη ὧν ἐς μὲν Φᾶσιν ἀπὸ τοῦ στόματος (τοῦτο γὰρ ἐστὶ τοῦ Πόντου μακρότατον) ἡμερέων ἐννέα πλόος ἐστὶ καὶ νυκτῶν ὀκτώ· αὗται ἕνδεκα μυριάδες καὶ ἑκατὸν ὀργυιέων γίνονται, ἐκ δὲ τῶν ὀργυιέων τουτέων στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοι εἰσί. ἐς δὲ Θεμισκύρην τὴν ἐπὶ Θερμώδοντι ποταμῷ ἐκ τῆς Σινδικῆς (κατὰ τοῦτο γὰρ ἐστὶ τοῦ Πόντου εὐρύτατον) τριῶν τε ἡμερέων καὶ δύο νυκτῶν πλόος· αὗται δὲ τρεῖς μυριάδες καὶ τριήκοντα ὀργυιέων γίνονται, στάδιοι δὲ τριηκόσιοι καὶ τρισχίλιοι. ὁ μέν νυν Πόντος οὗτος καὶ Βόσπορός τε καὶ Ἑλλήσποντος οὕτω τέ μοι μεμετρέαται καὶ κατὰ τὰ εἰρημένα πεφύκασι, παρέχεται δὲ καὶ λίμνην ὁ Πόντος οὗτος ἐκδιδοῦσαν ἐς αὐτὸν οὐ πολλῷ τεῳ ἐλάσσω ἑωυτοῦ, ἣ Μαιῆτίς τε καλέεται καὶ μήτηρ τοῦ Πόντου.

87. Ὁ δὲ Δαρεῖος ὡς ἐθηήσατο τὸν Πόντον, ἔπλεε ὀπίσω ἐπὶ τὴν γέφυραν, τῆς ἀρχιτέκτων ἐγένετο Μανδροκλέης Σάμιος· θεησάμενος δὲ καὶ τὸν Βόσπορον στήλας ἔστησε δύο ἐπ' αὐτοῦ λίθου λευκοῦ, ἐνταμὼν γράμματα ἐς μὲν τὴν Ἀσσύρια, ἐς δὲ τὴν Ἑλληνικά, ἔθνεα πάντα ὅσα περ ἦγε·

85. Выступивъ изъ Сусъ, Дарій прибылъ къ Воспору въ области города Халкидона, гдѣ былъ наведенъ мостъ; тамъ онъ сѣлъ на корабль и отплылъ къ такъ называемымъ Кіанеямъ, которыя по словамъ Эллиновъ прежде были блуждающими скалами; сѣвъ на мысѣ, онъ сталъ обозрѣвать Понтъ, которымъ *дѣйствительно* можно было залюбоваться. Ибо изъ всѣхъ морей Понтъ Евксинскій самое замѣчательное: въ длину оно имѣетъ 11100 стадій, а въ ширину, въ самомъ широкомъ мѣстѣ, 3300 стадій; устье этого моря имѣетъ въ ширину 4 стадіи, а длина устья, или пролива, который *именно* и называется Воспоромъ и чрезъ который былъ наведенъ мостъ, простирается до 120 стадій. Воспоръ тянется до Пропонтиды; а Пропонтида, имѣя въ ширину 500 стадій, а въ длину 1400, впадаетъ въ Геллеспонтъ, который въ ширину [собств. узкость] имѣетъ 7 стадій, а въ длину 400. Геллеспонтъ изливается въ широкое пространство моря, которое называется Эгейскимъ.

86. Измѣрено это слѣдующимъ образомъ: корабль въ длинный день обыкновенно проходитъ не болѣе 70,000 оргій, а въ ночь 60,000; между тѣмъ отъ устья Понта до Фасида (это наибольшая длина Понта) 9 дней и 8 ночей плаванія; это составляетъ 1,110,000 оргій, а изъ этого *числа* оргій выходитъ 11,100 стадій. До Ѳемискиры на рѣкѣ Ѳермодонтѣ отъ Синдики (здѣсь наибольшая ширина Понта) 3 дня и 2 ночи плаванія, а это составляетъ 330,000 оргій или 3300 стадій. Такимъ-то образомъ измѣрены мною этотъ Понтъ, Воспоръ и Геллеспонтъ и имѣютъ вышеописанный видъ. Понтъ образуетъ также озеро, изливающееся въ него и лишь немногимъ меньшее его самого; оно называется Меотидою и матерью Понта.

87. Обозрѣвши Понтъ, Дарій отплылъ назадъ къ мосту, строителемъ котораго былъ саміецъ Мандроклъ. Обозрѣвъ и Воспоръ, онъ приказалъ поставить на *берегу* его два столпа изъ бѣлаго мрамора и вырѣзать на одномъ изъ нихъ ассирійскими, а на другомъ эллинскими письме-

V. 6: ἱρῶι *PR*, τῶι ἱρῶι B.

Digitized by Google

ἦγε δὲ πάντα τῶν ἦρχε. τούτων μυριάδες ἐξηριθμήθησαν, χωρὶς τοῦ ναυτικοῦ, ἑβδομήκοντα σὺν ἱππεῦσι, νέες δὲ ἑξακόσιαι συνελέχθησαν.

нами перечисленіе всѣхъ народовъ, которые онъ велъ съ собою; а велъ онъ всѣ подвластные ему народы. Въ его войскѣ со включеніемъ всадниковъ, но безъ флота, насчитывалось 700,000, а кораблей было собрано 600...

[Далѣе разсказъ о позднѣйшей судьбѣ столповъ и о награжденіи строителя моста].

89. Δαρεῖος δὲ δωρησάμενος Μανδροκλέα διέβαινε ἐς τὴν Εὐρώπην, τοῖσι Ἴωσι παραγγείλας πλέειν ἐς τὸν Πόντον μέχρι Ἴστρου ποταμοῦ, ἐπεὰν δὲ ἀπίκωνται ἐς τὸν Ἴστρον, ἐνθαῦτα αὐτὸν περιμένειν ζευγνύντας τὸν ποταμόν. τὸ γὰρ δὴ ναυτικὸν ἦγον Ἴωνές τε καὶ Αἰολέες καὶ Ἑλλησπόντιοι. ὁ μὲν δὴ ναυτικὸς στρατὸς Κυανέας διεκπλώσας ἔπλεε ἰθὺ τοῦ Ἴστρου, ἀναπλώσας δὲ ἀνὰ ποταμὸν δυῶν ἡμερέων πλόον ἀπὸ θαλάσσης, τοῦ ποταμοῦ τὸν αὐχένα, ἐκ τοῦ σχίζεται τὰ στόματα τοῦ Ἴστρου, ἐζεύγνυε. Δαρεῖος δὲ ὡς διέβη τὸν Βόσπορον κατὰ τὴν σχεδίην, ἐπορεύετο διὰ τῆς Θρηίκης, ἀπικόμενος δὲ ἐπὶ Τεάρου ποταμοῦ τὰς πηγὰς ἐστρατοπεδεύσατο ἡμέρας τρεῖς.

89. Дарій, одаривъ Мандрокла, началъ переправу въ Европу, приказавъ Іонійцамъ плыть въ Понтъ до рѣки Истра, а по прибытіи къ Истру ждать его тамъ, наводя *между тѣмъ* мостъ. Флотъ вели именно Іонійцы, Эолійцы и Геллеспонтійцы. Итакъ флотъ, прошедши чрезъ Кіанеи, направился прямо къ Истру; поднявшись вверхъ по рѣкѣ на два дня плаванія отъ моря, *моряки* стали строить мостъ на шеѣ рѣки, гдѣ Истръ раздѣляется на гирла. А Дарій, переправившись чрезъ Босноръ по мосту, двинулся чрезъ Ѳракію и, пришедши къ истокамъ рѣки Теара, стоялъ тамъ лагеремъ три дня.

[Гл. 90 и 91 содержатъ описаніе р. Теара].

92. Δαρεῖος δὲ ἐνθεῦτεν ὁρμηθεὶς ἀπίκετο ἐπ' ἄλλον ποταμὸν τῷ οὔνομα Ἀρτησκός ἐστι, ὃς διὰ Ὀδρυσέων ῥέει...

92. Двинувшись оттуда, Дарій прибылъ къ другой рѣкѣ, по имени Артискъ, и текущей чрезъ землю Одрисовъ...

93. Πρὶν δὲ ἀπικέσθαι ἐπὶ τὸν Ἴστρον, πρώτους αἱρέει Γέτας τοὺς ἀθανατίζοντας. οἱ μὲν γὰρ τὸν Σαλμυδησσὸν ἔχοντες Θρήικες καὶ ὑπὲρ Ἀπολλωνίης τε καὶ Μεσαμβρίης πόλιος οἰκημένοι, καλεόμενοι δὲ Κυρμιάναι καὶ Νιψαῖοι, ἀμαχητὶ σφέας αὐτοὺς παρέδοσαν Δαρείῳ· οἱ δὲ Γέται πρὸς ἀγνωμοσύνην τραπόμενοι αὐτίκα ἐδουλώθησαν, Θρηίκων ἐόντες ἀνδρηιότατοι καὶ δικαιότατοι.

93. Прежде чѣмъ дойдти до Истра, онъ вопервыхъ покорилъ Гетовъ, вѣрующихъ въ безсмертіе души. Ѳракійцы, владѣющіе Салмидиссомъ и живущіе выше городовъ Аполлоніи и Месамврій, именуемые Кирміанами и Ниписэями, безъ боя подчинились Дарію, а Геты, самые храбрые и справедливые изъ Ѳракійцевъ, необдуманно оказали сопротивленіе, но тотъ часъ же были покорены.

[Гл. 94—96 содержатъ эпизодъ о Залмоксисѣ].

97... Δαρεῖος δὲ ὡς ἀπίκετο καὶ ὁ πεζὸς ἅμ' αὐτῷ στρατὸς ἐπὶ τὸν Ἴστρον, ἐνθαῦτα διαβάντων πάντων Δαρεῖος ἐκέλευσε τούς τε Ἴωνας τὴν σχεδίην λύσαντας ἕπεσθαι κατ' ἤπειρον ἑωυτῷ καὶ τὸν ἐκ τῶν νεῶν στρατόν. μελλόντων δὲ τῶν Ἰώνων λύειν καὶ ποιέειν τὰ κελευόμενα, Κώης ὁ Ἐρξάνδρου, στρατηγὸς ἐὼν Μυτιληναίων, ἔλεξε Δαρείῳ τάδε, πυθόμενος πρότερον εἴ οἱ φίλον εἴη γνώμην ἀποδέκεσθαι παρὰ τοῦ

97. Когда Дарій прибылъ съ сухопутнымъ войскомъ къ Истру, то здѣсь, послѣ переправы всѣхъ *войскъ*, приказалъ Іонійцамъ разрушить мостъ и слѣдовать за нимъ по сушѣ, а также и морскому войску. Но когда Іонійцы *уже* готовились разрушить *мостъ* и *такимъ образомъ* исполнить приказаніе, Митилинскій воевода Коій, сынъ Еркеандра, предварительно спросивъ Дарія, угодно ли ему будетъ выслушать мнѣ-

V. 24: «ἀρτίσκος *B*, ἀρτισκός *P*, ἀρτικός *R*.» || V. 30: «σκυρμιάδαι *R*, Σκυμνιάδαι Ephorus (Stephan. Byz. s. v.).» St.

Digitized by Google

βουλομένου ἀποδείκνυσθαι· «Ὦ βασιλεῦ, ἐπὶ γῆν γὰρ μέλλεις στρατεύεσθαι τῆς οὔτε ἀρηρομένον φανήσεται οὐδὲν οὔτε πόλις οἰκεομένη· σὺ νυν γέφυραν ταύτην ἔα κατὰ χώρην ἑστάναι, φυλάκους αὐτῆς λιπὼν τούτους οἳ περ μιν ἔζευξαν. καὶ ἢν τε κατὰ νόον πρήξωμεν εὑρόντες Σκύθας, ἔστι ἄπορος ἡμῖν, ἢν τε καὶ μή σφεας εὑρεῖν δυνώμεθα, ἥ γε ἄπορος ἡμῖν ἀσφαλής· οὐ γὰρ ἔδεισά κω μὴ ἐσσωθέωμεν ὑπὸ Σκυθέων μάχῃ, ἀλλὰ μᾶλλον μὴ οὐ δυνάμενοι σφέας εὑρεῖν πάθωμέν τι ἀλώμενοι. καὶ τάδε λέγειν φαίη τις ἄν με ἐμεωυτοῦ εἵνεκεν, ὡς καταμένω· ἐγὼ δὲ γνώμην μὲν τὴν εὑρισκον ἀρίστην σοί, βασιλεῦ, ἐς μέσον φέρω, αὐτὸς μέντοι ἕψομαί τοι καὶ οὐκ ἂν λειφθείην». κάρτα τε ἥσθη τῇ γνώμῃ Δαρεῖος καί μιν ἀμείψατο τοῖσιδε· «Ξεῖνε Λέσβιε, σωθέντος ἐμεῦ ὀπίσω ἐς οἶκον τὸν ἐμὸν ἐπιφάνηθί μοι πάντως, ἵνα σε ἀντὶ χρηστῆς συμβουλίης χρηστοῖσι ἔργοισι ἀμείψωμαι». — 98. ταῦτα δὲ εἶπας καὶ ἀπάψας ἅμματα ἑξήκοντα ἐν ἱμάντι, καλέσας ἐς λόγους τοὺς Ἰώνων τυράννους ἔλεγε τάδε· «Ἄνδρες Ἴωνες, ἡ μὲν πρότερον γνώμη ἀποδεχθεῖσα ἐς τὴν γέφυραν μετείσθω μοι, ἔχοντες δὲ τὸν ἱμάντα τόνδε ποιέετε τάδε· ἐπεὰν ἐμὲ ἴδητε τάχιστα πορευόμενον ἐπὶ Σκύθας, ἀπὸ τούτου ἀρξάμενοι τοῦ χρόνου λύετε ἅμμα ἓν ἑκάστης ἡμέρης· ἢν δὲ ἐν τούτῳ τῷ χρόνῳ μὴ παρέω ἀλλὰ διεξέλθωσι ὑμῖν αἱ ἡμέραι τῶν ἁμμάτων, ἀποπλέετε ἐς τὴν ὑμετέρην αὐτῶν. μέχρι δὲ τούτου, ἐπείτε οὕτω μετέδοξε, φυλάσσετε τὴν σχεδίην, πᾶσαν προθυμίην σωτηρίης τε καὶ φυλακῆς παρεχόμενοι. ταῦτα δὲ ποιεῦντες ἐμοὶ μεγάλως χαριεῖσθε». Δαρεῖος μὲν ταῦτα εἶπας ἐς τὸ πρόσω ἠπείγετο.

ніе человѣка, желающаго его высказать, сказалъ ему слѣдующее: «Царь, такъ какъ ты предпринимаешь походъ въ такую страну, гдѣ не увидишь ни вспаханнаго поля, ни населеннаго города, то оставь этотъ мостъ стоять на мѣстѣ, приставивъ къ нему стражами тѣхъ, которые его построили. Если мы найдемъ Скиѳовъ и наше предпріятіе окончится согласно съ нашими желаніями, то у насъ будетъ и обратный путь; если же мы не будемъ въ состояніи ихъ найдти, то по крайней мѣрѣ обратный путь у насъ обезпеченъ: я не того боюсь, что мы потерпимъ пораженіе отъ Скиѳовъ въ *открытомъ* бою, а скорѣе того, что потерпимъ какія либо невзгоды въ блужданіяхъ, не будучи въ состояніи ихъ найдти. Быть можетъ кто нибудь скажетъ, что я говорю это ради себя, чтобы остаться *здѣсь; нѣтъ*, государь, я высказываю то мнѣніе, которое нахожу наиболѣе для тебя полезнымъ, а самъ послѣдую за тобою и не желалъ бы остаться». Дарію очень понравился этотъ совѣтъ, и онъ отвѣтилъ Кою слѣдующее: «Любезный Лесвіецъ, когда я благополучно вернусь домой, ты непремѣнно явись ко мнѣ, чтобы я отблагодарилъ тебя благодѣяніями за *твой* полезный совѣтъ».

98. Сказавъ это и завязавъ на ремнѣ 60 узловъ, *Дарій* созвалъ іонійскихъ тирановъ и сказалъ имъ: Іонійцы, высказанное раньше рѣшеніе относительно моста отмѣняется; теперь возьмите этотъ ремень и поступите такъ: какъ только увидите, что я выступилъ противъ Скиѳовъ, то, начиная съ этого времени, развязывайте каждый день по одному узлу; если я не явлюсь назадъ въ теченіи этого времени и пройдутъ *всѣ* дни, обозначенные узлами, то плывите къ себѣ на родину, а до тѣхъ поръ по измѣненному такимъ образомъ рѣшенію оберегайте мостъ, прилагая все стараніе къ защитѣ его и сохраненію *въ цѣлости;* этимъ вы окажете мнѣ большую услугу». Сказавъ это, Дарій двинулся впередъ.

11. Общія описанія Скиѳіи.

(Гл. 99—101).

99. Τῆς δὲ Σκυθικῆς γῆς ἡ Θρηίκη τὸ ἐς θάλασσαν προκέεται· κόλπου δὲ ἀγομένου τῆς γῆς ταύτης, ἡ Σκυθικὴ τε ἐκδέκε-

99. Ѳракія вдается въ море болѣе скиѳской земли; съ залива, образуемаго этою землей, начинается Скиѳія и въ нее вли-

Digitized by Google

ται καὶ ὁ Ἴστρος ἐκδιδοῖ ἐς αὐτήν, πρὸς εὖρον ἄνεμον τὸ στόμα τετραμμένος. τὸ δὲ ἀπὸ Ἴστρου ἔρχομαι σημανέων τὸ πρὸς θάλασσαν αὐτῆς τῆς Σκυθικῆς χώρης ἐς μέτρησιν. ἀπὸ Ἴστρου αὕτη ἤδη ἡ ἀρχαίη Σκυθίη ἐστί, πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον κειμένη, μέχρι πόλιος Καρκινίτιδος καλεομένης. τὸ δὲ ἀπὸ ταύτης τὴν μὲν ἐπὶ θάλασσαν τὴν αὐτὴν φέρουσαν, ἐοῦσαν ὀρεινήν τε χώρην καὶ προκειμένην τὸ ἐς Πόντον, νέμεται τὸ Ταυρικὸν ἔθνος μέχρι χερσονήσου τῆς τρηχέης καλεομένης· αὕτη δὲ ἐς θάλασσαν τὴν πρὸς ἀπηλιώτην ἄνεμον κατήκει. ἔστι γὰρ τῆς Σκυθικῆς τὰ δύο μέρεα τῶν οὔρων ἐς θάλασσαν φέροντα, τήν τε πρὸς μεσαμβρίην καὶ τὴν πρὸς τὴν ἠῶ, κατά περ τῆς Ἀττικῆς χώρης· καὶ παραπλήσια ταύτῃ καὶ οἱ Ταῦροι νέμονται τῆς Σκυθικῆς, ὡς εἰ τῆς Ἀττικῆς ἄλλο ἔθνος καὶ μὴ Ἀθηναῖοι νεμοίατο τὸν γουνὸν τὸν Σουνιακόν, μᾶλλον ἐς τὸν πόντον [τὴν ἄκρην] ἀνέχοντα, τὸν ἀπὸ Θορικοῦ μέχρι Ἀναφλύστου δήμου· λέγω δὲ ὡς εἶναι ταῦτα σμικρὰ μεγάλοισι συμβάλλειν· τοιοῦτον ἡ Ταυρικὴ ἐστι. ὃς δὲ τῆς Ἀττικῆς ταῦτα μὴ παραπέπλωκε, ἐγὼ δὲ ἄλλως δηλώσω· ὡς εἰ τῆς Ἰηπυγίης ἄλλο ἔθνος καὶ μὴ Ἰήπυγες ἀρξάμενοι ἐκ Βρεντεσίου λιμένος ἀποταμοίατο μέχρι Τάραντος καὶ νεμοίατο τὴν ἄκρην. δύο δὲ λέγων ταῦτα πολλὰ λέγω παρόμοια, τοῖσι ἄλλοισι ἔοικε ἡ Ταυρική. — 100. τὸ δ' ἀπὸ τῆς Ταυρικῆς ἤδη Σκύθαι τὰ κατύπερθε τῶν Ταύρων καὶ τὰ πρὸς θαλάσσης τῆς ἠοίης νέμονται, τοῦ τε Βοσπόρου τοῦ Κιμμερίου τὰ πρὸς ἑσπέρης καὶ τῆς λίμνης τῆς Μαιήτιδος μέχρι Τανάιδος ποταμοῦ, ὃς ἐκδιδοῖ ἐς μυχὸν τῆς λίμνης ταύτης. ἤδη ὦν ἀπὸ μὲν Ἴστρου τὰ κατύπερθε ἐς τὴν μεσόγαιαν φέροντα ἀποκληίεται ἡ Σκυθικὴ ὑπὸ πρώτων Ἀγαθύρσων, μετὰ δὲ Νευρῶν, ἔπειτα δὲ Ἀνδροφάγων, τελευταίων δὲ Μελαγχλαίνων.

101. ἔστι ὦν τῆς Σκυθικῆς ὡς ἐούσης τετραγώνου, τῶν δύο μερέων κατηκόντων ἐς θάλασσαν, πάντῃ ἴσον τό τε ἐς τὴν μεσόγαιαν φέρον καὶ τὸ παρὰ τὴν θάλασσαν. ἀπὸ γὰρ Ἴστρου ἐπὶ Βορυσθένεα δέκα ἡμερέων ὁδός, ἀπὸ Βορυσθένεός τε ἐπὶ τὴν λίμνην τὴν Μαιῆτιν ἑτερέων δέκα· καὶ τὸ ἀπὸ θαλάσσης ἐς μεσόγαιαν ἐς τοὺς Μελαγχλαίνους τοὺς κατύπερθε Σκυθέων οἰκημένους εἴκοσι ἡμερέων ὁδός. ἡ δὲ ὁδὸς ἡ ἡμερησίη ἀνὰ διηκόσια στάδια συμβέβληταί μοι. οὕτω ἂν εἴη τῆς Σκυθικῆς τὰ ἐπικάρ-

вается Истръ, обращенный устьемъ къ востоку. *Начиная* отъ Истра я стану описывать приморскую часть самой скиѳской земли для ея измѣренія. Отъ Истра уже начинается собственная (старая) Скиѳія, обращенная къ полудню и вѣтру ноту до города, называемаго Каркинитидою; отсюда страну, прилегающую къ этому же морю, гористую и выступающую въ Понтъ, заселяетъ племя Тавровъ до такъ называемаго Скалистаго полуострова; этотъ послѣдній выступаетъ въ море, омывающее его съ востока. Скиѳія съ двухъ сторонъ ограничена моремъ, именно съ юга и съ востока, подобно Аттикѣ. Тавры занимаютъ часть Скиѳіи подобно тому, какъ еслибы въ Аттикѣ не Аѳиняне, а другой народъ заселялъ Сунійскій выступъ, болѣе выдающійся [мысомъ] въ море, отъ Ѳорика до дима Анафлиста; я сравниваю это, на сколько можно сравнивать малое съ великимъ. Такова Таврика; а кому не случалось огибать этой части Аттики, я разъясню инымъ способомъ: *слѣдуетъ представить себѣ*, что въ Япиги не Япиги, а другой народъ отрѣзалъ бы себѣ землю начиная отъ Брентезія до Таранта и владѣлъ бы мысомъ. Представляя эти два *примѣра*, я могъ бы указать много и другихъ *странъ*, на которыя похожа Таврика.

100. За Таврикою, выше Тавровъ и на побережьѣ восточнаго моря живутъ уже Скиѳы на западномъ берегу Воспора Кимерійскаго и Мэотійскаго озера до рѣки Тананда, которая впадаетъ въ *отдаленнѣйшій* уголъ этого озера. А начиная отъ Истра къ сѣверу по направленію внутрь материка Скиѳія граничитъ сперва съ Агаѳирсами, затѣмъ съ Неврами, далѣе съ Андрофагами (Людоѣдами) и наконецъ съ Меланхлѣнами (Черноризцами).

101. Такъ какъ Скиѳія представляетъ четыреугольникъ, двѣ стороны котораго примыкаютъ къ морю, то линія, идущая внутрь материка, вездѣ одинаковой длины съ идущею вдоль моря: отъ Истра до Борисѳена 10 дней пути и столько же отъ Борисѳена до Мэотійскаго озера; такъ же и по направленію отъ моря внутрь страны до Меланхлѣновъ, живущихъ выше Скиѳовъ, 20 дней пути; а дневной путь разсчитанъ у меня по 200 стадій. Такимъ образомъ поперечныя стороны Скиѳіи

Digitized by Google

πα τετρακισχιλίων σταδίων καὶ τὰ ὄρθια τὰ ἐς τὴν μεσόγαιαν φέροντα ἑτέρων τοσούτων σταδίων. ἡ μέν νυν γῆ αὕτη ἐστὶ μέγαθος τοσαύτη.

имѣютъ по 4000 стадій; такой же длины и продольныя стороны, идущія внутрь материка. Таковъ объемъ этой страны.

12. Обычаи народовъ, сосѣднихъ съ Скиѳами.

(Гл. 102—109).

102. Οἱ δὲ Σκύθαι δόντες σφίσι λόγον ὡς οὐκ οἷοί τε εἰσὶ τὸν Δαρείου στρατὸν ἰθυμαχίῃ διώσασθαι μοῦνοι, ἔπεμπον ἐς τοὺς πλησιοχώρους ἀγγέλους· τῶν δὲ καὶ δὴ οἱ βασιλέες συνελθόντες ἐβουλεύοντο ὡς στρατοῦ ἐπελαύνοντος μεγάλου. ἦσαν δὲ οἱ συνελθόντες βασιλέες Ταύρων καὶ Ἀγαθύρσων καὶ Νευρῶν καὶ Ἀνδροφάγων καὶ Μελαγχλαίνων καὶ Γελωνῶν καὶ Βουδίνων καὶ Σαυροματέων. — 103. τούτων Ταῦροι μὲν νόμοισι τοιοῖσιδε χρέωνται· θύουσι μὲν τῇ Παρθένῳ τούς τε ναυηγοὺς καὶ τοὺς ἂν λάβωσι Ἑλλήνων ἐπαναχθέντες τρόπῳ τῷδε· καταρξάμενοι ῥοπάλῳ παιουσι τὴν κεφαλήν. οἱ μὲν δὴ λέγουσι ὡς τὸ σῶμα ἀπὸ τοῦ κρημνοῦ ὠθέουσι κάτω (ἐπὶ γὰρ κρημνοῦ ἵδρυται τὸ ἱρόν), τὴν δὲ κεφαλὴν ἀνασταυροῦσι· οἱ δὲ κατὰ μὲν τὴν κεφαλὴν ὁμολογέουσι, τὸ μέντοι σῶμα οὐκ ὠθέεσθαι ἀπὸ τοῦ κρημνοῦ λέγουσι ἀλλὰ γῇ κρύπτεσθαι. τὴν δὲ δαίμονα ταύτην τῇ θύουσι λέγουσι αὐτοὶ Ταῦροι Ἰφιγένειαν τὴν Ἀγαμέμνονος εἶναι. πολεμίους δὲ ἄνδρας τοὺς ἂν χειρώσωνται ποιεῦσι τάδε· ἀποταμὼν [ἕκαστος] κεφαλὴν ἀποφέρεται ἐς τὰ οἰκία, ἔπειτα ἐπὶ ξύλου μεγάλου ἀναπείρας ἱστᾷ ὑπὲρ τῆς οἰκίης ὑπερέχουσαν πολλόν, μάλιστα δὲ ὑπὲρ τῆς καπνοδόκης. φασὶ δὲ τούτους φυλάκους τῆς οἰκίης πάσης ὑπεραιωρέεσθαι. ζῶσι δὲ ἀπὸ λῃίης τε καὶ πολέμου. — 104. Ἀγάθυρσοι δὲ ἁβρότατοι ἄνδρες εἰσὶ καὶ χρυσοφόροι τὰ μάλιστα, ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν μίξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἔωσι καὶ οἰκήιοι ἐόντες πάντες μήτε φθόνῳ μήτε ἔχθεϊ χρέωνται ἐς ἀλλήλους. τὰ δὲ ἄλλα νόμαια Θρῃξὶ προσκεχωρήκασι.—105. Νευροὶ δὲ νόμοισι μὲν χρέωνται Σκυθικοῖσι, γενεῇ δὲ μιῇ πρότερον σφέας τῆς Δαρείου στρατηλασίης κατέλαβε ἐκλιπεῖν τὴν χώρην πᾶσαν ὑπὸ ὀφίων. ὄφιας γὰρ σφι πολλοὺς μὲν ἡ χώρη ἀνέφαινε, οἱ δὲ πλεῦνες ἄνωθέν σφι ἐκ τῶν ἐρήμων ἐπέπεσον, ἐς ὃ πιεζόμενοι οἴκησαν μετὰ Βουδίνων τὴν ἑωυτῶν ἐκλιπόντες. κινδυνεύουσι δὲ οἱ ἄν-

102. Скиѳы, разсудивъ, что они одни не въ состояніи отразить полчища Дарія въ открытомъ бою, разсылали вѣстниковъ къ сосѣднимъ народамъ. Цари послѣднихъ уже и *безъ того* собрались на совѣщаніе въ виду вторженія огромнаго войска; въ собраніи участвовали цари Тавровъ, Агаѳирсовъ, Невровъ, Андрофаговъ, Меланхлэновъ, Гелоновъ, Будиновъ и Савроматовъ.

103. Тавры имѣютъ слѣдующіе обычаи: они приносятъ въ жертву Дѣвѣ потерпѣвшихъ кораблекрушеніе и всѣхъ Еллиновъ, кого захватятъ въ открытомъ морѣ, слѣдующимъ образомъ: освятивъ *жертву*, ударяютъ *ее* дубиною по головѣ; одни говорятъ, что тѣло они сталкиваютъ съ крутизны (такъ какъ храмъ построенъ на скалѣ), а голову насаживаютъ на колъ; другіе же, сообщая тоже самое относительно головы, утверждаютъ, что туловище не сталкивается съ крутизны, а зарывается въ землю. Богиню, которой приносятъ *такія* жертвы, сами Тавры называютъ Ифигеніей, дочерью Агамемнона. Съ попавшими въ ихъ руки врагами они поступаютъ такъ: каждый отрубаетъ голову врага и уноситъ ее къ себѣ домой, а затѣмъ, воткнувъ ее на длинный шестъ, ставитъ высоко надъ домомъ, чаще всего надъ дымовой трубой; они называютъ эти *головы* стражами цѣлаго дома, поднимающимися въ воздухѣ. Живутъ они грабежемъ и войною.

104. Агаѳирсы весьма изнѣженны и очень любятъ носить золотыя украшенія; женщинами они пользуются сообща, чтобы быть другъ другу братьями и, въ качествѣ родственниковъ, не питать другъ къ другу ни зависти, ни вражды. Остальные обычаи ихъ сходны съ ѳракійскими.

105. У Невровъ обычаи скиѳскіе; за одно поколѣніе до похода Дарія имъ пришлось покинуть всю свою страну изъ за змѣй: земля ихъ произвела множество

Digitized by Google

ϑρωποι οὗτοι γόητες εἶναι. λέγονται γὰρ ὑπὸ Σκυθέων καὶ Ἑλλήνων τῶν ἐν τῇ Σκυθικῇ κατοικημένων ὡς ἕτεος ἑκάστου ἅπαξ τῶν Νευρῶν ἕκαστος λύκος γίνεται ἡμέρας ὀλίγας καὶ αὖτις ὀπίσω ἐς τωὐτὸ κατίσταται. ἐμὲ μέν νυν ταῦτα λέγοντες οὐ πείϑουσι, λέγουσι δὲ οὐδὲν ἧσσον, καὶ ὀμνῦσι δὲ λέγοντες. — 106. Ἀνδροφάγοι δὲ ἀγριώτατα πάντων ἀνϑρώπων ἔχουσι ἤϑεα, οὔτε δίκην νομίζοντες οὔτε νόμῳ οὐδενὶ χρεώμενοι. νομάδες δὲ εἰσί, ἐσϑῆτά τε φορέουσι τῇ Σκυθικῇ ὁμοίην, γλῶσσαν δὲ ἰδίην ἔχουσι, ἀνϑρωποφαγέουσι δὲ μοῦνοι τούτων. — 107. Μελάγχλαινοι δὲ εἵματα μὲν μέλανα φορέουσι πάντες, ἐπ' ὧν καὶ τὰς ἐπωνυμίας ἔχουσι, νόμοισι δὲ Σκυθικοῖσι χρέωνται. — 108. Βουδῖνοι δέ ἔϑνος ἐὸν μέγα καὶ πολλὸν γλαυκόν τε πᾶν ἰσχυρῶς ἐστι καὶ πυρρόν. πόλις δὲ ἐν αὐτοῖσι πεπόλισται ξυλίνη, οὔνομα δὲ τῇ πόλι ἐστὶ Γελωνός· τοῦ δὲ τείχεος μέγαϑος κῶλον ἕκαστον τριήκοντα σταδίων ἐστί, ὑψηλὸν δὲ καὶ πᾶν ξύλινον, καὶ αἱ οἰκίαι αὐτῶν ξύλιναι καὶ τὰ ἱρά. ἔστι γὰρ δὴ αὐτόϑι Ἑλληνικῶν ϑεῶν ἱρὰ Ἑλληνικῶς κατεσκευασμένα ἀγάλμασί τε καὶ βωμοῖσι καὶ νηοῖσι ξυλίνοισι, καὶ τῷ Διονύσῳ τριετηρίδας ἀνάγουσι καὶ βακχεύουσι. εἰσὶ γὰρ οἱ Γελωνοὶ τὸ ἀρχαῖον Ἕλληνες, ἐκ τῶν δὲ ἐμπορίων ἐξαναστάντες οἴκησαν ἐν τοῖσι Βουδίνοισι· καὶ γλώσσῃ τὰ μὲν Σκυθικῇ τὰ δὲ Ἑλληνικῇ χρέωνται.

109. Βουδῖνοι δὲ οὐ τῇ αὐτῇ γλώσσῃ χρέωνται καὶ Γελωνοί, οὐδὲ δίαιτα ἡ αὐτή. οἱ μὲν γὰρ Βουδῖνοι ἐόντες αὐτόχϑονες νομάδες τε εἰσὶ καὶ φϑειροτραγέουσι μοῦνοι τῶν ταύτῃ, Γελωνοὶ δὲ γῆς τε ἐργάται καὶ σιτοφάγοι καὶ κήπους ἐκτημένοι, οὐδὲν τὴν ἰδέην ὁμοῖοι οὐδὲ τὸ χρῶμα. ὑπὸ μέντοι Ἑλλήνων καλέονται καὶ οἱ Βουδῖνοι Γελωνοί, οὐκ ὀρϑῶς καλεόμενοι. ἡ δὲ χώρη σφέων πᾶσα ἐστὶ δασέα ἴδῃσι παντοίῃσι· ἐν δὲ τῇ ἴδῃ τῇ πλείστῃ ἐστὶ λίμνη μεγάλη τε καὶ πολλὴ καὶ ἕλος καὶ κάλαμος περὶ αὐτήν. ἐν δὲ ταύτῃ ἐνύδριες ἁλίσκονται καὶ κάστο-

змѣй, а еще больше явилось ихъ сверху изъ пустынныхъ земель, пока одолѣваемые *ими Невры* не поселились вмѣстѣ съ Будинами, покинувъ свою *родину*. Можно думать, что эти люди колдуны: по крайней мѣрѣ по словамъ Скиѳовъ и живущихъ въ Скиѳіи Еллиновъ каждый Невръ ежегодно по разу на нѣсколько дней становится волкомъ и затѣмъ опять принимаетъ прежній видъ. Мнѣ не вѣрятся, чтобы эти разсказы были справедливы, но тѣмъ не менѣе *такъ* говорятъ и даже подъ клятвою.

106. Изъ всѣхъ людей Андрофаги имѣютъ наиболѣе дикіе нравы: они не признаютъ правды и не имѣютъ никакихъ законовъ. Они ведутъ кочевую жизнь, носятъ одежду похожую на скиескую, но имѣютъ особый языкъ; они одни изъ этихъ *племенъ* ѣдятъ людей.

107. Меланхлэны всѣ носятъ черныя одежды, отъ которыхъ и произошло ихъ названіе, а образъ жизни у нихъ скиескій.

108. Будины, большое и многочисленное племя, всѣ голубоглазы и рыжеволосы. Въ нихъ землѣ есть деревянный городъ, по имени Гелонъ; городская стѣна съ каждой стороны имѣетъ въ длину 30 стадій; она высока и вся построена изъ дерева; дома ихъ и храмы тоже деревянные. Тамъ есть святилища еллинскихъ боговъ, по еллински снабженныя кумирами, жертвенниками и деревянными храмами, и въ честь Діониса они черезъ каждые два года совершаютъ празднества съ оргіями. Дѣло въ томъ, что Гелоны по происхожденію Еллины, выселившіеся изъ торговыхъ городовъ и поселившіеся въ землѣ Будиновъ; говорятъ они то по скиески, то по еллински.

109. Будины говорятъ не на одномъ языкѣ съ Гелонами и образъ жизни ихъ не одинаковъ: Будины, исконные обитатели страны, ведутъ кочевой образъ жизни и одни изъ мѣстныхъ *племенъ* питаются сосновыми шишками, а Гелоны, *напротивъ* занимаются земледѣліемъ, питаются хлѣбомъ, имѣютъ сады и нисколько не похожи на Будиновъ ни сложеніемъ, ни цвѣтомъ кожи. У Еллиновъ, правда, и Будины называются Гелонами, но это неправильно. Вся ихъ страна покрыта разнородными лѣсами; въ самомъ большомъ лѣсу есть

V. 17: ἔχουσι add. Reiske.

Digitized by Google

ρες καὶ ἄλλα θηρία τετραγωνοπρόσωπα, τῶν τὰ δέρματα περὶ τὰς σισύρνας παραρράπτεται, καὶ οἱ ὄρχιες αὐτοῖσι εἰσὶ χρήσιμοι ἐς ὑστερέων ἄκεσιν.

большое и многоводное озеро, окруженное трясиною и тростникомъ. Въ немъ ловятся выдры, бобры и другіе звѣри съ четыреугольными мордами: ихъ мѣха употребляются на опушку кафтановъ, а шулята съ пользою употребляются для лѣченія маточныхъ болѣзней.

13. Легенда о происхожденіи Савроматовъ.

(Гл. 110—117).

110. Σαυροματέων δὲ πέρι ὧδε λέγεται. ὅτε Ἕλληνες Ἀμαζόσι ἐμαχέσαντο (τὰς δὲ Ἀμαζόνας καλέουσι Σκύθαι Οἰόρπατα, δύναται δὲ τὸ οὔνομα τοῦτο κατὰ Ἑλλάδα γλῶσσαν ἀνδροκτόνοι· οἰὸρ γὰρ καλέουσι ἄνδρα, τὸ δὲ πατὰ κτείνειν), τότε λόγος τοὺς Ἕλληνας νικήσαντας τῇ ἐπὶ Θερμώδοντι μάχῃ ἀποπλέειν ἄγοντας τρισὶ πλοίοισι τῶν Ἀμαζόνων ὅσας ἐδυνέατο ζωγρῆσαι, τὰς δὲ ἐν τῷ πελάγεϊ ἐπιθεμένας ἐκπλῶσαι τοὺς ἄνδρας. πλοῖα δὲ οὐ γινώσκειν αὐτὰς οὐδὲ πηδαλίοισι χρᾶσθαι οὐδὲ ἱστίοισι οὐδὲ εἰρεσίῃ· ἀλλ' ἐπεὶ ἐξέκοψαν τοὺς ἄνδρας, ἐφέροντο κατὰ κῦμα καὶ ἄνεμον, καὶ ἀπικνέονται τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Κρημνούς· οἱ δὲ Κρημνοὶ εἰσὶ γῆς τῆς Σκυθέων τῶν ἐλευθέρων. ἐνθαῦτα ἀποβᾶσαι ἀπὸ τῶν πλοίων αἱ Ἀμαζόνες ὁδοιπόρεον ἐς τὴν οἰκεομένην. ἐντυχοῦσαι δὲ πρώτῳ ἱπποφορβίῳ τοῦτο διήρπασαν, καὶ ἐπὶ τούτων ἱππαζόμεναι ἐληίζοντο τὰ τῶν Σκυθέων.— 111. οἱ δὲ Σκύθαι οὐκ εἶχον συμβαλέσθαι τὸ πρῆγμα· οὔτε γὰρ φωνὴν οὔτε ἐσθῆτα οὔτε τὸ ἔθνος ἐγίνωσκον, ἀλλ' ἐν θώματι ἦσαν ὁκόθεν ἔλθοιεν, ἐδόκεον δ' αὐτὰς εἶναι ἄνδρας τὴν αὐτὴν ἡλικίην ἔχοντας, μάχην τε δὴ πρὸς αὐτὰς ἐποιεῦντο. ἐκ δὲ τῆς μάχης τῶν νεκρῶν ἐκράτησαν οἱ Σκύθαι καὶ οὕτω ἔγνωσαν ἐούσας γυναῖκας. βουλευομένοισι ὧν αὐτοῖσι ἔδοξε κτείνειν μὲν οὐδενὶ τρόπῳ ἔτι αὐτάς, ἐωυτῶν δὲ τοὺς νεωτάτους ἀποπέμψαι ἐς αὐτάς, πλῆθος εἰκάσαντας ὅσαι περ ἐκεῖναι ἦσαν, τούτους δὲ στρατοπεδεύεσθαι πλησίον ἐκεινέων καὶ ποιέειν τά περ ἂν καὶ ἐκεῖναι ποιέωσι· ἢν δὲ αὐτοὺς διώκωσι, μάχεσθαι μὲν μή, ὑποφεύγειν δέ. ἐπεὰν δὲ παύσωνται, ἐλθόντας αὖτις πλησίον στρατοπεδεύεσθαι. ταῦτα ἐβουλεύσαντο οἱ Σκύθαι βουλόμενοι ἐξ αὐτέων παῖδας ἐκγενήσεσθαι.— 112. ἀποπεμφθέντες δὲ οἱ νεηνίσκοι ἐποίευν τὰ ἐντε-

110. О Савроматахъ разсказываютъ слѣдующее: когда Эллины вступили въ борьбу съ Амазонками (Амазонокъ Скины называютъ Оіорпата. Это названіе на эллинскомъ языкѣ значитъ «мужеубійцы», такъ какъ оіор значитъ «мужъ», а πατά — «убивать»), то, какъ гласитъ преданіе, Эллины, побѣдивъ ихъ въ сраженіи при Термодонтѣ, отплыли обратно, везя съ собою на трехъ судахъ Амазонокъ, которыхъ имъ удалось захватить въ плѣнъ. Послѣдніе въ открытомъ морѣ напали на мужчинъ и изрубили ихъ; но онѣ не знали судовъ и не умѣли обращаться ни съ рулемъ, ни съ парусами, ни съ веслами, и *поэтому* послѣ избіенія мужчинъ, стали носиться по волнамъ по волѣ вѣтра и прибыли къ Кримнамъ на Меотійскомъ озерѣ: эти Кримны лежатъ въ землѣ свободныхъ Скиѳовъ. Сойдя здѣсь съ судовъ, Амазонки отправились въ обитаемую *мѣстность;* встрѣтивъ первый табунъ лошадей, онѣ захватили его, сѣли на лошадей и стали грабить владѣнія Скиѳовъ.

111. Скины не могли объяснить себѣ случившагося, такъ какъ не знали ни ихъ языка, ни одежды, ни народности, и недоумѣвали, откуда онѣ взялись; они приняли амазонокъ за мужчинъ одинаковаго возраста и вступили съ ними въ битву. Въ битвѣ Скины овладѣли трупами *Амазонокъ* и такимъ образомъ узнали, что онѣ женщины. Тогда Скины на совѣтѣ порѣшили ни коимъ образомъ не убивать болѣе Амазонокъ, а послать къ нимъ самыхъ младшихъ изъ своей среды, приблизительно въ такомъ числѣ, сколько было Амазонокъ; юношамъ приказано было стать лагеремъ по сосѣдству съ ними и дѣлать все, что онѣ будутъ дѣлать, а въ случаѣ преслѣдованія съ ихъ стороны не вступать съ ними

Digitized by Google

ταλμένα. ἐπεὶ δὲ ἔμαθον αὐτοὺς αἱ Ἀμαζόνες ἐπ' οὐδεμιῇ δηλήσι ἀπιγμένους, ἔων χαίρειν· προσεχώρεον δὲ πλησιαιτέρω τὸ στρατόπεδον τῷ στρατοπέδῳ ἐπ' ἡμέρῃ ἑκάστῃ. εἶχον δὲ οὐδὲν οὐδ' οἱ νεηνίσκοι, ὥσπερ αἱ Ἀμαζόνες, εἰ μὴ τὰ ὅπλα καὶ τοὺς ἵππους, ἀλλὰ ζόην ἔζωον τὴν αὐτὴν ἐκείνῃσι, θηρεύοντές τε καὶ ληιζόμενοι.

113. Ἐποίευν δὲ αἱ Ἀμαζόνες ἐς τὴν μεσαμβρίην τοιόνδε· ἐγίνοντο σποράδες κατὰ μίαν τε καὶ δύο, πρόσω δὴ ἀπ' ἀλληλέων ἐς εὐμαρείην ἀποσκιδνάμεναι. μαθόντες δὲ καὶ οἱ Σκύθαι ἐποίευν τὠυτὸ τοῦτο. καί τις μουνωθεισέων τινὶ αὐτέων ἐνεχρίμπτετο, καὶ ἡ Ἀμαζὼν οὐκ ἀπωθέετο ἀλλὰ περιεῖδε χρήσασθαι. καὶ φωνῆσαι μὲν οὐκ εἶχε, οὐ γὰρ συνίεσαν ἀλλήλων, τῇ δὲ χειρὶ ἔφραζε ἐς τὴν ὑστεραίην ἐλθεῖν ἐς τὠυτὸ χωρίον καὶ ἕτερον ἄγειν, σημαίνουσα δύο γενέσθαι, καὶ αὐτὴ ἑτέρην ἄξειν. ὁ δὲ νεηνίσκος, ἐπεὶ ἀπῆλθε, ἔλεξε ταῦτα πρὸς τοὺς λοιπούς· τῇ δὲ δευτεραίῃ ἦλθε ἐς τὸ χωρίον αὐτός τε οὗτος καὶ ἕτερον ἦγε, καὶ τὴν Ἀμαζόνα εὗρε δευτέρην αὐτὴν ὑπομένουσαν. οἱ δὲ λοιποὶ νεηνίσκοι ὡς ἐπύθοντο ταῦτα, καὶ αὐτοὶ ἐκτιλώσαντο τὰς λοιπὰς τῶν Ἀμαζόνων. — 114. μετὰ δὲ συμμίξαντες τὰ στρατόπεδα οἰκεον ὁμοῦ, γυναῖκα ἔχων ἕκαστος ταύτην τῇ τὸ πρῶτον συνεμίχθη. τὴν δὲ φωνὴν τὴν μὲν τῶν γυναικῶν οἱ ἄνδρες οὐκ ἐδυνέατο μαθεῖν, τὴν δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες συνέλαβον. ἐπεὶ δὲ συνῆκαν ἀλλήλων, ἔλεξαν πρὸς τὰς Ἀμαζόνας τάδε οἱ ἄνδρες· «Ἡμῖν εἰσὶ μὲν τοκέες, εἰσὶ δὲ κτήσιες· νῦν ὦν μηκέτι πλεῦνα χρόνον ζόην τοιήνδε ἔχωμεν, ἀλλ' ἀπελθόντες ἐς τὸ πλῆθος διαιτώμεθα. γυναῖκας δὲ ἕξομεν ὑμέας καὶ οὐδαμὰς ἄλλας». αἱ δὲ πρὸς ταῦτα ἔλεξαν τάδε· «ἡμεῖς οὐκ ἂν δυναίμεθα οἰκέειν μετὰ τῶν ὑμετερέων γυναικῶν· οὐ γὰρ τὰ αὐτὰ νόμαια ἡμῖν τε κἀκείνῃσι ἐστί. ἡμεῖς μὲν τοξεύομέν τε καὶ ἀκοντίζομεν καὶ ἱππαζόμεθα, ἔργα δὲ γυναικήια οὐκ ἐμάθομεν· αἱ δὲ ὑμέτεραι γυναῖκες τούτων μὲν οὐδὲν τῶν ἡμεῖς κατελέξαμεν ποιεῦσι, ἔργα δὲ γυναικήια ἐργάζονται μένουσαι ἐν τῇσι ἁμάξῃσι, οὔτ' ἐπὶ θήρην ἰοῦσαι οὔτε ἄλλῃ οὐδαμῇ. οὐκ ἂν

1 въ сраженіе, но убѣгать; когда-же онѣ прекратятъ *преслѣдованіе*, — возвратиться и расположиться лагеремъ по сосѣдству. Такъ рѣшили на совѣтѣ Скины, желая имѣть дѣтей отъ этихъ женщинъ.

112. Посланные юноши исполнили приказаніе; Амазонки, замѣтивъ, что они пришли безъ всякаго злаго умысла, оставляли ихъ въ покоѣ; съ каждымъ днемъ оба лагеря все болѣе и болѣе сближались. Юноши, подобно Амазонкамъ, ничего не имѣли съ собою, кромѣ оружія и лошадей, и потому вели одинаковый съ ними образъ жизни, занимаясь охотою и грабежемъ.

113. Около полудня Амазонки дѣлали слѣдующее: онѣ расходились по одной или по двѣ, отходя далеко другъ отъ дружки для естественной надобности. Замѣтивъ *это*, Скины стали дѣлать то же самое; одинъ *изъ нихъ* приблизился къ одной изъ уединившихся Амазонокъ; послѣдняя не оттолкнула *его* и отдалась *ему* безъ сопротивленія. Она не могла съ нимъ говорить, такъ какъ они не понимали *языка* другъ друга, и *потому* указала ему рукою на слѣдующій день придти на то же мѣсто и привести *съ собою еще* другаго, знаками показывая, чтобы ихъ было двое, и что она также приведетъ другую. Юноша, удалившись *отъ нея*, разсказалъ *объ этомъ* товарищамъ. На другой день онъ самъ явился на *то же* мѣсто и привелъ *съ собою* другаго; онъ засталъ Амазонку вмѣстѣ съ другою *уже* поджидающими. Остальные юноши, узнавъ объ этомъ, также принялись къ себѣ прочихъ Амазонокъ.

114. Послѣ этого они соединили свои лагери и зажили вмѣстѣ, причемъ каждый *юноша* имѣлъ женою ту, съ которою впервые имѣлъ связь. Мужчины не могли научиться языку женщинъ, но женщины переняли языкъ мужчинъ. Когда они стали понимать другъ друга, мужчины сказали Амазонкамъ слѣдующее: «У насъ есть родители, есть и имущество, итакъ теперь не будемъ дольше вести такую жизнь, но вернемся въ *наше* общество и будемъ жить *съ ними*; женами нашими будете вы и никакія другія женщины». Но Амазонки возразили на это слѣдующее: «мы, пожалуй, не уживемся съ вашими женщинами, такъ какъ у насъ не одинаковые съ ними обычаи: мы стрѣляемъ изъ луковъ, бросаемъ дротики, ѣздимъ верхомъ, а женскимъ ра-

Digitized by Google

ὧν δυναίμεθα ἐκείνῃσι συμφέρεσθαι. ἀλλ' εἰ βούλεσθε γυναῖκας ἔχειν ἡμέας καὶ δοκέειν εἶναι δίκαιοι, ἐλθόντες παρὰ τοὺς τοκέας ἀπολάχετε τῶν κτημάτων τὸ μέρος, καὶ ἔπειτα ἐλθόντες οἰκέωμεν ἐπ' ἡμέων αὐτῶν». — 115. ἐπείθοντο καὶ ἐποίησαν ταῦτα οἱ νεηνίσκοι. ἐπείτε δὲ ἀπολαχόντες τῶν κτημάτων τὸ ἐπιβάλλον ἦλθον ὀπίσω παρὰ τὰς Ἀμαζόνας, ἔλεξαν αἱ γυναῖκες πρὸς αὐτοὺς τάδε· «Ἡμέας ἔχει φόβος τε καὶ δέος ὄκως χρὴ οἰκέειν ἐν τῷδε τῷ χώρῳ, τοῦτο μὲν ὑμέας ἀποστερησάσας πατέρων, τοῦτο δὲ γῆν τὴν ὑμετέρην δηλησαμένας πολλά. ἀλλ' ἐπείτε ἀξιοῦτε ἡμέας γυναῖκας ἔχειν, τάδε ποιέετε ἅμα ἡμῖν· φέρετε ἐξαναστέωμεν ἐκ τῆς γῆς τῆσδε καὶ περήσαντες Τάναϊν ποταμὸν οἰκέωμεν».

ботамъ не обучены, тогда какъ ваши женщины ничего не дѣлаютъ изъ того, что мы перечислили, а занимаются женскими работами; онѣ постоянно сидятъ на повозкахъ, не ходятъ на охоту и вообще никуда *не показываются;* стало быть намъ съ ними не поладить. Но если вы хотите имѣть насъ своими женами и показаться честными *людьми*, то пойдите къ вашимъ родителямъ, возьмите свою долю состоянія, затѣмъ вернитесь къ намъ и будемъ жить сами по себѣ».

115. Юноши послушались *ихъ совѣта* и поступили согласно съ нимъ. Когда же они, получивъ слѣдовавшую имъ долю имущества, явились обратно къ Амазонкамъ, жены сказали имъ слѣдующее: «намъ дѣлается боязно и страшно *при мысли о томъ*, какъ намъ жить въ этихъ мѣстахъ, съ одной стороны потому, что мы отняли у васъ отцовъ, а съ другой — потому, что сильно раззорили вашу страну; но такъ какъ вы желаете имѣть насъ *своими* женами, то вмѣстѣ съ нами сдѣлайте слѣдующее: снимемся изъ этой земли, переправимся за рѣку Танаидъ и тамъ поселимся.

116. Ἐπείθοντο καὶ ταῦτα οἱ νεηνίσκοι, διαβάντες δὲ τὸν Τάναϊν ὁδοιπόρεον πρὸς ἥλιον ἀνίσχοντα τριῶν μὲν ἡμερέων ἀπὸ τοῦ Τανάιδος ὁδόν, τριῶν δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος πρὸς βορέην ἄνεμον. ἀπικόμενοι δὲ ἐς τοῦτον τὸν χῶρον ἐν τῷ νῦν κατοίκηνται, οἴκησαν τοῦτον. καὶ διαίτῃ ἀπὸ τούτου χρέωνται τῇ παλαιῇ τῶν Σαυροματέων αἱ γυναῖκες, καὶ ἐπὶ θήρην ἐπ' ἵππων ἐκφοιτῶσαι ἅμα τοῖσι ἀνδράσι καὶ χωρὶς τῶν ἀνδρῶν, καὶ ἐς πόλεμον φοιτῶσαι καὶ στολὴν τὴν αὐτὴν τοῖσι ἀνδράσι φορέουσαι. — 117. φωνῇ δὲ οἱ Σαυρομάται νομίζουσι Σκυθικῇ, σολοικίζοντες αὐτῇ ἀπὸ τοῦ ἀρχαίου, ἐπεὶ οὐ χρηστῶς ἐξέμαθον αὐτὴν αἱ Ἀμαζόνες. τὰ περὶ γάμων δὲ ὧδέ σφι διακέεται· οὐ γαμέεται παρθένος οὐδεμία πρὶν ἂν τῶν πολεμίων ἄνδρα ἀποκτείνῃ. αἱ δὲ τινες αὐτέων καὶ τελευτῶσι γηραιαὶ πρὶν γήμασθαι, οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι.

116. Юноши и на это согласились; переправившись чрезъ Танаидъ, они шли къ востоку три дня пути отъ Танаида и три же отъ озера Меотиды къ сѣверу. Пришедши *такимъ образомъ* въ мѣстность, которую занимаютъ и теперь, они поселились тамъ. Отсюда савроматскія женщины изстари ведутъ свой образъ жизни: онѣ ѣздятъ верхомъ на охоту съ мужьями и безъ нихъ, выходятъ на войну и носятъ одинаковую съ мужчинами одежду.

117. Савроматы говорятъ на скиѳскомъ языкѣ, но издревле искаженномъ, такъ какъ Амазонки не вполнѣ его усвоили. Относительно браковъ соблюдается у нихъ слѣдующее правило: ни одна дѣвушка не выходитъ замужъ, пока не убьетъ врага; нѣкоторыя изъ нихъ и умираютъ въ старости безбрачными, потому что не могли выполнить этого требованія.

14. Дарій въ Скиѳіи.

(Гл. 118—143).

118. Ἐπὶ τούτων ὧν τῶν καταλεχθέντων ἐθνέων τοὺς βασιλέας ἁλισμένους ἀπι-

118. Скиѳскіе вѣстники, пріѣдя къ собравшимся царямъ перечисленныхъ выше

Digitized by Google

χόμενοι τῶν Σκυθέων οἱ ἄγγελοι ἔλεγον ἐκδιδάσκοντες ὡς ὁ Πέρσης, ἐπειδὴ οἱ τὰ ἐν τῇ ἠπείρῳ τῇ ἑτέρῃ πάντα κατέστραπται, γέφυραν ζεύξας ἐπὶ τῷ αὐχένι τοῦ Βοσπόρου διαβέβηκε ἐς τήνδε τὴν ἤπειρον, διαβὰς δὲ καὶ καταστρεψάμενος Θρήικας γεφυροῖ ποταμὸν Ἴστρον, βουλόμενος καὶ τάδε πάντα ὑπ' ἑωυτῷ ποιήσασθαι. «Ὑμεῖς ὦν μηδενὶ τρόπῳ ἐκ τοῦ μέσου κατήμενοι περιίδητε ἡμέας διαφθαρέντας, ἀλλὰ τώυτὸ νοήσαντες ἀντιάζωμεν τὸν ἐπιόντα. οὔκων ποιήσετε ταῦτα· ἡμεῖς μὲν πιεζόμενοι ἢ ἐκλείψομεν τὴν χώρην ἢ μένοντες ὁμολογίῃ χρησόμεθα. τί γὰρ πάθωμεν μὴ βουλομένων ὑμέων τιμωρέειν; ὑμῖν δὲ οὐδὲν ἐπὶ τούτῳ ἔσται ἐλαφρότερον· ἥκει γὰρ ὁ Πέρσης οὐδέν τι μᾶλλον ἐπ' ἡμέας ἢ οὐ καὶ ἐπ' ὑμέας, οὐδέ οἱ καταχρήσει ἡμέας καταστρεψαμένῳ ὑμέων ἀπέχεσθαι. μέγα δὲ ὑμῖν λόγων τῶνδε μαρτύριον ἐρέομεν· εἰ γὰρ ἐπ' ἡμέας μούνους ἐστρατηλάτεε ὁ Πέρσης τίσασθαι τῆς πρόσθε δουλοσύνης βουλόμενος, χρῆν αὐτὸν πάντων τῶν ἄλλων ἀπεχόμενον ἰέναι οὕτω ἐπὶ τὴν ἡμετέρην, καὶ ἂν ἐδήλου πᾶσι ὡς ἐπὶ Σκύθας ἐλαύνει καὶ οὐκ ἐπὶ τοὺς ἄλλους. νῦν δὲ ἐπείτε τάχιστα διέβη ἐς τήνδε τὴν ἤπειρον, τοὺς αἰεὶ ἐμποδὼν γινομένους ἡμεροῦται πάντας· τούς τε δὴ ἄλλους ἔχει ὑπ' ἑωυτῷ Θρήικας καὶ δὴ καὶ τοὺς ἡμῖν ἐόντας πλησιοχώρους Γέτας». — 119. ταῦτα Σκυθέων ἐπαγγελλομένων ἐβουλεύοντο οἱ βασιλέες οἱ ἀπὸ τῶν ἐθνέων ἥκοντες, καί σφεων ἐσχίσθησαν αἱ γνῶμαι. ὁ μὲν γὰρ Γελωνὸς καὶ ὁ Βουδῖνος καὶ ὁ Σαυρομάτης κατὰ τώυτὸ γενόμενοι ὑπεδέκοντο Σκύθῃσι τιμωρήσειν, ὁ δὲ Ἀγάθυρσος καὶ Νευρὸς καὶ Ἀνδροφάγος καὶ οἱ τῶν Μελαγχλαίνων καὶ Ταύρων τάδε Σκύθῃσι ὑπεκρίναντο· «Εἰ μὲν μὴ ὑμεῖς ἔατε οἱ πρότερον ἀδικήσαντες Πέρσας καὶ ἄρξαντες πολέμου, τούτων δεόμενοι τῶν νῦν δέεσθε λέγειν τε ἂν ἐφαίνεσθε ἡμῖν ὀρθά, καὶ ἡμεῖς ὑπακούσαντες τώυτὸ ἂν ὑμῖν ἐπρήσσομεν. νῦν δὲ ὑμεῖς τε ἐς τὴν ἐκείνων ἐσβαλόντες γῆν ἄνευ ἡμέων ἐπεκρατέετε Περσέων ὅσον χρόνον ὑμῖν ὁ θεὸς παρεδίδου, καὶ ἐκεῖνοι, ἐπεί σφεας ὠυτὸς θεὸς ἐγείρει, τὴν ὁμοίην ὑμῖν ἀποδιδοῦσι. ἡμεῖς δὲ οὔτε τι τότε ἠδικήσαμεν τοὺς ἄνδρας τούτους οὐδὲν οὔτε νῦν πρότεροι πειρησόμεθα ἀδικέειν. ἢν μέντοι ἐπίῃ

народовъ [1]), сообщили имъ, что царь Персидскій, все подчинивъ своей власти на другомъ (т. е. Азіатскомъ) материкѣ, построилъ мостъ на шеѣ Воспора и перешелъ на этотъ материкъ, а перейдя и покоривъ Θракійцевъ, наводитъ мостъ чрезъ рѣку Истръ, желая все подчинить себѣ и по сю сторону рѣки. «Итакъ никоимъ образомъ не оставайтесь безучастными и не дайте намъ погибнуть, но единодушно встрѣтимъ наступающаго *врага*. Не сдѣлаете вы этого,— и мы, тѣснимые *врагами*, или покинемъ страну, или, оставшись *въ ней*, покоримся *имъ*; вѣдь что же намъ дѣлать, если вы не захотите намъ помочь? а вамъ отъ этого ничуть не будетъ легче: вѣдь царь Персидскій столько же идетъ на насъ, сколько и на васъ, и покоривъ насъ, не захочетъ и васъ оставить въ покоѣ. Мы скажемъ вамъ важное свидѣтельство *въ пользу* нашихъ словъ: если-бы Персидскій царь предпринялъ походъ противъ насъ однихъ, желая отомстить за прежнее порабощеніе *Персовъ*, то ему слѣдовало бы оставить всѣхъ другихъ въ покоѣ и направиться прямо на нашу землю; *этимъ* онъ показалъ бы всѣмъ, что идетъ противъ Скиѳовъ, а не противъ другихъ. Между тѣмъ съ тѣхъ поръ, какъ онъ вступилъ на нашъ материкъ, онъ покоряетъ всѣхъ попадающихся *ему* на пути и вотъ уже подчинилъ себѣ какъ остальныхъ жителей Θракіи, такъ и нашихъ сосѣдей Гетовъ».

119. Вслѣдствіе такого заявленія отъ Скиѳовъ, сошедшіеся отъ народовъ цари стали совѣщаться *между собою*, и мнѣнія ихъ раздѣлились: цари Гелонскій, Будинскій и Савроматскій — единодушно обѣщали помочь Скиѳамъ, а цари Агаѳирсовъ, Невровъ, Андрофаговъ, Меланхлѣновъ и Тавровъ дали Скиѳамъ слѣдующій отвѣтъ: «если-бы не вы первые обидѣли Персовъ и не начали войны *съ ними*, то ваша нынѣшняя просьба показалась бы намъ основательною, и мы, выслушавъ ее, стали бы дѣйствовать съ вами за одно; но вы безъ насъ вторглись въ страну Персовъ и властвовали надъ ними столько времени, сколько дало вамъ божество; и вотъ они, по внушенію того же божества, платятъ вамъ тѣмъ же [2]). *Что же касается насъ, то* мы ни тогда

1) См. гл. 102 (стр. 41).
2) О вторженіи Скиѳовъ въ Азію см. I, 103—106 (выше, стр. 4).

Digitized by Google

καὶ ἐπὶ τὴν ἡμετέρην ἄρξῃ τε ἀδικέων, καὶ ἡμεῖς οὐ περιοψόμεθα, μέχρι δὲ τοῦτο ἴδωμεν, μενέομεν παρ' ἡμῖν αὐτοῖσι· ἥκειν γὰρ δοκέομεν οὐκ ἐπ' ἡμέας Πέρσας ἀλλ' ἐπὶ τοὺς αἰτίους τῆς ἀδικίης γενομένους».

120. Ταῦτα ὡς ἀπενειχθέντα ἐπύθοντο οἱ Σκύθαι, ἐβουλεύοντο ἰθυμαχίην μὲν μηδεμίαν ποιέεσθαι ἐκ τοῦ ἐμφανέος, ὅτε δή σφι οὗτοί γε σύμμαχοι οὐ προσεγίνοντο, ὑπεξιόντες δὲ καὶ ὑπεξελαύνοντες τὰ φρέατα τὰ παρεξίοιεν αὐτοὶ καὶ τὰς κρήνας συγχοῦν, τὴν ποίην τε ἐκ τῆς γῆς ἐκτρίβειν, διχοῦ σφέας διελόντες. καὶ πρὸς μὲν τὴν μίαν τῶν μοιρέων, τῆς ἐβασίλευε Σκώπασις, προσχωρέειν Σαυρομάτας· τούτους μὲν δὴ ὑπάγειν, ἢν ἐπὶ τοῦτο τράπηται ὁ Πέρσης, ἰθὺ Τανάιδος ποταμοῦ παρὰ τὴν Μαιῆτιν λίμνην ὑποφεύγοντας, ἀπελαύνοντός τε τοῦ Πέρσεω ἐπιόντας διώκειν. αὕτη μέν σφι μία ἦν μοῖρα τῆς βασιληίης, τεταγμένη ταύτην τὴν ὁδὸν ἥ περ εἴρηται. τὰς δὲ δύο τῶν βασιληίων, τήν τε μεγάλην τῆς ἦρχε Ἰδάνθυρσος καὶ τὴν τρίτην τῆς ἐβασίλευε Τάξακις, συνελθούσας ἐς τὠυτὸ καὶ Γελωνῶν τε καὶ Βουδίνων προσγενομένων, ἡμέρης καὶ τούτους ὁδῷ προέχοντας τῶν Περσέων ὑπεξάγειν, ὑπιόντας τε καὶ ποιεῦντας τὰ βεβουλευμένα. πρῶτα μέν νυν ὑπάγειν σφέας ἰθὺ τῶν χωρέων τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, ἵνα καὶ τούτους ἐκπολεμώσωσι· εἰ γὰρ μὴ ἐκόντες γε ὑπέδυσαν τὸν πόλεμον τὸν πρὸς Πέρσας, ἀλλ' ἀέκοντας ἐκπολεμώσειν· μετὰ δὲ τοῦτο ὑποστρέφειν ἐς τὴν σφετέρην καὶ ἐπιχειρέειν, ἤν δή βουλευομένοισι δοκέῃ.

121. Ταῦτα οἱ Σκύθαι βουλευσάμενοι ὑπηντίαζον τὴν Δαρείου στρατιήν, προδρόμους ἀποστείλαντες τῶν ἱππέων τοὺς ἀρίστους. τὰς δὲ ἁμάξας ἐν τῇσί σφι διαιτᾶτο τὰ τέκνα τε καὶ αἱ γυναῖκες πάσας καὶ τὰ πρόβατα πάντα, πλὴν ὅσα σφι ἐς φορβὴν ἱκανὰ ἦν τοσαῦτα ὑπολιπόμενοι, τὰ ἄλλα ἅμα τῇσι ἁμάξῃσι προέπεμψαν, ἐντειλάμε-

ничѣмъ не обидѣли этотъ народъ, ни теперь не станемъ первые обижать его; если *враг*ъ ворвется и въ нашу землю и первый обидитъ насъ, то и мы не стерпимъ этого; но пока этого не увидимъ, мы останемся въ нашей землѣ; намъ кажется, что Персы пришли не противъ насъ, а противъ виновниковъ *нанесенной имъ* обиды».

120. Скиѳы, выслушавъ принесенный имъ отвѣтъ, рѣшили на совѣтѣ вовсе не давать сраженія въ открытомъ полѣ, въ виду того, что сосѣди не вступили съ ними въ союзъ, но, раздѣлившись на два отряда, отступать со своими стадами, засыпая попадающіеся на пути колодцы и источники и истребляя на землѣ травы. Къ одной изъ этихъ частей, во главѣ которой сталъ царь Скопасисъ, должны были присоединиться Савроматы: они въ случаѣ, если бы Персидскій царь обратился въ ихъ сторону, должны были убѣгать прямо къ рѣкѣ Танаиду вдоль озера Мэотиды, а въ случаѣ отступленія Персидскаго царя перейдти въ наступленіе и преслѣдовать его. Это была одна часть населенія скиѳскаго царства, поставленная на вышеозначенномъ пути; а двѣ *другія части* царскихъ *Скиѳовъ*,— большая подъ начальствомъ Иданѳирса и третья, подчиненная Таксакису, сойдясь вмѣстѣ и соединившись съ Гелонами и Будинами, должны были отступать, опережая Персовъ также на день пути, не поддаваться имъ и вообще дѣйствовать согласно принятому плану. Сначала они должны были идти прямо по направленію къ тѣмъ землямъ, которыя отказывали имъ въ союзѣ, съ цѣлью вовлечь и ихъ въ войну: если они не пожелали добровольно воевать съ Персами, то втянуть ихъ въ войну поневолѣ. Затѣмъ они должны были вернуться въ свою *страну* и напасть *на враговъ*, если такъ рѣшено будетъ на совѣтѣ.

121. Принявъ такой планъ *обороны*, Скиѳы выступили на встрѣчу Дарiеву войску, выславъ впередъ самыхъ лучшихъ всадниковъ; а повозки, въ которыхъ жили у нихъ дѣти и жены, и всѣ стада, за исключеніемъ оставленнаго при себѣ такого количества, какое было необходимо для пропитанія, всѣ остальныя они выслали

V. 2: οὐ πεισόμεθα libri, οὐ κεισόμεθα Letronne, St., οὐ περιοψόμεθα Bekker.

Digitized by Google

νοι αἰεὶ τὸ πρὸς βορέω ἐλαύνειν.—122. ταῦτα μὲν δὴ προεκομίζετο· τῶν δὲ Σκυθέων οἱ πρόδρομοι ὡς εὗρον τοὺς Πέρσας ὅσον τε τριῶν ἡμερέων ὁδὸν ἀπέχοντας ἀπὸ τοῦ Ἴστρου, οὗτοι μὲν τούτους εὑρόντες, ἡμέρης ὁδῷ προέχοντες, ἐστρατοπεδεύοντο τὰ ἐκ τῆς γῆς φυόμενα λεαίνοντες. οἱ δὲ Πέρσαι ὡς εἶδον ἐπιφανεῖσαν τῶν Σκυθέων τὴν ἵππον, ἐπήισαν κατὰ στίβον αἰεὶ ὑπαγόντων· καὶ ἔπειτα (πρὸς γὰρ τὴν μίαν τῶν μοιρέων ἴθυσαν) οἱ Πέρσαι ἐδίωκον πρὸς ἠῶ τε καὶ ἰθὺ Τανάιδος· διαβάντων δὲ τούτων τὸν Τάναϊν ποταμὸν οἱ Πέρσαι ἐπιδιαβάντες ἐδίωκον, ἐς ὃ τῶν Σαυροματέων τὴν χώρην διεξελθόντες ἀπίκοντο ἐς τὴν τῶν Βουδίνων. — 123. ὅσον μὲν δὴ χρόνον οἱ Πέρσαι ἦισαν διὰ τῆς Σκυθικῆς καὶ τῆς Σαυρομάτιδος χώρης, οἳ δὲ εἶχον οὐδὲν σίνεσθαι, ἅτε τῆς χώρης ἐούσης χέρσου· ἐπείτε δὲ ἐς τὴν τῶν Βουδίνων χώρην ἐσέβαλλον, ἐνθαῦτα δὴ ἐντυχόντες τῷ ξυλίνῳ τείχεϊ, ἐκλελοιπότων τῶν Βουδίνων καὶ κεκενωμένου τοῦ τείχεος πάντων, ἐνέπρησαν αὐτό. τοῦτο δὲ ποιήσαντες εἴποντο αἰεὶ τὸ πρόσω κατὰ στίβον, ἐς ὃ διεξελθόντες ταύτην ἐς τὴν ἔρημον ἀπίκοντο. ἡ δὲ ἔρημος αὕτη ὑπὸ οὐδαμῶν νέμεται ἀνδρῶν, κεῖται δὲ ὑπὲρ τῆς Βουδίνων χώρης ἐοῦσα πλῆθος ἑπτὰ ἡμερέων ὁδοῦ. ὑπὲρ δὲ τῆς ἐρήμου Θυσσαγέται οἰκέουσι, ποταμοὶ δὲ ἐξ αὐτῶν τέσσερες μεγάλοι ῥέοντες διὰ Μαιητέων ἐκδιδοῦσι ἐς τὴν λίμνην τὴν καλεομένην Μαιῆτιν, τοῖσι οὐνόματα κέεται τάδε, Λύκος, Ὄαρος, Τάναϊς, Σύργις.

124. Ἐπεὶ ὦν ὁ Δαρεῖος ἦλθε ἐς τὴν ἔρημον, παυσάμενος τοῦ δρόμου ἵδρυσε τὴν στρατιὴν ἐπὶ ποταμῷ Ὄαρῳ. τοῦτο δὲ ποιήσας ὀκτὼ τείχεα ἐτείχεε μεγάλα, ἴσον ἀπ' ἀλλήλων ἀπέχοντα, σταδίους ὡς ἑξήκοντα μάλιστά κη τῶν ἔτι ἐς ἐμὲ τὰ ἐρείπια σόα ἦν. ἐν ᾧ δὲ οὗτος πρὸς ταῦτα ἐτράπετο, οἱ διωκόμενοι Σκύθαι περιελθόντες τὰ κατύπερθε ὑπέστρεφον ἐς τὴν Σκυθικήν. ἀφανισθέντων δὲ τούτων τὸ παράπαν, ὡς οὐκέτι ἐφαντάζοντό σφι, οὕτω δὴ ὁ Δαρεῖος τείχεα μὲν ἐκεῖνα ἡμίεργα μετῆκε, αὐτὸς δὲ ὑποστρέψας ἦιε πρὸς ἑσπέρην, δοκέων τούτους τε πάντας τοὺς Σκύ-

впередъ вмѣстѣ съ повозками съ приказаніемъ двигаться постоянно на сѣверъ.

122. Итакъ все это было выслано впередъ; передовой же отрядъ Скиѳовъ, встрѣтивъ Персовъ на разстояніи около трехъ дней пути отъ Истра, располагался лагеремъ на день пути впереди, истребляя всю растительность. Персы, замѣтивъ появленіе скиѳской конницы, шли по ея слѣдамъ, при чемъ она постоянно отступала. Затѣмъ Персы,—такъ какъ они попали на одинъ изъ 3 отрядовъ *Скиѳовъ*,— преслѣдовали ихъ по направленію къ востоку и Танаиду. Когда Скиѳы перешли рѣку Танаидъ, Персы тоже перешли вслѣдъ за ними и продолжали преслѣдованіе, пока не достигли владѣній Будиновъ, пройдя землю Савроматовъ.

123. Въ продолженіе своего пути чрезъ Скиѳію и Савроматію Персы ничего не находили для разоренія, такъ какъ страна была *заранѣе* опустошена; когда же они вторглись въ землю Будиновъ, то встрѣтили здѣсь на своемъ пути деревянное укрѣпленіе, покинутое Будинами и совершенно ими очищенное, и сожгли его. Послѣ этого они продолжали свое наступательное движеніе по слѣдамъ *Скиѳовъ*, пока не вступили въ пустыню, пройдя страну Будиновъ. Эта пустыня, совершенно необитаемая, лежитъ выше земли Будиновъ и тянется на 7 дней пути. Надъ пустыней живутъ Ѳиссагеты, а изъ земли ихъ 4 большія рѣки текутъ черезъ землю Мэотовъ и впадаютъ въ озеро, называемое Мэотидою; имена ихъ слѣдующія: Ликъ, Оаръ, Танаидъ и Сиргисъ.

124. Дарій, пришедши въ пустыню, пріостановилъ свое *наступательное* движеніе и расположился съ войскомъ у рѣки Оара. Послѣ этого онъ сталъ строить 8 большихъ стѣнъ на одинаковомъ разстояніи одну отъ другой, приблизительно стадій на 60; остатки ихъ уцѣлѣли и до его временъ. Пока Дарій занимался этимъ, преслѣдуемые Скиѳы, обойдя кругомъ *по землямъ лежащимъ* выше, вернулись въ Скиѳію. Такъ какъ они совершенно исчезли изъ виду и больше не показывались Персамъ, то Дарій оставилъ свои стѣны возведенными до половины, повернулъ на-

V. 42: Ὕργις Schäfer (cf. c. 57).

Digitized by Google

θας εἶναι καὶ πρὸς ἑσπέρην σφέας φεύ-
γειν. — 125. ἐλαύνων δὲ τὴν ταχίστην τὸν
στρατὸν ὡς ἐς τὴν Σκυθικὴν ἀπίκετο, ἐνέ-
κυρσε ἀμφοτέρῃσι τῇσι μοίρῃσι τῶν Σκυ-
θέων, ἐντυχὼν δὲ ἐδίωκε ὑπεκφέροντας
κατὰ ἵχνος ὁδῷ. καὶ οὐ γὰρ ἀνίει ἐπιὼν ὁ Δα-
ρεῖος, οἱ Σκύθαι κατὰ τὰ βεβουλευμένα
ὑπῆγον ἐς τῶν ἀπειπαμένων τὴν σφετέ-
ρην συμμαχίην, πρώτην δὲ ἐς τῶν Μελαγ-
χλαίνων τὴν γῆν. ὡς δὲ ἐσβαλόντες τού-
τους ἐτάραξαν οἵ τε Σκύθαι καὶ οἱ Πέρσαι,
κατηγέοντο οἱ Σκύθαι ἐς τῶν Ἀνδροφάγων
τοὺς χώρους· ταραχθέντων δὲ καὶ τούτων
ὑπῆγον ἐπὶ τὴν Νευρίδα· ταρασσομένων δὲ
καὶ τούτων ἦισαν ὑποφεύγοντες οἱ Σκύθαι
ἐς τοὺς Ἀγαθύρσους. Ἀγάθυρσοι δὲ ὁρέοντες
καὶ τοὺς ὁμούρους φεύγοντας ὑπὸ Σκυθέων
καὶ τεταραγμένους, πρὶν ἢ σφι ἐσβαλεῖν
τοὺς Σκύθας πέμψαντες κήρυκα ἀπηγό-
ρευον Σκύθῃσι μὴ ἐπιβαίνειν τῶν σφετέρων
οὔρων, προλέγοντες ὡς εἰ πειρήσονται ἐσβα-
λόντες, σφίσι πρῶτα διαμαχήσονται. Ἀγά-
θυρσοι μὲν προείπαντες ταῦτα ἐβοήθεον
καὶ τοὺς οὔρους, ἐρύκειν ἐν νόῳ ἔχοντες
τοὺς ἐπιόντας· Μελάγχλαινοι δὲ καὶ Ἀνδρο-
φάγοι καὶ Νευροὶ ἐσβαλόντων τῶν Περσέων
ἅμα Σκύθῃσι οὔτε πρὸς ἀλκὴν ἐτράποντο
ἀπλαθόμενοί τε τῆς ἀπειλῆς ἔφευγον αἰεὶ
τὸ πρὸς βορέω ἐς τὴν ἔρημον τεταραγμένοι.
οἱ δὲ Σκύθαι ἐς μὲν τοὺς Ἀγαθύρσους οὐκέτι
ἐπείπαντας ἀπικνέοντο, οἱ δὲ ἐκ τῆς Νευ-
ρίδος χώρης ἐς τὴν σφετέρην κατηγέοντο
τοῖσι Πέρσῃσι.

126. Ὡς δὲ πολλὸν τοῦτο ἐγίνετο καὶ
οὐκ ἐπαύετο, πέμψας Δαρεῖος ἱππέα παρὰ
τὸν Σκυθέων βασιλέα Ἰδάνθυρσον ἔλεγε
τάδε. «Δαιμόνιε ἀνδρῶν, τί φεύγεις αἰεί,
ἐξὸν τοι τῶνδε τὰ ἕτερα ποιέειν; εἰ μὲν
γὰρ ἀξιόχρεος δοκέεις εἶναι σεωυτῷ τοῖσι
τοῖσι πρήγμασι ἀντιωθῆναι, σὺ δὲ στάς
τε καὶ παυσάμενος πλάνης μάχεσθαι· εἰ δὲ
συγγινώσκεαι εἶναι ἥσσων, σὺ δὲ καὶ οὕτω
παυσάμενος τοῦ δρόμου δεσπότῃ τῷ σῷ
φόρα φέρων γῆν τε καὶ ὕδωρ ἐλθὲ ἐς λό-
γους. — 127. πρὸς ταῦτα ὁ Σκυθέων βασι-
λεὺς Ἰδάνθυρσος ἔλεγε τάδε· «Οὕτω τὸ
μὲν ἔχει, ὦ Πέρσα· ἐγὼ οὐδένα κω ἀνθρώ-
πων δείσας ἔφυγον οὔτε πρότερον οὔτε νῦν
οὐδὲ φεύγω, οὐδέ τι νεώτερόν εἰμι ποιήσας
νῦν ἢ καὶ ἐν εἰρήνῃ ἐώθεα ποιέειν. ὅ τι δὲ
οὐκ αὐτίκα μάχομαί τοι, ἐγὼ καὶ τοῦτο
σημανέω. ἡμῖν οὔτε ἄστεα οὔτε γῆ πεφυ-

1 задъ и пошелъ къ западу, думая, что это
всѣ Скиѳы и что они бѣгутъ къ западу.

125. Идя съ войскомъ чрезвычайно
быстро, Дарій прибылъ въ Скиѳію и здѣсь
встрѣтилъ обѣ *другія* части Скиѳовъ;
встрѣтившись, онъ погнался за ними, а они
все шли на одинъ день пути впереди; и
такъ какъ Дарій шелъ за ними неотступно,
то Скиѳы, согласно принятому рѣшенію,
убѣгали въ земли народовъ, отказавшихъ
имъ въ союзѣ, именно прежде всего въ
землю Меланхлэновъ. Скиѳы и Персы,
вторгнувшись сюда, привели народъ въ раз-
стройство, а затѣмъ Скиѳы завели *Пер-
совъ* во владѣнія Андрофаговъ; приведя и
этихъ въ разстройство, Скиѳы отступили
въ Невриду, а потомъ, разстроивъ и этихъ,
бѣжали къ Агаѳирсамъ. Агаѳирсы, видя,
что и ихъ сосѣди въ смятеніи бѣгутъ отъ
Скиѳовъ, послали къ нимъ, прежде чѣмъ
они вторгнулись въ ихъ предѣлы, глашатая
съ требованіемъ не вступать въ ихъ пре-
дѣлы, предупреждая, что въ случаѣ попытки
ворваться, имъ придется прежде всего вы-
держать битву съ ними. Объявивъ это,
Агаѳирсы выслали войско на свои границы,
имѣя въ виду отразить наступающихъ. Ме-
ланхлэны, Андрофаги и Невры при втор-
женіи Персовъ вмѣстѣ съ Скиѳами не об-
ратились къ силѣ оружія, забыли свои
угрозы и въ смятеніи бѣжали все дальше къ
сѣверу, въ пустыню. А Скиѳы не вступили
уже въ землю Агаѳирсовъ подъ страхомъ
ихъ угрозы и изъ Невриды повели за со-
бою Персовъ въ свою землю.

126. Такъ какъ это *скитаніе* тянулось
долго и ему не предвидѣлось конца, то Дарій
послалъ къ скиѳскому царю Иданѳирсу
всадника съ слѣдующимъ предложеніемъ:
«Чудакъ, зачѣмъ ты все убѣгаешь, хотя
можешь прибѣгнуть къ одному изъ слѣду-
ющихъ двухъ средствъ: если ты считаешь
себя въ силахъ противостать моему могу-
ществу, то остановись, прекрати свое
блужданіе и сразись со мною; если же
признаешь себя слабѣе, то также остано-
вись въ своемъ бѣгствѣ и придя для пе-
реговоровъ къ своему владыкѣ съ землею
и водою».

127. На это царь Скиѳовъ, Иданѳирсъ,
отвѣтилъ слѣдующее: *Узнай*, Персъ, ка-
ковъ я: и прежде никогда не убѣгалъ я
изъ страха ни отъ кого отъ людей, и те-
перь не бѣгу отъ тебя; нынѣ я не сдѣлалъ

Digitized by Google

τευμένη ἔστι, τῶν πέρι δείσαντες μὴ ἀλῷ ἡ καρὴ ταχύτερον ἂν ὑμῖν συμμίσγοιμεν ἐς μάχην. εἰ δὲ δέοι πάντως ἐς τοῦτο κατὰ τάχος ἀπικνέεσθαι, τυγχάνουσι ἡμῖν ἐόντες τάφοι πατρώιοι· φέρετε, τούτους ἀνευρόντες συγχέειν πειρᾶσθε αὐτούς, καὶ γνώσεσθε τότε εἴτε ὑμῖν μαχησόμεθα περὶ τῶν τάφων εἴτε καὶ οὐ μαχησόμεθα. πρότερον δέ, ἢν μὴ ἡμέας λόγος αἱρέῃ, οὐ συμμίξομέν τοι. ἀμφὶ μὲν μάχῃ τοσαῦτα εἰρήσθω, δεσπότας δὲ ἐμοὺς ἐγὼ Δία τε νομίζω τὸν ἐμὸν πρόγονον καὶ Ἱστίην τὴν Σκυθέων βασίλειαν μούνους εἶναι. σοὶ δὲ ἀντὶ μὲν δώρων γῆς τε καὶ ὕδατος δῶρα πέμψω τοιαῦτα οἷα σοὶ πρέπει ἐλθεῖν, ἀντὶ δὲ τοῦ ὅτι δεσπότης ἔφησας εἶναι ἐμός, κλαίειν λέγω». [τοῦτο ἐστὶ ἡ ἀπὸ Σκυθέων ῥῆσις].

ничего новаго сравнительно съ тѣмъ, что обыкновенно дѣлаю въ мирное время; а почему я не тороплюсь сражаться съ тобою, я и это тебѣ объясню: у насъ нѣтъ ни городовъ, ни засѣянной земли, изъ за которыхъ мы поспѣшили бы драться съ вами изъ боязни, чтобы они не были взяты или опустошены. Если бы нужно было во чтобы то ни стало ускорить бой, то у насъ есть могилы предковъ: вотъ попробуйте разыскать ихъ и разорить, — тогда узнаете, станемъ ли мы сражаться съ вами изъ за гробницъ, или не станемъ; раньше мы не сразимся, если намъ не благоразсудится. Это относительно сраженія; владыками же своими я признаю только Зевса, моего предка, и Гистію, царицу Скиѳовъ. А тебѣ вмѣсто даровъ земли и воды я пошлю такіе дары, какіе приличествуетъ тебѣ получить; наконецъ за то, что ты назвалъ себя моимъ владыкою, ты мнѣ поплатишься». (Таково было слово Скиѳовъ).

128. Ὁ μὲν δὴ κῆρυξ οἰχώκεε ἀγγελέων ταῦτα Δαρείῳ, οἱ δὲ Σκυθέων βασιλέες ἀκούσαντες τῆς δουλοσύνης τὸ οὔνομα ὀργῆς ἐπλήσθησαν. τὴν μὲν δὴ μετὰ Σαυροματέων μοῖραν ταχθεῖσαν, τῆς ἦρχε Σκώπασις, πέμπουσι Ἴωσι κελεύοντες ἐς λόγους ἀπικέσθαι, τούτοισι οἱ τὸν Ἴστρον ἐζευγμένον ἐφρούρεον· αὐτῶν δὲ τοῖσι ὑπολειπομένοισι ἔδοξε πλανᾶν μὲν μηκέτι Πέρσας, σῖτα δὲ ἑκάστοτε ἀναιρεομένοισι ἐπιτίθεσθαι. νωμῶντες ὧν σῖτα ἀναιρεομένους τοὺς Δαρείου ἐποίευν τὰ βεβουλευμένα. ἡ μὲν δὴ ἵππος τὴν ἵππον αἰεὶ τράπεσκε ἡ τῶν Σκυθέων, οἱ δὲ τῶν Περσέων ἱππόται φεύγοντες ἐσέπιπτον ἐς τὸν πεζόν, ὁ δὲ πεζὸς ἂν ἐπεκούρεε· οἱ δὲ Σκύθαι ἐσαράζαντες τὴν ἵππον ὑπέστρεφον τὸν πεζὸν φοβεόμενοι. ἐποιεόντο δὲ καὶ τὰς νύκτας παραπλησίας προσβολὰς οἱ Σκύθαι. — 129. τὸ δὲ τοῖσι Πέρσῃσί τε ἦν σύμμαχον καὶ τοῖσι Σκύθῃσι ἀντίξοον ἐπιτιθεμένοισι τῷ Δαρείου στρατοπέδῳ, θῶμα μέγιστον ἐρέω, τῶν τε ὄνων ἡ φωνὴ καὶ τῶν ἡμιόνων τὸ εἶδος. οὔτε γὰρ ὄνον οὔτε ἡμίονον γῆ ἡ Σκυθικὴ φέρει, ὡς καὶ πρότερόν μοι δεδήλωται· οὐδὲ ἔστι ἐν τῇ Σκυθικῇ πάσῃ χώρῃ τὸ παράπαν οὔτε ὄνος οὔτε ἡμίονος διὰ τὰ ψύχεα. ὑβρίζοντες ὧν οἱ ὄνοι ἐτάρασσον τὴν ἵππον

128. Глашатай отправился съ такимъ отвѣтомъ къ Дарію, а Скиѳскіе цари, услышавъ слово «рабство», пришли въ негодованіе и послали часть, соединенную съ Савроматами и находившуюся подъ начальствомъ Скопасиса, для переговоровъ съ тѣми Іонійцами, которые сторожили мостъ на Истрѣ, а оставшіеся на мѣстѣ рѣшили не водить болѣе Персовъ, а нападать на нихъ всякій разъ, какъ они будутъ заняты добываніемъ провіанта. [Итакъ, подстерегая, когда воины Дарія выходили за провіантомъ, они поступали согласно рѣшенію. Скиѳская конница всегда обращала въ бѣгство Персидскую; всадники Персидскіе, спасаясь бѣгствомъ, настигали пѣхоту, которая и подкрѣпляла ихъ; а Скиѳы, прогнавъ конницу, поворачивали назадъ изъ боязни пѣхоты]. Подобныя нападенія Скиѳы дѣлали и по ночамъ.

129. Обстоятельство, помогавшее Персамъ и препятствовавшее Скиѳамъ, нападавшимъ на войско Дарія, можетъ показаться чрезвычайно страннымъ: это былъ крикъ ословъ и видъ муловъ. Дѣло въ томъ, что въ скиѳской землѣ не могутъ жить ни ослы, ни мулы, какъ сказано мною и выше [1]); и вообще во всей Скиѳіи всѣд-

V. 45: τῶν — εἶδος secl. St.

1) См. IV, 28.

Digitized by Google

τῶν Σκυθέων. πολλάκις δὲ ἐπελαυνόντων ἐπὶ τοὺς Πέρσας μεταξὺ ὄχως ἀκούσειαν οἱ ἵπποι τῶν ὄνων τῆς φωνῆς, ἐταράσσοντό τε ὑποστρεφόμενοι καὶ ἐν θώματι ἔσχον, ἅτε ἱστάντες τὰ ὦτα, ἅτε οὔτε ἀκούσαντες πρότερον φωνῆς τοιαύτης οὔτε ἰδόντες τὸ εἶδος. ταῦτα μέν νυν ἐπὶ σμικρόν τι ἐγένοντο τοῦ πολέμου. — 130. οἱ δὲ Σκύθαι ὡς τοὺς Πέρσας ἴδοιεν τεθορυβημένους, ἵνα παραμένοιέν τε ἐπὶ πλέω χρόνον ἐν τῇ Σκυθικῇ καὶ παραμένοντες ἀνιῴατο τῶν πάντων ἐπιδευέες ἐόντες, ἐποίεον τοιάδε. ὡς τῶν προβάτων τῶν σφετέρων αὐτῶν καταλίποιεν μετὰ τῶν νομέων, αὐτοὶ ἂν ὑπεξήλαυνον ἐς ἄλλον χῶρον· οἱ δὲ ἂν Πέρσαι ἐπελθόντες λάβεσκον τὰ πρόβατα καὶ λαβόντες ἐπηείροντο ἂν τῷ πεποιημένῳ.— 131. πολλάκις δὲ τοιούτου γινομένου τέλος Δαρεῖός τε ἐν ἀπορίῃσι εἴχετο, καὶ οἱ Σκυθέων βασιλέες μαθόντες τοῦτο ἔπεμπον κήρυκα δῶρα Δαρείῳ φέροντα ὄρνιθά τε καὶ μῦν καὶ βάτραχον καὶ ὀιστοὺς πέντε. Πέρσαι δὲ τὸν φέροντα τὰ δῶρα ἐπειρώτεον τὴν νόον τῶν διδομένων· ὁ δὲ οὐδὲν ἔφη οἱ ἐπιστάλθαι ἄλλο ἢ δόντα τὴν ταχίστην ἀπαλλάσσεσθαι· αὐτοὺς δὲ τοὺς Πέρσας ἐκέλευε, εἰ σοφοί εἰσι, γνῶναι τὸ θέλει τὰ δῶρα λέγειν. ταῦτα ἀκούσαντες οἱ Πέρσαι ἐβουλεύοντο. — 132. Δαρείου μέν νυν ἡ γνώμη ἦν Σκύθας ἐωυτῷ διδόναι σφέας τε αὐτοὺς καὶ γῆν τε καὶ ὕδωρ, εἰκάζων τῇδε, ὡς μῦς μὲν ἐν γῇ γίνεται καρπὸν τὸν αὐτὸν ἀνθρώπῳ ἀτεόμενος, βάτραχος δὲ ἐν ὕδατι, ὄρνις δὲ μάλιστα ἔοικε ἵππῳ, τοὺς δὲ ὀιστοὺς ὡς τὴν ἐωυτῶν ἀλκὴν παραδιδοῦσι. αὕτη μὲν Δαρείῳ ἀπεδέδεκτο ἡ γνώμη. συνεστήκεε δὲ ταύτῃ τῇ γνώμῃ ἡ Γοβρύεω, τῶν ἀνδρῶν τῶν ἑπτὰ ἑνὸς τῶν τὸν μάγον κατελόντων, εἰκάζοντος τὰ δῶρα λέγειν· «ἢν μὴ ὄρνιθες γενόμενοι ἀναπτῆσθε ἐς τὸν οὐρανόν, ὦ Πέρσαι, ἢ μύες γενόμενοι κατὰ τῆς γῆς καταδύητε, ἢ βάτραχοι γενόμενοι ἐς τὰς λίμνας ἐσπηδήσητε, οὐκ ἀπονοστήσετε ὀπίσω ὑπὸ τῶνδε τῶν τοξευμάτων βαλλόμενοι».

133. Πέρσαι μὲν δὴ οὕτω τὰ δῶρα ἐκάλεον. ἡ δὲ Σκυθέων μία μοῖρα ἡ ταχ-

ствіе холодовъ вовсе нѣтъ ниословъ, ни муловъ. И вотъ ослы своимъ громкимъ рычаніемъ приводили въ смятеніе скиѳскую конницу: часто во время нападенія на Персовъ скиѳскія лошади, чуть заслышатъ ослиный ревъ, въ испугѣ оборачивались и выказывали безпокойство, навостряя уши, такъ какъ раньше не слыхивали такихъ звуковъ и не видывали подобныхъ животныхъ. Впрочемъ это обстоятельство недолго помогало *Персамъ* на войнѣ.

130. Скиѳы при всякомъ замѣченномъ ими замѣшательствѣ Персовъ употребляли слѣдующую хитрость для того, чтобы они какъ можно дольше оставались въ Скиѳіи и при этомъ мучились, терпя во всемъ крайнюю нужду: они оставляли часть своихъ стадъ вмѣстѣ съ пастухами, а сами переходили въ другое мѣсто; тогда Персы, сдѣлавъ набѣгъ, захватывали стада и при *каждомъ* захватѣ гордились своимъ подвигомъ.

131. Это случалось часто, пока наконецъ Дарій не оказался въ затруднительномъ положеніи. Замѣтивъ это, скиѳскіе цари послали глашатая поднести Дарію дары: птицу, мышь, лягушку и 5 стрѣлъ. Персы спросили посланца о значеніи этихъ даровъ, но тотъ отвѣтилъ, что ему приказано только вручить дары и какъ можно скорѣе возвратиться, и предложилъ самимъ Персамъ, если они догадливы, объяснить себѣ значеніе этихъ даровъ. Персы, услышавъ это, стали совѣщаться.

132. Дарій выразилъ мнѣніе, что Скиѳы отдаются въ его власть сами съ землею и водою, заключая *такъ* потому, что мышь живетъ въ землѣ и питается тѣмъ же плодомъ *земнымъ*, какимъ и человѣкъ, лягушка *живетъ* въ водѣ, птица болѣе всего походитъ на лошадь, а подъ видомъ стрѣлъ они предаютъ-де ему свою военную силу. Такое мнѣніе было высказано Даріемъ; противорѣчило этому мнѣнію объясненіе Говрія, одного изъ 7 лицъ, участвовавшихъ въ низверженіи мага: онъ толковалъ смыслъ даровъ такъ: «если вы, Персы, не улетите въ небеса, превратившись въ птицъ, или не скроетесь въ землю подобно мышамъ, или не прыгнете въ озера, превратившись въ лягушекъ, то не возвратитесь назадъ, будучи поражены этими стрѣлами».

133. Итакъ Персы разгадывали смыслъ даровъ. *Между тѣмъ* одна часть Скиѳовъ,

Digitized by Google

θεῖσα πρότερον μὲν παρὰ τὴν Μαιῆτιν λίμνην φρουρέειν, τότε δὲ ἐπὶ τὸν Ἴστρον Ἴωσι ἐς λόγους ἐλθεῖν, ὡς ἀπίκετο ἐπὶ τὴν γέφυραν, ἔλεγε τάδε· «Ἄνδρες Ἴωνες, ἐλευθερίην ἤκομεν ὑμῖν φέροντες, ἢν πέρ γε ἐθέλητε ἐσακούειν. πυνθανόμεθα γὰρ Δαρεῖον ἐντείλασθαι ὑμῖν ἑξήκοντα ἡμέρας μούνας φρουρήσαντας τὴν γέφυραν, αὐτοῦ μὴ παραγενομένου ἐν τούτῳ τῷ χρόνῳ ἀπαλλάσσεσθαι ἐς τὴν ὑμετέρην. νῦν ὦν ὑμεῖς τάδε ποιεῦντες ἐκτὸς μὲν ἔσεσθε πρὸς ἐκείνου αἰτίης, ἐκτὸς δὲ πρὸς ἡμέων· τὰς προκειμένας ἡμέρας παραμείναντες τὸ ἀπὸ τούτου ἀπαλλάσσεσθε». οὗτοι μέν νυν ὑποδεξαμένων Ἰώνων ποιήσειν ταῦτα ὀπίσω τὴν ταχίστην ἠπείγοντο. — 134. Πέρσῃσι δὲ μετὰ τὰ δῶρα ἐλθόντα Δαρείῳ ἀντετάχθησαν οἱ ὑπολειφθέντες Σκύθαι πεζῷ καὶ ἵπποισι ὡς συμβαλέοντες. τεταγμένοισι δὲ τοῖσι Σκύθῃσι λαγὸς ἐς τὸ μέσον διήλατο· τῶν δὲ ὡς ἕκαστοι ὦρων τὸν λαγὸν ἐδίωκον. ταραχθέντων δὲ τῶν Σκυθέων καὶ βοῇ χρεωμένων εἵρετο ὁ Δαρεῖος τῶν ἀντιπολεμίων τὸν θόρυβον· πυθόμενος δέ σφεας τὸν λαγὸν διώκοντας, εἶπε ἄρα πρὸς τοὺς περ ἐώθεε καὶ τὰ ἄλλα λέγειν· «Οὗτοι ὦνδρες ἡμέων πολλὸν καταφρονέουσι, καί μοι νῦν φαίνεται Γοβρύης εἶπαι περὶ τῶν Σκυθικῶν δώρων ὀρθῶς. ὡς ὧν οὕτω ἤδη δοκεόντων καὶ αὐτῷ μοι ἔχειν, βουλῆς ἀγαθῆς δεῖ, ὅκως ἀσφαλέως ἡ κομιδὴ ἡμῖν ἔσται τὸ ὀπίσω». πρὸς ταῦτα Γοβρύης εἶπε· «ὦ βασιλεῦ, ἐγὼ σχεδὸν μὲν καὶ λόγῳ ἠπιστάμην τούτων τῶν ἀνδρῶν τὴν ἀπορίην, ἐλθὼν δὲ μᾶλλον ἐξέμαθον, ὁρέων αὐτοὺς ἐμπαίζοντας ἡμῖν. νῦν ὦν μοι δοκέει, ἐπεὰν τάχιστα νὺξ ἐπέλθῃ, ἐκκαύσαντας τὰ πυρὰ ὡς ἐώθαμεν καὶ ἄλλοτε ποιέειν, τῶν στρατιωτέων τοὺς ἀσθενεστάτους ἐς τὰς ταλαιπωρίας ἐξαπατήσαντας καὶ τοὺς ὄνους πάντας καταδήσαντας ἀπαλλάσσεσθαι, πρὶν ἢ καὶ ἐπὶ τὸν Ἴστρον ἰθῦσαι Σκύθας λύσοντας τὴν γέφυραν, ἢ καί τι Ἴωσι δόξαι τὸ ἡμέας οἷόν τε ἔσται ἐξεργάσασθαι».

135. Γοβρύης μὲν ταῦτα συνεβούλευε. μετὰ δὲ νὺξ τε ἐγίνετο καὶ Δαρεῖος ἐχρᾶτο τῇ γνώμῃ ταύτῃ· τοὺς μὲν καματηροὺς τῶν ἀνδρῶν καὶ τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος, καὶ τοὺς ὄνους πάντας κατα-

именно та, которая сначала была поставлена на стражѣ у озера Меотиды, а затѣмъ *отправлена* къ Истру для переговоровъ съ Іонійцами, по прибытіи къ мосту заявила *имъ* слѣдующее «Іонійцы, мы принесли вамъ свободу, если только вы захотите насъ выслушать. Мы слышали, что Дарій указалъ вамъ сторожить мостъ только 60 дней и, если онъ въ теченіи этого срока не явится, возвратиться на родину. Теперь вы не провинитесь ни передъ нимъ, ни передъ нами, если поступите слѣдующимъ образомъ: подождите назначенное *число* дней, а затѣмъ отправляйтесь *на родину*». Іонійцы согласились сдѣлать это, и Скиѳы немедленно поспѣшили обратно.— 134. *Между тѣмъ* послѣ поднесенія даровъ Дарію оставшіеся *въ своей землѣ* Скиѳы, пѣшіе и конные, выстроились противъ Персовъ для боя; когда они *уже* стояли въ боевомъ порядкѣ, *вдругъ* между ними проскочилъ заяцъ; Скиѳы, чуть замѣтили его, бросились за нимъ въ догонку. Когда у нихъ поднялась суматоха и крики, Дарій спросилъ *о причинѣ* тревоги среди непріятелей. Узнавъ, что они гоняются за зайцемъ, онъ сказалъ лицамъ, которымъ обыкновенно сообщалъ свои мысли: «Эти люди относятся къ намъ съ большимъ пренебреженіемъ, и мнѣ теперь ясно, что Говрій правильно объяснилъ смыслъ скиѳскихъ даровъ. Положеніе дѣла и мнѣ самому представляется уже такимъ и потому слѣдуетъ хорошенько обсудить, какъ намъ обезпечить себѣ возвращеніе». На это Говрій отвѣтилъ: «Царь, недоступность этихъ людей была мнѣ приблизительно извѣстна по слухамъ, а на мѣстѣ я еще болѣе убѣдился въ ней, видя, какъ они издѣваются надъ нами. Поэтому теперь я полагаю, что лишь только наступитъ ночь, намъ слѣдуетъ зажечь огни, какъ мы обыкновенно это дѣлаемъ, обмануть тѣхъ изъ нашихъ людей, которые наиболѣе слабы для перенесенія лишеній, привязать всѣхъ ословъ и отступить, пока еще Скиѳы не поспѣшили и къ Истру съ цѣлью разрушить мостъ, или Іонійцы не приняли какого нибудь рѣшенія, которое могло бы насъ погубить».

135. Таковъ былъ совѣтъ Говрія. Затѣмъ наступила ночь и Дарій сталъ приводить его въ исполненіе; людей слабыхъ и такихъ, гибель которыхъ была наименѣе чувствительна, а также всѣхъ ословъ на

Digitized by Google

δήσας κατέλιπε αὐτοῦ ἐν τῷ στρατοπέδῳ· κατέλιπε δὲ τούς τε ὄνους καὶ τοὺς ἀσθενέας τῆς στρατιῆς τῶνδε εἵνεκεν, ἵνα οἱ μὲν ὄνοι βοὴν παρέχωνται· οἱ δὲ ἄνθρωποι ἀσθενείης μὲν εἵνεκεν κατελείποντο, πρόφασις δὲ τῆσδε δηλαδή, ὡς αὐτὸς μὲν σὺν τῷ καθαρῷ τοῦ στρατοῦ ἐπιθήσεσθαι μέλλοι τοῖσι Σκύθῃσι, οὗτοι δὲ τὸ στρατόπεδον τοῦτον τὸν χρόνον φυλάσσοιεν. ταῦτα τοῖσι ὑπολειπομένοισι ὑποθέμενος ὁ Δαρεῖος καὶ πυρὰ ἐκκαύσας τὴν ταχίστην ἠπείγετο ἐπὶ τὸν Ἴστρον. οἱ δὲ ὄνοι ἐρημωθέντες τοῦ στρατοῦ οὕτω δὴ μᾶλλον πολλῷ ἦσαν τῆς φωνῆς· ἀκούσαντες δὲ οἱ Σκύθαι τῶν ὄνων πάγχυ κατὰ χώρην ἤλπιζον τοὺς Πέρσας εἶναι. — 136. ἡμέρης δὲ γενομένης γνόντες οἱ ὑπολειφθέντες ὡς προδεδομένοι εἶεν ὑπὸ Δαρείου, χεῖράς τε προετείνοντο τοῖσι Σκύθῃσι καὶ ἔλεγον τὰ κατήκοντα· οἱ δὲ ὡς ἤκουσαν ταῦτα, τὴν ταχίστην συστραφέντες, αἵ τε δύο μοῖραι τῶν Σκυθέων καὶ ἡ ἀπὸ καὶ Σαυρομάται καὶ Βουδῖνοι καὶ Γελωνοί, ἐδίωκον τοὺς Πέρσας ἰθὺ τοῦ Ἴστρου. ἅτε δὲ τοῦ Περσικοῦ μὲν τοῦ πολλοῦ ἐόντος πεζοῦ στρατοῦ καὶ τὰς ὁδοὺς οὐκ ἐπισταμένου, ὥστε οὐ τετμημένων τῶν ὁδῶν, τοῦ δὲ Σκυθικοῦ ἱππότεω καὶ τὰ σύντομα τῆς ὁδοῦ ἐπισταμένου ἁμαρτόντες ἀλλήλων, ἔφθησαν πολλῷ οἱ Σκύθαι τοὺς Πέρσας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι. μαθόντες δὲ τοὺς Πέρσας οὔκω ἀπιγμένους ἔλεγον πρὸς τοὺς Ἴωνας ἐόντας ἐν τῇσι νηυσί· «ἄνδρες Ἴωνες, αἵ τε ἡμέραι ὑμῖν τοῦ ἀριθμοῦ διοίχηνται καὶ οὐ ποιέετε δίκαια ἔτι παραμένοντες. ἀλλ' ἐπεὶ πρότερον δειμαίνοντες ἐμένετε, νῦν λύσαντες τὸν πόρον τὴν ταχίστην ἄπιτε χαίροντες ἐλεύθεροι, θεοῖσί τε καὶ Σκύθῃσι εἰδότες χάριν. τὸν δὲ πρότερον ἐόντα ὑμέων δεσπότην ἡμεῖς παραστησόμεθα οὕτω ὥστε ἐπὶ μηδαμοὺς ἔτι ἀνθρώπους αὐτὸν στρατεύσασθαι».

137. Πρὸς ταῦτα Ἴωνες ἐβουλεύοντο. Μιλτιάδεω μὲν τοῦ Ἀθηναίου, στρατηγέοντος καὶ τυραννεύοντος Χερσονησιτέων τῶν ἐν Ἑλλησπόντῳ, ἣν γνώμη πείθεσθαι Σκύθῃσι καὶ ἐλευθεροῦν Ἰωνίην, Ἰστιαίου δὲ τοῦ Μιλησίου ἐναντίη ταύτῃ, λέγοντος ὡς νῦν μὲν διὰ Δαρεῖον ἕκαστος αὐτῶν τυραννεύει πόλιος· τῆς Δαρείου δὲ δυνάμιος καταφθειρομένης οὔτε αὐτὸς Μιλησίων οἷός τε ἔσεσθαι ἄρχειν οὔτε ἄλλον οὐδένα οὐδαμῶν βουλήσεσθαι γὰρ ἑκάστην τῶν πο-

привязи онъ оставилъ на мѣстѣ въ лагерѣ; ословъ онъ оставилъ для того, чтобы они рычали, а люди были оставлены по причинѣ ихъ слабости, но, разумѣется, подъ слѣдующимъ предлогомъ: самъ онъ съ отборными силами будто-бы вознамѣрился напасть на Скиѳовъ, а слабосильные въ это время должны были охранять лагерь. Отдавъ такія приказанія оставшимся, Дарій велѣлъ зажечь огни и немедленно поспѣшилъ къ Истру. Ослы, отдѣленные отъ войска, начали рычать гораздо громче обыкновеннаго; Скиѳы же, слыша *ревъ*ословъ, были вполнѣ увѣрены, что Персы стоятъ на мѣстѣ.

136. Съ наступленіемъ дня покинутые *Персы*, понявъ, что они преданы Даріемъ, простирали къ Скиѳамъ руки и обращались съ приличными *ихъ положенію* *рѣчами*. Скиѳы, услышавъ это, поспѣшно собрались вмѣстѣ, *именно* двѣ части ихъ самихъ и третья вмѣстѣ съ Савроматами, Будинами и Гелонами, и пустились въ погоню за Персами прямо къ Истру. Такъ какъ персидское войско состояло главнымъ образомъ изъ пѣхоты и не знало дорогъ, которыя, *впрочемъ*, и не были наѣзжены, а скиѳское войско было конное и знало кратчайшіе пути, то *Скиѳы и Персы* миновали другъ друга, и Скиѳы достигли моста гораздо раньше Персовъ. Узнавъ, что Персы еще не пришли, они обратились къ Іонійцамъ, находившимся на судахъ, съ слѣдующими словами: «Іонійцы, уже прошло назначенное вамъ число дней и вы поступаете неблагоразумно, оставаясь *здѣсь;* если прежде вы оставались изъ страха, то теперь уничтожьте переправу и въ добрый часъ уходите поскорѣе свободными, благодаря боговъ и Скиѳовъ; вашего же прежняго повелителя мы поставимъ въ такое положеніе, что онъ больше ни на кого не двинется войною».

137. По этому поводу Іонійцы устроили совѣщаніе. Аѳинянинъ Милтіадъ, бывшій вождемъ и тираномъ Херсонисцевъ, живущихъ на Геллеспонтѣ, совѣтовалъ послушаться Скиѳовъ и освободить Іонію; его мнѣнію противоположно было мнѣніе Милитянина Истіэя, который говорилъ, что въ настоящее время благодаря Дарію каждый изъ нихъ владѣетъ городомъ, а въ случаѣ паденія могущества Дарія, какъ онъ самъ не будетъ въ состояніи сохра-

Digitized by Google

λίων δημοκρατέεσθαι μᾶλλον ἢ τυραννεύεσθαι. Ἰστιαίου δὲ γνώμην ταύτην ἀποδεικνυμένου αὐτίκα πάντες ἦσαν τετραμμένοι πρὸς ταύτην τὴν γνώμην, πρότερον τὴν Μιλτιάδεω αἱρεόμενοι.

нить власть надъ Милитянами, такъ и никто другой ни надъ кѣмъ, такъ какъ каждый городъ предпочтетъ народное правленіе господству тиранна. Когда Истіэй высказалъ такое мнѣніе, всѣ тотчасъ присоединились къ нему, хотя раньше согласились было съ мнѣніемъ Милтіада [1]).

[Гл. 138. Перечень лицъ, подавшихъ голоса на этомъ совѣтѣ].

139. Οὗτοι (ὦν) ἐπείτε τὴν Ἰστιαίου αἱρέοντο γνώμην, ἔδοξέ σφι πρὸς ταύτῃ τάδε ἔργα τε καὶ ἔπεα προσθεῖναι, τῆς μὲν γεφύρης λύειν τὰ κατὰ τοὺς Σκύθας ἐόντα, λύειν δὲ ὅσον τόξευμα ἐξικνέεται, ἵνα καὶ ποιέειν τι δοκέωσι ποιεῦντες μηδὲν καὶ οἱ Σκύθαι μὴ πειρήσατο βιώμενοι [καὶ βουλόμενοι διαβῆναι τὸν Ἴστρον κατὰ τὴν γέφυραν], εἰπεῖν τε λύοντας τῆς γεφύρης τὸ ἐς τὴν Σκυθικὴν ἔχον ὡς πάντα ποιήσουσι τὰ Σκύθῃσι ἐστὶ ἐν ἡδονῇ. ταῦτα μὲν προσέθηκαν τῇ γνώμῃ· μετὰ δὲ ἐκ πάντων ὑπεκρίνατο Ἰστιαῖος τάδε λέγων· «Ἄνδρες Σκύθαι, χρηστὰ ἥκετε φέροντες καὶ ἐς καιρὸν ἐπείγεσθε· καὶ τά τε ἀπ' ὑμέων ἡμῖν χρηστῶς ὁδοῦται καὶ τὰ ἀπ' ἡμέων ἐς ὑμέας ἐπιτηδέως ὑπηρετέεται. ὡς γὰρ ὁρᾶτε, καὶ λύομεν τὸν πόρον καὶ προθυμίην πᾶσαν ἔξομεν θέλοντες εἶναι ἐλεύθεροι. ἐν ᾧ δὲ ἡμεῖς τάδε λύομεν, ὑμέας καιρός ἐστι δίζησθαι ἐκείνους, εὑρόντας δὲ ὑπέρ τε ἡμέων καὶ ὑμέων αὐτῶν τίσασθαι οὕτω ὡς κείνους πρέπει».

139. Принявъ мнѣніе Истіэя, тираны рѣшили дополнить его слѣдующими дѣйствіями и рѣчами: разрушить часть моста со стороны Скиѳовъ и притомъ *только* на разстояніи выстрѣла изъ лука, для того, чтобы казалось, что они кое-что сдѣлали, между тѣмъ какъ *на самомъ дѣлѣ они* ничего не дѣлали, а также для того, чтобы Скиѳы не попытались прибѣгнуть къ силѣ [и не пожелали перейти по мосту черезъ Истръ]; *рѣшено было также* сказать имъ при уничтоженіи обращенной къ Скиѳіи части моста, что они сдѣлаютъ все, что пріятно Скиѳамъ. Вотъ чѣмъ они дополнили совѣтъ *Истіэя;* послѣ *этого* Истіэй отъ *имени* всѣхъ сказалъ въ отвѣтъ *Скиѳамъ:* «Вы, Скиѳы, пришли съ благимъ совѣтомъ и попали *какъ разъ* во время; вы даете намъ хорошія указанія и за это съ нашей стороны найдете готовность *хорошо* служить вамъ: какъ видите, мы уничтожаемъ переправу и приложимъ всѣ старанія къ тому, чтобы быть свободными. Пока мы заняты снятіемъ моста, вамъ пора искать Персовъ и, нашедши, отплатить имъ и за насъ и за себя, какъ они того заслуживаютъ».

140. Σκύθαι μὲν τὸ δεύτερον Ἴωσι πιστεύοντες λέγειν ἀληθέα ὑπέστρεφον ἐπὶ ζήτησιν τῶν Περσέων, καὶ ἡμάρτανον πάσης τῆς ἐκείνων διεξόδου. αἴτιοι δὲ τούτου αὐτοὶ οἱ Σκύθαι ἐγένοντο, τὰς νομὰς τῶν ἵππων τὰς ταύτῃ διαφθείραντες καὶ τὰ ὕδατα συγχώσαντες. εἰ γὰρ ταῦτα μὴ ἐποίησαν, παρεῖχε ἄν σφι, εἰ ἐβούλοντο, εὐπετέως ἐξευρεῖν τοὺς Πέρσας· νῦν δὲ τά σφι ἐδόκεε ἄριστα βεβουλεῦσθαι, κατὰ ταῦτα

140. Скиѳы, вторично повѣривъ, что Іонійцы говорятъ правду, повернули назадъ для розысканія Персовъ, но никакъ не могли напасть на ихъ дорогу. Въ этомъ были виноваты сами Скиѳы, такъ какъ они уничтожили пастбища для лошадей въ этой мѣстности и засыпали источники: не сдѣлай они этого, имъ легко можно было бы отыскать Персовъ, если бы захотѣли; а теперь они потерпѣли неудачу

1) Ср. объ этомъ рѣчь Артавана (VII, 10 γ): «Я предполагаю это вовсе не собственнымъ умомъ, а *припоминаю*, какое бѣдствіе едва не постигло насъ, когда отецъ твой, соединивъ *мостомъ* Воспоръ Ѳракійскій и наведя мостъ на рѣкѣ Истрѣ, переправился противъ Скиѳовъ. Тогда Скиѳы всячески упрашивали Іонійцевъ, которымъ было поручено охранять мосты на Истрѣ, уничтожить переправу. И если бы тогда Истіэй, тиранъ Милитскій, послѣдовалъ мнѣнію прочихъ тирановъ и не воспротивился, то персидское могущество погибло бы. Странно даже слышать, что вся судьба царя была въ рукахъ одного человѣка!» Ср. также VII, 52.

Digitized by Google

ἐσφάλησαν. Σκύθαι μέν νυν τῆς σφετέρης χώρης τῇ χιλός τε τοῖσι ἵπποισι καὶ ὕδατα ἦν, ταύτῃ διεξιόντες ἐδίζηντο τοὺς ἀντιπολεμίους, δοκέοντες καὶ ἐκείνους διὰ τοιούτων τὴν ἀπόδρησιν ποιέεσθαι· οἱ δὲ δὴ Πέρσαι τὸν πρότερον ἐωυτῶν γενόμενον στίβον, τοῦτον φυλάσσοντες ἦισαν, καὶ οὕτω μόγις εὗρον τὸν πόρον. οἷα δὲ νυκτός τε ἀπικόμενοι καὶ λελυμένης τῆς γεφύρης ἐντυχόντες ἐς πᾶσαν ἀρρωδίην ἀπίκατο μή σφεας οἱ Ἴωνες ἔωσι ἀπολελοιπότες. — 141. ἦν δὲ περὶ Λαρεῖον ἀνὴρ Αἰγύπτιος φωνέων μέγιστον ἀνθρώπων· τοῦτον τὸν ἄνδρα καταστάντα ἐπὶ τοῦ χείλεος τοῦ Ἴστρου ἐκέλευε Δαρεῖος καλέειν Ἱστιαῖον Μιλήσιον. ὁ μὲν δὴ ἐποίεε ταῦτα, Ἱστιαῖος δὲ ἐπακούσας τῷ πρώτῳ κελεύσματι τάς τε νέας ἁπάσας παρεῖχε διαπορθμεύειν τὴν στρατιὴν καὶ τὴν γέφυραν ἔζευξε. — 142. Πέρσαι μὲν ὦν οὕτω ἐκφεύγουσι, Σκύθαι δὲ διζήμενοι καὶ τὸ δεύτερον ἥμαρτον τῶν Περσέων, καὶ τοῦτο μὲν ὡς ἐόντας Ἴωνας ἐλευθέρους κακίστους τε καὶ ἀνανδροτάτους κρίνουσι εἶναι ἁπάντων ἀνθρώπων, τοῦτο δέ, ὡς δούλων ἐόντων τὸν λόγον ποιεύμενοι, ἀνδραπόδα φιλοδέσποτα φασὶ εἶναι καὶ ἄδρηστα. ταῦτα μὲν δὴ Σκύθῃσι ἐς Ἴωνας ἀπέρριπται.

143. Δαρεῖος δὲ διὰ τῆς Θρηίκης πορευόμενος ἀπίκετο ἐς Σηστὸν τῆς Χερσονήσου· ἐνθεῦτεν δὲ αὐτὸς μὲν διέβη τῇσι νηυσὶ ἐς τὴν Ἀσίην, λείπει δὲ στρατηγὸν ἐν τῇ Εὐρώπῃ Μεγάβαζον ἄνδρα Πέρσην... ἔχοντα τῆς στρατιῆς τῆς ἐωυτοῦ ὀκτὼ μυριάδας.

вслѣдствіе именно той мѣры, которая представлялась имъ самою полезною. Дѣло въ томъ, что Скиѳы искали враговъ, идя по той *части* своей страны, въ которой былъ и кормъ для лошадей и вода, въ полной увѣренности, что и тѣ отступаютъ по такимъ мѣстамъ; между тѣмъ Персы придерживались на обратномъ пути проложенныхъ ими раньше слѣдовъ и *только* такимъ образомъ нашли мѣсто переправы, да и то съ трудомъ. Добравшись *до моста* ночью и найдя его снятымъ, они пришли въ сильное безпокойство, не покинули-ли ихъ Іонійцы.

141. Въ свитѣ Дарія былъ одинъ Эгинтянинъ, обладавшій чрезвычайно громкимъ голосомъ; этому человѣку Дарій приказалъ стать на берегу Истра и кликнуть Истіэя Милитянина; такъ онъ и сдѣлалъ. Истіэй, услышавъ первый же зовъ его, доставилъ всѣ суда для переправы войска и *снова* навелъ мостъ.

142. Такъ спаслись Персы. Скиѳы въ своихъ поискахъ и во второй разъ не нашли Персовъ и съ одной стороны, смотря на Іонійцевъ какъ на *людей* свободныхъ, считаютъ ихъ самыми жалкими трусами, съ другой же, смотря на нихъ какъ на рабовъ, называютъ ихъ весьма преданными господамъ и несклонными къ побѣгу. Таковы отзывы Скиѳовъ объ Іонійцахъ.

143. Дарій на пути чрезъ Ѳракію прибылъ въ Систъ на Херсонисѣ и отсюда самъ переправился на корабляхъ въ Азію, а въ Европѣ оставилъ воеводою Перса Мегабаза... съ восемью миріадами своего войска.

9. Вторженіе Скиѳовъ въ Херсонисъ Ѳракійскій.

Переводъ В. Л.

VI, 40. Οὗτος δὲ ὁ Κίμωνος Μιλτιάδης νεωστὶ μὲν ἐληλύθεε ἐς τὴν Χερσόνησον, κατελάμβανε δέ μιν ἐλθόντα ἄλλα τῶν καταλαβόντων πρηγμάτων χαλεπώτερα. τρίτῳ μὲν γὰρ ἔτεϊ πρὸ τούτων Σκύθας ἐκφεύγει. Σκύθαι γὰρ οἱ νομάδες ἐρεθισθέντες ὑπὸ βασιλέος Δαρείου συνεστράφησαν καὶ ἦλασαν μέχρι τῆς Χερσονήσου ταύτης· τούτους ἐπιόντας οὐκ ὑπομείνας ὁ Μιλτιάδης ἔφευγε Χερσόνησον, ἐς ὃ οἵ τε Σκύθαι ἀπαλλάχθησαν καὶ ἐκεῖνον Δόλογκοι κατήγαγον ὀπίσω.

VI, 40. Этотъ Милтіадъ, сынъ Кимоновъ, недавно прибылъ на Херсонисъ, и по прибытіи его постигла другая *бѣда*, тягчайшая прежнихъ несчастій: за два года до этого онъ бѣгствомъ спасся отъ Скиѳовъ. Дѣло въ томъ, что раздраженные царемъ Даріемъ Скиѳы-кочевники собрались въ походъ и дошли до этого Херсониса. Милтіадъ, не дождавшись ихъ нашествія, бѣжалъ изъ Херсониса и *жилъ внѣ его*, пока не удалились Скиѳы и Долонки не возвратили его назадъ.

Digitized by Google

10. Изъ разсказовъ о причинахъ умопомѣшательства Клеомена I, царя Спартанскаго.

VI, 84. ...Αὐτοὶ δὲ Σπαρτιῆται φασὶ ἐκ δαιμονίου μὲν οὐδενὸς μανῆναι Κλεομένεα, Σκύθῃσι δὲ ὁμιλήσαντά μιν ἀκρητοπότην γενέσθαι καὶ ἐκ τούτου μανῆναι. Σκύθας γὰρ τοὺς νομάδας, ἐπείτε σφι Δαρεῖον ἐμβαλεῖν ἐς τὴν χώρην, μετὰ ταῦτα μεμονέναι μιν τίσασθαι, πέμψαντας δὲ ἐς Σπάρτην συμμαχίην τε ποιέεσθαι καὶ συντίθεσθαι ὡς χρεὸν εἴη αὐτοὺς μὲν τοὺς Σκύθας παρὰ Φᾶσιν ποταμὸν πειρᾶν ἐς τὴν Μηδικὴν ἐσβάλλειν, σφέας δὲ τοὺς Σπαρτιήτας κελεύειν ἐξ Ἐφέσου ὁρμωμένους ἀναβαίνειν καὶ ἔπειτα ἐς τὠυτὸ ἀπαντᾶν. Κλεομένεα δὲ λέγουσι ἡκόντων τῶν Σκυθέων ἐπὶ ταῦτα ὁμιλέειν σφι μεζόνως, ὁμιλέοντα δὲ μᾶλλον τοῦ ἱκνεομένου μαθεῖν τὴν ἀκρητοποσίην παρ' αὐτῶν· ἐκ τούτου δὲ μανῆναί μιν νομίζουσι Σπαρτιῆται. ἔκ τε τόσου, ὡς αὐτοὶ λέγουσι, ἐπεὰν ζωρότερον βούλωνται πιεῖν, «ἐπισκύθισον» λέγουσι.

VI, 84. Сами Спартіаты говорятъ, что Клеоменъ впалъ въ умопомѣшательство вовсе не по волѣ божества, но что вслѣдствіе общенія со Скиѳами онъ сталъ пить цѣльное [т. е. не смѣшанное съ водою] вино и отъ этого сошелъ съ ума. Именно Скиѳы-кочевники, послѣ того какъ Дарій вторгся въ ихъ страну, возымѣли де желаніе отомстить ему и, отправивъ *пословъ* въ Спарту, предлагали союзъ и уговаривались, что самимъ Скиѳамъ нужно пытаться вторгнуться въ Мидію вдоль рѣки Фасида, а имъ, Спартіатамъ, предлагали двинуться изъ Ефеса въ глубь *М. Азіи* и затѣмъ сойдтись *съ ними* въ одно *мѣсто*. Говорятъ, что когда Скиѳы пришли съ этою цѣлью въ *Спарту*, Клеоменъ слишкомъ часто бывалъ въ ихъ обществѣ и, дружась съ ними болѣе чѣмъ слѣдовало, научился отъ нихъ пить цѣльное вино; отъ этого, *какъ* полагаютъ Спартіаты, онъ и сошелъ съ ума. Съ тѣхъ поръ, какъ они сами говорятъ, когда захотятъ выпить менѣе разбавленнаго *вина*, то употребляютъ слово «подскиѳь» (налей по скиѳски).

11. Сравненіе величины Ксерксовыхъ полчищъ съ прежними.

VII, 20. ...Στόλων γὰρ τῶν ἡμεῖς ἴδμεν πολλῷ δὴ μέγιστος οὗτος ἐγένετο, ὥστε μήτε τὸν Δαρείου τὸν ἐπὶ Σκύθας παρὰ τοῦτον μηδένα φαίνεσθαι, μήτε τὸν Σκυθικόν, ὅτε Σκύθαι Κιμμερίους διώκοντες ἐς τὴν Μηδικὴν χώρην ἐσβαλόντες σχεδὸν πάντα τὰ ἄνω τῆς Ἀσίης καταστρεψάμενοι ἐνέμοντο, τῶν εἵνεκεν ὕστερον Δαρεῖος ἐτιμωρέετο...

VII, 20. Это *войско* [Ксеркса] оказалось гораздо многочисленнѣйшимъ всѣхъ извѣстныхъ намъ войскъ, такъ что въ сравненіи съ нимъ оказывается ничтожнымъ и *войско* Дарія, *ходившее* на Скиѳовъ, и скиѳское, когда Скиѳы, преслѣдуя Киммерійцевъ и вторгнувшись въ Мидійскую землю, покорили и заняли почти всю верхнюю Азію, за что *именно* впослѣдствіи Дарій и хотѣлъ ихъ наказать...

12. Изъ описанія народовъ, участвовавшихъ въ походѣ Ксеркса.

VII, 62. ...οἱ δὲ Μῆδοι ἄρχοντα μὲν παρείχοντο Τιγράνην ἄνδρα Ἀχαιμενίδην, ἐκαλέοντο δὲ πάλαι πρὸς πάντων Ἄριοι, ἀπικομένης δὲ Μηδείης τῆς Κολχίδος ἐξ Ἀθηνέων ἐς τοὺς Ἀρίους τούτους μετέβαλον καὶ οὗτοι τὸ οὔνομα. αὐτοὶ περὶ σφέων ὧδε λέγουσι Μῆδοι.

78. Μόσχοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι κυνέας ξυλίνας εἶχον, ἀσπίδας δὲ καὶ αἰχ-

VII, 62. Мидяне имѣли предводителемъ Ахэменида Тиграна; они въ старину у всѣхъ назывались Аріями, когда же колхидянка Мидія прибыла изъ Аѳинъ къ этимъ Аріямъ, и они перемѣнили *свое* имя; такъ говорятъ о себѣ сами Мидяне.

78. Мосхи имѣли на головахъ деревянныя шапки, а *оружіемъ* имъ служили

Digitized by Google

μὰς σμικράς· λόγχαι δὲ ἐπῆσαν μεγάλαι. Τιβαρηνοὶ δὲ καὶ Μάκρωνες καὶ Μοσσύνοικοι κατὰ περ Μόσχοι ἐσκευασμένοι ἐστρατεύοντο. τούτους δὲ συνέτασσον ἄρχοντες οἵδε, Μόσχους μὲν καὶ Τιβαρηνοὺς Ἀριόμαρδος ὁ Δαρείου τε παῖς καὶ Πάρμυος τῆς Σμέρδιος τοῦ Κύρου, Μάκρωνας δὲ καὶ Μοσσυνοίκους Ἀρταύκτης ὁ Χεράσμιος, ὃς Σηστὸν τὴν ἐν Ἑλλησπόντῳ ἐπετρόπευε.

79. Μάρες δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι κράνεα ἐπιχώρια πλεκτὰ εἶχον, ἀσπίδας δὲ δερματίνας μικρὰς καὶ ἀκόντια. Κόλχοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι κράνεα ξύλινα, ἀσπίδας δὲ ὠμοβοίνας μικρὰς αἰχμάς τε βραχέας, πρὸς δὲ μαχαίρας εἶχον. Μαρῶν δὲ καὶ Κόλχων ἦρχε Φαρανδάτης ὁ Τεάσπιος. Ἀλαρόδιοι δὲ καὶ Σάσπειρες κατὰ περ Κόλχοι ὡπλισμένοι ἐστρατεύοντο. τούτων δὲ Μασίστιος ὁ Σιρομίτρεω ἦρχε.

небольшіе щиты и копья; наконечники *на копьях*ъ были большіе. Тиварины, Макроны и Моссинники шли въ походъ, вооруженные подобно Мосхамъ. Предводительствовали ими слѣдующіе начальники: Мосхами и Тиваринами Аріомардъ, сынъ Дарія и Парміи, дочери Смердія, сына Кирова, а Макронами и Моссиниками Артаиктъ, сынъ Херасмія, который управлялъ Систомъ, что на Геллеспонтѣ.

79. Мары имѣли на головахъ туземные плетеные шлемы и *вооружены были* небольшими кожаными щитами и дротиками. Колхи на головахъ *носили* деревянные шлемы и имѣли небольшіе сыромятные щиты и короткія копья, а кромѣ того ножи. Марами и Колхами начальствовалъ Фарандатъ, сынъ Теаспія. Аларoдіи и Саспиры шли вооруженные подобно Колхамъ; ими начальствовалъ Масистій, сынъ Сиромитра.

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΠΕΡΙ ΑΕΡΩΝ, ΥΔΑΤΩΝ, ΤΟΠΩΝ.

ИППОКРАТЪ.

«О ВОЗДУХѢ, ВОДАХЪ И МѢСТНОСТЯХЪ».

[Род. 460, ум. около 377 г. до Р. Хр. — Текстъ: Hippocratis et aliorum medicorum veterum reliquiae, mandatu Academiae regiae disc. quae Amstelodami est ed. Fr. Zach. Ermerins [1]). Vol. I. Tr. ad Rh. 1859].

Переводъ **В. Л.**

20. Περὶ τῶν ἐν δεξιῇ τοῦ ἡλίου τῶν ἀνατολέων τῶν Θερινῶν μέχρι Μαιώτιδος λίμνης [οὗτος γὰρ ὅρος τῆς Εὐρώπης καὶ τῆς Ἀσίης] ὧδε ἔχει περὶ αὐτῶν· τάδε τὰ ἔθνεα ταύτῃ διάφορα αὐτὰ ἑωυτῶν μᾶλλόν ἐστι τῶν προδιηγημένων διὰ τὰς μεταβολὰς τῶν ὡρέων καὶ τῆς χώρης τὴν φύσιν...

20. Относительно *народовъ, живущихъ* направо отъ лѣтняго восхода солнца до озера Меотиды, составляющаго границу Европы и Азіи, можно сказать слѣдующее. Эти народы въ этомъ отношеніи болѣе отличаются другъ отъ друга, чѣмъ тѣ, о которыхъ разсказано выше, по причинѣ непостоянства климата и природныхъ свойствъ страны.

21. Καὶ ὁκόσα μὲν ὀλίγον διαφέρει τῶν ἐθνέων παραλείψω· ὁκόσα δὲ μέγα ἢ φύσι ἢ νόμῳ, ἐρέω περὶ αὐτῶν ὡς ἔχει. καὶ

21. Я умолчу о тѣхъ народахъ, у которыхъ отличія мало замѣтны, и разскажу *только* о тѣхъ, которые *представляютъ*

---

1) Принявъ за основаніе текстъ изд. Эрмеринса, я кое-гдѣ отступалъ отъ него въ интерпункціи и формахъ іоническ. діалекта, при чемъ пользовался изданіемъ Литтрэ (Oeuvres compl. d'Hippocrate, trad. nouvelle avec le texte grec en regard etc., par E. Littré. Tome 2, Par. 1840).

Hipp. V. 3: Verba οὗτος γὰρ — Ἀσίης e textu eiecit Erm., scholion esse putans. || V. 4—5: τάδε τὰ ἔθνεα Erm. pro vulg. τὰ δὲ ἔθνεα ταῦτα. || V. 11: μέγα Corays et Erm. pro vulg. μεγάλα.

Digitized by Google

πρῶτον περὶ τῶν Μακροκεφάλων. τούτῳ γὰρ οὐκ ἔστιν ἄλλο ἔθνος ὁμοίως τὰς κεφαλὰς ἔχον οὐδέν. τὴν μὲν γὰρ ἀρχὴν ὁ νόμος αἰτιώτατος ἐγένετο τοῦ μήκεος τῆς κεφαλῆς, νῦν δὲ καὶ ἡ φύσις ξυμβάλλεται τῷ νόμῳ· τοὺς γὰρ μακροτάτην ἔχοντας τὴν κεφαλὴν γενναιοτάτους ἡγέονται. ἔχει δὲ περὶ νόμου ὧδε· τὸ παιδίον ὁκόταν γένηται τάχιστα, τὴν κεφαλὴν αὐτοῦ ἔτι ἁπαλὴν ἐοῦσαν μαλακοῦ ἐόντος ἀναπλάσσουσι τῇσι χερσὶ καὶ ἀναγκάζουσι ἐς τὸ μῆκος αὔξεσθαι δεσμά τε προσφέροντες καὶ τεχνήματα ἐπιτήδεια, ὑφ' ὧν τὸ μὲν σφαιροειδὲς τῆς κεφαλῆς κακοῦται, τὸ δὲ μῆκος αὔξεται. οὕτω τὴν ἀρχὴν ὁ νόμος κατειργάσατο, ὥστε ὑπὸ βίης τοιαύτην τὴν φύσιν γενέσθαι· τοῦ δὲ χρόνου προϊόντος ἐν φύσι ἐγένετο, ὥστε τὸν νόμον μηκέτι ἀναγκάζειν. ὁ γὰρ γόνος πανταχόθεν ἔρχεται τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρός, ἀπό τε τῶν νοσερῶν νοσερός. εἰ οὖν γίγνονται ἔκ τε τῶν φαλακρῶν φαλακροί, καὶ ἐκ γλαυκῶν γλαυκοι, καὶ ἐκ διεστραμμένων στρεβλοὶ ὡς ἐπὶ τὸ πλῆθος, καὶ περὶ τῆς ἄλλης μορφῆς ὁ αὐτὸς λόγος, τί κωλύει καὶ ἐκ μακροκεφάλου μακροκέφαλον γίγνεσθαι; νῦν δὲ ὁμοίως οὐκέτι γίγνονται ὡς πρότερον· ὁ γὰρ νόμος οὐκέτι ἰσχύει διὰ τὴν ὁμιλίην τῶν ἀνθρώπων. περὶ μὲν οὖν τούτων οὕτω μοι δοκέει.

22. Περὶ δὲ τῶν ἐν Φάσι, ἡ χώρη ἐκείνη ἑλώδης ἐστὶ καὶ θερμὴ καὶ ὑδατεινὴ καὶ δασεῖα· ὄμβροι τε αὐτόθι γίγνονται πᾶσαν ὥρην πολλοί τε καὶ ἰσχυροί· ἥ τε διαιτα τοῖσι ἀνθρώποισι ἐν τοῖσι ἕλεσί ἐστιν· τά τε οἰκήματα ξύλινα καὶ καλάμινα ἐν τοῖσι ὕδασι μεμηχανημένα· ὀλίγῃ τε χρέονται τῇ βαδίσι κατὰ τὴν πόλιν καὶ τὸ ἐμπόριον, ἀλλὰ μονοξύλοισι διαπλέουσι ἄνω καὶ κάτω· διώρυχες γὰρ πολλαί εἰσι. τὰ δὲ ὕδατα θερμὰ καὶ στάσιμα πίνουσι, ὑπό τε

важныя *особенности*, *происходящія* отъ природы или отъ обычаевъ. Прежде всего *скажу* о Длинноголовыхъ. Нѣтъ никакого другаго народа, который имѣлъ-бы подобную форму черепа. Первоначально важнѣйшею причиною удлиненной *формы* головы былъ обычай, а теперь и природа содѣйствуетъ обычаю, *происшедшему* отъ того, что они считаютъ самыми благородными тѣхъ, у кого наиболѣе длинныя головы. Обычай *этотъ* состоитъ въ слѣдующемъ. Лишь только родится ребенокъ, пока еще *кости его* мягки, неотвердѣвшую еще головку выправляютъ руками и принуждаютъ расти въ длину посредствомъ бандажей и *другихъ* подходящихъ приспособленій, вслѣдствіе которыхъ сферическая форма головы портится, а длина ея увеличивается. Первоначально такъ дѣлали по обычаю, такъ что такая форма придавалась головѣ насильственнымъ способомъ; но съ теченіемъ времени это вошло въ природу, такъ что обычай уже не насиловалъ ее. Въ самомъ дѣлѣ, сѣменная жидкость идетъ изъ всѣхъ частей тѣла, отъ здоровыхъ *частей*—здоровая, а отъ больныхъ—ненормальная. Слѣдовательно, если отъ плѣшивыхъ *родителей* родятся плѣшивыя *дѣти*, отъ голубоглазыхъ—голубоглазыя, отъ косоглазыхъ—въ большинствѣ случаевъ косоглазыя, и то-же самое можно сказать о другихъ внѣшнихъ особенностяхъ, то что-же мѣшаетъ и отъ длинноголоваго родиться длинноголовому? Впрочемъ теперь они уже не родятся такими, какъ прежде, потому что обычай этотъ уже не имѣетъ силы, вслѣдствіе сношеній *Длинноголовыхъ* людей *съ другими*. Таково мое мнѣніе относительно этого *явленія*.

22. Что касается до мѣстностей по Фасиду, то страна эта болотистая, жаркая, сырая и лѣсистая. Тамъ во всякое время года бываетъ много сильныхъ дождей. Люди проводятъ *свою* жизнь въ болотахъ, ихъ деревянныя или тростниковыя хижины построены на водѣ; они мало ходятъ пѣшкомъ, *только* въ городѣ или на рынкѣ, а *обыкновенно* разъѣзжаютъ на однодеревкахъ вверхъ и внизъ по каналамъ, которыхъ тамъ множество. Воду пьютъ они

V. 1: τούτῳ Cor. Erm. pro vulg. τουτέων. || V. 15: οὕτω Cor. 1 ed., Littré; αὐτός vulgo, οὗτος Erm. || V. 29: ὁμιλίην L. e cod. Gad. et Erotiano: ἀμέλειαν vulgo. || V. 47: τῇ ante βαδίσι (vulg. βαδίσει) add. Cor.

Digitized by Google

τοῦ ἡλίου σηπόμενα καὶ ὑπὸ τῶν ὄμβρων ἐπαυξόμενα. αὐτός τε ὁ Φᾶσις στασιμώτατος πάντων τῶν ποταμῶν καὶ ῥέων ἠπιώτατα· οἵ τε καρποὶ οἱ γιγνόμενοι αὐτόθι πάντες ἀναλδέες εἰσὶ καὶ τεθηλυσμένοι, καὶ ἀτελέες ὑπὸ πολυπληθείης τοῦ ὕδατος· διὸ καὶ οὐ πεπαίνονται· ἠήρ τε πουλὺς κατέχει τὴν χώρην ἀπὸ τῶν ὑδάτων. διὰ ταύτας δὴ τὰς προφάσιας τὰ εἴδεα ἀπηλλαγμένα τῶν λοιπῶν ἀνθρώπων ἔχουσι οἱ Φασιηνοί· τά τε γὰρ μεγέθεα μεγάλοι, τὰ πάχεα δ' ὑπερπαχέες· ἄρθρον τε κατάδηλον οὐδὲν οὐδὲ φλέψ· τήν τε χροιὴν ὠχρὴν ἔχουσι, ὥσπερ ὑπὸ ἰκτέρου ἐχόμενοι· φθέγγονταί τε βαρύτατον ἀνθρώπων, τῷ ἠέρι χρεόμενοι οὐ λαμπρῷ, ἀλλὰ χνοώδεϊ τε καὶ διερῷ· πρός τε τὸ ταλαιπορέειν τὸ σῶμα ἀργότεροι πεφύκασι· αἵ τε ὧραι οὐ πολὺ μεταλλάσσουσι οὔτε πρὸς τὸ ψύχος· τά τε πνεύματα τὰ πολλὰ νότια πλὴν αὔρης μιῆς ἐπιχωρίης· αὕτη δὲ πνέει ἐνίοτε βίαιος καὶ χαλεπὴ καὶ θερμή, καὶ Κέγχρονα ὀνομάζουσι τοῦτο τὸ πνεῦμα. ὁ δὲ βορέης οὐ σφόδρα ἀφικνέεται· ὁκόταν δὲ πνέῃ, ἀσθενὴς καὶ βληχρός. καὶ περὶ μὲν τῆς φύσιος τῆς διαφορῆς καὶ τῆς μορφῆς τῶν ἐν τῇ Ἀσίῃ καὶ τῇ Εὐρώπῃ οὕτως ἔχει.

теплую, стоячую, гніющую отъ солнечнаго жара и пополняемую дождями. Самый Фасисъ тише всѣхъ *другихъ* рѣкъ и течетъ едва замѣтно. Произрастающіе тамъ плоды всѣ плохо удаются, отличаются дряблостью, и вслѣдствіе изобилія воды не спѣютъ какъ слѣдуетъ; поэтому они и не созрѣваютъ. *Поднимающійся* отъ водъ густой туманъ окутываетъ *всю* страну. Вслѣдствіе этихъ причинъ Фасіаны рѣзко отличаются *своею* наружностью отъ остальныхъ людей. Они высоки ростомъ и чрезвычайно тучны; въ ихъ тѣлѣ не замѣтно ни сочлененій, ни жилъ; цвѣтъ кожи у нихъ желтый, какъ у страдающихъ желтухою; голосъ *несравненно* грубѣе, чѣмъ у *другихъ* людей, такъ какъ они дышатъ воздухомъ не прозрачнымъ, а сгущеннымъ и сырымъ; они отъ природы мало способны къ перенесенію тѣлесныхъ трудовъ. Климатъ у нихъ не подверженъ рѣзкимъ измѣненіямъ отъ тепла къ холоду; южные вѣтры преобладаютъ, за исключеніемъ одного мѣстнаго вѣтра, который иногда бываетъ очень силенъ, непріятенъ и злоенъ; этотъ вѣтеръ называютъ «Кенхронъ». Сѣверный вѣтеръ бываетъ тамъ не часто, а когда и подуетъ, то *лишь* слабо и тихо. Таковы различія въ природѣ и внѣшнемъ видѣ народовъ Азіи и Европы.

24. Ἐν δὲ τῇ Εὐρώπῃ ἐστὶ ἔθνος Σκυθικόν, ὃ περὶ τὴν λίμνην οἰκέει τὴν Μαιῶτιν, διαφέρον τῶν ἐθνέων τῶν ἄλλων· Σαυρομάται καλεῦνται. τούτων αἱ γυναῖκες ἱππάζονταί τε καὶ τοξεύουσι, καὶ ἀκοντίζουσι ἀπὸ τῶν ἵππων καὶ μάχονται τοῖσι πολεμίοισι ἕως ἂν παρθένοι ἔωσι. οὐκ ἀποπαρθενεύονται δὲ μέχρις ἂν τῶν πολεμίων τρεῖς ἀποκτείνωσι, καὶ οὐ πρότερον ξυνοικέουσι ἤπερ τὰ ἱερὰ θῦσαι τὰ ἐν νόμῳ. ἡ δ' ἂν ἄνδρα ἑωυτῇ ἄρηται, παύεται ἱππαζομένη, ἕως ἂν μὴ ἀνάγκη καταλάβῃ παγκοίνου στρατείης. τὸν δεξιὸν δὲ μαζὸν οὐκ ἔχουσι· παιδίοισι γὰρ ἐοῦσι ἔτι νηπίοισι αἱ μητέρες χαλκίον τετεχνημένον ἐπ' αὐτῷ τούτῳ διάπυρον ποιέουσαι πρὸς τὸν μαζὸν τιθέασι τὸν δεξιόν, καὶ ἐπικαίεται ὥστε τὴν αὔξησιν φθείρεσθαι, ἐς δὲ τὸν δεξιὸν ὦμον καὶ βραχίονα πᾶσαν τὴν ἰσχὺν καὶ τὸ πλῆθος ἐκδιδόναι.

24. Въ Европѣ есть скиѳскій народъ, живущій вокругъ озера Меотиды и отличающійся отъ другихъ народовъ. Названіе его — Савроматы. Ихъ женщины ѣздятъ верхомъ, стрѣляютъ изъ луковъ и мечутъ дротики, *сидя* на коняхъ, и сражаются съ врагами, пока онѣ въ дѣвушкахъ; а замужъ онѣ не выходятъ, пока не убьютъ трехъ непріятелей, и поселяются на жительство съ мужьями не прежде, чѣмъ совершатъ обычныя жертвоприношенія. Та, которая выйдетъ замужъ, перестаетъ ѣздить верхомъ, пока не явится необходимость поголовно выступать въ походъ. У нихъ нѣтъ правой груди, ибо еще въ раннемъ ихъ дѣтствѣ матери *ихъ*, раскаливъ приготовленный именно съ этой цѣлью мѣдный инструментъ, прикладываютъ *его* къ правой груди и выжигаютъ, такъ что она теряетъ способность расти, и вся сила и изобиліе *соковъ* переходятъ въ правое плечо и руку.

V. 5: ἀναλδέες] ita Cor. L. Erm; vulgo ἀναλθέες. || V. 40: θῦσαι Cor. Erm., vulgo θύουσαι. || V. 45: χαλκίον Cor. Erm. pro vulg. χάλκεον; χαλκεῖον L. ex Erotiano. || V. 50: ἐπιδιδόναι Erm. pro vulg. ἐκδιδόναι.

Digitized by Google

25. Περὶ δὲ τῶν λοιπῶν Σκυθέων τῆς μορφῆς, ὅτι αὐτοὶ ἑωυτοῖσι ἐοίκασι καὶ οὐδαμῶς ἄλλοισι, ὡυτὸς λόγος, ὃς καὶ περὶ τῶν Αἰγυπτίων, πλὴν ὅτι οἱ μὲν ὑπὸ τοῦ θερμοῦ εἰσι βεβιασμένοι, οἱ δ' ὑπὸ τοῦ ψυχροῦ. Ἡ δὲ Σκυθέων ἐρημίη καλευμένη πεδιάς ἐστι καὶ λειμακώδης καὶ ψιλή, καὶ ἔνυδρος μετρίως· ποταμοὶ γὰρ εἰσὶ μεγάλοι, οἳ ἐξοχετεύουσι τὸ ὕδωρ ἐκ τῶν πεδίων. ἐνταῦθα καὶ οἱ Σκύθαι διαιτεῦνται, Νομάδες δὲ καλεῦνται, ὅτι οὐκ ἔστι οἰκήματα, ἀλλ' ἐν ἁμάξῃσι οἰκεῦσι. αἱ δὲ ἅμαξαί εἰσι αἱ μὲν ἐλάχισται τετράκυκλοι, αἱ δὲ ἑξάκυκλοι· αὗται δὲ πίλοισι περιπεφραγμέναι· εἰσὶ δὲ καὶ τετεχνασμέναι ὥσπερ οἰκήματα, τὰ μὲν διπλᾶ, τὰ δὲ τριπλᾶ· ταῦτα δὲ καὶ στεγνὰ πρὸς ὕδωρ καὶ πρὸς χιόνα καὶ πρὸς τὰ πνεύματα. τὰς δὲ ἁμάξας ἕλκουσι ζεύγεα, τὰς μὲν δύο, τὰς δὲ τρία βοῶν κερέων ἄτερ· οὐ γὰρ ἔχουσι κέρεα ὑπὸ τοῦ ψύχεος. ἐν ταύτῃσι μὲν οὖν τῇσι ἁμάξῃσι αἱ γυναῖκες διαιτεῦνται· αὐτοὶ δ' ἐφ' ἵππων ὀχεῦνται οἱ ἄνδρες· ἕπονται δὲ αὐτοῖσι καὶ τὰ πρόβατα τὰ ἑωυτῶν καὶ αἱ βόες καὶ οἱ ἵπποι. μένουσι δ' ἐν τῷ αὐτῷ τοσοῦτον χρόνον, ὅσον ἂν ἀπόχρῃ αὐτοῖσι τοῖσι κτήνεσι ὁ χόρτος· ὁκόταν δὲ μηκέτι, ἐς ἑτέρην χώρην μετέρχονται. αὐτοὶ δ' ἐσθίουσι κρέα ἑφθὰ καὶ πίνουσι γάλα ἵππων καὶ ἱππάκην τρώγουσι· [τοῦτο δ' ἐστὶ τυρὸς ἵππων]. τὰ μὲν ἐς τὴν διαιταν αὐτῶν οὕτως ἔχει καὶ τοὺς νόμους.

26. Περὶ δὲ τῶν ὡρέων καὶ τῆς μορφῆς, ὅτι πολὺ ἀπήλλακται τῶν λοιπῶν ἀνθρώπων τὸ Σκυθικὸν γένος καὶ ἔοικε αὐτὸ ἑωυτῷ, ὥσπερ τὸ Αἰγύπτιον, καὶ ἥκιστα πολύγονόν ἐστι· καὶ ἡ χώρη ἐλάχιστα θηρία τρέφει κατὰ μέγεθος καὶ πλῆθος. κέεται γὰρ ὑπ' αὐτῇσι τῇσι ἄρκτοισι καὶ τοῖσι ὄρεσι τοῖσι Ῥιπαίοισι, ὅθεν ὁ βορέης πνέει· ὅ τε ἥλιος τελευτῶν ἐγγύτατα γίγνεται, ὁκόταν ἐπὶ τὰς θερινὰς ἔλθῃ περιόδους, καὶ τότε ὀλίγον χρόνον θερμαίνει καὶ οὐ σφόδρα· τὰ δὲ πνεύματα τὰ ὑπὸ τῶν θερμῶν πνέοντα οὐκ ἀφικνέεται ἣν μὴ ὀλιγά-

25. Относительно внѣшняго вида прочихъ Скиѳовъ, именно сходства ихъ между собою и несходства съ другими народами, можно сказать то-же, что и объ Эгиптянахъ, исключая того, что у вторыхъ это обусловливается знойностью *климата*, а у первыхъ—холодомъ. Такъ называемая «Скиѳская пустыня» представляетъ собою равнину, изобилующую травою, но лишенную *деревьевъ* и умѣренно орошенную: по ней текутъ большія рѣки, которыя отводятъ воду съ степей. Здѣсь-то и живутъ Скиѳы; называются они кочевниками потому, что у нихъ нѣтъ домовъ, а живутъ они въ кибиткахъ, изъ которыхъ наименьшія бываютъ четырехколесныя, а другія—шестиколесныя; онѣ кругомъ закрыты войлоками и устроены подобно домамъ, однѣ съ двумя, другія съ тремя *отдѣленіями*; онѣ непроницаемы ни для воды (дождевой), ни для снѣга, ни для вѣтровъ. Въ эти повозки запрягаютъ по двѣ и по три пары безрогихъ воловъ: рога у нихъ не растутъ отъ холода. Въ такихъ кибиткахъ помѣщаются женщины, а мужчины ѣздятъ верхомъ на лошадяхъ; за ними слѣдуютъ ихъ стада овецъ и коровъ и *табуны* лошадей. На одномъ мѣстѣ они остаются столько времени, пока хватаетъ травы для стадъ, а когда *ея* не *хватитъ*, переходятъ въ другую мѣстность. Сами они ѣдятъ вареное мясо, пьютъ кобылье молоко и ѣдятъ «иппаку» [это сыръ изъ кобыльяго молока]. Таковъ образъ жизни и обычаи Скиѳовъ.

26. *Мы уже говорили* о климатѣ *Скиѳіи* и о внѣшности *ея обитателей*,—что скиѳское племя значительно отличается отъ прочихъ людей и похоже только само на себя, подобно Эгиптянамъ; оно *также* весьма мало плодовито, въ этой странѣ и животныя водятся лишь очень немногія и небольшія. Это потому, что она лежитъ подъ самымъ сѣверомъ и у подножія Рипейскихъ горъ, откуда дуетъ сѣверный вѣтеръ. Солнце приближается къ ней только тогда, когда дойдетъ до лѣтняго обхода, да и тогда грѣетъ *землю* короткое время и

V. 8: ὅς de suo add. Erm. || V. 7: Erm. dedit ὑψηλή adnotans haec: «Ita Ald., libri nonnulli Foësii, Corn., Calvus, Ms. Lat. Littréi et hic ipse. Vulgo ψιλή. Quae lectio praestet vix discerno; nam utraque convenit cum iis quae de planitie Scytharum habet § 26». Ego vulgatam lectionem retinui conl. Herod. IV, 19. || V. 16: «διπλᾶ pro ἁπλᾶ Coraës e Calvo. Hanc lect. lubens sum amplexus». Erm. || V. 19: κερέων Cor. pro vulg. κέρως; altero loco posui κέρεα pro vulg. κέρατα.|| V. 22: post διαιτεῦνται Cor. e Calvo adiecit ξὺν τοῖσι παιδίοισι. || V. 30: Verba uncis inclusa delenda censet Erm.

Digitized by Google

κις καὶ ἀσθενέα, ἀλλ' ἀπὸ τῶν ἄρκτων αἰεὶ πνέουσι πνεύματα ψυχρὰ ἀπό τε χιόνος καὶ κρυστάλλων καὶ ὑδάτων πολλῶν· οὐδέποτε δὲ τὰ ὄρεα ἐκλείπει· ὑπὸ τούτων δὲ δυσοίκητά ἐστι. ἠήρ τε κατέχει πουλὺς τῆς ἡμέρης τὰ πεδία, καὶ ἐν αὐτοῖσι διατεύνται· ὥστε τὸν μὲν χειμῶνα αἰεὶ εἶναι, τὸ δὲ θέρος ὀλίγας ἡμέρας, καὶ ταύτας μὴ λίην. μετέωρα γὰρ τὰ πεδία καὶ ψιλὰ καὶ οὐκ ἐστεφάνωται ὄρεσιν, ἀλλ' ἀνάντεα ὑπὸ τῶν ἄρκτων. αὐτόθι καὶ τὰ θηρία οὐ γίγνεται μεγάλα, ἀλλ' οἷά τέ ἐστι ὑπὸ γῆν σκεπάζεσθαι· ὁ γὰρ χειμὼν κωλύει καὶ τῆς γῆς ἡ ψιλότης, καὶ τοι οὐκ ἔστι ἀλεὴ οὐδὲ σκέπη. αἱ γὰρ μεταβολαὶ τῶν ὡρέων οὐκ εἰσὶ μεγάλαι οὐδὲ ἰσχυραί, ἀλλ' ὁμοῖαι καὶ ὀλίγον μεταλλάσσουσαι· διότι καὶ τὰ εἴδεα ὁμοῖα αὐτὰ ἑωυτοῖσί εἰσι· σίτῳ τε χρέομενοι αἰεὶ ὁμοίῳ, ἐσθῆτί τε τῇ αὐτῇ καὶ θέρεος καὶ χειμῶνος, τόν τε ἠέρα ὑδατεινὸν ἕλκοντες καὶ παχύν, τά τε ὕδατα πίνοντες ἀπὸ χιόνος καὶ παγετῶν, τοῦ τε ταλαιπώρου ἀπεόντος· οὐ γὰρ οἷόν τε τὸ σῶμα ταλαιπωρέεσθαι οὐδὲ τὴν ψυχήν, ὅκου μεταβολαὶ μὴ γίγνονται ἰσχυραί. διὰ ταύτας τὰς ἀνάγκας τὰ εἴδεα αὐτῶν παχέα ἐστὶ καὶ σαρκώδεα καὶ ἄναρθρα καὶ ὑγρὰ καὶ ἄτονα· αἵ τε κοιλίαι ὑγρόταται πασέων κοιλιῶν αἱ κάτω· οὐ γὰρ οἷόν τε νηδὺν ἀναξηραίνεσθαι ἐν τοιαύτῃ χώρῃ καὶ φύσι καὶ ὥρης καταστάσι· ἀλλὰ διὰ πιμελήν τε καὶ ψιλὴν τὴν σάρκα τά τε εἴδεα ἔοικε ἀλλήλοισι, τά τε ἄρσενα τοῖσι ἄρσεσι καὶ τὰ θήλεα τοῖσι θήλεσι. Τῶν γὰρ ὡρέων παραπλησίων ἐουσέων φθοραὶ οὐκ ἐγγίγνονται οὐδὲ κακώσιες ἐν τῇ τοῦ γόνου ξυμπήξι, ἢν μή τινος ἀνάγκης βιαίου τύχῃ ἢ νούσου.

27. Μέγα δὲ τεκμήριον ἐς τὴν ὑγρότητα παρέξομαι. Σκυθέων γὰρ τοὺς πολλούς, ἅπαντας ὅσοι Νομάδες, εὑρήσεις κε-

не сильно; вѣтры, дующіе изъ теплыхъ странъ, проникаютъ *въ эту страну* лишь рѣдко и съ незначительной силой, а съ сѣвера, *напротивъ*, постоянно дуютъ вѣтры холодные вслѣдствіе изобилія *тамъ* снѣговъ, льдовъ и водъ: горы никогда не освобождаются *отъ нихъ*, и отъ этого необитаемы. Днемъ густой туманъ окутываетъ равнины, и въ нихъ живутъ *люди;* поэтому тамъ вѣчная зима, а лѣто *продолжается лишь* нѣсколько дней, также не очень *теплыхъ:* дѣло въ томъ, что равнины тамъ возвышенны, обнажены, не увѣнчаны горами, а *напротивъ*, поднимаются *по направленію* съ сѣвера. Тамъ и животныя не бываютъ велики, такъ что могутъ прятаться въ землю. *На ихъ ростъ* вредно вліяетъ *постоянная* зима и обнаженность страны, не представляющей поэтому никакой защиты отъ холода. Перемѣны погоды тамъ не велики и не сильны: *она стоитъ почти* одинаковою и мало измѣняется. Поэтому-то *и обитатели страны* такъ похожи видомъ другъ на друга: они всегда употребляютъ одну и ту-же пищу, *носятъ* одну и ту-же одежду лѣтомъ и зимою, дышатъ сырымъ и густымъ воздухомъ, пьютъ снѣговую и ледяную воду и не знаютъ усталости: не возможно вѣдь закалять *въ трудъ* ни тѣло ни душу тамъ, гдѣ *климатическія* перемѣны не бываютъ значительны. Вслѣдствіе этихъ причинъ Скиѳы отличаются толстымъ, мяснстымъ, не членистымъ, сырымъ и немускулистымъ тѣломъ; животъ у нихъ въ нижней части отличается чрезвычайнымъ изобиліемъ влаги: вѣдь и невозможно, чтобы онъ былъ сухъ въ странѣ, отличающейся такими природными свойствами и состояніемъ атмосферы. Благодаря тучности и отсутствію растительности на тѣлѣ, *обитатели* похожи другъ на друга, мужчины на мужчинъ и женщины на женщинъ. Вслѣдствіе одинаковости температуры въ разныя времена года, при сгущеніи сѣменной жидкости не происходитъ никакой порчи и измѣненій, за исключеніемъ какого нибудь насильственнаго случая или болѣзни.

27. Я представлю важное доказательство изобилія влаги *въ ихъ тѣлахъ*: у большинства Скиѳовъ, *именно* у всѣхъ кочев-

V. 14: καὶ ὅτι Cor. Littré. || V. 17: μεταλλάσσουσαι Cor. Erm. e cod. Par. altero, vulgo μεταβάλλουσαι. || V. 18: χρεόμενοι — ὁμοίῳ Cor. Erm. pro vulg. χρέονται — ὁμοίως.

Digitized by Google

καυμένους τούς τε ὦμους καὶ τοὺς βραχίονας καὶ τοὺς καρποὺς τῶν χειρῶν, καὶ τὰ στήθεα καὶ τὰ ἰσχία καὶ τὴν ὀσφύν, δι' ἄλλ' οὐδὲν ἢ διὰ τὴν ὑγρότητα τῆς φύσιος καὶ τὴν μαλακίην· οὐ γὰρ δύνανται οὔτε τοῖσι τόξοισι ξυντείνειν, οὔτε τῷ ἀκοντίῳ ἐμπίπτειν τῷ ὦμῳ ὑπὸ ὑγρότητος καὶ ἀτονίης· ὁκόταν δὲ καυθῶσι, ἀναξηραίνεται ἐκ τῶν ἄρθρων τὸ πολὺ τοῦ ὑγροῦ καὶ ἐντονώτερα μᾶλλον γίγνεται καὶ τροφιμώτερα καὶ διηρθρωμένα τὰ σώματα μᾶλλον. ῥοϊκὰ δὲ γίγνεται καὶ βλαδέα· πρῶτον μὲν ὅτι οὐ σπαργανοῦνται ὥσπερ ἐν Αἰγύπτῳ, οὐδὲ νομίζουσι διὰ τὴν ἱππασίην, ὁκως ἂν εὖ εδροι ἔωσι· ἔπειτα δὲ διὰ τὴν ἕδρην· τά τε γὰρ ἄρσενα, ἕως ἂν οὐχ οἷά τε ἐφ' ἵππου ὀχέεσθαι, τὸ πολὺ τοῦ χρόνου κάθηται ἐν τῇ ἀμάξῃ καὶ βραχὺ τῇ βαδίσι χρέονται διὰ τὰς μεταναστάσιας καὶ περιελάσιας· τὰ δὲ θήλεα θαυμαστὸν οἷον ῥοϊκὰ καὶ βλαδέα ἐστὶ τὰ εἴδεα.

28. Πυρρὸν δὲ τὸ γένος ἐστὶ τὸ Σκυθικὸν διὰ τὸ ψύχος, οὐκ ἐπιγιγνομένου ὀξέως τοῦ ἡλίου· ὑπὸ δὲ τοῦ ψύχεος ἡ λευκότης ἐπικαίεται καὶ γίγνεται πυρρή. Πολύγονον δὲ οὐχ οἷόν τε εἶναι φύσιν τοιαύτην· οὔτε γὰρ τῷ ἀνδρὶ ἡ ἐπιθυμίη τῆς μίξιος γίγνεται πολλὴ διὰ τὴν ὑγρότητα τῆς φύσιος καὶ τῆς κοιλίης τὴν μαλθακότητά τε καὶ τὴν ψυχρότητα, ἀφ' ὅτων ἥκιστα εἰκός ἐστι ἄνδρα οἷόν τε λαγνεύειν· καὶ ἔτι ὑπὸ τῶν ἵππων αἰεὶ κοπτόμενοι ἀσθενέες γίγνονται ἐς τὴν μῖξιν. Τοῖσι μὲν ἀνδράσι αὗται αἱ προφάσιες γίγνονται, τῇσι δὲ γυναιξὶ ἥ τε πιότης τῆς σαρκὸς καὶ ὑγρότης· οὐ γὰρ δύνανται ἔτι ξυναρπάζειν αἱ μῆτραι τὸν γόνον· οὔτε γὰρ ἐπιμήνιος κάθαρσις αὐτῇσι γίγνεται ὡς χρεών ἐστι, ἀλλ' ὀλίγον καὶ διὰ χρόνου, τό τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς ξυγκλείεται καὶ οὐχ ὑποδέχεται τὸν γόνον· αὐταί τε ἀταλαίπωροι καὶ πίεραι, καὶ αἱ κοιλίαι ψυχραὶ καὶ μαλακαί. καὶ ὑπὸ τουτέων τῶν ἀναγκέων οὐ πολύγονόν ἐστι τὸ γένος τὸ Σκυθικόν. μέγα δὲ τεκμήριον αἱ οἰκέτιδες παρέχουσι· οὐ γὰρ φθάνουσι παρὰ ἄνδρα ἀφικνεύμεναι

никовъ, можно встрѣтить прижиганіе плечъ, рукъ, запястій, груди, бедръ и лядвій; *они дѣлаютъ это* исключительно вслѣдствіе природнаго изобилія влаги *въ тѣлѣ* и *его* мягкости, такъ какъ *иначе* отъ сырости тѣла и слабости не могутъ ни натягивать луковъ, ни давать плечомъ толчекъ *при метаніи* дротика; а при прижиганіи излишекъ влаги высыхаетъ въ членахъ и вслѣдствіе этого тѣло дѣлается крѣпче, изобильнѣе питательными соками и членистѣе. Дѣлаются же они сырыми и слабыми во первыхъ отъ того, что *въ дѣтствѣ* не пеленаются, подобно Эгиптянамъ; *Скивы* не имѣютъ этого обычая изъ за верховой ѣзды, чтобы хорошо сидѣть *на лошадяхъ*; во-вторыхъ отъ сидячей жизни: *дѣти* мужскаго пола, пока не могутъ еще держаться на лошади, большую часть времени сидятъ въ кибиткахъ и мало ходятъ пѣшкомъ вслѣдствіе *постоянныхъ* перекочевокъ; женскій же полъ отличается удивительно сырою и слабою комплекціей.

28. *Все* скиѳское племя—рыжее вслѣдствіе холоднаго климата, такъ какъ солнце не дѣйствуетъ съ достаточною силою и бѣлый цвѣтъ *какъ-бы* выжигается отъ холода и переходитъ въ рыжій. При такомъ физическомъ сложеніи народъ не можетъ отличаться плодовитостью: у мужчины не можетъ быть значительнаго половаго стремленія вслѣдствіе сырости комплекціи, мягкости и холодности живота, такъ какъ при такихъ условіяхъ мужчина едва-ли можетъ отличаться сладострастіемъ; сверхъ того, постоянные толчки при верховой ѣздѣ производятъ въ нихъ половое безсиліе. Таковы причины, дѣйствующія на мужчинъ, а у женщинъ — тучность и сырость тѣла, такъ какъ матка дѣлается неспособною воспринимать сѣменную жидкость. Мѣсячныя очищенія происходятъ у нихъ не такъ, какъ слѣдуетъ, а лишь въ небольшомъ количествѣ и чрезъ *большіе* промежутки времени; устье матки закрывается жиромъ и не можетъ воспринимать сѣмени; *при этомъ* сами онѣ не выносятъ трудовъ, отличаются тучностью, животъ у нихъ холоденъ

V. 11: διηρθρωμένα Cor. Erm. pro vulg. ἠρθρωμένα. || V. 12: πλατέα vulgo: βλαδέα Erm. ex Hesych. βλαδεῖς· ἀδύνατοι ἐξ ἀδυνάτων. || V. 18: «βραχύ] βραχέῃ in prima ed. desideravit, in altera dedit Cor. Equidem nihil muto». Erm. || V. 21: βραδέα] vulgo: βλαδέα Cor. et Erm. || V. 21: ἐστί Erm. pro vulg. εἶναι. || V. 25: ἐπιγιγνομένου Cor. L. ex altero cod. Par. pro vulg. ἐπιγενομένου, quod retinuit Erm. || V. 32: ἀπ' ὅτων Cor. Erm. pro vulg. ἀπὸ τῶν.

Digitized by Google

καὶ ἐν γαστρὶ ἴσχουσι διὰ τὴν ταλαιπωρίην καὶ ἰσχνότητα τῆς σαρκός.

и мягокъ. Вслѣдствіе такихъ-то причинъ скиѳское племя не плодовито. Важное доказательство *справедливости этихъ замѣчаній* представляютъ рабыни: имъ достаточно лишь одного сообщенія съ мужчиною, чтобы сдѣлаться беременными; *это — прямое* слѣдствіе ихъ трудовой жизни и сухости тѣла.

29. Ἔτι τε πρὸς τούτοισι εὐνουχίαι γίγνονται πλεῖστοι ἐν Σκύθῃσι καὶ γυναικεῖα ἐργάζονται καὶ ὡς αἱ γυναῖκες διαλέγονται ὁμοίως· καλεῦνταί τε οἱ τοιοῦτοι ἀνάριες. οἱ μὲν οὖν ἐπιχώριοι τὴν αἰτίην προστιθέασι θεῷ καὶ σέβονται τούτους τοὺς ἀνθρώπους καὶ προσκυνέουσι δεδοικότες περὶ ἑωυτῶν ἕκαστοι. ἐμοὶ δὲ καὶ αὐτῷ δοκέει ταῦτα τὰ πάθεα θεῖα εἶναι καὶ τἆλλα πάντα, καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα ὁμοῖα καὶ πάντα θεῖα· ἕκαστον δὲ ἔχει φύσιν τῶν τοιούτων καὶ οὐδὲν ἄνευ φύσιος γίγνεται. καὶ τοῦτο τὸ πάθος ὥς μοι δοκέει γίγνεσθαι φράσω· ὑπὸ τῆς ἱππασίης αὐτοὺς κέδματα λαμβάνει, ἅτε αἰεὶ κρεμαμένων ἀπὸ τῶν ἵππων τοῖσι ποσί· ἔπειτα ἀποχωλοῦνται καὶ ἕλκονται τὰ ἰσχία οἱ ἂν σφόδρα νοσήσωσι. ἰῶνται δὲ σφᾶς αὐτοὺς τρόπῳ τοιῷδε· ὁκόταν ἄρχηται ἡ νοῦσος, ὄπισθεν τοῦ ὠτὸς ἑκατέρην φλέβα τάμνουσι· ὅταν δὲ ἀπορρυῇ τὸ αἷμα, ὕπνος ὑπολαμβάνει ὑπὸ ἀσθενείης καὶ καθεύδουσι· ἔπειτα ἀνεγείρονται οἱ μέν τινες ὑγιέες ἐόντες, οἱ δ' οὔ. ἐμοὶ μὲν οὖν δοκέει ἐν ταύτῃ τῇ ἰήσι διαφθείρεσθαι ὁ γόνος· εἰσὶ γὰρ παρὰ τὰ ὦτα φλέβες, ἃς ἐάν τις ἐπιταμῃ, ἄγονοι γίγνονται οἱ ἐπιτμηθέντες· ταύτας τοίνυν μοι δοκέουσι τὰς φλέβας ἐπιτάμνειν. οἱ δὲ μετὰ ταῦτα, ἐπειδὰν ἀφίκωνται παρὰ γυναῖκας καὶ μὴ οἷοί τε ἔωσι χρέεσθαι σφίσι, τὸ πρῶτον οὐκ ἐνθυμεῦνται, ἀλλ' ἡσυχίην ἔχουσι· ὁκόταν δὲ δὶς καὶ τρὶς καὶ πλεονάκις αὐτοῖσι πειρωμένοισι μηδὲν ἀλλοιότερον ἀποβαίνῃ, νομίσαντές τι ἡμαρτηκέναι τῷ θεῷ, ὃν ἐπαιτιῶνται, ἐνδύονται στολὴν γυναικείην καταγνόντες ἑωυτῶν ἀνανδρείην· γυναικίζουσί τε καὶ ἐργάζονται μετὰ τῶν γυναικῶν ἃ καὶ ἐκεῖναι.

29. Сверхъ того между Скиѳами встрѣчается множество евнуховъ; они занимаются женскими работами и говорятъ по женски; называются такіе *мужчины* «энареями». Причину *такого явленія* туземцы приписываютъ божеству и *поэтому* чтутъ такихъ людей и поклоняются имъ, каждый боясь за себя. Мнѣ же кажется что эта болѣзнь *на столько же* божественна, какъ и всѣ остальныя, что ни одна изъ нихъ нисколько не божественнѣе и не человѣчнѣе другой, но всѣ одинаковы и всѣ божественны; каждое изъ такихъ *явленій* имѣетъ свою естественную причину, и ни одно не происходитъ безъ таковыхъ причинъ. Какими причинами, по моему мнѣнію, обусловливается названная болѣзнь *Скиѳовъ*, *я сейчасъ* изложу. Верховая ѣзда, при которой ноги постоянно висятъ по бокамъ лошади, производитъ у нихъ опухоли; затѣмъ при сильномъ развитіи этой болѣзни является растяженіе бедеръ и хромота. Лѣчатся они *отъ этого* слѣдующимъ образомъ: при первыхъ признакахъ болѣзни разрѣзываютъ съ обѣихъ сторонъ жилы позади ушей; когда прекратится кровотеченіе, *больные* отъ слабости впадаютъ въ дремоту и засыпаютъ; затѣмъ пробуждаются одни здоровыми, другіе — нѣтъ. Итакъ, мнѣ кажется, что именно этотъ способъ лѣченія вредно вліяетъ на сѣменную жидкость: около ушей есть жилы, вслѣдствіе разрѣзыванія которыхъ лица, испытавшія эту операцію, дѣлаются неспособными къ оплодотворенію: я думаю, что именно эти жилы они и разрѣзываютъ. Если послѣ этой *операціи*, приходя къ женщинамъ, они оказываются безсильными, то въ первый разъ не обращаютъ *на это* вниманія и не безпокоятся; но если при повтореніи попытки два, три и болѣе разъ

V. 12: legebatur vulgo διαλέγονταί τε; Littr. τε illud eiecit || V. 13: vulgo ἀνανδριεῖς; ἀνάριες dedit Erm. conl. Her. I, 105; IV, 67 || V. 16: vulgo περί τε ὠυτέων; Cor. et L. eiecerunt τε, Erm. mutavit in γε. || V. 31: ὑπολαμβάνει] ἐπιλαμβ. Cor. Erm. || V. 45: inter καταγνόντες et ἑωυτῶν art. τὴν de suo addidit Erm.

Digitized by Google

30. Τοῦτο δὲ πάσχουσι Σκυθέων οἱ πλούσιοι, οὐχ οἱ κάκιστοι, ἀλλ' οἱ εὐγενέστατοι καὶ ἰσχὺν πλείστην κεκτημένοι, διὰ τὴν ἱππασίην· οἱ δὲ πένητες ἧσσον· οὐ γὰρ ἱππάζονται. καίτοι ἐχρῆν, ἐπεὶ θειότερον τοῦτο τὸ νόσημα τῶν λοιπῶν ἐστι, οὐ τοῖσι γενναιοτάτοισι τῶν Σκυθέων καὶ τοῖσι πλουσιωτάτοισι προσπίπτειν μούνοισι, ἀλλὰ τοῖσι ἅπασι ὁμοίως, καὶ μᾶλλον τοῖσι ὀλίγα κεκτημένοισι· εἰ δὴ τιμώμενοι χαίρουσι οἱ θεοὶ καὶ θαυμαζόμενοι ὑπ' ἀνθρώπων καὶ ἀντὶ τούτων χάριτας ἀποδιδόασι. εἰκὸς γὰρ τοὺς μὲν πλουσίους θύειν πολλὰ τοῖσι θεοῖσι καὶ ἀνατιθέναι ἀναθήματα, ἐόντων χρημάτων, καὶ τιμᾶν, τοὺς δὲ πένητας ἧσσον διὰ τὸ μὴ ἔχειν, ἔπειτα καὶ ἐπιμεμφομένους ὅτι οὐ διδόασι χρήματα αὐτοῖσι· ὥστε τῶν τοιουτέων ἁμαρτιῶν τὰς ζημίας τοὺς ὀλίγα κεκτημένους φέρειν μᾶλλον ἢ τοὺς πλουσίους. ἀλλὰ γάρ, ὥσπερ καὶ πρότερον ἔλεξα, θεῖα μὲν καὶ ταῦτά ἐστι ὁμοίως τοῖσι ἄλλοισι· γίγνεται δὲ κατὰ φύσιν ἕκαστα· καὶ ἡ τοιαύτη νοῦσος ἀπὸ τοιαύτης προφάσιος τοῖσι Σκύθῃσι γίγνεται, οἵην εἴρηκα. ἔχει δὲ καὶ κατὰ τοὺς λοιποὺς ἀνθρώπους ὁμοίως. ὅκου γὰρ ἱππάζονται μάλιστα καὶ πυκνότατα, ἐκεῖ πλεῖστοι ὑπὸ κεδμάτων καὶ ἰσχιάδων καὶ ποδαγριῶν ἁλίσκονται καὶ λαγνεύειν κάκιστοί εἰσι. ταῦτα δὲ τοῖσι Σκύθῃσι πρόσεστι, καὶ εὐνουχοειδέστατοί εἰσι ἀνθρώπων διὰ τὰς προειρημένας προφάσιας καὶ ὅτι ἀναξυρίδας ἔχουσι αἰεὶ καὶ εἰσὶ ἐπὶ τῶν ἵππων τὸ πλεῖστον τοῦ χρόνου, ὥστε μήτε τῇ χειρὶ ἅπτεσθαι τοῦ αἰδοίου, ὑπό τε τοῦ ψύχεος καὶ τοῦ κόπου ἐπιλαθέσθαι τοῦ ἱμέρου καὶ τῆς μίξιος καὶ μηδὲν παρακινέειν πρότερον ἢ ἀνανδρωθῆναι. περὶ μὲν οὖν τῶν Σκυθέων οὕτως ἔχει τοῦ γένεος.

1 она оказывается не болѣе успѣшною, то они рѣшаютъ, что въ чемъ нибудь провинились предъ божествомъ, которому приписываютъ *причину болѣзни*, *затѣмъ* надѣваютъ женское платье, *открыто* признавая *этимъ* свое безсиліе, усвоиваютъ женскія привычки и вмѣстѣ съ женщинами занимаются ихъ работами.

30. Этой болѣзни подвержены скиѳскіе богачи, — не люди самаго низкаго происхожденія, а *напротивъ*, самые благородные и пользующіеся наибольшимъ могуществомъ; причина ея заключается въ верховой ѣздѣ; бѣдные *люди* менѣе *страдаютъ ею*, такъ какъ не ѣздятъ верхомъ. Между тѣмъ, такъ какъ (*по мнѣнію Скиѳовъ*) эта болѣзнь болѣе происходитъ отъ божества, чѣмъ другія, то слѣдовало-бы *ожидать*, чтобы она поражала не только самыхъ благородныхъ и богатыхъ Скиѳовъ, а всѣхъ одинаково, или *даже* преимущественно бѣдняковъ, — если правда то, что богамъ пріятно чествованіе и благоговѣніе людей, и они вознаграждаютъ *ихъ* за это. Вѣдь естественно, что люди богатые приносятъ богамъ много жертвъ и даровъ отъ своего избытка и чествуютъ ихъ, тогда какъ бѣдняки жертвуютъ менѣе, *отчасти* по неимѣнію *средствъ*, а отчасти изъ неудовольствія за то, что боги не даютъ имъ богатства; стало быть наказанія за такія прегрѣшенія скорѣе *должны были бы* постигать неимущихъ, чѣмъ богатыхъ. Но, какъ я *уже* сказалъ и раньше, эта болѣзнь столько же происходитъ отъ божества, сколько и другія: каждая имѣетъ свою естественную причину. И эта болѣзнь происходитъ у Скиѳовъ отъ той причины, которую я объяснилъ. То-же самое бываетъ и у остальныхъ людей: гдѣ очень много и часто ѣздятъ верхомъ, тамъ очень многіе страдаютъ опухолями, ломотою въ бедрахъ и подагрою и очень равнодушны къ половымъ удовольствіямъ. Эти болѣзни есть *и* у Скиѳовъ, и они болѣе всѣхъ страдаютъ половымъ безсиліемъ [досл. похожи на евнуховъ] по вышеуказаннымъ причинамъ и *еще потому*, что они постоянно носятъ

V. 18: quae dedi, coniecit Cor. (probante Erm.) pro vulg. κεκτημένοισι, οὐ τιμωμένοισι ἤδη, εἰ χαίρουσι κτλ. || V. 37: τοῖσι δὲ Σκ. vulgo; τοῖσί τε Zuing. et Cor. in prima ed. et Littré; in altera ed. τε omisit Cor., in γε illud mutavit Erm. || v. 39: διὰ τὰς προφ. vulgo; προειρημένας addidit Littré ms. latini ope, ferentis *propter praedictas causas;* Erm. putat τὰς h. l. δεικτικῶς sumi, adeo ut nihil deficiat.

Digitized by Google

штаны и большую часть времени проводятъ на лошадяхъ, такъ что даже рукою не дотрогиваются до половыхъ частей, а подъ вліяніемъ холода и усталости не испытываютъ сладострастныхъ желаній и нисколько не возбуждаются до потери половой способности. Таково положеніе скиескаго племени.

ΞΕΝΟΦΩΝΤΟΣ ΚΥΡΟΥ ΑΝΑΒΑΣΙΣ.

КСЕНОФОНТЪ. ПОХОДЪ КИРА.

[Род. около 434, ум. ок. 355 г. до Р. Хр. — Текстъ: Xenophontis expeditio Cyri, recensuit Arnoldus Hug. Editio maior. Lipsiae in aed. B. G. Teubneri 1878].

Переводъ И. П. Цвѣтнова.

Книга IV. Походъ эллиновъ чрезъ Арменію [1]).

Гл. 4, §§ 1—4.

IV, 1. Ἐπεὶ δὲ διέβησαν, συνταξάμενοι ἀμφὶ μέσον ἡμέρας ἐπορεύθησαν διὰ τῆς Ἀρμενίας πεδίον ἅπαν καὶ λείους γηλόφους οὐ μεῖον ἢ πέντε παρασάγγας· οὐ γὰρ ἦσαν ἐγγὺς τοῦ ποταμοῦ κῶμαι διὰ τοὺς πολέμους τοὺς πρὸς τοὺς Καρδούχους. — 2. εἰς δὲ ἣν ἀφίκοντο κώμην μεγάλη τε ἦν καὶ βασίλειον εἶχε τῷ σατράπῃ καὶ ἐπὶ ταῖς πλείσταις οἰκίαις τύρσεις ἐπῆσαν· ἐπιτήδεια δ' ἦν δαψιλῆ. — 3. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς δύο παρασάγγας δέκα μέχρι ὑπερῆλθον τὰς πηγὰς τοῦ Τίγρητος ποταμοῦ. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Τηλεβόαν ποταμόν. οὗτος δ' ἦν καλὸς μέν, μέγας δ' οὔ· κῶμαι δὲ πολλαὶ περὶ τὸν ποταμὸν ἦσαν. — 4. ὁ δὲ τόπος οὗτος Ἀρμενία ἐκαλεῖτο ἡ πρὸς ἑσπέραν. ὕπαρχος δ' ἦν αὐτῆς Τιρίβαζος, ὁ καὶ βασιλεῖ φίλος γενόμενος...

Перешедши [черезъ рѣку Кентритъ] *эллины* выстроились и около полудня [2]) двинулись черезъ Арменію по равнинѣ и невысокимъ холмамъ; *шли они* не менѣе 5 парасанговъ, такъ какъ вслѣдствіе войны съ Кардухами близь рѣки не было деревень. (2). Та деревня, въ которую они пришли, была велика, и въ ней былъ дворецъ сатрапа; на большей части домовъ были башни; продовольствія было въ изобиліи. (3). Отсюда они въ 2 перехода прошли 10 парасанговъ, пока не переправились черезъ истоки р. Тигра. Отсюда въ 3 перехода прошли 15 парасанговъ до рѣки Тилевоя; она была красива, но не велика; по рѣкѣ лежало много деревень. (4). Эта страна называлась западной Арменіей; правителемъ ея былъ другъ царя Тиривазъ...

§§ 7—13.

7. Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς διὰ πεδίου παρασάγγας πεντεκαίδεκα· καὶ Τιρίβαζος παρηκολούθει ἔχων τὴν ἑαυ-

Оттуда *эллины* въ 3 перехода прошли по равнинѣ 15 парасанговъ. Тиривазъ со своими войсками слѣдовалъ за ними на

1) Заимствованы главнымъ образомъ такіе отрывки, которые содержатъ описаніе страны, ея климата, нравовъ и образа жизни обитателей и т. под.; подробности же, касающіяся исключительно похода и военныхъ дѣйствій эллиновъ, опущены. *В. Л.*

2) 20 ноября 401 г. до Р. Хр.

Digitized by Google

τοῦ δύναμιν ἀπέχων ὡς δέκα σταδίους· καὶ ἀφίκοντο εἰς βασίλεια καὶ κώμας πέριξ πολλὰς πολλῶν τῶν ἐπιτηδείων μεστάς. — 8. στρατοπεδευομένων δ' αὐτῶν γίγνεται τῆς νυκτὸς χιὼν πολλή· καὶ ἕωθεν ἔδοξε διασκηνῆσαι τὰς τάξεις καὶ τοὺς στρατηγοὺς κατὰ τὰς κώμας· οὐ γὰρ ἑώρων πολέμιον οὐδένα καὶ ἀσφαλὲς ἐδόκει εἶναι διὰ τὸ πλῆθος τῆς χιόνος. — 9. ἐνταῦθα εἶχον [τὰ ἐπιτήδεια] ὅσα ἐστὶν ἀγαθά, ἱερεῖα, σῖτον, οἴνους παλαιοὺς εὐώδεις, ἀσταφίδας, ὄσπρια παντοδαπά. τῶν δὲ ἀποσκεδαννυμένων τινὲς ἀπὸ τοῦ στρατοπέδου ἔλεγον ὅτι κατίδοιεν νύκτωρ πολλὰ πυρὰ φαίνοντα. — 10. ἐδόκει δὴ τοῖς στρατηγοῖς οὐκ ἀσφαλὲς εἶναι διασκηνοῦν, ἀλλὰ συναγαγεῖν τὸ στράτευμα πάλιν. ἐντεῦθεν συνῆλθον· καὶ γὰρ ἐδόκει διαιθριάζειν. — 11. νυκτερευόντων δ' αὐτῶν ἐνταῦθα ἐπιπίπτει χιὼν ἄπλετος, ὥστε ἀποκρύψαι καὶ τὰ ὅπλα καὶ τοὺς ἀνθρώπους κατακειμένους· καὶ τὰ ὑποζύγια συνεπόδισεν ἡ χιών· καὶ πολὺς ὄκνος ἦν ἀνίστασθαι· κατακειμένων γὰρ ἀλεεινὸν ἦν ἡ χιὼν ἐπιπεπτωκυῖα ὅτῳ μὴ παραρρυείη. — 12. ἐπεὶ δὲ Ξενοφῶν ἐτόλμησε γυμνὸς ἀναστὰς σχίζειν ξύλα, τάχ' ἀναστάς τις καὶ ἄλλος ἐκείνου ἀφελόμενος ἔσχιζεν. ἐκ δὲ τούτου καὶ ἄλλοι ἀναστάντες πῦρ ἔκαον καὶ ἐχρίοντο. — 13. πολὺ γὰρ ἐνταῦθα εὑρίσκετο χρῖμα, ᾧ ἐχρῶντο ἀντ' ἐλαίου, σύειον καὶ σησάμινον καὶ ἀμυγδάλινον ἐκ τῶν πικρῶν καὶ τερμίνθινον. ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ μύρον εὑρίσκετο.

разстояніи около 10 стадій. И *вотъ* они дошли до дворца и окружающихъ его многихъ деревень со множествомъ запасовъ. (8). Когда они расположились лагеремъ, ночью выпалъ большой снѣгъ, и утромъ рѣшено было расположить отряды съ начальниками *на стоянку* по деревнямъ: тѣмъ болѣе, что они не видали ни одного непріятеля, и масса *выпавшаго* снѣга, повидимому, доставляла безопасность *отъ нападенія*. (9). Здѣсь у нихъ было *всякое* продовольствіе, какое считается лучшимъ: убойный скотъ [1]), хлѣбъ, старыя душистыя вина, изюмъ и всякія овощи. *Между тѣмъ* нѣкоторые изъ тѣхъ, которые удалялись изъ лагеря, стали заявлять, что видѣли ночью много огней. (10). Поэтому воеводы сочли не безопаснымъ оставлять войско на квартирахъ и *рѣшили* снова собрать его. Поэтому *люди* собрались, тѣмъ болѣе, что *погода*, повидимому, стала проясняться; (11) но тутъ во время ночевки выпала *такая* масса снѣга, что онъ покрылъ и оружіе и лежавшихъ людей; и обозныхъ животныхъ снѣгъ *какъ будто* сковалъ по ногамъ; не мало труда стоило подняться, такъ какъ выпавшій снѣгъ, пока не растаялъ, согрѣвалъ лежащихъ. (12). Но когда Ксенофонтъ рѣшился, вставши безъ верхняго платья, рубить дрова, вскорѣ всталъ кто-то другой и, отнявъ у него, *топоръ*, сталъ рубить. Затѣмъ и другіе, вставши, стали разводить костры и намазываться, такъ какъ здѣсь много было (13) мази, которую употребляли вмѣсто масла; (она составлялась) изъ свинаго жира, кунжутныхъ сѣмянъ, горькаго миндаля и теребинта. Встрѣчалось и благовонное масло изъ этихъ-же самыхъ *матеріаловъ*.

Гл. 5, §§ 1—15.

V, 1. Τῇ δ' ὑστεραίᾳ ἐδόκει πορευτέον εἶναι ὅπῃ δύναιντο τάχιστα πρὶν συλλεγῆναι τὸ στράτευμα πάλιν καὶ καταλαβεῖν τὰ στενά. συσκευασάμενοι δ' εὐθὺς ἐπορεύοντο διὰ χιόνος πολλῆς ἡγεμόνας ἔχοντες πολλούς· καὶ αὐθημερὸν ὑπερβαλόντες

На слѣдующій день рѣшено было идти какъ можно скорѣе, пока опять не собралось *непріятельское* войско и не заняло тѣсninъ. Собравшись, тотчасъ пошли по глубокому снѣгу съ многими проводниками; въ тотъ-же день перевалили черезъ *ту*

V. 14: quae Hugius dedit, habet codicis Parisini 1640 prima manus, cuius lectionem restituerat Cobet: ὅτι κατίδοιεν στράτευμα καὶ νύκτωρ πολλὰ πυρὰ φαίνοιτο vulgo.

1) ἱερεῖα здѣсь не «жертвенныя животныя» въ собственномъ смыслѣ, а вообще животныя, употребляемыя въ пищу; они названы ἱερεῖα потому, что при убіеніи животнаго для употребленія въ пищу часть его жертвовалась богамъ.

Digitized by Google

τὸ ἄκρον ἐφ' ᾧ ἔμελλεν ἐπιτίθεσθαι Τιρίβαζος κατεστρατοπεδεύσαντο. — 2. ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς ἐρήμους τρεῖς παρασάγγας πεντεκαίδεκα ἐπὶ τὸν Εὐφράτην ποταμόν, καὶ διέβαινον αὐτὸν βρεχόμενοι πρὸς τὸν ὀμφαλόν. ἐλέγοντο δ' οὐδ' αἱ πηγαὶ πρόσω εἶναι. — 3. ἐντεῦθεν ἐπορεύοντο διὰ χιόνος πολλῆς καὶ πεδίου σταθμοὺς τρεῖς παρασάγγας δέκα. ὁ δὲ τρίτος ἐγένετο χαλεπὸς καὶ ἄνεμος βορρᾶς ἐναντίος ἔπνει παντάπασιν ἀποκάων πάντα καὶ πήγνυς τοὺς ἀνθρώπους. — 4. ἔνθα δή τῶν μάντεών τις εἶπε σφαγιάσασθαι τῷ ἀνέμῳ, καὶ σφαγιάζεται· καὶ πᾶσι δὴ περιφανῶς ἔδοξεν ἀνεῖναι τὸ χαλεπὸν τοῦ πνεύματος. ἦν δὲ τῆς χιόνος τὸ βάθος ὀργυιά· ὥστε καὶ τῶν ὑποζυγίων καὶ τῶν ἀνδραπόδων πολλὰ ἀπώλετο καὶ τῶν στρατιωτῶν ὡς τριάκοντα. — 5. διεγένοντο δὲ τὴν νύκτα πῦρ κάοντες· ξύλα δ' ἦν ἐν τῷ σταθμῷ πολλά· οἱ δὲ ὑστερίζοντες ξύλα οὐκ εἶχον. οἱ οὖν πάλαι ἥκοντες καὶ πῦρ κάοντες οὐ προσίεσαν πρὸς τὸ πῦρ τοὺς ὀψίζοντας, εἰ μὴ μεταδοῖεν αὐτοῖς πυροὺς ἢ ἄλλο [τι] εἴ τι ἔχοιεν βρωτόν. — 6. ἔνθα δὴ μετεδίδοσαν ἀλλήλοις ὧν εἶχον ἕκαστοι. ἔνθα δὲ τὸ πῦρ ἑκάετο, διατηκομένης τῆς χιόνος βάθρα ἐγίγνοντο μεγάλοι ἕστε ἐπὶ τὸ δάπεδον· οὐ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς χιόνος. — 7. ἐντεῦθεν δὲ τὴν ἐπιοῦσαν ἡμέραν ὁδὸν ἐπορεύοντο διὰ χιόνος, καὶ πολλοὶ τῶν ἀνθρώπων ἐβουλιμίασαν. Ξενοφῶν δ' ὀπισθοφυλακῶν καὶ καταλαμβάνων τοὺς πίπτοντας τῶν ἀνθρώπων ἠγνόει ὅτι τὸ πάθος εἴη. — 8. ἐπειδὴ δὲ εἶπέ τις αὐτῷ τῶν ἐμπείρων ὅτι σαφῶς βουλιμιῶσι κἂν τι φάγωσιν ἀναστήσονται, περιὼν περὶ τὰ ὑποζύγια, εἴ που τι ὁρῴη βρωτόν, διεδίδου καὶ διέπεμπε διδόντας τοὺς δυναμένους περιτρέχειν τοῖς βουλιμιῶσιν. — 9. ἐπειδὴ δέ τι ἐμφάγοιεν, ἀνίσταντο καὶ ἐπορεύοντο. πορευομένων δὲ Χειρίσοφος μὲν ἀμφὶ κνέφας πρὸς κώμην ἀφικνεῖται, καὶ ὑδροφορούσας ἐκ τῆς κώμης πρὸς τῇ κρήνῃ γυναῖκας καὶ κόρας καταλαμβάνει ἔμπροσθεν τοῦ ἐρύματος. — 10. αὗται ἠρώτων αὐτοὺς τίνες εἶεν. ὁ δ' ἑρμηνεὺς εἶπε περσιστὶ ὅτι παρὰ βασιλέως πορεύονται πρὸς τὸν σατράπην. αἱ δὲ ἀπεκρίναντο ὅτι οὐκ ἐνταῦθα εἴη, ἀλλ' ἀπέχει ὅσον παρασάγγην. οἱ δ', ἐπεὶ ὀψὲ ἦν, πρὸς τὸν κωμάρχην συνεισέρχονται εἰς

1 гору, гдѣ Тиривазъ хотѣлъ сдѣлать нападеніе, и расположились лагеремъ. (2). Отсюда прошли въ 3 перехода по пустынной странѣ 15 парасанговъ до р. Евфрата и перешли его (въ бродъ), по поясъ въ водѣ. Говорили, что и истоки его находятся невдалекѣ. (3). Отсюда прошли по равнинѣ, *покрытой* глубокимъ снѣгомъ, въ 3 перехода 10 парасанговъ. Третій *переходъ* былъ очень тяжелъ, *такъ какъ* въ лицо дулъ сѣверный вѣтеръ, отъ котораго все замерзало и люди цѣпенѣли. (4). Тогда одинъ изъ гадателей посовѣтовалъ принести жертву вѣтру; жертву принесли, и всѣмъ ясно показалось, что вѣтеръ стихъ. Глубина снѣга доходила до оргіи, такъ что погибло много обозныхъ животныхъ и рабовъ и около 30 солдатъ. (5). Всю ночь они жгли костры, такъ какъ на мѣстѣ стоянки дровъ было много; но тѣмъ *солдатамъ*, которые пришли позже, дровъ не досталось; пришедшіе раньше и разложившіе костры не допускали къ огню опоздавшихъ, если имъ не давали пшеницы или чего-нибудь другаго изъ съѣстнаго, что у кого было. (6). Такимъ образомъ дѣлились другъ съ другомъ тѣмъ, что каждый имѣлъ. Тамъ, гдѣ горѣли костры, отъ таянія снѣга дѣлались большія ямы до самой земли; тутъ вотъ можно было измѣрить глубину снѣга. (7). Оттуда весь слѣдующій день шли по снѣгу, и многіе изнемогли отъ голода. Ксенофонтъ, который шелъ въ арьергардѣ и встрѣчалъ падавшихъ людей, *сначала* не понималъ, въ чемъ дѣло; (8) но когда кто-то изъ опытныхъ *людей* сказалъ ему, что они очевидно изнемогаютъ отъ голода и встанутъ на ноги, если чего-нибудь поѣдятъ, то онъ пошелъ по обозу и, если гдѣ видѣлъ что-нибудь съѣстное, раздавалъ или посылалъ для раздачи голодающимъ тѣхъ, которые могли *еще* быстро обойдти *ихъ*. (9). Поѣвши чего-нибудь, *упавшіе* вставали и продолжали путь. На этомъ пути Хирисофъ около сумерекъ дошелъ до деревни и передъ валомъ у родника встрѣтилъ женщинъ и дѣвушекъ изъ *этой* деревни, вышедшихъ за водой. (10). Послѣднія спросили *еллиновъ*, кто они *такіе*. Переводчикъ сказалъ по-персидски, что они идутъ отъ царя къ сатрапу. Женщины отвѣ-

V. 15: ἀνεῖναι legit Hug in C. pr.: λῆξαι vulgo. || V. 39: περιτρέχειν scripsit Hug: παρατρέχειν libri.

Digitized by Google

τὸ ἔρυμα σὺν ταῖς ὑδροφόροις. — 11. Χειρίσοφος μὲν οὖν καὶ ὅσοι ἐδυνήθησαν τοῦ στρατεύματος ἐνταῦθα ἐστρατοπεδεύσαντο, τῶν δ' ἄλλων στρατιωτῶν οἱ μὴ δυνάμενοι διατελέσαι τὴν ὁδὸν ἐνυκτέρευσαν ἄσιτοι καὶ ἄνευ πυρός· καὶ ἐνταῦθά τινες ἀπώλοντο τῶν στρατιωτῶν. — 12. ἐφείποντο δὲ τῶν πολεμίων συνειλεγμένοι τινὲς καὶ τὰ μὴ δυνάμενα τῶν ὑποζυγίων ἥρπαζον καὶ ἀλλήλοις ἐμάχοντο περὶ αὐτῶν. ἐλείποντο δὲ τῶν στρατιωτῶν οἵ τε διεφθαρμένοι ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμοὺς οἵ τε ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες. — 13. ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος εἴ τις μέλαν τι ἔχων πρὸ τῶν ὀφθαλμῶν ἐπορεύετο, τῶν δὲ ποδῶν εἴ τις κινοῖτο καὶ μηδέποτε ἡσυχίαν ἄγοι καὶ εἰς τὴν νύκτα ὑπολύοιτο· — 14. ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο εἰς τοὺς πόδας οἱ ἱμάντες καὶ τὰ ὑποδήματα περιεπήγνυντο· καὶ γὰρ ἦσαν, ἐπειδὴ ἐπέλιπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάτιναι πεποιημέναι ἐκ τῶν νεοδάρτων βοῶν. — 15. διὰ τὰς τοιαύτας οὖν ἀνάγκας ὑπελείποντό τινες τῶν στρατιωτῶν· καὶ ἰδόντες μέλαν τι χωρίον διὰ τὸ ἐκλελοιπέναι αὐτόθι τὴν χιόνα εἴκαζον τετηκέναι· καὶ ἐτετήκει διὰ κρήνην τινὰ ἢ πλησίον ἦν ἀτμίζουσα ἐν νάπῃ. ἐνταῦθ' ἐκτραπόμενοι ἐκάθηντο καὶ οὐκ ἔφασαν πορεύεσθαι.

тили, что *catpanъ* не здѣсь, а на разстояніи около парасанга. Такъ какъ было уже поздно, то еллины вмѣстѣ съ водоносками вошли внутрь вала къ старшинѣ. (11). Такимъ образомъ Хирисофъ съ тѣми солдатами, которые были въ силахъ, расположились здѣсь по квартирамъ, а прочіе солдаты, не имѣвшіе силъ окончить путь, провели ночь безъ пищи и безъ огня; здѣсь также погибло нѣсколько человѣкъ. (12). Между тѣмъ нѣкоторые изъ непріятелей, собравшись, шли по слѣдамъ *еллиновъ* захватывали обезсилѣвшихъ животныхъ и дрались изъ-за нихъ между собою. Изъ солдатъ отставали тѣ, которые отъ снѣга повредили глаза, или отъ холода отморозили пальцы на ногахъ. (13). Глазамъ помогало противъ снѣга, если кто во время пути держалъ передъ глазами что-нибудь черное, а для *защиты* ногъ надлежало быть въ движеніи, никогда не оставаться въ покоѣ, а на ночь разуваться: (14). кто спалъ въ обуви, у того ремни врѣзывались въ ноги и обувь примерзала; дѣло въ томъ, что послѣ изношенія старой обуви, *у нихъ* были карватины, сдѣланныя изъ свѣжесодранной воловьей кожи. (15). Вслѣдствіе этихъ-то обстоятельствъ нѣкоторые изъ солдатъ отставали; завидѣвъ одну черную прогалину, *образовавшуюся* отъ исчезновенія снѣга, они заключили, что снѣгъ *тамъ* растаялъ. И *дѣйствительно въ этомъ мѣстѣ* онъ растаялъ вслѣдствіе находившагося вблизи въ лѣсномъ оврагѣ источника, издававшаго испаренія. Повернувши туда, они сѣли и отказались идти дальше.

§§ 19—36.

19. Καὶ Ξενοφῶν μὲν καὶ οἱ σὺν αὐτῷ εἰπόντες τοῖς ἀσθενοῦσιν ὅτι τῇ ὑστεραίᾳ ἥξουσί τινες ἐπ' αὐτούς, πορευόμενοι πρὶν τέτταρα στάδια διελθεῖν ἐντυγχάνουσιν ἐν τῇ ὁδῷ ἀναπαυομένοις ἐπὶ τῆς χιόνος τοῖς στρατιώταις ἐγκεκαλυμμένοις, καὶ οὐδὲ φυλακὴ οὐδεμία καθειστήκει· καὶ ἀνίστασαν αὐτούς. οἱ δ' ἔλεγον ὅτι οἱ ἔμπροσθεν οὐχ ὑποχωροῖεν. — 20. ὁ δὲ παριὼν καὶ παραπέμπων τῶν πελταστῶν τοὺς ἰσχυροτάτους ἐκέλευε σκέψασθαι τί εἴη τὸ κωλῦον. οἱ δὲ ἀπήγγελλον ὅτι ὅλον οὕτως ἀναπαύοιτο τὸ στράτευμα. — 21. ἐνταῦθα καὶ οἱ περὶ Ξενοφῶντα ηὐλίσθησαν αὐτοῦ ἄνευ πυρὸς καὶ ἄδειπνοι, φυλακὰς οἵας ἐδύναντο κα-

19. Ксенофонтъ и его отрядъ, сказавши больнымъ, что на слѣдующій день кто-нибудь придетъ за ними, продолжали путь и, не пройдя и четырехъ стадій, встрѣтили на дорогѣ солдатъ, которые, закутавшись, спали на снѣгу, не выставивъ даже часовыхъ; ихъ разбудили, и они объявили, что авангардъ не двигается впередъ. (20). Ксенофонтъ, проходя мимо, послалъ впередъ самыхъ сильныхъ пелтастовъ съ приказаніемъ разузнать причину задержки. Посланные донесли, что все войско отдыхаетъ такимъ-же образомъ. (21). Тогда и отрядъ Ксенофонта расположился тутъ-же безъ огня и безъ ужина, поставивъ часо-

Digitized by Google

ταστησάμενοι. ἐπεὶ δὲ πρὸς ἡμέραν ἦν, ὁ μὲν Ξενοφῶν πέμψας πρὸς τοὺς ἀσθενοῦντας τοὺς νεωτάτους ἀναστήσαντας ἐκέλευεν ἀναγκάζειν προϊέναι. — 22. ἐν δὲ τούτῳ Χειρίσοφος πέμπει τῶν ἐκ τῆς κώμης σκεψομένους πῶς ἔχοιεν οἱ τελευταῖοι. οἱ δὲ ἄσμενοι ἰδόντες τοὺς μὲν ἀσθενοῦντας τούτοις παρέδοσαν κομίζειν ἐπὶ τὸ στρατόπεδον, αὐτοὶ δὲ ἐπορεύοντο, καὶ πρὶν εἴκοσι στάδια διεληλυθέναι ἦσαν πρὸς τῇ κώμῃ ἔνθα Χειρίσοφος ἠυλίζετο. — 23. ἐπεὶ δὲ συνεγένοντο ἀλλήλοις, ἔδοξε κατὰ τὰς κώμας ἀσφαλὲς εἶναι τὰς τάξεις σκηνοῦν. καὶ Χειρίσοφος μὲν αὐτοῦ ἔμενεν, οἱ δὲ ἄλλοι διαλαχόντες ἃς ἑώρων κώμας ἐπορεύοντο ἕκαστοι τοὺς ἑαυτῶν ἔχοντες. — 24. ἔνθα δὴ Πολυκράτης Ἀθηναῖος λοχαγὸς ἐκέλευσεν ἀφιέναι ἑαυτόν· καὶ λαβὼν τοὺς εὐζώνους, θέων ἐπὶ τὴν κώμην ἣν εἰλήχει Ξενοφῶν καταλαμβάνει πάντας ἔνδον τοὺς κώμητας καὶ τὸν κωμάρχην, καὶ πώλους εἰς δασμὸν βασιλεῖ τρεφομένους ἑπτακαίδεκα, καὶ τὴν θυγατέρα τοῦ κωμάρχου ἐνάτην ἡμέραν γεγαμημένην· ὁ δ' ἀνὴρ αὐτῆς λαγὼς ᾤχετο θηράσων καὶ οὐχ ἥλω ἐν τῇ κώμῃ. — 25. αἱ δ' οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέατος, κάτω δ' εὐρεῖαι· αἱ δὲ εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταί, οἱ δὲ ἄνθρωποι κατέβαινον ἐπὶ κλίμακος. ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἶες, βόες, ὄρνιθες, καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφοντο.— 26. ἦσαν δὲ καὶ πυροὶ καὶ κριθαὶ καὶ ὄσπρια καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν. ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς, καὶ κάλαμοι ἐνέκειντο, οἱ μὲν μείζους οἱ δὲ ἐλάττους, γόνατα οὐκ ἔχοντες· — 27. τούτους ἔδει ὁπότε τις διψῴη λαβόντα εἰς τὸ στόμα μύζειν. καὶ πάνυ ἄκρατος ἦν, εἰ μή τις ὕδωρ ἐπιχέοι· καὶ πάνυ ἡδὺ συμμαθόντι τὸ πῶμα ἦν.— 28. ὁ δὲ Ξενοφῶν τὸν ἄρχοντα τῆς κώμης ταύτης σύνδειπνον ἐποιήσατο καὶ θαρρεῖν αὐτὸν ἐκέλευε λέγων ὅτι οὔτε τῶν τέκνων στερήσοιτο τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν, ἢν ἀγαθόν τι τῷ στρατεύματι ἐξηγησάμενος φαίνηται ἔστ' ἂν ἐν ἄλλῳ ἔθνει γένωνται. — 29. ὁ δὲ ταῦτα ὑπισχνεῖτο, καὶ φιλοφρονούμενος οἶνον ἔφρασεν ἔνθα ἦν κατορωρυγμένος. ταύτην μὲν οὖν τὴν νύκτα διασκηνήσαντες οὕτως ἐκοιμήθησαν ἐν πᾶσιν ἀφθόνοις πάντες οἱ στρα-

выхъ, какихъ можно было. Подъ утро Ксенофонтъ послалъ къ больнымъ самыхъ молодыхъ *людей* съ приказаніемъ поднять ихъ и заставить идти впередъ. (22). Въ это время Хирисофъ посылаетъ людей изъ деревни узнать, въ какомъ положеніи находится арьергардъ. *Солдаты Ксенофонта* съ радостью увидѣли ихъ, передали имъ больныхъ для доставленія въ лагерь, а сами продолжали путь и, не пройдя 20 стадій, очутились у той деревни, въ которой стоялъ Хирисофъ. (23). Когда части соединились, было признано безопаснымъ размѣстить отряды по деревнямъ. Хирисофъ остался на мѣстѣ, а прочіе *воеводы*, по жребію раздѣливши между собою деревни, которыя были видны *оттуда*, отправились каждый со своимъ отрядомъ. (24). Здѣсь лохагъ Поликратъ Аѳинянинъ попросилъ отпуска и, взявъ съ собою легковооруженныхъ, сдѣлалъ набѣгъ на ту деревню, которая досталась Ксенофонту, и захватилъ въ ней всѣхъ поселянъ, старшину, 17 жеребятъ, которыхъ кормили въ дань царю, и дочь старшины, бывшую девятый день замужемъ; мужъ ея ушелъ на охоту за зайцами и *поэтому* не былъ взятъ въ деревнѣ. (25). Дома здѣсь были подземные со входомъ на подобіе колодезя, но внизу широкіе; входы для животныхъ были вырыты, а люди спускались по лѣстницѣ. Въ домахъ содержались козы, овцы, коровы, домашнія птицы съ дѣтенышами; весь скотъ въ домахъ кормился сѣномъ. (26). Тамъ была и пшеница, ячмень, овощи и ячменное вино въ сосудахъ; ячменныя зерна плавали въ нихъ въ уровень съ краями; *туда-же* были вложены тростинки бо́льшаго и меньшаго размѣра безъ колѣнцевъ; (27) желающему напиться нужно было брать тростинку въ ротъ и сосать. Этотъ напитокъ былъ очень крѣпокъ, если не прилить къ *нему* воды; привыкшимъ къ нему онъ казался чрезвычайно пріятнымъ. (28). Ксенофонтъ пригласилъ начальника этой деревни къ своему столу и совѣтовалъ не унывать, увѣряя, что у него не отнимутъ дѣтей и при отбытіи наполнятъ его домъ запасами, если онъ до перехода ихъ во *владѣнія* другаго народа заявитъ себя какимъ-нибудь услугами войску. (29). Тотъ далъ обѣщаніе и въ доказательство своего

V. 25: ἐν τῇ κώμῃ Schenkl.: ἐν ταῖς κώμαις libri.

Digitized by Google

τιῶται, ἐν φυλακῇ ἔχοντες τὸν κωμάρχην καὶ τὰ τέκνα αὐτοῦ ὁμοῦ ἐν ὀφθαλμοῖς.— 30. τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Ξενοφῶν λαβὼν τὸν κωμάρχην πρὸς Χειρίσοφον ἐπορεύετο· ὅπου δὲ παρίοι κώμην, ἐτρέπετο πρὸς τοὺς ἐν ταῖς κώμαις καὶ κατελάμβανε πανταχοῦ εὐωχουμένους καὶ εὐθυμουμένους, καὶ οὐδαμόθεν ἀφίεσαν πρὶν παραθεῖναι αὐτοῖς ἄριστον'—31. οὐκ ἦν δ' ὅπου οὐ παρετίθεσαν ἐπὶ τὴν αὐτὴν τράπεζαν κρέα ἄρνεια, ἐρίφεια, χοίρεια, μόσχεια, ὀρνίθεια, σὺν πολλοῖς ἄρτοις τοῖς μὲν πυρίνοις τοῖς δὲ κριθίνοις.—32. ὁπότε δέ τις φιλοφρονούμενός τῳ βούλοιτο προπιεῖν, εἶλκεν ἐπὶ τὸν κρατῆρα, ἔνθεν ἐπικύψαντα ἔδει ῥοφοῦντα πίνειν ὥσπερ βοῦν. καὶ τῷ κωμάρχῃ ἐδίδοσαν λαμβάνειν ὅ, τι βούλοιτο. ὁ δὲ ἄλλο μὲν οὐδὲν ἐδέχετο, ὅπου δέ τινα τῶν συγγενῶν ἴδοι, πρὸς ἑαυτὸν ἀεὶ ἐλάμβανεν.—33. ἐπεὶ δ' ἦλθον πρὸς Χειρίσοφον, κατελάμβανον κἀκείνους σκηνοῦντας ἐστεφανωμένους τοῦ ξηροῦ χιλοῦ στεφάνοις, καὶ διακονοῦντας Ἀρμενίους παῖδας σὺν ταῖς βαρβαρικαῖς στολαῖς· τοῖς παισὶν ἐδείκνυσαν ὥσπερ ἐνεοῖς, ὅ τι δέοι ποιεῖν.—34. ἐπεὶ δ' ἀλλήλους ἐφιλοφρονήσαντο Χειρίσοφος καὶ Ξενοφῶν, κοινῇ δὴ ἀνηρώτων τὸν κωμάρχην διὰ τοῦ περσίζοντος ἑρμηνέως τίς εἴη ἡ χώρα. ὁ δ' ἔλεγεν ὅτι Ἀρμενία. καὶ πάλιν ἠρώτων τίνι οἱ ἵπποι τρέφοιντο. ὁ δ' ἔλεγεν ὅτι βασιλεῖ δασμός· τὴν δὲ πλησίον χώραν ἔφη εἶναι Χάλυβας, καὶ τὴν ὁδὸν ἔφραζεν ἥ εἴη.—35. καὶ αὐτὸν τότε μὲν ᾤχετο ἄγων Ξενοφῶν πρὸς τοὺς ἑαυτοῦ οἰκέτας, καὶ ἵππον ὃν εἵλήφει παλαίτερον δίδωσι τῷ κωμάρχῃ ἀναθρέψαντι καταθῦσαι, ὅτι ἤκουεν αὐτὸν ἱερὸν εἶναι τοῦ Ἡλίου, δεδιὼς μὴ ἀποθάνῃ· ἐκεκάκωτο γὰρ ὑπὸ τῆς πορείας· αὐτὸς δὲ τῶν πώλων λαμβάνει, καὶ τῶν ἄλλων στρατηγῶν [καὶ λοχαγῶν] ἔδωκεν ἑκάστῳ πῶλον.—36. ἦσαν δ' οἱ ταύτῃ ἵπποι μείονες μὲν τῶν Περσικῶν, θυμοειδέστεροι δὲ πολύ. ἐνταῦθα δὴ καὶ διδάσκει ὁ κωμάρχης περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων σακία περιειλεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσιν· ἄνευ γὰρ τῶν σακίων κατεδύοντο μέχρι τῆς γαστρός.

расположенія указалъ мѣсто, гдѣ было зарыто вино. Такимъ образомъ эту ночь всѣ солдаты провели на квартирахъ среди изобилія во всемъ; старшину они держали подъ карауломъ и дѣтей его не упускали изъ виду. (30). На слѣдующій день Ксенофонтъ, взявъ *съ собою* старшину, отправился къ Хирисофу; гдѣ ему случалось проходить черезъ деревню, онъ заходилъ къ квартировавшимъ въ деревняхъ *солдатамъ* и повсюду заставалъ ихъ пирующими и веселыми; нигдѣ не отпускали ихъ безъ завтрака; (31) вездѣ заразъ подавали на столъ баранину, козлятину, поросятину, телятину, курятину со множествомъ пшеничнаго и ячменнаго хлѣба. (32). Когда кто-либо изъ расположенія къ другому хотѣлъ пить за его здоровье, то тащилъ его къ сосуду, изъ котораго приходилось, нагнувшись, тянуть подобно быку. Старшинѣ также предлагали брать что угодно, *однако* онъ ничего не бралъ, но гдѣ видѣлъ кого-нибудь изъ родственниковъ, всегда бралъ съ собою. (33). Пришедши къ Хирисофу, они застали и его солдатъ пирующими на квартирахъ, въ вѣнкахъ изъ сухой травы; прислуживали имъ арменскіе мальчики въ варварскихъ нарядахъ; *еллины* указывали имъ знаками, какъ глухонѣмымъ, что нужно было дѣлать. (34). Хирисофъ и Ксенофонтъ, поздоровавшись, вмѣстѣ спросили старшину черезъ переводчика, говорившаго по персидски, что это за страна? Тотъ отвѣчалъ, что Арменія. Затѣмъ они спросили, для кого кормятъ лошадей? тотъ сказалъ, что въ дань царю; сосѣднюю страну онъ назвалъ областью Халиновъ и объяснилъ, какимъ путемъ идти туда.— 35. Тогда Ксенофонтъ отвелъ его къ его семейству и подарилъ ему захваченнаго имъ раньше коня съ тѣмъ, чтобы тотъ *хорошенько* откормилъ его и принесъ въ жертву: Ксенофонтъ слышалъ, что этотъ конь былъ посвященъ Солнцу, и боялся, чтобы онъ не палъ, такъ какъ изнуренъ былъ походомъ.

Себѣ же взялъ онъ одного изъ молодыхъ жеребцовъ и роздалъ по жеребцу каждому стратигу [и лохагу]. — 36. Лошади мѣстной породы были меньше персидскихъ, но гораздо рѣзвѣе. При этомъ старшина научилъ ихъ во время пути по

V. 40 [καὶ λοχαγῶν] secl. Schenkl.

Digitized by Google

снѣгу обвязывать ноги лошадей и вьючныхъ животныхъ мѣшечками, такъ какъ безъ нихъ животныя вязли въ снѣгу по *самый* животъ.

Гл. 6, §§ 1—6.

1. Ἐπεὶ δ' ἡμέρα ἦν ὀγδόη, τὸν μὲν ἡγεμόνα παραδίδωσι Χειρισόφῳ, τοὺς δὲ οἰκέτας καταλείπει τῷ κωμάρχῃ, πλὴν τοῦ υἱοῦ τοῦ ἄρτι ἡβάσκοντος· τοῦτον δὲ Ἐπισθένει Ἀμφιπολίτῃ παραδίδωσι φυλάττειν, ὅπως εἰ καλῶς ἡγήσαιτο, ἔχων καὶ τοῦτον ἀπίοι καὶ εἰς τὴν οἰκίαν αὐτοῦ εἰσεφόρησαν ὡς ἐδύναντο πλεῖστα, καὶ ἀναζεύξαντες ἐπορεύοντο.— 2. ἡγεῖτο δ' αὐτοῖς ὁ κωμάρχης λελυμένος διὰ χιόνος· καὶ ἤδη τε ἦν ἐν τῷ τρίτῳ σταθμῷ, καὶ Χειρίσοφος αὐτῷ ἐχαλεπάνθη ὅτι οὐκ εἰς κώμας ἤγαγεν. ὁ δ' ἔλεγεν ὅτι οὐκ εἶεν ἐν τῷ τόπῳ τούτῳ. ὁ δὲ Χειρίσοφος αὐτὸν ἔπαισε μέν, ἔδησε δ' οὔ.— 3. ἐκ δὲ τούτου ἐκεῖνος τῆς νυκτὸς ἀποδρὰς ᾤχετο καταλιπὼν τὸν υἱόν. τοῦτό γε δὴ Χειρισόφῳ καὶ Ξενοφῶντι μόνον διάφορον ἐν τῇ πορείᾳ ἐγένετο, ἡ τοῦ ἡγεμόνος κάκωσις καὶ ἀμέλεια...

4. Μετὰ τοῦτο ἐπορεύθησαν ἑπτὰ σταθμοὺς ἀνὰ πέντε παρασάγγας τῆς ἡμέρας παρὰ τὸν Φᾶσιν ποταμόν, εὖρος πλεθριαῖον. — 5. ἐντεῦθεν ἐπορεύθησαν σταθμοὺς δύο παρασάγγας δέκα· ἐπὶ δὲ τῇ εἰς τὸ πεδίον ὑπερβολῇ ἀπήντησαν αὐτοῖς Χάλυβες καὶ Τάοχοι καὶ Φασιανοί.— 6. Χειρίσοφος δ' ἐπεὶ κατεῖδε τοὺς πολεμίους ἐπὶ τῇ ὑπερβολῇ, ἐπαύσατο πορευόμενος, ἀπέχων εἰς τριάκοντα σταδίους, ἵνα μὴ κατὰ κέρας ἄγων πλησιάσῃ τοῖς πολεμίοις· παρήγγειλε δὲ καὶ τοῖς ἄλλοις παράγειν τοὺς λόχους, ὅπως ἐπὶ φάλαγγος γένοιτο τὸ στράτευμα.

1. На восьмой день *Ксенофонтъ* передалъ проводника Хирисофу, а старшинѣ оставилъ его семейство, за исключеніемъ сына, только что достигшаго возмужалости; этого послѣдняго онъ передалъ подъ охрану Амфиполиту Еписѳену для того, чтобы *отецъ* получилъ его при уходѣ, если хорошо исполнитъ обязанность проводника. Въ домъ старшины нанесли какъ можно больше *всякихъ запасовъ* и, собравшись, двинулись *далѣе*. — 2. Старшина, шедшій не связаннымъ, указывалъ имъ дорогу по снѣгу. Уже на третьемъ переходѣ Хирисофъ разсердился на него за то, что онъ не привелъ *ихъ* въ деревни; тотъ отвѣчалъ, что въ этой мѣстности *деревень* вовсе нѣтъ. Хирисофъ побилъ его, но не связалъ. — 3. Послѣ этого старшина ночью бѣжалъ, оставивъ *своего* сына. Это *обстоятельство*, т. е. дурное обхожденіе съ проводникомъ и небрежность, были единственнымъ поводомъ къ размолвкѣ между Ксенофонтомъ и Хирисофомъ во *все* время пути... 4. Послѣ этого прошли 7 переходовъ по 5 парасанговъ въ день, вдоль рѣки Фасида, шириною въ плеѳръ.—5. Затѣмъ прошли въ 2 перехода 10 парасанговъ. При перевалѣ *черезъ горы* въ равнину встрѣтили ихъ Халивы, Таохи и Фасіаны. — 6. Хирисофъ, увидѣвъ непріятеля на перевалѣ, остановился на разстояніи до 30 стадій для того, чтобы не подойти къ непріятелю фланговымъ строемъ; и послалъ остальнымъ приказъ подвести свои отряды такъ, чтобы войско образовало фалангу.

§§ 22—27.

22. Ἐπειδὴ δὲ ἐδείπνησαν καὶ νὺξ ἐγένετο, οἱ μὲν ταχθέντες ᾦχοντο, καὶ καταλαμβάνουσι τὸ ὄρος, οἱ δὲ ἄλλοι αὐτοῦ ἀνεπαύοντο. οἱ δὲ πολέμιοι ἐπεὶ ἤσθοντο τὸ ὄρος ἐχόμενον, ἐγρηγόρεσαν καὶ ἔκαον πυρὰ πολλὰ διὰ νυκτός. — 23. ἐπειδὴ δὲ ἡμέρα ἐγένετο, Χειρίσοφος μὲν θυσάμενος ἦγε κατὰ τὴν ὁδόν, οἱ δὲ τὸ ὄρος καταλα-

22. Послѣ ужина, съ наступленіемъ ночи, отряженные *солдаты* ушли и заняли гору, остальные-же легли отдыхать на мѣстѣ. Непріятели, замѣтивши, что гора занята, не спали всю ночь и жгли много костровъ.— 23. Съ наступленіемъ дня Хирисофъ принесъ жертву и повелъ войско по дорогѣ, а тѣ, которые заняли гору, двину-

Digitized by Google

βόντες κατὰ τὰ ἄκρα ἐπῆσαν.—24. τῶν δ' αὖ πολεμίων τὸ μὲν πολὺ ἔμενεν ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους, μέρος δ' αὐτῶν ἀπήντα τοῖς κατὰ τὰ ἄκρα. πρὶν δὲ ὁμοῦ εἶναι τοὺς πολλοὺς ἀλλήλοις, συμμιγνύασιν οἱ κατὰ τὰ ἄκρα, καὶ νικῶσιν οἱ Ἕλληνες καὶ διώκουσιν. — 25. ἐν τούτῳ δὲ καὶ οἱ ἐκ τοῦ πεδίου οἱ μὲν πελτασταὶ τῶν Ἑλλήνων δρόμῳ ἔθεον πρὸς τοὺς παρατεταγμένους, Χειρίσοφος δὲ βάδην ταχὺ ἐφείπετο σὺν τοῖς ὁπλίταις. — 26. οἱ δὲ πολέμιοι οἱ ἐπὶ τῇ ὁδῷ ἐπειδὴ τὸ ἄνω ἑώρων ἡττώμενον, φεύγουσι· καὶ ἀπέθανον μὲν οὐ πολλοὶ αὐτῶν, γέρρα δὲ πάμπολλα ἐλήφθη· ἃ οἱ Ἕλληνες ταῖς μαχαίραις κόπτοντες ἀχρεῖα ἐποίουν.—27. ὡς δ' ἀνέβησαν, θύσαντες καὶ τρόπαιον στησάμενοι κατέβησαν εἰς τὸ πεδίον, καὶ εἰς κώμας πολλῶν κἀγαθῶν γεμούσας ἦλθον.

лись (на непріятелей) по крутизнамъ.—24. Главныя силы непріятелей стояли на перевалѣ черезъ гору, а *одна* часть ихъ двинулась на встрѣчу шедшимъ по крутизнамъ. Прежде чѣмъ сошлись главныя силы, бывшіе на крутизнахъ *отряды* вступили въ схватку, въ которой Еллины одержали верхъ и преслѣдовали *побѣжденныхъ*. — 25. Въ это время и въ долинѣ эллинскіе пелтасты бросились бѣгомъ на стоявшихъ противъ нихъ *непріятелей*, а Хирисофъ съ оплитами слѣдовалъ за ними скорымъ шагомъ. — 26. Непріятели, *стоявшіе* на дорогѣ, увидѣвъ пораженіе *своего отряда*, *бывшаго* на вершинѣ, *также* бросились бѣжать; при этомъ были убиты немногіе изъ нихъ, но было захвачено очень много плетеныхъ щитовъ; Еллины рубили ихъ мечами и *такимъ образомъ* дѣлали негодными къ употребленію. — 27. Взобравшись на вершину, *Еллины* совершили жертвоприношеніе и поставили трофей, а затѣмъ спустились на равнину и вступили въ деревни, изобиловавшія всякимъ добромъ.

Походъ чрезъ земли Таоховъ, Халибовъ и Скиѳиновъ.

Гл. 7, §§ 1—4.

1. Ἐκ δὲ τούτων ἐπορεύθησαν εἰς Ταόχους σταθμοὺς πέντε παρασάγγας τριάκοντα· καὶ τὰ ἐπιτήδεια ἐπέλιπε· χωρία γὰρ ὤκουν ἰσχυρὰ οἱ Τάοχοι, ἐν οἷς καὶ τὰ ἐπιτήδεια πάντα εἶχον ἀνακεκομισμένοι.—2. ἐπεὶ δ' ἀφίκοντο πρὸς χωρίον ὃ πόλιν μὲν οὐκ εἶχεν οὐδ' οἰκίας — συνεληλυθότες δ' ἦσαν αὐτόσε καὶ ἄνδρες καὶ γυναῖκες καὶ κτήνη πολλά — Χειρίσοφος μὲν οὖν πρὸς τοῦτο προσέβαλλεν εὐθὺς ἥκων· ἐπειδὴ δὲ ἡ πρώτη τάξις ἀπέκαμνεν, ἄλλη προσῄει καὶ αὖθις ἄλλη· οὐ γὰρ ἦν ἀθρόοις περιστῆναι, ἀλλὰ ποταμὸς ἦν κύκλῳ. — 3. ἐπειδὴ δὲ Ξενοφῶν ἦλθε σὺν τοῖς ὀπισθοφύλαξι καὶ πελτασταῖς καὶ ὁπλίταις, ἐνταῦθα δὴ λέγει Χειρίσοφος, Εἰς καλὸν ἥκετε· τὸ γὰρ χωρίον αἱρετέον· τῇ γὰρ στρατιᾷ οὐκ ἔστι τὰ ἐπιτήδεια, εἰ μὴ ληψόμεθα τὸ χωρίον.—4. ἐνταῦθα δὴ κοινῇ ἐβουλεύοντο· καὶ τοῦ Ξενοφῶντος ἐρωτῶντος τί τὸ κωλῦον εἴη εἰσελθεῖν εἶπεν ὁ Χειρίσοφος, Μία αὕτη πάροδός ἐστιν ἣν ὁρᾷς· ὅταν δέ τις ταύτῃ πειρᾶται παριέναι, κυλίνδουσι λί-

1. Отсюда *Еллины* направились въ *землю* Таоховъ *и прошли* въ 5 переходовъ[1]) 30 парасанговъ; *здѣсь* сталъ ощущаться у нихъ недостатокъ провіанта, потому что Таохи жили въ укрѣпленныхъ мѣстахъ, гдѣ и хранили собранные запасы всякаго провіанта.—2. Когда *Еллины* подошли къ *одному* мѣсту, которое *не представляло собою* города и не имѣло строеній, но въ которомъ собрались *тогда* мужчины и женщины со множествомъ скота, Хирисофъ тотчасъ по прибытіи сдѣлалъ на него нападеніе. Когда уставалъ первый отрядъ, подходилъ другой, затѣмъ третій: многимъ *сразу* невозможно было окружить *его*, такъ какъ кругомъ была рѣка. — 3. Когда пришелъ Ксенофонтъ съ арьергардомъ, пелтастами и оплитами, Хирисофъ сказалъ: «Вы пришли какъ разъ кстати: это мѣсто *намъ* нужно взять, потому что, если мы не возьмемъ его, у войска нѣтъ продовольствія».—4. Тутъ они стали совѣщаться; на вопросъ Ксенофонта, что имъ

1) 30 декабря 401 — 3 января 400 г. до Р. Хр.

Digitized by Google

θους ὑπὲρ ταύτης τῆς ὑπερεχούσης πέτρας· ὃς δ' ἂν καταληφθῇ, οὕτω διατίθεται. ἅμα δ' ἔδειξε συντετριμμένους ἀνθρώπους καὶ σκέλη καὶ πλευράς.

мѣшаетъ войти туда, Хирисофъ отвѣчалъ: «Этотъ проходъ, который ты видишь,—единственный; а когда кто попытается пройти по нему, *непріятели* скатываютъ камни съ этой выдающейся скалы, и если кого задѣнутъ, съ тѣмъ случается вотъ что». При этомъ онъ указалъ на солдатъ съ разбитыми ногами и бедрами.

§§ 12—22.

12... Καὶ οὕτως αἱροῦσι τὸ χωρίον. ὡς γὰρ ἅπαξ εἰσέδραμον, οὐδεὶς πέτρος ἄνωθεν ἠνέχθη. — 13. ἐνταῦθα δὴ δεινὸν ἦν θέαμα. αἱ γὰρ γυναῖκες ῥίπτουσαι τὰ παιδία εἶτα ἑαυτὰς ἐπικατερρίπτουν, καὶ οἱ ἄνδρες ὡσαύτως. ἐνταῦθα δὴ καὶ Αἰνείας Στυμφάλιος λοχαγὸς ἰδών τινα θέοντα ὡς ῥίψοντα ἑαυτὸν στολὴν ἔχοντα καλὴν ἐπιλαμβάνεται ὡς κωλύσων· (14) ὁ δὲ αὐτὸν ἐπισπᾶται, καὶ ἀμφότεροι ᾤχοντο κατὰ τῶν πετρῶν φερόμενοι καὶ ἀπέθανον. ἐντεῦθεν ἄνθρωποι μὲν πάνυ ὀλίγοι ἐλήφθησαν, βόες δὲ καὶ ὄνοι πολλοὶ καὶ πρόβατα.

15. Ἐντεῦθεν ἐπορεύθησαν διὰ Χαλύβων σταθμοὺς ἑπτὰ παρασάγγας πεντήκοντα. οὗτοι ἦσαν ὧν διῆλθον ἀλκιμώτατοι, καὶ εἰς χεῖρας ἦσαν. εἶχον δὲ θώρακας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων σπάρτα πυκνὰ ἐστραμμένα.—16. εἶχον δὲ καὶ κνημῖδας καὶ κράνη καὶ παρὰ τὴν ζώνην μαχαίριον ὅσον ξυήλην Λακωνικήν, ᾧ ἔσφαττον ὧν κρατεῖν δύναιντο, καὶ ἀποτεμόντες ἂν τὰς κεφαλὰς ἔχοντες ἐπορεύοντο, καὶ ᾖδον καὶ ἐχόρευον ὁπότε οἱ πολέμιοι αὐτοὺς ὄψεσθαι ἔμελλον. εἶχον δὲ καὶ δόρυ ὡς πεντεκαίδεκα πήχεων μίαν λόγχην ἔχον. οὗτοι ἐνέμενον ἐν τοῖς πολίσμασιν· (17) ἐπεὶ δὲ παρέλθοιεν οἱ Ἕλληνες, εἵποντο ἀεὶ μαχούμενοι. ᾤκουν δὲ ἐν τοῖς ὀχυροῖς, καὶ τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι ἦσαν· ὥστε μηδὲν λαμβάνειν αὐτόθεν τοὺς Ἕλληνας, ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν ἃ ἐκ τῶν Ταόχων ἔλαβον.— 18. ἐκ τούτου οἱ Ἕλληνες ἀφίκοντο ἐπὶ τὸν Ἄρπασον ποταμόν, εὖρος τεττάρων πλέθρων. ἐντεῦθεν ἐπορεύθησαν διὰ Σκυθηνῶν σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι διὰ πεδίου εἰς κώμας· ἐν αἷς ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντο. — 19. ἐντεῦθεν διῆλθον σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι πρὸς πόλιν μεγάλην καὶ εὐδαίμονα καὶ οἰκουμένην ἣ ἐκαλεῖτο Γυμνιάς. ἐκ ταύτης [τῆς χώρας] ὁ ἄρχων τοῖς Ἕλλησιν ἡγεμόνα πέμπει, ὅπως διὰ τῆς ἑαυτῶν πο-

12... Такимъ образомъ *Еллины* взяли это мѣсто. Разъ они ворвались туда, не было брошено сверху ни одного камня. — 13. Тутъ представилось страшное зрѣлище: женщины стали бросать своихъ дѣтей *съ утесовъ* и затѣмъ бросались сами; то-же *дѣлали* и мужчины. Тутъ лохагъ Эней Стимфальскій, увидѣвъ, какъ одинъ человѣкъ въ красивомъ платьѣ побѣжалъ съ намѣреніемъ броситься внизъ, схватилъ его, чтобы удержать; (14) но тотъ увлекъ его *за собою*, и оба они полетѣли со скалы и убились. *Такимъ образомъ* людей здѣсь было взято очень мало, но *за то* много воловъ, ословъ и овецъ.—15. Оттуда прошли черезъ *землю* Халибовъ въ 7 переходовъ 50 парасанговъ. Изъ всѣхъ *народовъ*, черезъ *земли* которыхъ *Еллины* проходили, это былъ самый мужественный и вступалъ въ рукопашную *съ Еллинами*. Халибы носили льняные панцыри, *доходившіе* до живота, а вмѣсто оперенія *къ панцырямъ* были густо *прикрѣплены* крученые шнурки; (16) они носили также поножи и шлемы, а у пояса ножъ въ родѣ лаконскаго меча; имъ они рѣзали *всякаго*, кто попадался въ ихъ руки, отрѣзывали головы и съ ними шли дальше; когда непріятель могъ ихъ увидѣть, они пѣли и плясали. У нихъ были также копья локтей въ 15 *длины* съ однимъ остріемъ. Они оставались въ своихъ городкахъ, (17) а когда Еллины проходили мимо, то они преслѣдовали, постоянно готовые къ бою. Жили они въ укрѣпленныхъ *мѣстахъ*, куда свезли и продовольствіе, такъ что Еллины здѣсь ничего не могли достать и питались *тѣмъ* скотомъ, который взяли у Таоховъ.—18. Потомъ Еллины пришли къ рѣкѣ Арпасу въ 4 плеѳра ширины; а оттуда по землѣ Скиѳиновъ прошли въ 4 перехода 20 парасанговъ по равнинѣ *и прибыли* въ деревни, въ которыхъ пробыли 3 дня и запаслись провіантомъ.

Digitized by Google

λεμίας χώρας ἄγοι αὐτούς. — 20. ἐλθὼν δ' ἐκεῖνος λέγει ὅτι ἄξει αὐτοὺς πέντε ἡμερῶν εἰς χωρίον ὅθεν ὄψονται θάλατταν· εἰ δὲ μή, τεθνάναι ἐπηγγείλατο. καὶ ἡγούμενος ἐπειδὴ ἐνέβαλλεν εἰς τὴν [ἑαυτοῦ] πολεμίαν, παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν χώραν· ᾧ καὶ δῆλον ἐγένετο ὅτι τούτου ἕνεκεν συνέλθοι, οὐ τῆς τῶν Ἑλλήνων εὐνοίας. — 21. καὶ ἀφικνοῦνται ἐπὶ τὸ ὄρος τῇ πέμπτῃ ἡμέρᾳ· ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης. ἐπεὶ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους, κραυγὴ πολλὴ ἐγένετο. — 22. ἀκούσας δὲ ὁ Ξενοφῶν καὶ οἱ ὀπισθοφύλακες ᾠήθησαν ἔμπροσθεν ἄλλους ἐπιτίθεσθαι πολεμίους· εἵποντο γὰρ ὄπισθεν οἱ ἐκ τῆς καομένης χώρας, καὶ αὐτῶν οἱ ὀπισθοφύλακες ἀπέκτειναν τέ τινας καὶ ἐζώγρησαν ἐνέδραν ποιησάμενοι, καὶ γέρρα ἔλαβον δασειῶν βοῶν ὠμοβόεια ἀμφὶ τὰ εἴκοσιν.

19. Отсюда прошли они въ 4 перехода 20 парасанговъ до большаго, богатаго и населеннаго города, называвшагося Гимніадой. Изъ этого *города* начальникъ [страны] посылаетъ къ Эллинамъ проводника, чтобы повести ихъ черезъ страну своихъ враговъ. — 20. Проводникъ, пришедши, объявилъ, что въ 5 дней проведетъ ихъ въ *такое* мѣсто, откуда они увидятъ море; въ противномъ-же случаѣ предоставилъ имъ умертвить его. Приведя ихъ въ враждебную *своему народу* страну, онъ сталъ подстрекать *Эллиновъ* жечь и опустошать ее; отсюда и стало очевидно, что онъ пошелъ *именно* ради этой *цѣли*, а не изъ расположенія къ Эллинамъ. — 21. На пятый день [1]) они приходятъ къ горѣ, называвшейся Θихомъ. Когда передовые поднялись на гору, поднялся громкій крикъ. — 22. Услышавъ *его*, Ксенофонтъ и воины арьергарда подумали, что спереди нападаютъ новые непріятели, такъ какъ сзади шли *жители* выжженной страны, при чемъ солдаты арьергарда нѣкоторыхъ изъ нихъ убили или захватили живыми изъ засады, *при чемъ* взяли до двадцати плетеныхъ щитовъ, покрытыхъ сырыми и косматыми воловьими шкурами.

§§ 25—27.

25. Ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους καὶ στρατηγοὺς καὶ λοχαγοὺς δακρύοντες. καὶ ἐξαπίνης ὅτου δὴ παρεγγυήσαντος οἱ στρατιῶται φέρουσι λίθους καὶ ποιοῦσι κολωνὸν μέγαν. — 26. ἐνταῦθα ἀνετίθεσαν δερμάτων πλῆθος ὠμοβοείων καὶ βακτηρίας καὶ τὰ αἰχμάλωτα γέρρα, καὶ ὁ ἡγεμὼν αὐτός τε κατέτεμνε τὰ γέρρα καὶ τοῖς ἄλλοις διεκελεύετο. — 27. μετὰ ταῦτα τὸν ἡγεμόνα οἱ Ἕλληνες ἀποπέμπουσι δῶρα δόντες ἀπὸ κοινοῦ ἵππον καὶ φιάλην ἀργυρᾶν καὶ σκευὴν Περσικὴν καὶ δαρεικοὺς δέκα· ᾔτει δὲ μάλιστα τοὺς δακτυλίους, καὶ ἔλαβε πολλοὺς παρὰ τῶν στρατιωτῶν. κώμην δὲ δείξας αὐτοῖς οὗ σκηνήσουσι καὶ τὴν ὁδόν, ἣν πορεύσονται εἰς Μάκρωνας, ἐπεὶ ἑσπέρα ἐγένετο, ᾤχετο [τῆς νυκτὸς] ἀπιών.

25. Когда всѣ поднялись на вершину, *солдаты* съ слезами на глазахъ обнимали другъ друга, стратиговъ и лохаговъ. И вдругъ по чьему-то распоряженію солдаты натаскали камней и сложили большой курганъ; (26) на немъ положили множество сырыхъ воловьихъ шкуръ, палки и взятые плетеные щиты; при чемъ проводникъ самъ рубилъ ихъ и совѣтовалъ другимъ *дѣлать то-же*. — 27. Послѣ этого Эллины отпустили проводника *домой*, подаривъ ему изъ общественныхъ средствъ коня, серебряную чашу, персидское платье и 10 дариковъ; но онъ больше всего просилъ перстней и набралъ *ихъ* много у солдатъ. Указавъ имъ деревню, гдѣ они могли-бы расположиться, и дорогу, по которой имъ нужно пройти въ *землю* Макроновъ, онъ съ наступленіемъ вечера ушелъ домой.

V. 12: Post ὄρους vulgo legitur καὶ κατεῖδον τὴν θάλασσαν, quod omisit H. utpote ex § 24 explicationis causa additum.

1) 27 января 400 г.

Digitized by Google

Походъ чрезъ землю Макроновъ до Трапезунта.

Гл. 8, §§ 1—3.

1. Ἐντεῦθεν δ' ἐπορεύθησαν οἱ Ἕλληνες διὰ Μακρώνων σταθμοὺς τρεῖς παρασάγγας δέκα. τῇ πρώτῃ δὲ ἡμέρᾳ ἀφίκοντο ἐπὶ τὸν ποταμὸν ὃς ὥριζε τὴν τῶν Μακρώνων καὶ τὴν τῶν Σκυθηνῶν. — 2. εἶχον δ' ὑπὲρ δεξιῶν χωρίον οἷον χαλεπώτατον καὶ ἐξ ἀριστερᾶς ἄλλον ποταμόν, εἰς ὃν ἐνέβαλλεν ὁ ὁρίζων, δι' οὗ ἔδει διαβῆναι. ἦν δὲ οὗτος δασὺς δένδρεσι παχέσι μὲν οὔ, πυκνοῖς δέ. ταῦτ' ἐπεὶ προσῆλθον οἱ Ἕλληνες ἔκοπτον, σπεύδοντες ἐκ τοῦ χωρίου ὡς τάχιστα ἐξελθεῖν. — 3. οἱ δὲ Μάκρωνες ἔχοντες γέρρα καὶ λόγχας καὶ τριχίνους χιτῶνας κατ' ἀντιπέραν τῆς διαβάσεως παρετεταγμένοι ἦσαν καὶ ἀλλήλοις διεκελεύοντο καὶ λίθους εἰς τὸν ποταμὸν ἔρριπτον· ἐξανοῦντο γὰρ οὔ οὐδ' ἔβλαπτον οὐδέν.

1. Отсюда Эллины прошли въ 3 перехода 10 парасанговъ чрезъ землю Макроновъ. Въ первый-же день они дошли до рѣки, которая отдѣляла землю Макроновъ отъ Скиѳиновъ.—2. Вправо отъ нихъ поднималась почти неприступная мѣстность, а налѣво текла другая рѣка, въ которую впадала пограничная и чрезъ которую *имъ* приходилось переправиться. Берега ея густо заросли не толстыми, но частыми деревьями. Подойдя *къ рѣкѣ*, Эллины стали рубить ихъ, торопясь какъ можно скорѣе выбраться изъ *этой* мѣстности.—3. Между тѣмъ Макроны съ плетеными щитами и копьями и въ волосяныхъ хитонахъ выстроились противъ *мѣста* переправы, ободряли другъ друга и бросали камни въ рѣку: *до Эллиновъ камни* не долетали и не причиняли *имъ* никакого вреда.

§§ 6—9.

6. Οἱ δ' ἀπεκρίναντο Ὅτι καὶ ὑμεῖς ἐπὶ τὴν ἡμετέραν χώραν ἔρχεσθε. λέγειν ἐκέλευον οἱ στρατηγοὶ ὅτι οὐ κακῶς γε ποιήσοντες, ἀλλὰ βασιλεῖ πολεμήσαντες ἀπερχόμεθα εἰς τὴν Ἑλλάδα, καὶ ἐπὶ θάλατταν βουλόμεθα ἀφικέσθαι. — 7. ἠρώτων ἐκεῖνοι εἰ δοῖεν ἂν τούτων τὰ πιστά. οἱ δ' ἔφασαν καὶ δοῦναι καὶ λαβεῖν ἐθέλειν. ἐντεῦθεν διδόασιν οἱ Μάκρωνες βαρβαρικὴν λόγχην τοῖς Ἕλλησιν, οἱ δὲ Ἕλληνες ἐκείνοις Ἑλληνικήν· ταῦτα γὰρ ἔφασαν πιστὰ εἶναι. θεοὺς δ' ἐπεμαρτύραντο ἀμφότεροι. — 8. Μετὰ δὲ τὰ πιστὰ εὐθὺς οἱ Μάκρωνες τὰ δένδρα συνεξέκοπτον τήν τε ὁδὸν ὡδοποίουν ὡς διαβιβῶντες· ἐν μέσοις ἀναμεμιγμένοι τοῖς Ἕλλησι, καὶ ἀγορὰν οἵαν ἐδύναντο παρεῖχον, καὶ παρήγαγον ἐν τρισὶν ἡμέραις ἕως ἐπὶ τὰ Κόλχων ὅρια κατέστησαν τοὺς Ἕλληνας. — 9. ἐνταῦθα ἦν ὄρος μέγα· καὶ ἐπὶ τούτου οἱ Κόλχοι παρατεταγμένοι ἦσαν. καὶ τὸ μὲν πρῶτον οἱ Ἕλληνες ἀντιπαρετάξαντο φάλαγγα, ὡς οὕτως ἔξοντες πρὸς τὸ ὄρος· ἔπειτα δὲ ἔδοξε τοῖς στρατηγοῖς βουλεύσασθαι συλλεγεῖσιν ὅπως ὡς κάλλιστα ἀγωνιοῦνται.

6. [На вопросъ эллинскаго переводчика, почему Макроны желаютъ быть врагами Эллиновъ], они отвѣчали: «потому что и вы идете на нашу страну». *Тогда* стратиги велѣли передать Макронамъ, что «мы идемъ не съ цѣлью нанесенія вреда, а возвращаемся въ Элладу по окончаніи войны съ царемъ, и хотимъ добраться до моря».— 7. Тѣ спросили, могутъ-ли Эллины дать въ этомъ клятву. *Эллины* отвѣчали, что они согласны обмѣняться *клятвами*. Тогда Макроны даютъ Эллинамъ варварское копье, а Эллины имъ — эллинское: въ этомъ, по словамъ *Макроновъ*, состояла клятва; объ стороны *при этомъ* призвали боговъ въ свидѣтели.—8. По заключеніи договора Макроны тотчасъ стали помогать *Эллинамъ* рубить деревья и прокладывать дорогу для переправы, при чемъ совершенно смѣшивались съ Эллинами; продавали продовольствіе, какое могли, и провожали впродолженіе трехъ дней, пока не довели Эллиновъ до предѣловъ Колховъ.— 9. Тамъ была большая гора, и на ней выстроились Колхи. Эллины сначала выстрои-

V. 19—20: ita legitur in C. pr.: προσβατὸν δὲ additur in C. cum reliquis; quae verba omisit Hug conl. § 10, ubi de eodem monte dicitur: τῇ μὲν ἄνοδον τῇ δὲ εὔοδον εὑρήσομεν τὸ ὄρος.

Digitized by Google

лись было противъ *непріятеля* фалангой, чтобы такимъ образомъ взойти на гору; но потомъ стратиги рѣшили собраться и посовѣтоваться, какимъ образомъ лучше всего дать сраженіе.

§§ 16—24.

16. Ἐκ τούτου παρηγγύησαν οἱ στρατηγοὶ εὔχεσθαι· εὐξάμενοι δὲ καὶ παιανίσαντες ἐπορεύοντο. καὶ Χειρίσοφος μὲν καὶ Ξενοφῶν καὶ οἱ σὺν αὐτοῖς πελτασταὶ τῆς τῶν πολεμίων φάλαγγος ἔξω γενόμενοι ἐπορεύοντο· — 17. οἱ δὲ πολέμιοι ὡς εἶδον αὐτούς, ἀντιπαραθέοντες οἱ μὲν ἐπὶ τὸ δεξιὸν οἱ δὲ ἐπὶ τὸ εὐώνυμον διεσπάσθησαν, καὶ πολὺ τῆς αὑτῶν φάλαγγος ἐν τῷ μέσῳ κενὸν ἐποίησαν.—18. οἱ δὲ κατὰ τὸ Ἀρκαδικὸν πελτασταί, ὧν ἦρχεν Αἰσχίνης ὁ Ἀκαρνάν, νομίσαντες φεύγειν ἀνακραγόντες ἔθεον· καὶ οὗτοι πρῶτοι ἐπὶ τὸ ὄρος ἀναβαίνουσι· συνεφείπετο δὲ αὐτοῖς καὶ τὸ Ἀρκαδικὸν ὁπλιτικόν, ὧν ἦρχε Κλεάνωρ ὁ Ὀρχομένιος.—19. οἱ δὲ πολέμιοι, ὡς ἤρξαντο θεῖν, οὐκέτι ἔστησαν, ἀλλὰ φυγῇ ἄλλος ἄλλῃ ἐτράπετο. οἱ δὲ Ἕλληνες ἀναβάντες ἐστρατοπεδεύοντο ἐν πολλαῖς κώμαις καὶ τἀπιτήδεια πολλὰ ἐχούσαις. — 20. καὶ τὰ μὲν ἄλλα οὐδὲν ὅ, τι καὶ ἐθαύμασαν· τὰ δὲ σμήνη πολλὰ ἦν αὐτόθι, καὶ τῶν κηρίων ὅσοι ἔφαγον τῶν στρατιωτῶν πάντες ἄφρονές τε ἐγίγνοντο καὶ ἤμουν καὶ κάτω διεχώρει αὐτοῖς καὶ ὀρθὸς οὐδεὶς ἐδύνατο ἱστασθαι, ἀλλ' οἱ μὲν ὀλίγον ἐδηδοκότες σφόδρα μεθύουσιν ἐῴκεσαν, οἱ δὲ πολὺ μαινομένοις, οἱ δὲ καὶ ἀποθνήσκουσιν. — 21. ἔκειντο δὲ οὕτω πολλοὶ ὥσπερ τροπῆς γεγενημένης, καὶ πολλὴ ἦν ἀθυμία. τῇ δ' ὑστεραίᾳ ἀπέθανε μὲν οὐδείς, ἀμφὶ δὲ τὴν αὐτὴν πως ὥραν ἀνεφρόνουν· τρίτῃ δὲ καὶ τετάρτῃ ἀνίσταντο ὥσπερ ἐκ φαρμακοποσίας.

22. Ἐντεῦθεν δ' ἐπορεύθησαν δύο σταθμοὺς παρασάγγας ἑπτά, καὶ ἦλθον ἐπὶ θάλατταν εἰς Τραπεζοῦντα πόλιν Ἑλληνίδα οἰκουμένην ἐν τῷ Εὐξείνῳ Πόντῳ Σινωπέων ἀποικίαν ἐν τῇ Κόλχων χώρᾳ. ἐνταῦθα ἔμειναν ἡμέρας ἀμφὶ τὰς τριάκοντα ἐν ταῖς τῶν Κόλχων κώμαις·—23. κἀντεῦθεν ὁρμώμενοι ἐλῄζοντο τὴν Κολχίδα. ἀγορὰν δὲ παρεῖχον τῷ στρατοπέδῳ Τραπεζούντιοι,

16. [Послѣ того какъ войско выстроилось по новому плану,] стратиги приказали совершить молитву; помолившись и пропѣвъ пэанъ, Эллины выступили; *при этомъ* Хирисофъ и Ксенофонтъ со своими пелтастами шли внѣ линіи непріятелей.— 17. Непріятели, увидѣвъ ихъ, стали *въ свою очередь* обѣгать ихъ, одни на правый флангъ, другіе на лѣвый, и *такимъ образомъ* раздѣлились, такъ что въ серединѣ ихъ фаланги образовался значительный промежутокъ. — 18. Пелтасты аркадскаго отряда, которымъ начальствовалъ акарнанецъ Эсхинъ, приняли *ихъ движеніе* за бѣгство и съ крикомъ бросились впередъ. *Такимъ образомъ* они первые взошли на гору; за ними слѣдовала и аркадская тяжелая пѣхота подъ начальствомъ орхоменца Клеанора.— 19. Непріятели, разъ бросившись бѣжать, уже не останавливались и спасались бѣгствомъ вразсыпную. Поднявшись *на горы*, Эллины расположились во многихъ деревняхъ, изобиловавшихъ провіантомъ.— 20. Вообще здѣсь не было ничего особенно замѣчательнаго, но было много ульевъ; всѣ солдаты, которые поѣли сотовъ, лишались сознанія, страдали рвотой и поносомъ и никто не могъ держаться прямо *на ногахъ*; тѣ, которые съѣли немного, похожи были на сильно опьянѣвшихъ, а съѣвшіе много казались сумасшедшими, нѣкоторые даже умирающими.— 21. Многіе лежали въ такомъ видѣ, какъ будто послѣ пораженія, и *всѣ* очень упали духомъ. Но на слѣдующій день ни одинъ не умеръ, и около того-же часа [въ который наканунѣ ѣли медъ] *больные* стали приходить въ себя, а на третій и на четвертый день вставали, какъ будто послѣ отравы зельемъ.—22. Отсюда Эллины прошли въ 2 перехода 7 парасанговъ и пришли къ морю въ эллинскій городъ Трапезунтъ, колонію Синопейцевъ при Понтѣ Евксинскомъ въ странѣ Кол-

V. 10: οἱ δὲ κατὰ τὸ Ἀρκαδικὸν πελτασταί C. pr.: ἰδόντες δὲ αὐτοὺς διχάζοντας οἱ κατὰ τὸ Ἀ. π. C. cum rel. (vulg., Dind., nisi quod διαχάζοντας cum Schneidero scribunt). Additamentum ἰδόντες — διχάζοντας om. Hug.

Digitized by Google

καὶ ἐδέξαντό τε τοὺς Ἕλληνας καὶ ξένια ἔδοσαν βοῦς καὶ ἄλφιτα καὶ οἶνον.—24. συνδιεπράττοντο δὲ καὶ ὑπὲρ τῶν πλησίον Κόλχων τῶν ἐν τῷ πεδίῳ μάλιστα οἰκούντων, καὶ ξένια καὶ παρ' ἐκείνων ἦλθον βόες.

ховъ. Здѣсь они пробыли около 30 дней въ колхійскихъ деревняхъ, и (23) отсюда совершали опустошительные набѣги на Колхиду. Жители Трапезунта продавали войску продовольствіе, приняли Елиновъ *дружелюбно* и въ видѣ гостинцевъ дали имъ быковъ, ячменной муки и вина.—24. Они также ходатайствовали за сосѣднихъ Колховъ, преимущественно жившихъ на равнинѣ; отъ этихъ *послѣднихъ* также въ гостинецъ были приведены быки.

Кн. V: 1. Набѣгъ на Землю Дриловъ.

Гл. 2, §§ 1—6.

1. Ἐπεὶ δὲ τὰ ἐπιτήδεια οὐκέτι ἦν λαμβάνειν ὥστε ἀπαυθημερίζειν ἐπὶ τὸ στρατόπεδον, ἐκ τούτου λαβὼν Ξενοφῶν ἡγεμόνας τῶν Τραπεζουντίων ἐξάγει εἰς Δρίλας τὸ ἥμισυ τοῦ στρατεύματος, τὸ δὲ ἥμισυ κατέλιπε φυλάττειν τὸ στρατόπεδον· οἱ γὰρ Κόλχοι, ἅτε ἐκπεπτωκότες τῶν οἰκιῶν, πολλοὶ ἦσαν ἀθρόοι καὶ ὑπερεκάθηντο ἐπὶ τῶν ἄκρων.—2. οἱ δὲ Τραπεζούντιοι ὁπόθεν μὲν τὰ ἐπιτήδεια ῥᾴδιον ἦν λαβεῖν οὐκ ἦγον· φίλοι γὰρ αὐτοῖς ἦσαν· εἰς δὲ τοὺς Δρίλας προθύμως ἦγον, ὑφ' ὧν κακῶς ἔπασχον, εἰς χωρία τε ὀρεινὰ καὶ δύσβατα καὶ ἀνθρώπους πολεμικωτάτους τῶν ἐν τῷ Πόντῳ.

3. Ἐπεὶ δὲ ἦσαν ἐν τῇ ἄνω χώρᾳ οἱ Ἕλληνες, ὁποῖα τῶν χωρίων τοῖς Δρίλαις ἁλώσιμα εἶναι ἐδόκει ἐμπιμπράντες ἀπῇσαν· καὶ οὐδὲν ἦν λαμβάνειν εἰ μὴ ὗς ἢ βοῦς ἢ ἄλλο τι κτῆνος τὸ πῦρ διαπεφευγός. ἐν δὲ ἦν χωρίον μητρόπολις αὐτῶν· εἰς τοῦτο πάντες συνερρυήκεσαν. περὶ δὲ τοῦτο ἦν χαράδρα ἰσχυρῶς βαθεῖα, καὶ πρόσοδοι χαλεπαὶ πρὸς τὸ χωρίον.—4. οἱ δὲ πελτασταὶ προδραμόντες στάδια πέντε ἢ ἓξ τῶν ὁπλιτῶν, διαβάντες τὴν χαράδραν, ὁρῶντες πρόβατα πολλὰ καὶ ἄλλα χρήματα προσέβαλλον πρὸς τὸ χωρίον· συνείποντο δὲ καὶ δορυφόροι πολλοὶ οἱ ἐπὶ τὰ ἐπιτήδεια ἐξωρμημένοι· ὥστε ἐγένοντο οἱ διαβάντες [πλείους ἢ] εἰς χιλίους ἀνθρώπους.—5. ἐπεὶ δὲ μαχόμενοι οὐκ ἐδύναντο λαβεῖν τὸ χωρίον, καὶ γὰρ τάφρος ἦν περὶ αὐτὸ εὐρεῖα ἀναβεβλημένη καὶ σκόλοπες ἐπὶ τῆς ἀναβολῆς καὶ τύρσεις πυκναὶ ξύλιναι πεποιημέναι, ἀπιέναι δὴ ἐπεχείρουν· οἱ δὲ ἐπέ-

1. Когда уже нельзя было доставать провіантъ такъ *близко*, чтобы въ тотъ-же день возвращаться въ лагерь, Ксенофонтъ взялъ у трапезунтянъ проводниковъ и повелъ половину войска въ землю Дриловъ; а другую половину оставилъ для охраны лагеря, въ виду того, что Колхи, выгнанные изъ своихъ жилищъ, собрались въ большомъ числѣ и засѣли на вершинахъ горъ. — 2. Трапезунтскіе проводники не вели *Елиновъ* туда, откуда легко было-бы достать провіантъ, потому что были въ дружбѣ съ жителями *такихъ мѣстностей*, но охотно повели въ страну обижавшихъ ихъ Дриловъ, — въ горныя и непроходимыя мѣстности и *противъ* самаго воинственнаго изъ понтійскихъ племенъ.—3. Когда Елины появились въ горной странѣ, Дрилы стали поджигать и покидать всѣ деревни, которыя, по ихъ мнѣнію, могли быть взяты *врагами; поэтому* здѣсь ничего нельзя было достать кромѣ *развѣ* свиньи, быка или какого-нибудь другаго животнаго, спасшагося отъ огня. Одно укрѣпленіе было у нихъ главнымъ пунктомъ; въ него-то и собрались *теперь* всѣ *они*. Оно было окружено очень глубокимъ оврагомъ, и доступъ къ нему былъ труденъ.—4. Пелтасты, опередившіе оплитовъ на 5 или 6 стадій, перешли *этотъ* оврагъ и, увидѣвъ множество овецъ и другаго имущества, сдѣлали приступъ къ укрѣпленію. За ними слѣдовало много копьеносцевъ, отправившихся за провіантомъ; такъ что перешедшихъ *оврагъ* оказалось до 1000 человѣкъ. — 5. Но такъ

V. 31: [πλείους ἢ] εἰς χιλίους ἀνθρώπους Hug partim ex Hertleinii coniectura: plerique codd. praebent πλείους ἢ δισχιλίους aut πλείους ἢ εἰς δισχιλίους, unde adparet εἰς et δις in archetypo varias lectiones fuisse.

Digitized by Google

κειντο αὐτοῖς. — 6. ὡς δὲ οὐκ ἐδύναντο ἀποτρέχειν, ἦν γὰρ ἐφ' ἑνὸς ἡ κατάβασις ἐκ τοῦ χωρίου εἰς τὴν χαράδραν, πέμπουσι πρὸς Ξενοφῶντα· ὁ δὲ ἡγεῖτο τοῖς ὁπλίταις.

как съ боя они не могли взять укрѣпленія, потому что кругомъ его былъ проведенъ широкій ровъ, на насыпи котораго *были натыканы* колья и было выстроено множество деревянныхъ башенъ, то они стали думать объ отступленіи; но *непріятели* напали на нихъ *съ тылу*.— 6. Не имѣя возможности спастись бѣгствомъ, такъ какъ спускаться съ укрѣпленія въ оврагъ можно было только по одиночкѣ, — они посылаютъ *вѣстника* къ Ксенофонту, который велъ оплитовъ.

§§ 20—27.

20. Ὁ δὲ Ξενοφῶν καὶ οἱ λοχαγοὶ ἐσκόπουν εἰ οἷόν τε εἴη τὴν ἄκραν λαβεῖν· ἦν γὰρ οὕτως σωτηρία ἀσφαλής, ἄλλως δὲ πάνυ χαλεπὸν ἐδόκει εἶναι ἀπελθεῖν· σκοπουμένοις δὲ αὐτοῖς ἔδοξε παντάπασιν ἀνάλωτον εἶναι τὸ χωρίον. — 21. ἐνταῦθα παρεσκευάζοντο τὴν ἄφοδον, καὶ τοὺς μὲν σταυροὺς ἕκαστοι τοὺς καθ' αὑτοὺς διῄρουν, καὶ τοὺς ἀχρείους καὶ φορτία ἔχοντας ἐξεπέμποντο καὶ τῶν ὁπλιτῶν τὸ πλῆθος καταλιπόντες οἱ λοχαγοὶ οἷς ἕκαστος ἐπίστευεν. — 22. ἐπεὶ δὲ ἤρξαντο ἀποχωρεῖν, ἐπεξέθεον ἔνδοθεν πολλοὶ γέρρα καὶ λόγχας ἔχοντες καὶ κνημῖδας καὶ κράνη Παφλαγονικά, καὶ ἄλλοι ἐπὶ τὰς οἰκίας ἀνέβαινον τὰς ἔνθεν καὶ ἔνθεν τῆς εἰς τὴν ἄκραν φερούσης ὁδοῦ — 23. ὥστε οὐδὲ διώκειν ἀσφαλὲς ἦν κατὰ τὰς πύλας τὰς εἰς τὴν ἄκραν φερούσας. καὶ γὰρ ξύλα μεγάλα ἐπερρίπτουν ἄνωθεν, ὥστε χαλεπὸν ἦν καὶ μένειν καὶ ἀπιέναι· καὶ ἡ νὺξ φοβερὰ ἦν ἐπιοῦσα.— 24. μαχομένων δὲ αὐτῶν καὶ ἀπορουμένων θεῶν τις αὐτοῖς μηχανὴν σωτηρίας δίδωσιν. ἐξαπίνης γὰρ ἀνέλαμψεν οἰκία τῶν ἐν δεξιᾷ ὅτου δὴ ἐνάψαντος. ὡς δ' αὕτη συνέπιπτεν, ἔφευγον οἱ ἀπὸ τῶν ἐν δεξιᾷ οἰκιῶν.— 25. ὡς δὲ ἔμαθεν ὁ Ξενοφῶν τοῦτο παρὰ τῆς τύχης, ἐνάπτειν ἐκέλευε καὶ τὰς ἐν ἀριστερᾷ οἰκίας, αἳ ξύλιναι ἦσαν, ὥστε καὶ ταχὺ ἐκάοντο. ἔφευγον οὖν καὶ οἱ ἀπὸ τούτων τῶν οἰκιῶν.— 26. οἱ δὲ κατὰ τὸ στόμα δὴ ἔτι μόνοι ἐλύπουν καὶ δῆλοι [ἦσαν] ὅτι ἐπικείσονται ἐν τῇ ἐξόδῳ τε καὶ καταβάσει. ἐνταῦθα παραγγέλλει φέρειν ξύλα ὅσοι ἐτύγχανον ἔξω ὄντες τῶν βελῶν εἰς τὸ μέσον ἑαυτῶν καὶ τῶν πολεμίων. ἐπεὶ δὲ ἱκανὰ ἤδη ἦν, ἐνῆψαν· ἐνῆπτον δὲ καὶ τὰς παρ' αὐτὸ τὸ χαράκωμα οἰκίας, ὅπως οἱ πολέμιοι ἀμφὶ ταῦτα ἔχοιεν. — 27. οὕτω μόλις ἀπῆλθον

20. Ксенофонтъ съ лохагами стали обсуждать, можно-ли взять вершину, такъ какъ въ этомъ состояла *ихъ* твердая *надежда на* спасеніе, а иначе отступленіе представлялось весьма труднымъ. Послѣ обсужденія они рѣшили, что укрѣпленія никакъ не возможно взять. — 21. Тогда они стали готовиться къ отступленію и начали разбирать частоколъ, каждый свою часть; *солдатъ* неспособныхъ и занятыхъ багажемъ, а также и большую часть оплитовъ лохаги отослали, оставивъ *только* тѣхъ, на которыхъ каждый *особенно* полагался.—22. Когда *они* начали отступать, изъ крѣпости выбѣжало множество *непріятелей* съ плетенными щитами и копьями, въ поножахъ и пафлагонскихъ шлемахъ; другіе взбирались на *крыши* домовъ, расположенныхъ по обѣ стороны улицы, ведущей на вершину, (23) такъ что не безопасно было даже преслѣдовать до воротъ, ведущихъ на вершину, потому что *враги* сверху бросали большія бревна. Такимъ образомъ опасно было и оставаться, и отступать; наступавшая ночь еще болѣе усиливала страхъ.—24. Но среди сраженія и затруднительнаго положенія *Еллиновъ* нѣкій богъ указалъ имъ средство къ спасенію: внезапно на правой сторонѣ загорѣлся домъ, неизвѣстно кѣмъ подожженный; когда онъ рухнулъ, *враги* бросились бѣжать изъ домовъ на правой сторонѣ.— 25. Когда Ксенофонтъ, благодаря случаю, узналъ объ этомъ, онъ приказалъ зажечь дома и на лѣвой сторонѣ; дома были деревянные и поэтому быстро загорались. Тогда *враги* убѣжали и съ этихъ домовъ.—26. *Теперь* пугали *Еллиновъ* только тѣ, которые были у входа и имѣли очевидное намѣреніе на-

Digitized by Google

ἀπὸ τοῦ χωρίου, πῦρ ἐν μέσῳ ἑαυτῶν καὶ τῶν πολεμίων ποιησάμενοι. καὶ κατεκαύθη πᾶσα ἡ πόλις καὶ αἱ οἰκίαι καὶ αἱ τύρσεις καὶ τὰ σταυρώματα καὶ τἆλλα πάντα πλὴν τῆς ἄκρας.

пасть *на нихъ* при выходѣ и при спускѣ *въ овраги*. Тогда *Ксенофонтъ* приказываетъ тѣмъ *солдатамъ*, которые были внѣ выстрѣловъ, сносить бревна на середину между своими и непріятелями; когда *этихъ бревенъ* набралось достаточное количество, *они* зажгли *ихъ*, а также стали зажигать и дома, *находившіеся* около самаго вала, съ цѣлью привлечь на нихъ вниманіе непріятеля.—27. Такимъ образомъ имъ удалось, *хотя* съ трудомъ, отступить отъ укрѣпленія, благодаря разведенному по срединѣ между ними и непріятелями огню. Весь городъ сгорѣлъ: дома, башни, палисады и все остальное, за исключеніемъ укрѣпленія.

Гл. 3, §§ 1—2.

1. Ἐπεὶ δὲ οὔτε Χειρίσοφος ἦκεν οὔτε πλοῖα ἱκανὰ ἦν οὔτε τὰ ἐπιτήδεια ἦν λαμβάνειν ἔτι, ἐδόκει ἀπιτέον εἶναι... — 2. καὶ ἀφικνοῦνται πορευόμενοι εἰς Κερασοῦντα τριταῖοι πόλιν Ἑλληνίδα ἐπὶ θαλάττῃ Σινωπέων ἄποικον ἐν τῇ Κολχίδι χώρᾳ.

1. Такъ какъ Хирисофъ не возвращался, не было достаточнаго количества кораблей, и больше нельзя было доставать продовольствія, то рѣшено было выступить... 2. Отправившись въ путь, они на третій день пришли въ эллинскій приморскій городъ Керасунтъ, основанный Синопейцами въ Колхидѣ.

2. Походъ чрезъ землю Моссинниковъ.

Кн. 5, гл. 4, §§ 1—3 и 8.

1. Ἐκ Κερασοῦντος δὲ κατὰ θάλατταν μὲν ἐκομίζοντο οἵπερ καὶ πρόσθεν, οἱ δὲ ἄλλοι κατὰ γῆν ἐπορεύοντο. — 2. ἐπεὶ δὲ ἦσαν ἐπὶ τοῖς Μοσσυνοίκων ὁρίοις, πέμπουσιν εἰς αὐτοὺς Τιμησίθεον τὸν Τραπεζούντιον πρόξενον ὄντα τῶν Μοσσυνοίκων, ἐρωτῶντες πότερον ὡς διὰ φιλίας ἢ διὰ πολεμίας πορεύσονται τῆς χώρας. οἱ δὲ εἶπον ὅτι οὐ διήσουσιν· ἐπίστευον γὰρ τοῖς χωρίοις. — 3. ἐντεῦθεν λέγει ὁ Τιμησίθεος ὅτι πολέμιοι τούτοις εἰσὶν οἱ ἐκ τοῦ ἐπέκεινα. καὶ ἐδόκει καλέσαι ἐκείνους, εἰ βούλοιντο συμμαχίαν ποιήσασθαι· καὶ πεμφθεὶς ὁ Τιμησίθεος ἦκεν ἄγων τοὺς ἄρχοντας...

1. Изъ Керасунта моремъ ѣхали тѣ-же, что и раньше, а прочіе шли сухимъ путемъ.—2. Придя къ предѣламъ Моссинниковъ, они послали къ нимъ трапезунтца Тимисѳея, бывшаго кунакомъ Моссинниковъ, съ вопросомъ, будутъ-ли они во время похода чрезъ ихъ землю друзьями или врагами. Тѣ, надѣясь на свои укрѣпленія, отвѣчали, что не пропустятъ ихъ.— 3. Тогда Тимисѳей заявилъ *Еллинамъ*, что жители слѣдующей области находятся во враждѣ съ этими *Моссиниками;* поэтому рѣшено было пригласить тѣхъ, не пожелаютъ-ли они заключить союзъ. Посланный къ нимъ Тимисѳей привелъ съ собою ихъ начальниковъ...

8. ἀπεκρίνατο ὁ ἄρχων τῶν Μοσσυνοίκων ὅτι καὶ βούλοιντο ταῦτα καὶ δέχοιντο τὴν συμμαχίαν.

8. Предводитель Моссинниковъ отвѣчалъ, что они согласны и принимаютъ союзъ.

Digitized by Google

§§ 11—17.

11. Ἐπὶ τούτοις πιστὰ δόντες καὶ λαβόντες ᾤχοντο. καὶ ἦκον τῇ ὑστεραίᾳ ἄγοντες τριακόσια πλοῖα μονόξυλα καὶ ἐν ἑκάστῳ τρεῖς ἄνδρας, ὧν οἱ μὲν δύο ἐκβάντες εἰς τάξιν ἔθεντο τὰ ὅπλα, ὁ δὲ εἷς ἐνέμενε. — 12. καὶ οἱ μὲν λαβόντες τὰ πλοῖα ἀπέπλευσαν, οἱ δὲ μένοντες ἐξετάξαντο ὧδε. ἔστησαν ἀνὰ ἑκατὸν μάλιστα οἷον χοροὶ ἀντιστοιχοῦντες ἀλλήλοις, ἔχοντες γέρρα πάντες λευκῶν βοῶν δασέα, εἰκασμένα κιττοῦ πετάλῳ, ἐν δὲ τῇ δεξιᾷ παλτὸν ὡς ἔξπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ἔμπροσθεν δὲ τοῦ ξύλου σφαιροειδές. — 13. χιτωνίσκους δὲ ἐνεδεδύκεσαν ὑπὲρ γονάτων, πάχος ὡς λινοῦ στρωματοδέσμου, ἐπὶ τῇ κεφαλῇ δὲ κράνη σκύτινα οἷάπερ τὰ Παφλαγονικά, κρωβύλον ἔχοντα κατὰ μέσον, ἐγγύτατα τιαροειδῆ· εἶχον δὲ καὶ σαγάρεις σιδηρᾶς. — 14. ἐντεῦθεν ἐξῆρχε μὲν αὐτῶν εἷς, οἱ δὲ ἄλλοι ἅπαντες ἐπορεύοντο ᾄδοντες ἐν ῥυθμῷ, καὶ διελθόντες διὰ τῶν τάξεων καὶ διὰ τῶν ὅπλων τῶν Ἑλλήνων ἐπορεύοντο εὐθὺς πρὸς τοὺς πολεμίους ἐπὶ χωρίον ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι. — 15. ᾧκειτο δὲ τοῦτο πρὸ τῆς πόλεως τῆς Μητροπόλεως καλουμένης αὐτοῖς καὶ ἐχούσης τὸ ἀκρότατον τῶν Μοσσυνοίκων. καὶ περὶ τούτου ὁ πόλεμος ἦν· οἱ γὰρ ἀεὶ τοῦτ' ἔχοντες ἐδόκουν ἐγκρατεῖς εἶναι καὶ πάντων Μοσσυνοίκων, καὶ ἔφασαν τούτους οὐ δικαίως ἔχειν τοῦτο, ἀλλὰ κοινὸν ὂν καταλαβόντας πλεονεκτεῖν. — 16. εἶποντο δ' αὐτοῖς καὶ τῶν Ἑλλήνων τινές, οὐ ταχθέντες ὑπὸ τῶν στρατηγῶν, ἀλλὰ ἁρπαγῆς ἕνεκεν. οἱ δὲ πολέμιοι προσιόντων τέως μὲν ἡσύχαζον· ἐπεὶ δ' ἐγγὺς ἐγένοντο τοῦ χωρίου, ἐκδραμόντες τρέπονται αὐτούς, καὶ ἀπέκτειναν συχνοὺς τῶν βαρβάρων καὶ τῶν συναναβάντων Ἑλλήνων τινάς, καὶ ἐδίωκον μέχρι οὗ εἶδον τοὺς Ἕλληνας βοηθοῦντας· — 17. εἶτα δὲ ἀποτραπόμενοι ᾤχοντο, καὶ ἀποτεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν ἐπεδείκνυσαν τοῖς Ἕλλησι καὶ τοῖς ἑαυτῶν πολεμίοις, καὶ ἅμα ἐχόρευον νόμῳ τινὶ ᾄδοντες.

11. Обмѣнявшись клятвами *съ Эллинами*, *Моссиники* ушли и на другой день явились съ 300 лодокъ-однодеревокъ, изъ коихъ въ каждой сидѣло по три человѣка; по двое изъ нихъ выходили и становились въ строй, а одинъ оставался *въ лодкѣ*.— 12. Эти послѣдніе съ лодками отплыли назадъ, а оставшіеся построились *въ ряды* слѣдующимъ образомъ: они стали по сотнямъ, не больше, одни противъ другихъ подобно хорамъ; у всѣхъ были плетеные щиты, обтянутые воловьими шкурами съ бѣлою шерстью и имѣвшіе форму плющеваго листа, а въ правой *рукѣ* дротики *длиною* около 6 локтей, спереди снабженные остріемъ и спереди древка деревяннымъ шаромъ [1]).—13. Одѣты они были въ небольшіе хитоны, не доходившіе до колѣнъ, такой толщины, какъ мѣшечный холстъ, на головахъ *имѣли* кожаные шлемы, въ родѣ пафлагонскихъ, съ пучкомъ *волосъ* по срединѣ, видомъ очень напоминавшіе тіару; *кромѣ того* у нихъ были и желѣзныя сѣкиры.— 14. Послѣ того [какъ они выстроились], одинъ изъ нихъ запѣлъ, а всѣ остальные пошли въ тактъ съ пѣніемъ и, прошедши сквозь ряды эллинскаго войска и лагерь, сразу двинулись противъ непріятелей на то укрѣпленіе, которое имъ казалось наиболѣе доступнымъ.—15. Оно лежало передъ городомъ, который назывался у нихъ Столицей и занималъ самый возвышенный пунктъ *страны* Моссиниковъ. Изъ-за него-то и воевали они *между собою*, ибо тѣ, въ чьихъ рукахъ онъ находился, считали себя владыками всѣхъ Моссиниковъ; *между тѣмъ союзники Эллиновъ* говорили, что враги ихъ не по праву владѣютъ имъ, а силою захватили общее достояніе и *теперь* величаются *предъ ними*.—16. Къ Моссиникамъ присоединились и нѣкоторые изъ Эллиновъ, не по приказанію начальства, а съ цѣлью грабежа. При ихъ приближеніи непріятели сначала стояли спокойно, но когда *нападающіе* подступили близко къ укрѣпленію, они сдѣлали вылазку, обратили ихъ въ бѣгство, убили *при этомъ* много варваровъ и нѣкоторыхъ изъ присоединившихся *къ нимъ* Эллиновъ и преслѣдовали *бѣгущихъ до тѣхъ поръ*, пока

Ad v. 13: cf. quae dixit Hug praef. p. XXXIX.

Digitized by Google

не увидѣли, что Еллины идутъ имъ на помощь. — 17. Тогда они повернули и пошли назадъ, отрѣзали головы у убитыхъ и показывали ихъ Еллинамъ и своимъ врагамъ, при чемъ плясали и пѣли на какой-то *особый* ладъ. . .

§§ 22—34.

22. Ταύτην μὲν οὖν τὴν ἡμέραν οὕτως ἔμειναν· τῇ δὲ ὑστεραίᾳ θύσαντες ἐπεὶ ἐκαλλιερήσαντο, ἀριστήσαντες, ὀρθίους τοὺς λόχους ποιησάμενοι, καὶ τοὺς βαρβάρους ἐπὶ τὸ εὐώνυμον κατὰ ταὐτὰ ταξάμενοι ἐπορεύοντο τοὺς τοξότας μεταξὺ τῶν λόχων [ὀρθίων] ἔχοντες, ὑπολειπομένου δὲ μικρὸν τοῦ στόματος τῶν ὁπλιτῶν. — 23. ἦσαν γὰρ τῶν πολεμίων οἱ εὔζωνοι κατατρέχοντες τοῖς λίθοις ἔβαλλον. τούτους ἀνέστελλον οἱ τοξόται καὶ πελτασταί. οἱ δ' ἄλλοι βάδην ἐπορεύοντο πρῶτον μὲν ἐπὶ τὸ χωρίον ἀφ' οὗ τῇ προτεραίᾳ οἱ βάρβαροι ἐτρέφθησαν καὶ οἱ σὺν αὐτοῖς· ἐνταῦθα γὰρ οἱ πολέμιοι ἦσαν ἀντιτεταγμένοι.—24. τοὺς μὲν οὖν πελταστὰς ἐδέξαντο οἱ βάρβαροι καὶ ἐμάχοντο, ἐπειδὴ δὲ ἐγγὺς ἦσαν οἱ ὁπλῖται, ἐτρέποντο. καὶ οἱ μὲν πελτασταὶ εὐθὺς εἴποντο διώκοντες ἄνω πρὸς τὴν πόλιν, οἱ δὲ ὁπλῖται ἐν τάξει εἴποντο.— 25. ἐπεὶ δὲ ἄνω ἦσαν πρὸς ταῖς τῆς Μητροπόλεως οἰκίαις, ἐνταῦθα οἱ πολέμιοι ὁμοῦ δὴ πάντες γενόμενοι ἐμάχοντο καὶ ἐξηκόντιζον τοῖς παλτοῖς, καὶ ἄλλα δόρατα ἔχοντες παχέα μακρά, ὅσα ἀνὴρ ἂν φέροι μόλις, τούτοις ἐπειρῶντο ἀμύνεσθαι ἐκ χειρός.—26. ἐπεὶ δὲ οὐχ ὑφίεντο οἱ Ἕλληνες, ἀλλὰ ὁμόσε ἐχώρουν, ἔφευγον οἱ βάρβαροι καὶ ἐντεῦθεν λείποντες ἅπαντες τὸ χωρίον. ὁ δὲ βασιλεὺς αὐτῶν ὁ ἐν τῷ μόσσυνι τῷ ἐπ' ἄκρου ᾠκοδομημένῳ, ὃν τρέφουσι πάντες κοινῇ αὐτοῦ μένοντα καὶ φυλάττουσιν, οὐκ ἤθελεν ἐξελθεῖν, οὐδὲ ὁ ἐν τῷ πρότερον αἱρεθέντι χωρίῳ, ἀλλ' αὐτοῦ σὺν τοῖς μοσσυνοικοις κατεκαύθησαν. — 27. οἱ δὲ Ἕλληνες διαρπάζοντες τὰ χωρία εὕρισκον θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων περυσινούς, ὡς ἔφασαν οἱ Μοσσύνοικοι, τὸν δὲ νέον σῖτον ἔτι σὺν τῇ καλάμῃ ἀποκείμενον ἦσαν δὲ ζειαὶ αἱ πλεῖσται. — 28. καὶ δελφίνων τεμάχη ἐν ἀμφορεῦσιν εὑρίσκετο

22. Такъ провели этотъ день *Еллины*; на слѣдующій же день, совершивъ жертвоприношеніе и получивъ благопріятныя знаменія, позавтракали, *затѣмъ*, построившись прямыми колоннами и поставивъ варваровъ такимъ же строемъ на лѣвомъ крылѣ, двинулись *впередъ*, имѣя стрѣлковъ между лохами, на нѣкоторомъ разстояніи впереди фронта оплитовъ, (23) потому что у непріятелей были легковооруженные, которые, выбѣгая впередъ, бросали *въ Еллиновъ* камнями; ихъ-то должны были отражать стрѣлки и пелтасты. Остальные шли шагомъ сначала къ *тому* укрѣпленію, отъ котораго наканунѣ были отражены варвары и сопровождавшіе ихъ *Еллины*, ибо здѣсь стояли непріятели.—24. Нападеніе пелтастовъ варвары выдержали и сражались съ ними, но при приближеніи оплитовъ бѣжали. Тогда пелтасты немедленно бросились за ними въ погоню вверхъ къ городу, а оплиты въ порядкѣ слѣдовали за ними.—25. Когда *Еллины* поднялись до самыхъ строеній Столицы, непріятели, собравшись вмѣстѣ, встрѣтили ихъ метательными копьями; кромѣ того у нихъ были другія копья, столь длинныя и толстыя, что одному человѣку трудно было ихъ нести; этими копьями они пытались отражать *Еллиновъ* въ рукопашную.—26. Но такъ какъ Еллины не уступали, а *напротивъ* дружно шли *впередъ*, то варвары бросились бѣжать и отсюда и всѣ покинули укрѣпленіе. Царь ихъ, жившій въ моссинѣ (деревянной башнѣ), построенномъ на возвышеніи (онъ долженъ здѣсь оставаться *постоянно*, здѣсь его содержать на общественный счетъ и охраняютъ), не согласился выйти, равно какъ и *тотъ*, *который былъ* въ прежде взятомъ укрѣпленіи; оба они сгорѣли на мѣстѣ въ *своихъ* башняхъ.—27. Еллины, грабя укрѣп-

V. 7: ὑπολειπομένου Muretus: ὑπολειπομένους libri. Cf. quae Hug adnotavit praef. p. XXXIX. || V. 37: «περυσινοὺς scripsi: πατρίους libri Xenophontis, περυσινῶν Suidas (προπερυσινῶν olim Rehdantz)». Hug, praef. p. XL.

Digitized by Google

τεταριχευμένα καὶ στέαρ ἐν τεύχεσι τῶν δελφίνων, ᾧ ἐχρῶντο οἱ Μοσσύνοικοι καθάπερ οἱ Ἕλληνες τῷ ἐλαίῳ· — 29. κάρυα δὲ ἐπὶ τῶν ἀνώγεων ἦν πολλὰ τὰ πλατέα οὐκ ἔχοντα διαφυὴν οὐδεμίαν. τούτων καὶ πλείστῳ σίτῳ ἐχρῶντο ἕψοντες καὶ ἄρτους ὀπτῶντες. οἶνος δὲ εὑρίσκετο ὃς ἄκρατος μὲν ὀξὺς ἐφαίνετο εἶναι ὑπὸ τῆς αὐστηρότητος, κερασθεὶς δὲ εὐώδης τε καὶ ἡδύς.

30. Οἱ μὲν δὴ Ἕλληνες ἀριστήσαντες ἐνταῦθα ἐπορεύοντο εἰς τὸ πρόσω, παραδόντες τὸ χωρίον τοῖς συμμαχήσασι τῶν Μοσσυνοίκων. ὁπόσα δὲ καὶ ἄλλα παρῆσαν χωρία τῶν σὺν τοῖς πολεμίοις ὄντων, τὰ εὐπροσοδώτατα οἱ μὲν ἔλειπον, οἱ δὲ ἐκόντες προσεχώρουν. — 31. τὰ δὲ πλεῖστα τοιάδε ἦν τῶν χωρίων. ἀπεῖχον αἱ πόλεις ἀπ' ἀλλήλων στάδια ὀγδοήκοντα, αἱ δὲ πλέον αἱ δὲ μεῖον· ἀναβοώντων δὲ ἀλλήλων συνήκουον εἰς τὴν ἑτέραν ἐκ τῆς ἑτέρας πόλεως· οὕτως ὑψηλή τε καὶ κοίλη ἡ χώρα ἦν. — 32. ἐπεὶ δὲ πορευόμενοι ἐν τοῖς φίλοις ἦσαν, ἐπεδείκνυσαν αὐτοῖς παῖδας τῶν εὐδαιμόνων σιτευτούς, τεθραμμένους καρύοις ἐφθοῖς, ἀπαλοὺς καὶ λευκοὺς σφόδρα καὶ οὐ πολλοῦ δέοντας ἴσους τὸ μῆκος καὶ τὸ πλάτος εἶναι, ποικίλους δὲ τὰ νῶτα καὶ τὰ ἔμπροσθεν πάντα ἐστιγμένους ἀνθέμια. — 33. ἐζήτουν δὲ καὶ ταῖς ἑταίραις ἃς ἦγον οἱ Ἕλληνες ἐμφανῶς συγγίγνεσθαι· νόμος γὰρ ἦν οὗτος σφίσι. — 34. λευκοὶ δὲ πάντες οἱ ἄνδρες καὶ αἱ γυναῖκες. τούτους ἔλεγον οἱ στρατευσάμενοι βαρβαρωτάτους διελθεῖν καὶ πλεῖστον τῶν Ἑλληνικῶν νόμων κεχωρισμένους. ἔν τε γὰρ ὄχλῳ ὄντες ἐποίουν ἅπερ ἂν ἄνθρωποι ἐν ἐρημίᾳ ποιήσειαν, μόνοι τε ὄντες ὁμοία ἔπραττον ἅπερ ἂν μετ' ἄλλων ὄντες, διελέγοντό τε αὐτοῖς καὶ ἐγέλων ἐφ' ἑαυτοῖς καὶ ὠρχοῦντο ἐφιστάμενοι ὅπου τύχοιεν ὥσπερ ἄλλοις ἐπιδεικνύμενοι.

ленія, находили въ домахъ большіе запасы провѣянныхъ хлѣбовъ, собранные въ предыдущемъ году, по словамъ Моссиниковъ; а также и новый хлѣбъ, лежавшій еще необмолоченнымъ; больше всего было полбы.— 28. Находили также въ амфорахъ куски соленаго мяса дельфиновъ и дельфиновый жиръ въ сосудахъ; Моссиники употребляли его такъ-же, какъ Еллины масло; (28) въ верхнихъ этажахъ было множество плоскихъ орѣховъ безъ всякаго рубца *на скорлупѣ*. *Моссиники* по бо́льшей части питались ими въ вареномъ видѣ или въ видѣ печенаго хлѣба. Находили также вино, которое безъ примѣси воды имѣло острый и терпкій вкусъ, но съ водою было душисто и пріятно *на вкусъ*.— 30. Еллины позавтракали здѣсь и пошли дальше, передавъ укрѣпленіе союзнымъ съ ними Моссиникамъ. Когда имъ случалось проходить другія укрѣпленія *Моссиниковъ*, державшихъ сторону ихъ враговъ, то изъ наиболѣе доступныхъ часть жителей бѣжала, а другіе добровольно сдавались.— 31. Большая часть *этихъ* городовъ были такого рода: они отстояли другъ отъ друга стадій на 80, нѣкоторые дальше или ближе. Когда *жители* перекликались другъ съ другомъ, то крики слышны были изъ одного города въ другомъ: такъ высока и изрыта оврагами эта страна.— 32. Когда *Еллины* на пути дошли до *области своихъ* союзниковъ, имъ показывали тучныхъ дѣтей богатыхъ *лицъ;* они кормились вареными каштанами, были очень нѣжны и бѣлы и безъ малаго такихъ же размѣровъ въ толщину, какъ въ ширину; спины у нихъ были разрисованы, а вся передняя часть тѣла татуирована цвѣтами.— 34. Съ гетэрами, которыхъ Еллины вели *съ собою*, они хотѣли вступать въ сношенія открыто, ибо таковъ былъ у нихъ обычай.— 34. Всѣ мужчины и женщины *очень* бѣлы. Участники похода говорили, что этотъ *народъ* изъ всѣхъ пройденныхъ ими — наиболѣе варварскій и наиболѣе отличается *своими* обычаями отъ еллинскихъ: они публично дѣлали то, что люди дѣлаютъ обыкновенно наединѣ, а наединѣ вели себя, какъ-бы находясь въ обществѣ другихъ: говорили сами съ собою, смѣялись сами по себѣ и вставали плясать гдѣ бы ни случилось, какъ будто показывая *свое искусство* дру-имъ.

Digitized by Google

3. Походъ чрезъ землю Тиварриновъ.

Гл. 5, §§ 1—3.

1. Διὰ ταύτης τῆς χώρας οἱ Ἕλληνες, διά τε τῆς πολεμίας καὶ τῆς φιλίας, ἐπορεύθησαν ὀκτὼ σταθμούς, καὶ ἀφικνοῦνται εἰς Χάλυβας. οὗτοι ὀλίγοι τε ἦσαν καὶ ὑπήκοοι τῶν Μοσσυνοίκων, καὶ ὁ βίος ἦν τοῖς πλείστοις αὐτῶν ἀπὸ σιδηρείας. ἐντεῦθεν ἀφικνοῦνται εἰς Τιβαρηνούς. — 2. ἡ δὲ τῶν Τιβαρηνῶν χώρα πολὺ ἦν πεδινωτέρα καὶ χωρία εἶχεν ἐπὶ θαλάττῃ ἧττον ἐρυμνά. καὶ οἱ στρατηγοὶ ἔχρῃζον πρὸς τὰ χωρία προσβάλλειν καὶ τὴν στρατιὰν ὀνηθῆναί τι, καὶ τὰ ξένια ἃ ἦκε παρὰ Τιβαρηνῶν οὐκ ἐδέχοντο, ἀλλ' ἐπιμεῖναι κελεύσαντες ἔστε βουλεύσαιντο ἐθύοντο. — 3. καὶ πολλὰ καταθυσάντων τέλος ἀπεδείξαντο οἱ μάντεις φάντες γνώμην ὅτι οὐδαμῇ προσοίοντο οἱ θεοὶ τὸν πόλεμον. ἐντεῦθεν δὴ τὰ ξένια ἐδέξαντο, καὶ ὡς διὰ φιλίας πορευόμενοι δύο ἡμέρας ἀφίκοντο εἰς Κοτύωρα πόλιν Ἑλληνίδα, Σινωπέων ἄποικον, οὖσαν δ' ἐν τῇ Τιβαρηνῶν χώρᾳ.

1. Страну *Моссиниковъ*, какъ враждебныхъ имъ, такъ и дружественныхъ, Эллины прошли въ 8 переходовъ и *затѣмъ* пришли къ Халибамъ. Это былъ народъ малочисленный и подвластный Моссинникамъ; большая часть ихъ жила разработкой желѣзной руды. Оттуда прибыли къ Тиварринамъ. — 2. Страна Тиварриновъ была гораздо ровнѣе, и *въ ней* по берегу моря лежали не сильно укрѣпленныя мѣстечки. Стратиги хотѣли было напасть на *эти* укрѣпленія, чтобы дать войску случай поживиться, и *потому сначала* не приняли присланныхъ Тиварринами даровъ, а приказали *послать* обождать ихъ совѣщанія и *затѣмъ* приступили къ жертвоприношенію.— 3. Послѣ многихъ жертвъ всѣ гадатели наконецъ объявили, что боги рѣшительно не одобряютъ войны. Тогда приняли подарки и, въ 2 дня мирно пройдя эту страну, пришли[1]) въ эллинскій городъ Котіоры, колонію Синопейцевъ въ землѣ Тиварриновъ.

§§ 16—18.

[Изъ рѣчи, Ксенофонта къ Синопскимъ послamъ].

16. Ὅποι δ' ἂν ἐλθόντες ἀγορὰν μὴ ἔχωμεν, ἄν τε εἰς βάρβαρον γῆν ἄν τε εἰς Ἑλληνίδα, οὐχ ὕβρει ἀλλὰ ἀνάγκῃ λαμβάνομεν τὰ ἐπιτήδεια. — 17. καὶ Καρδούχους καὶ Ταόχους καὶ Χαλδαίους καίπερ βασιλέως οὐχ ὑπηκόους ὄντας ὅμως καὶ μάλα φοβεροὺς ὄντας πολεμίους ἐκτησάμεθα διὰ τὸ ἀνάγκην εἶναι λαμβάνειν τὰ ἐπιτήδεια, ἐπεὶ ἀγορὰν οὐ παρεῖχον. — 18. Μάκρωνας δὲ καίπερ βαρβάρους ὄντας, ἐπεὶ ἀγορὰν ὡσαν ἐδύναντο παρεῖχον, φίλους τε ἐνομίζομεν εἶναι καὶ βίᾳ οὐδὲν ἐλαμβάνομεν τῶν ἐκείνων.

16. «Если тамъ, куда мы приходимъ, намъ не даютъ за деньги продовольствія, то будетъ-ли это варварская страна или эллинская, мы по необходимости, а не ради насилія забираемъ провіантъ. — 17. Поэтому съ Кардухами, Таохами и Халдеями, не смотря на то, что они не подвластны царю и очень страшны, мы вступили въ борьбу вслѣдствіе необходимости добыть провіантъ, такъ какъ они намъ не открывали рынка.— 18. Между тѣмъ Макроновъ, хотя и варваровъ, мы считали друзьями и силою ничего у нихъ не брали, такъ какъ они *добровольно* продавали намъ провіантъ какой могли».

Политическое положеніе Закавказскихъ странъ во время похода.

Кн. VII, гл. 8, § 25.

Φασιανῶν καὶ Ἐσπεριτῶν [ἦρχε] Τιφάζος· Καρδοῦχοι δὲ καὶ Χάλυβες καὶ

[Во время похода начальствовалъ] надъ Фасіанами и Есперитами Тирибазъ;

1) 3 апрѣля 400 г.

Digitized by Google

Χαλδαῖοι καὶ Μάκρωνες καὶ Κόλχοι καὶ Μοσσύνοικοι καὶ Κοῖτοι καὶ Τιβαρηνοὶ αὐτόνομοι.

Кардухи, Халивы, Халден, Макроны, Колхи, Моссиники, Киты и Тибарины не были подчинены царю.

[ΣΚΥΛΑΚΟΣ ΚΑΡΥΑΝΔΕΩΣ]

ΠΕΡΙΠΛΟΥΣ

ΤΗΣ ΘΑΛΑΣΣΗΣ ΤΗΣ ΟΙΚΟΥΜΕΝΗΣ ΕΥΡΩΠΗΣ ΚΑΙ ΑΣΙΑΣ ΚΑΙ ΛΙΒΥΗΣ.

[СКИЛАКА КАРІАНДСКАГО]

ОПИСАНІЕ МОРЯ, ПРИЛЕГАЮЩАГО КЪ НАСЕЛЕННОЙ ЕВРОПѢ, АЗІИ И ЛИВІИ.

[Скилакъ, уроженецъ Карійскаго города Каріандъ, по порученію Дарія I объѣхалъ берега Аравійскаго залива. Сохранившееся подъ его именемъ сочиненіе навѣрное ему не принадлежитъ и написано, по мнѣнію К. Мюллера (*Geogr. graeci minores*, v. I. p. XXXIII—LI), между 338 и 335 гг. до Р. Хр., а по мнѣнію Унгера (*Philologus*, т. 33, стр. 29 сл.) — въ 356 г. Скорѣе всего можно думать, что разныя части труда написаны въ разное время во 2-ой половинѣ IV в. до Р. Хр. и дополнены позднѣйшими вставками.—Текстъ: Geographi Graeci minores. E codicibus recognovit etc. Carolus Müllerus. Vol. I (Paris. 1855), p. 15 sq.].

Переводъ **В. Л.**

ΕΥΡΩΠΗ.

68. Σκυθία. Ταῦροι. Μετὰ δὲ Θρᾴκην εἰσὶ Σκύθαι ἔθνος καὶ πόλεις ἐν αὐτοῖς Ἑλληνίδες αἵδε· Τύρις ποταμός, Νικώνιον πόλις, Ὀφιοῦσα πόλις. Ἐπὶ δὲ τῇ Σκυθικῇ ἐποικοῦσι Ταῦροι ἔθνος ἀκρωτήριον τῆς ἠπείρου· εἰς θάλατταν δὲ τὸ ἀκρωτήριόν ἐστιν. Ἐν δὲ τῇ Ταυρικῇ οἰκοῦσιν Ἕλληνες* αἵδε· Χερρόνησος ἐμπόριον, Κριοῦ μέτωπον, ἀκρωτήριον τῆς Ταυρικῆς. Μετὰ δὲ ταῦτα εἰσὶ Σκύθαι πάλιν, πόλεις δὲ Ἑλληνίδες αἵδε ἐν αὐτῇ· Θευδοσία, Κύταια καὶ Νυμφαία, Παντικάπαιον, Μυρμήκειον. Παράπλους εὐθὺς ἀπὸ Ἴστρου ἐπὶ Κριοῦ μέτωπον τριῶν ἡμερῶν καὶ τριῶν νυκτῶν, ὁ δὲ παρὰ γῆν διπλάσιος· ἔστι γὰρ κόλπος. Ἐν δὲ τῷ κόλπῳ τούτῳ νῆσος ἐστί, νῆσος δὲ ἐρήμη, ᾗ ὄνομα Λευκή, ἱερὰ τοῦ Ἀχιλλέως. Ἀπὸ δὲ Κριοῦ μετώπου πλοῦς εἰς Παντικάπαιον ἡμέρας καὶ νυκτός· ἀπὸ δὲ Παντικαπαίου ἐπὶ τὸ στόμα τῆς Μαιώτιδος λίμνης ἐστὶ στάδια κ'. Ἡ δὲ Μαιῶτις λίμνη λέγεται ἥμισυ εἶναι τοῦ Πόντου. Ἐν δὲ τῇ Μαιώτιδι λίμνῃ εὐθὺς εἰσπλέοντι εἰσὶν ἐπ' ἀριστερᾶς Σκύθαι· καθήκουσι γὰρ ἐκ τῆς

ЕВРОПА.

68. Скиѳія. Тавры. За Ѳракіею живетъ народъ Скиѳы, а въ ихъ землѣ слѣдующіе эллинскіе города: рѣка Тирисъ, городъ Никоній, городъ Офіуса. За Скиѳской *землей* народъ Тавры заселяютъ мысъ материка; а мысъ этотъ вдается въ море. Въ Таврической землѣ живутъ Эллины [у которыхъ города] слѣдующіе: торговый городъ Херронисъ, мысъ Таврической земли Бараній-лобъ. Затѣмъ опять живутъ Скиѳы, въ землѣ которыхъ слѣдующіе эллинскіе города: Ѳевдосія, Китэя и Нимфэя, Пантикапэй, Мирмикій. Отъ Истра до Бараньяго-лба три дня и три ночи прямаго пути, а вдоль берега вдвое, такъ какъ *тамъ* есть заливъ. Въ этомъ заливѣ есть пустынный островъ, по имени Бѣлый, посвященный Ахиллу. Отъ Бараньяго-лба до Пантикапэя день и ночь пути; отъ Пантикапэя же до устья Мэотійскаго озера 20 стадій. Мэотійское озеро, говорятъ, на половину меньше Понта. На Мэотійскомъ озерѣ прямо при входѣ *въ него* по лѣвую руку живутъ Скиѳы; ибо *ихъ*

V. 3: «Τύρις... Νικώνιον] Τρίσσης... Νεώνειον codex». || V. 8: «Ἕλληνες* αἵδε] aut excidit: καὶ πόλεις αὐτῶν, aut fuit Ἕλληνες οἵδε, ut supra § 62 etc.». || V. 12: «Μυρμήκειον] sic editt. Μυρμηκὸν codex». Müller.

Digitized by Google

ἔξω θαλάσσης ὑπὲρ τῆς Ταυρικῆς εἰς τὴν Μαιῶτιν λίμνην.

Сирматы. [За Скиѳами Сирматы] народъ и рѣка Танаидъ, [которая] составляетъ границу Азіи и Европы.

Συρμάται. [Μετὰ δὲ Σκύθας Συρμάται] ἔθνος καὶ ποταμὸς Τάναϊς, [ὃς] ὁρίζει Ἀσίαν καὶ Εὐρώπην.

69. Самыя большія рѣки въ Европѣ: Танаидъ, Истръ и Роданъ.

69. ...Μέγιστοι δὲ ποταμοί εἰσιν ἐν τῇ Εὐρώπῃ ὁ Τάναϊς, ὁ Ἴστρος, ὁ Ῥοδανός.

АΣІА.

АЗІЯ.

70. Савроматы. Отъ рѣки Танаида начинается Азія, и первый народъ ея на Понтѣ — Савроматы. Народъ Савроматовъ управляется женщинами.

70. Σαυρομάται. Ἀπὸ Τανάιδος δὲ ποταμοῦ ἄρχεται ἡ Ἀσία, καὶ πρῶτον ἔθνος αὐτῆς ἐστὶν ἐν τῷ Πόντῳ Σαυρομάται. Σαυροματῶν δὲ ἐστὶν ἔθνος γυναικοκρατούμενον.

71. Мэоты. За женоуправляемыми жнвутъ Мэоты.

71. Μαιῶται. Τῶν γυναικοκρατουμένων ἔχονται Μαιῶται.

72. Синды. За Мэотами народъ Синды; ихъ область простирается и за предѣлы озера, и города въ ней еллинскіе слѣдующіе: городъ Фанагора, Кипы [т. е. *Сады*], Синдская гавань, Патусъ.

72. Σίνδοι. Μετὰ δὲ Μαιώτας Σίνδοι ἔθνος· διήκουσι γὰρ οὗτοι καὶ εἰς τὸ ἔξω τῆς λίμνης· καὶ εἰσὶ πόλεις ἐν αὐτοῖς Ἑλληνίδες αἵδε· Φαναγόρου πόλις, Κῆποι, Σινδαϊκὸς λιμήν, Πάτους.

73. Керкеты. За Синдскою гаванью народъ Керкеты.

73. Κερκέται. Μετὰ δὲ Σινδικὸν λιμένα Κερκέται ἔθνος.

74. [Тореты. За Керкетами народъ Тореты] и еллинскій городъ Торикъ съ гаванью.

74. [Τορέται. Μετὰ δὲ Κερκέτας Τορέται ἔθνος] καὶ πόλις Ἑλληνὶς Τορικὸς καὶ λιμήν.

75. Ахэи. За Торетами народъ Ахэи.

75. Ἀχαιοί. Μετὰ δὲ Τορέτας Ἀχαιοὶ ἔθνος.

76. Иніохи. За Ахэями народъ Иніохи.

76. Ἡνίοχοι. Μετὰ δὲ Ἀχαιοὺς Ἡνίοχοι ἔθνος.

77. [Кораксы. За Иніохами народъ Кораксы].

77. [Κοραξοί. Μετὰ δὲ Ἡνιόχους Κοραξοὶ ἔθνος].

78. Колика. За Кораксами народъ Колика.

78. Κωλική. Μετὰ δὲ Κοραξοὺς Κωλικὴ ἔθνος.

79. Меланхлэны (Черноризцы). За Коликою народъ Черноризцы и рѣка у нихъ Метасорій и Эгипій-рѣка.

79. Μελάγχλαινοι. Μετὰ δὲ Κωλικὴν Μελάγχλαινοι ἔθνος, καὶ ποταμὸς ἐν αὐτοῖς Μετάσωρις καὶ Αἰγίπιος ποταμός.

80. Гелоны. За Черноризцами Гелоны.

80. Γέλωνες. Μετὰ δὲ Μελαγχλαίνους Γέλωνες.

81. Колхи. За ними народъ Колхи и городъ Діоскурида и Гипнъ городъ еллин-

81. Κόλχοι. Μετὰ δὲ τούτους Κόλχοι ἔθνος καὶ Διοσκουρὶς πόλις καὶ Γυηνὸς πό-

---

V. 4: Συρμάται κτλ.]. «Sic locum constituit Niebuhrius, quamquam acquiescere etiam licet in hiulca codicis brevitate, qui ita habet: ..εἰς τὴν Μαιῶτιν λίμνην. Συρμάται ἔθνος· καὶ ποταμὸς Τάναϊς. ὁρίζει Ἀσίαν καὶ Εὐρώπην...». || V. 9: «Σαυρομάται] Titulus hic in cod. legitur ante v. καὶ πρῶτον». || V. 16: «Σίνδοι] Σιντοί codex; em. Gailius, quum mox sit Σινδικός. De accentu v. Aread. p. 48, 9». || «§ 74. Uncis inclusa desunt in codice Parisino; supplevit scriba codicis Palatini, sed inepto loco post verba πόλις Ἑλληνὶς Τορικὸς καὶ λιμήν, quae ad ipsos Toretas pertinent, inseruit. Idem scriba paullo post de suo addidit Coraxorum mentionem, quam excidisse in cod. Parisino patere cuivis debebat». || V. 37: «Γέλωνες], sic codex; ceteris sunt Γελωνοί, quod nomen etiam editt. Scylacis exhibent». || V. 40: «Διοσκουρὶς] sic codex; ceteris Διοσκουριάς, uti constat...» || Ibid. Τυηνός]» Fortasse leg. est Τυῆνις ex Stephano: Τυῆνις, πόλις Κόλχων ἀπὸ Τυηνίδος ποταμοῦ. Nisi mavelis Πυῆνις. Stephanus: Πυῆνις, πόλις Κόλχων». Vossius. Equidem malim Τυῆνις vel Τυηνός».

Digitized by Google

λις Ἑλληνὶς καὶ Γυηνὸς ποταμὸς καὶ Χερόβιος ποταμός, Χόρσος ποταμός, Ἄριος ποταμός, Φᾶσις ποταμὸς καὶ Φᾶσις Ἑλληνὶς πόλις, καὶ ἀνάπλους ἀνὰ τὸν ποταμὸν σταδίων ρπ΄ εἰς πόλιν (μάλην) μεγάλην βάρβαρον, ὅθεν ἡ Μήδεια ἦν· ἐνταῦθα ἐστὶ Ῥις ποταμός· Ἶσις ποταμός, Λῃστῶν ποταμός, Ἄψαρος ποταμός.

82. Βύζηρες. Μετὰ δὲ τοὺς Κόλχους Βύζηρες ἔθνος καὶ Δαραανῶν ποταμὸς καὶ Ἀρίων ποταμός.

83. Ἐκεχειριεῖς. Μετὰ δὲ Βύζηρας Ἐκεχειριεῖς ἔθνος, καὶ ποταμὸς Πόρδανις, καὶ Ἀραβὶς ποταμός, Λίμνη πόλις, Ὠδείνιος πόλις Ἑλληνίς.

84. Βεχειρική. Μετὰ Ἐκεχειριεῖς Βέχειροι ἔθνος, Βεχειρικὸς λιμήν, Βεχειριὰς πόλις Ἑλληνίς.

85. Μακροκέφαλοι. Μετὰ δὲ Βέχειρας Μακροκέφαλοι ἔθνος καὶ Ψωρῶν λιμήν, Τραπεζοῦς πόλις Ἑλληνίς.

86. Μοσσύνοικοι. Μετὰ δὲ Μακροκεφάλους Μοσσύνοικοι ἔθνος καὶ Ζεφύριος λιμήν, Χοιράδες πόλις Ἑλληνίς, Ἄρεως νῆσος. Οὗτοι ὄρη κατοικοῦσιν.

87. Τιβαρηνοί. Μετὰ δὲ Μοσσύνους ἔθνος ἐστὶ Τιβαρηνοί.

88. Χάλυβες. Μετὰ δὲ Τιβαρηνοὺς Χάλυβές εἰσιν ἔθνος, καὶ Γενήτης λιμὴν κλειστός, Σταμένεια πόλις Ἑλληνὶς καὶ Ἰασονία ἀκρόπολις Ἑλληνίς.

скій и Гіпнъ-рѣка, Херовій-рѣка, Хорсъ-рѣка, Арій-рѣка, Фасидъ-рѣка и Фасидъ городъ еллинскій, и вверхъ по рѣкѣ 180 стадій плаванія до большаго варварскаго города, откуда была Мидія; здѣсь Рисъ-рѣка; *затѣмъ* Исидъ-рѣка, Разбойничья рѣка, Апсаръ-рѣка.

82. Визиры. За Колхами народъ Визиры и рѣка Дараанонъ и Аріонъ-рѣка.

83. Екехиріейцы. За Визирами народъ Екехиріейцы и рѣка Порданисъ и Арависъ-рѣка, городъ Лимна, еллинскій городъ Одиній.

84. Вехирская земля. За Екехиріейцами народъ Вехиры, Вехирская гавань, еллинскій городъ Вехиріада.

85. Длинноголовые. За Вехирами народъ Длинноголовые и гавань Псоронъ [т. е. *Чесоточная*], еллинскій городъ Трапезунтъ.

86. Моссинники. За Длинноголовыми народъ Моссинники и гавань Зефирій, еллинскій городъ Хирады, островъ Арея. Эти живутъ въ горахъ.

87. Тиварины. За Моссинами живетъ народъ Тиварины.

88. Халивы. За Тиваринами живетъ народъ Халивы; *у нихъ* закрытая гавань Генитъ, еллинскій городъ Стаменія и еллинскій акрополь Іасонія.

V. 2: «Χόρσος aperte est Χῶβος Arriani, *Cobus* Plinii et, ut videtur, *Cohibus* Taciti in Hist. III, 48. Quidnam Scylax scripserit, difficile dictu. Ἄριος nomen item corruptum esse videtur. Arriano est Χαρίεις, Plinio *Charien*, Ptolemaeo Χαρίστος». || V. 5: «εἰς πόλιν μάλην μεγάλην] μάλην ex dittographia vocis μεγάλην ortum. Si urbem auctor nominasset, dicendum erat εἰς πόλιν μεγάλην Μάλην vel εἰς Μάλην πόλ. μεγ. Ac omnino nomina barbarorum oppidorum in Ponto non apponit Scylax. Patria Medeae quum Aeaea sive Aea vel Cytaea perhibeatur, hocce nomen Vossius restitui voluit, illud vero Gronovius, in μαλην latere putans αιαιαν». || V. 7: «Verba λῃστῶν ποταμός in cod. Vatic. omissa sunt». || V. 9: «Βύζηρες] Βούσηρες codex». || V. 10: «Δαραανῶν Ἀρίων] utrumque nomen corruptum esse videtur», || V. 16: «Βέχειροι] Paullo post Βέχειρας, quae forma usitatior est». || Ibid. «Βεχειρική cod., Βέχειρος edd.». || V. 17: «Βεχειριάς Vossius; Βεχειρίς Salmasius; Βεχειράς codex. Non est proprium nomen, sed appellativum». || V. 22: «Μοσσύνοικοι] sic h. l. codex. Infra § 87 habet Μοσσινοὺς (i. e. Μοσσύνους)». || V. 30: «Γενήτης λιμήν] γενέσιντις λιμήν codex; em. Vossius e Stephano...» || V. 31: Σταμένεια] Ἀμένεια codex; corr. Clauserius assumpta ex antecedente voce litera σ collatoque Hecataeo [v. supra p. 3 fr. 196]. || V. 32: Ἰασονία] ἀσινεία codex; em. Voss. Vide Xen. Anab. VI, 2» etc. Müller.

Digitized by Google

ΑΝΩΝΥΜΟΥ

[ΣΚΥΜΝΟΥ ΤΟΥ ΧΙΟΥ, ὡς φέρεται]

ΠΕΡΙΗΓΗΣΙΣ.

БЕЗЪИМЕННАГО АВТОРА

[какъ полагаютъ, СКИМНА ХІОССКАГО]

ЗЕМЛЕОПИСАНІЕ.

[Небольшое сочиненіе, содержащее въ себѣ краткое землеописаніе, написанное шестистопными ямбами и предназначавшееся, по всей вѣроятности, для употребленія въ школахъ, частію (до ст. 748) дошло до насъ въ одной Парижской рукописи, частію (съ ст. 749) возстановлено изъ отрывковъ, сохранившихся въ «Периплѣ Понта Евксинскаго» безъименнаго автора и у другихъ писателей[1]). Имя автора въ рукописи не сохранилось; нѣкоторые ученые приписывали это сочиненіе *Марціану Ираклійскому*, другіе (Гольстейнъ, Ис. Фоссъ) — *Скимну Хіосскому*, упоминаемому Стефаномъ Византійскимъ и другими писателями; это послѣднее мнѣніе долго было общераспространеннымъ, пока Мейнеке и К. Мюллеръ (см. Geogr. Gr. min. I, стр. LXXIV сл.) не опровергли его съ достаточною основательностью. Время написанія сочиненія опредѣляется сохранившимся въ ст. 2-мъ посвященіемъ его Виѳинскому царю Никомиду; но былъ ли это Никомидъ II (147—95 до Р. Хр.), или Никомидъ III (95—75), съ достовѣрностью рѣшить не возможно (см. Унгера въ Philol. 41, стр. 613); по мнѣнію К. Мюллера сочиненіе написано около 90 г. до Р. Хр.—Текстъ: Geographi Graeci minores, rec. C. Müllerus, v. I p. 227 sq.].

Переводъ И. И. Бережкова.

Πόλις
Ἴστρος ἀπὸ τοῦ ποταμοῦ λαβοῦσα τοὔνομα.
Ταύτην τὴν πόλιν
Μιλήσιοι κτίζουσιν ἡνίκα Σκυθῶν
εἰς τὴν Ἀσίαν στράτευμα διέβη βαρβάρων
τὸ Κιμμερίους διῶκον ἐκ τοῦ Βοσπόρου.

767. Городъ Истръ, получившій *свое* названіе отъ рѣки. Этотъ городъ основали Милитяне, когда перешло въ Азію войско варваровъ Скиѳовъ, преслѣдовавшее Киммерійцевъ изъ Воспора.

—

Ἴστρος ὁ ποταμός·
κατέρχετ' ἀπὸ τῶν ἑσπερίων οὗτος
τόπων
τὴν ἐκβολὴν πέντε στόμασι ποιούμενος·
καὶ δυσὶ δὲ ῥεῖ σχιζόμενος εἰς τὸν Ἀδρίαν.
ἀμέλει δὲ μέχρι τῆς Κελτικῆς γινώσκεται
καὶ τῷ θέρει τὸν πάντα διαμένων χρόνον·
χειμῶνι μὲν γὰρ αὔξεται πληρούμενος
τοῖς γινομένοις ὄμβροισιν, ἐν δὲ τῷ θέρει
ἀπὸ τῆς χιόνος, ὥς φασι, τὰς ἐπιρρύσεις
τῶν τηκομένων τε λαμβάνων ἀεὶ πάγων,
τὸ ῥεῖθρον ἐξίησιν ὡσαύτως ἴσον.

773. Рѣка Истръ; она течетъ изъ западныхъ странъ и впадаетъ [въ Понтъ] пятью устьями; а *другими* двумя, раздѣлившись, течетъ въ Адріатическое море; *Истръ* достаточно извѣстенъ *вплоть* до страны Кельтовъ. Онъ не пересыхаетъ въ теченіи всего лѣта; зимою онъ увеличивается отъ падающихъ дождей, а лѣтомъ отъ снѣга, говорятъ, изливается съ такой же глубиною, постоянно принимая въ себя потоки тающихъ льдовъ.

Ἔχει δὲ καὶ νήσους ἐν αὐτῷ κειμένας
πολλάς τε καὶ μεγάλας μεγέθεσιν, ὡς
λόγος,
ὧν ἡ μεταξὺ τῆς θαλάσσης κειμένη
καὶ τῶν στομάτων οὐκ ἔστ' ἐλάττων
μὲν Ῥόδου,
Πεύκη δὲ λέγεται διὰ τὸ πλῆθος ὧν ἔχει
πευκῶν· ἐπ' εὐθείας κατ' αὐτὴν πελαγία
Ἀχιλλέως ἡ νῆσός ἐστι κειμένη.

785. Въ немъ лежитъ много обширныхъ, по слухамъ, острововъ, изъ коихъ одинъ, лежащій между моремъ и устьями, не менѣе Родоса; онъ называется Сосновымъ отъ множества растущихъ на немъ сосенъ. Прямо противъ него въ морѣ лежитъ островъ Ахилла. На немъ водится много ручныхъ птицъ, а самъ онъ представляетъ величественное зрѣлище для пріѣзжающихъ. Съ него нельзя видѣть ни-

—

1) Предложенныя разными учеными попытки возстановленія указываетъ К. Мюллеръ.

Digitized by Google

Ἔχει δὲ πλῆθος χειρόηθες ὀρνέων
θέαν ἱεροπρεπῆ τε τοῖς ἀφικνουμένοις.
Οὐ δυνατὸν ἀπὸ ταύτης δ' ἰδεῖν χώραν τινά
καίπερ ἀπεχούσης τῆς πέραν στάδια μόνον
τετρακόσι', ὡς δὴ συγγράφει Δημήτριος.

—

[Οὗτοι δὲ Θρᾷκες Βαστάρναι τ' ἐπήλυδες].

—

Ὁ ποταμὸς Τύρας βαθύς τ' ὢν εὔβοτός τε ταῖς νομαῖς,
τῶν ἰχθύων διάθεσιν ἐμπόροις ἔχων,
ταῖς ὁλκάσιν τε ναυσὶν ἀνάπλουν ἀσφαλῆ.
Ὁμώνυμος δὲ τῷ ποταμῷ κεῖται πόλις Τύρας, ἄποικος γενομένη Μιλησίων.

—

Ἐπὶ ταῖς δὲ καθ' Ὑπανίν τε καὶ Βορυσθένην
ποταμῶν διπλαῖσι συμβολαῖς ἔστιν πόλις κτισθεῖσα, πρότερον Ὀλβία καλουμένη, μετὰ ταῦθ' ὑφ' Ἑλλήνων πάλιν Βορυσθένης κληθεῖσα· ταύτην τὴν πόλιν Μιλήσιοι κτίζουσι κατὰ τὴν Μηδικὴν ἐπαρχίαν· διακοσίων σταδίων δὲ καὶ δὶς εἴκοσιν ἀπὸ τῆς θαλάσσης τὸν ἀνάπλουν Βορυσθένει ἔχει ποταμῷ.

—

Οὗτος δὲ πάντων ἐστὶ χρειωδέστατος, κήτη μεγάλα καὶ πολλὰ καὶ καρποὺς φέρων τοὺς φυομένους νομάς τε τοῖς βοσκήμασιν.
Ῥεῖν δ' αὐτὸν ἐπὶ μὲν ἡμερῶν λέγουσι πλοῦν ὡς τεσσαράκοντα πλωτόν, εἰς δὲ τοὺς ἄνω τόπους ἄπλωτός ἐστι κοὐ περάσιμος· ὑπὸ χιόνος γὰρ καὶ πάγων ἐξείργεται.

—

Ἀχίλλειος δρόμος, ὅπερ ἐστὶν ἠὼν σφόδρα μακρά [τε] καὶ στενή...

—

Ἡ Ταυρικὴ δὲ χερρόνησος λεγομένη τούτοις συνάπτει, πόλιν ἔχουσ' Ἑλληνίδα, ἣν Ἡρακλεῶται Δήλιοί τ' ἀπῴκισαν, τοῖς Ἡρακλεώταις γενομένου χρησμοῦ τινος τοῖς τὴν Ἀσίαν οἰκοῦσιν ἐντὸς Κυανέων

какой земли, хотя берегъ отстоитъ отъ него только на 400 стадій, какъ свидѣтельствуетъ Димитрій.

[Это Ѳракійцы и пришельцы Бастарны].

798. Рѣка Тира, глубокая и обильная пастбищами, доставляетъ купцамъ торговлю рыбой и безопасное плаваніе для грузовыхъ судовъ. *На ней* лежитъ одноименный рѣкѣ городъ Тира, основанный Милитянами.

804. При слiяніи рѣкъ Ипанида и Борисѳена лежитъ городъ, прежде называвшійся Ольвіей, а затѣмъ Еллинами переименованный въ Борисѳенъ. Этотъ городъ основали Милитяне во время мидійскаго владычества. До него 240 стадій отъ моря вверхъ по теченію Борисѳена.

Эта рѣка болѣе всѣхъ другихъ полезна, такъ какъ доставляетъ много крупной рыбы, дикіе плоды и пастбища для скота. Теченіе ея, говорятъ, судоходно на пространствѣ около сорока дней пути; но въ мѣста, лежащія выше, нѣтъ ни прохода, ни проѣзда вслѣдствіе снѣговъ и льдовъ.

820. Ахилловъ бѣгъ—морской берегъ очень длинный и узкій.

Съ этими мѣстами граничитъ такъ называемый Херсонисъ Таврическій съ еллинскимъ городомъ, основаннымъ Ираклiотами и Дилiйцами вслѣдствіе даннаго Ираклiотамъ, живущимъ въ Азіи по сю сторону Кіанеи, прорицанія заселить вмѣстѣ съ Дилiйцами Херсонисъ. Въ эту мѣстность

Digitized by Google

ἅμα Δηλίοισι χερρόνησον οἰκίσαι.
Τοῦτον εἰς τόπον τινὲς
τῆς Ταυρικῆς λέγουσιν ἀφικέσθαι ποτὲ
κλαπεῖσαν Ἰφιγένειαν ἐκ τῆς Αὐλίδος...
Εἰσὶν δὲ τοῖς ὄχλοισιν οἱ Ταῦροι συχνοί,
βίον δ' ἐνόρειον νομάδα τ' ἐζηλωκότες,
τὴν δ' ὠμότητα βάρβαροί τε καὶ φονεῖς,
ἱλασκόμενοι τὰ θεῖα τοῖς ἀσεβήμασιν.

—

Ἔπειτ' ἐπ' αὐτοῦ τοῦ στόματος Μαιώτιδος
λίμνης τὸ Παντικάπαιόν ἐστιν ἔσχατον,
τοῦ Βοσπόρου βασίλειον ὠνομασμένον.
Ἄνωθε τούτων ἡ Σκυθὶς γῆ βάρβαρος
πρὸς τὴν ἀοίκητον συνορίζουσ' ἐστὶ γῆν
καὶ πᾶσι τοῖς Ἕλλησιν ἀγνοουμένην.
Πρώτους δὲ παρὰ τὸν Ἴστρον εἶναι Καρπίδας
εἴρηκεν Ἔφορος, εἶτεν Ἀροτῆρας πρόσω
Νευρούς τε μέχρι γῆς πάλιν ἐρήμου διὰ
πάγον,
πρὸς ἀνατολὰς δ' ἐκβάντι τὸν Βορυσθένην
τὴν λεγομένην Ὕλαιαν οἰκοῦντας Σκύθας
εἶναι, Γεωργοὺς δ' ἐχομένους τούτων ἄνω,
ἔπειτα πάλιν ἔρημον ἐπὶ πολὺν τόπον,
ὑπὲρ δὲ ταύτην Ἀνδροφάγων Σκυθῶν
ἔθνος,
ἐπέκεινα δ' εἶναι πάλιν ἔρημον ἐχομένην.
Τὸν Παντικάπην διαβάντι Λιμναίων
ἔθνος
ἕτερά τε πλείον' οὐ διωνομασμένα,
Νομαδικὰ δ' ἐπικαλούμεν', εὐσεβῆ πάνυ,
ὧν οὐδὲ εἷς ἔμψυχον ἀδικήσαι ποτ' ἂν·
οἰκοφόρα δ', ὡς εἴρηκε, καὶ σιτούμενα
γάλακτι ταῖς Σκυθικαῖσί θ' ἱππομολγίαις·
ζῶσιν δὲ τήν τε κτῆσιν ἀναδεδειχότες
κοινὴν ἁπάντων τήν θ' ὅλην συνουσίαν.
Καὶ τὸν σοφὸν δ' Ἀνάχαρσιν ἐκ τῶν
Νομαδικῶν
φησὶν γενέσθαι τῶν σφόδρ' εὐσεβεστάτων.

Καὶ κατοικῆσαί τινας
εἰς τὴν Ἀσίαν ἐλθόντας, οὓς δὴ καὶ Σάκας
καλοῦσιν· εὐσημότατον εἶναί φησι δὲ
τὸ Σαυροματῶν καὶ τῶν Γελωνῶν καὶ
τρίτον
τὸ τῶν Ἀγαθύρσων ἐπικαλούμενον γένος...
Ἀπὸ τῶν δὲ Μαιωτῶν λαβοῦσα τοὔνομα
Μαιῶτις ἐξῆς ἐστὶ λίμνη κειμένη,
εἰς ἣν ὁ Τάναϊς
ἀπὸ τοῦ ποταμοῦ λαβὼν τὸ ῥεῦμ' Ἀράξεως
ἐπιμίσγεθ', ὡς Ἑκαταῖος εἰφ' οὑρετριεύς,
ὡς δ' Ἔφορος ἱστόρηκεν, ἐκ λίμνης τινός,
ἧς τὸ πέρας ἔστ' ἄφραστον. Ἐξίησι δὲ

Таврики, говорятъ нѣкоторые, прибыла нѣкогда Ифигенія, похищенная изъ Авлиды.

Тавры—народъ многочисленный и любятъ кочевую жизнь въ горахъ; по своей жестокости они варвары и убійцы и умилостивляютъ *своихъ* боговъ нечестивыми *дѣяніями*.

835. Затѣмъ при самомъ устьѣ Мэотійскаго озера послѣднимъ лежитъ Пантикапэй, называемый столицею Воспора. Выше этихъ *мѣстъ* лежитъ варварская страна Скиѳія, граничащая съ землей необитаемой и невѣдомой никому изъ Еллиновъ.

841. Ефоръ говоритъ, что первыми по Истру живутъ Карпиды, потомъ Пахари, далѣе Невры вплоть до необитаемой вслѣдствіе холода страны, а къ востоку за Борисѳеномъ такъ называемое Полѣсье заселяютъ Скиѳы, за ними къ сѣверу Земледѣльцы, потомъ опять простирается на далекое *пространство* пустынная мѣстность, за нею *живетъ* скиѳское племя Людоѣдовъ, а за ними опять пустыня.

850. По ту сторону Пантикапа живетъ племя Лимнэевъ (Озерянъ) и многія другія племена, не названныя собственными именами, а называемыя вообще Номадскими; они весьма благочестивы, ни одинъ изъ нихъ никогда не нанесетъ обиды живому существу. Они возятъ съ собою кибитки, какъ говоритъ *Ефоръ*, и питаются молокомъ и скиѳскимъ доеніемъ кобылицъ; живутъ они такъ, что считаютъ имущество и весь семейный строй общимъ. И мудрецъ Анахарсисъ, по словамъ *Ефора*, происходилъ изъ самыхъ благочестивыхъ Номадовъ.

860. Нѣкоторые изъ нихъ пришли-де въ Азію и поселились *тамъ*; ихъ-то и называютъ Саками. Самыми славными изъ нихъ онъ называетъ племя Савроматовъ, Гелоновъ и третье такъ называемое племя Агаѳирсовъ.

865. Затѣмъ лежитъ получившее свое имя отъ Мэотовъ Мэотійское озеро, въ которое впадаетъ Танаидъ, вытекающій, по словамъ Екатея Еретрійскаго, изъ рѣки Араксія, а по свидѣтельству Ефора — изъ какого-то озера, границу котораго опредѣлить невозможно. Впадаетъ онъ двумя

Digitized by Google

δίστομον ἔχων τὸ ῥεῖθρον εἰς τὴν λεγομένην
Μαιῶτιν εἰς τὸν Κιμμερικόν τε Βόσπορον.

—

ΑΣΙΑ.

Τὸν Τάναϊν, ὅστις ἐστὶ τῆς Ἀσίας ὅρος
τέμνων γε τὴν ἤπειρον ἑκατέραν δίχα,
πρῶτοι νέμονται Σαρμάται, δισχίλια
στάδι' ἐπέχοντες.
Εἶτα μετὰ τούτους ἐστὶ Μαιωτῶν γένος
Ἰαζαματῶν λεγόμενον, ὡς Δημήτριος
[ὁ συγγραφεὺς] εἴρηκεν, ὡς δ' Ἔφορος
λέγει,
Σαυροματῶν λέγεται ἔθνος.
Τούτοις ἐπιμεμίχθαι δὲ τὰς Ἀμαζόνας
τοῖς Σαυρομάταις λέγουσιν ἐλθούσας
ποτὲ
ἀπὸ τῆς περὶ Θερμώδοντα γενομένης
μάχης,
ἐφ' οἷς ἐπεκλήθησαν Γυναικοκρατούμενοι.

—

Εἶτ' ἔστιν Ἑρμώνασσα Φαναγόρειά τε,
ἣν Τηΐους λέγουσιν οἰκίσαι ποτέ,
καὶ Σινδικὸς λιμήν, ἔχων οἰκήτορας
Ἕλληνας ἀπὸ τῶν ἐγγὺς ἥκοντας τόπων.
Ταύτας περιέχει τὰς πόλεις διακειμένας
νῆσος, κατὰ τὴν Μαιῶτιν ἄχρι τοῦ
Βοσπόρου
χώραν ἀπολαμβάνουσα πολλὴν πεδιάδα,
ἥτις τὰ μὲν τοῖς ἕλεσι καὶ τοῖς ποταμίοις
ἀδιάβατος τοῖς τενάγεσίν τ' ἐν τῷ πέραν,
ἃ δὲ τῇ θαλάττῃ τῇ τε λίμνῃ γίνεται·
Τὸ δὲ στόμ' ἐκπλέοντι Κιμμερὶς πόλις
ἀπὸ Κιμμερίων μὲν βαρβάρων κεκλημένη,
κτίσις τυράννων δ' οὖσα τῶν ἐν Βοσπόρῳ,
Κῆπός τ' ἀποικισθεῖσα διὰ Μιλησίων.

—

... Μοσσύνοικοι...
ἔθεσι νόμοις ἔργοις τε βαρβαρώτατοι·
φασὶν γὰρ ἐν ξυλίνοισιν ὑψηλοῖς τ' ἄγαν
πύργοις ἐνοικεῖν πάντας, ἐν φανερῷ δ' ἀεὶ
ἕκαστα πράττειν, τὸν δ' ἑαυτῶν βασιλέα
δεδεμένον ἐν πύργῳ τε συγκεκλεισμένον
τηρεῖν ἐπιμελῶς, τὴν ἀνωτάτω στέγην
ἔχοντα, τοῖς φρουροῦσι δ' αὐτὸν ἐπιμελὲς
εἶναι, νομίμως ἵνα πάντα προστάττῃ
ποιεῖν·
εἰ δὲ παραβαίη, κόλασιν αὐτοῦ λαμβάνειν
φασὶν μεγίστην, μὴ διδόντας τὴν τροφήν.

—

Κερασοῦς Σινωπέων ἄποικος

устьями въ такъ называемую Мэотиду и въ Киммерійскій Воспоръ.

[АЗІЯ].

874. На Танаидѣ, который служитъ границею Азіи, раздѣляя материкъ на двѣ части,—первыми живутъ Сарматы, занимая пространство въ 2000 стадій. За ними, по словамъ [писателя] Димитрія, слѣдуетъ мэотійское племя, называемое Язаматами, а по Ефору оно называется племенемъ Савроматовъ. Съ этими Савроматами соединились, говорятъ, Амазонки, пришедшія нѣкогда послѣ битвы при Θермодонтѣ; по нимъ-то они получили названіе Женоуправляемыхъ.

886. Затѣмъ слѣдуютъ Ермонасса, Фанагорія, которую, какъ говорятъ, основали нѣкогда Теосцы, и гавань Синдская, населенная Еллинами, пришедшими изъ ближнихъ мѣстностей.

Эти города расположены на островѣ, занимающемъ большое пространство ровной земли по Мэотидѣ вплоть до Воспора; островъ этотъ недоступенъ съ одной стороны вслѣдствіе болотъ, рѣчекъ и топей, находящихся на противоположной сторонѣ (отъ моря), съ другой—благодаря морю и озеру.

При самомъ выходѣ изъ устья лежитъ городъ Киммерида, получившій свое названіе отъ варваровъ Киммерійцевъ, основанный Воспорскими тираннами, и Садъ, основанный Милитянами.

900. Моссинники.... по *своимъ* обычаямъ, законамъ и поступкамъ—самые грубые варвары. Говорятъ, что всѣ они живутъ въ очень высокихъ деревянныхъ башняхъ и всегда все дѣлаютъ открыто, а царя своего, скованнаго и запертаго въ башнѣ, прилежно стерегутъ въ самомъ верхнемъ этажѣ; стерегущіе его слѣдятъ-де за тѣмъ, чтобы всѣ его распоряженія были согласны съ закономъ; если же онъ *въ чемъ либо* преступитъ *законъ*, то они, говорятъ, подвергаютъ его жесточайшей казни, не давая пищи.

911. Керасунтъ, колонія Синопейцевъ, предъ которой тянется пустынный островъ,

Digitized by Google

καθ' ἣν ἔρημος κειμένη παρήκει νῆσος Ἄρεως λεγομένη.

называемый Ареевымъ. Рядомъ жилъ народъ Тиварины; они всячески стараются смѣяться, признавая это величайшимъ благополучіемъ.

—

Τιβαρηνοὶ ᾤκουν ἔθνος ὁμοχώριον,
γελᾶν πάνυ σπεύδοντες ἐκ παντὸς τρόπου,
εὐδαιμονίαν ταύτην [μεγίστην] κεκρικότες.

953. Καταντικρὺ δὲ Καράμβεως ἐν τῇ πέραν κεῖται μέγιστον
ἀπότομον εἰς θάλατταν ὑψηλόν τ' ὄρος Κριοῦ μέτωπον λεγόμενον,
νυχθήμερον πλοῦν ἀπέχον ἐκ Καράμβεως.

953. Прямо напротивъ Карамвія на противоположномъ берегу *Понта* лежитъ огромная, круто обрывающаяся къ морю и высокая гора, называемая Бараньимъ лбомъ; она отстоитъ отъ Карамвія на сутки пути.

ΣΤΡΑΒΩΝΟΣ ΓΕΩΓΡΑΦΙΚΑ. ГЕОГРАФІЯ СТРАВОНА.

[Род. около 63 г. до Р. Хр., ум. ок. 23 по Р. Хр. Сочиненіе написано не ранѣе 18 г. по Р. Хр.— Текстъ: Strabonis Geographica rec. commentario crit. instr. G. Kramer, Berol. 1844—1852, 3 voll.].

Переводъ **В. Л.**

1. Извѣстія Омира о сѣверныхъ народахъ.

Lib. I cap. 1 § 10 (p. 7 C.).

...καὶ ἐφεξῆς [μέμνηται ὁ ποιητὴς] τῶν περὶ τὴν Προποντίδα καὶ τοῦ Εὐξείνου *τὰ* μέχρι Κολχίδος καὶ τῆς Ἰάσονος στρατείας. καὶ μὴν καὶ τὸν Κιμμερικὸν βόσπορον οἶδε, τοὺς Κιμμερίους εἰδώς· οὐ δήπου τὸ μὲν ὄνομα τῶν Κιμμερίων εἰδώς, αὐτοὺς δὲ ἀγνοῶν, οἳ κατ' αὐτὸν ἢ μικρὸν πρὸ αὐτοῦ μέχρι Ἰωνίας ἐπέδραμον τὴν γῆν τὴν ἐκ βοσπόρου πᾶσαν. αἰνίττεται γοῦν καὶ τὸ κλίμα τῆς χώρας αὐτῶν ζοφῶδες ὄν, καὶ ὡς φησίν·

ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
ἠέλιος φαέθων ἐπιλάμπεται,
ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται.

γνωρίζει δὲ καὶ τὸν Ἴστρον, μεμνημένος γε *τοῦ* Μυσῶν ἔθνους Θρᾳκίου παροικοῦντος τὸν Ἴστρον.

...Вслѣдъ за этимъ [поэтъ *Омиръ* упоминаетъ] *о народахъ, обитающихъ* вокругъ Пропонтиды и *Понта* Евксинскаго до Колхиды и о походѣ Іасона. Онъ знаетъ также и Воспоръ Киммерійскій, зная Киммерійцевъ; и конечно не возможно, чтобы онъ зналъ только имя Киммерійцевъ и не зналъ самого народа, который въ его время или немного раньше совершилъ набѣгъ на всю страну отъ Воспора до *самой* Іоніи. По крайней мѣрѣ онъ намекаетъ и на туманный климатъ ихъ страны и говоритъ такъ: «туманами и облаками покрыты; и никогда не освѣщаетъ *ихъ* яркое солнце, но распростерта надъ *ними* губительная ночь» [1]). Онъ знаетъ и Истръ, такъ какъ упоминаетъ о Мисахъ, оракійскомъ народѣ, живущемъ по Истру.

Ad v. 3: Verba delenda asteriscis notavit Kramer, addenda uncis quadratis inclusit.
1) Od. XI, 15 и 19.

Digitized by Google

2. Постепенное расширеніе географическихъ свѣдѣній.

Lib. I, c. 2 § 1 (p. 14 C.).

...πολύ τι τοῖς νῦν ἡ τῶν Ῥωμαίων ἐπικράτεια καὶ τῶν Παρθυαίων τῆς τοιαύτης ἐμπειρίας προσδέδωκε, καθάπερ τοῖς μετὰ τὴν Ἀλεξάνδρου στρατείαν, ὡς φησιν Ἐρατοσθένης· ὁ μὲν γὰρ τῆς Ἀσίας πολλὴν ἀνεκάλυψεν ἡμῖν καὶ τῶν βορείων τῆς Εὐρώπης ἅπαντα μέχρι τοῦ Ἴστρου· οἱ δὲ Ῥωμαῖοι τὰ ἑσπέρια τῆς Εὐρώπης ἅπαντα μέχρι Ἄλβιος ποταμοῦ τοῦ τὴν Γερμανίαν δίχα διαιροῦντος, τά τε πέραν Ἴστρου τὰ μέχρι Τύρα ποταμοῦ· τὰ δὲ ἐπέκεινα μέχρι Μαιωτῶν καὶ τῆς εἰς Κόλχους τελευτώσης παραλίας Μιθριδάτης ὁ κληθεὶς Εὐπάτωρ ἐποίησε γνώριμα καὶ οἱ ἐκείνου στρατηγοί· οἱ δὲ Παρθυαῖοι τὰ περὶ τὴν Ὑρκανίαν καὶ τὴν Βακτριανὴν καὶ τοὺς ὑπὲρ τούτων Σκύθας γνωριμωτέρους ἡμῖν ἐποίησαν, ἧττον γνωριζομένους ὑπὸ τῶν πρότερον.

...Владычество Римлянъ и Парѳянъ прибавило многое къ такимъ [т. е. географическимъ] позваніямъ *нашихъ* современниковъ, подобно тому какъ *поколѣніямъ*, жившимъ послѣ похода Александра, *много знаній далъ этотъ походъ*, какъ говоритъ Ератосѳенъ: онъ открылъ намъ большую часть Азіи и весь сѣверъ Европы до Истра, а Римляне — весь западъ Европы до рѣки Альбія, раздѣляющей Германію на двѣ части, и страну по ту сторону Истра до рѣки Тиры. Дальнѣйшія области до Мэотовъ и побережья, оканчивающагося областью Колховъ, сдѣлалъ извѣстными Миѳридатъ, прозванный Евпаторомъ, и его полководцы. Парѳяне же расширили наши свѣдѣнія объ Иркаиіи, Вактріанѣ и о живущихъ выше этихъ *странъ* Скиѳахъ, которые были менѣе извѣстны прежнимъ *поколѣніямъ*.

3. Извѣстія Омира о Киммерійцахъ и Іасонѣ.

Lib. I c. 2 § 9—10 (p. 20—21 C.).

...οὕτω δὲ καὶ τοὺς Κιμμερίους εἰδὼς [ὁ ποιητὴς] οἰκοῦντας τὸν Κιμμερικὸν βόσπορον πρὸς βορρᾶν καὶ ζοφώδη μετήγαγεν οἰκείως εἰς σκοτεινόν τινα τόπον τὸν καθ' ᾅδην, χρήσιμον ὄντα πρὸς τὴν μυθοποιίαν τὴν ἐν τῇ πλάνῃ. ὅτι δ' οἶδεν αὐτούς, οἱ χρονογράφοι δηλοῦσιν, ἢ μικρὸν πρὸ αὐτοῦ τὴν τῶν Κιμμερίων ἔφοδον ἢ κατ' αὐτὸν ἀναγράφοντες. — 10. Ὡσαύτως καὶ τοὺς Κόλχους εἰδὼς καὶ τὸν Ἰάσονος πλοῦν τὸν εἰς Αἶαν καὶ τὰ περὶ Κίρκης καὶ Μηδείας μυθευόμενα καὶ ἱστορούμενα περὶ τῆς φαρμακείας καὶ τῆς ἄλλης ὁμοιοτροπίας συγγενείας τε ἔπλασε τῶν οὕτω διῳκισμένων, τῆς μὲν ἐν τῷ μυχῷ τοῦ Πόντου, τῆς δ' ἐν τῇ Ἰταλίᾳ, καὶ ἐξωκεανισμὸν ἀμφοῖν, τάχα καὶ τοῦ Ἰάσονος μέχρι τῆς Ἰταλίας πλανηθέντος· δείκνυται γάρ τινα καὶ περὶ τὰ Κεραύνια ὄρη καὶ περὶ τὸν Ἀδρίαν καὶ ἐν τῷ Ποσειδωνιάτῃ κόλπῳ καὶ ταῖς πρὸ τῆς Τυρρηνίας νήσοις τῆς τῶν Ἀργοναυτῶν πλάνης σημεῖα. προσέδοσαν δέ τι καὶ αἱ Κυάνεαι, ἅσπερ Συμπληγάδας καλοῦσι πέτρας τινές,

...Точно такъ же, зная, что Киммерійцы жили у близкаго къ сѣверу и туманнаго Воспора Киммерійскаго, [поэтъ *Омиръ*] удобно перенесъ ихъ въ какое-то мрачное мѣсто у преисподней, выгодное ему для баснословныхъ разсказовъ въ описаніи странствованій *Одиссея* [1]); а что онъ зналъ ихъ, — *это* доказываютъ хронографы, относящіе вторженіе Киммерійцевъ *ко времени* незадолго до него, или къ его времени. — 10. Подобнымъ же образомъ, зная Колховъ, плаваніе Іасона въ Эю и басни и разсказы о Киркѣ и Мидіи, *именно* объ *ихъ* волшебствѣ и сходствѣ характеровъ, онъ сочинилъ родство *этихъ женщинъ*, жившихъ на столь далекомъ разстояніи *одна отъ другой*, такъ какъ одна *жила* въ отдаленномъ углу Понта, а другая въ Италіи, и Іасонъ въ своихъ странствованіяхъ, быть можетъ, доходилъ до Италіи: ибо указываются нѣкоторые признаки странствованій Аргонавтовъ и около Керавнскихъ горъ, и около

V. 22: «Verba τῆς — σημεῖα, quae hoc loco ferri non posse patet, aut post τινὰ collocanda sunt, deleto ibi σημεῖα, aut pro spuriis reiicienda, quod verius puto: in margine videntur addita fuisse ad explicanda τινὰ σημεῖα, atque inde in ipsa Strabonis verba irrepsisse». Kramer. — Praestat Meinekium sequi, qui prius illud σημεῖα e textu eiecit.

1) Ср. ниже III, 2, 12.

Digitized by Google

τραχὺν ποιοῦσαι τὸν διέκπλουν τὸν διὰ τοῦ Βυζαντιακοῦ στόματος· ὥστε παρὰ μὲν τὴν Αἵαν ἡ Αἰαίη, παρὰ δὲ τὰς Συμπληγάδας αἱ Πλαγκταί, καὶ ὁ δι' αὐτῶν πλοῦς τοῦ Ἰάσονος πιθανὸς ἐφάνη... ἁπλῶς δ' οἱ τότε τὸ πέλαγος τὸ Ποντικὸν ὥσπερ ἄλλον τινὰ ὠκεανὸν ὑπελάμβανον, καὶ τοὺς πλέοντας ἐκεῖσε ὁμοίως ἐκτοπίζειν ἐδόκουν, ὥσπερ τοὺς ἔξω Στηλῶν ἐπὶ πολὺ προϊόντας· καὶ γὰρ μέγιστον τῶν καθ' ἡμᾶς ἐνομίζετο, καὶ διὰ τοῦτο κατ' ἐξοχὴν ἰδίως πόντον προσηγόρευον, ὡς ποιητὴν Ὅμηρον. Ἴσως οὖν καὶ διὰ τοῦτο μετήνεγκε τὰ ἐκ τοῦ Πόντου πρὸς τὸν ὠκεανὸν ὡς εὐπαράδεκτα διὰ τὴν κατέχουσαν δόξαν... τάχα δὲ καὶ τοὺς μονομμάτους Κύκλωπας ἐκ τῆς Σκυθικῆς ἱστορίας μετενήνοχε· τοιούτους γάρ τινας τοὺς Ἀριμασπούς φασιν, οὓς ἐν τοῖς Ἀριμασπείοις ἔπεσιν ἐνδέδωκεν Ἀριστέας ὁ Προκοννήσιος.

...μετὰ δὲ τὸ Ἀλβανὸν Ἀρικία ἐστὶ πόλις ἐπὶ τῇ ὁδῷ τῇ Ἀππίᾳ... τὸ δ' Ἀρτεμίσιον, ὃ καλοῦσι νέμος, ἐκ τοῦ ἐν ἀριστερᾷ μέρους τῆς ὁδοῦ τοῖς ἐξ Ἀρικίας ἀναβαίνουσιν. τῆς δ' Ἀρικίνης τὸ ἱερὸν λέγουσιν ἀφίδρυμά τι τῆς Ταυροπόλου· καὶ γάρ τι βαρβαρικὸν κρατεῖ καὶ Σκυθικὸν περὶ τὸ ἱερὸν ἔθος. καθίσταται γὰρ ἱερεὺς ὁ γενηθεὶς αὐτόχειρ τοῦ ἱερωμένου πρότερον δραπέτης ἀνήρ· ξιφήρης οὖν ἐστιν ἀεὶ περισκοπῶν τὰς ἐπιθέσεις, ἕτοιμος ἀμύνεσθαι...

...За Албанской *горой* [въ Лаціумѣ] лежитъ городъ Арикія на Аппіевой дорогѣ... Святилище Артемиды, которое называютъ Рощею, *находится* съ лѣвой стороны дороги, если идти изъ Арикіи. Святилище Арикинской *богини* считаютъ учрежденіемъ *Артемиды* Таврополы, ибо въ священныхъ обычаяхъ преобладаетъ варварскій и скиѳскій *элементъ: такъ*, въ жрецы ставится бѣглецъ, убившій прежняго жреца; поэтому *жрецъ* всегда вооруженъ мечемъ, остерегаясь нападеній и *будучи* готовъ защищаться...

19. Замѣчаніе о современномъ автору политическомъ положеніи Скиѳіи и Кавказа.

Lib. VI cap. 4 § 2 (p. 288 C.).

...τὰ δ' ὅμοια καὶ περὶ τὴν Ἀσίαν συνέβη· κατ' ἀρχὰς μὲν διὰ τῶν βασιλέων διῳκεῖτο ὑπηκόων ὄντων, ὕστερον δ' ἐκλι-

...Подобная *Африкѣ* судьба постигла и Азію. Сначала она управлялась покорными *Римлянамъ* царями, а впослѣдствіи,

---

Fragmenti 18 textum sumpsi ex editione Meinekiana.

Digitized by Google

κόντων ἐκείνων, καθάπερ τῶν Ἀτταλικῶν βασιλέων καὶ Σύρων καὶ Παφλαγόνων καὶ Καππαδόκων καὶ Αἰγυπτίων, [ἢ] ἀφισταμένων καὶ ἔπειτα καταλυομένων, καθάπερ ἐπὶ Μιθριδάτου συνέβη τοῦ Εὐπάτορος καὶ τῆς Αἰγυπτίας Κλεοπάτρας, ἅπαντα τὰ ἐντὸς Φάσιδος καὶ Εὐφράτου πλὴν Ἀράβων τινῶν ὑπὸ Ῥωμαίοις ἐστὶ καὶ τοῖς ὑπ' ἐκείνων ἀποδειχθεῖσι δυνάσταις. Ἀρμένιοι δὲ καὶ οἱ ὑπερκείμενοι τῆς Κολχίδος Ἀλβανοί τε καὶ Ἴβηρες παρουσίας δέονται μόνον τῶν ἡγησομένων, καλῶς δὲ κρατοῦνται, νεωτερίζουσι δὲ διὰ τὰς τῶν Ῥωμαίων ἀπασχολίας, καθάπερ καὶ οἱ πέραν τοῦ Ἴστρου τὸν Εὔξεινον περιοικοῦντες πλὴν τοῦ Βοσπόρου καὶ τῶν Νομάδων· τὸ μὲν γὰρ ὑπήκοον, τὸ δ' ἄχρηστον εἰς πᾶν [διὰ] τὸ ἀκοινώνητον, φυλακῆς δὲ μόνον δέομενον...

когда *царскія династіи* прекратились, какъ *это случилось* напр. съ царями изъ рода Аттала, Сирійскими, Пафлагонскими, Каппадокійскими и Эгипетскими, или же *цари* отпадали *отъ Римлянъ* и затѣмъ были лишаемы власти, какъ это случилось съ Миридатомъ Евпаторомъ и Клеопатрой Эгипетской, — *съ тѣхъ поръ* всѣ *области* по сю сторону Фасида и Евфрата, кромѣ нѣкоторыхъ *частей* Аравіи, находятся подъ властью Римлянъ и назначенныхъ ими династовъ. Армяне же и живущіе выше Колхиды Албанцы и Иверы нуждаются только въ присутствіи правителей и легко удерживаются въ повиновеніи, а возстаютъ *только* тогда, когда Римляне заняты другими дѣлами; такъ же *держатъ себя* и обитатели побережья Евксина по ту сторону Истра, за исключеніемъ Воспорянъ и Номадовъ: первые покорны *Римлянамъ*, а вторые ни къ чему не годны вслѣдствіе трудности сношеній *съ ними* и требуютъ только *присутствія* гарнизоновъ *для отраженія ихъ нападеній*...

20. Описаніе теченія рѣки Истра.

Lib. VII cap. 1 § 1 (p. 289 C.).

Εἰρηκόσι δ' ἡμῖν περὶ τῆς Ἰβηρίας καὶ τῶν Κελτικῶν ἐθνῶν καὶ τῶν Ἰταλικῶν σὺν ταῖς πλησίον νήσοις ἐφεξῆς ἂν εἴη λέγειν τὰ λειπόμενα τῆς Εὐρώπης μέρη, διελοῦσι τὸν ἐνδεχόμενον τρόπον. λείπεται δὲ τὰ πρὸς ἕω μὲν τὰ πέραν τοῦ Ῥήνου μέχρι τοῦ Τανάιδος καὶ τοῦ στόματος τῆς Μαιώτιδος λίμνης, καὶ ὅσα μεταξὺ τοῦ Ἀδρίου καὶ τῶν ἀριστερῶν τῆς Ποντικῆς θαλάττης μερῶν ἀπολαμβάνει πρὸς νότον μέχρι τῆς Ἑλλάδος καὶ τῆς Προποντίδος ὁ Ἴστρος. διαρεῖ γὰρ οὗτος ἅπασαν ὡς ἐγγυτάτω δίχα τὴν λεχθεῖσαν γῆν, μέγιστος τῶν κατὰ τὴν Εὐρώπην ποταμῶν, ῥέων πρὸς νότον κατ' ἀρχάς, εἶτ' ἐπιστρέφων εὐθὺς ἀπὸ τῆς δύσεως ἐπὶ τὴν ἀνατολὴν καὶ τὸν Πόντον. ἄρχεται μὲν οὖν ἀπὸ τῶν Γερμανικῶν ἄκρων τῶν ἑσπερίων, πλησίον δὲ καὶ τοῦ μυχοῦ τοῦ Ἀδριατικοῦ, διέχων αὐτοῦ περὶ χιλίους σταδίους· τελευτᾷ δ' εἰς τὸν Πόντον οὐ πολὺ ἀποδέων τῶν τοῦ Τύρα καὶ τοῦ Βορυσθένους ἐκβολῶν, ἐκκλίνων πως πρὸς ἄρκ-

Сказавши объ Иверіи и кельтическихъ и италійскихъ народахъ съ близъ-*лежащими* островами, намъ слѣдуетъ затѣмъ говорить объ остальныхъ частяхъ Европы, раздѣливъ *ихъ* подходящимъ способомъ. Остаются *страны* къ востоку за Рейномъ до Танаида и устья Меотійскаго озера, а *также все пространство*, которое охватываетъ Истръ между Адріемъ и лѣвыми берегами Понтійскаго моря къ югу до Эллады и Пропонтиды. Эта рѣка, величайшая изъ *всѣхъ* Европейскихъ рѣкъ, разрѣзываетъ на двѣ части почти всю сказанную область, протекая сначала къ югу, а потомъ круто поворачивая съ запада къ востоку и Понту. Она беретъ начало отъ западныхъ предѣловъ Германіи, недалеко и отъ самаго углубленнаго пункта Адріатическаго *моря*, на разстояніи около 1000 стадій отъ него; изливается же она въ Понтъ недалеко отъ устьевъ Тиры и Борисѳена, слегка отклоняясь къ сѣверу. Итакъ, къ

19, v. 18: τῷ ἀκοινωνήτῳ Cor.; διὰ maluit addere Grosk., cuius coniecturam recepi cum Meinekio.

Digitized by Google

τους. προσάρκτια μὲν οὖν ἐστι τῷ Ἴστρῳ τὰ πέραν τοῦ Ῥήνου καὶ τῆς Κελτικῆς· ταῦτα δ' ἐστὶ τά τε Γαλατικὰ ἔθνη καὶ τὰ Γερμανικὰ μέχρι Βασταρνῶν καὶ Τυρεγετῶν καὶ τοῦ ποταμοῦ τοῦ Βορυσθένους, καὶ ὅσα μεταξὺ τούτου καὶ Τανάιδος καὶ τοῦ στόματος τῆς Μαιώτιδος εἰς τε τὴν μεσόγαιαν ἀνατείνει μέχρι τοῦ ὠκεανοῦ καὶ τῇ Ποντικῇ κλύζεται θαλάττῃ... λέγομεν δὲ πρῶτον περὶ τῶν ἐκτὸς τοῦ Ἴστρου· πολὺ γὰρ ἁπλούστερα τῶν ἐπὶ θάτερα μερῶν ἐστιν.

1 сѣверу отъ Истра лежатъ страны за Рейномъ и Кельтикой, гдѣ живутъ племена Галатскія и Германскія до Бастарновъ, Тирегетовъ и рѣки Борисѳена, затѣмъ все пространство между этой рѣкой, Танаидомъ и устьемъ Мэотиды, которое простирается внутрь материка до Океана и омывается Понтійскимъ моремъ... Сначала мы скажемъ о странахъ по ту сторону Истра, потому что *ихъ описаніе* гораздо проще *описанія* странъ по сю сторону.

21. Мнѣніе Посидонія о происхожденіи названія Боспора Киммерійскаго.

Lib. VII cap. 2 § 2 (p. 293 C.)

...Ποσειδώνιος... οὐ κακῶς εἰκάζει, διότι λῃστρικοὶ ὄντες καὶ πλάνητες οἱ Κίμβροι καὶ μέχρι τῶν περὶ τὴν Μαιῶτιν ποιήσαντο στρατείαν, ἀπ' ἐκείνων δὲ καὶ ὁ Κιμμέριος κληθείη βόσπορος, οἷον Κιμβρικός, Κιμμερίους τοὺς Κίμβρους ὀνομασάντων τῶν Ἑλλήνων...

1 ... Посидоній ... недурно предполагаетъ, что Кимвры, будучи разбойниками и кочевниками, совершали походы даже до *мѣстностей* по Мэотидѣ и что отъ нихъ-то получилъ названіе и Киммерійскій Боспоръ, *т. е.* какъ бы Кимврійскій, ибо Эллины называли Кимвровъ Киммерійцами...

22. Неизвѣстность сѣверныхъ странъ Европы.

Lib. VII cap. 2 § 4 (p. 294 C.).

Τῶν δὲ Γερμανῶν, ὡς εἶπον, οἱ μὲν πρόσαρκτιοι παρήκουσι τῷ ὠκεανῷ. γνωρίζονται δ' ἀπὸ τῶν ἐκβολῶν τοῦ Ῥήνου λαβόντες τὴν ἀρχὴν μέχρι τοῦ Ἄλβιος. τούτων δ' εἰσὶ γνωριμώτατοι Σούγαμβροί τε καὶ Κίμβροι. τὰ δὲ πέραν τοῦ Ἄλβιος τὰ πρὸς τῷ ὠκεανῷ παντάπασιν ἄγνωστα ἡμῖν ἐστιν. οὔτε γὰρ τῶν προτέρων οὐδένα ἴσμεν τὸν παράπλουν τοῦτον πεποιημένον πρὸς τὰ ἑωθινὰ μέρη τὰ μέχρι τοῦ στόματος τῆς Κασπίας θαλάττης, οὔθ' οἱ Ῥωμαῖοί πω προῆλθον εἰς τὰ περαιτέρω τοῦ Ἄλβιος· ὡς δ' αὕτως οὐδὲ πεζῇ παρωδεύκασιν οὐδένες. ἀλλ' ὅτι μὲν κατὰ μῆκος ἰοῦσιν ἐπὶ τὴν ἕω τὰ κατὰ τὸν Βορυσθένη καὶ τὰ πρὸς Βορρᾶν *μέρη* τοῦ Πόντου χωρία ἁπαντᾷ, δῆλον ἐκ τῶν κλιμάτων καὶ τῶν παραλλήλων διαστημάτων. τί δ' ἐστὶ πέραν τῆς Γερμανίας καὶ τί τῶν ἄλλων τῶν ἐξῆς, εἴτε Βαστάρνας χρὴ λέγειν, ὡς οἱ πλείους ὑπονοοῦσιν, εἴτ' ἄλλους μεταξὺ ἢ Ἰάζυγας

1 Изъ Германцевъ, какъ я сказалъ, сѣверные живутъ вдоль океана. Извѣстны они начиная отъ устьевъ Рейна до Альвія (Эльбы); наиболѣе извѣстные изъ нихъ — Сугамвры и Кимвры; *страны* же за Альвіемъ у океана совершенно намъ невѣдомы. Мы не знаемъ никого, кто бы ранѣе совершилъ плаваніе вдоль *этихъ береговъ* къ восточнымъ странамъ, *простирающимся* до устья Каспійскаго моря, а *также* и Римляне еще не заходили въ страны по ту сторону Альвія; равнымъ образомъ и сухимъ путемъ никто *туда* не путешествовалъ. Но что, если идти по длинѣ къ востоку, то встрѣтятся мѣстности по Борисѳену и къ сѣверу отъ Понта, — это явствуетъ изъ климатовъ и параллельныхъ разстояній. Что же находится за Германіей и что за другими *странами*, къ ней прилежащими, — нужно ли принять Бастарновъ, какъ предполагаетъ большинство, или

22, v. 16: «μέρη eiecit Cor. ex sent. Cas., quod quidem una cum χωρία ferri nullo modo potest; atque hoc si abesset, parum commode illud positum esset ante τοῦ Πόντου. Post Βορυσθένη inserendum esse fortasse μέρη suspicatur Grosk.» Kramer.

Digitized by Google

ἢ Ῥωξολανοὺς ἤ τινας ἄλλους τῶν Ἀμαξοίκων, οὐ ῥᾴδιον εἰπεῖν· οὐδ' εἰ μέχρι τοῦ ὠκεανοῦ παρήκουσι παρὰ πᾶν τὸ μῆκος, ἢ ἔστι τι ἀοίκητον ὑπὸ ψύχους ἢ ἄλλης αἰτίας, ἢ εἰ καὶ γένος ἀνθρώπων ἄλλο διαδέχεται μεταξὺ τῆς θαλάττης καὶ τῶν ἑῴων Γερμανῶν ἱδρυμένον, τοῦτο δὲ τὸ αὐτὸ ἀγνόημα καὶ περὶ τῶν ἄλλων τῶν ἑφεξῆς προσαρκτίων † ἔλεγεν. οὔτε γὰρ τοὺς Βαστάρνας οὔτε τοὺς Σαυρομάτας καὶ ἁπλῶς τοὺς ὑπὲρ τοῦ Πόντου οἰκοῦντας ἴσμεν, οὐδ' ὁπόσον ἀπέχουσι τῆς Ἀτλαντικῆς θαλάττης, οὔτ' εἰ συνάπτουσιν αὐτῇ.

другіе *народы* между *ними* и *Германцами*, или Язиговъ, или Роксолановъ, или какихъ либо другихъ *изъ числа* живущихъ въ повозкахъ, — это сказать не легко; *трудно также сказать*, простираются ли они до океана по всей длинѣ, или есть *тамъ* какая либо *страна*, необитаемая вслѣдствіе холода или по другой причинѣ, или слѣдуетъ другое племя, живущее между моремъ и восточными Германцами. Точно такая же неизвѣстность господствуетъ и относительно прочихъ сѣверныхъ странъ, лежащихъ далѣе: ибо мы не знаемъ ни Бастарновъ, ни Савроматовъ и вообще *никого* изъ живущихъ выше Понта; *не знаемъ* ни *того*, на сколько они удалены отъ Атлантическаго моря, ни соприкасаются-ли они съ нимъ.

23. Описаніе земли Гетовъ и Европейской Скиѳіи.

Lib. VII c. 3 (pp. 295—308 *C.*).

Переводъ С. В. Мирошникова.

1. Τὸ δὲ νότιον μέρος τῆς Γερμανίας τὸ πέραν τοῦ Ἄλβιος τὸ μὲν συνεχὲς ἀκμὴν ὑπὸ τῶν Σοήβων κατέχεται· εἶτ' εὐθὺς ἡ τῶν Γετῶν συνάπτει γῇ, κατ' ἀρχὰς μὲν στενή, παρατεταμένη τῷ Ἴστρῳ κατὰ τὸ νότιον μέρος, κατὰ δὲ τοὐναντίον τῇ παρῳρείᾳ τοῦ Ἑρκυνίου δρυμοῦ, μέρος τι τῶν ὀρῶν καὶ αὐτὴ κατέχουσα, εἶτα πλατύνεται πρὸς τὰς ἄρκτους μέχρι Τυρεγετῶν· τοὺς δὲ ἀκριβεῖς ὅρους οὐκ ἔχομεν φράζειν...

2. Οἱ τοίνυν Ἕλληνες τοὺς *τε* Γέτας Θρᾷκας ὑπελάμβανον· ᾤκουν δ' ἐφ' ἑκάτερα τοῦ Ἴστρου καὶ οὗτοι καὶ οἱ Μυσοί, Θρᾷκες ὄντες καὶ αὐτοί, καὶ οὓς νῦν Μοισοὺς καλοῦσιν· ἀφ' ὧν ὡρμήθησαν καὶ οἱ νῦν μεταξὺ Λυδῶν καὶ Φρυγῶν καὶ Τρώων οἰκοῦντες Μυσοί... καὶ Ὅμηρον [δὲ] ὀρθῶς εἰκάζειν μοι δοκεῖ Ποσειδώνιος *δὲ* τοὺς ἐν τῇ Εὐρώπῃ Μυσοὺς κατονομάζειν (λέγω δὲ τοὺς ἐν τῇ Θράκῃ), ὅταν φῇ·

αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ,
νόσφιν ἐφ' ἱπποπόλων Θρηκῶν καθορώμενος αἶαν
Μυσῶν τ' ἀγχεμάχων.

1. Южная часть Германіи по ту сторону *рѣки* Альвія, непосредственно къ ней примыкающая, занята Свевами; затѣмъ тотчасъ слѣдуетъ земля Гетовъ, сначала узкая, тянущаяся южной стороной вдоль Истра, а противоположной — вдоль предгорьевъ Еркинскаго лѣса, занимая *отчасти* и часть самыхъ горъ, затѣмъ расширяется къ сѣверу до Тирегетовъ; точныя границы ея мы указать не можемъ...

2. Еллины считали Гетовъ ѳракійскимъ *народомъ*; они жили по обѣимъ сторонамъ Истра, равно какъ и Мисійцы, тоже *народъ* ѳракійскаго происхожденія, который нынѣ называютъ Месійцами; отъ нихъ произошли и тѣ Мисійцы, которые нынѣ живутъ между Лидіей, Фригіей и Троадой... Мнѣ кажется, Посидоній вѣрно предполагаетъ, что Омиръ разумѣетъ европейскихъ Мисійцевъ (т. е. *живущихъ* во Ѳракіи), когда говоритъ: «самъ же [Зевсъ] назадъ обратилъ блестящія очи, взирая вдаль на землю конеборныхъ Ѳракійцевъ и сражающихся въ рукопашную Мисійцевъ» [1]).

22, v. 8: «ἔλεγεν quod manifesto corruptum est, multis coniecturis tentarunt vv. dd... crediderim potius Strabonem scripsisse ἐπέχει, quo sensu certe est aptissimum (cf. Demosth. de cor. § 253 Bekk.), nec multum abest a codd. scriptura». Kramer. || 23, v. 9: τυρεγετῶν codd., Τυριγετῶν edd. || V. 12: τε om. edd. || V. 19: «δὲ om. codd.: addere tamen solet Strabo in talibus ac nescio an hinc traiectum sit, quod post Ποσειδώνιος male inserunt codd.». Kramer.

1) Ом. Ил. XIII, 3 сл.

Digitized by Google

ἐπεὶ εἴ γε τοὺς κατὰ τὴν Ἀσίαν Μυσοὺς δέχοιτό τις, ἀπηρτημένος ἂν εἴη ὁ λόγος. τὸ γὰρ ἀπὸ τῶν Τρώων τρέψαντα τὴν ὄρασιν ἐπὶ τὴν Θρᾳκῶν γῆν συγκαταλέγειν ταύτῃ τὴν τῶν Μυσῶν, τῶν οὐ νόσφιν ὄντων, ἀλλ' ὁμόρων τῇ Τρωάδι καὶ ὄπισθεν αὐτῆς ἱδρυμένων καὶ ἑκατέρωθεν, διειργομένων δ' ἀπὸ τῆς Θρᾴκης πλατεῖ Ἑλλησπόντῳ, συγχέοντος ἂν εἴη τὰς ἠπείρους καὶ ἅμα τῆς φράσεως οὐκ ἀκούοντος. τὸ γὰρ πάλιν τρέπειν μάλιστα μέν ἐστιν εἰς τοὐπίσω· ὁ δ' ἀπὸ τῶν Τρώων μεταφέρων τὴν ὄψιν ἐπὶ τοὺς † μὴ ὄπισθεν αὐτῶν ἢ ἐκ πλαγίων ὄντας προσωτέρω μὲν μεταφέρει, εἰς τοὐπίσω δ' οὐ πάνυ. καὶ τὸ ἐπιφερόμενον δ' αὐτοῦ τούτου μαρτύριον, ὅτι τοὺς Ἱππημολγοὺς καὶ Γαλακτοφάγους καὶ Ἀβίους συνῆψεν αὐτοῖς, οἵπερ εἰσὶν οἱ ἀμάξοικοι Σκύθαι καὶ Σαρμάται. καὶ γὰρ νῦν ἀναμέμικται ταῦτα τὰ ἔθνη τοῖς Θρᾳξὶ καὶ τὰ Βασταρνικά, μᾶλλον μὲν τοῖς ἐκτὸς Ἴστρου, ἀλλὰ καὶ τοῖς ἐντός...

3. Λέγει δὲ τοὺς Μυσοὺς ὁ Ποσειδώνιος καὶ ἐμψύχων ἀπέχεσθαι κατ' εὐσέβειαν, διὰ δὲ τοῦτο καὶ θρεμμάτων· μέλιτι δὲ χρῆσθαι καὶ γάλακτι καὶ τυρῷ ζῶντας καθ' ἡσυχίαν, διὰ δὲ τοῦτο καλεῖσθαι θεοσεβεῖς τε καὶ καπνοβάτας· εἶναι δέ τινας τῶν Θρᾳκῶν, οἳ χωρὶς γυναικῶν ζῶσιν, οὓς Κτίστας καλεῖσθαι, ἀνιερῶσθαί τε διὰ τιμὴν καὶ μετὰ ἀδείας ζῆν· τούτους δὴ συλλήβδην ἅπαντας τὸν ποιητὴν εἰπεῖν ἀγαυοὺς Ἱππημολγούς, γλακτοφάγους ἀβίους τε, δικαιοτάτους ἀνθρώπους. ἀβίους δὲ προσαγορεύειν μάλιστα, ὅτι χωρὶς γυναικῶν, ἡγούμενον ἡμιτελῆ τινα βίον τὸν χῆρον...

4. ...τοὺς ἀβίους δὲ τοὺς χήρους [οὐ] μᾶλλον ἢ τοὺς ἀνεστίους καὶ τοὺς ἄμαζοίκους δέξαιτ' ἄν τις· μάλιστα γὰρ περὶ τὰ συμβόλαια καὶ τὴν τῶν χρημάτων ἐκ-

Вѣдь если бы понимать здѣсь *тылъ* Мисійцевъ, что въ Азіи, то рѣчь *поэта* была бы безсмыслена. Въ самомъ дѣлѣ, отвративъ взоры отъ Троянцевъ къ землѣ Ѳракійцевъ, ставить рядомъ съ этою *послѣднею* землю Мисійцевъ, жившихъ не вдали, а рядомъ съ Троадою и примыкавшихъ къ ней сзади и съ обѣихъ *боковыхъ* сторонъ, а отъ Ѳракіи отдѣлявшихся широкимъ Геллеспонтомъ, — это значило бы смѣшивать части свѣта и вмѣстѣ съ тѣмъ не понимать *значенія* словъ. Выраженіе «назадъ обратилъ» обыкновенно значитъ — въ тылъ; *между тѣмъ* тотъ, кто переноситъ взоры отъ Троянцевъ на живущихъ за ними или съ боковъ,—переноситъ ихъ далѣе, впередъ, а вовсе не въ тылъ. Слѣдующія *слова поэта также* служатъ доказательствомъ того же самаго, потому что онъ соединилъ съ Мисійцами Доителей кобылицъ, Млекоѣдовъ и Авіевъ, которые суть *не иной кто, какъ* живущіе въ кибиткахъ Скиѳы и Сарматы. Вѣдь и нынѣ эти народы и *племена* Бастарновъ живутъ смѣшанно съ Ѳракійцами, главнымъ образомъ по ту сторону Истра, но *отчасти* и по сю сторону...

3. Посидоній говоритъ, что Мисійцы изъ благочестія воздерживаются отъ *употребленія въ пищу* одушевленныхъ *существъ*, а поэтому и скота; что питаются они медомъ, молокомъ и сыромъ, ведя мирную жизнь, почему и называются «богопочитателями» и «воскурителями»; что есть между Ѳракійцами и нѣкоторые *такіе*, которые живутъ безъ женщинъ; они называются-де «Основателями», изъ уваженія *къ нимъ* признаны священными и живутъ безбоязненно; что всѣхъ ихъ вмѣстѣ поэтъ назвалъ «дивными Доителями кобылицъ, Млекоѣдами и Авіями, справедливѣйшими людьми». Авіями-де онъ называетъ ихъ главнымъ образомъ потому, что *они живутъ* безъ женщинъ, признавая холостую жизнь какъ бы половинною *настоящей*...

4. ...«Авіевъ» не столько можно принять за холостыхъ, сколько за бездомныхъ и живущихъ въ кибиткахъ. Вѣдь въ виду того, что несправедливости возникаютъ

V. 13: «μὴ falsum esse et ipsius sententiae connexus et quae praecedunt satis ostendunt: videtur scriptum fuisse ἤ.» Kr. Recte se habere μὴ illud putat Meinekius. || V. 46: «οὐ om. codd. Tzsch. add. ex coni. Cas. Quod cur omissum sit apparet». Kr.

Digitized by Google

τἰμησιν συνισταμένων τῶν ἀδικημάτων, τοὺς οὕτως ἀπ' ὀλίγων εὐτελῶς ζῶντας δικαιοτάτους εὔλογον κληθῆναι'...

6. Τοιαῦτα μὲν οὖν [οὐ] κακῶς ἄν τις διαπορήσι περὶ τῶν κειμένων παρὰ τῷ ποιητῇ, περί τε Μυσῶν καὶ ἀγαυῶν Ἱππημολγῶν· ἃ δ' Ἀπολλόδωρος ἐν τῷ δευτέρῳ Περὶ νεῶν προοιμιαζόμενος εἴρηκεν, ἥκιστα λέγοιτ' ἄν. ἐπαινεῖ γὰρ Ἐρατοσθένους ἀπόφασιν, ὅτι φησὶν ἐκεῖνος καὶ Ὅμηρον καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς τὰ μὲν Ἑλληνικὰ εἰδέναι, τῶν δὲ πόρρω πολλὴν ἔχειν ἀπειρίαν, ἀπείρους μὲν μακρῶν ὁδῶν ὄντας, ἀπείρους δὲ τοῦ ναυτίλλεσθαι. συνηγορῶν δὲ τούτοις Ὁμηρόν φησι τὴν μὲν Αὐλίδα καλεῖν πετρήεσσαν, ὥσπερ καὶ ἔστι, πολύκνημον δὲ τὸν Ἑτεωνόν, πολυτρήρωνα δὲ τὴν Θίσβην, ποιήεντα δὲ τὸν Ἁλίαρτον· τὰ δ' ἄποθεν οὔτ' αὐτὸν εἰδέναι οὔτε τοὺς ἄλλους ποταμῶν γοῦν περὶ τετταράκοντα ῥεόντων εἰς τὸν Πόντον, μηδὲ τῶν ἐνδοξοτάτων μηδενὸς μεμνῆσθαι, οἷον Ἴστρου, Τανάϊδος, Βορυσθένους, Ὑπάνιος, Φάσιδος, Θερμώδοντος, Ἅλυος· ἔτι δὲ Σκυθῶν μὲν μὴ μεμνῆσθαι, πλάττειν δὲ ἀγαυούς τινας Ἱππημολγοὺς καὶ Γαλακτοφάγους Ἀβίους τε. Παφλαγόνας τε τοὺς ἐν τῇ μεσογαίᾳ ἱστορεῖναι παρὰ τῶν πεζῇ τοῖς τόποις πλησιασάντων, τὴν παραλίαν δὲ ἀγνοεῖν· καὶ εἰκότως γε. ἅπλουν γὰρ εἶναι τότε τὴν θάλατταν ταύτην, καὶ καλεῖσθαι Ἄξενον διὰ τὸ δυσχείμερον καὶ τὴν ἀγριότητα τῶν περιοικούντων ἐθνῶν, καὶ μάλιστα τῶν Σκυθαῶν, ξενοθυτούντων καὶ σαρκοφαγούντων καὶ τοῖς κρανίοις ἐκπώμασι χρωμένων· ὕστερον δ' Εὔξεινον κεκλῆσθαι, τῶν Ἰώνων ἐν τῇ παραλίᾳ πόλεις κτισάντων... ἀπὸ δὲ τούτων ἐπὶ τοὺς συγγραφέας βαδίζει Ῥιπαῖα ὄρη λέγοντας... παρ' Ἑκαταίῳ δὲ Κιμμερίδα πόλιν...

главнымъ образомъ при *торговыхъ* сдѣлкахъ и пріобрѣтеніи денегъ, правильно назвать «справедливѣйшими» людей, ведущихъ простую жизнь при столь ограниченныхъ потребностяхъ. . . [1]).

6. Такого рода сомнѣнія о томъ, что говорится у поэта о Мисійцахъ и дивныхъ Дойтеляхъ кобылицъ, легко могутъ быть оправданы; но съ тѣмъ, что Аполлодоръ говоритъ въ предисловіи ко 2-й *книгѣ* «О корабляхъ», никакъ нельзя согласиться. Онъ одобряетъ мнѣніе Ератосѳена, что какъ Омиръ, такъ и другіе древніе *писатели* знали еллинскій міръ, а относительно отдаленныхъ *странъ* обнаружили большое невѣжество, будучи неопытны въ далекихъ путешествіяхъ и въ плаваніи. Подтверждая это, *Аполлодоръ* говоритъ, что Омиръ Авлиду называетъ «скалистой», какова она и на самомъ дѣлѣ, Етеонъ — «многохолмнымъ», Ѳисву — «богатою голубями», Аліартъ — «богатымъ травою»; но отдаленныхъ *странъ* не знаетъ-де ни Омиръ, ни другіе. Такъ напр., хотя въ Понтъ течетъ около 40 рѣкъ, онъ не упоминаетъ ни объ одной даже изъ наиболѣе извѣстныхъ, каковы Истръ, Танаидъ, Борисѳенъ, Ипанидъ, Фасидъ, Ѳермодонтъ, Алій; о Скиѳахъ также не упоминаетъ, а выдумываетъ какихъ-то дивныхъ Дойтелей кобылицъ, Млекоѣдовъ и Авіевъ. О Пафлагонцахъ, *живущихъ* внутри материка, онъ узналъ отъ тѣхъ, которые сухимъ путемъ приближались къ этимъ мѣстамъ, а морскаго *ихъ* берега не знаетъ, и это вполнѣ естественно, ибо въ тѣ времена это море было недоступно для плаванія и называлось Негостепріимнымъ по причинѣ бурь и дикости жившихъ вокругъ *его* племенъ, въ особенности скиѳскихъ, приносившихъ чужеземцевъ въ жертву, питавшихся *человѣческимъ* мясомъ и употреблявшихъ черепа вмѣсто чашъ; впослѣдствіи же оно названо было Гостепріимнымъ, когда Іонійцы основали города на *его* побережьѣ,. . . Отсюда *Аполлодоръ* переходитъ къ писателямъ, говорящимъ о Рипэйскихъ горахъ,. . . къ городу Киммеридѣ у Екатея. . .

V. 1: «ἐκτίμησιν corruptum esse vidit Cas., sed parum feliciter coniecit ἔκτισιν; melius est quod scripsit Cor. ἔγκτησιν, nec tamen verum. Scriptum fuit, ni fallor, ἐπίκτησιν, quo ipsi ducunt litterarum ductus, quodque ita plane usurpatum vid. ap. Aristot. H. A. 3, 20». Kr. — κτῆσιν Meineke. ‖ V. 6: οὐ om. codd., add. Cor.

1) Далѣе слѣдуетъ опроверженіе свидѣтельства Посидонія, что Ѳракійцы и въ частности Реты жили безъ женщинъ.

Digitized by Google

7. Νυνὶ δὲ περὶ Θρᾳκῶν ἐλέγομεν,
Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,
Γλακτοφάγων Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων,

βουλόμενοι συγκρῖναι τά τε ὑφ' ἡμῶν καὶ τὰ ὑπὸ Ποσειδωνίου λεχθέντα καὶ τὰ ὑπὸ τούτων· πρότερον δ' ὅτι τὴν ἐπιχείρησιν ὑπεναντίαν τοῖς προτεθεῖσι πεποίηνται. προὔθεντο μὲν γὰρ διδάξαι, διότι τῶν πόρρω τῆς Ἑλλάδος πλείων ἦν ἄγνοια τοῖς πρεσβυτέροις ἢ τοῖς νεωτέροις· ἔδειξαν δὲ τἀναντία, καὶ οὐ [κατὰ] τὰ πόρρω μόνον, ἀλλὰ καὶ τὰ ἐν αὐτῇ τῇ Ἑλλάδι. ἀλλ', ὡς ἔφην, τὰ ἄλλα μὲν ὑπερκείσθω, τὰ δὲ νῦν σκοπῶμεν. Σκυθῶν μὲν γὰρ [μὴ] μεμνῆσθαι κατ' ἄγνοιάν φασι, μηδὲ τῆς περὶ τοὺς ξένους ὠμότητος αὐτῶν, καταθυόντων καὶ σαρκοφαγούντων καὶ τοῖς κρανίοις ἐκπώμασι χρωμένων, δι' οὓς Ἄξενος ὠνομάζετο ὁ πόντος, πλάττειν δ' ἀγαυούς τινας Ἱππημολγούς, Γαλακτοφάγους Ἀβίους τε, δικαιοτάτους ἀνθρώπους, τοὺς οὐδαμοῦ γῆς ὄντας. πῶς οὖν Ἄξενον ὠνόμαζον, εἰ μὴ ᾔδεισαν τὴν ἀγριότητα, μηδ' αὐτοὺς τοὺς μάλιστα τοιούτους; οὗτοι δ' εἰσὶ δήπου οἱ Σκύθαι. πρότερον δ' οὐδ' Ἱππημολγοὶ ἦσαν οἱ ἐπέκεινα τῶν Μυσῶν καὶ Θρᾳκῶν καὶ Γετῶν, οὐδὲ Γαλακτοφάγοι καὶ Ἄβιοι; ἀλλὰ καὶ νῦν εἰσιν Ἀμάξοικοι καὶ Νομάδες καλούμενοι, ζῶντες ἀπὸ θρεμμάτων καὶ γάλακτος καὶ τυροῦ, καὶ μάλιστα ἱππείου, θησαυρισμὸν δ' οὐκ εἰδότες οὐδὲ καπηλείαν, πλὴν ἢ φόρτον ἀντὶ φόρτου. πῶς οὖν ἠγνόει τοὺς Σκύθας ὁ ποιητής, Ἱππημολγοὺς καὶ Γαλακτοφάγους τινὰς προσαγορεύων; ὅτι γὰρ οἱ τότε τούτους Ἱππημολγοὺς ἐκάλουν, καὶ Ἡσίοδος μάρτυς ἐν τοῖς ὑπ' Ἐρατοσθένους παρατεθεῖσιν ἔπεσιν·

Αἰθιοπάς τε Λίγυς τε ἰδὲ Σκύθας ἱππημολγούς.

τί δὲ θαυμαστόν, εἰ διὰ τὸ πλεονάζειν παρ' ἡμῖν τὴν περὶ τὰ συμβόλαια ἀδικίαν, δικαιοτάτους εἶπεν ἀγαυοὺς τοὺς ἥκιστα ἐν τοῖς συμβολαίοις καὶ τῷ ἀργυρισμῷ ζῶντας, ἀλλὰ καὶ κοινὰ κεκτημένους πάντα πλὴν ξίφους καὶ ποτηρίου, ἐν δὲ τοῖς πρῶτον τὰς γυναῖκας Πλατωνικῶς ἔχοντας κοινὰς καὶ τέκνα. καὶ Αἰσχύλος δ' ἐμφαίνει συνηγορῶν τῷ ποιητῇ, φήσας περὶ τῶν Σκυθῶν,

7. До сихъ поръ мы говорили о Θракійцахъ и «Мисійцахъ, бойцахъ рукопашныхъ и дивныхъ Доителяхъ кобылицъ, Млекоѣдахъ и Авіяхъ, справедливѣйшихъ смертныхъ», желая сравнить наше описаніе съ извѣстіями Посидонія, *Аполлодора* и *Ератосѳена*. Вопервыхъ, они составили разсужденіе противоположное тому, что они хотѣли доказать. Они поставили себѣ задачею доказать, что древнѣйшіе *авторы* знали меньше о томъ, что находится далеко *за предѣлами* Елады, чѣмъ позднѣйшіе; но доказали какъ разъ противоположное, и притомъ не только относительно отдаленныхъ странъ, но и относительно самой Елады. Впрочемъ, какъ я уже сказалъ, оставимъ *пока* остальное, а разсмотримъ *только занимающій насъ* теперь *вопросъ*. *Омиръ*, говорятъ они, по незнанію не упоминаетъ о Скиѳахъ и ихъ жестокости къ иностранцамъ, которыхъ они приносили въ жертву, мясо съѣдали, а черепа употребляли вмѣсто чашъ, почему и Понтъ назывался Негостепріимнымъ, а напротивъ-де онъ выдумываетъ какихъ-то дивныхъ Доителей кобылицъ, Млекоѣдовъ и Авіевъ, справедливѣйшихъ смертныхъ, нигдѣ не существующихъ на землѣ. Но какимъ-же образомъ *древніе* называли Понтъ Негостепріимнымъ, если не знали *этой* дикости и самихъ *людей*, наиболѣе ею отличавшихся? А это, конечно, Скиѳы. Раньше за Мисійцами, Θракійцами и Гетами не жили ни Доители кобылицъ, ни Млекоѣды и Авіи? Да вѣдь и нынѣ существуютъ такъ называемые Амаксики и Номады, которые питаются домашнимъ скотомъ, молокомъ и сыромъ, особенно кобыльимъ, не имѣя и понятія о запасахъ и мелочной торговлѣ, за исключеніемъ обмѣна товара на товаръ. Какъ же поэтъ не зналъ Скиѳовъ, когда онъ упоминаетъ о какихъ-то Доителяхъ кобылицъ и Млекоѣдахъ? А что въ тѣ времена ихъ называли «Доителями кобылицъ»—*объ этомъ* свидѣтельствуетъ и Исіодъ въ приведенныхъ Ератосѳеномъ стихахъ: «[Опъ видѣлъ] Эѳіоповъ, Лигіевъ и Скиѳовъ, доителей кобылицъ».

Далѣе, что же удивительнаго, если, имѣя въ виду, что у насъ нерѣдко бываютъ несправедливости въ торговыхъ договорахъ,

---

V. 13: «κατὰ om. codd. edd. Addendum esse vidit Grosk.» Kr. || V. 44: «καὶ ante ἀγαυούς add. Cor., sed ne sic quidem magnopere placet h. l. id adiectivum: expectares potius ἀνθρώπους.» Kr., cuius coniecturam accepit Meinekius.

Digitized by Google

ἀλλ' ἱππάκης βρωτῆρες εὔνομοι Σκύθαι. αὕτη δ' ἡ ὑπόληψις καὶ νῦν ἔτι συμμένει παρὰ τοῖς Ἕλλησιν· ἁπλουστάτους τε γὰρ αὐτοὺς νομίζομεν καὶ ἥκιστα κακεντρεχεῖς, εὐτελεστέρους τε πολὺ ἡμῶν καὶ αὐταρκεστέρους· καίτοι ὅ γε καθ' ἡμᾶς βίος εἰς πάντας σχεδόν τι διατέτακε τὴν πρὸς τὸ χεῖρον μεταβολήν, τρυφὴν καὶ ἡδονὰς καὶ κακοτεχνίας εἰς πλεονεξίας μυρίας πρὸς ταῦτ' εἰσάγων. πολὺ οὖν τῆς τοιαύτης κακίας καὶ εἰς τοὺς βαρβάρους ἐμπέπτωκε τούς τε ἄλλους καὶ τοὺς Νομάδας. καὶ γὰρ θαλάττης ἁψάμενοι χείρους γεγόνασι, λῃστεύοντες καὶ ξενοκτονοῦντες, καὶ ἐπιπλεκόμενοι πολλοῖς μεταλαμβάνουσι τῆς ἐκείνων πολυτελείας καὶ καπηλείας· ἃ δοκεῖ μὲν εἰς ἡμερότητα συντείνειν, διαφθείρει δὲ τὰ ἤθη καὶ ποικιλίαν ἀντὶ τῆς ἁπλότητος τῆς ἄρτι λεχθείσης εἰσάγει.

8. Οἱ μέντοι πρὸ ἡμῶν, καὶ μάλιστα οἱ ἐγγὺς τοῖς Ὁμήρου χρόνοις, τοιοῦτοί τινες ἦσαν καὶ ὑπελαμβάνοντο παρὰ τοῖς Ἕλλησιν, ὁποίους Ὅμηρός φησιν. ὅρα δὲ ἃ λέγει Ἡρόδοτος περὶ τοῦ τῶν Σκυθῶν βασιλέως, ἐφ' ὃν ἐστράτευσε Δαρεῖος, καὶ τὰ ἐπεσταλμένα παρ' αὐτοῦ. ὅρα δὲ καὶ ἃ λέγει Χρύσιππος περὶ τῶν τοῦ Βοσπόρου βασιλέων τῶν περὶ Λεύκωνα. πλήρεις δὲ καὶ αἱ Περσικαὶ ἐπιστολαὶ τῆς ἁπλότητος, ἧς λέγω, καὶ τὰ ὑπὸ τῶν Αἰγυπτίων καὶ Βαβυλωνίων καὶ Ἰνδῶν ἀπομνημονευόμενα. διὰ τοῦτο δὲ καὶ ὁ Ἀνάχαρσις καὶ Ἄβαρις καὶ τινες ἄλλοι τοιοῦτοι παρὰ τοῖς Ἕλλησι εὐδοκίμουν, ὅτι ἐθνικόν τινα χαρακτῆρα ἐπέφαινον εὐκολίας καὶ λιτότητος καὶ δικαιοσύνης. καὶ τί δεῖ τοὺς πάλαι λέγειν; Ἀλέξανδρος γὰρ ὁ Φιλίππου κατὰ τὴν ἐπὶ Θρᾴκας

Омиръ называетъ справедливѣйшими и дивными мужами тѣхъ, которые совсѣмъ не занимаются торговыми дѣлами или составленіемъ капитала, но всѣмъ владѣютъ сообща, кромѣ мечей и чашъ для питья, и даже женъ и дѣтей считаютъ общими согласно съ ученіемъ Платона. Эсхилъ также явно согласенъ съ Омиромъ, говоря о Скиѳахъ: «но питающіеся кобыльимъ сыромъ и пользующіеся хорошими законами Скиѳы». Такое мнѣніе и теперь еще существуетъ у Эллиновъ. Дѣйствительно, мы ихъ считаемъ очень прямодушными, совсѣмъ безхитростными и гораздо болѣе насъ умѣренными и довольными своимъ положеніемъ. Надо сказать, что нашъ образъ жизни почти у всѣхъ произвелъ перемѣну къ худшему, внося роскошь, страсть къ удовольствіямъ и для *удовлетворенія* этихъ *страстей* множество безнравственныхъ средствъ къ обогащенію. Такая испорченность *нравовъ* въ значительной степени проникла и къ варварамъ, между прочими и къ Номадамъ. Послѣдніе со времени знакомства съ моремъ *сразу* сдѣлались хуже: стали разбойничать, убивать иностранцевъ и, вступая въ сношенія со многими *народами*, перенимаютъ отъ нихъ роскошь и торгашество; хотя это, повидимому, и способствуетъ смягченію *дикости*, однако портитъ нравы и на мѣсто простодушія, о которомъ мы только-что говорили, вводитъ коварство.

8. Но *Скиѳы* былыхъ временъ, преимущественно близкіе къ временамъ Омировскимъ, были и считались у Эллиновъ дѣйствительно такими, какими ихъ изображаетъ Омиръ. Посмотри, *напр.*, что говоритъ Иродотъ о *томъ* скиѳскомъ царѣ, на котораго пошелъ войною Дарій, и объ отвѣтѣ, даномъ имъ *Дарію*. Смотри также, что говоритъ Хрисиппъ о воспорскихъ царяхъ, именно о Левконѣ. Персидскія письма также исполнены той простоты, о которой я говорю, *а равно* и достопамятныя изреченія Эгиптянъ, Вавилонянъ и Индійцевъ. По этому-то и Анахарсисъ, Аварисъ и нѣкоторые другіе *Скиѳы*, имъ подобные, пользовались большой славой среди Эллиновъ, ибо они обнаруживали характерныя черты своего племени: любезность, простоту, справедливость. Да къ чему го-

1) IV, 127 (см. выше стр. 49).

Digitized by Google

τοὺς ὑπὲρ τοῦ Αἵμου στρατείαν ἐμβαλὼν εἰς Τριβαλλούς, ὁρῶν μέχρι τοῦ Ἴστρου καθήκοντας καὶ τῆς ἐν αὐτῷ νήσου Πεύκης, τὰ πέραν δὲ Γέτας ἔχοντας, ἀφῖχθαι λέγεται μέχρι δεῦρο, καὶ ἐς μὲν τὴν νῆσον ἀποβῆναι μὴ δύνασθαι σπάνει πλοίων· ἐκεῖσε γὰρ καταφυγόντα τὸν τῶν Τριβαλλῶν βασιλέα Σύρμον ἀντισχεῖν πρὸς τὴν ἐπιχείρησιν· εἰς δὲ τοὺς Γέτας διαβάντα ἑλεῖν αὐτῶν πόλιν καὶ ἀναστρέψαι διὰ ταχέων εἰς τὴν οἰκείαν, λαβόντα δῶρα [παρὰ] τῶν ἐθνῶν καὶ παρὰ τοῦ Σύρμου. φησὶ δὲ Πτολεμαῖος ὁ Λάγου κατὰ ταύτην τὴν στρατείαν συμμῖξαι τῷ Ἀλεξάνδρῳ Κελτοὺς τοὺς περὶ τὸν Ἀδρίαν φιλίας καὶ ξενίας χάριν, δεξάμενον δὲ αὐτοὺς φιλοφρόνως τὸν βασιλέα ἐρέσθαι παρὰ πότον, τί μάλιστα εἴη, ὃ φοβοῖντο, νομίζοντα αὐτὸν ἐρεῖν· αὐτοὺς δ' ἀποκρίνασθαι, ὅτι οὐδένα, πλὴν εἰ ἄρα μὴ ὁ οὐρανὸς αὐτοῖς ἐπιπέσοι, φιλίαν γε μὴν ἀνδρὸς τοιούτου περὶ παντὸς τίθεσθαι. ταῦτα δὲ ἁπλότητος τῆς τῶν βαρβάρων ἐστὶ σημεῖα, τοῦ τε μὴ συγχωρήσαντος μὲν τὴν ἀπόβασιν τὴν εἰς τὴν νῆσον, δῶρα δὲ πέμψαντος καὶ συνθεμένου φιλίαν, καὶ τῶν φοβεῖσθαι μὲν οὐδένα φαμένων, φιλίαν δὲ περὶ παντὸς τίθεσθαι μεγάλων ἀνδρῶν. ὅ τε Δρομιχαίτης κατὰ τοὺς διαδόχους ἦν τοὺς Ἀλεξάνδρου Γετῶν βασιλεύς· ἐκεῖνος τοίνυν λαβὼν ζωγρίᾳ Λυσίμαχον ἐπιστρατεύσαντα αὐτῷ, δείξας τὴν πενίαν τήν τε ἑαυτοῦ καὶ τοῦ ἔθνους, ὁμοίως δὲ καὶ τὴν αὐτάρκειαν, ἐκέλευσε τοῖς τοιούτοις μὴ πολεμεῖν, ἀλλὰ φίλοις χρῆσθαι· ταῦτα δ' εἰπών, ξενίσας καὶ συνθέμενος φιλίαν, ἀπέλυσεν αὐτόν. καὶ Πλάτων δὲ ἐν τῇ Πολιτείᾳ τὴν θάλατταν ὡς πονηροδιδάσκαλον φεύγειν οἴεται δεῖν ὅτι ῥῳστάτω τοὺς εὖ πολιτευσομένους καὶ μὴ οἰκεῖν ἐπ' αὐτῇ.

ворить о древнихъ? Александръ, сынъ Филиппа, во время похода на Ѳракійцевъ, обитавшихъ за Эмомъ, вторгнувшись въ *землю* Триваллювъ и увидѣвъ, что *ихъ область* простирается до Истра и до находящагося въ немъ острова Певки, а за рѣкой живутъ Геты, дошелъ, какъ говорятъ, до берега рѣки; вслѣдствіе недостатка въ судахъ онъ не могъ высадиться на островъ, тѣмъ болѣе, что туда бѣжалъ царь Триваллювъ Сирмъ и оказалъ сопротивленіе этому предпріятію; *тогда* Александръ, переправившись въ область Гетовъ, взялъ ихъ городъ и поспѣшно вернулся домой, получивъ дары отъ *этихъ* народовъ и отъ Сирма. Птолемей, сынъ Лага, разсказываетъ, что во время этого похода пришли къ Александру жившіе около Адрія Кельты, чтобы заключить съ нимъ дружественныя отношенія и гостепріимство. Царь, благосклонно принявъ ихъ, во время попойки спросилъ, чего они больше всего боятся, ожидая, что они назовутъ его; но они отвѣчали, что никого не боятся, кромѣ развѣ того, чтобы на нихъ не упало небо; дружбу же съ такимъ человѣкомъ *(какъ Александръ)* они ставятъ выше всего. Эти *факты* служатъ *достаточными* доказательствами простодушія варваровъ: Сирмъ не допустилъ *Александра* высадиться на островъ, а между тѣмъ послалъ *ему* дары и заключилъ дружбу; Кельты же сказали, что они никого не боятся, но дружбу съ великими людьми цѣнятъ выше всего. Далѣе, въ эпоху преемниковъ Александра царемъ Гетовъ былъ Дромихэтъ; онъ, взявъ въ плѣнъ Лисимаха, выступившаго противъ него, показалъ *ему* бѣдность свою и своего народа, а вмѣстѣ съ тѣмъ и довольство своимъ положеніемъ, и совѣтовалъ съ такими *людьми* не воевать, а дружить. Сказавъ это, онъ угостилъ его, заключилъ дружбу и даровалъ свободу. И Платонъ въ соч. «О государственномъ устройствѣ» полагаетъ, что тѣмъ, которые желаютъ имѣть благоустройство въ государствѣ, слѣдуетъ какъ можно дальше бѣжать отъ моря, какъ учителя *всякаго* зла, и не селиться возлѣ него.

V. 14: παρὰ om. codd., add. Cor. || V. 39: «Verba καὶ Πλάτων — ἐπ' αὐτῇ, ab hoc loco prorsus aliena, Grosk. transtulit ad finem § proximi superioris. Quin etiam suspicari possis non Strabonis haec esse, sed a docto quodam lectore, cui similia debentur multa, in margine adnotata in Straboniana irrepsisse. Nec leguntur in Republica, sed in IV de Legibus (p. 705).» Kr. — Mein. haec verba e textu eiecit.

Digitized by Google

9. Ἔφορος δ' ἐν τῇ τετάρτῃ μὲν τῆς ἱστορίας, Εὐρώπῃ δ' ἐπιγραφομένῃ βίβλῳ, περιοδεύσας τὴν Εὐρώπην μέχρι Σκυθῶν ἐπὶ τέλει φησὶν εἶναι τῶν τε ἄλλων Σκυθῶν καὶ τῶν Σαυροματῶν τοὺς βίους ἀνομοίους· τοὺς μὲν γὰρ εἶναι χαλεπούς, ὥστε καὶ ἀνθρωποφαγεῖν, τοὺς δὲ καὶ τῶν ἄλλων ζώων ἀπέχεσθαι. οἱ μὲν οὖν ἄλλοι, φησί, τὰ περὶ τῆς ὠμότητος αὐτῶν λέγουσιν, εἰδότες τὸ δεινόν τε καὶ τὸ θαυμαστὸν ἐκπληκτικὸν ὂν· δεῖν δὲ τἀναντία καὶ λέγειν καὶ παραδείγματα ποιεῖσθαι, καὶ αὐτὸς οὖν περὶ τῶν δικαιοτάτοις ἤθεσι χρωμένων ποιήσεσθαι τοὺς λόγους· εἶναι γάρ τινας τῶν Νομάδων Σκυθῶν γάλακτι τρεφομένους ἵππων, τῇ [τε] δικαιοσύνῃ πάντων διαφέρειν, μεμνῆσθαι δ' αὐτῶν τοὺς ποιητάς· Ὅμηρον μὲν

Γλακτοφάγων Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων,

φήσαντα τὴν γῆν καθορᾶν τὸν Δία, Ἡσίοδον [δὲ] ἐν τῇ καλουμένῃ Γῆς περιόδῳ, τὸν Φινέα ὑπὸ τῶν Ἁρπυιῶν ἄγεσθαι

Γλακτοφάγων εἰς γαῖαν, ἀπήναις οἰκί' ἐχόντων.

εἶτ' αἰτιολογεῖ, διότι ταῖς διαίταις εὐτελεῖς ὄντες καὶ οὐ χρηματισταὶ πρός τε ἀλλήλους εὐνομοῦνται, κοινὰ πάντα ἔχοντες τά τε ἄλλα καὶ τὰς γυναῖκας καὶ τέκνα καὶ τὴν ὅλην συγγένειαν, πρός τε τοὺς ἐκτὸς ἄμαχοί εἰσι καὶ ἀνίκητοι οὐδὲν ἔχοντες, ὑπὲρ οὗ δουλεύσουσι. καλεῖ δὲ καὶ Χοιρίλον, εἰπόντα ἐν τῇ διαβάσει τῆς σχεδίας, ἣν ἔζευξε Δαρεῖος·

μηλονόμοι τε Σάκαι, γενεᾷ Σκύθαι· αὐτὰρ ἔναιον
Ἀσίδα πυροφόρον· Νομάδων γε μὲν ἦσαν ἄποικοι,
ἀνθρώπων νομίμων.

καὶ τὸν Ἀναχάρσιν δὲ σοφὸν καλῶν ὁ Ἔφορος τούτου τοῦ γένους φησὶν εἶναι· νομισθῆναι δὲ καὶ ἑκτὰ σοφῶν ἕνα τελείᾳ σωφροσύνῃ καὶ συνέσει· εὑρέματά τε αὐτοῦ λέγει τά τε ζώπυρα καὶ τὴν ἀμφίβολον ἄγκυραν καὶ τὸν κεραμικὸν τροχόν. ταῦτα δὲ λέγω, σαφῶς μὲν εἰδώς, ὅτι καὶ οὗτος

9. Ефоръ въ четвертой книгѣ *своей* исторіи, носящей заглавіе: «Европа», дойдя въ своемъ разсмотрѣніи Европы до Скиѳовъ, въ концѣ говоритъ, что прочіе Скиѳы и Савроматы не одинаковы по образу жизни: ибо первые до того жестоки, что ѣдятъ человѣческое мясо, вторые, напротивъ, воздерживаются отъ употребленія въ пищу даже животныхъ. «Другіе *историки*», продолжаетъ онъ, «передаютъ сказанія *только* объ ихъ жестокости, зная, что ужасное и удивительное дѣйствуетъ потрясающимъ образомъ *на душу*, между тѣмъ какъ нужно указывать и выставлять въ видѣ образцовъ противоположныя ихъ качества». Поэтому и онъ-де самъ будетъ говорить о тѣхъ *Скиѳахъ*, которые отличаются наиболѣе благородными нравами. Есть-де между Скиѳами-номадами нѣкоторые *такіе*, что питаются кобыльимъ молокомъ и всѣхъ *другихъ* превосходятъ справедливостью; о нихъ упоминаютъ-де поэты: Омиръ, сказавшій, что Зевсъ созерцаетъ землю «Доителей кобылицъ и Авіевъ, справедливѣйшихъ людей», и Исіодъ въ поэмѣ подъ заглавіемъ «Окружность земли», представляющій Финея, уводимаго Арпіями «въ землю Млекоѣдовъ, имѣющихъ жилища на повозкахъ».

Далѣе *Ефоръ* объясняетъ причину этого факта тѣмъ, что они, ведя простой образъ жизни и не зная корыстолюбія, какъ во взаимныхъ отношеніяхъ руководствуются добрыми правилами, все имѣя общимъ, даже женъ, дѣтей и всѣхъ родственниковъ, такъ и для внѣшнихъ *враговъ* непобѣдимы и неодолимы, не имѣя ничего *такого*, изъ-за чего они могли бы подпасть подъ чуждое иго. Онъ ссылается и на Хирила, который *въ разсказѣ* о переходѣ черезъ мостъ, построенный Даріемъ изъ судовъ, говоритъ: «и пастухи овецъ Саки, родомъ Скиѳы; населяли они богатую пшеницей Асиду; были они, конечно, выходцами *изъ земли* Номадовъ, справедливыхъ людей». Далѣе Ефоръ относитъ къ этому племени и Анахарсиса, называя его мудрымъ: *по его словамъ* онъ былъ признанъ даже однимъ изъ семи мудрецовъ за необыкновенную воздержность и разумъ. Онъ называетъ его изобрѣте-

V. 22: δὲ om. codd., add. Kr.; δ' ἐν Meineke. || V. 35: de Choerili versibus v quae adnotavit Kramer.

Digitized by Google

αὐτὸς οὔτε ἀληθέστατα λέγει περὶ πάντων, καὶ δὴ καὶ τὸ τοῦ Ἀναχάρσιδος (πῶς γὰρ ὁ τροχὸς εὕρεμα αὐτοῦ, ὃν οἶδεν Ὅμηρος πρεσβύτερος ὤν;

ὡς δ' ὅτε τις κεραμεὺς τροχὸν ἅρμενον ἐν παλάμῃσι,

καὶ τὰ ἑξῆς)· ἀλλ' ἐκεῖνα διασημῆναι βουλόμενος, ὅτι κοινῇ τινι φήμῃ καὶ ὑπὸ τῶν παλαιῶν καὶ ὑπὸ τῶν ὕστερον πεπιστεῦσθαι συνέβαινε τὸ τῶν Νομάδων, τοὺς μάλιστα ἀπῳκισμένους ἀπὸ τῶν ἄλλων ἀνθρώπων γαλακτοφάγους τε εἶναι καὶ ἀβίους καὶ δικαιοτάτους, ἀλλ' οὐχ ὑπὸ Ὁμήρου πεπλάσθαι.

10. Περί τε τῶν Μυσῶν δίκαιός ἐστιν ὑποσχεῖν λόγον τῶν ἐν τοῖς ἔπεσι λεγομένων Ἀπολλόδωρος, πότερ' ἡγεῖται καὶ τούτους εἶναι πλάσματα, ὅταν φῇ ὁ ποιητής·

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,

ἢ τοὺς ἐν τῇ Ἀσίᾳ δέχεται; τοὺς μὲν οὖν ἐν τῇ Ἀσίᾳ δεχόμενος παρερμηνεύσει τὸν ποιητήν, ὡς προείρηται, πλάσμα [δὲ] λέγων, ὡς μὴ ὄντων ἐν τῇ Θρᾴκῃ Μυσῶν, παρὰ τὰ ὄντα [ἐρεῖ]. ἔτι γὰρ ἐφ' ἡμῶν ἡ γοῦν Αἴλιος Κάτος μετῴκισεν ἐκ τῆς περαίας τοῦ Ἴστρου πέντε μυριάδας σωμάτων παρὰ τῶν Γετῶν, ὁμογλώττου τοῖς Θρᾳξὶν ἔθνους, εἰς τὴν Θρᾴκην· καὶ νῦν οἰκοῦσιν αὐτόθι Μοισοὶ καλούμενοι, ἤτοι καὶ τῶν πρότερον οὕτω καλουμένων, ἐν δὲ τῇ Ἀσίᾳ Μυσῶν μετονομασθέντων, ἤ, ὅπερ οἰκειότερόν ἐστι τῇ ἱστορίᾳ καὶ τῇ ἀποφάσει τοῦ ποιητοῦ, τῶν ἐν τῇ Θρᾴκῃ Μυσῶν καλουμένων πρότερον. περὶ μὲν δὴ τούτων ἅλις· ἐπάνειμι δὲ ἐπὶ τὴν ἑξῆς περιήγησιν.

11. Τῶν δὴ Γετῶν τὰ μὲν παλαιὰ ἀφείσθω, τὰ δ' εἰς ἡμᾶς ἤδη τοιαῦτα ὑπῆρξε. Βοιρεβίστας, ἀνὴρ Γέτης, ἐπιστὰς ἐπὶ τὴν τοῦ ἔθνους ἐπιστασίαν, ἀνέλαβε

ніями горящій трутъ, двузубый якорь и гончарный кругъ. Я упоминаю объ этомъ, хотя отлично знаю, что и этотъ *писатель* не обо всемъ говоритъ вполнѣ вѣрно, въ томъ числѣ и объ изобрѣтеніяхъ Анахарсиса (въ самомъ дѣлѣ, какимъ образомъ гончарный кругъ можетъ быть его изобрѣтеніемъ, если о немъ знаетъ *уже* Омиръ, жившій раньше его: «подобно тому, какъ какой-нибудь гончаръ прилаженное въ рукахъ колесо» и такъ далѣе [1]). Я хотѣлъ только доказать, что по какому-то общему преданію какъ у древнихъ, такъ и у позднѣйшихъ *авторовъ* существовало такое убѣжденіе о Номадахъ, что наиболѣе отдаленные отъ другихъ народовъ питаются молокомъ, бѣдны и весьма справедливы, и что это, *стало быть*, не есть вымыселъ Омира.

10. Что касается до Мисійцевъ, то справедливо требовать у Аполлодора отчета о томъ, что говорится о нихъ въ поэмахъ *Омира*, *именно*, считаетъ ли онъ и ихъ за вымыселъ, если поэтъ говоритъ: «Мисійцевъ, борцовъ рукопашныхъ, и дивныхъ Доителей кобылицъ» [2]), или онъ принимаетъ ихъ за Мисійцевъ, *обитающихъ* въ Азіи. Если онъ принимаетъ ихъ за азіатскихъ Мисійцевъ, то невѣрно толкуетъ слова поэта, какъ уже сказано выше [3]); если же онъ считаетъ это вымысломъ на томъ основаніи, что Мисійцевъ во Ѳракіи не было, то онъ идетъ противъ истины: вѣдь еще въ наше время Элій Катъ переселилъ во Ѳракію 50000 человѣкъ съ того берега Истра изъ области Гетовъ, племени, говорящаго на одномъ языкѣ съ Ѳракійцами. *Эти переселенцы* и теперь живутъ здѣсь, называясь Месійцами или потому, что такъ назывались они и раньше, но въ Азіи переименованы были въ Мисійцевъ, или потому, что и во Ѳракіи прежде назывались Мисійцами, что болѣе согласуется съ свидѣтельствами исторіи и съ словами поэта. Но довольно объ этомъ; возвратимся къ дальнѣйшему изложенію.

11. Оставимъ *въ сторонѣ* древнѣйшую исторію Гетовъ; въ наше же время произошло слѣдующее. Гетъ Виревистъ, ставъ во главѣ своего племени, поправилъ состояніе

V. 2 ita scripsit Meineke: ... Ἀναχάρσιδος· πῶς γὰρ ὁ τροχὸς εὕρημα αὐτοῦ, ὃν οἶδεν Ὅμηρος πρεσβύτερος ὤν; ἀλλ' ἐκεῖνα κ. τ. λ., Homeri versu eiecto. || V. 30: δὲ et v. 32: ἐρεῖ om. codd., add. Cor. || V. 32: γοῦν om. *no* Pleth. Cor. Mein. et ferri non posse vidit Kr.

1) Ил. XVIII, 600. 2) Ил. XIII, 5. 3) VII, 3, 2 (см. выше стр. 109).

Digitized by Google

κεκακωμένους τοὺς ἀνθρώπους ὑπὸ συχνῶν πολέμων καὶ τοσοῦτον ἐπῆρεν ἀσκήσει καὶ νήψει καὶ τῷ προσέχειν τοῖς προστάγμασιν, ὥστ' ὀλίγων ἐτῶν μεγάλην ἀρχὴν κατεστήσατο, καὶ τῶν ὁμόρων τοὺς πλείστους ὑπέταξε τοῖς Γέταις· ἤδη δὲ καὶ Ῥωμαίοις φοβερὸς ἦν, διαβαίνων ἀδεῶς τὸν Ἴστρον καὶ τὴν Θρᾴκην λεηλατῶν μέχρι Μακεδονίας καὶ τῆς Ἰλλυρίδος, τούς τε Κελτοὺς τοὺς ἀναμεμιγμένους τοῖς τε Θραξὶ καὶ τοῖς Ἰλλυριοῖς ἐξεπόρθησε, Βοίους δὲ καὶ ἄρδην ἠφάνισε τοὺς ὑπὸ Κριτασίρῳ καὶ Ταυρίσκους. πρὸς δὲ τὴν εὐπείθειαν τοῦ ἔθνους συναγωνιστὴν ἔσχε Δεκαίνεον ἄνδρα γόητα, *καὶ* πεπλανημένον κατὰ τὴν Αἴγυπτον καὶ προσημασίας ἐκμεμαθηκότα τινάς, δι' ὧν ὑπεκρίνετο τὰ θεῖα· καὶ δι' ὀλίγου καθίστατο Θεός, καθάπερ ἔφαμεν περὶ τοῦ Ζαμόλξεως διηγούμενοι. τῆς δ' εὐπειθείας σημεῖον· ἐπείσθησαν γὰρ ἐκκόψαι τὴν ἄμπελον καὶ ζῆν οἴνου χωρίς. ὁ μὲν οὖν Βοιρεβίστας ἔφθη καταλυθεὶς ἐπαναστάντων αὐτῷ τινων, πρὶν ἢ Ῥωμαίους στεῖλαι στρατείαν ἐπ' αὐτόν· οἱ δὲ διαδεξάμενοι τὴν ἀρχὴν εἰς πλείω μέρη διέστησαν. καὶ δὴ καὶ νῦν, ἡνίκα ἔπεμψεν ἐπ' αὐτοὺς στρατείαν ὁ Σεβαστὸς Καῖσαρ, εἰς πέντε μερίδας, τότε δ' εἰς τέσσαρας διεστῶτες ἐτύγχανον· οἱ μὲν οὖν τοιοῦτοι μερισμοὶ πρόσκαιροι καὶ ἄλλοτ' ἄλλοι.

народа, пострадавшаго отъ частыхъ войнъ, и постоянными упражненіями, трезвостью и повиновеніемъ *своимъ* повелѣніямъ поднялъ его до такой высоты, что *въ теченіи* немногихъ лѣтъ образовалъ великое царство и подчинилъ *власти* Гетовъ большую часть сосѣднихъ *племенъ*. Онъ уже наводилъ страхъ и на Римлянъ, отважно переправляясь черезъ Истръ и опустошая Ѳракію до *предѣловъ* Македоніи и Иллиріи, разорилъ *область* Кельтовъ, смѣшавшихся съ Ѳракійцами и Иллирійцами, и совершенно уничтожилъ Боевъ, бывшихъ подъ *властью* Критасира, и Таврисковъ. Для удержанія народа въ повиновеніи онъ получилъ пособника *съ лицъ* волшебника Декэнея, который, скитаясь по Эгипту, научился нѣкоторымъ предзнаменованіямъ, посредствомъ которыхъ возвѣщалъ *якобы* волю боговъ; вскорѣ онъ сталъ считаться даже богомъ, какъ мы упомянули въ разсказѣ о Замолксисѣ [1]). Доказательствомъ повиновенія *Гетовъ служитъ* тотъ *фактъ*, что они согласились вырубить виноградныя лозы и жить безъ вина. Впрочемъ, Виревистъ былъ лишенъ власти нѣкоторыми возставшими на него *лицами* прежде, чѣмъ Римляне послали противъ него войско; преемники же его раздѣлили *страну* на нѣсколько частей; нынѣ, когда Августъ Кесарь послалъ противъ нихъ войско, Геты дѣлились на 5 частей, а тогда — на 4. Конечно такого рода дѣленія въ разное время бываютъ различны, смотря по обстоятельствамъ.

12. Γέγονε δὲ καὶ ἄλλος τῆς χώρας μερισμὸς συμμένων ἐκ παλαιοῦ· τοὺς μὲν γὰρ Δακοὺς προσαγορεύουσι, τοὺς δὲ Γέτας. Γέτας μὲν τοὺς πρὸς τὸν Πόντον κεκλιμένους καὶ πρὸς τὴν ἕω, Δακοὺς δὲ τοὺς εἰς τἀναντία πρὸς τὴν Γερμανίαν καὶ τὰς τοῦ Ἴστρου πηγάς, οὓς οἶμαι Δάους καλεῖσθαι τὸ παλαιόν· ἀφ' οὗ καὶ παρὰ τοῖς Ἀττικοῖς ἐπεπόλασε τὰ τῶν οἰκετῶν ὀνόματα Γέται καὶ Δάοι. τοῦτο γὰρ πιθανώτερον ἢ ἀπὸ τῶν Σκυθῶν, οὓς καλοῦσι Δάας· πόρρω γὰρ ἐκεῖνοι περὶ τὴν Ὑρκανίαν, καὶ οὐκ εἰκὸς ἐκεῖθεν κομίζεσθαι ἀνδράποδα εἰς τὴν Ἀττικήν... ἐπὶ τοσοῦτον [δ'] ὑπὸ τοῦ Βοιρεβίστα τὸ ἔθνος ἐξαρθὲν ἐταπεινώθη τελέως ὑπό τε τῶν στάσεων καὶ τῶν Ῥωμαίων·

12. Но существуетъ другое дѣленіе Гетской земли, остающееся съ древнихъ временъ: одну *часть этого племени* называютъ Даками, другую — Гетами. Гетами *называютъ* тѣхъ, которые живутъ у Понта въ восточной части страны, а Даками — тѣхъ, которые *живутъ* въ противоположной части, со стороны Германіи и истоковъ Истра. Я полагаю, что въ древнее время они назывались Даями; отъ того и у жителей Аттики были въ ходу имена рабовъ: Геты и Дан. Это болѣе вѣроятно, чѣмъ *производство послѣдняго имени* отъ Скиѳовъ, которыхъ называютъ Даями: ибо послѣдніе *живутъ* слишкомъ далеко *отъ Аттики* около Гирканіи, и мало вѣроятно,

V. 15: καὶ ast. inclusum a Cor. et Kr. omisit Mein.
1) VII, 3, 5.

Digitized by Google

ἱκανοὶ δ' ὅμως εἰσὶν ἔτι καὶ νῦν στέλλειν τέτταρας μυριάδας.

чтобы оттуда вывозились невольники въ Аттику... Племя *Гетовъ*, столь высоко поднятое Виревистомъ, *потомъ* было въ конецъ ослаблено *внутренними* раздорами и *оружіемъ* Римлянъ; впрочемъ оно и теперь еще въ состояніи выслать 40,000 *воиновъ*.

13. Ῥεῖ δὲ δι' αὐτῶν Μάρισος ποταμὸς εἰς τὸν Δανούιον, ᾧ τὰς παρασκευὰς ἀνεκόμιζον οἱ Ῥωμαῖοι τὰς πρὸς τὸν πόλεμον. καὶ γὰρ τοῦ ποταμοῦ τὰ μὲν ἄνω καὶ πρὸς ταῖς πηγαῖς μέρη μέχρι τῶν καταρακτῶν Δανούιον προσηγόρευον, ἃ μάλιστα διὰ τῶν Δακῶν φέρεται, τὰ δὲ κάτω μέχρι τοῦ Πόντου τὰ παρὰ τοὺς Γέτας καλοῦσιν Ἴστρον· ὁμόγλωττοι δ' εἰσὶν οἱ Δακοὶ τοῖς Γέταις. παρὰ μὲν οὖν τοῖς Ἕλλησιν οἱ Γέται γνωρίζονται μᾶλλον διὰ τὸ συνεχεῖς τὰς μεταναστάσεις ἐφ' ἑκάτερα τοῦ Ἴστρου ποιεῖσθαι καὶ τοῖς Μυσοῖς ἀναμεμῖχθαι· καὶ τὸ τῶν Τριβαλλῶν δ' ἔθνος, Θρᾳκικὸν ὄν, τὸ αὐτὸ πέπονθε τοῦτο. μεταναστάσεις γὰρ δέδεκται, τῶν πλησιοχώρων εἰς τοὺς ἀσθενεστέρους ἐξαναστάντων, τῶν μὲν ἐκ τῆς περαίας Σκυθῶν καὶ Βασταρνῶν καὶ Σαυροματῶν ἐπικρατούντων πολλάκις, ὥστε καὶ ἐπιδιαβαίνειν τοῖς ἐξελαθεῖσι καὶ καταμένειν τινὰς αὐτῶν ἢ ἐν ταῖς νήσοις ἢ ἐν Θράκῃ· τῶν δ' ἐκ θατέρου μέρους ὑπ' Ἰλλυριῶν μάλιστα κατισχυομένων. αὐξηθέντες δ' οὖν ἐπὶ πλεῖστον οἵ τε Γέται οἵ τε Δακοί, ὥστε καὶ εἴκοσι μυριάδας ἐκπέμπειν στρατείας, νῦν ὅσον εἰς τέτταρας μυριάδας συνεσταλμένοι τυγχάνουσι καὶ ἐγγὺς μὲν ἥκουσι τοῦ ὑπακούειν Ῥωμαίων· οὕπω δ' εἰσὶν ὑποχείριοι τελέως διὰ τὰς ἐκ τῶν Γερμανων ἐλπίδας, πολεμίων ὄντων τοῖς Ῥωμαίοις.

13. Черезъ нихъ *страну* протекаетъ рѣка Марисъ, *впадающая* въ Дунай, по которому Римляне свозили заготовки для войны. Верхнія части этой рѣки, ближайшія къ истокамъ, вплоть до пороговъ, называли *они* Данувіемъ (въ этой части рѣка течетъ главнымъ образомъ чрезъ Дакію), низовья же до Понта, въ области Гетовъ, называются Истромъ. Даки говорятъ на одномъ языкѣ съ Гетами. Еллинамъ Геты болѣе извѣстны потому, что они постоянно переселяются на тотъ и на другой берегъ Истра и смѣшались съ Оракійцами и Мисійцами. То же самое происходитъ и у Триваллонъ, народа оракійскаго племени: они тоже принуждены совершать переселенія вслѣдствіе того, что *ихъ* сосѣди нападаютъ на болѣе слабыхъ: одни *переселялись* съ той стороны *Истра* вслѣдствіе того, что Скиѳы, Вастарны и Савроматы часто одолѣвали ихъ, такъ что въ погонѣ за вытѣсненными нѣкоторые *изъ нихъ* даже переправлялись *черезъ рѣку* и оставались *жить* или на *ея* островахъ, или во Оракіи; другіе, *напротивъ*, *переселялись* съ этой стороны *рѣки*, терпя притѣсненія, въ особенности отъ Иллирійцевъ. Геты и Даки, достигнувъ *тогда* высокой степени могущества, такъ что могли высылать 200,000 войска, теперь сократились до 40,000 и близки къ *совершенному* подчиненію Римлянамъ; но пока они еще не вполнѣ покорны, благодаря надеждамъ на Германцевъ, враждебныхъ Римлянамъ.

14. Μεταξὺ δὲ τῆς Ποντικῆς θαλάττης τῆς ἀπὸ Ἴστρου ἐπὶ Τύραν καὶ ἡ τῶν Γετῶν ἐρημία πρόκειται, πεδιὰς πᾶσα καὶ ἄνυδρος, ἐν ᾗ Δαρεῖος ἀποληφθεὶς ὁ Ὑστάσπεω, καθ' ὃν καιρὸν διέβη τὸν Ἴστρον ἐπὶ τοὺς Σκύθας, ἐκινδύνευσε πανστρατιᾷ δίψῃ διαλυθῆναι· συνῆκε δ' ὀψὲ καὶ ἀνέστρεψε. Λυσίμαχος δ' ὕστερον στρατεύσας ἐπὶ Γέτας καὶ τὸν βασιλέα Δρομιχαίτην οὐκ ἐκινδύνευσε μόνον, ἀλλὰ καὶ ἑάλω ζωγρίᾳ· πάλιν

14. Между *Гетами и* Понтійскимъ моремъ отъ Истра по направленію къ Тирѣ лежитъ Гетская пустыня, ровное и безводное пространство, гдѣ Дарій, *сынъ* Истаспа, въ то время, какъ переплылъ за Истръ *для похода* на Скиѳовъ, былъ захваченъ *въ ловушку* и рисковалъ погибнуть со всѣмъ своимъ войскомъ отъ жажды; но онъ понялъ опасность, хотя и поздно, и повернулъ назадъ. Впослѣдствіи Лисимахъ,

Ad v. 32 cf. quae adnotavit Kr.; εἰκοσιμυριάδας ἐκπέμπειν στρατείας scripsit Meineke.

Digitized by Google

δ' ἐσώθη, τυχὼν εἰγνώμονος τοῦ βαρβάρου, καθάπερ εἶπον πρότερον.

отправившись походомъ противъ Гетовъ и царя *ихъ* Дромихэта, не только подвергся той-же опасности, но и былъ захваченъ въ плѣнъ живымъ; впрочемъ онъ, какъ я сказалъ выше[1]), былъ отпущенъ, благодаря добродушію варвара.

15. Πρὸς δὲ ταῖς ἐκβολαῖς μεγάλη νῆσός ἐστιν ἡ Πεύκη· κατασχόντες δ' αὐτὴν Βαστάρναι Πευκῖνοι προσηγορεύθησαν· εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι πολὺ ἐλάττους, αἱ μὲν ἀνωτέρω ταύτης, αἱ δὲ πρὸς τῇ θαλάττῃ. ἑπτάστομος γάρ ἐστι· μέγιστον δὲ τὸ ἱερὸν στόμα καλουμένον, δι' οὗ σταδίων ἀνάπλους ἐπὶ τὴν Πεύκην ἑκατὸν εἴκοσι, ἧς κατὰ τὸ κάτω μέρος ἐποίησε τὸ ζεῦγμα Δαρεῖος· δύναιτο δ' ἂν ζευχθῆναι καὶ κατὰ τὸ ἄνω. τοῦτο δὲ καὶ πρῶτόν ἐστι στόμα ἐν ἀριστερᾷ εἰσπλέοντι εἰς τὸν Πόντον· τὰ δ' ἑξῆς ἐν παράπλῳ τῷ ἐπὶ τὸν Τύραν· διέχει δ' ἀπ' αὐτοῦ τὸ ἕβδομον στόμα περὶ τριακοσίους σταδίους. γίνονται οὖν μεταξὺ τῶν στομάτων νησῖδες. τὰ μὲν δὴ τρία στόματα τὰ ἐφεξῆς τῷ ἱερῷ στόματί ἐστι μικρά· τὰ δὲ λοιπὰ τοῦ μὲν πολὺ ἐλάττονα, τῶν δὲ μείζονα· Ἔφορος δὲ πεντάστομον εἴρηκε τὸν Ἴστρον. ἐντεῦθεν δ' ἐπὶ Τύραν ποταμὸν πλωτὸν ἐννακόσιοι στάδιοι· ἐν δὲ τῷ μεταξὺ δύο λίμναι μεγάλαι, ἡ μὲν ἀνεῳγμένη πρὸς τὴν θάλατταν, ὥστε καὶ λιμένι χρῆσθαι, ἡ δ' ἄστομος.

15. Близъ устьевъ *Истра* есть большой островъ Певка; занявшіе его Бастарны получили названіе Певкиновъ. Есть и другіе острова, *но* гораздо меньшихъ размѣровъ, одни выше этого *острова*, другіе у моря. *Истръ* имѣетъ семь устьевъ. Самое большое *изъ нихъ* — такъ называемое Священное устье, по которому до Певки 120 стадій плаванія; на нижней части этого *острова* Дарій построилъ мостъ, хотя онъ могъ бы быть построенъ и на верхней. Это устье — первое слѣва для плывущихъ въ Понтъ, остальныя же слѣдуютъ по пути вдоль берега *по направленію* къ Тирѣ; седьмое устье отстоитъ отъ *перваго* почти на 300 стадій. Между устьями-то и образуются *вышеупомянутые* островки. Три устья, слѣдующія за «Священнымъ», не велики, а остальныя — гораздо меньше «Священнаго», но больше этихъ *трехъ*. Эфоръ называетъ Истръ пятиустнымъ. Отсюда до судоходной рѣки Тиры — 900 стадій. Въ промежуткѣ *есть* два большихъ озера, *изъ коихъ* одно имѣетъ сообщеніе съ моремъ, такъ что можетъ служить и гаванью, а другое не имѣетъ входа.

16. Ἐπὶ δὲ τῷ στόματι τοῦ Τύρα πύργος ἐστὶ Νεοπτολέμου καλούμενος καὶ κώμη Ἑρμώνακτος λεγομένη· ἀναπλεύσαντι δὲ ἑκατὸν τεσσαράκοντα σταδίους ἐφ' ἑκάτερα πόλεις, ἡ μὲν Νικωνία, ἡ δ' ἐν ἀριστερᾷ Ὀφιοῦσσα· οἱ δὲ προσοικοῦντες τῷ ποταμῷ πόλιν φασὶν ἀνιόντι ἑκατὸν καὶ εἴκοσι σταδίους. διέχει δὲ τοῦ στόματος ἡ νῆσος ἡ Λευκὴ δίαρμα πεντακοσίων σταδίων, ἱερὰ τοῦ Ἀχιλλέως, πελαγία.

16. На устьѣ Тиры находится башня, называемая Неоптолемовою, и деревня, извѣстная подъ названіемъ Ермонактовой. Если подняться по рѣкѣ на 140 стадій, то на обоихъ *берегахъ встрѣтятся* города: одинъ — Никонія, а другой, на лѣвомъ *берегу*, — Офіусса; жители побережья этой рѣки говорятъ, что если подняться на 120 стадій, то *встрѣтится* городъ. На разстояніи 500 стадій отъ устья *этой рѣки лежитъ* въ открытомъ морѣ островъ Бѣлый, посвященный Ахиллу.

17. Εἶτα Βορυσθένης ποταμὸς πλωτὸς ἐφ' ἑξακοσίους σταδίους καὶ πλησίον ἄλλος ποτα-

17. Затѣмъ *слѣдуетъ* рѣка Борисѳенъ, судоходная на протяженіи 600 стадій, и

V. 39: «πόλιν quomodo expediendum sit difficile est dictu: Grosk. verba ἄλλην τινὰ aut subandienda esse aut a Strabone scripta excidisse ratus, Tyran urbem intelligit. Hoc vero incertissimum est. Illam enim urbem quamquam Ptolem. et Per. P. Eux. ab Ophiussa distinguunt, alii testes Plinius (IV, 26) et Steph. Byz. s. v., diversam ab hac nisi nomine non fuisse statuunt. Praeterea tota enunciati forma eam sententiam respuit, nec cur urbis nomen Strabo omiserit, intelligas. Videtur potius πόλιν delendum esse, ut diversa accolarum narratio de distantia urbium istarum subiiciatur, id quod Tzsch. iam est suspicatus». Kramer.

1) § 8.

Digitized by Google

μὸς Ὕπανις καὶ νῆσος πρὸ τοῦ στόματος τοῦ Βορυσθένους, ἔχουσα λιμένα. πλεύσαντι δὲ τὸν Βορυσθένη σταδίους διακοσίους ὁμώνυμος τῷ ποταμῷ πόλις· ἡ δ' αὐτὴ καὶ Ὀλβία καλεῖται, μέγα ἐμπόριον, κτίσμα Μιλησίων. ἡ δὲ ὑπερκειμένη πᾶσα χώρα τοῦ λεχθέντος μεταξὺ Βορυσθένους καὶ Ἴστρου πρώτη μέν ἐστιν ἡ τῶν Γετῶν ἐρημία, ἔπειτα οἱ Τυρεγέται, μεθ' οὓς οἱ Ἰάζυγες Σαρμάται καὶ οἱ Βασίλειοι λεγόμενοι καὶ Οὔργοι, τὸ μὲν πλέον νομάδες, ὀλίγοι δὲ καὶ γεωργίας ἐπιμελούμενοι· τούτους φασὶ καὶ παρὰ τὸν Ἴστρον οἰκεῖν, ἐφ' ἑκάτερα πολλάκις. ἐν δὲ τῇ μεσογαίᾳ Βαστάρναι μὲν τοῖς Τυρεγέταις ὅμοροι καὶ Γερμανοῖς, σχεδόν τι καὶ αὐτοὶ τοῦ Γερμανικοῦ γένους ὄντες, εἰς πλείω φῦλα διῃρημένοι. καὶ γὰρ Ἄτμονοι λέγονταί τινες καὶ Σιδόνες, οἱ δὲ τὴν Πεύκην κατασχόντες τὴν ἐν τῷ Ἴστρῳ νῆσον Πευκῖνοι, Ῥωξολανοὶ δ' ἀρκτικώτατοι τὰ μεταξὺ τοῦ Τανάιδος καὶ τοῦ Βορυσθένους νεμόμενοι πεδία. ἡ γὰρ προσάρκτιος πᾶσα ἀπὸ Γερμανίας μέχρι τῆς Κασπίας πεδιάς ἐστιν, ἣν ἴσμεν· ὑπὲρ δὲ τῶν Ῥωξολανῶν εἴ τινες οἰκοῦσιν, οὐκ ἴσμεν. οἱ δὲ Ῥωξολανοὶ καὶ πρὸς τοῦ Μιθριδάτου τοῦ Εὐπάτορος στρατηγοὺς ἐπολέμουν, ἔχοντες ἡγεμόνα Τάσιον· ἦκον δὲ Παλάκῳ συμμαχήσοντες τῷ Σκιλούρου, καὶ ἐδόκουν μὲν εἶναι μάχιμοι· πρὸς μέντοι συντεταγμένην φάλαγγα καὶ ὡπλισμένην καλῶς τὸ βάρβαρον φῦλον ἀσθενὲς πᾶν ἐστι καὶ τὸ γυμνητικόν. ἐκεῖνοι γοῦν περὶ πέντε μυριάδας πρὸς ἑξακισχιλίους τοὺς Διοφάντῳ, τῷ τοῦ Μιθριδάτου στρατηγῷ, συμπαραταξαμένους οὐκ ἀντέσχον, ἀλλ' οἱ πλεῖστοι διεφθάρησαν. χρῶνται δὲ ὠμοβοΐνοις κράνεσι καὶ θώραξι, γερροφόροι, ἀμυντήρια δ' ἔχοντες καὶ λόγχας καὶ τόξον καὶ ξίφος· τοιοῦτοι δὲ καὶ τῶν ἄλλων οἱ πλείους. τῶν δὲ Νομάδων αἱ σκηναὶ πίλωταὶ πεπήγασιν ἐπὶ ταῖς ἁμάξαις, ἐν αἷς διαιτῶνται· περὶ δὲ τὰς σκηνὰς τὰ βοσκήματα, ἀφ' ὧν τρέφονται καὶ γάλακτι καὶ τυρῷ καὶ κρέασιν· ἀκολουθοῦσι δὲ ταῖς νομαῖς μεταλαμβάνοντες τόπους ἀεὶ τοὺς ἔχοντας πόαν, χειμῶνος μὲν ἐν τοῖς ἕλεσι τοῖς περὶ τὴν Μαιῶτιν, θέρους δὲ καὶ ἐν τοῖς πεδίοις.

1 неподалеку отъ нея другая рѣка Иранидъ и островъ передъ устьемъ Борисѳена съ гаванью. Въ 200 стадіяхъ по Борисѳену лежитъ одноименный съ рѣкою городъ. Онъ называется также Ольвіей и *представляетъ собою* большой торговый портъ, основанный Милетянами. Все пространство, лежащее выше упомянутаго промежутка между Борисѳеномъ и Истромъ, занимаютъ вонервыхъ пустыня Гетовъ, затѣмъ Тиреге-ты, за ними — Язиги Сарматы, такъ называемые Царскіе и Урги; *всѣ они* по большей части кочевники, но немногіе занимаются и земледѣліемъ; эти послѣдніе, говорятъ, живутъ также по Истру, первдко на обоихъ берегахъ *его*. Внутри материка Вастарны живутъ въ сосѣдствѣ съ Тирегетами и Германцами, вѣроятно сами принадлежащіе къ германскому племени и раздѣленные на нѣсколько колѣнъ: нѣкоторые изъ нихъ называются Атмонами и Сидонами, тѣ, которые заняли островъ Певку на Истрѣ,—Певкинами, а самые сѣверные, занимающіе равнины между Танандомъ и Борисѳеномъ, *называются* Роксоланами. Вся сѣверная *страна* отъ Германіи до Каспія, насколько мы ее знаемъ, представляетъ равнину; живутъ ли какіе нибудь *народы* выше Роксолановъ—намъ неизвѣстно. Роксоланы воевали и съ полководцами Миѳридата Евпатора подъ предводительствомъ Тасія; пришли они на помощь Палаку, сыну Скилура, и считались *народомъ* воинственнымъ; однако противъ сомкнутой и хорошо вооруженной фаланги всякое варварское племя и легко вооруженное *войско* оказывается безсильнымъ. И дѣйствительно, Роксоланы въ числѣ почти 50000 не могли устоять противъ 6000, бывшихъ подъ начальствомъ Миѳридатова полководца Діофанта, и большинство ихъ погибло. Они носятъ шлемы и панцыри изъ сырой воловьей кожи и сплетенные изъ прутьевъ щиты, а наступательнымъ *оружіемъ* имъ служатъ копья, лукъ и мечъ. Подобнымъ *образомъ вооружено* и большинство другихъ *варваровъ*. Кибитки Номадовъ сдѣланы изъ войлока и прикрѣплены къ повозкамъ, на

V. 9: «Τυρεγέται *ABl* τυραγέται Epit. τυριγέται *C* (?) Tzsch. Cor.» Kr. || V. 11: «Οὔργοι prorsus ignoti sunt, nec improbabilis est coniectura Mannerti (Geogr. ant. IV p. 274) Γεωργοί, de quibus v. infra p. 311 et Herod. IV, 18. Syllaba γε ut omitteretur, similitudine voculi καὶ effici potuit. Ceterum in marg. *A* pr. m. addita sunt haec: οὐγγροι (s. acc.) νῦν, οἱ δὲ αὐτοὶ καὶ τοῦρκοι λέγονται». Kr.

Digitized by Google

18. Ἅπασα δὴ χώρα δυσχείμερός ἐστι μέχρι τῶν ἐπὶ θαλάττῃ τόπων τῶν μεταξὺ Βορυσθένους καὶ τοῦ στόματος τῆς Μαιώτιδος· αὐτῶν δὲ τῶν ἐπὶ θαλάττῃ τὰ ἀρκτικώτατα τό τε στόμα τῆς Μαιώτιδος καὶ ἔτι μᾶλλον τὸ τοῦ Βορυσθένους [καὶ] ὁ μυχὸς τοῦ Ταμυράκου κόλπου, [τοῦ] καὶ Καρκινίτου, καθ' ὃν ὁ ἰσθμὸς τῆς μεγάλης Χερρονήσου. δηλοῖ δὲ τὰ ψύχη, καίπερ ἐν πεδίοις οἰκούντων· ὄνους τε γὰρ οὐ τρέφουσι (δύσριγον γὰρ τὸ ζῷον), οἵ τε βόες οἱ μὲν ἀκέρῳ γεννῶνται, τῶν δ' ἀπορρινῶσι τὰ κέρατα (καὶ γὰρ τοῦτο δύσριγον τὸ μέρος), οἵ τε ἵπποι μικροί, τὰ δὲ πρόβατα μεγάλα· ῥήττονται δὲ χαλκαῖ ὑδρίαι, τὰ δ' ἐνόντα συμπήττεται. τῶν δὲ πάγων ἡ σφοδρότης μάλιστα ἐκ τῶν συμβαινόντων περὶ τὸ στόμα τῆς Μαιώτιδος δῆλός ἐστιν. ἁμαξεύεται γὰρ ὁ διάπλους ὁ εἰς Φαναγορίαν ἐκ τοῦ Παντικαπαίου, ὥστε καὶ † πηλὸν εἶναι καὶ ὁδόν· ὀρυκτοί τέ εἰσιν ἰχθύες οἱ ἀποληφθέντες ἐν τῷ κρυστάλλῳ τῇ προσαγορευομένῃ γαγγάμῃ, καὶ μάλιστα οἱ ἀντακαῖοι, δελφῖσι πάρισοι τὸ μέγεθος. Νεοπτόλεμον δέ φασι, τὸν τοῦ Μιθριδάτου στρατηγόν, ἐν τῷ αὐτῷ πόρῳ θέρους μὲν ναυμαχίᾳ περιγενέσθαι τῶν βαρβάρων, χειμῶνος δ' ἱππομαχίᾳ· φασὶ δὲ καὶ τὴν ἄμπελον ἐν τῷ Βοσπόρῳ κατορύττεσθαι χειμῶνος, ἐπαμώντων πολὺ τῆς γῆς. λέγεται δὲ καὶ τὰ καύματα σφοδρὰ γίνεσθαι, τάχα μὲν τῶν σωμάτων ἀηθιζομένων, τάχα δὲ τῶν πεδίων ἀνηνεμούντων τότε, ἢ καὶ τοῦ πάχους τοῦ ἀέρος ἐκθερμαινομένου πλέον, καθάπερ ἐν τοῖς νέφεσιν οἱ παρήλιοι ποιοῦσιν. Ἀτέας δὲ δοκεῖ τῶν πλείστων ἄρξαι τῶν ταύτῃ βαρβάρων ὁ πρὸς Φίλιππον πολεμήσας τὸν Ἀμύντου.

которыхъ они живутъ; вокругъ кибитокъ *пасется* скотъ, мясомъ, сыромъ и молокомъ котораго они питаются. Они слѣдуютъ за *своими* стадами, выбирая всегда мѣстности съ хорошими пастбищами, — зимою въ болотахъ около Меотиды, а лѣтомъ — и на равнинахъ.

18. Вся *эта* страна очень холодна вплоть до мѣстъ, *лежащихъ* у моря между Борисѳеномъ и устьемъ Меотиды; изъ самыхъ приморскихъ *мѣстностей холоднымъ климатомъ отличаются* самыя сѣверныя, *именно* устье Меотиды и еще болѣе — *устье* Борисѳена, а также уголъ Таманскаго или Каркинитскаго залива, гдѣ *находится* перешеекъ большого Херсонеса. Холода *этой страны*, хотя *ея обитатели* и живутъ на равнинахъ, доказываются *слѣдующими фактами: жители* не держатъ ословъ (ибо это животное не выноситъ холода); быки — одни родятся безрогими, а у другихъ отпиливаютъ рога (ибо эта часть *тѣла* также не выноситъ холода); лошади *здѣсь* мелки, а овцы — крупны. *Здѣсь* трескаются даже мѣдные водоносы, а содержимое *въ нихъ* замерзаетъ. Сила морозовъ лучше всего видна изъ того, что бываетъ около устья Меотиды: по проливу изъ Паптикапея въ Фанагорію переѣзжаютъ на повозкахъ, такъ что *тутъ* бываетъ то каналъ, то сухой путь. Рыба, застигнутая во льду, выкапывается такъ называемой гангамой, особенно же осетры, величиною почти равные дельфинамъ. Разсказываютъ, что Мнѳридатовъ воевода Неоптолемъ въ одномъ и томъ же проливѣ лѣтомъ разбилъ варваровъ въ морскомъ бою, а зимою въ конномъ. Говорятъ также, что къ зимѣ на Босворѣ зарываютъ виноградныя лозы, насыпая на нихъ большое количество земли. Но *за то* и жары, говорятъ, бываютъ сильные, можетъ быть потому, что тѣла *варваровъ* не привыкли *къ жарѣ*, а можетъ быть и потому, что тогда бываетъ въ степяхъ безвѣтріе, или и вслѣдствіе того, что плотный воздухъ сильнѣе нагрѣвается, точно такъ, какъ въ облакахъ дѣйствуютъ побочныя солнца. Атей, воевавшій съ Филиппомъ, сыномъ

V. 13: καὶ et paulo postea τοῦ om. codd., add. illud Tzsch. ex sent. Kas., hoc Cor. || V. 27: «πηλὸν om. *E*, brevi tamen spatio vacuo relicto: πλοῦν Cor., verissime, ut opinor». Kr.— πλοῦν in textum recepit Meineke, qui praeterea enuntiatum proxime insequens posuit post Νεοπτόλεμον — ἱππομαχίᾳ.

Digitized by Google

Амиты, кажется, господствовалъ надъ большинствомъ здѣшнихъ варваровъ.

19. Μετὰ δὲ τὴν πρὸ τοῦ Βορυσθένους νῆσον ἐξῆς πρὸς ἀνίσχοντα ἥλιον ὁ πλοῦς ἐπὶ ἄκραν τὴν τοῦ Ἀχιλλείου δρόμου, ψιλὸν μὲν χωρίον, καλούμενον [δ'] ἄλσος, ἱερὸν Ἀχιλλέως· εἶθ' ὁ Ἀχίλλειος δρόμος, ἀλιτενὴς χερρόνησος· ἔστι γὰρ ταινία τις ὅσον χιλίων σταδίων μῆκος ἐπὶ τὴν ἕω, πλάτος δὲ τὸ μέγιστον δυεῖν σταδίων, ἐλάχιστον τεσσάρων πλέθρων, διέχουσα τῆς ἑκατέρωθεν τοῦ αὐχένος ἠπείρου σταδίους ἑξήκοντα, ἀμμώδης, ὕδωρ ἔχουσα ὀρυκτόν· κατὰ μέσην δ' ὁ τοῦ ἰσθμοῦ αὐχὴν ὅσον τετταράκοντα σταδίων· τελευτᾷ δὲ πρὸς ἄκραν, ἣν Ταμυράκην καλοῦσιν, ἔχουσαν ὕφορμον βλέποντα πρὸς τὴν ἤπειρον· μεθ' ἣν ὁ Καρκινίτης κόλπος εὐμεγέθης, ἀνέχων πρὸς τὰς ἄρκτους ὅσον ἐπὶ σταδίους χιλίους, οἱ δὲ καὶ τριπλασίους φασὶ μέχρι τοῦ μυχοῦ· καλοῦνται δὲ Τάφριοι. τὸν δὲ κόλπον καὶ Ταμυράκην καλοῦσιν ὁμωνύμως τῇ ἄκρᾳ.

19. За островомъ, лежащимъ передъ Борисѳеномъ, сейчасъ къ востоку *идетъ* морской путь къ мысу Ахиллова Бѣга, мѣсту, лишенному растительности, но называемому рощей и посвященному Ахиллу. Затѣмъ — Ахилловъ Бѣгъ, выдающійся въ море полуостровъ; это — узкая коса, длиною около 1000 стадій *по направленію* къ востоку; наибольшая ширина ея — 2 стадія, а наименьшая — 4 плеѳра. Отъ материка, находящагося по обѣ стороны перешейка, она отстоитъ на 60 стадій; почва на ней песчаная, вода колодезная. По серединѣ ея перешеекъ, *имѣющій* около 40 стадій. Заканчивается *полуостровъ* у мыса, называемаго Тамиракою и имѣющаго пристань, обращенную къ материку. За мысомъ *находится* значительный заливъ Каркинитскій, простирающійся къ сѣверу приблизительно на 1000 стадій; другіе однако говорятъ, что до внутренняго угла *залива разстояніе* втрое больше. *Жители побережья* называются Тафріями. Заливъ этотъ называютъ также Тамиракскимъ, совмѣстно мысу.

24. Описаніе Херсониса Таврическаго.

Lib. VII, c. IV (pp. 308—312 C.).

1. Ἐνταῦθά δ'ἐστὶν ὁ ἰσθμὸς ὁ διείργων τὴν Σαπρὰν λεγομένην λίμνην ἀπὸ τῆς θαλάττης, σταδίων τεσσαράκοντα, καὶ ποιῶν τὴν Ταυρικὴν καὶ Σκυθικὴν λεγομένην χερρόνησον· οἱ δὲ τριακοσίων ἑξήκοντα τὸ πλάτος τοῦ ἰσθμοῦ φασιν. ἡ δὲ Σαπρὰ λίμνη σταδίων μὲν καὶ τετρακισχιλίων λέγεται, μέρος δ' ἐστὶ τῆς Μαιώτιδος τὸ πρὸς δύσιν· συνεστόμωται γὰρ αὐτῇ στόματι μεγάλῳ. ἐλώδης δ'ἐστὶ σφόδρα καὶ ῥαπτοῖς πλοίοις μόγις πλοίμος· οἱ γὰρ ἄνεμοι τὰ τενάγη ῥᾳδίως ἀνακαλύπτουσιν, εἶτα πάλιν πληροῦσιν, ὥστε τὰ ἕλη τοῖς μείζοσι σκάφεσιν οὐ περάσιμά ἐστιν. ἔχει δ'ὁ κόλπος νησίδια τρία καὶ προσβραχῆ τινα καὶ χοιραδώδη ὀλίγα κατὰ τὸν παράπλουν.

1. Здѣсь находится перешеекъ *шириною* въ 40 стадій, отдѣляющій такъ называемое Гнилое озеро отъ моря и образующій полуостровъ, называемый Таврическимъ и Скиѳскимъ. Нѣкоторые, впрочемъ, утверждаютъ, что ширина перешейка *равна* 360 стадіямъ. Гнилое озеро, какъ говорятъ, имѣетъ въ *ширину* даже 4 тысячи стадій и составляетъ западную часть Мэотиды, съ которой оно соединено широкимъ устьемъ. Оно очень болотисто и едва судоходно для сшитыхъ лодокъ, такъ какъ вѣтры легко открываютъ мели и затѣмъ снова ихъ наполняютъ *водою*, такъ что *эти* болота непроходимы для болѣе значительныхъ судовъ. Въ заливѣ этомъ есть 3 островка, а вдоль берега мели и немногіе подводные камни.

V. 19: «οἱ δὲ καὶ] οἱ δ' ἐκεῖ scripsit Tzsch., ut esset scilicet, quo referantur sequentia: quam tamen rationem probabilem non esse sponte sua apparet. Recte potius, ut opinor, Cas. suspicatus est quaedam excidisse ante καλοῦνται: et lacunae signum apposuit Cor.» Kr.—Cor. secutus est Meineke. ‖ 24, v. 3: σταδίων [ὧν] τετταράκοντα Meineke.

Digitized by Google

2. Ἐκπλέοντι δ' ἐν ἀριστερᾷ πολίχνη καὶ ἄλλος λιμὴν Χερρονησιτῶν. ἔκκειται γὰρ ἐπὶ τὴν μεσημβρίαν ἄκρα μεγάλη κατὰ τὸν παράπλουν ἐφεξῆς, μέρος οὖσα τῆς ὅλης Χερρονήσου, ἐφ' ᾗ ἵδρυται πόλις Ἡρακλεωτῶν, ἄποικος τῶν ἐν τῷ Πόντῳ, αὐτὸ τοῦτο καλουμένη Χερρόνησος, διέχουσα τοῦ Τύρα παράπλουν σταδίων τετρακισχιλίων τετρακοσίων· ἐν ᾗ τὸ τῆς Παρθένου ἱερόν, δαίμονός τινος, ἧς ἐπώνυμος καὶ ἡ ἄκρα ἡ πρὸ τῆς πόλεώς ἐστιν ἐν σταδίοις ἑκατόν, καλουμένη Παρθένιον, ἔχον νεὼν τῆς δαίμονος καὶ ξόανον. μεταξὺ δὲ τῆς πόλεως καὶ τῆς ἄκρας λιμένες τρεῖς· εἶθ' ἡ παλαιὰ Χερρόνησος κατεσκαμμένη καὶ μετ' αὐτὴν λιμὴν στενόστομος, καθ' ὃν μάλιστα οἱ Ταῦροι, Σκυθικὸν ἔθνος, τὰ λῃστήρια συνίσταντο, τοῖς καταφεύγουσιν ἐπ' αὐτὸν ἐπιχειροῦντες. καλεῖται δὲ Συμβόλων λιμήν. οὗτος δὲ ποιεῖ πρὸς ἄλλον λιμένα Κτενοῦντα καλούμενον τετταράκοντα σταδίων ἰσθμόν· οὗτος δ' ἐστὶν ὁ ἰσθμὸς ὁ κλείων τὴν μικρὰν Χερρόνησον, ἣν ἔφαμεν τῆς μεγάλης Χερρονήσου μέρος, ἔχουσαν ἐν αὐτῇ τὴν ὁμωνύμως λεγομένην πόλιν Χερρόνησον.

2. Если плыть изъ *Тамиракскаго залива, то* вдѣво *будетъ* городокъ и другая гавань Херсонисцевъ. Затѣмъ, если плыть вдоль берега, къ югу выдается большой мысъ, составляющій часть цѣлаго Херсониса. На немъ расположенъ городъ Иракleотовъ, колонія живущихъ на *южномъ берегу* Понта, называемый такъ-же Херсонисомъ *(т. е. полуостровомъ)* и находящійся въ 4400 стадіяхъ плаванія отъ *устья* Тиры. Въ этомъ городѣ есть святилище Дѣвы, какой-то богини, имя которой носитъ и находящійся передъ городомъ, на разстояніи 100 стадій, мысъ, называемый Парѳеніемъ *(т. е. Дѣвинымъ)*. Въ святилищѣ находится храмъ богини и статуя. Между городомъ и мысомъ есть 3 гавани; затѣмъ слѣдуетъ древній Херсонисъ, лежащій въ развалинахъ, а за нимъ бухта съ узкимъ входомъ, возлѣ которой преимущественно устраивали *свои* разбойничьи притоны Тавры, скиѳское племя, нападавшіе на тѣхъ, которые спасались въ эту *бухту;* называется она бухтою Символовъ. Она съ другой бухтой, называемой Ктенунтомъ, образуетъ перешеекъ въ 40 стадій. Это и есть тотъ перешеекъ, который замыкаетъ малый Херсонисъ, составляющій, какъ мы сказали, часть большого Херсониса и имѣющій на себѣ городъ, носящій одинаковое *съ полуостровомъ* названіе—Херсонисъ.

3. Αὕτη δ' ἦν πρότερον αὐτόνομος, πορθουμένη δὲ ὑπὸ τῶν βαρβάρων ἠναγκάσθη προστάτην ἑλέσθαι Μιθριδάτην τὸν Εὐπάτορα, στρατηγιῶντα ἐπὶ τοὺς ὑπὲρ τοῦ ἰσθμοῦ μέχρι Βορυσθένους βαρβάρους καὶ τοῦ Ἀδρίου· ταῦτα δ' ἦν ἐπὶ Ῥωμαίους παρασκευή. ἐκεῖνος μὲν οὖν κατὰ ταύτας τὰς ἐλπίδας ἄσμενος πέμψας εἰς τὴν Χερρόνησον στρατιάν, ἅμα πρός τε τοὺς Σκύθας ἐπολέμει Σκίλουρόν τε καὶ τοὺς Σκιλούρου παῖδας τοὺς περὶ Πάλακον, οὓς Ποσειδώνιος μὲν πεντήκοντά φησιν, Ἀπολλωνίδης δὲ ὀγδοήκοντα· ἅμα δὲ τούτους τε ἐχειρώσατο βίᾳ καὶ Βοσπόρου κατέστη κύριος παρ' ἑκόντος λαβὼν Παρισάδου τοῦ κατέχοντος. ἐξ ἐκείνου δὲ τοῦ χρόνου τοῖς τοῦ Βοσπόρου δυνάσταις ἡ τῶν Χερρονησιτῶν

3. Этотъ городъ прежде пользовался автономіей, но *потомъ*, будучи опустошаемъ варварами, принужденъ былъ взять себѣ въ покровители Миѳридата Евпатора, желавшаго итти на варваровъ, *живущихъ* выше перешейка до Борисѳена и Адрія. Эти *походы* были подготовкою къ *войнѣ* съ Римлянами. Поэтому онъ, побуждаемый такими надеждами, охотно послалъ войско въ Херсонисъ и сталъ воевать со Скиѳами, *бывшими тогда подъ властью* Скилура и его сыновей съ Палакомъ во главѣ, которыхъ по свидѣтельству Посидонія было 50, а по свидѣтельству Аполлонида — 80. Онъ силою подчинилъ ихъ себѣ и въ то же время сдѣлался властителемъ Воспора, который добровольно уступилъ ему *тогдаш-*

V. 1: Mein. dedit καὶ *ἄλλος addito in praef.: «pro ἄλλος fort. ἅμα». || V. 37: καὶ τοῦ Ἀδρίου e textu eiecit Mein. || V. 47: Kr. adnotavit fluctuari codd. in nominis Παρισάδου scriptura, ita tamen ut plerisque locis πα exhibeant. Παιρισάδου praebent Tzsch. Cor. Mein.

Digitized by Google

πόλις ὑπήκοος μέχρι νῦν ἐστι. τὸ δ' ἴσον ὁ Κτενοῦς διέχει τῆς τε τῶν Χερρονησιτῶν πόλεως καὶ τοῦ Συμβόλων λιμένος. μετὰ δὲ τὸν Συμβόλων λιμένα μέχρι Θεοδοσίας πόλεως ἡ Ταυρικὴ παραλία, χιλίων που σταδίων τὸ μῆκος, τραχεῖα καὶ ὀρεινὴ καὶ καταιγίζουσα τοῖς Βορέαις ἵδρυται. πρόκειται δ' αὐτῆς ἄκρα πολὺ πρὸς τὸ πέλαγος καὶ τὴν μεσημβρίαν ἐκκειμένη κατὰ Παφλαγονίαν καὶ Ἀμαστριν πόλιν, καλεῖται δὲ Κριοῦ μέτωπον. ἀντίκειται δ' αὐτῇ τὸ τῶν Παφλαγόνων ἀκρωτήριον ἡ Κάραμβις τὸ διαιροῦν εἰς πελάγη δύο τὸν Εὔξεινον πόντον τῷ ἐκατέρωθεν σφιγγομένῳ πορθμῷ. διέστηκε δ' ἡ Κάραμβις τῆς μὲν τῶν Χερρονησιτῶν πόλεως σταδίους δισχιλίους καὶ πεντακοσίους, τοῦ δὲ Κριοῦ μετώπου πολὺ ἐλάττους τὸν ἀριθμόν· συχνοὶ γοῦν τῶν διαπλευσάντων τὸν πορθμὸν ἅμα φασὶν ἰδεῖν ἀμφοτέρας ἑκατέρωθεν τὰς ἄκρας. ἐν δὲ τῇ ὀρεινῇ τῶν Ταύρων καὶ τὸ ὄρος ἐστὶν ὁ Τραπεζοῦς, ὁμώνυμον τῇ πόλει τῇ περὶ τὴν Τιβαρανίαν καὶ τὴν Κολχίδα· καὶ ἄλλο δ' ἐστὶν ὄρος Κιμμέριον κατὰ τὴν αὐτὴν ὀρεινήν, δυναστευσάντων ποτὲ τῶν Κιμμερίων ἐν τῷ Βοσπόρῳ· καθ' ὃ καὶ Κιμμερικὸς Βόσπορος καλεῖται τοῦ πορθμοῦ πᾶν, ὃ ἐπέχει τὸ στόμα τῆς Μαιώτιδος.

ній его владѣлецъ Парисадъ. Съ тѣхъ-поръ и до нынѣ городъ Херсонисъ подчиненъ владыкамъ Воспора. Ктенунтъ находится на одинаковомъ разстояніи отъ города Херсониса и бухты Символовъ. Начиная отъ бухты Символовъ до города Ѳеодосіи тянется Таврическое побережье длиною около 1000 стадій, неровное, гористое и открытое для сѣверныхъ вѣтровъ. Изъ него далеко выдается въ море къ югу, насупротивъ Пафлагоніи и города Амастріи, мысъ, носящій названіе «Бараньяго лба». Насупротивъ его лежитъ Пафлагонскій мысъ Карамвій, раздѣляющій Понтъ Евксинскій на два моря съуженнымъ съ обѣихъ сторонъ проливомъ. Карамвій отъ города Херсониса отстоитъ на 2500 стадій, а отъ «Бараньяго лба» на гораздо меньшее число *ихъ*. По крайней мѣрѣ многіе изъ тѣхъ, которые проплывали *этотъ* проливъ, говорятъ, что они одновременно видѣли оба мыса по обѣимъ сторонамъ *моря*. Въ горной *странѣ* Тавровъ есть также гора Трапезунтъ, одноименная съ городомъ, находящимся на границахъ Тивареніи и Колхиды. Въ той-же горной *странѣ* есть и другая гора — Киммерій, *названная такъ по имени* Киммерійцевъ, нѣкогда господствовавшихъ на Воспорѣ; отсюда же называется Воспоромъ Киммерійскимъ вся *та часть* пролива, которая прилегаетъ къ устью Меотиды.

4. Μετὰ δὲ τὴν ὀρεινὴν τὴν λεχθεῖσαν ἡ Θεοδοσία κεῖται πόλις, πεδίον εὔγαιον ἔχουσα καὶ λιμένα ναυσὶ καὶ ἑκατὸν ἐπιτηδειον· οὗτος δ' ὅρος ἦν πρότερον τῆς τῶν Βοσποριανῶν καὶ Ταύρων γῆς· καὶ ἡ ἐξῆς δ' ἐστὶν εὔγαιος χώρα μέχρι Παντικαπαίου, τῆς μητροπόλεως τῶν Βοσποριανῶν, ἱδρυμένης ἐπὶ τῷ στόματι τῆς Μαιώτιδος. ἔστι δὲ τὸ μεταξὺ τῆς Θεοδοσίας καὶ τοῦ Παντικαπαίου στάδιοι περὶ πεντακόσιοι καὶ τριάκοντα, χώρα πᾶσα σιτοφόρος, κώμας ἔχουσα καὶ πόλιν εὐλίμενον τὸ Νυμφαῖον καλούμενον. τὸ δὲ Παντικάπαιον λόφος ἐστὶ πάντη περιοικούμενος ἐν κύκλῳ σταδίων εἴκοσι· πρὸς ἕω δ' ἔχει λιμένα καὶ νεώρια ὅσον τριάκοντα νεῶν, ἔχει δὲ καὶ ἀκρόπολιν· κτίσμα δ' ἐστὶ Μιλησίων. ἐμοναρχεῖτο δὲ πολὺν χρόνον ὑπὸ δυναστῶν τῶν περὶ Λεύκωνα καὶ Σάτυρον καὶ Παρισάδην αὖτη τε καὶ αἱ πλησιόχωροι κατοικίαι πᾶσαι αἱ περὶ

4. За вышеупомянутой горной *областью* лежитъ городъ Ѳеодосія съ плодородной равниной и гаванью, пригодною даже для сотни судовъ. Онъ былъ прежде границей владѣній Воспорянъ и Тавровъ. Затѣмъ слѣдуетъ плодородная страна до Пантикапэя, столицы Воспорянъ, построенной на устьѣ Меотиды. Отъ Ѳеодосіи до Пантикапэя около 530 стадій; вся эта земля богата хлѣбомъ, имѣетъ деревни и городъ съ хорошей гаванью, называемый Нимфэй. Пантикапэй представляетъ собою холмъ, со всѣхъ сторонъ заселенный, окружностью въ 20 стадій; съ восточной стороны отъ него находится гавань и доки приблизительно для 30 кораблей, есть также акрополь; основанъ онъ Милитянами. Долгое время этотъ *городъ* и всѣ сосѣднія поселенія вокругъ устья Меотиды по *обѣ* его стороны находились подъ единоличною

V. 34: εὔγεων Meineke cum *no*, item v. 38. || V. 42: σταδίων περὶ πεντακοσίων Mein. cum *A*.

Digitized by Google

τὸ στόμα τῆς Μαιώτιδος ἑκατέρωθεν μέχρι Παρισάδου τοῦ Μιθριδάτῃ παραδόντος τὴν ἀρχήν. ἐκαλοῦντο δὲ τύραννοι, καίπερ οἱ πλείους ἐπιεικεῖς γεγονότες, ἀρξάμενοι ἀπὸ Παρισάδου καὶ Λεύκωνος. Παρισάδης δὲ καὶ θεὸς νενόμισται· τούτῳ δὲ ὁμώνυμος καὶ ὁ ὕστατος, οὐχ οἷός τε ὢν ἀντέχειν πρὸς τοὺς βαρβάρους, φόρον πραττομένους μείζω τοῦ πρότερον, Μιθριδάτῃ τῷ Εὐπάτορι παρέδωκε τὴν ἀρχήν· ἐξ ἐκείνου δ' ἡ βασιλεία γεγένηται Ῥωμαίοις ὑπήκοος. τὸ μὲν οὖν πλέον αὐτῆς μέρος ἐστὶν ἐπὶ τῆς Εὐρώπης, μέρος δέ τι καὶ ἐπὶ τῆς Ἀσίας.

5. Τὸ δὲ στόμα τῆς Μαιώτιδος καλεῖται μὲν Κιμμερικὸς Βόσπορος, ἄρχεται δὲ ἀπὸ μείζονος πλάτους, ἀπὸ ἑβδομήκοντά που σταδίων· καθ' ὃ διαίρουσιν ἐκ τῶν περὶ Παντικάπαιον τόπων εἰς τὴν ἐγγυτάτω πόλιν τῆς Ἀσίας, τὴν Φαναγορίαν· τελευτᾷ δ' εἰς πολὺ στενώτερον πορθμόν. διαιρεῖ δ' ὁ στενωπὸς οὗτος τὴν Ἀσίαν ἀπὸ τῆς Εὐρώπης, καὶ ὁ Τάναϊς ποταμός, καταντικρὺ ῥέων ἀπὸ τῶν ἄρκτων εἴς τε τὴν λίμνην καὶ τὸ στόμα αὐτῆς· δύο δ' ἔχει τὰς εἰς τὴν λίμνην ἐκβολὰς διεχούσας ἀλλήλων ὅσον σταδίους ἑξήκοντα. ἔστι δὲ καὶ πόλις ὁμώνυμος τῷ ποταμῷ, μέγιστον τῶν βαρβάρων ἐμπόριον μετὰ τὸ Παντικάπαιον. ἐν ἀριστερᾷ δ' εἰσπλέοντι τὸν Κιμμερικὸν Βόσπορον πολίχνιόν ἐστι Μυρμήκιον ἐν εἴκοσι σταδίοις ἀπὸ τοῦ Παντικαπαίου. τοῦ δὲ Μυρμηκίου διπλάσιον διέχει κώμη Παρθένιον, καθ' ἣν στενώτατος ὁ εἰσπλους ἐστὶν ὅσον εἴκοσι σταδίων, ἔχων ἀντικειμένην ἐν τῇ Ἀσίᾳ κώμην, Ἀχίλλειον καλουμένην. ἐντεῦθεν δ' εὐθυπλοίᾳ μὲν ἐπὶ τὸν Τάναϊν καὶ τὴν κατὰ τὰς ἐκβολὰς νῆσον σταδίοι δισχίλιοι-διακόσιοι, μικρὸν δ' ὑπερβάλλει τοῦ ἀριθμοῦ τούτου πλέοντι παρὰ τὴν Ἀσίαν· πλέον δ' ἢ τριπλάσιον ἐν ἀριστερᾷ πλέοντι μέχρι τοῦ Τανάιδος, ἐν ᾧ παραπλῷ καὶ ὁ ἰσθμὸς ἵδρυται. οὗτος μὲν οὖν ὁ παράπλους ἔρημος πᾶς ὁ παρὰ τὴν Εὐρώπην, ὁ δ' ἐν δεξιᾷ οὐκ ἔρημος· ὁ δὲ σύμπας τῆς λίμνης κύκλος ἐννακισχιλίων ἱστορεῖται σταδίων. ἡ δὲ μεγάλη Χερρόνησος τῇ Πελοποννήσῳ προσέοικε καὶ τὸ σχῆμα καὶ τὸ μέγεθος. ἔχουσι δ' αὐτὴν οἱ τοῦ Βοσπόρου δυνάσται κεκακωμένην πᾶσαν ὑπὸ τῶν συνεχῶν πολέμων. πρότερον δ' εἶχον ὀλίγην μὲν τὴν πρὸς τῷ στόματι τῆς Μαιώτιδος καὶ τῷ Παντικαπαίῳ μέχρι Θεοδοσίας τῶν Βοσπορίων τύραννοι, τὴν δὲ πλείστην

властью правителей изъ дома Левкона, Сатира и Парисада, вплоть до *того* Парисада, который *добровольно* передалъ власть Миѳридату. Эти правители назывались тиранами, хотя въ большинствѣ были *люди* достойные, начиная отъ Парисада и Левкона. Парисадъ признанъ даже богомъ. Послѣдній *правитель*, одноименный съ нимъ, будучи не въ состояніи бороться съ варварами, требовавшими большей дани, чѣмъ прежде, уступилъ власть Миѳридату Евпатору; а съ его *времени* царство подчинено власти Римлянъ. Большая часть его лежитъ въ Европѣ, но нѣкоторая и въ Азіи.

5. Входъ въ Мэотиду называется Киммерійскимъ Воспоромъ; начинается онъ съ довольно значительной ширины, *именно* около 70 стадій, гдѣ и переправляются изъ окрестностей Пантикапэя въ ближайшій азіатскій городъ Фанагорію, а оканчивается гораздо болѣе узкимъ проливомъ. Этотъ проходъ отдѣляетъ Европу отъ Азіи, *подобно тому какъ* и рѣка Танаидъ, текущая съ противоположной ему стороны съ сѣвера въ озеро и его устье. *Она* изливается въ озеро двумя рукавами, находящимися одинъ отъ другого на разстояніи около 60 стадій. Есть и городъ сопменный рѣкѣ, самое большое торжище у варваровъ послѣ Пантикапэя. Влѣво для въѣзжающаго въ Воспоръ Киммерійскій лежитъ городокъ Мирмикій въ 20 стадіяхъ отъ Пантикапэя. Вдвое дальше отъ Мирмикія отстоитъ деревня Парѳеній, у которой самая узкая часть пролива, *всего* около 20 стадій; на азіатской сторонѣ противъ него лежитъ деревня, называемая Ахилліемъ. Отсюда по прямому морскому пути до Танаида и до острова, лежащаго между его устьями,— 2200 стадій; *разстояніе будетъ* немного больше этой цифры, если плыть вдоль *берега* Азіи, и болѣе чѣмъ тройное, если плыть до Танаида по лѣвой сторонѣ *Мэотиды;* на этомъ пути вдоль берега находится и перешеекъ. Весь этотъ берегъ, мимо котораго приходится плыть, со стороны Европы пустынепъ, а съ правой стороны не безлюденъ. Вся окружность озера, по достовѣрнымъ свидѣтельствамъ, имѣетъ 9000 стадій. Большой Херсонисъ и по виду и по величинѣ похожъ на Пелопоннисъ; имъ владѣютъ воспорскіе повелители, *послѣ того какъ* онъ весь сильно пострадалъ отъ безпрерывныхъ войнъ. Раньше

Digitized by Google

μέχρι τοῦ ἰσθμοῦ καὶ τοῦ κόλπου τοῦ Καρκινίτου Ταῦροι, Σκυθικὸν ἔθνος· καὶ ἐκαλεῖτο ἡ χώρα πᾶσα αὕτη, σχεδὸν δέ τι καὶ ἡ ἔξω τοῦ ἰσθμοῦ μέχρι Βορυσθένους, μικρὰ Σκυθία· διὰ δὲ τὸ πλῆθος τῶν ἐνθένδε περαιουμένων τόν τε Τύραν καὶ τὸν Ἴστρον καὶ ἐποικούντων τὴν γῆν καὶ ταύτης οὐκ ὀλίγη μικρὰ προσηγορεύθη Σκυθία, τῶν Θρακῶν τὰ μὲν τῇ βίᾳ συγχωρούντων, τὰ δὲ τῇ κακίᾳ τῆς χώρας· ἐλῶδης γάρ ἐστιν ἡ πολλὴ αὐτῆς.

воспорскіе тираны владѣли лишь небольшою *областью* при устьѣ Меотиды и *при* Пантикапеѣ до Ѳеодосіи, а наибольшую *часть страны* до перешейка и Каркинитскаго залива занимало скиѳское племя Тавровъ. Вся эта страна, а также, пожалуй, и *область* за перешейкомъ до Борисѳена называлась Малой Скиѳіей. Вслѣдствіе множества *переселенцевъ*, переправлявшихся отсюда за Тиру и Истръ и заселявшихъ *ту* страну, значительная часть ея также получила названіе Малой Скиѳіи, такъ какъ Ѳракійцы уступали имъ землю, отчасти *принуждаемые* силой, отчасти же вслѣдствіе плохого качества почвы, такъ какъ большая часть *этой страны* болотиста [1]).

6. Τῆς δὲ Χερρονήσου, πλὴν τῆς ὀρεινῆς τῆς ἐπὶ τῇ θαλάττῃ μέχρι Θεοδοσίας, ἥ γε ἄλλη πεδιὰς καὶ εὔγαιός ἐστι πᾶσα, σίτῳ δὲ καὶ σφόδρα εὐτυχής· ἡ τριάκοντα γοῦν ἀποδίδωσι, διὰ τοῦ τυχόντος ὀρυκτοῦ σχιζομένη. φόρον τε ἐτέλουν ὀκτωκαίδεκα μυριάδας μεδίμνων Μιθριδάτῃ, τάλαντα δ' ἀργυρίου διακόσια σὺν τοῖς Ἀσιανοῖς χωρίοις τοῖς περὶ τὴν Σινδικήν. κἀν τοῖς πρόσθεν χρόνοις ἐντεῦθεν ἦν τὰ σιτοπομπεῖα τοῖς Ἕλλησι, καθάπερ ἐκ τῆς λίμνης αἱ ταριχεῖαι· Λεύκωνα δέ φασιν ἐκ τῆς Θεοδοσίας Ἀθηναίοις πέμψαι μυριάδας μεδίμνων διακοσίας καὶ δέκα. οἱ δ' αὐτοὶ οὗτοι καὶ Γεωργοὶ ἐκαλοῦντο ἰδίως διὰ τὸ τοὺς ὑπερκειμένους Νομάδας εἶναι, τρεφομένους κρέασιν ἄλλοις τε καὶ ἱππείοις, ἱππείῳ δὲ καὶ τυρῷ καὶ γάλακτι καὶ ὀξυγάλακτι (τοῦτο δὲ καὶ ὄψημά ἐστιν αὐτοῖς κατασκευασθέν πως)· διόπερ ὁ ποιητὴς ἅπαντας εἴρηκε τοὺς ταύτῃ Γαλακτοφάγους. οἱ μὲν οὖν Νομάδες πολεμισταὶ μᾶλλόν εἰσιν ἢ λῃστρικοί, πολεμοῦσι δὲ ὑπὲρ τῶν φόρων. ἐπιτρέψαντες γὰρ ἔχειν τὴν γῆν τοῖς ἐθέλουσι γεωργεῖν ἀντὶ ταύτης ἀγαπῶσι φόρους λαμβάνοντες τοὺς συντεταγμένους μετρίους τινὰς οὐκ εἰς περιουσίαν, ἀλλ' εἰς τὰ ἐφήμερα καὶ τὰ ἀναγκαῖα τοῦ βίου· μὴ διδόντων δέ, αὐτοῖς πολεμοῦσιν. οὕτω δὲ καὶ δικαίους ἅμα καὶ

6. *Что же касается* Херсониса, *то* за исключеніемъ горной *области* на морскомъ берегу до Ѳеодосіи вся остальная *часть его представляетъ* равнину съ хорошей почвой и чрезвычайно богатую хлѣбомъ: *земля*, вспаханная *какъ попало* любымъ пахаремъ, даетъ *урожай* самъ-тридцать. *Жители* давали въ дань Митридату 180,000 медимновъ *хлѣба* и 200 талантовъ серебра вмѣстѣ съ азіатскими мѣстечками возлѣ Синдики. И въ прежнія времена отсюда вывозился хлѣбъ къ Еллинамъ, подобно тому какъ соленая рыба изъ Меотиды. Разсказываютъ, что Левконъ послалъ изъ Ѳеодосіи Аѳинянамъ 2,100,000 медимновъ. Эти самые *жители полуострова* спеціально назывались Земледѣльцами вслѣдствіе того, что *народы*, обитавшіе выше ихъ, были Номады, питавшіеся мясомъ разныхъ животныхъ, преимущественно же кониной, а также кобыльимъ сыромъ, молокомъ и сывороткой (послѣдняя, будучи особымъ образомъ приготовлена, составляетъ для нихъ лакомство). Поэтому-то поэтъ и назвалъ всѣхъ здѣшнихъ жителей Млекоѣдами. Номады занимаются больше войною, чѣмъ разбоемъ, и войны ведутъ изъ-за дани: предоставивъ землю во владѣніе желающимъ заниматься земледѣліемъ, они

V, 20: «τριάκοντα ferri non posse apparet: τριακοντάχουν scribendum est, ut loci similes docent XV, 731, XVI, 741. Erroris causa manifesta». Kr. εὐτυχής, τριακοντάχουν ἀποδίδοῦσα Meineke.

1) О Малой Скиѳіи авторъ упоминаетъ еще въ VII, 5, 12 (p. 318 C.) слѣдующимъ образомъ:

. . . μετὰ δὲ τὴν τῶν Σκορδίσκων χώραν παρὰ μὲν τὸν Ἴστρον ἡ τῶν Τριβαλλῶν καὶ Μυσῶν ἐστιν, ὧν ἐμνήσθημεν πρότερον, καὶ τὰ ἕλη τὰ τῆς μικρᾶς καλουμένης Σκυθίας τῆς ἐντὸς Ἴστρου· καὶ τούτων ἐμνήσθημεν.

За страною Скордисковъ по Истру находится область Триваллова и Мисійцевъ, о которыхъ мы упомянули выше, и болота такъ называемой Малой Скиѳіи, *что* по сю сторону Истра; о нихъ мы тоже упомянули.

Digitized by Google

ἀβίους ὁ ποιητὴς εἴρηκε τοὺς αὐτοὺς τούτους ἄνδρας· ἐπεί, τῶν γε φόρων ἀπευτακτουμένων, οὐδ' ἂν καθίσταντο εἰς πόλεμον. οὐκ ἀπευτακτοῦσι δ' οἱ δυνάμει πεποιθότες, ὥστε ἢ ἀμύνασθαι ῥᾳδίως ἐπιόντας ἢ κωλῦσαι τὴν ἔφοδον· καθάπερ Ἄσανδρον ποιῆσαί φησιν Ὑψικράτης, ἀποτειχίσαντα τὸν ἰσθμὸν τῆς Χερρονήσου τὸν πρὸς τῇ Μαιώτιδι, τριακοσίων ὄντα καὶ ἑξήκοντα σταδίων, ἐπιστήσαντα πύργους καθ' ἕκαστον στάδιον δέκα. οἱ δὲ Γεωργοὶ ταύτῃ μὲν ἡμερώτεροί τε ἅμα καὶ πολιτικώτεροι νομίζονται εἶναι, χρηματισταὶ δ' ὄντες καὶ θαλάττης ἁπτόμενοι λῃστηρίων οὐκ ἀπέχονται, οὐδὲ τῶν τοιούτων ἀδικιῶν καὶ πλεονεξιῶν.

довольствуются полученіемъ условленной умѣренной дани, не для наживы, а для *удовлетворенія* ежедневныхъ жизненныхъ потребностей; въ случаѣ же неуплаты денегъ *арендаторами*, начинаютъ съ ними войну. Вотъ почему поэтъ назвалъ этихъ самыхъ людей и справедливыми и вмѣстѣ неимущими средствъ. Дѣйствительно, они даже не начинали бы войны, если бы дани были правильно имъ уплачиваемы. А не платятъ имъ тѣ, которые увѣрены въ *своихъ* силахъ, такъ что могутъ или легко отразить нападающихъ, или воспрепятствовать вторженію. Такъ, по словамъ Инсикрата, поступилъ Асандръ, отгородившій стѣною перешеекъ Херсониса у Мэотиды, *длиною* въ 360 стадій, и поставившій по 10 башенъ на каждой стадіи. Земледѣльцы же, хотя и слывутъ въ отношеніи воинственности за людей болѣе мирныхъ и болѣе цивилизованныхъ, но, будучи корыстолюбивы и соприкасаясь съ моремъ, не воздерживаются отъ разбоевъ и тому подобныхъ незаконныхъ средствъ къ обогащенію.

7. Πρὸς δὲ τοῖς καταριθμηθεῖσι τόποις ἐν τῇ Χερρονήσῳ καὶ τὰ φρούρια ὑπῆρξεν, ἃ κατεσκεύασε Σκίλουρος καὶ οἱ παῖδες, οἷς περ καὶ ὁρμητηρίοις ἐχρῶντο πρὸς τοὺς Μιθριδάτου στρατηγούς, Παλάκιόν τε καὶ Χάβον καὶ Νεάπολις· ἦν δὲ καὶ Εὐπατόριόν τι, κτίσαντος Διοφάντου, Μιθριδάτου στρατηγοῦντος. ἔστι δ' ἄκρα διέχουσα τοῦ τῶν Χερρονησιτῶν τείχους ὅσον πεντεκαίδεκα σταδίους, κόλπον ποιοῦσα εὐμεγέθη, νεύοντα πρὸς τὴν πόλιν· τούτου δ' ὑπέρκειται λιμνοθάλαττα, ἁλοπήγιον ἔχουσα· ἐνταῦθα δὲ καὶ ὁ Κτενοῦς ἦν, ἵν' οὖν ἀντέχοιεν, οἱ βασιλικοὶ πολιορκούμενοι τῇ τε ἄκρᾳ τῇ λεχθείσῃ φρουρὰν ἐγκατέστησαν, τειχίσαντες τὸν τόπον, καὶ τὸ στόμα τοῦ κόλπου τὸ μέχρι τῆς πόλεως διέχωσαν, ὥστε πεζεύεσθαι ῥᾳδίως καὶ τρόπον τινὰ μίαν εἶναι πόλιν ἐξ ἀμφοῖν· ἐκ δὲ τούτου ῥᾷον ἀπεκρούοντο τοὺς Σκύθας. ἐπεὶ δὲ καὶ τῷ διατειχίσματι τοῦ ἰσθμοῦ τοῦ πρὸς τῷ Κτενοῦντι προσέβαλον καὶ τὴν τάφρον ἐνέχουν καλάμῳ, τὸ μεθ' ἡμέραν γεφυρωθὲν μέρος νύκτωρ ἐνεπίμπρασαν οἱ βασιλικοὶ καὶ ἀντεῖχον τέως, ἕως ἐπεκράτησαν. καὶ νῦν ὑπὸ τοῖς τῶν Βοσπορανῶν βασιλεῦσιν, οὓς ἂν Ῥωμαῖοι καταστήσωσιν, ἅπαντά ἐστιν.

7. Кромѣ перечисленныхъ пунктовъ въ Херсонисѣ существовали и укрѣпленія, которыя построилъ Скилуръ и его сыновья и которыя служили для нихъ опорными пунктами въ военныхъ дѣйствіяхъ противъ Митридатовыхъ воеводъ, *именно* Палакій, Хавъ и Неаполь. Былъ также и Евпаторій, основанный Діофантомъ, полководцемъ Митридата. На разстояніи около 15 стадій отъ стѣны Херсонисцевъ есть мысъ, образующій заливъ порядочной величины, направляющійся къ городу. Выше его лежитъ морское болото съ соловарней. Здѣсь былъ и *портъ* Ктенунтъ. Для того, чтобы бороться *со Скивами*, царскіе *воеводы* во время осады поставили на упомянутомъ мысѣ гарнизонъ, оградивши *это* мѣсто стѣной, и засыпали входъ въ заливъ до *самаго* города, такъ что *можно было* безъ затрудненій переправляться сухимъ путемъ и изъ двухъ городовъ сдѣлался какъ-бы одинъ. Съ этихъ поръ они легче отражали Скивовъ. Когда же *послѣдніе* напали и на укрѣпленіе перешейка при Ктенунтѣ и стали заваливать ровъ тростникомъ, то царскіе *солдаты* почью сожигали часть плотины, выстроенную днемъ, и

V. 10: καθ' ἕκαστον στάδιον ἕνα Grosk. Mein. || V. 31: «Μιθριδάτῃ Tzsch., quod ferri nequit. Suspicari possis Μιθριδάτου στρατηγοῦ τινος: cf. p. 306». Kr. — [τοῦ] Μιθριδάτου στρατηγοῦ Meineke.

Digitized by Google

8. Ἴδιον δὲ τοῦ Σκυθικοῦ καὶ τοῦ Σαρματικοῦ παντὸς ἔθνους τὸ τοὺς ἵππους ἐκτέμνειν εὐπειθείας χάριν· μικροὶ μὲν γάρ εἰσιν, ὀξεῖς δὲ σφόδρα καὶ δυσπειθεῖς. θῆραι δ' εἰσὶν ἐν μὲν τοῖς ἕλεσιν ἐλάφων καὶ συάγρων, ἐν δὲ τοῖς πεδίοις ὀνάγρων καὶ δορκάδων. ἴδιον δέ τι καὶ τὸ ἀετὸν μὴ γίνεσθαι ἐν τοῖς τόποις τούτοις. ἔστι δὲ τῶν τετραπόδων ὁ καλούμενος κόλος, μεταξὺ ἐλάφου καὶ κριοῦ τὸ μέγεθος, λευκός, ὀξύτερος τούτων τῷ δρόμῳ, πίνων τοῖς ῥώδωσιν εἰς τὴν κεφαλήν, εἶτ' ἐντεῦθεν εἰς ἡμέρας ταμιεύων πλείους, ὥστ' ἐν τῇ ἀνύδρῳ νέμεσθαι ῥᾳδίως. τοιαύτη μὲν ἡ ἐκτὸς Ἴστρου πᾶσα, ἡ μεταξὺ τοῦ Ῥήνου καὶ τοῦ Τανάιδος ποταμοῦ, μέχρι τῆς Ποντικῆς θαλάττης καὶ τῆς Μαιώτιδος.

8. У всѣхъ скиѳскихъ и сарматскихъ племенъ есть обычай холостить лошадей, чтобы сдѣлать ихъ болѣе послушными; ибо лошади у нихъ, хотя и не велики, но очень горячи и неукротимы. Охоты устраиваются въ болотахъ на оленей и кабановъ, а въ степяхъ — на дикихъ ословъ и козъ. Особенность этой страны состоитъ также въ томъ, что въ ней не водятся орлы. Въ числѣ четвероногихъ водится такъ называемый «колосъ», по величинѣ занимающій средину между оленемъ и бараномъ, бѣлый и быстротою бѣга превосходящій названныхъ *животныхъ;* во время питья онъ ноздрями *втягиваетъ воду* въ голову и затѣмъ нѣсколько дней сберегаетъ ее здѣсь, такъ что легко можетъ жить въ безводныхъ *мѣстахъ*. Такова вся *страна, лежащая* по ту сторону Истра, между Рейномъ и рѣкою Танаидомъ до Понтійскаго моря и Мэотиды.

25. Изъ разсказа о ловлѣ пиламидъ въ Понтѣ.

Lib. VII c. 6 § 2 (p. 320 C.).

Переводъ **В. Л.**

... γεννᾶται μὲν οὖν τὸ ζῷον ἐν τοῖς ἕλεσι τῆς Μαιώτιδος, ἰσχῦσαν δὲ μικρὸν ἐκπίπτει διὰ τοῦ στόματος ἀγεληδὸν καὶ φέρεται παρὰ τὴν Ἀσιανὴν ἠόνα μέχρι Τραπεζοῦντος καὶ Φαρνακίας· ἐνταῦθα δὲ πρότερον συνίστασθαι συμβαίνει τὴν θήραν, οὐ πολλὴ δ' ἐστίν· οὐ γάρ πω τὸ προσῆκον ἔχει μέγεθος· εἰς δὲ Σινώπην προϊοῦσα ὡραιοτέρα πρός τε τὴν θήραν καὶ τὴν ταριχείαν ἐστίν...

...Это животное [т. е. рыба пиламида, родъ тунца] родится въ болотахъ Меотиды; немного окрѣпши, оно стадами вваливается чрезъ устье *Меотиды въ Понтъ* и несется вдоль азіатскаго берега до Трапезунта и Фарнакіи; здѣсь находится первый пунктъ ловли, но она не обильна, ибо рыба не имѣетъ еще надлежащей величины; проходя *далѣе* къ Синопѣ, она становится болѣе годною для ловли и соленія. . .

26. Описаніе кавказскихъ земель отъ рѣки Танаида.

Lib. XI cc. 1—6 (p. 490—507 C.).

Переводъ **П. И. Прозорова.**

ГЛАВА I.

Дѣленіе Азіи.

5. Τοῖς δὲ μεταβαίνουσιν ἀπὸ τῆς Εὐρώπης ἐπὶ τὴν Ἀσίαν ἐν τῇ γεωγραφίᾳ τὰ πρὸς βορρᾶν ἐστι πρῶτα τῆς εἰς δύο διαιρέσεως· ὥστε ἀπὸ τούτων ἀρκτέον. αὐτῶν δὲ τούτων πρῶτά ἐστι τὰ περὶ τὸν Τάναϊν, ὄνπερ τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ὅριον ὑπεθέμεθα. ἔστι δὲ ταῦτα τρόπον τινὰ

5. Переходя въ описаніи земли отъ Европы къ Азіи, мы встрѣчаемъ сперва сѣверную часть *принятаго нами* дѣленія *Азіи* на двѣ *части;* поэтому съ нея и должны начать *описаніе*. Изъ самихъ этихъ *сѣверныхъ странъ* первыми представляются области по Тананду, который мы приняли

Digitized by Google

χερρονησίζοντα· περιέχεται γὰρ ἐκ μὲν τῆς ἑσπέρας τῷ ποταμῷ τῷ Τανάιδι καὶ τῇ Μαιώτιδι μέχρι τοῦ Βοσπόρου καὶ τῆς τοῦ Εὐξείνου παραλίας, τῆς τελευτώσης εἰς τὴν Κολχίδα· ἐκ δὲ τῶν ἄρκτων τῷ Ὠκεανῷ μέχρι τοῦ στόματος τῆς Κασπίας θαλάττης· ἑωθεν δὲ αὐτῇ ταύτῃ τῇ θαλάττῃ μέχρι τῶν μεθορίων τῆς τε Ἀλβανίας καὶ τῆς Ἀρμενίας, καθ' ἃ ὁ Κῦρος καὶ ὁ Ἀράξης ἐκδιδοῦσι ποταμοί, ῥέοντες ὁ μὲν διὰ τῆς Ἀρμενίας, Κῦρος δὲ διὰ τῆς Ἰβηρίας καὶ τῆς Ἀλβανίας· ἐκ νότου δὲ τῇ ἀπὸ τῆς ἐκβολῆς τοῦ Κύρου μέχρι τῆς Κολχίδος, ὅσον τρισχιλίων οὖσῃ σταδίων ἀπὸ θαλάττης ἐπὶ θάλατταν, δι' Ἀλβανῶν καὶ Ἰβήρων, ὥστε ἰσθμοῦ λόγον ἔχειν. οἱ δ' ἐπὶ τοσοῦτον συναγαγόντες τὸν ἰσθμόν, ἐφ' ὅσον Κλείταρχος, ἐπίκλυστον φήσας ἐξ ἑκατέρου τοῦ πελάγους, οὐδ' ἂν λόγου ἀξιοῖντο. Ποσειδώνιος δὲ χιλίων καὶ πεντακοσίων εἴρηκε τὸν ἰσθμόν, ὅσον καὶ τὸν ἀπὸ Πηλουσίου ἰσθμὸν ἐς τὴν Ἐρυθράν· δοκῶ δέ, φησί, μὴ πολὺ διαφέρειν μηδὲ τὸν ἀπὸ τῆς Μαιώτιδος εἰς τὸν Ὠκεανόν.

6. Οὐκ οἶδα δέ, πῶς ἄν τις περὶ τῶν ἀδήλων αὐτῷ πιστεύσειε, μηδὲν εἰκὸς ἔχοντι εἰπεῖν περὶ αὐτῶν, ὅταν περὶ τῶν φανερῶν οὕτω παραλόγως λέγῃ καὶ ταῦτα φίλος Πομπηίῳ γεγονὼς τῷ στρατεύσαντι ἐπὶ τοὺς Ἴβηρας καὶ τοὺς Ἀλβανοὺς μέχρι τῆς ἑτέρα θαλάττης, τῆς τε Κασπίας καὶ τῆς Κολχικῆς...

7. Δεύτερον δ' ἂν εἴη μέρος τὸ ὑπὲρ τῆς Ὑρκανίας θαλάττης, ἣν Κασπίαν καλοῦμεν, μέχρι τῶν κατ' Ἰνδοὺς Σκυθῶν. τρίτον δὲ μέρος τὸ συνεχὲς τῷ λεχθέντι ἰσθμῷ καὶ ἔτι τὰ ἐξῆς τούτῳ καὶ ταῖς Κασπίαις πύλαις, τῶν ἐντὸς τοῦ Ταύρου καὶ τῆς Εὐρώπης ἐγγυτάτω· ταῦτα δ' ἐστὶ Μηδία καὶ Ἀρμενία καὶ Καππαδοκία καὶ τὰ μεταξύ...

границею Европы и Азіи. Эти *области* представляютъ какъ бы видъ полуострова: ибо съ запада онѣ ограничиваются рѣкою Танаидомъ и Меотидою до Воспора и берега Евксина, оканчивающагося Колхидою, съ сѣвера Океаномъ до устья Каспійскаго моря, а съ востока этимъ самымъ моремъ до предѣловъ Албаніи и Арменіи, гдѣ *въ него* изливаются рѣки Киръ и Араксъ, *изъ которыхъ* послѣдняя течетъ по Арменіи, а Киръ — по Иверіи и Албаніи. Съ юга *эти области ограничиваются полосою земли* отъ устья Кира до Колхиды, *длиною* около 3000 стадій отъ моря до моря, чрезъ *земли* Албанцевъ и Иверовъ, такъ что *полоса эта* имѣетъ видъ перешейка. *Писатели*, съуживающіе перешеекъ настолько, на сколько Клитархъ, сказавшій, что *перешеекъ* заливается обоими морями, не могутъ заслуживать даже вниманія. Посидоній говоритъ, что перешеекъ *имѣетъ въ длину* 1500 стадій, *т. е. столько же*, сколько и перешеекъ отъ Пилусія до Краснаго *моря*. «Мнѣ кажется, прибавляетъ онъ, что и *перешеекъ* отъ Меотиды до Океана не имѣетъ значительной разницы *въ длинѣ*».

6. Но я не знаю, какъ можно ему вѣрить въ томъ, что касается *предметовъ* неизвѣстныхъ, о которыхъ онъ не можетъ сказать ничего правдоподобнаго, если онъ *даже* объ извѣстныхъ *предметахъ* говоритъ столько нелѣпостей, не смотря на то, что былъ другомъ Помпея, совершившаго походъ противъ Иверовъ и Албанцевъ до морей, *находящихся* по обѣ стороны *ихъ*, *т. е.* Каспійскаго и Колхидскаго...

7. Второю частью *сѣверной Азіи* можно считать *область* надъ Иркапскимъ моремъ, которое мы называемъ Каспійскимъ, до Скиѳовъ сосѣднихъ съ Индійцами; третьей — *область*, непосредственно примыкающую къ названному перешейку, и затѣмъ *области*, прилегающія къ нему и Каспійскимъ воротамъ, ближайшія къ *землямъ* по сю сторону Тавра и къ Европѣ; *области* эти суть: Мидія, Арменія, Каппадокія и лежащія между *ними*...

ГЛАВА II.

Описаніе побережья Меотиды и Понта до Колхиды.

1. Οὕτω δὲ διακειμένων τὸ πρῶτον μέρος οἰκοῦσιν ἐκ μὲν τῶν πρὸς ἄρκτον μερῶν καὶ

1. При такомъ дѣленіи первую часть, начиная съ сѣверныхъ странъ, обращен-

Digitized by Google

τὸν Ὠκεανὸν Σκυθῶν τινὲς νομάδες καὶ ἀμάξοικοι, ἐνδοτέρω δὲ τούτων Σαρμάται, καὶ οὗτοι Σκύθαι, Ἄορσοι καὶ Σιρακοί, μέχρι τῶν Καυκασίων ὀρῶν ἐπὶ μεσημβρίαν τείνοντες, οἱ μὲν νομάδες, οἱ δὲ καὶ σκηνῖται καὶ γεωργοὶ περὶ δὲ τὴν λίμνην Μαιῶται· πρὸς δὲ τῇ θαλάττῃ τοῦ Βοσπόρου τὰ κατὰ τὴν Ἀσίαν ἐστὶ καὶ ἡ Σινδικὴ· μετὰ δὲ ταύτην Ἀχαιοὶ καὶ Ζυγοὶ καὶ Ἡνίοχοι, Κερκέται τε καὶ Μακροπώγωνες. ὑπέρκεινται δὲ τούτων καὶ τὰ τῶν Φθειροφάγων στενά· μετὰ δὲ τοὺς Ἡνιόχους ἡ Κολχίς, ὑπὸ τοῖς Καυκασίοις ὄρεσι κειμένη καὶ τοῖς Μοσχικοῖς. ἐπεὶ δ' ὅριον ὑπόκειται τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ὁ Τάναϊς ποταμός, ἐντεῦθεν ἀρξάμενοι τὰ καθ' ἕκαστα ὑπογράψομεν.

2. Φέρεται μὲν οὖν ἀπὸ τῶν ἀρκτικῶν μερῶν, οὐ μὴν ὡς ἂν κατὰ διάμετρον ἀντίρρους τῷ Νείλῳ, καθάπερ νομίζουσιν οἱ πολλοί, ἀλλὰ ἑωθινώτερος ἐκείνου, παραπλησίως ἐκείνῳ τὰς ἀρχὰς ἀδήλους ἔχων· ἀλλὰ τοῦ μὲν πολὺ τὸ φανερόν, χώραν διεξιόντος πᾶσαν εὐεπίμικτον καὶ μακροὺς ἀνάπλους ἔχοντος· τοῦ δὲ Τανάϊδος τὰς μὲν ἐκβολὰς ἴσμεν (δύο δ' εἰσὶν εἰς τὰ ἀρκτικώτατα μέρη τῆς Μαιώτιδος, ἑξήκοντα σταδίους ἀλλήλων διέχουσαι), τοῦ δ' ὑπὲρ τῶν ἐκβολῶν ὀλίγον τὸ γνώριμόν ἐστι διὰ τὰ ψύχη καὶ τὰς ἀπορίας τῆς χώρας, ἃς οἱ μὲν αὐτόχθονες δύνανται φέρειν, σαρξὶ καὶ γάλακτι τρεφόμενοι νομαδικῶς, οἱ δ' ἀλλοεθνεῖς οὐχ ὑπομένουσιν. ἄλλως τε οἱ νομάδες δυσεπίμικτοι τοῖς ἄλλοις ὄντες καὶ πλήθει καὶ βίᾳ διαφέροντες ἀποκεκλείκασιν, εἰ καί τι πορεύσιμον τῆς χώρας ἐστὶν ἢ εἴ τινας τετύχηκεν ἀνάπλους ἔχων ὁ ποταμός. ἀπὸ δὲ τῆς αἰτίας ταύτης οἱ μὲν ὑπέλαβον τὰς πηγὰς ἔχειν αὐτὸν ἐν τοῖς Καυκασίοις ὄρεσι, πολὺν δ' ἐνεχθέντα ἐπὶ τὰς ἄρκτους, εἶτ' ἀναστρέψαντα ἐκβάλλειν εἰς τὴν Μαιῶτιν· τούτοις δὲ ὁμοδοξεῖ καὶ Θεοφάνης ὁ Μιτυληναῖος· οἱ δ' ἀπὸ τῶν ἄνω μερῶν τοῦ Ἴστρου φέρεσθαι· σημεῖον δὲ φέρουσιν οὐδὲν τῆς πόρρωθεν οὕτω ῥύσεως καὶ ἀπ' ἄλλων κλιμάτων, ὥσπερ οὐ δυνατὸν ὂν καὶ ἐγγύθεν καὶ ἀπὸ τῶν ἄρκτων.

3. Ἐπὶ δὲ τῷ ποταμῷ καὶ τῇ λίμνῃ

ных къ Океану, населяютъ нѣкоторые Скиѳы, кочующіе и живущіе въ повозкахъ; ближе ихъ — Сарматы, тоже скиѳское *племя*, Аорсы и Сираки, спускающіеся къ югу до Кавказскихъ горъ; одни изъ нихъ кочуютъ, другіе живутъ въ шатрахъ и занимаются земледѣліемъ. У *самаго* озера живутъ Меоты. У моря *лежитъ* азіатская часть Воспорскаго царства и Синдика, а за нею *живутъ* Ахеи, Зиги, Иніохи, Керкеты и Макропогоны *(Длиннобородые)*. Выше ихъ лежатъ тѣснины Вшеѣдовъ. За Иніохами *находится* Колхида, лежащая подъ Кавказскими и Мосхійскими горами. Такъ какъ границею Европы и Азіи поставлена рѣка Танаидъ, то начиная съ него мы и опишемъ подробно *эти мѣстности*.

2. *Танаидъ* течетъ изъ сѣверныхъ странъ, однако въ направленіи не прямо противоположномъ Нилу, какъ полагаетъ большинство, а восточнѣе его, и подобно ему, изъ неизвѣстныхъ истоковъ. Но *Нилъ* извѣстенъ въ большей части *своего теченія*, такъ какъ течетъ по странѣ вездѣ доступной и на большомъ протяженіи судоходенъ, а что касается Танаида, *то* устья *его* мы знаемъ (ихъ два, въ самой сѣверной части Меотиды на разстояніи 60 стадій одно отъ другаго), а выше устьевъ извѣстна лишь небольшая часть по причинѣ холодовъ и скудости страны, которую могутъ переносить туземцы, питающіеся мясомъ и молокомъ по обычаю кочевниковъ, а чужестранцы не выносятъ. Кромѣ того кочевники, неохотно вступая въ сношенія съ другими *народами* и отличаясь численностью и силою, преграждаютъ доступъ даже въ удобопроходимыя части страны или по рѣкѣ, гдѣ она допускаетъ плаваніе вверхъ. По этой-то причинѣ одни предполагали, что *Танаидъ* беретъ начало въ Кавказскихъ горахъ и, поднявшись далеко на сѣверъ, затѣмъ поворачиваетъ назадъ и впадаетъ въ Меотиду (съ ними согласенъ и Ѳеофанъ Митиленскій), а другіе — что онъ течетъ отъ верхнихъ частей Истра. Но они ничего не приводятъ въ доказательство теченія его изъ столь отдаленныхъ *странъ* и изъ другихъ широтъ, какъ будто онъ не можетъ *течь* изъ близкихъ мѣстностей и съ сѣвера.

3. При впаденіи рѣки въ озеро лежитъ

V. 10 ὑπερκειται Meineke.

Digitized by Google

πόλις ὁμώνυμος οἰκεῖται Τάναϊς, κτίσμα τῶν τὸν Βόσπορον ἐχόντων Ἑλλήνων· νεωστὶ μὲν οὖν ἐξεπόρθησεν αὐτὴν Πολέμων ὁ βασιλεὺς ἀπειθοῦσαν. ἦν δ' ἐμπόριον κοινὸν τῶν τε Ἀσιανῶν καὶ τῶν Εὐρωπαίων νομάδων καὶ τῶν ἐκ τοῦ Βοσπόρου τὴν λίμνην πλεόντων, τῶν μὲν ἀνδράποδα ἀγόντων καὶ δέρματα καὶ εἴ τι ἄλλο τῶν νομαδικῶν, τῶν δ' ἐσθῆτα καὶ οἶνον καὶ τἆλλα, ὅσα τῆς ἡμέρου διαίτης οἰκεῖα, ἀντιφορτιζομένων. πρόκειται δ' ἐν ἑκατὸν σταδίοις τοῦ ἐμπορίου νῆσος Ἀλωπεκία, κατοικία μιγάδων ἀνθρώπων· ἔστι δὲ καὶ ἄλλα νησίδια πλησίον ἐν τῇ λίμνῃ. διέχει δὲ τοῦ στόματος τῆς Μαιώτιδος εὐθυπλοοῦσι ἐπὶ τὰ βόρεια δισχιλίους καὶ διακοσίους σταδίους ὁ Τάναϊς, οὐ πολὺ δὲ πλείους εἰσὶ παραλεγομένῳ τὴν γῆν.

4. Ἐν δὲ τῷ παράπλῳ τῷ παρὰ γῆν πρῶτον μέν ἐστιν ἀπὸ τοῦ Τανάιδος προϊοῦσιν ἐν ὀκτακοσίοις σταδίοις ὁ μέγας καλούμενος Ῥομβίτης, ἐν ᾧ τὰ πλεῖστα ἁλιεύματα τῶν εἰς ταριχείας ἰχθύων· ἔπειτα ἐν ἄλλοις ὀκτακοσίοις ὁ ἐλάσσων Ῥομβίτης [καὶ] ἄκρα, ἔχουσα καὶ αὐτὴ ἁλιείας ἐλάττους· ἔχουσι δὲ οἱ μὲν... πρότερον νησία ὁρμητήρια, οἱ δ' ἐν τῷ μικρῷ Ῥομβίτῃ αὐτοί εἰσιν οἱ Μαιῶται ἐργαζόμενοι· οἰκοῦσι γὰρ ἐν τῷ παράπλῳ τούτῳ παντὶ οἱ Μαιῶται, γεωργοὶ μέν, οὐχ ἧττον δὲ τῶν νομάδων πολεμισταί. διῄρηνται δὲ εἰς ἔθνη πλείω, τὰ μὲν πλησίον τοῦ Τανάιδος ἀγριώτερα, τὰ δὲ συνάπτοντα τῷ Βοσπόρῳ χειροήθη μᾶλλον. ἀπὸ δὲ τοῦ μικροῦ Ῥομβίτου στάδιοί εἰσιν ἑξακόσιοι ἐπὶ Τυράμβην καὶ τὸν Ἀντικείτην ποταμόν. εἶθ' ἑκατὸν καὶ εἴκοσιν ἐπὶ τὴν κώμην τὴν Κιμμερικήν, ἥτις ἐστὶν ἀφετήριον τοῖς τὴν λίμνην πλέουσιν· ἐν δὲ τῷ παράπλῳ τούτῳ καὶ σκοπαί τινες λέγονται Κλαζομενίων.

5. Τὸ δὲ Κιμμερικὸν πόλις ἦν πρότερον ἐπὶ χερρονήσου ἱδρυμένη, τὸν ἰσθμὸν τάφρῳ καὶ χώματι κλείουσα· ἐκέκτηντο δ' οἱ Κιμμέριοι μεγάλην ποτὲ ἐν τῷ Βοσπόρῳ δύναμιν, διόπερ καὶ Κιμμερικὸς Βόσπορος ὠνομάσθη· οὗτοι δ' εἰσὶν οἱ τοὺς τὴν μεσόγαιαν οἰκοῦντας ἐν τοῖς δεξιοῖς μέρεσι τοῦ Πόντου μέχρι Ἰωνίας ἐπιδραμόντες. τούτους μὲν οὖν ἐξήλασαν ἐκ τῶν τόπων Σκύθαι, τοὺς δὲ Σκύθας Ἕλληνες οἱ Παντικάπαιον καὶ τὰς ἄλλας οἰκίσαντες πόλεις τὰς ἐν Βοσπόρῳ.

1 сопменный *ранѣ* городъ Танаидъ, основанный Эллинами, владѣющими Воспоромъ. Недавно его разрушилъ *до основанія* царь Полемонъ за неповиновеніе; *раньше* онъ служилъ общимъ торжищемъ для азіатскихъ и европейскихъ кочевниковъ и для пріѣзжающихъ по озеру изъ Воспора; первые доставляли рабовъ, шкуры и разные другіе товары кочевниковъ, а другіе взамѣнъ привозили на судахъ платье, вино и прочіе предметы, свойственные цивилизованному образу жизни. Передъ городомъ на разстояніи ста стадій лежитъ островъ Алопекія, имѣющій смѣшанное населеніе; неподалеку на озерѣ есть и другіе островки. Танаидъ отстоитъ отъ устья Меотиды, если плыть прямо на сѣверъ, на 2200 стадій, а если плыть вдоль берега, то *выйдетъ* немного больше.

4. При плаваніи вдоль берега первымъ отъ Танаида, на разстояніи 800 стадій, будетъ такъ называемый Большой Ромвитъ, въ которомъ есть множество пунктовъ ловли рыбы, *идущей* на соленіе. Затѣмъ, на разстояніи еще 800 стадій — меньшій Ромвитъ и мысъ также съ рыбными ловлями, *но* меньшихъ размѣровъ. Одни имѣютъ... раньше островки пунктами отправленія, а на маломъ Ромвитѣ работаютъ сами Меоты. На всемъ этомъ побережьѣ живутъ Меоты, хотя и занимающіеся земледѣліемъ, но воинственностью не уступающіе номадамъ. Они раздѣляются на довольно многія племена, *изъ коихъ* ближайшія къ Танаиду отличаются большею дикостью, а прилегающія къ Воспору — болѣе мягкими нравами. Отъ Малаго Ромвита 600 стадій до Тирамвы и рѣки Антикита, затѣмъ 120 стадій до селенія Киммерійскаго, которое служитъ мѣстомъ отправленія для плывущихъ по озеру. На этомъ побережьѣ указываютъ еще нѣсколько сторожевыхъ башенъ Клазоменійцевъ.

5. Киммерикъ прежде былъ городъ, построенный на полуостровѣ и замыкавшій перешеекъ рвомъ и валомъ. Киммерійцы нѣкогда имѣли большую силу на Воспорѣ, вслѣдствіе чего и Воспоръ былъ названъ Киммерійскимъ. Это — *тотъ народъ, который* дѣлалъ набѣги на живущихъ внутри страны по правую сторону Понта, до Іоніи. Киммерійцевъ изгнали изъ страны Скиѳы, а Скиѳовъ — Эллины, основавшіе Пантикапэй и прочіе города на Воспорѣ.

Digitized by Google

6. Εἶτ' ἐπὶ τὴν Ἀχίλλειον κώμην εἴκοσιν, ἐν ᾗ τὸ Ἀχιλλέως ἱερόν· ἐνταῦθα δ' ἐστὶν ὁ στενώτατος πορθμὸς τοῦ στόματος τῆς Μαιώτιδος, ὅσον εἴκοσι σταδίων ἢ πλειόνων, ἔχων ἐν τῇ περαίᾳ κώμην τὸ Μυρμήκιον. πλησίον δ' ἐστὶ τοῦ Ἡρακλείου καὶ τὸ Παρθένιον.

7. Ἐντεῦθεν δ' ἐπὶ τὸ Σατύρου μνῆμα ἐνενήκοντα στάδιοι· τοῦτο δ' ἐστὶν ἐπ' ἄκρας τινὸς χωστὸν ἀνδρὸς τῶν ἐπιφανῶς δυναστευσάντων τοῦ Βοσπόρου.

8. Πλησίον δὲ κώμη Πατραεύς, ἀφ' ἧς ἐπὶ κώμην Κοροκονδάμην ἑκατὸν τριάκοντα· αὕτη δ' ἐστὶ τοῦ Κιμμερικοῦ καλουμένου Βοσπόρου πέρας. καλεῖται δὲ οὗτος ὁ στενωπὸς ἐπὶ τοῦ στόματος τῆς Μαιώτιδος ἀπὸ τῶν κατὰ τὸ Ἀχίλλειον καὶ τὸ Μυρμήκιον στενῶν διατείνων μέχρι πρὸς τὴν Κοροκονδάμην καὶ τὸ ἀντικείμενον αὐτῇ κωμίον τῆς Παντικαπαιέων γῆς, [ᾧ] ὄνομα Ἄκρα, ἑβδομήκοντα σταδίων διειργόμενον πορθμῷ· μέχρι γὰρ δεῦρο καὶ ὁ κρύσταλλος διατείνει, πηττομένης τῆς Μαιώτιδος κατὰ τοὺς κρυμούς, ὥστε πεζεύεσθαι. ἅπας δ' ἐστὶν εὐλίμενος ὁ στενωπὸς οὗτος.

9. Ὑπέρκειται δὲ τῆς Κοροκονδάμης εὐμεγέθης λίμνη, ἣν καλοῦσιν ἀπ' αὐτῆς Κοροκονδαμῖτιν· ἐκδίδωσι δ' ἀπὸ δέκα σταδίων τῆς κώμης εἰς τὴν θάλατταν· ἐμβάλλει δὲ εἰς τὴν λίμνην ἀπορρώξ τις τοῦ Ἀντικείτου ποταμοῦ καὶ ποιεῖ νῆσον περίκλυστόν τινα ταύτῃ τε τῇ λίμνῃ καὶ τῇ Μαιώτιδι καὶ τῷ ποταμῷ. τινὲς δὲ καὶ τοῦτον τὸν ποταμὸν Ὕπανιν προσαγορεύουσι, καθάπερ καὶ τὸν πρὸς τῷ Βορυσθένει.

10. Εἰσπλεύσαντι δ' εἰς τὴν Κοροκονδαμῖτιν ἥ τε Φαναγορία ἐστί, πόλις ἀξιόλογος, καὶ Κῆποι καὶ Ἑρμώνασσα καὶ τὸ Ἀπάτουρον, τὸ τῆς Ἀφροδίτης ἱερόν· ὧν ἡ Φαναγορία καὶ οἱ Κῆποι κατὰ τὴν λεχθεῖσαν νῆσον ἵδρυνται, εἰσπλέοντι ἐν ἀριστερᾷ, αἱ δὲ λοιπαὶ πόλεις ἐν δεξιᾷ πέραν Ὑπάνιος ἐν τῇ Σινδικῇ. ἔστι δὲ καὶ Γοργιπία ἐν τῇ Σινδικῇ, τὸ βασίλειον τῶν Σινδῶν πλησίον θαλάττης, καὶ Ἀβοράκη. τοῖς δὲ τοῦ

6. Затѣмъ 20 *стадій* до Ахиллова селенія, въ которомъ есть святилище Ахилла. Здѣсь самое узкое мѣсто въ устьѣ Мэотиды, *шириною* около 20 стадій или *нѣсколько* болѣе; на противоположномъ берегу лежитъ селеніе Мирмикій (вблизи Ираклія) и Парѳеній.

7. Отсюда 90 стадій до памятника Сатира; это — насыпанный на мысѣ *курганъ* одного изъ *царей*, славно господствовавшихъ на Воспорѣ.

8. Недалеко *отсюда* селеніе Патраей, отъ котораго 130 *стадій* до деревни Корокондамы; послѣдняя представляетъ предѣлъ такъ называемаго Киммерійскаго Воспора. Такъ называется проливъ при устьѣ Мэотиды, отъ узкаго мѣста у Ахиллова селенія и Мирмикія тянущійся до Корокондамы и лежащей противъ нея, въ Пантикапэйской землѣ, деревеньки по имени Акра, отдѣленной 70 стадіями водянаго пути. Доселѣ доходитъ и ледъ, такъ какъ въ морозы Мэотида сковывается льдомъ до того, что по ней ходятъ пѣшкомъ. Весь этотъ проливъ имѣетъ прекрасныя гавани.

9. Выше Корокондамы лежитъ довольно большое озеро, которое по ея имени называютъ Корокондамитскимъ; въ 10 стадіяхъ отъ деревни оно соединяется съ моремъ. Въ озеро впадаетъ одинъ рукавъ рѣки Антикита и образуетъ островъ, омываемый этимъ озеромъ, Мэотидой и рѣкою. Нѣкоторые и эту рѣку называютъ Ипаннидомъ, подобно *рѣкѣ* сосѣдней съ Борисѳеномъ.

10. Вступившему въ Корокондамитское *озеро* представляется значительный городъ Фанагорія, затѣмъ Кипы (*Сады*), Ермонасса и Апатуръ, святилище Афродиты. Изъ нихъ Фанагорія и Кипы лежатъ на названномъ островѣ по лѣвую руку для входящаго *въ озеро*, а прочіе города — по правую, за Ипаннидомъ въ Синдикѣ. Въ Синдикѣ же, недалеко отъ моря, лежитъ и Горгипія, столица Синдовъ, и Аворака. Всѣ *народы*,

---

V. 5: «καὶ ante τοῦ add. *w*. Ceterum impeditissimus hic est locus, quia non Myrmecium, sed Parthenium situm erat e regione Achillei (v. VII, 310, coll. Ptol. III, 6); neque liquet quo referas verba πλησίον δ' ἐστὶ τοῦ Ἡρακλείου... nescio an scribendum sit πλησίον δ' ἐστὶ τὸ Ἡρακλεῖον καὶ τὸ Παρθένιον». Kr. Rectius videtur Meinekius ita scripsisse: ...τὸ Μυρμήκιον (πλησίον δ' ἐστὶ τοῦ Ἡρακλείου) καὶ τὸ Παρθένιον. || V. 20: ᾧ om. codd., add. Cor.; rectius fortasse Meinekius scripsit γῆς ὄνομα Ἄκραν. || V. 44: «γοργιπτία codd. Γοργιππία edd. inde a Xyl.: sed uno π effertur hoc nomen paulo post, utroque modo scribitur ap. Steph. s. v. Γοργιππία et Σίνδικος, ubi quae commemoratur urbs Γοργίπη ab hac non est diversa». Kr.

Digitized by Google

Βοσπόρου δυνάσταις ὑπήκοοι ὄντες ἅπαντες Βοσποράνοι καλοῦνται· καὶ ἔστι τῶν μὲν Εὐρωπαίων Βοσποράνων μητρόπολις τὸ Παντικάπαιον, τῶν δ' Ἀσιανῶν τὸ Φαναγόρειον (καλεῖται γὰρ καὶ οὕτως ἡ πόλις), καὶ δοκεῖ τῶν μὲν ἐκ τῆς Μαιώτιδος καὶ τῆς ὑπερκειμένης βαρβάρου κατακομιζομένων ἐμπόριον εἶναι τὰ Φαναγόρεια, τῶν δ' ἐκ τῆς θαλάττης ἀναφερομένων ἐκεῖσε τὸ Παντικάπαιον. ἔστι δὲ καὶ ἐν τῇ Φαναγορίᾳ τῆς Ἀφροδίτης ἱερὸν ἐπίσημον τῆς Ἀπατούρου· ἐτυμολογοῦσι δὲ τὸ ἐπίθετον τῆς θεοῦ μῦθόν τινα προστησάμενοι, ὡς, ἐπιθεμένων ἐνταῦθα τῇ θεῷ τῶν Γιγάντων, ἐπικαλεσαμένη τὸν Ἡρακλέα κρύψειεν ἐν κευθμῶνί τινι, εἶτα τῶν Γιγάντων ἕκαστον δεχομένη καθ' ἕνα τῷ Ἡρακλεῖ παραδιδοίη δολοφονεῖν ἐξ ἀπάτης.

подвластные Воспорскимъ правителямъ, называются Воспорянами. Столицею европейскихъ Воспорянъ служитъ Пантикапей, а азіатскихъ — Фанагорій (ибо и такъ называется *этотъ* городъ); и торговымъ пунктомъ для *товаровъ*, привозимыхъ изъ Меотиды и лежащей за нею варварской *страны*, служатъ, какъ кажется, Фанагоріи, а для доставляемыхъ туда съ моря — Пантикапей. Есть и въ Фанагоріи извѣстное святилище Афродиты Апатуры *(т. е. Обманчивой)*. Для объясненія происхожденія *этого* прозванія богини приводятъ миѳъ, будто богиня, когда Гиганты тамъ напали на нее, призвала *на помощь* Иракла и спрятала его въ какой-то пещерѣ, а затѣмъ, принимая *отдѣльно* каждаго Гиганта, поодиночкѣ передавала ихъ Ираклу, чтобы онъ умерщвлялъ ихъ обманомъ.

11. Τῶν Μαιωτῶν δ' εἰσὶν αὐτοί τε οἱ Σινδοὶ καὶ Δανδάριοι καὶ Τορεάται καὶ Ἀγροὶ καὶ Ἀρρηχοί, ἔτι δὲ Τάρπητες, Ὀβιδιακηνοί, Σιττακηνοί, Δόσκοι, ἄλλοι πλείους· τούτων δ' εἰσὶ καὶ οἱ Ἀσπουργιανοί, μεταξὺ Φαναγορίας οἰκοῦντες καὶ Γοργιπίας ἐν πεντακοσίοις σταδίοις, οἷς ἐπιθέμενος Πολέμων ὁ βασιλεὺς ἐπὶ προσποιήσει φιλίας, οὐ λαθὼν ἀντεστρατηγήθη καὶ ζωγρίᾳ ληφθεὶς ἀπέθανε. τῶν τε συμπάντων Μαιωτῶν τῶν Ἀσιανῶν οἱ μὲν ὑπήκουον τῶν τὸ ἐμπόριον ἐχόντων τὸ ἐν τῷ Τανάιδι, οἱ δὲ τῶν Βοσποράνων· τοτὲ δ' ἀφίσταντο ἄλλοτ' ἄλλοι. πολλάκις δ' οἱ τῶν Βοσποράνων ἡγεμόνες καὶ τὰ μέχρι τοῦ Τανάιδος κατεῖχον, καὶ μάλιστα οἱ ὕστατοι, Φαρνάκης καὶ Ἀσανδρος καὶ Πολέμων. Φαρνάκης δέ ποτε καὶ τὸν Ὕπανιν τοῖς Δανδαρίοις ἐπαγαγεῖν λέγεται διά τινος παλαιᾶς διώρυγος, ἀνακαθάρας αὐτήν, [καὶ] κατακλύσαι τὴν χώραν.

11. Къ *числу* Меотовъ принадлежатъ сами Синды, *затѣмъ* Дандаріи, Тореаты, Агры и Аррихи, а также Тарпиты, Овидіакины, Ситтакины, Доски и многіе другіе. Къ нимъ же относятся и Аспургіаны, живущіе между Фанагоріей и Горгипіей на *пространствѣ* 500 стадій. Царь Полемонъ хотѣлъ напасть на нихъ подъ прикрытіемъ дружбы, но *его намѣреніе* не укрылось, онъ былъ встрѣченъ войскомъ *Аспургіанъ*, попался живымъ въ плѣнъ и былъ убитъ. Изъ всѣхъ азіатскихъ Меотовъ одни подчинялись владѣтелямъ торжища на Танаидѣ, другіе — Воспорянамъ, но иногда то одинъ, то другой народъ отпадали *отъ нихъ*. Нерѣдко Воспорскіе повелители владѣли и *землями* до Танаида, въ особенности послѣдніе — Фарнакъ, Асандръ и Полемонъ. Фарнакъ, говорятъ, однажды отвелъ даже *теченіе* Ипаниды къ Дандаріямъ черезъ какой-то старинный каналъ, который онъ расчистилъ, и такимъ образомъ затопилъ ихъ страну.

12. Μετὰ δὲ τὴν Σινδικὴν καὶ τὴν Γοργιπίαν ἐπὶ τῇ θαλάττῃ ἡ τῶν Ἀχαιῶν καὶ Ζυγῶν καὶ Ἡνιόχων παραλία, τὸ πλέον ἁλίμενος καὶ ὀρεινή, τοῦ Καυκάσου μέρος οὖσα. ζῶσι δὲ ἀπὸ τῶν κατὰ θάλατταν ληστηρίων, ἀκάτια ἔχοντες λεπτά, στενὰ

12. За Синдикой и Горгипіей идетъ вдоль моря побережье Ахеевъ, Зиговъ и Иніоховъ, по большей части не имѣющее гаваней и горнстое, такъ какъ оно составляетъ *уже* часть Кавказа. *Обитатели его* живутъ морскимъ разбоемъ, для чего имѣ-

V. 17: «Τορεάται nominantur ab uno Strabone, Τορέται vero a Steph. s. v. Dion. Perieg. v. 682. Plinio H. N. VI, 5 (Τορετικὴ ἄκρα recensetur ap. Ptolem. V, 9), ita ut hanc scripturam Straboni etiam reddendam esse censeam cum Schradero (ad Avien. v. 867) et Tzschuckio». Kr. Meinekius quoque recepit Τορέται. || V. 35: καὶ om. codd., Cor. add.

Digitized by Google

καὶ κοῦφα, ὅσον ἀνθρώπους πέντε καὶ εἴκοσι δεχόμενα, σπάνιον δὲ τριάκοντα δέξασθαι τοὺς πάντας δυνάμενα· καλοῦσι δ' αὐτὰ οἱ Ἕλληνες καμάρας. φασὶ δ' ἀπὸ τῆς Ἰάσονος στρατιᾶς τοὺς μὲν Φθιώτας Ἀχαιοὺς τὴν ἐνθάδε Ἀχαίαν οἰκίσαι, Λάκωνας δὲ τὴν Ἡνιοχίαν, ὧν ἦρχον Ῥέκας καὶ Ἀμφίστρατος, οἱ τῶν Διοσκούρων ἡνίοχοι, καὶ τοὺς Ἡνιόχους ἀπὸ τούτων εἰκὸς ὠνομάσθαι. τῶν δ' οὖν καμαρῶν στόλους κατασκευαζόμενοι καὶ ἐπιπλέοντες τοτὲ μὲν ταῖς ὁλκάσι, τοτὲ δὲ χώρᾳ τινὶ ἢ καὶ πόλει θαλαττοκρατοῦσι. προσλαμβάνουσι δ' ἔσθ' ὅτε καὶ οἱ τὸν Βόσπορον ἔχοντες, ὑφόρμους χορηγοῦντες καὶ ἀγορὰν καὶ διάθεσιν τῶν ἁρπαζομένων· ἐπανιόντες δὲ εἰς τὰ οἰκεῖα χωρία, ναυλοχεῖν οὐκ ἔχοντες, ἀναθέμενοι τοῖς ὤμοις τὰς καμάρας ἀναφέρουσιν ἐπὶ τοὺς δρυμούς, ἐν οἷσπερ καὶ οἰκοῦσι, λυπρὰν ἀροῦντες γῆν· καταφέρουσι δὲ πάλιν, ὅταν ᾖ καιρὸς τοῦ πλεῖν. τὸ δ' αὐτὸ ποιοῦσι καὶ ἐν τῇ ἀλλοτρίᾳ, γνώριμα ἔχοντες ὑλώδη χωρία, ἐν οἷς ἀποκρύψαντες τὰς καμάρας αὐτοὶ πλανῶνται πεζῇ νύκτωρ καὶ μεθ' ἡμέραν ἀνδραποδισμοῦ χάριν. ἃ δ' ἂν λάβωσιν ἐπίλυτρα ποιοῦσι ῥᾳδίως, μετὰ τοὺς ἀνάπλους μηνύοντες τοῖς ἀπολέσασιν. ἐν μὲν οὖν τοῖς δυναστευομένοις τόποις ἐστί τις βοήθεια ἐκ τῶν ἡγεμόνων τοῖς ἀδικουμένοις· ἀντεπιτίθενται γὰρ πολλάκις καὶ κατάγουσιν αὐτάνδρους τὰς καμάρας· ἡ δ' ὑπὸ Ῥωμαίοις ἀβοηθητοτέρα ἐστὶ διὰ τὴν ὀλιγωρίαν τῶν πεμπομένων.

ютъ небольшія, узкія и легкія ладьи, вмѣщающія около 25 человѣкъ и рѣдко могущія принять 30; Эллины называютъ ихъ камарами. Разсказываютъ, будто Ахэйцы-Фѳіоты изъ Іасонова отряда заселили здѣшнюю Ахэю, а Ниіохію — Лаконцы, которыми предводительствовали возницы Діоскуровъ, Река и Амфистратъ; отъ нихъ-то, вѣроятно, Ниіохи и получили свое названіе. Выходя въ море на своихъ камарахъ и нападая то на грузовыя суда, то на какую-нибудь мѣстность или даже городъ, они господствуютъ на морѣ. Случается, что имъ содѣйствуютъ и владѣтели Воспора, предоставляя имъ стоянки, покупку провіанта и продажу награбленнаго. Возвращаясь въ родныя мѣста, они за неимѣніемъ стоянокъ взваливаютъ *свои* камары на плечи и уносятъ въ лѣса, въ которыхъ и живутъ, обработывая скудную почву; а когда наступитъ время плаванія, они снова сносятъ *камары на берегъ*. Такъ же поступаютъ они и въ чужой странѣ, гдѣ имѣютъ знакомыя лѣсистыя мѣстности: скрывши въ нихъ камары, они сами бродятъ пѣшкомъ днемъ и ночью съ цѣлью захвата людей въ рабство; то, что удается имъ захватить, они охотно возвращаютъ за выкупъ, но отплатой извѣщая потерпѣвшихъ. Въ мѣстностяхъ, гдѣ есть *самостоятельные* правители, обижаемые еще находятъ нѣкоторую помощь со стороны *своихъ* вождей; нерѣдко они въ свою очередь нападаютъ *на пиратовъ* и захватываютъ камары вмѣстѣ съ людьми; *области* же, подчиненныя Римлянамъ, болѣе безпомощны вслѣдствіе нерадѣнія посылаемыхъ *ими правителей*.

13. Τοιοῦτος μὲν ὁ τούτων βίος· δυναστεύονται δὲ καὶ οὗτοι ὑπὸ τῶν καλουμένων Σκηπτούχων· καὶ αὐτοὶ δὲ οὗτοι ὑπὸ τυράννοις ἢ βασιλεῦσίν εἰσιν. οἱ γοῦν Ἡνίοχοι τέτταρας εἶχον βασιλέας, ἡνίκα Μιθριδάτης ὁ Εὐπάτωρ, φεύγων ἐκ τῆς προγονικῆς εἰς Βόσπορον, διῄει τὴν χώραν αὐτῶν· καὶ αὕτη μὲν ἦν πορεύσιμος αὐτῷ, τῆς δὲ τῶν Ζυγίων ἀπογνοὺς διά τε δυσχερείας καὶ ἀγριότητας τῇ παραλίᾳ χαλεπῶς ᾔει, τὰ πολλὰ ἐμβαίνων ἐπὶ τὴν θάλατταν, ἕως

13. Таковъ образъ жизни этихъ *народовъ*. Они находятся подъ властью такъ называемыхъ Скиптродержцевъ, которые въ свою очередь подчинены тиранамъ или царямъ. Такъ напр. у Ниіоховъ было четыре царя, когда Митридатъ Евпаторъ, во время бѣгства изъ отеческой *земли* на Воспоръ, проходилъ черезъ ихъ страну. Она оказалась для него удобопроходимой, тогда какъ отъ *путешествія черезъ* страну Зиговъ онъ отказался вслѣдствіе ея суро-

V. 7: Κρέκας scripsit Mein. cum Vales. et Tzschuckio. || V. 47: «Ζυγῶν Cor., atque ita hoc nomen scribitur constanter in reliquis Strabonis locis, ubi commemoratur, et ap. Steph. s. v., qui Strabonem ipsum affert testem: Ζύγιοι tamen appellantur etiam a Dionys. Per. v. 687». Kr.— Ζυγῶν item scripsit Meineke.

Digitized by Google

ἐπὶ τὴν τῶν Ἀχαιῶν ἦκε· καὶ προσλαβόντων τούτων ἐξετέλεσε τὴν ὁδὸν τὴν ἐκ Φάσιδος, οὐ πολὺ τῶν τετρακισχιλίων λείπουσαν σταδίων.

14. Εὐθὺς δ' οὖν ἀπὸ τῆς Κορακονδάμης πρὸς ἕω μὲν ὁ πλοῦς ἐστιν. ἐν δὲ σταδίοις ἑκατὸν ὀγδοήκοντα ὁ Σινδικός ἐστι λιμὴν καὶ πόλις, εἶτα ἐν τετρακοσίοις τὰ καλούμενα Βατά, κώμη καὶ λιμήν, καθ' ὃ μάλιστα ἀντικεῖσθαι δοκεῖ πρὸς νότον ἡ Σινώπη ταύτῃ τῇ παραλίᾳ, καθάπερ ἡ Κάραμβις εἴρηται τοῦ Κριοῦ μετώπῳ· ἀπὸ δὲ τῶν Βατῶν ὁ μὲν Ἀρτεμίδωρος τὴν Κερκετῶν λέγει παραλίαν, ὑφόρμους ἔχουσαν καὶ κώμας, ὅσον ἐπὶ σταδίους ὀκτακοσίους καὶ πεντήκοντα· εἶτα τὴν τῶν Ἀχαιῶν σταδίων πεντακοσίων, εἶτα τὴν τῶν Ἡνιόχων χιλίων, εἶτα τὸν Πιτυοῦντα τὸν μέγαν τριακοσίων ἑξήκοντα μέχρι Διοσκουριάδος. οἱ δὲ τὰ Μιθριδατικὰ συγγράψαντες, οἷς μᾶλλον προσεκτέον, Ἀχαιοὺς λέγουσι πρώτους, εἶτα Ζυγούς, εἶτα Ἡνιόχους, εἶτα Κερκέτας καὶ Μόσχους καὶ Κόλχους καὶ τοὺς ὑπὲρ τούτων Φθειροφάγους καὶ Σοάνας καὶ ἄλλα μικρὰ ἔθνη τὰ περὶ τὸν Καύκασον. κατ' ἀρχὰς μὲν οὖν ἡ παραλία, καθάπερ εἶπον, ἐπὶ τὴν ἕω τείνει καὶ βλέπει πρὸς νότον, ἀπὸ δὲ τῶν Βατῶν ἐπιστροφὴν λαμβάνει κατὰ μικρόν, εἶτ' ἀντιπρόσωπος γίνεται τῇ δύσει καὶ τελευτᾷ πρὸς τὸν Πιτυοῦντα καὶ τὴν Διοσκουριάδα· ταῦτα γὰρ τὰ χωρία τῆς Κολχίδος συνάπτει τῇ λεχθείσῃ παραλίᾳ. μετὰ δὲ τὴν Διοσκουριάδα ἡ λοιπὴ τῆς Κολχίδος ἐστὶ παραλία καὶ ἡ συνεχὴς Τραπεζοῦς, καμπὴν ἀξιόλογον ποιησασα· εἶτα εἰς εὐθεῖαν ταθεῖσά πως πλευρὰν τὴν τὰ δεξιὰ τοῦ Πόντου ποιοῦσαν, τὰ βλέποντα πρὸς ἄρκτον. ἅπασα δ' ἡ τῶν Ἀχαιῶν καὶ τῶν ἄλλων παραλία μέχρι Διοσκουριάδος καὶ τῶν ἐπ' εὐθείας πρὸς νότον ἐν τῇ μεσογαίᾳ τόπων ὑποπέπτωκε τῷ Καυκάσῳ.

15. Ἔστι δ' ὄρος τοῦτο ὑπερκείμενον τοῦ πελάγους ἑκατέρου, τοῦ τε Ποντικοῦ καὶ τοῦ Κασπίου, διατειχίζον τὸν ἰσθμὸν τὸν διείργοντα αὐτά. ἀφορίζει δὲ πρὸς νότον μὲν τήν τε Ἀλβανίαν καὶ τὴν Ἰβηρίαν, πρὸς ἄρκτον δὲ τὰ τῶν Σαρματῶν πεδία· εὔδενδρον δ' ἐστὶν ὕλῃ παντοδαπῇ τῇ τε ἄλλῃ καὶ τῇ ναυπηγησίμῳ. φησὶ δ' Ἐρα-

вости и трудностей *пути* и съ трудомъ пробирался вдоль морскаго берега, очень часто переходя на море [*т. е. на корабль*], пока не достигъ *земли* Ахеянъ; съ ихъ помощью онъ окончилъ путь отъ Фасида безъ малаго въ 4000 стадій.

14. Сейчасъ за Коракондамою морской путь идетъ на востокъ. Въ 180 стадіяхъ *отъ нея* находится Синдскій портъ и городъ, затѣмъ въ 400 — такъ называемыя Ваты, селеніе съ гаванью, именно въ томъ мѣстѣ, гдѣ, какъ кажется, на югѣ противъ этого берега лежитъ Синопа, подобно тому, какъ Карамвій *лежитъ* противъ Бараньяго лба, о чемъ уже сказано. За Ватами Артемидоръ называетъ побережье Керкетовъ съ пристанями и селеніями, *на пространствѣ* около 850 стадій, затѣмъ *побережье* Ахеянъ, *на пространствѣ* 500 стадій, далѣе *берегъ* Иніоховъ въ 1000 стадій и наконецъ великій Питіунтъ въ 360 стадій до Діоскуріады. Но историки Миѳридатовыхъ дѣяній, которымъ слѣдуетъ придавать болѣе значенія, первыми называютъ Ахеянъ, за ними Зиговъ, затѣмъ Иніоховъ, далѣе Керкетовъ, Москховъ, Колховъ, живущихъ надъ ними Вшеѣдовъ, Соановъ и другіе мелкіе народцы у Кавказа. Сначала побережье, какъ я сказалъ, тянется къ востоку и обращено лицомъ къ югу, а начиная отъ Ватъ постепенно дѣлаетъ поворотъ, затѣмъ лицевой стороной обращается на западъ и оканчивается у Питіунта и Діоскуріады, ибо эти мѣстности Колхиды примыкаютъ къ названному побережью. За Діоскуріадой идетъ остальное побережье Колхиды и смежный съ нею Трапезунтъ, дѣлая значительный изгибъ; затѣмъ *берегъ* вытянутъ почти по прямой линіи, образующей правую сторону Понта, обращенную къ сѣверу. Все побережье Ахеянъ и остальныхъ *народовъ* до Діоскуріады и до мѣстностей, находящихся прямо къ югу внутри материка, лежитъ подъ Кавказомъ.

15. *Кавказъ представляетъ собою* горный хребетъ, лежащій надъ обоими морями, Понтійскимъ и Каспійскимъ, и перегораживающій перешеекъ, раздѣляющій эти *моря*. Къ югу онъ отдѣляетъ Албанію и Иверію, а къ сѣверу—Сарматскія равнины; онъ изобилуетъ разнороднымъ лѣсомъ, между прочимъ и корабельнымъ.

V. 14: τῷ τοῦ malim cum Meinekio.

Digitized by Google

τοσθένης ὑπὸ τῶν ἐπιχωρίων καλεῖσθαι Κάσπιον τὸν Καύκασον, ἴσως ἀπὸ τῶν Κασπίων παρονομασθέντα. ἀγκῶνες δέ τινες αὐτοῦ προπίπτουσιν ἐπὶ τὴν μεσημβρίαν, οἵ τήν τε Ἰβηρίαν περιλαμβάνουσι μέσην καὶ τοῖς Ἀρμενίων ὄρεσι συνάπτουσι καὶ τοῖς Μοσχικοῖς καλουμένοις, ἔτι δὲ τῷ Σκυδίσῃ καὶ τῷ Παρυάδρῃ· ταῦτα δ' ἐστὶ μέρη τοῦ Ταύρου πάντα, τοῦ ποιοῦντος τὸ νότιον τῆς Ἀρμενίας πλευρόν, ἀπερρωγότα πως ἐκεῖθεν πρὸς ἄρκτον καὶ προσπίπτοντα μέχρι τοῦ Καυκάσου καὶ τῆς τοῦ Εὐξείνου παραλίας, τῆς ἐπὶ Θεμίσκυραν διατεινούσης ἀπὸ τῆς Κολχίδος.

16. Ἡ δ' οὖν Διοσκουριὰς ἐν κόλπῳ τοιούτῳ κειμένη καὶ τὸ ἐωθινώτατον σημεῖον ἐπέχουσα τοῦ σύμπαντος πελάγους, μυχός τε τοῦ Εὐξείνου λέγεται καὶ ἔσχατος πλοῦς. τό τε παροιμιακῶς λεχθὲν εἰς Φᾶσιν, ἔνθα ναυσὶν ἔσχατος δρόμος, οὕτω δεῖ δέξασθαι, οὐχ ὡς τὸν ποταμὸν λέγοντος τοῦ ποιήσαντος τὸ ἰαμβεῖον, οὐδὲ δὴ ὡς τὴν ὁμώνυμον αὐτῷ πόλιν κειμένην ἐπὶ τῷ ποταμῷ, ἀλλ' ὡς τὴν Κολχίδα ἀπὸ μέρους, ἐπεὶ ἀπό γε τοῦ ποταμοῦ καὶ τῆς πόλεως οὐκ ἐλάττων ἑξακοσίων σταδίων λείπεται πλοῦς ἐπ' εὐθείας εἰς τὸν μυχόν. ἡ δ' αὐτὴ Διοσκουριάς ἐστι καὶ ἀρχὴ τοῦ ἰσθμοῦ τοῦ μεταξὺ τῆς Κασπίας καὶ τοῦ Πόντου καὶ ἐμπόριον τῶν ὑπερκειμένων καὶ σύνεγγυς ἐθνῶν κοινόν· συνέρχεσθαι γοῦν εἰς αὐτὴν ἑβδομήκοντα, οἱ δὲ καὶ τριακόσια ἔθνη φασίν, οἷς οὐδὲν τῶν ὄντων μέλει, πάντα δὲ ἑτερόγλωττα διὰ τὸ σποράδην καὶ ἀμίκτως οἰκεῖν ὑπὸ αὐθαδείας καὶ ἀγριότητος· Σαρμάται δ' εἰσὶν οἱ πλείους, πάντες δὲ Καυκάσιοι. ταῦτα μὲν δὴ τὰ περὶ τὴν Διοσκουριάδα.

17. Καὶ ἡ λοιπὴ δὲ Κολχὶς ἐπὶ τῇ θαλάττῃ ἡ πλείων ἐστί· διαρρεῖ δ' αὐτὴν ὁ Φᾶσις, μέγας ποταμὸς ἐξ Ἀρμενίας τὰς ἀρχὰς ἔχων, δεχόμενος τόν τε Γλαῦκον καὶ τὸν Ἵππον, ἐκ τῶν πλησίον ὀρῶν ἐκπίπτοντας· ἀναπλεῖται δὲ μέχρι Σαραπανῶν, ἐρύματος δυναμένου δέξασθαι καὶ πόλεως συνοικισμόν, ὅθεν πεζεύουσιν ἐπὶ τὸν Κῦρον ἡμέραις τέτταρσι δι' ἀμαξιτοῦ. ἐπίκειται δὲ τῷ Φάσιδι ὁμώνυμος πόλις, ἐμπόριον τῶν

1 По словамъ Ератосѳена, туземцы называютъ Кавказъ Каспіемъ, быть можетъ переименовывая такъ по имени Каспіевъ. Нѣкоторые отроги Кавказа выступаютъ къ югу, охватывая кругомъ Иверію и соединяясь съ Арменійскими и такъ называемыми Мосхійскими горами, а также съ Скидисомъ и Паріадромъ. Всѣ эти *горы* суть вѣтви Тавра, образующаго южный бокъ Арменіи, какъ-то оторвавшіяся къ сѣверу и доходящія до Кавказа и до Евксинскаго побережья, простирающагося отъ Колхиды до Ѳемискиры.

16. Такъ какъ Діоскуріада лежитъ въ такомъ заливѣ и занимаетъ самый восточный пунктъ всего моря, то она называется уголкомъ Евксина и предѣломъ плаванія. Пословичное выраженіе «на Фасидъ, гдѣ судамъ послѣдній бѣгъ», нужно понимать въ томъ смыслѣ, что составитель ямбическаго стиха разумѣетъ *здѣсь* не рѣку и не одноименный съ нею городъ, лежащій при рѣкѣ, но часть Колхиды, такъ какъ отъ рѣки и отъ города остается не менѣе 600 стадій прямого морского пути до угла *Евксина*. Эта же самая Діоскуріада служитъ и началомъ перешейка между Каспійскимъ моремъ и Понтомъ и общимъ торговымъ центромъ для народовъ, живущихъ выше ея и вблизи. Сюда сходятся, говорятъ, семьдесятъ народностей, а по словамъ другихъ *писателей*, нисколько не заботящихся объ истинѣ, даже триста; всѣ они говорятъ на разныхъ языкахъ, такъ какъ живутъ разбросанно, не вступая между собою въ сношенія вслѣдствіе самолюбія и дикости. Большая часть ихъ *принадлежитъ* къ сарматскому племени и всѣ они *называются* Кавказцами. Вотъ что *можно сказать* о Діоскуріадѣ.

17. И остальная Колхида большею частью лежитъ при морѣ. Черезъ нее протекаетъ большая рѣка Фасидъ, берущая начало въ Арменіи и принимающая *въ себя рѣки* Главкъ и Иппъ (Конь), низвергающіяся съ сосѣднихъ горъ. Фасидъ судоходенъ вверхъ до крѣпости Сарапановъ, могущей вмѣстить въ себѣ населеніе *цѣлаго* города, а отсюда до Кира четыре дня сухого пути по проѣзжей дорогѣ. При Фасидѣ

V. 21: «Verba οὕτω δεῖ δέξασθαι ante versum leguntur in codd., Cor. transposuit». Kr. Codd. scripturam retinuit Meineke.

Digitized by Google

Κόλχων, τῇ μὲν προβεβλημένη τὸν ποταμόν, τῇ δὲ λίμνην, τῇ δὲ τὴν θάλατταν. ἐντεῦθεν δὲ πλοῦς ἐπ' Ἀμισοῦ καὶ Σινώπης τριῶν ἡμερῶν ἢ δύο διὰ τὸ τοὺς αἰγιαλοὺς μαλακοὺς εἶναι καὶ τὰς τῶν ποταμῶν ἐκβολάς. ἀγαθὴ δ' ἐστὶν ἡ χώρα καὶ καρποῖς πλὴν τοῦ μέλιτος (πικρίζει γὰρ τὸ πλέον) καὶ τοῖς πρὸς ναυπηγίαν πᾶσιν· † πολλήν τε γὰρ καὶ φύει καὶ ποταμοῖς κατακομίζει, λίνον τε ποιεῖ πολὺ καὶ κάνναβιν καὶ κηρὸν καὶ πίτταν. ἡ δὲ λινουργία καὶ τεθρύληται· καὶ γὰρ εἰς τοὺς ἔξω τόπους ἐπεκόμιζον, καί τινες βουλόμενοι συγγένειάν τινα τοῖς Κόλχοις πρὸς τοὺς Αἰγυπτίους ἐμφανίζειν ἀπὸ τούτων πιστοῦνται. ὑπέρκειται δὲ τῶν λεχθέντων ποταμῶν ἐν τῇ Μοσχικῇ τὸ τῆς Λευκοθέας ἱερόν, Φρίξου ἵδρυμα, καὶ μαντεῖον ἐκείνου, ὅπου κριὸς οὐ θύεται, πλούσιόν ποτε ὑπάρξαν, συληθὲν δὲ ὑπὸ Φαρνάκου καθ' ἡμᾶς, καὶ μικρὸν ὕστερον ὑπὸ Μιθριδάτου τοῦ Περγαμηνοῦ. κακωθείσης γὰρ χώρας, «νοσεῖ τὰ τῶν θεῶν οὐδὲ τιμᾶσθαι θέλει», φησὶν Εὐριπίδης.

лежитъ городъ того-же имени, торговый портъ Колховъ, имѣющій предъ собою съ одной стороны рѣку, съ другой—озеро, съ третьей—море. Отсюда до Амиса и Синопы три или даже два дня плаванія, такъ какъ *по пути* и берега и устья рѣкъ мягки (не суровы). Страна *эта* богата и плодами, кромѣ меда (который по большей части горьковатъ *на вкусъ*), и всѣмъ *нужнымъ* для кораблестроенія: лѣсъ она и сама производитъ въ большомъ количествѣ и получаетъ по рѣкамъ, производитъ также въ изобиліи ленъ, пеньку, воскъ и смолу. Производство льна пріобрѣло даже извѣстность; его вывозили даже въ чужія земли, и нѣкоторые, желающіе доказать родство Колховъ съ эгиптянами, находятъ себѣ въ этомъ подтвержденіе. Выше названныхъ рѣкъ въ странѣ Москвовъ находится святилище Левкоѳеи, построенное Фриксомъ, и его прорицалище, гдѣ не приносятъ въ жертву барановъ; нѣкогда оно было богато, но на нашей памяти было разграблено Фарнакомъ и нѣсколько позже Миридатомъ Пергамскимъ; а когда страна опустошена, то по словамъ Еврипида «страдаютъ божества и не хотятъ почтенья» [1]).

18. Τὸ μὲν γὰρ παλαιὸν ὅσην ἐπιφάνειαν ἔσχεν ἡ χώρα αὕτη, δηλοῦσιν οἱ μῦθοι, τὴν Ἰάσονος στρατείαν αἰνιττόμενοι προελθόντος μέχρι καὶ Μηδίας, ἔτι δὲ πρότερον τὴν Φρίξου. μετὰ δὲ ταῦτα διαδεξάμενοι βασιλεῖς εἰς σκηπτουχίαν διῃρημένην ἔχοντες τὴν χώραν μέσως ἔπραττον· αὐξηθέντος δὲ ἐπὶ πολὺ Μιθριδάτου τοῦ Εὐπάτορος, εἰς ἐκεῖνον ἡ χώρα περιέστη· ἐπέμπετο δ' ἀεί τις τῶν φίλων ὕπαρχος καὶ διοικητὴς τῆς χώρας. τούτων δὲ ἦν καὶ Μοαφέρνης, ὁ τῆς μητρὸς ἡμῶν θεῖος πρὸς πατρός· ἦν δ' ἔνθεν ἡ πλείστη τῷ βασιλεῖ πρὸς τὰς ναυτικὰς δυνάμεις ὑπουργία. καταλυθέντος δὲ Μιθριδάτου, συγκατελύθη καὶ ἡ ὑπ' αὐτῷ πᾶσα καὶ διενεμήθη πολλοῖς· ὕστατα δὲ Πολέμων ἔσχε τὴν Κολ-

18. Какою славою пользовалась въ древности эта страна, — показываютъ миѳы, повѣствующіе о походѣ Іасона, дошедшаго даже до Мидіи, и о предшествовавшемъ *ему* походѣ Фрикса. Слѣдовавшіе затѣмъ цари, владѣя раздѣленною на провинціи страною, не имѣли особенной силы. Когда же особенно усилился Миридатъ Евпаторъ, страна перешла подъ его власть; въ качествѣ намѣстника и правителя страны всегда посылался кто-нибудь изъ его друзей. Въ числѣ ихъ былъ и Моаферн, дядя нашей матери съ отцовской стороны. Отсюда шла царю главнѣйшая помощь для *организаціи* его морскихъ силъ. Съ паденіемъ Миридата рушилось все подвластное ему царство и было раздѣлено между многими *ми-*

V. 4: «Numeros τριῶν ἢ δύο iure corruptos iudicant Gossel. et Grosk., cum ipso Strabone teste (v. XII, 547, 548) maior sit Amisi et Sinopes distantia a Phaside, quam quae trium aut duorum dierum navigatione percurratur; nec improbabilis est Gossellini coniectura, notas *Γ* et *B* corruptas esse ex *H* et *θ*, quoniam haud facilem in his partibus fuisse navigationem ex iis, quae subiiciuntur, liquido apparet (v. de his computationibus Ukert, *Geogr. d. Griechen* etc. I, 2, 57)». Kr. — Meinekius ante τριῶν posuit asteriscum. || V. 8: «τε om. *os* Cor., qui eius loco inseruit ὕλην: atque hanc vocem excidisse luce est clarius, sed Corais scriptura non est probanda. Videtur scriptum fuisse πολλήν τε γὰρ ὕλην κτλ.». Kr. — ὕλην τε γὰρ Meineke. || V. 12: ἀπεκόμιζον Cor., ἐξεκόμιζον Mein. || V. 21: verba κακωθείσης — Εὐριπίδης fortasse delenda esse adnotat Meineke.

[1]) Евр. Троянки, ст. 26.

Digitized by Google

χίδα, κἀκείνου τελευτήσαντος ἡ γυνὴ Πυθοδωρὶς κρατεῖ, βασιλεύουσα καὶ Κόλχων καὶ Τραπεζοῦντος καὶ Φαρνακίας καὶ τῶν ὑπερκειμένων βαρβάρων, περὶ ὧν ἐροῦμεν ἐν τοῖς ὕστερον. ἡ δ' οὖν Μοσχική, ἐν ᾗ τὸ ἱερόν, τριμερής ἐστι· τὸ μὲν γὰρ ἔχουσιν αὐτῆς Κόλχοι, τὸ δὲ Ἴβηρες, τὸ δὲ Ἀρμένιοι. ἔστι δὲ καὶ πολίχνιον ἐν τῇ Ἰβηρίᾳ, Φρίξου πόλις, ἡ νῦν Ἰδήεσσα, εὐερκὲς χωρίον, ἐν μεθορίοις τῆς Κολχίδος. περὶ [δὲ] τὴν Διοσκουριάδα ῥεῖ ὁ Χάρης ποταμός.

19. Τῶν δὲ συνερχομένων ἐθνῶν εἰς τὴν Διοσκουριάδα καὶ οἱ Φθειροφάγοι εἰσίν, ἀπὸ τοῦ αὐχμοῦ καὶ τοῦ πίνου λαβόντες τοὔνομα. πλησίον δὲ καὶ οἱ Σοάνες, οὐδὲν βελτίους τούτων τῷ πίνῳ, δυνάμει δὲ βελτίους, σχεδὸν δέ τι καὶ κράτιστοι κατὰ ἀλκὴν καὶ δύναμιν· δυναστεύουσι γοῦν τῶν κύκλῳ, τὰ ἄκρα τοῦ Καυκάσου κατέχοντες τὰ ὑπὲρ τῆς Διοσκουριάδος· βασιλέα δ' ἔχουσι καὶ συνέδριον ἀνδρῶν τριακοσίων, συνάγουσι δ', ὡς φασι, στρατιὰν καὶ εἴκοσι μυριάδων· ἅπαν γάρ ἐστι τὸ πλῆθος μάχιμον, οὐ συντεταγμένον· παρὰ τούτοις δὲ λέγεται καὶ χρυσὸν καταφέρειν τοὺς χειμάρρους, ὑποδέχεσθαι δ' αὐτὸν τοὺς βαρβάρους φάτναις κατατετρημέναις καὶ μαλλωταῖς δοραῖς· ἀφ' οὗ δὴ μεμυθεῦσθαι καὶ τὸ χρυσόμαλλον δέρος· * εἰ μὴ καὶ Ἴβηρας ὁμωνύμως τοῖς ἑσπερίοις καλοῦσιν ἀπὸ τῶν ἑκατέρωθι χρυσείων. χρῶνται δ' οἱ Σοάνες φαρμάκοις πρὸς τὰς ἀκίδας * θαυμαστῶς καὶ τοὺς ἀφαρμάκτοις τετρωμένους βέλεσι λυπεῖ κατὰ τὴν ὀσμήν. τὰ μὲν οὖν ἄλλα ἔθνη τὰ πλησίον τὰ περὶ τὸν Καύκασον λυπρὰ καὶ μικρόχωρα, τὸ δὲ τῶν Ἀλβανῶν ἔθνος καὶ τὸ τῶν Ἰβήρων, ἃ δὴ πληροῖ μάλιστα τὸν λεχθέντα ἰσθμόν, Καυκάσια καὶ αὐτὰ λέγοιτ' ἄν, εὐδαίμονα δὲ χώραν ἔχει καὶ σφόδρα καλῶς οἰκεῖσθαι δυναμένην.

цами. Въ послѣднее время Колхидою владѣлъ Полемонъ, а послѣ его смерти править супруга его Пиѳодорида, царствующая и надъ Колхами, Трапезунтомъ, Фарнакіей и живущими выше ея варварами, о которыхъ мы скажемъ послѣ [1]).

Область Москвовъ, въ которой находится *вышеупомянутое* святилище, дѣлится на три части, изъ коихъ одною владѣютъ Колхи, другою — Иверы, третьей — Арменійцы. Въ Иверіи есть еще городокъ «Фриксовъ городъ», нынѣшняя Идіесса, хорошо укрѣпленное мѣстечко на границѣ Колхиды. Возлѣ Діоскуріады течетъ рѣка Харитъ.

19. Къ числу народовъ, собирающихся въ Діоскуріаду, принадлежатъ и Вшеѣды, получившіе *такое* имя отъ своей нечистоплотности и грязи. Недалеко *живутъ* и Соаны, нисколько не лучшіе ихъ въ отношеніи чистоплотности, но превосходящіе силою, пожалуй даже первые (*изъ мѣстныхъ народовъ*) по силѣ и могуществу. По крайней мѣрѣ они господствуютъ надъ окрестными *народами*, занимая вершины Кавказа, возвышающіяся надъ Діоскуріадой. У нихъ есть царь и совѣтъ изъ 300 мужей, а войско они набираютъ, какъ говорятъ, даже въ 200000, ибо все населеніе отличается воинственностью, *хотя бы и не было* въ строю. Разсказываютъ еще, что у нихъ потоки сносятъ золото и что варвары собираютъ его при помощи просверленныхъ корытъ и косматыхъ шкуръ. Отсюда*то* и сложилась, говорятъ, басня о золотомъ рунѣ ... если и Иверовъ не называютъ однимъ именемъ съ западными отъ золотыхъ розсыпей, которыя находятся у тѣхъ и другихъ. Соаны употребляютъ яды для наконечниковъ ... удивительно мучатъ своимъ запахомъ даже раненыхъ неотравленными стрѣлами. Прочіе сосѣдніе народцы, *живущіе* у Кавказа, бѣдны и малоземельны, а Албанскій и Иверскій народы, которые именно и составляютъ главное населеніе названнаго перешейка, также могутъ быть названы Кавказскими, но занимаютъ страну богатую и могущую имѣть весьма густое населеніе.

V. 11: verba περὶ — ποταμός e textu eiecit Meineke. || V. 27: Kr. adnotat οὐ suspectum esse Corai: probabilius δὲ post συντεταγμένον addendum censere Grosk.; cuius coniecturam recepit Mein. || V. 35: codicum scripturam retinui cum Mein.: θαυμαστοῖς, [ἃ] Kr., qui totum locum corruptum esse censet.

1) XII, 3, 29 сл. (см. ниже стр. 160).

Digitized by Google

ГЛАВА III.

Описаніе Иверіи.

1. Καὶ δὴ καὶ ἡ γε Ἰβηρία *καὶ* οἰκεῖται καλῶς τὸ πλέον πόλεσί τε καὶ ἐποικίοις, ὥστε καὶ κεραμωτὰς εἶναι στέγας καὶ ἀρχιτεκτονικὴν τὴν τῶν οἰκήσεων κατασκευὴν καὶ ἀγορὰς καὶ τἆλλα κοινά.

1. И дѣйствительно, Иверія прекрасно заселена въ большей части городами и хуторами, такъ что тамъ встрѣчаются и черепичныя кровли, и согласное съ правилами зодческаго искусства устройство жилищъ, и рынки, и другія общественныя зданія.

2. Τῆς δὲ χώρας τὰ μὲν κύκλῳ τοῖς Καυκασίοις ὄρεσι περιέχεται· προπεπτώκασι γάρ, ὡς εἶπον, ἀγκῶνες ἐπὶ τὴν μεσημβρίαν εὔκαρποι, περιλαμβάνοντες τὴν σύμπασαν Ἰβηρίαν καὶ συνάπτοντες πρός τε τὴν Ἀρμενίαν καὶ τὴν Κολχίδα· ἐν μέσῳ δ' ἐστὶ πεδίον ποταμοῖς διάρρυτον, μεγίστῳ δὲ τῷ Κύρῳ· ὃς τὴν ἀρχὴν ἔχων ἀπὸ τῆς Ἀρμενίας, εἰσβαλὼν εὐθὺς εἰς τὸ πεδίον τὸ λεχθέν, παραλαβὼν καὶ τὸν Ἀραγῶνα, ἐκ τοῦ Καυκάσου ῥέοντα, καὶ ἄλλα ὕδατα, διὰ στενῆς ποταμίας εἰς τὴν Ἀλβανίαν ἐκπίπτει· μεταξὺ δὲ ταύτης τε καὶ τῆς Ἀρμενίας ἐνεχθεὶς πολὺς διὰ πεδίων εὐβοτουμένων σφόδρα, δεξάμενος καὶ πλείους ποταμούς, ὧν ἐστιν ὅ τε Ἀλαζόνιος καὶ ὁ Σανδοβάνης καὶ ὁ Ῥοιτάκης καὶ Χάνης, πλωτοὶ πάντες, εἰς τὴν Κασπίαν ἐμβάλλει θάλατταν. ἐκαλεῖτο δὲ πρότερον Κόρος.

2. Страна эта отовсюду окружена Кавказскими горами, ибо къ югу, какъ я сказалъ, выступаютъ богатые растительностью отроги *Кавказа*, охватывая всю Иверію и доходя до Арменіи и Колхиды, а въ серединѣ находится равнина, орошаемая рѣками, *изъ которыхъ* самая большая — Киръ; она беретъ начало въ Арменіи, тотчасъ же вступаетъ въ сказанную равнину и, принявъ въ себя Арагонъ, вытекающій изъ Кавказа, и другіе притоки, по узкой рѣчной долинѣ изливается въ Албанію; многоводной *рѣкой* пронесшись между ею и Арменіей по богатымъ пастбищами равнинамъ и принявъ въ себя еще большее *количество* рѣкъ, въ числѣ которыхъ находятся Алазоній, Сандованъ, Ритакъ и Ханъ — всѣ судоходныя, — *Киръ* впадаетъ въ Каспійское море. Прежде онъ назывался Коромъ.

3. Τὸ μὲν οὖν πεδίον τῶν Ἰβήρων οἱ γεωργικώτεροι καὶ πρὸς εἰρήνην νενευκότες οἰκοῦσιν, Ἀρμενιστί τε καὶ Μηδιστὶ ἐσκευασμένοι, τὴν δ' ὀρεινὴν οἱ πλείους καὶ μάχιμοι κατέχουσι, Σκυθῶν δίκην ζῶντες καὶ Σαρματῶν, ὥνπερ καὶ ὅμοροι καὶ συγγενεῖς εἰσιν· ἅπτονται δ' ὅμως καὶ γεωργίας, πολλάς τε μυριάδας συνάγουσιν καὶ ἐξ ἑαυτῶν καὶ ἐξ ἐκείνων, ἐπειδάν τι συμπέσῃ θορυβῶδες.

3. Равнину населяютъ тѣ изъ Иверовъ, которые болѣе занимаются земледѣліемъ и склонны къ мирной жизни, снаряжаясь по-армянски и по-мидійски, а горную *часть* занимаетъ воинственное большинство, въ образѣ жизни сходное съ Скиѳами и Сарматами, съ которыми они находятся и въ сосѣдствѣ и въ родствѣ; впрочемъ, они занимаются и земледѣліемъ и въ случаѣ какой нибудь тревоги набираютъ много десятковъ тысячъ *воиновъ* какъ изъ своей среды, такъ и изъ тѣхъ *народовъ*.

4. Τέτταρες δ' εἰσὶν εἰς τὴν χώραν εἰσβολαί· μία μὲν διὰ Σαραπανῶν, φρουρίου Κολχικοῦ, καὶ τῶν κατ' αὐτὸ στενῶν, δι' ὧν ὁ Φᾶσις γεφύραις ἑκατὸν καὶ εἴκοσι περατὸς γενόμενος διὰ τὴν σκολιότητα καταῤῥεῖ τραχὺς καὶ βίαιος εἰς τὴν Κολχίδα, πολλοῖς χειμάῤῥοις κατὰ τὰς ἐπομβρίας ἐκχαραδρουμένων τῶν τόπων. γεννᾶται δ' ἐκ τῶν ὑπερκειμένων ὀρῶν πολλαῖς συμπλη-

4. Есть четыре входа въ ихъ страну: одинъ — черезъ Колхидскую крѣпость Сарапаны и сосѣднее съ нею ущелье, черезъ которое Фасидъ, сдѣлавшійся вслѣдствіе извилинъ *русла* проходимымъ при помощи 120 мостовъ, бурно и стремительно несется въ Колхиду, бороздя эти мѣстности въ дождливую пору множествомъ потоковъ; онъ беретъ начало въ лежащихъ надъ *Иверіей*

V. 1: καὶ ante οἰκεῖται om. edd.; κατοικεῖται Mein. || V. 16: ααραγᾶνα *i* ἀραβῶνα *o* ἀρραβῶνα ald. *Aragum* Guar., atque hanc formam paulo post exhibent codd.: inde Ἄραγον scripserunt Tzsch. Cor. [Mein.], recte ut opinor... Nihilominus codices sequi, ut in re incerta, tutissimum visum». Kr. || V. 21: ἄλλους post πλείους add. Cor., ante πλ. Meineke. || V. 42: γινόμενος *Z* Cor. Mein.

Digitized by Google

ρούμενος πηγαῖς, ἐν δὲ τοῖς πεδίοις καὶ ἄλλους προσλαμβάνει ποταμούς, ὧν ἐστιν ὅ τε Γλαῦκος καὶ ὁ Ἵππος· πληρωθεὶς δὲ καὶ γενόμενος πλωτὸς ἐξίησιν εἰς τὸν Πόντον καὶ ἔχει πόλιν ὁμώνυμον ἐπ' αὐτῷ καὶ λίμνην πλησίον. ἡ μὲν οὖν ἐκ τῆς Κολχίδος εἰς τὴν Ἰβηρίαν ἐμβολὴ τοιαύτη, πέτραις καὶ ἐρύμασι καὶ ποταμοῖς χαραδρώδεσι διακεκλεισμένη.

5. Ἐκ δὲ τῶν πρὸς ἄρκτον νομάδων ἐπὶ τρεῖς ἡμέρας ἀνάβασις χαλεπή, καὶ μετὰ ταύτην ποταμία στενὴ ἐπὶ τοῦ Ἀράγου ποταμοῦ τεττάρων ἡμερῶν ὁδὸν ἔχουσα ἐφ' ἕνα, φρουρεῖ δὲ τὸ πέρας τῆς ὁδοῦ τεῖχος δύσμαχον· ἀπὸ δὲ τῆς Ἀλβανίας διὰ πέτρας πρῶτον λατομητὴ εἴσοδος, εἶτα διὰ τέλματος, ὃ ποιεῖ ὁ ποταμὸς [Ἀλαζόνιος] ἐκ τοῦ Καυκάσου καταπίπτων. ἀπὸ δὲ τῆς Ἀρμενίας τὰ ἐπὶ τῷ Κύρῳ στενὰ καὶ τὰ ἐπὶ τῷ Ἀράγῳ· πρὶν γὰρ εἰς ἀλλήλους συμπεσεῖν, ἔχουσιν ἐπικειμένας πόλεις ἐρυμνὰς ἐπὶ πέτραις, διεχούσαις ἀλλήλων ὅσον ἑκκαίδεκα σταδίους, ἐπὶ μὲν τῷ Κύρῳ τὴν Ἀρμοζικήν, ἐπὶ δὲ θατέρῳ Σευσάμορα. ταύταις δὲ ἐχρήσατο ταῖς εἰσβολαῖς πρότερον Πομπήιος ἐκ τῶν Ἀρμενίων ὁρμηθείς, καὶ μετὰ ταῦτα Κανίδιος.

6. Τέτταρα δὲ καὶ γένη τῶν ἀνθρώπων οἰκεῖ τὴν χώραν· ἓν μὲν καὶ πρῶτον, ἐξ οὗ τοὺς βασιλέας καθιστᾶσι, κατ' ἀγχιστείαν τε καὶ ἡλικίαν τὸν πρεσβύτατον, ὁ δὲ δεύτερος δικαιοδοτεῖ καὶ στρατηλατεῖ· δεύτερον δὲ τὸ τῶν ἱερέων, οἳ ἐπιμελοῦνται καὶ τῶν πρὸς τοὺς ὁμόρους δικαίων· τρίτον δὲ τὸ τῶν στρατευομένων καὶ γεωργούντων· τέταρτον δὲ τὸ τῶν λαῶν, οἳ βασιλικοὶ δοῦλοί εἰσι, καὶ πάντα διακονοῦνται τὰ πρὸς τὸν βίον. κοιναὶ δ' εἰσὶν αὐτοῖς αἱ κτήσεις κατὰ συγγένειαν, ἄρχει δὲ καὶ ταμιεύει ἑκάστην ὁ πρεσβύτατος. τοιοῦτοι μὲν οἱ Ἴβηρες καὶ ἡ χώρα αὐτῶν.

горахъ, наполнялся многими ключами, а въ равнинахъ принимаетъ въ себя и другія рѣки, въ томъ числѣ Главкъ и Иппъ. Сдѣлавшись полноводнымъ и судоходнымъ, онъ впадаетъ въ Понтъ и имѣетъ при себѣ городъ того же имени и неподалеку озеро. Таковъ проходъ изъ Колхиды въ Иверію, прегражденный скалами, укрѣпленіями и рѣками, образующими овраги.

5. Со стороны сѣверныхъ кочевниковъ *ведетъ* трудный трехдневный подъемъ, а за нимъ узкая рѣчная долина вдоль рѣки Арага, требующая четырехъ дней пути для одного; конецъ пути охраняетъ неприступная стѣна. Проходъ изъ Албаніи сначала *представляетъ* высѣченную въ скалахъ *тропинку*, затѣмъ *идетъ* черезъ болото, образуемое рѣкою Алазоніемъ, низвергающеюся съ Кавказа. Со стороны Арменіи *образуютъ проходъ* ущелья при Кирѣ и при Арагѣ; при этихъ рѣкахъ выше ихъ сліянія лежатъ укрѣпленные города на скалахъ, отстоящихъ одна отъ другой стадій на 16: при Кирѣ Армозика, а при другой *рѣкѣ* Севсаморы. Этими входами воспользовался раньше Помпей, направившись изъ Арменіи, а послѣ того Канидій.

6. Жители страны дѣлятся также на четыре класса: одинъ изъ нихъ, *считающійся* первымъ,—тотъ, изъ котораго ставятъ царей, *выбирая ближайшаго* по родству [съ прежнимъ царемъ] и старѣйшаго по лѣтамъ; второе *за нимъ лицо* творитъ судъ и предводительствуетъ войскомъ. Второй классъ составляютъ жрецы, которые вѣдаютъ также спорныя дѣла съ сосѣдями; къ третьему классу относятся воины и земледѣльцы, къ четвертому—простонародье, которое служитъ рабами у царей и доставляетъ все необходимое для жизни. Имущество у нихъ—общее по родамъ; завѣдуетъ и распоряжается имъ въ каждомъ *родѣ* старѣйшій. Таковы Иверы и ихъ страна.

ГЛАВА IV.

Описаніе Албаніи.

1. Ἀλβανοὶ δὲ ποιμενικώτεροι καὶ τοῦ νομαδικοῦ γένους ἐγγυτέρω, πλὴν οὐκ ἄγριοι· ταύτῃ δὲ καὶ πολεμικοὶ μετρίως. οἰκοῦσι δὲ μεταξὺ τῶν Ἰβήρων καὶ τῆς Κα-

1. Албанцы болѣе склонны къ пастушескому образу жизни и ближе къ типу кочевниковъ, за исключеніемъ того, что они не дики, а вслѣдствіе этого и воин-

V. 5: ἐφ' αὐτῷ Mein. || V. 17: «Ἀλαζόνιος om. codd. edd.: addidi ex coni. Grosk. coll., p. 502». Kr.

Digitized by Google

σπίας Θαλάττης, πρὸς ἕω μὲν ἀπτόμενοι τῆς Θαλάττης, πρὸς δύσιν δὲ ὁμοροῦντες τοῖς Ἴβηρσι· τῶν δὲ λοιπῶν πλευρῶν τὸ μὲν βόρειον φρουρεῖται τοῖς Καυκασίοις ὄρεσι (ταῦτα γὰρ ὑπέρκειται τῶν πεδίων, καλεῖται δὲ τὰ πρὸς τῇ Θαλάττῃ μάλιστα Κεραύνια), τὸ δὲ νότιον ποιεῖ ἡ Ἀρμενία παρήκουσα, πολλὴ μὲν πεδιάς, πολλὴ δὲ καὶ ὀρεινή, καθάπερ ἡ Καμβυσηνή, καθ' ἣν ἅμα καὶ τοῖς Ἴβηρσι καὶ τοῖς Ἀλβανοῖς οἱ Ἀρμένιοι συνάπτουσιν.

2. Ὁ δὲ Κῦρος ὁ διαρρέων τὴν Ἀλβανίαν καὶ οἱ ἄλλοι ποταμοὶ οἱ πληροῦντες ἐκεῖνον ταῖς μὲν τῆς γῆς ἀρεταῖς προσλαμβάνουσι, τὴν δὲ Θάλατταν ἀλλοτριοῦσιν. ἡ γὰρ χοῦς προσπίπτουσα πολλὴ πληροῖ τὸν πόρον, ὥστε καὶ τὰς ἐπικειμένας νησῖδας ἐξηπειροῦσθαι καὶ τενάγη ποιεῖν ἀνώμαλα καὶ δυσφύλακτα, τὴν δ' ἀνωμαλίαν ἐπιτείνουσιν αἱ ἐκ τῶν πλημμυρίδων ἀνακοπαί. καὶ δὴ καὶ εἰς στόματα δώδεκά φασι μεμερίσθαι τὰς ἐκβολάς, τὰ μὲν τυφλά, τὰ δὲ παντελῶς *ἐπιγελῶντα καὶ μηδὲ ὕφορμον ἀπολείποντα· ἐπὶ πλείους γοῦν ἢ ἑξήκοντα σταδίους ἀμφικλύστου τῆς ἠόνος οὔσης τῇ Θαλάττῃ καὶ τοῖς ποταμοῖς, ἅπαν εἶναι μέρος αὐτῆς ἀπροσπέλαστον, τὴν δὲ χοῦν καὶ μέχρι πεντακοσίων παρήκειν σταδίων, θινώδη ποιοῦσαν τὸν αἰγιαλόν. πλησίον δὲ καὶ ὁ Ἀράξης ἐμβάλλει, τραχὺς ἐκ τῆς Ἀρμενίας ἐκπίπτων· ἣν δὲ ἐκεῖνος προωθεῖ χοῦν, πορευτὸν ποιῶν τὸ ῥεῖθρον, ταύτην ὁ Κῦρος ἀναπληροῖ.

3. Τάχα μὲν οὖν τῷ τοιούτῳ γένει τῶν ἀνθρώπων οὐδὲν δεῖ Θαλάττης· οὐδὲ γὰρ τῇ γῇ χρῶνται κατ' ἀξίαν, πάντα μὲν ἐκφερούσῃ καρπόν, καὶ τὸν ἡμερώτατον, πᾶν δὲ φυτόν· καὶ γὰρ τὰ ἀειθαλῆ φέρει· τυγχάνει δ' ἐπιμελείας οὐδὲ μικρᾶς, ἀλλὰ τἀγαθὰ ἄσπαρτα καὶ ἀνήροτα ἅπαντα φύονται, καθάπερ οἱ στρατεύσαντές φασι, Κυκλώπειόν τινα διηγούμενοι βίον· πολλαχοῦ γοῦν σπαρεῖσαν ἅπαξ δὶς ἐκφέρειν καρπὸν ἢ καὶ

ственны *лишь* въ умѣренной степени. Живутъ они между Иверами и Каспійскимъ моремъ, на востокѣ примыкая къ морю, а на западѣ граничa съ Иверами; изъ остальныхъ сторонъ сѣверная ограждается Кавказскими горами (онѣ высятся надъ равнинами и ближайшія къ морю называются Кераунскими), а южную образуетъ прилегающая Арменія, въ которой много равнинъ, но много и горъ, какъ напр. въ Камбисинѣ, въ которой Арменійцы соприкасаются и съ Иверами и съ Албанцами.

2. Протекающій черезъ Албанію Киръ и остальныя рѣки, пополняющія его, способствуютъ производительности почвы, но *за то* отчуждаютъ море. Дѣло въ томъ, что въ обилiи наносимый илъ заполняетъ русло, такъ что лежащіе *въ устьяхъ* островки соединяются съ материкомъ и образуютъ непостоянныя мели, отъ которыхъ трудно уберечься; это непостоянство еще увеличиваютъ разливы отъ прибоя. Такимъ образомъ устье рѣки, говорятъ, раздѣлилось на 12 рукавовъ, *изъ коихъ* одни закрыты, а другіе мелки и не могутъ даже служить стоянкою для судовъ. Итакъ, не смотря на то, что берегъ на протяженіи болѣе 60 стадій омывается моремъ и рѣками, вся *эта* часть его *остается* неприступной, а наносы тянутся даже на 500 стадій, образуя покрытый дюнами берегъ. Неподалеку впадаетъ и Араксъ, стремительно вытекающій изъ Арменіи. Тѣ наносы, которые онъ двигаетъ впередъ, преграждая путь для своего теченія, поглощаетъ Киръ.

3. Быть можетъ, впрочемъ, что такого рода людямъ вовсе не нужно море; вѣдь они не пользуются, какъ слѣдуетъ, даже и землей, которая производитъ всякіе плоды, даже самые нѣжные, и всякія растенія: есть даже вѣчнозеленыя. За землею нѣтъ ни малѣйшаго ухода, но «все здѣсь родится несѣяннымъ на непаханной почвѣ» [1]), какъ говорятъ бывшіе тамъ въ походахъ, разсказывающіе о какомъ-то Циклоповскомъ

V. 17: προπίπτουσα coniecit Mein. || V. 24: ἐπιγελῶντα *h*. Reliquorum codd. scripturam frustra explicare studet Cas. ex usu poetico verbi γελᾶν: corruptam alii iure indicarunt, nec tamen quidquam protulerunt, quod satisfaciat... Strabo scripsit, ni fallor, ἐπίπλεα ὄντα». Kr. — ἐπίπεδα ὄντα coni. Mein. || V. 39: post πάντα μὲν omisi γὰρ cum *oxe* Tzch. Cor. Mein. || V. 43: ἀλλὰ τἀγ' ἄσπαρτα καὶ ἀνήροτα παντα φύονται ex Od. IX, 109 scripserunt Xyl. Mein. || V. 45: γὰρ pro γοῦν scripsit Mein. ex *Cl.*

1) Ом. Одисс. IX, 109.

Digitized by Google

τρίς, τὸν δὲ πρῶτον καὶ πεντεκοντάχουν, ἀνέαστον καὶ ταῦτα, οὐδὲ σιδήρῳ τμηθεῖσαν, ἀλλ' αὐτοξύλῳ ἀρότρῳ. ποτίζεται δὲ πᾶν τὸ πεδίον τοῦ Βαβυλωνίου καὶ τοῦ Αἰγυπτίου μᾶλλον τοῖς ποταμοῖς καὶ τοῖς ἄλλοις ὕδασιν, ὥστ' ἀεὶ ποώδη φυλάττειν τὴν ὄψιν· διὰ δὲ τοῦτο καὶ εὔβοτόν ἐστι· πρόσεστι δὲ καὶ τὸ εὐάερον ἐκείνῳ μᾶλλον. ἄσκαφοι δ' αἱ ἄμπελοι μένουσαι διὰ τέλους, τεμνόμεναι δὲ διὰ πενταετηρίδος, νέαι μὲν διετεῖς ἐκφέρουσιν ἤδη καρπόν, τέλειαι δ' ἀποδιδόασι τοσοῦτον, ὥστ' ἀφιᾶσιν ἐν τοῖς κλήμασι πολὺ μέρος. εὐερνῆ δ' ἐστὶ καὶ τὰ βοσκήματα παρ' αὐτοῖς τά τε ἥμερα καὶ τὰ ἄγρια.

образѣ жизни въ *этихъ странахъ*: часто земля, засѣянная однажды, приноситъ плодъ дважды или даже трижды, въ первый разъ даже самъ-пятьдесятъ, притомъ не бывши подъ паромъ и будучи вспахана не желѣзнымъ, но грубымъ деревяннымъ плугомъ. Вся равнина орошается лучше Вавилонской и Египетской рѣками и другими водами, такъ что всегда сохраняетъ зеленѣющій видъ, а вслѣдствіе этого изобилуетъ и пастбищами; кромѣ того и воздухъ здѣсь лучше, чѣмъ тамъ. Виноградники у нихъ остаются совершенно невзрытыми и подрѣзываются черезъ пятилѣтіе, но тѣмъ не менѣе молодыя лозы приносятъ плодъ уже черезъ два года, а взрослыя даютъ столько *плодовъ*, что большую часть оставляютъ на вѣтвяхъ. Точно такъ же и животныя у нихъ, какъ домашнія, такъ и дикія, имѣютъ хорошій ростъ.

4. Καὶ οἱ ἄνθρωποι κάλλει καὶ μεγέθει διαφέροντες, ἁπλοῖ δὲ καὶ οὐ καπηλικοί· οὐδὲ γὰρ νομίσματι τὰ πολλὰ χρῶνται, οὐδὲ ἀριθμὸν ἴσασι μείζω τῶν ἑκατόν, ἀλλὰ φορτίοις τὰς ἀμοιβὰς ποιοῦνται, καὶ πρὸς τἆλλα δὲ τὰ τοῦ βίου ῥᾳθύμως ἔχουσιν. ἄπειροι δ' εἰσὶ καὶ μέτρων τῶν ἐπ' ἀκριβὲς καὶ σταθμῶν, καὶ πολέμου δὲ καὶ πολιτείας καὶ γεωργίας ἀπρονοήτως ἔχουσιν· ὅμως δὲ καὶ πεζοὶ καὶ ἀφ' ἵππων ἀγωνίζονται, ψιλοί τε καὶ κατάφρακτοι, καθάπερ Ἀρμένιοι.

4. Люди *здѣсь* также отличаются красотою и высокимъ ростомъ, но простодушны и чужды торгашескихъ наклонностей; они по большей части не употребляютъ даже монетъ и не знаютъ счета дальше сотни, а производятъ мѣну товарами. И къ остальнымъ житейскимъ потребностямъ они относятся безпечно: не знаютъ ни точныхъ мѣръ, ни вѣсовъ, и *одинаково* беззаботны въ дѣлѣ войны, гражданскаго устройства и земледѣлія. Впрочемъ, они сражаются и пѣшими и на коняхъ, въ легкомъ вооруженіи и въ панцыряхъ, подобно Арменійцамъ.

5. Στέλλουσι δὲ μείζω τῆς Ἰβήρων στρατιάν· ὁπλίζουσι γὰρ καὶ ἐξ μυριάδας πεζῶν, ἱππέας δὲ δισμυρίους καὶ δισχιλίους, ὅσοις πρὸς Πομπήιον διεκινδύνευσαν. καὶ τούτοις δὲ συμπολεμοῦσιν οἱ νομάδες πρὸς τοὺς ἔξωθεν, ὥσπερ τοῖς Ἴβηρσι κατὰ τὰς αὐτὰς αἰτίας. ἄλλως δ' ἐπιχειροῦσι τοῖς ἀνθρώποις πολλάκις, ὥστε καὶ γεωργεῖν κωλύουσιν. ἀκοντισταὶ δέ εἰσι καὶ τοξόται, θώρακας ἔχοντες καὶ θυρεούς, περίκρανα δὲ θήρεια παραπλησίως τοῖς Ἴβηρσιν. Ἔστι δὲ τῆς Ἀλβανῶν χώρας καὶ ἡ Κασπιανή, τοῦ Κασπίου ἔθνους ἐπώνυμος, οὑπερ καὶ ἡ θάλαττα, ἀφανοῦς ὄντος νυνί. ἡ δ' ἐκ τῆς

5. Войска они выставляютъ больше, чѣмъ Иверы: они вооружаютъ 60,000 пѣхоты и 22,000 всадниковъ, — съ какими силами вступили въ борьбу съ Помпеемъ. Въ войнахъ съ внѣшними *врагами* имъ помогаютъ кочевники, какъ и Иверамъ, и по тѣмъ же причинамъ; впрочемъ, иной разъ *кочевники* нападаютъ и на жителей, такъ что даже мѣшаютъ имъ обработывать землю. *Албанцы* сражаются дротиками и луками, имѣютъ панцыри, большіе щиты и шлемы изъ звѣриной кожи подобно Иверамъ. Въ составъ Албанской земли входитъ также и Каспіана, названная по имени Ка-

---

V. 8: ἐκείνων Cor. Mein., quod satis placere dixit Kr. || V. 9: δ' αἱ pro δὲ scripsi cum Cor. Mein. || V. 10: «τεμνόμεναι δὲ pr. m. in *D*, sed δὲ sec. m. del.: commodissime vero adderetur particula». Kr. Addidi particulam cum Mein. || V. 35: στρατιάν pro codd. scriptura στρατιᾶς coniecit Villebr., quam coniecturam a Kr. probatam recepi cum Mein. || V. 36: «μυρίους pro δισμυρίους scribendum censet Cas. ex Plutarchi l. c. *[Pomp. 35]*: atque alterutrum numerum corruptum esse apparet, utrum vero dicas, incertum est». Kr. — Cas. sequitur Meineke.

Digitized by Google

Ἰβηρίας εἰς τὴν Ἀλβανίαν εἰσβολὴ διὰ τῆς Καμβυσηνῆς ἀνύδρου τε καὶ τραχείας ἐπὶ τὸν Ἀλαζόνιον ποταμόν. θηρευτικοὶ δὲ καὶ αὐτοὶ καὶ οἱ κύνες αὐτῶν εἰς ὑπερβολήν, οὐ τέχνῃ μᾶλλον ἢ σπουδῇ τῇ περὶ τοῦτο.

испанскаго народа, отъ котораго *получило названіе* и море и *который* теперь уже не существуетъ. Проходъ изъ Иверіи въ Албанію идетъ черезъ безводную и ровную Камвисину къ рѣкѣ Алазонію. Сами *Албанцы* и ихъ собаки чрезвычайно любятъ охоту не столько по искусству, сколько по страсти къ ней.

6. Διαφέρουσι δὲ καὶ οἱ βασιλεῖς· νυνὶ μὲν οὖν εἷς ἁπάντων ἄρχει, πρότερον δὲ καὶ καθ' ἑκάστην γλῶτταν ἰδίᾳ ἐβασιλεύοντο ἕκαστοι. γλῶτται δ' εἰσὶν ἓξ καὶ εἴκοσιν αὐτοῖς διὰ τὸ μὴ εὐεπίμικτον πρὸς ἀλλήλους. φέρει δ' ἡ γῆ καὶ τῶν ἑρπετῶν ἕνια τῶν θανασίμων καὶ σκορπίους καὶ φαλάγγια· τῶν δὲ φαλαγγίων τὰ μὲν ποιεῖ γελῶντας ἀποθνήσκειν, τὰ δὲ κλαίοντας πόθῳ τῶν οἰκείων.

6. Отличаются *доблестями* и *ихъ* цари; нынѣ надъ всѣми царствуетъ одинъ *царь*, а прежде каждый народецъ съ особымъ нарѣчіемъ имѣлъ своего царя; нарѣчій же у нихъ 26 вслѣдствіе отсутствія частыхъ сношеній однихъ съ другими. Въ ихъ землѣ водятся нѣкоторые виды ядовитыхъ пресмыкающихся, а также скорпіоны и фалангіи (ядовитые пауки). Отъ укушенія однихъ изъ фалангій люди умираютъ со смѣхомъ, а отъ другихъ — съ плачемъ отъ тоски по роднымъ.

7. Θεοὺς δὲ τιμῶσιν Ἥλιον καὶ Δία καὶ Σελήνην, διαφερόντως δὲ τὴν Σελήνην. ἔστι δ' αὐτῆς τὸ ἱερὸν τῆς Ἰβηρίας πλησίον· ἱεράται δ' ἀνὴρ ἐντιμότατος μετά γε τὸν βασιλέα, προεστὼς τῆς ἱερᾶς χώρας, πολλῆς καὶ εὐάνδρου, καὶ αὐτῆς καὶ τῶν ἱεροδούλων, ὧν ἐνθουσιῶσι πολλοὶ καὶ προφητεύουσιν· ὃς δ' ἂν αὐτῶν ἐπὶ πλέον κατάσχετος γενόμενος πλανᾶται κατὰ τὰς ὕλας μόνος, τοῦτον συλλαβὼν ὁ ἱερεὺς ἀλύσει δήσας ἱερᾷ τρέφει πολυτελῶς τὸν ἐνιαυτὸν ἐκεῖνον, ἔπειτα προαχθεὶς εἰς τὴν θυσίαν τῆς θεοῦ, σὺν ἄλλοις ἱερείοις θύεται μυρισθείς. τῆς δὲ θυσίας ὁ τρόπος οὗτος· ἔχων τις ἱερὰν λόγχην, ἥπερ ἐστὶ νόμος ἀνθρωποθυτεῖν, παρελθὼν ἐκ τοῦ πλήθους, παίει διὰ τῆς πλευρᾶς εἰς τὴν καρδίαν, οὐκ ἄπειρος τοιούτου· πεσόντος δὲ σημειοῦνται μαντεῖά τινα ἐκ τοῦ πτώματος, καὶ εἰς τὸ κοινὸν ἀποφαίνουσι· κομισθέντος δὲ τοῦ σώματος εἴς τι χωρίον, ἐπιβαίνουσιν ἅπαντες καθαρσίῳ χρώμενοι.

7. Въ качествѣ боговъ чтутъ они Солнце, Зевса и Луну, въ особенности же Луну. Есть и святилище ея недалеко отъ Иверіи. Жрецомъ служитъ наиболѣе уважаемое послѣ царя лицо, стоящее во главѣ управленія священной землей, обширной и хорошо населенной, а также во главѣ служителей храма, изъ которыхъ многіе вдохновляются и пророчествуютъ. Того изъ нихъ, кто въ болѣе сильномъ экстазѣ блуждаетъ одинъ по лѣсамъ, жрецъ схватываетъ, сковываетъ священною цѣпью и роскошно кормитъ въ теченіе того года; затѣмъ *этотъ человѣкъ* приводится для жертвоприношенія богинѣ, умащается благовоніями и закалывается вмѣстѣ съ другими жертвами. Способъ жертвоприношенія таковъ: кто-нибудь съ священнымъ копьемъ, которымъ установлено убивать людей въ жертву, выходитъ изъ толпы и опытной рукой наноситъ *обреченному* ударъ сбоку въ сердце; когда *пораженный* упадетъ, отмѣчаютъ разныя примѣты по его паденію и объявляютъ ихъ во всеуслышаніе; а когда трупъ отнесутъ въ опредѣленное мѣсто, всѣ наступаютъ на него *ногою* для очищенія.

8. Ὑπερβαλλόντως δὲ καὶ τὸ γῆρας τιμῶσιν Ἀλβανοί, καὶ τὸ τῶν ἄλλων, οὐ τῶν γονέων μόνον· τεθνηκότων δὲ οὐχ ὅσιον φροντίζειν οὐδὲ μεμνῆσθαι. συγκατορύττουσι μέντοι τὰ χρήματα αὐτοῖς, καὶ διὰ

8. Албанцы весьма уважаютъ старость не только своихъ родителей, но и постороннихъ; объ умершихъ же заботиться и даже вспоминать *считается* грѣхомъ; однако они зарываютъ вмѣстѣ съ покойни-

V. 47: καὶ post δὲ asteriscis inclusit Cor., omisit Meineke.

Digitized by Google

τοῦτο πένητες ζῶσιν, οὐδὲν πατρῷον ἔχοντες. ταῦτα μὲν περὶ Ἀλβανῶν. λέγεται δ' Ἰάσονα μετὰ Ἀρμένου τοῦ Θετταλοῦ κατὰ τὸν πλοῦν τὸν ἐπὶ τοὺς Κόλχους ὁρμῆσαι μέχρι τῆς Κασπίας θαλάττης, καὶ τήν τε Ἰβηρίαν καὶ τὴν Ἀλβανίαν ἐπελθεῖν καὶ πολλὰ τῆς Ἀρμενίας καὶ τῆς Μηδίας, ὡς μαρτυρεῖ τά τε Ἰασόνια καὶ ἄλλα ὑπομνήματα πλείω. τὸν δὲ Ἄρμενον εἶναι ἐξ Ἀρμενίου πόλεως, τῶν περὶ τὴν Βοιβηΐδα λίμνην μεταξὺ Φερῶν καὶ Λαρίσης· τοὺς σὺν αὐτῷ τε οἰκίσαι τήν τε Ἀκιλισηνὴν καὶ τὴν Συσπιρῖτιν ἕως Καλαχανῆς καὶ Ἀδιαβηνῆς, καὶ δὴ καὶ τὴν Ἀρμενίαν ἐπώνυμον καταλιπεῖν.

ками ихъ имущество и поэтому живутъ въ бѣдности, не имѣя ничего отцовскаго. Вотъ что *можно сказать* объ Албанцахъ. Разсказываютъ, что Іасонъ съ Оессалійцемъ Арменомъ во время своего плаванія въ землю Колховъ дошелъ до Каспійскаго моря, прошелъ Иверію, Албанію и многія части Арменіи и Мидіи, какъ объ этомъ свидѣтельствуютъ святилища Іасона и другіе многочисленные памятники. Арменъ же, *говорятъ*, происходилъ изъ Арменія, одного изъ городовъ, лежащихъ у Вивеидскаго озера между Ферами и Ларисой; спутники его, *будто-бы*, заселили Акилисину и Спспиритиду до Калаханы и Адіавины. Отъ имени Армена, *говорятъ*, осталось и названіе Арменіи.

ГЛАВА V.

Амазонки и сѣверный Кавказъ.

1. Ἐν δὲ τοῖς ὑπὲρ τῆς Ἀλβανίας ὄρεσι καὶ τὰς Ἀμαζόνας οἰκεῖν φασι. Θεοφάνης μὲν οὖν ὁ συστρατεύσας τῷ Πομπηίῳ καὶ γενόμενος ἐν τοῖς Ἀλβανοῖς, μεταξὺ τῶν Ἀμαζόνων καὶ τῶν Ἀλβανῶν φησι Γήλας οἰκεῖν καὶ Λήγας Σκύθας, καὶ ῥεῖν ἐνταῦθα τὸν Μερμάδαλιν ποταμὸν τούτων τε καὶ τῶν Ἀμαζόνων ἀνὰ μέσον. ἄλλοι δέ, ὧν καὶ ὁ Σκήψιος Μητρόδωρος καὶ Ὑψικράτης, οὐδὲ αὐτοὶ ἄπειροι τῶν τόπων γεγονότες, Γαργαρεῦσιν ὁμόρους αὐτὰς οἰκεῖν φασιν ἐν ταῖς ὑπωρείαις ταῖς πρὸς ἄρκτον τῶν Καυκασίων ὀρῶν, ἃ καλεῖται Κεραύνια. τὸν μὲν ἄλλον χρόνον καθ' αὑτὰς αὐτουργούσας ἕκαστα, τά τε πρὸς ἄροτον καὶ φυτουργίαν καὶ τὰ πρὸς τὰς νομάς, καὶ μάλιστα τῶν ἵππων, τὰς δ' ἀλκιμωτάτας † τῶν ἵππων κυνηγεσίαις πλεονάζειν καὶ τὰ πολέμια ἀσκεῖν· ἁπάσας δ' ἐπικεκαῦσθαι τὸν δεξιὸν μαστὸν ἐκ νηπίων, ὥστε εὐπετῶς χρῆσθαι τῷ βραχίονι πρὸς ἑκάστην χρείαν, ἐν δὲ τοῖς πρώτοις πρὸς ἀκοντισμόν· χρῆσθαι δὲ καὶ τόξῳ καὶ σαγάρι καὶ πέλτῃ, δοράς δὲ θηρίων ποιεῖσθαι περίκρανά τε καὶ σκεπάσματα καὶ διαζώματα· δύο δὲ μῆνας ἐξαιρέτους ἔχειν τοῦ ἔαρος, καθ' οὓς ἀναβαίνουσιν εἰς τὸ πλησίον ὄρος τὸ διορίζον αὐτάς τε καὶ τοὺς Γαργαρέας. ἀναβαίνουσι δὲ κἀκεῖνοι κατὰ ἔθος τι παλαιόν, συνθύσοντές τε καὶ συνεσόμενοι ταῖς γυναιξὶ τεκνο-

1. *Въ возвышающихся* надъ Албаніей горахъ, по разсказамъ, живутъ Амазонки. Θеофанъ, участвовавшій въ походѣ съ Помпеемъ и бывшій у Албанцевъ, говоритъ, что между Амазонками и Албанцами живутъ скиескія племена Гилы и Лиги и что тамъ течетъ рѣка Мермадаль между этими *народами* и Амазонками. Другіе-же, въ томъ числѣ и Митродоръ Скепсійскій и Испикратъ, также знакомые съ этими странами, говорятъ, что Амазонки живутъ рядомъ съ Гаргареями на сѣверныхъ подгорьяхъ Кавказскихъ горъ, называемыхъ Керавнскими. Большую часть времени онѣ *живутъ* сами по себѣ, исполняя все, что относится къ земледѣлію, садоводству и уходу за скотомъ, особенно за лошадьми, а самыя сильныя изъ нихъ ревностно занимаются охотой и упражняются въ военныхъ дѣлахъ; у всѣхъ ихъ съ дѣтства выжигается правая грудь, чтобы удобно было дѣйствовать рукою во всякомъ занятіи, а особенно при метаніи копья; онѣ вооружены лукомъ, сѣкирою и легкимъ щитомъ, а изъ звѣриныхъ шкуръ дѣлаютъ себѣ шлемы, панцыри и пояса. *Изъ обычнаго образа жизни* исключаются у нихъ два весеннихъ мѣсяца, въ которые онѣ поднимаются на сосѣднюю гору, отдѣляющую ихъ отъ Гаргареевъ. *Туда же* поднимаются

V. 17: «τῶν ἵππων] ἐφ' ἵππων *l* (?) *os* edd., *in equis* Guar., quod satis commodum videtur, auctoritate tamen prorsus caret: suspicari possis verba illa ex prioribus male hic esse repetita». Kr. — Mein. τῶν ἵππων e textu eiecit.

Digitized by Google

ποιάς χάριν ἀφανῶς τε καὶ ἐν σκότει, ὁ τυχὼν τῇ τυχούσῃ, ἐγκύμονας δὲ ποιήσαντες ἀποπέμπουσιν· αἱ δ' ὅτι μὲν ἂν θῆλυ τέκωσι κατέχουσιν αὐταί, τὰ δ' ἄρρενα κομίζουσιν ἐκείνοις ἐκτρέφειν· ὠνείωται δ' ἕκαστος πρὸς ἕκαστον, νομίζων υἱὸν διὰ τὴν ἄγνοιαν.

и эти послѣдніе по старинному обычаю, чтобы вмѣстѣ принести жертву и вступить въ сношенія съ женщинами ради дѣторожденія; *совершаютъ они это* втайнѣ и во мракѣ, кому съ какою *женщиною* придется, и, сдѣлавши ихъ беременными, отпускаютъ. Всѣхъ родившихся дѣвочекъ Амазонки удерживаютъ у себя, а мальчиковъ относятъ на воспитаніе къ Гаргареямъ; каждый *изъ нихъ* беретъ себѣ любого *мальчика*, считая его по невѣдѣнію своимъ сыномъ.

2. Ὁ δὲ Μερμόδας, καταράττων ἀπὸ τῶν ὀρῶν διὰ τῆς τῶν Ἀμαζόνων καὶ τῆς Σιρακηνῆς καὶ ὅση μεταξὺ ἔρημος, εἰς τὴν Μαιῶτιν ἐκδίδωσι. τοὺς δὲ Γαργαρέας συναναβῆναι μὲν ἐκ Θερμισκύρας φασὶ ταῖς Ἀμαζόσιν εἰς τούσδε τοὺς τόπους, εἶτ' ἀποστάντας αὐτῶν πολεμεῖν μετὰ Θρᾳκῶν καὶ Εὐβοέων τινῶν πλανηθέντων μέχρι δεῦρο πρὸς αὐτάς, ὕστερον δὲ καταλυσαμένους τὸν πρὸς αὐτὰς πόλεμον ἐπὶ τοῖς λεχθεῖσι ποιήσασθαι συμβάσεις, ὥστε τέκνων συγκοινωνεῖν μόνον, ζῆν δὲ καθ' αὑτοὺς ἑκατέρους.

2. Мермодъ, низвергаясь съ горъ, течетъ черезъ страну Амазонокъ, черезъ Сиракину и лежащую между ними пустыню и впадаетъ въ Меотиду. Гаргареи, говорятъ, пришли въ эти мѣста изъ Ѳемискиры вмѣстѣ съ Амазонками, а затѣмъ, отдѣлившись отъ нихъ, воевали съ ними при помощи нѣкоторыхъ Ѳракійцевъ и Евбійцевъ, зашедшихъ сюда въ блужданіяхъ; потомъ, окончивъ войну съ ними, заключили договоръ на вышеприведенномъ условіи, такъ что имѣли только общность дѣтей, а жили тѣ и другія отдѣльно.

3. Ἴδιον δέ τι συμβέβηκε τῷ λόγῳ περὶ τῶν Ἀμαζόνων· οἱ μὲν γὰρ ἄλλοι τὸ μυθῶδες καὶ τὸ ἱστορικὸν διωρισμένον ἔχουσι· τὰ γὰρ παλαιὰ καὶ ψευδῆ καὶ τερατώδη μῦθοι καλοῦνται, ἡ δ' ἱστορία βούλεται τἀληθές, ἂν τε παλαιὸν ἂν τε νέον, καὶ τὸ τερατῶδες ἢ οὐκ ἔχει ἢ σπάνιον· περὶ δὲ τῶν Ἀμαζόνων τὰ αὐτὰ λέγεται καὶ νῦν καὶ πάλαι, τερατώδη τε ὄντα καὶ πίστεως πόρρω. τίς γὰρ ἂν πιστεύσειεν, ὡς γυναικῶν στρατὸς ἡ πόλις ἢ ἔθνος συσταίη ἄν ποτε χωρὶς ἀνδρῶν; καὶ οὐ μόνον γε συσταίη, ἀλλὰ καὶ ἐφόδους ποιήσαιτο ἐπὶ τὴν ἀλλοτρίαν καὶ κρατήσειεν οὐ τῶν ἐγγὺς μόνον, ὥστε καὶ μέχρι τῆς νῦν Ἰωνίας προελθεῖν, ἀλλὰ καὶ διαπόντιον στεῖλαιτο στρατείαν μέχρι τῆς Ἀττικῆς; τοῦτο γὰρ ὅμοιον, ὡς ἂν εἴ τις λέγοι τοὺς μὲν ἄνδρας γυναῖκας γεγονέναι τοὺς τότε, τὰς δὲ γυναῖκας ἄνδρας. ἀλλὰ μὴν ταῦτά γε αὐτὰ καὶ νῦν λέγεται περὶ αὐτῶν, ἐπιτείνει δὲ τὴν ἰδιότητα καὶ τὸ πιστεύεσθαι τὰ παλαιὰ μᾶλλον ἢ τὰ νῦν.

3. Сказанію объ Амазонкахъ выпала какая-то особенная судьба. Въ остальныхъ *сказаніяхъ* баснословное и историческое разграничены: *сказанія* древнія, невѣрныя и чудесныя, называются баснями, исторія же ищетъ истины, будь это древнее или новое *событіе*, и чуднаго или вовсе не допускаетъ или лишь изрѣдка. Объ Амазонкахъ же и прежде и теперь существуютъ одни и тѣ же *сказанія*, полныя чудесъ и далекія отъ вѣроятія. Въ самомъ дѣлѣ, кто можетъ повѣрить, чтобы когда-нибудь составилось войско, городъ, или народъ, изъ однихъ женщинъ безъ мужчинъ? И не только составилось, но и совершало походы на чужбину и покоряло не только ближнія *земли*, дойдя даже до нынѣшней Іоніи, но предпринимало и заморскій походъ до Аттики? Вѣдь это все равно, какъ если бы кто-нибудь сталъ говорить, что тогдашніе мужчины были женщинами, а женщины — мужчинами. А между тѣмъ и теперь о нихъ разсказывается то же самое, и своеобразность *сказаній* увеличивается тѣмъ, что древнимъ *сказаніямъ* вѣрятъ больше, чѣмъ нынѣшнимъ.

4. Κτίσεις γοῦν πόλεων καὶ ἐπωνυμίαι

4. Такъ, существуютъ сказанія объ

V. 26: τῷ post λόγῳ add. Cor. Mein.

Digitized by Google

λέγονται, καθάπερ Ἐφέσου καὶ Σμύρνης καὶ Κύμης καὶ Μυρίνης, καὶ τάφοι καὶ ἄλλα ὑπομνήματα· τὴν δὲ Θερμίσκυραν καὶ τὰ περὶ τὸν Θερμώδοντα πεδία καὶ τὰ ὑπερκείμενα ὄρη ἅπαντες Ἀμαζόνων καλοῦσι, καί φασιν ἐξελαθῆναι αὐτὰς ἐνθένδε. ὅπου δὲ νῦν εἰσίν, ὀλίγοι τε καὶ ἀναποδείκτως καὶ ἀπίστως ἀποφαίνονται· καθάπερ καὶ περὶ Θαλῆστρίας, ἣν Ἀλεξάνδρῳ συμμῖξαί φασιν ἐν τῇ Ὑρκανίᾳ καὶ συγγενέσθαι τεκνοποιίας χάριν, δυναστεύουσαν τῶν Ἀμαζόνων· οὐ γὰρ ὁμολογεῖται τοῦτο· ἀλλὰ τῶν συγγραφέων τοσούτων ὄντων, οἱ μάλιστα τῆς ἀληθείας φροντίσαντες οὐκ εἰρήκασιν, οὐδ' οἱ πιστευόμενοι μάλιστα οὐδενὸς μέμνηνται τοιούτου, οὐδ' οἱ εἰπόντες τὰ αὐτὰ εἰρήκασι· Κλείταρχος δέ φησι τὴν Θαλῆστρίαν ἀπὸ Κασπίων πυλῶν καὶ Θερμώδοντος ὁρμηθεῖσαν ἐλθεῖν πρὸς Ἀλέξανδρον, εἰσὶ δ' ἀπὸ Κασπίας εἰς Θερμώδοντα στάδιοι πλείους ἑξακισχιλίων.

5. Καὶ τὰ πρὸς τὸ ἔνδοξον θρυληθέντα † κἂν ὁμολόγηται παρὰ πάντων, οἱ δὲ πλάσαντες ἦσαν οἱ κολακείας μᾶλλον ἢ ἀληθείας φροντίζοντες· οἷον τὸ τὸν Καύκασον μετενεγκεῖν εἰς τὰ Ἰνδικὰ ὄρη καὶ τὴν πλησιάζουσαν ἐκείνοις ἑῴαν θάλατταν ἀπὸ τῶν ὑπερκειμένων τῆς Κολχίδος καὶ τοῦ Εὐξείνου ὁρῶν· ταῦτα γὰρ οἱ Ἕλληνες *καὶ* Καύκασον ὠνόμαζον, διέχοντα τῆς Ἰνδικῆς πλείους ἢ τρισμυρίους σταδίους, καὶ ἐνταῦθα ἐμύθευσαν τὰ περὶ Προμηθέα καὶ τὸν δεσμὸν αὐτοῦ· ταῦτα γὰρ τὰ ὕστατα πρὸς ἕω ἐγνώριζον οἱ τότε. ἡ δὲ ἐπὶ Ἰνδοὺς στρατεία Διονύσου καὶ Ἡρακλέους ὑστερογενῆ τὴν μυθοποιίαν ἐμφαίνει, ἅτε τοῦ Ἡρακλέους καὶ τὸν Προμηθέα λῦσαι λεγομένου χιλιάσιν ἔτῶν ὕστερον. καὶ ἦν μὲν ἔνδοξότερον τὸ τὸν Ἀλέξανδρον μέχρι τῶν Ἰνδικῶν ὁρῶν καταστρέψασθαι τὴν Ἀσίαν ἢ μέχρι τοῦ μυχοῦ τοῦ Εὐξείνου καὶ τοῦ Καυκάσου· ἀλλ' ἡ δόξα τοῦ ὄρους καὶ τοὔνομα καὶ τὸ τοὺς περὶ Ἰάσονα δοκεῖν μακροτάτην στρατείαν τελέσαι τὴν μέχρι τῶν πλησίον Καυκάσου καὶ τὸ τὸν Προμηθέα παραδεδόσθαι δεδεμένον ἐπὶ τοῖς ἐσχάτοις τῆς γῆς ἐν τῷ Καυκάσῳ, χαριεῖσθαί

основаніи городовъ и названіи ихъ по именп *основательницъ*, какъ напр. Ефеса, Смирны, Кимы, Мирины, *указываются* гробницы и другіе памятники. Ѳемискиру, прилегающія къ Ѳермодонту равнины и высящіяся надъ ними горы всѣ называютъ Амазонскими и говорятъ, что Амазонки были прогнаны отсюда; а гдѣ онѣ *находятся* въ настоящее время—объ этомъ говорятъ немногіе, *да и то* бездоказательно и неправдоподобно, равно какъ и о царицѣ Амазоновъ Ѳалестріи, которая, говорятъ, встрѣтилась съ Александромъ въ Ирканіи и вступила въ связь для дѣторожденія. Это *сказаніе* не всѣми принимается: изъ такого большого числа писателей наиболѣе стремящіеся къ истинѣ *ничего* не говорятъ *о немъ*, равно и пользующіеся наибольшимъ довѣріемъ не упоминаютъ ни о чемъ подобномъ, да и передающіе это сказаніе не согласны другъ съ другомъ; Клитархъ утверждаетъ, что Ѳалестрія прибыла къ Александру отъ Каспійскихъ воротъ и Ѳермодонта, между тѣмъ какъ отъ Каспійскаго моря до Ѳермодонта болѣе 6000 стадій.

5. Точно такъ же и сказанія, распространяемыя ради прославленія, хотя и признаются всѣми, но выдумавшіе ихъ болѣе имѣли въ виду лесть, чѣмъ истину; таково напр. перенесеніе *имени* Кавказа на Индійскія горы и близкое къ нимъ восточное море съ горъ, возвышающихся надъ Колхидою и Евксиномъ. Вѣдь Эллины называли Кавказомъ *именно* эти горы, отстоящія отъ Индіи болѣе, чѣмъ на 30000 стадій, и къ нимъ пріурочили миѳъ о скованномъ Промиѳеѣ, такъ какъ для людей того времени это были самыя крайнія извѣстныя *горы* на востокѣ. Походъ же Діониса и Иракла въ Индію обличаетъ позднѣйшее происхожденіе миѳа, такъ какъ Иракъ, по сказанію, освободилъ Промиѳея тысячи лѣтъ спустя. Для Александра, конечно, было болѣе славы покорить Азію до Индійскихъ горъ, чѣмъ до угла Евксина и до Кавказа; но славное имя этой горы, представленіе о томъ, что Іасонъ съ своими спутниками совершилъ весьма далекій походъ до *земель*, *лежащихъ* близъ Кавказа, и преданіе о томъ, что Промиѳей былъ прикованъ на краю земли на Кавказѣ,—

V. 27: ὁμολογῆται ald. Tzsch. Cor., ὁμολογεῖται Xyl. Cas., οὐκ ἀνωμολόγηται Mein. e cod. *E.* || V. 34: καὶ om. edd. inde a Xyl. praeter Mein.

Digitized by Google

τι τῷ βασιλεῖ ὑπέλαβον, τοὔνομα τοῦ ὄρους μετενέγκαντες εἰς τὴν Ἰνδικήν.

6. Τὰ μὲν οὖν ὑψηλότατα τοῦ ὄντως Καυκάσου τὰ νοτιώτατά ἐστι, τὰ πρὸς Ἀλβανίᾳ καὶ Ἰβηρίᾳ καὶ Κόλχοις καὶ Ἡνιόχοις· οἰκοῦσι δὲ οὓς εἶπον τοὺς συνερχομένους εἰς τὴν Διοσκουριάδα· συνέρχονται δὲ τὸ πλεῖστον ἁλῶν χάριν. τούτων δ' οἱ μὲν τὰς ἀκρωρείας κατέχουσιν, οἱ δὲ ἐν νάπαις αὐλίζονται καὶ ζῶσιν ἀπὸ θηρείων σαρκῶν τὸ πλέον καὶ καρπῶν ἀγρίων καὶ γάλακτος. αἱ δὲ κορυφαὶ χειμῶνος μὲν ἄβατοι, θέρους δὲ προσβαίνουσιν, ὑποδούμενοι κεντρωτὰ ὠμοβόϊνα δίκην τυμπάνων πλατεῖα διὰ τὰς χιόνας καὶ τοὺς κρυστάλλους. καταβαίνουσι δ' ἐπὶ δορᾶς κείμενοι σὺν τοῖς φορτίοις καὶ κατολισθαίνοντες, ὅπερ καὶ κατὰ τὴν Ἀτροπατίαν Μηδίαν καὶ κατὰ τὸ Μάσιον ὄρος τὸ ἐν Ἀρμενίᾳ συμβαίνει· ἐνταῦθα δὲ καὶ τροχίσκοι ξύλινοι κεντρωτοὶ τοῖς πέλμασιν ὑποτίθενται. τοῦ γοῦν Καυκάσου τὰ μὲν ἄκρα τοιαῦτα.

7. Καταβαίνοντι δ' εἰς τὰς ὑπωρείας ἀρκτικώτερα μέν ἐστι τὰ κλίματα, ἡμερώτερα δέ· ἤδη γὰρ συνάπτει τοῖς πεδίοις τῶν Σιράκων. εἰσὶ δὲ καὶ Τρωγλοδύται τινὲς ἐν φωλεοῖς οἰκοῦντες διὰ τὰ ψύχη, παρ' οἷς ἤδη καὶ ἁλφίτων ἐστὶν εὐπορία· μετὰ δὲ τοὺς Τρωγλοδύτας καὶ Χαμαικοῖται καὶ Πολυφάγοι τινὲς καλούμενοι καὶ αἱ τῶν Εἰσαδίκων κῶμαι, δυναμένων γεωργεῖν διὰ τὸ μὴ παντελῶς ὑποπεπτωκέναι ταῖς ἄρκτοις.

8. Οἱ δ' ἐφεξῆς ἤδη νομάδες οἱ μεταξὺ τῆς Μαιώτιδος καὶ τῆς Κασπίας Ναβιανοὶ καὶ † Πανξανοὶ καὶ ἤδη τὰ τῶν Σιράκων καὶ Ἀόρσων φῦλα. δοκοῦσι δ' οἱ Ἄορσοι καὶ οἱ Σίρακες φυγάδες εἶναι τῶν ἀνωτέρω, † καὶ προσάρκτιοι μᾶλλον Ἀόρσων. Ἀβέακος μὲν οὖν, ὁ τῶν Σιράκων βασιλεύς, ἡνίκα Φαρνάκης τὸν Βόσπορον εἶχε, δύο μυριάδας ἱππέων ἔστειλε, Σπαδίνης δ', ὁ τῶν Ἀόρσων, καὶ εἴκοσιν, οἱ δὲ ἄνω Ἄορσοι καὶ πλείονας·

все это навело *историковъ* на мысль, что они угодятъ царю, перенесши имя этой горы въ Индію.

6. Самыя высокія части подлиннаго Кавказа суть самыя южныя, обращенныя къ Албаніи, Иверіи и *областямъ* Колховъ и Иніоховъ. Живутъ тамъ *народы*, которые, какъ я сказалъ [1]), сходятся въ Діоскуріаду; сходятся же главнымъ образомъ для *покупки* соли. Одни изъ нихъ занимаютъ вершины горъ, другіе живутъ подъ открытымъ небомъ въ ущельяхъ, питаясь по большей части звѣринымъ мясомъ, дикорастущими плодами и молокомъ. Зимою горныя вершины неприступны, а лѣтомъ *люди* взбираются *на нихъ*, подвязывая *подошвы* изъ сырой воловьей кожи съ *желѣзными* шипами, широкія какъ литавры; *подвязываютъ ихъ* по причинѣ снѣговъ и льдовъ. Спускаются же съ горъ, лежа на шкурѣ вмѣстѣ съ кладью и скользя внизъ, что встрѣчается также въ Атропатійской Мидіи и на горѣ Масіи въ Арменіи; тамъ подвязываютъ подъ подошвы еще деревянныя колесца съ шипами. Таковы вершины Кавказа.

7. Спускаясь въ подгорья, *мы вступаемъ въ* области болѣе сѣверныя, но съ болѣе умѣреннымъ *климатомъ*, такъ какъ онѣ соприкасаются уже съ равнинами Сираковъ. Есть тутъ нѣкоторые Троглодиты [пещерники], живущіе вслѣдствіе холодовъ въ пещерахъ; у нихъ уже и хлѣбъ *родится* въ изобиліи. За Троглодитами *слѣдуютъ* какіе-то *народы*, называемые Хамэкитами и Многоѣдами, и селенія Исадиковъ, могущихъ заниматься земледѣліемъ, такъ какъ живутъ они не совсѣмъ *еще* на сѣверѣ.

8. *За ними* слѣдуютъ уже кочевники, *живущіе* между Меотидою и Каспійскимъ *моремъ*, *именно* Навіаны, Панксаны и *затѣмъ* уже племена Сираковъ и Аорсовъ. Аорсы и Сираки, кажется, бѣглецы *изъ среды* живущихъ выше *народовъ*... и они сѣвернѣе Аорсовъ. Царь Сираковъ Авеакъ, когда Фарнакъ владѣлъ Воспоромъ, выставилъ 20000 всадниковъ, царь Аорсовъ Спадинъ — даже 200000, а верхніе Аорсы

V. 33: † Χαιανοῖται Kr. adnotans incertissimam esse huius nominis scripturam in codd., quod Du Theil coniecit Χαμαχοῖται haud dubie esse verum: hanc coniecturam igitur in textum recepi cum Mein. || V. 41: «παξανοὶ *iz*, πενζανοὶ *E*, Παγξανοὶ Tzsch. Cor.: fortasse tamen ξ potius mutandum quam ν». Kr. || V. 43: post ἀνωτέρω recte lacunam indicavit Mein. || V. 47: ἔστελλε Cor. Mein. — εἴκοσιν asterisco notavit Mein.

1) XI, 2, 16 (см. выше стр. 136).

Digitized by Google

καὶ γὰρ ἐπεκράτουν πλείονος γῆς, καὶ σχεδόν τι τῆς Κασπίων παραλίας τῆς πλείστης ἦρχον, ὥστε καὶ ἐνεπορεύοντο καμήλοις τὸν Ἰνδικὸν φόρτον καὶ τὸν Βαβυλώνιον, παρά τε Ἀρμενίων καὶ Μήδων διαδεχόμενοι· ἐχρυσοφόρουν δὲ διὰ τὴν εὐπορίαν. οἱ μὲν οὖν Ἄορσοι τὸν Τάναϊν παροικοῦσιν, οἱ Σίρακες δὲ τὸν Ἀχαρδέον, ὃς ἐκ τοῦ Καυκάσου ῥέων ἐκδίδωσιν εἰς τὴν Μαιῶτιν.

еще больше, такъ какъ они владѣли болѣе обширною страною и господствовали, можно сказать, надъ наибольшею частью Каспійскаго побережья, такъ что даже торговали Индійскими и Вавилонскими товарами, получая ихъ отъ Арменійцевъ и Мидянъ и *перевозя* на верблюдахъ. Благодаря богатству они носили золотыя украшенія. Аорси живутъ по Танаиду, а Сираки по Ахардею, который вытекаетъ съ Кавказа и впадаетъ въ Меотиду.

ГЛАВА VI.

Вторая часть сѣверной Азіи.

1. Ἡ δὲ δευτέρα μερὶς ἄρχεται μὲν ἀπὸ τῆς Κασπίας θαλάττης, εἰς ἣν κατέπαυεν ἡ προτέρα· καλεῖται δ' ἡ αὐτὴ θάλαττα καὶ Ὑρκανία. δεῖ δὲ περὶ τῆς θαλάττης εἰπεῖν πρότερον ταύτης καὶ τῶν προσοίκων ἐθνῶν. ἔστι δ' ὁ κόλπος ἀνέχων ἐκ τοῦ ὠκεανοῦ πρὸς μεσημβρίαν κατ' ἀρχὰς μὲν ἱκανῶς στενός, ἐνδοτέρω δὲ πλατύνεται προϊὼν καὶ μάλιστα κατὰ τὸν μυχὸν ἐπὶ σταδίους που καὶ πεντακισχιλίους· ὁ δ' εἴσπλους μέχρι τοῦ μυχοῦ μικρῷ πλειόνων ἂν εἴη, συνάπτων πως ἤδη τῇ ἀοικήτῳ. φησὶ δ' Ἐρατοσθένης τὸν ὑπὸ τῶν Ἑλλήνων γνωριζόμενον περίπλουν τῆς θαλάττης ταύτης, τὸν μὲν παρὰ τοὺς Ἀλβανοὺς καὶ τοὺς Καδουσίους εἶναι πεντακισχιλίων καὶ τετρακοσίων, τὸν δὲ παρὰ τὴν Ἀναριακῶν καὶ Μάρδων καὶ Ὑρκανῶν μέχρι τοῦ στόματος τοῦ Ὤξου ποταμοῦ τετρακισχιλίων καὶ ὀκτακοσίων· ἔνθεν δ' ἐπὶ τοῦ Ἰαξάρτου διςχιλίων τετρακοσίων. δεῖ δὲ περὶ τῶν ἐν τῇ μερίδι ταύτῃ καὶ τοῖς ἐπὶ τοσοῦτον ἐκτετοπισμένοις ἁπλούστερον ἀκούειν, καὶ μάλιστα περὶ τῶν διαστημάτων.

1. Вторая часть начинается отъ Каспійскаго моря, у котораго кончается первая. Это же самое море называется еще Ирканскимъ. Но слѣдуетъ прежде сказать объ этомъ морѣ и сосѣднихъ съ нимъ народахъ. Это — заливъ, вдающійся изъ Океана къ югу, сначала довольно узкій, но *затѣмъ* расширяющійся по мѣрѣ углубленія *въ материкъ* и особенно въ самой внутренней части даже *до* 5000 стадій *ширины*. Плаваніе же до этой внутренней части, пожалуй, *будетъ еще* нѣсколько длиннѣе, доходя почти уже до необитаемыхъ *странъ*. По словамъ Ератосѳена, извѣстный Эллинамъ путь вокругъ этого моря составляетъ вдоль *областей* Албанцевъ и Кадусіевъ 5400 стадій, *затѣмъ* вдоль *страны* Анаріаковъ, Мардовъ и Иркановъ до устья рѣки Окса 4800, а отсюда до *рѣки* Іаксарта — 2400. Впрочемъ, къ *свѣдѣніямъ* объ этой части *Азіи* и столь отдаленныхъ *странахъ* слѣдуетъ относиться осторожно, въ особенности *когда дѣло идетъ* о разстояніяхъ.

2. Εἰσπλέοντι δ' ἐν δεξιᾷ μὲν τοῖς Εὐρωπαίοις οἱ συνεχεῖς Σκύθαι νέμονται καὶ Σαρμάται οἱ μεταξὺ τοῦ Τανάιδος καὶ τῆς θαλάττης ταύτης, νομάδες οἱ πλείους, περὶ ὧν εἰρήκαμεν· ἐν ἀριστερᾷ δ' οἱ πρὸς ἕω Σκύθαι, νομάδες καὶ οὗτοι, μέχρι τῆς ἑῴας θαλάττης καὶ τῆς Ἰνδικῆς παρατείνοντες. ἅπαντας μὲν δὴ τοὺς προσβόρους κοινῶς οἱ παλαιοὶ τῶν Ἑλλήνων συγγραφεῖς Σκύθας καὶ Κελτοσκύθας ἐκάλουν· οἱ δ' ἔτι πρότερον διελόντες τοὺς μὲν ὑπὲρ τοῦ Εὐξείνου καὶ Ἴστρου καὶ τοῦ Ἀδρίου κατοι-

2. Для вступающаго *въ Каспійское море* по правую руку обитаютъ смежные съ Европейцами Скиѳы и Сарматы между Танаидомъ и этимъ моремъ, по большей части кочевники, о которыхъ мы *уже* говорили, а влѣво — восточные Скиѳы, также кочевники, на всемъ протяженіи до восточнаго моря и до Индіи. Древніе эллинскіе писатели называли всѣ вообще сѣверные народы Скиѳами и Кельтоскиѳами, а еще болѣе древніе, различая ихъ *по частямъ*, называли Ипербореями, Савромата-

V. 32: προσβόρους edd. inde a Xyl. || V. 35: πρότερον] πορρωτέρω Hermann. ad Aesch. v. II p. 163.

Digitized by Google

κοῦντας Ὑπερβορέους ἔλεγον καὶ Σαυρομάτας καὶ Ἀριμασπούς, τοὺς δὲ πέραν τῆς Κασπίας Θαλάττης τοὺς μὲν Σάκας, τοὺς δὲ Μασσαγέτας ἐκάλουν, οὐκ ἔχοντες ἀκριβὲς λέγειν περὶ αὐτῶν οὐδέν, καίπερ πρὸς Μασσαγέτας τοῦ Κύρου πόλεμον ἱστοροῦντες. ἀλλ' οὔτε περὶ τούτων οὐδὲν ἠκρίβωτο πρὸς ἀλήθειαν, οὔτε τὰ παλαιὰ τῶν Περσικῶν οὔτε τῶν Μηδικῶν ἢ Συριακῶν εἰς πίστιν ἀφικνεῖτο μεγάλην διὰ τὴν τῶν συγγραφέων ἁπλότητα καὶ τὴν φιλομυθίαν.

тами и Аримаспами живущихъ выше Евксина, Истра и Адріи а живущихъ по ту сторону Каспійскаго моря называли однихъ Саками, другихъ Массагетами, не имѣя *возможности* сказать о нихъ ничего достовѣрнаго, хотя и разсказывали о войнѣ Кира съ Массагетами. Но вообще ни объ этихъ *народахъ* не добыто изслѣдованіями ничего достовѣрнаго, ни древнія извѣстія о Персахъ и Мидянахъ или Сиріицахъ не пользовались большимъ довѣріемъ вслѣдствіе наивности писателей и любви ихъ къ сказкамъ.

27. Дальнѣйшее описаніе Каспійскаго моря.

Lib. XI cap. VII.

Переводъ **В. Л.**

1. (p. 508 *C.*). Τοὺς δ' οὖν ἐν ἀριστερᾷ εἰσπλέοντι τὸ Κάσπιον πέλαγος παροικοῦντας νομάδας Δάας οἱ νῦν προσαγορεύουσι τοὺς ἐπονομαζομένους Πάρνους· εἶτ' ἔρημος πρόκειται μεταξύ, καὶ ἐφεξῆς ἡ Ὑρκανία, καθ' ἣν ἤδη πελαγίζει μέχρι τοῦ συνάψαι τοῖς Μηδικοῖς ὄρεσι καὶ τοῖς Ἀρμενίων. τούτων δ' ἐστὶ μηνοειδὲς τὸ σχῆμα κατὰ τὰς ὑπωρείας, αἳ τελευτῶσαι πρὸς Θάλατταν ποιοῦσι τὸν μυχὸν τοῦ κόλπου. οἰκεῖ δὲ τὴν παρωρείαν ταύτην μέχρι τῶν ἄκρων ἀπὸ Θαλάττης ἀρξαμένοις ἐπὶ μικρὸν μὲν τῶν Ἀλβανῶν τι μέρος καὶ τῶν Ἀρμενίων, τὸ δὲ πλέον Γῆλαι καὶ Καδούσιοι καὶ Ἄμαρδοι καὶ Οὐίτιοι καὶ Ἀναριάκαι ... τὸ μέντοι πλέον τῆς περὶ τὴν ὀρεινὴν παραλίας Καδούσιοι νέμονται, σχεδὸν δέ τι ἐπὶ πεντακισχιλίους σταδίους, ὥς φησι Πατροκλῆς, ὃς καὶ πάρισον ἡγεῖται τὸ πέλαγος τοῦτο τῷ Ποντικῷ. ταῦτα μὲν οὖν τὰ χωρία λυπρά.

1. Наши современники называютъ Даями кочевниковъ, живущихъ на побережьѣ Каспійскаго моря по лѣвую руку для вплывающаго *въ него и* называемыхъ также Парнами. Далѣе въ промежуткѣ лежитъ пустыня, а за нею Ирканія, у которой море уже расширяется до соприкосновенія съ Мидійскими и Арменскими горами. Форма этихъ горъ лунообразна у подошвъ, которыя, оканчиваясь у моря, образуютъ внутреннюю часть залива. Эти горные склоны, начинал отъ моря до вершинъ, на небольшомъ пространствѣ заселяетъ часть Албанцевъ и Армянъ, а большую часть *занимаютъ* Гилы, Кадусіи, Амарды, Витіи и Анаріаки ... Однако большую часть побережья въ горной странѣ занимаютъ Кадусіи, на пространствѣ почти 5000 стадій, какъ говоритъ Патроклъ, который полагаетъ также, что это море *по величинѣ* равно Понтійскому. Мѣстности эти бѣдны.

3. (p. 509 *C.*). Διαρρεῖται δὲ καὶ ποταμοῖς ἡ Ὑρκανία τῷ τε Ὄξῳ καὶ τῷ Ὕξῳ μέχρι τῆς εἰς Θάλατταν ἐκβολῆς, ὧν ὁ Ὄξος καὶ διὰ τῆς Νησαίας ῥεῖ· ἔνιοι δὲ τὸν Ὄξον εἰς τὸν Ὕξον ἐμβάλλειν φασίν. Ἀριστόβουλος δὲ καὶ μέγιστον ἀποφαίνει τὸν Ὕξον τῶν ἑωραμένων ὑφ' ἑαυτοῦ κατὰ τὴν

3. Чрезъ Ирканію протекаютъ также рѣки Охъ и Оксъ до впаденія въ море; изъ нихъ Охъ течетъ и чрезъ Нисею; нѣкоторые говорятъ, что Охъ впадаетъ въ Оксъ. Аристовулъ называетъ Оксъ величайшею изъ впадѣнныхъ имъ въ Азіи рѣкъ за исключеніемъ Индійскихъ; онъ говоритъ также

V. 4: adj. ex *E* recepi cum Mein. pro adv. ἀκριβῶς. || 27, v. 14: «γέλαι codd., quam eandem scripturam Plut. habet in Pompeio cap. 35: per η tamen effertur hoc nomen p. 503 et 510; cfr. Dion. Perieg. v. 1019». Kramer. — [Καδούσιοι] δοκουσῖνοι codd. exc. *E*, qui exhibet δοκούσιοι; veram scripturam Cor. restituit ex coni. Cas., coll. p. 510. 514. — Οὐίτιοι] κουίτιοι codd. exc. *E*, corr. Tzsch. ex coni. Cas. || V. 17: «δ' ἔτι *lacs* ald., dé Cor. asteriscis inclusit, atque incommodum sane est.» Kr. || V. 22: διαρρεῖται ex Cas. coniectura pro διαιρεῖται, quod habent codd. exc. *s*.

Digitized by Google

Ἀσίαν πλὴν τῶν Ἰνδικῶν· φησὶ δὲ καὶ εὔπλοον εἶναι (καὶ οὗτος καὶ Ἐρατοσθένης παρὰ Πατροκλέους λαβών) καὶ πολλὰ τῶν Ἰνδικῶν φορτίων κατάγειν εἰς τὴν Ὑρκανίαν θάλατταν, ἐντεῦθεν δ' εἰς τὴν Ἀλβανίαν περαιοῦσθαι, καὶ διὰ τοῦ Κύρου καὶ τῶν ἐξῆς τόπων εἰς τὸν Εὔξεινον καταφέρεσθαι...

4. Προσεδοξάσθη δὲ καὶ περὶ τῆς θαλάττης ταύτης πολλὰ ψευδῆ διὰ τὴν Ἀλεξάνδρου φιλοτιμίαν· ἐπειδὴ γὰρ ὡμολόγητο ἐκ πάντων, ὅτι διείργει τὴν Ἀσίαν ἀπὸ τῆς Εὐρώπης ὁ Τάναϊς ποταμός, τὸ δὲ μεταξὺ τῆς θαλάττης καὶ τοῦ Τανάϊδος, πολὺ μέρος τῆς Ἀσίας ὄν, οὐχ ὑπέπιπτε τοῖς Μακεδόσι, στρατηγεῖν δ' ἔγνωστο, ὥστε τῇ φήμῃ γε κἀκείνων δόξαι τῶν μερῶν κρατεῖν τὸν Ἀλέξανδρον, εἰς ἓν συνῆγον τήν τε Μαιῶτιν λίμνην τὴν δεχομένην τὸν Τάναϊν καὶ τὴν Κασπίαν θάλατταν, λίμνην καὶ ταύτην καλοῦντες καὶ συντετρῆσθαι φάσκοντες πρὸς ἀλλήλας ἀμφοτέρας, ἑκατέραν δὲ εἶναι μέρος τῆς ἑτέρας. Πολύκλειτος δὲ καὶ πίστεις προφέρεται περὶ τοῦ λίμνην εἶναι τὴν θάλατταν ταύτην (ὄφεις τε γὰρ ἐκτρέφειν καὶ ὑπόγλυκυ εἶναι τὸ ὕδωρ), ὅτι δὲ καὶ οὐχ ἑτέρα τῆς Μαιώτιδός ἐστι, τεκμαιρόμενος ἐκ τοῦ τὸν Τάναϊν εἰς αὐτὴν ἐμβάλλειν· ἐκ γὰρ τῶν αὐτῶν ὀρῶν τῶν Ἰνδικῶν, ἐξ ὧν ὅ τε Ὦχος καὶ ὁ Ὦξος καὶ ἄλλοι πλείους, φέρεται καὶ ὁ Ἰαξάρτης, ἐκδίδωσί τε ὁμοίως ἐκείνοις εἰς τὸ Κάσπιον πέλαγος, πάντων ἀρκτικώτατος. τοῦτον οὖν ὠνόμασαν Τάναϊν, καὶ προσέθεσαν *καὶ* τούτῳ πίστιν, ὡς εἴη Τάναϊς, ὃν εἴρηκεν ὁ Πολύκλειτος· τὴν γὰρ περαίαν τοῦ ποταμοῦ τούτου φέρειν ἐλάτην καὶ οἰστοῖς ἐλατίνοις χρῆσθαι τοὺς ταύτῃ Σκύθας, τοῦτο δὲ καὶ τεκμήριον τοῦ τὴν χώραν τὴν πέραν τῆς Εὐρώπης εἶναι, μὴ τῆς Ἀσίας. τὴν γὰρ Ἀσίαν τὴν ἄνω καὶ τὴν πρὸς ἕω μὴ φύειν ἐλάτην. Ἐρατοσθένης δέ φησι καὶ ἐν τῇ Ἰνδικῇ φύεσθαι ἐλάτην καὶ ἐντεῦθεν ναυπηγήσασθαι τὸν στόλον Ἀλέξανδρον· πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα συγκρούειν Ἐρατοσθένης πειρᾶται· ἡμῖν δ' ἀποχρώντως εἰρήσθω περὶ αὐτῶν.

(заимствуя *это извѣстіе*, какъ и Ератосѳенъ, у Патрокла), что она удобна для судоходства и что по ней многіе индійскіе товары сплавляются въ Иркапское море, отсюда переправляются въ Албанію и *наконецъ* по Куру и слѣдующимъ *за нимъ* мѣстностямъ перевозятся въ Евксинъ...

4. И объ этомъ морѣ [т. е. Каспійскомъ] присочинено много ложнаго изъ за честолюбія Александра. Такъ какъ всѣми согласно признано, что рѣка Танаидъ отдѣляетъ Азію отъ Европы, пространство же между моремъ и Танаидомъ, составляющее значительную часть Азіи, не подпало подъ власть Македонянъ, а между тѣмъ было признано, что Александръ водилъ *туда* войско, такъ что, по крайней мѣрѣ по народной молвѣ, считался овладѣвшимъ и этими странами, — то поэтому Мэотійское озеро, принимающее *въ себя* Танаидъ, и Каспійское море соединяли въ одно *цѣлое*, называя озеромъ и послѣднее и утверждая, что оба они сливаются другъ съ другомъ и одно составляетъ часть другаго. Поликлитъ представляетъ даже доказательства того, что это море представляетъ собою озеро, *именно что* въ немъ-де водятся змѣи и вода его пресновата; а что оно не отдѣлено отъ Мэотиды, онъ доказываетъ тѣмъ, что въ него впадаетъ Танаидъ. Изъ тѣхъ самыхъ Индійскихъ горъ, изъ которыхъ *текутъ* Охъ, Оксъ и многія другія *рѣки*, вытекаетъ и Іаксартъ и впадаетъ подобно имъ въ Каспійское море, находясь далѣе всѣхъ на сѣверѣ. Эту-то рѣку назвали Танаидомъ и прибавили доказательство того, что это — *именно тотъ* Танаидъ, о которомъ говоритъ Поликлитъ: страна по ту сторону этой рѣки производитъ-де ель и тамошніе Скиѳы употребляютъ еловыя стрѣлы, а это-де и есть доказательство того, что лежащая по ту сторону земля принадлежитъ къ Европѣ, а не къ Азіи, ибо верхняя и восточная Азія не производитъ ели. Но Ератосѳенъ утверждаетъ, что ель растетъ даже въ Индіи и что Александръ оттуда соорудилъ свой флотъ; Ератосѳенъ пытается опровергнуть много и другихъ подобныхъ извѣстій, но для насъ достаточно уже сказаннаго о нихъ.

V. 17: sequor Meinekium: Kr. habet ...Ἀλέξανδρον· εἰς ἓν οὖν συνῆγον κτλ. || V. 28: Cor. scripturam recepi: προσφέρεται Kr. || V. 33: «καὶ om. edd. inde a Cas.; καὶ τοῦτο *i*, quod praeferendum censet Cor.» Kr.; προσέθεσάν γε τούτῳ Mein.

Digitized by Google

28. Восточные Скиѳы и Массагеты.

Lib. XI cap. VIII.

1. (p. 510 sq. *C.*). Ἀπὸ δὲ τῆς Ὑρκανίας θαλάττης προϊόντι ἐπὶ τὴν ἕω δεξιὰ μέν ἐστι τὰ ὄρη μέχρι τῆς Ἰνδικῆς θαλάττης παρατείνοντα, ἅπερ οἱ Ἕλληνες ὀνομάζουσι Ταῦρον, ἀρξάμενον ἀπὸ τῆς Παμφυλίας καὶ τῆς Κιλικίας καὶ μέχρι δεῦρο προϊόντα ἀπὸ τῆς ἑσπέρας συνεχῆ καὶ τυγχάνοντα ἄλλων καὶ ἄλλων ὀνομάτων. προσοικοῦσι δ' αὐτοῦ τὰ προσάρκτια μέρη πρῶτοι μὲν οἱ Γῆλαι καὶ Καδούσιοι καὶ Ἀμαρδοί, καθάπερ εἴρηται, καὶ τῶν Ὑρκανίων τινές, ἔπειτα τὸ τῶν Παρθυαίων ἔθνος καὶ τὸ τῶν Μαργιανῶν καὶ τῶν Ἀρίων καὶ ἡ ἔρημος, ἣν ἀπὸ τῆς Ὑρκανίας ὁρίζει ὁ Σάρνιος ποταμὸς πρὸς ἕω βαδίζουσι καὶ ἐπὶ τὸν Ὦχον. καλεῖται δὲ τὸ μέχρι δεῦρο ἀπὸ τῆς Ἀρμενίας διατεῖνον, ἢ μικρὸν ἀπολεῖπον, Παραχοάθρας. ἔστι δὲ ἀπὸ τῆς Ὑρκανίας θαλάττης εἰς τοὺς Ἀρίους περὶ ἑξακισχιλίους σταδίους, εἶθ' ἡ Βακτριανή ἐστι καὶ ἡ Σογδιανή, τελευταῖοι δὲ Σκύθαι νομάδες. τὰ δ' ὄρη Μακεδόνες μὲν ἅπαντα τὰ ἑφεξῆς ἀπὸ Ἀρίων Καύκασον ἐκάλεσαν, παρὰ δὲ τοῖς βαρβάροις † τά τε ἄκρα καὶ τοῦ Παροπαμίσου τὰ προσβόρεια καὶ τὰ Ἠμωδὰ καὶ τὸ Ἴμαον καὶ ἄλλα τοιαῦτα ὀνόματα ἑκάστοις μέρεσιν ἐπέκειτο.

1. Если отъ Ирканскаго моря идти на востокъ, то направо будутъ тянущіяся до Индійскаго моря горы, которыя Эллины называютъ Тавромъ; начинаясь отъ Памфиліи и Киликіи, онъ до этихъ мѣстъ идетъ съ запада непрерывною цѣпью, получая все разныя и разныя названія. Сѣверныя части его заселяютъ вопервыхъ Гилы, Кадусіи и Амарды, какъ сказано выше, и нѣкоторые изъ Ирканцевъ, затѣмъ народы: Парѳянскій, Маргіанскій и Арійскій, *потомъ* пустыня, которую отдѣляетъ отъ Ирканіи рѣка Сарній, если идти къ востоку и *тянь* Оху. *Часть горнаго хребта*, простирающаяся отъ Арменіи до этихъ мѣстностей, или немного не доходящая *до нихъ*, называется Парахоаѳръ. Отъ Ирканскаго моря до Аріевъ считается около 6000 стадій, а затѣмъ слѣдуютъ Вактріана, Согдіана и наконецъ Скиѳы-кочевники. Всю горную цѣпь, *идущую* отъ *страны* Аріевъ, Македоняне назвали Кавказомъ, а у варваровъ вершины, сѣверные *склоны* Паропамиса, Имоды, Имай и другія подобныя названія были даны отдѣльнымъ частямъ.

2. Ἐν ἀριστερᾷ δὲ τούτοις ἀντιπαράκειται [τὰ] Σκυθικὰ ἔθνη καὶ τὰ νομαδικά, ἅπασαν ἐκπληροῦντα τὴν βόρειον πλευράν. οἱ μὲν δὴ πλείους τῶν Σκυθῶν ἀπὸ τῆς Κασπίας θαλάττης ἀρξάμενοι Δάαι προσαγορεύονται, τοὺς δὲ προσεῴους τούτων μᾶλλον Μασσαγέτας καὶ Σάκας ὀνομάζουσι, τοὺς δ' ἄλλους κοινῶς μὲν Σκύθας ὀνομάζουσιν, ἰδίᾳ δ' ὡς ἑκάστους· ἅπαντες δ' ὡς ἐπὶ τὸ πολὺ νομάδες...

2. Слѣва противъ этихъ странъ живутъ скиѳскія и кочевыя племена, занимающія всю сѣверную сторону. Большая часть Скиѳовъ, начиная отъ Каспійскаго моря, называется Даями, живущихъ далѣе къ востоку зовутъ Массагетами и Саками, а прочихъ называютъ вообще Скиѳами, но каждое *племя имѣетъ* и частное *имя*. Всѣ они ведутъ по большей части кочевую жизнь. . .

4. (p. 511 *C.*). Σάκαι μέντοι παραπλησίας ἐφόδους ἐποιήσαντο τοῖς Κιμμερίοις καὶ Τρήρεσι, τὰς μὲν μακροτέρας, τὰς δὲ καὶ ἐγγυθεν· καὶ γὰρ τὴν Βακτριανὴν κατέσχον καὶ τῆς Ἀρμενίας κατεκτήσαντο τὴν ἀρίστην γῆν, ἣν καὶ ἐπώνυμον ἑαυτῶν κατέλιπον τὴν Σακασηνήν, καὶ μέχρι Καππαδόκων, καὶ μάλιστα τῶν πρὸς Εὐξείνῳ, οὓς Ποντικοὺς νῦν καλοῦσι, προῆλθον...

4. Саки совершали походы подобно Киммерійцамъ и Трирамъ, то *въ* болѣе отдаленныя *земли*, то *въ* сосѣднія. Такъ, они заняли Вактріану и завладѣли въ Арменіи наилучшею землею, которой оставили отъ своего имени и названіе Сакасины: они доходили и до Каппадоковъ и въ особенности до сосѣднихъ съ Евксиномъ, которыхъ теперь зовутъ Понтійскими. . .

6. (p. 512 sq. *C.*). Μασσαγέται δ' ἐδή-

6. Массагеты показали свою доблесть

V. 24: Verba τά τε ἄκρα — προσβόρεια turbata esse viderunt edd.; cf. quae adnotavit Kr.|| V. 29: τὰ om. codd., Cor. add.

Digitized by Google

λωσαν τὴν σφετέραν ἀρετὴν ἐν τῷ πρὸς Κῦρον πολέμῳ, περὶ οὗ θρυλοῦσι πολλοί, καὶ δεῖ πυνθάνεσθαι παρ' ἐκείνων. λέγεται δὲ καὶ τοιαῦτα περὶ τῶν Μασσαγετῶν, ὅτι κατοικοῦσιν οἱ μὲν ὄρη, τινὲς δ' αὐτῶν πεδία, οἱ δὲ ἕλη, ἃ ποιοῦσιν οἱ ποταμοί, οἱ δὲ τὰς ἐν τοῖς ἕλεσι νήσους. μάλιστα δέ φασι τὸν Ἀράξην ποταμὸν κατακλύζειν τὴν χώραν πολλαχῇ σχιζόμενον, ἐκπίπτοντα δὲ τοῖς μὲν ἄλλοις στόμασιν εἰς τὴν ἄλλην τὴν πρὸς ἄρκτοις θάλατταν, ἑνὶ δὲ μόνῳ πρὸς τὸν κόλπον τὸν Ὑρκάνιον. θεὸν δὲ ἥλιον μόνον ἡγοῦνται, τούτῳ δὲ ἱπποθυτοῦσι· γαμεῖ δ' ἕκαστος μίαν, χρῶνται δὲ καὶ ταῖς ἀλλήλων οὐκ ἀφανῶς, ὁ δὲ μιγνύμενος τῇ ἀλλοτρίᾳ, τὴν φαρέτραν ἐξαρτήσας ἐκ τῆς ἁμάξης, φανερῶς μίγνυται· θάνατος δὲ νομίζεται παρ' αὐτοῖς ἄριστος, ὅταν γηράσαντες ἀποκοπῶσι μετὰ προβατείων κρεῶν καὶ ἀναμιξ βρωθῶσι· τοὺς δὲ νόσῳ θανόντας ῥίπτουσιν, ὡς ἀσεβεῖς καὶ ἀξίους ὑπὸ θηρίων βεβρῶσθαι. ἀγαθοὶ δὲ ἱππόται καὶ πεζοί, τόξοις δὲ χρῶνται καὶ μαχαίραις καὶ θώραξι καὶ σαγάρεσι χαλκαῖς, ζῶναι δὲ αὐτοῖς εἰσι χρυσαῖ καὶ διαδήματα ἐν ταῖς μάχαις· οἵ τε ἵπποι χρυσοχάλινοι, καὶ μασχαλιστῆρες δὲ χρυσοῖ· ἄργυρος δ' οὐ γίνεται παρ' αὐτοῖς, σίδηρος δ' ὀλίγος, χαλκὸς δὲ καὶ χρυσὸς ἄφθονος.

7. Οἱ μὲν οὖν ἐν ταῖς νήσοις, οὐκ ἔχοντες σπόριμα, ῥιζοφαγοῦσι καὶ ἀγρίοις χρῶνται καρποῖς, ἀμπέχονται δὲ τοὺς τῶν δένδρων φλοιούς (οὐδὲ γὰρ βοσκήματα ἔχουσι), πίνουσι δὲ τὸν ἐκ τῶν δένδρων καρπὸν ἐκθλίβοντες· οἱ δ' ἐν τοῖς ἕλεσιν ἰχθυοφαγοῦσιν, ἀμπέχονται δὲ τὰ τῶν φωκῶν δέρματα τῶν ἐκ θαλάττης ἀνατρεχουσῶν· οἱ δ' ὀρειοι τοῖς ἀγρίοις τρέφονται καὶ αὐτοὶ καρποῖς· ἔχουσι δὲ καὶ πρόβατα ὀλίγα, ὥστ' οὐδὲ κατακόπτουσι, φειδόμενοι τῶν ἐρίων χάριν καὶ τοῦ γάλακτος· τὴν δ' ἐσθῆτα ποικίλλουσιν ἐπιχρίστοις φαρμάκοις δυσεξίτηλον ἔχουσι τὸ ἄνθος. οἱ δὲ πεδινοί, καίπερ ἔχοντες χώραν, οὐ γεωργοῦσιν, ἀλλὰ ἀπὸ προβάτων καὶ ἰχθύων ζῶσι νομαδικῶς καὶ Σκυθικῶς. ἔστι γάρ τις καὶ κοινὴ ἡ δίαιτα πάντων τῶν τοιούτων, ἣν πολλάκις λέγω, καὶ

въ войнѣ съ Киромъ, о которой повѣствуютъ многіе, и къ нимъ слѣдуетъ обратиться за свѣдѣніями [1]). О Массагетахъ говорятъ и такъ, что одни изъ нихъ живутъ въ горахъ, нѣкоторые на равнинахъ, иные въ болотахъ, образуемыхъ рѣками, другіе *занимаютъ* острова въ *этихъ* болотахъ. Больше всего, говорятъ, рѣка Араксъ наводняетъ *эту* страну, раздѣлившись на многіе рукава и изливаясь прочими устьями въ другое, сѣверное море, а одинимъ только въ Ирканскій заливъ. *Массагеты* признаютъ за божество одно солнце и приносятъ ему въ жертву лошадей. Каждый беретъ одну жену, но пользуются *они* также и чужими женами, *и при томъ* не тайкомъ: сообщающійся съ чужою *женою* вѣшаетъ свой колчанъ на повозкѣ и сообщается явно. Наилучшею смертью признается у нихъ такая, когда дожившіе до старости будутъ изрублены вмѣстѣ съ бараньимъ мясомъ и съѣдены вперемежку съ нимъ. Умершихъ отъ болѣзни выбрасываютъ какъ нечестивыхъ и достойныхъ съѣденія звѣрями. Они — хорошіе конные и пѣшіе воины, вооружаются луками, ножами, панцырями и мѣдными сѣкирами, въ битвахъ носятъ золотые пояса и *такія-же* повязки. Кони у нихъ — златоуздые и въ золотыхъ наплечникахъ. Серебра у нихъ *вовсе* нѣтъ, желѣза мало, а мѣдь и золото — въ изобиліи.

7. Живущіе на островахъ, не имѣя земли для посѣва, питаются корепьями и дикими плодами, носятъ одежды изъ древесныхъ лыкъ (ибо у нихъ нѣтъ и скота) и пьютъ *сокъ*, выжимаемый изъ древесныхъ плодовъ. Живущіе въ болотахъ питаются рыбою и одѣваются въ шкуры тюленей, поднимающихся вверхъ *по рѣкамъ* изъ моря. Горные жители тоже питаются дикими плодами, но держатъ и овецъ, *хотя* въ небольшомъ количествѣ, такъ что даже не рѣжутъ ихъ, сберегая ради шерсти и молока. Одежду красятъ они посредствомъ намазыванія растительными соками, краски которыхъ долго не линяютъ. Жители равнинъ, хотя и имѣютъ *пахатную* землю, но не обработываютъ ее, а живутъ овцеводствомъ и рыбною ловлею подобно кочев-

V. 2: Cor. coniecturam cum Mein. recepi: περὶ ὧν Kr., cui ipsi Cor. coniectura satis videtur probabilis. || V. 49: ἡ asteriscis inclusit Cor., om. Meineke

1) Подобныя же свѣдѣнія о Массагетахъ дастъ Иродотъ I, 215 (см. выше стр. 7). Страбонъ, подобно Иродоту, называетъ ихъ обычаи общескиѳскими, почему они и приводятся здѣсь.

Digitized by Google

ταφαὶ δ' εἰσὶ παραπλήσιαι καὶ ἤθη καὶ ὁ σύμπας βίος, αὐθέκαστος μέν, σκαιὸς δὲ καὶ ἄγριος καὶ πολεμικός, πρὸς δὲ τὰ συμβόλαια ἁπλοῦς καὶ ἀκάπηλος.

никамъ и Скиѳамъ. У всѣхъ такихъ *народовъ* есть сходство въ образѣ жизни, о которомъ мнѣ часто приходится говорить; ихъ погребальные обряды, нравы и весь образъ жизни сходны; каждый народъ въ отдѣльности коваренъ, дикъ и воинственъ, въ сношеніяхъ же *съ другими* простодушенъ и не имѣетъ торгашеской хитрости.

Стр. IX, 3 (p. 515 *C.*). Φασὶ δὲ τοὺς Πάρνους Δάας μετανάστας εἶναι ἐκ τῶν ὑπὲρ τῆς Μαιώτιδος Δαῶν, οὓς Ξανδίους ἢ Παρίους καλοῦσιν· οὐ πάνυ δ' ὡμολόγηται Δάας εἶναί τινας τῶν ὑπὲρ τῆς Μαιώτιδος Σκυθῶν...

Гл. IX, 3. Говорятъ, что Парны-Даи—выходцы изъ *области* Даевъ, *живущихъ* надъ Меотидою и называемыхъ Ксандіями или Паріями. Впрочемъ нельзя назвать общепринятымъ мнѣніе, что въ числѣ живущихъ надъ Меотидою Скиѳовъ есть Даи...

29. Скиѳскіе обычаи Вактрійцевъ и Каспіевъ.

Lib. XI cap. XI § 3 (p. 517 C.).

Τὸ μὲν οὖν παλαιὸν οὐ πολὺ διέφερον τοῖς βίοις καὶ τοῖς ἤθεσι τῶν νομάδων οἵ τε Σογδιανοὶ καὶ οἱ Βακτριανοί, μικρὸν δ' ὅμως ἡμερώτερα ἦν τὰ τῶν Βακτριανῶν· ἀλλὰ καὶ περὶ τούτων οὐ τὰ βέλτιστα λέγουσιν οἱ περὶ Ὀνησίκριτον· τοὺς γὰρ ἀπειρηκότας διὰ γῆρας ἢ νόσον ζῶντας παραβάλλεσθαι τρεφομένοις κυσὶν ἐπίτηδες πρὸς τοῦτο, οὓς ἐνταφιαστὰς καλεῖσθαι τῇ πατρῴᾳ γλώττῃ, καὶ ὁρᾶσθαι τὰ μὲν ἔξω τείχους τῆς μητροπόλεως τῶν Βάκτρων καθαρά, τῶν δ' ἐντὸς τὸ πλέον ὀστέων πλῆρες ἀνθρωπίνων· καταλῦσαι δὲ τὸν νόμον Ἀλέξανδρον. τοιαῦτα δέ πως καὶ τὰ περὶ τοὺς Κασπίους ἱστοροῦσι· τοὺς γὰρ γονέας, ἐπειδὰν ὑπὲρ ἑβδομήκοντα ἔτη γεγονότες τυγχάνωσιν, ἐγκλεισθέντας λιμοκτονεῖσθαι. τοῦτο μὲν οὖν ἀνεκτότερον καὶ τῷ Κείων νόμῳ παραπλήσιον, καίπερ ὂν Σκυθικόν, πολὺ μέντοι Σκυθικώτερον τὸ τῶν Βακτριανῶν...

Въ древности Согдіаны и Вактрійцы не много отличались отъ кочевниковъ по образу жизни и нравамъ, но все-таки нравы Вактрійцевъ были немного мягче. Однако и о нихъ Онисикритъ разсказываетъ не особенно хорошія *вещи:* люди, совершенно истощенные старостью или болѣзнью, живыми выбрасываются нарочно для этой цѣли содержимымъ собакамъ, которыя на туземномъ языкѣ называются «погребателями». Пространство снаружи стѣнъ главнаго города Вактровъ чисто, а внутри — большая часть *города* полна человѣческихъ костей. Этотъ обычай уничтожилъ Александръ. Почти то же разсказываютъ и о Каспіяхъ: *у нихъ* запираются и умерщвляются голодомъ родители, когда проживутъ свыше 70 лѣтъ. Этотъ обычай, хотя и скиѳскій, не столь жестокъ и *даже* похожъ на законъ Кеосцевъ; гораздо большею скиѳскою жестокостью отличается обычай Вактрійцевъ...

30. Отроги Тавра въ Арменіи и Закавказьѣ.

Lib. XI cap. XII § 4 (p. 521 C.).

Ἀπὸ δ' οὖν τοῦ Ταύρου πρὸς ἄρκτον ἀποσχίδες πολλαὶ γεγόνασι, μία μὲν ἡ τοῦ καλουμένου Ἀντιταύρου· καὶ γὰρ ἐνταῦθα οὕτως ὠνομάζετο ὁ τὴν Σωφηνὴν ἀπολαμβάνων ἐν αὐλῶνι μεταξὺ κειμένῳ αὐτοῦ τε καὶ τοῦ Ταύρου. πέραν δὲ τοῦ Εὐφράτου κατὰ τὴν μικρὰν Ἀρμενίαν ἐφεξῆς τῷ Ἀντιταύρῳ πρὸς ἄρκτον ἐπεκτείνεται μέγα

Отъ Тавра къ сѣверу отдѣляется много отроговъ; одинъ изъ нихъ — такъ называемый Антитавръ: ибо и здѣсь назывался такъ *отрогъ*, отдѣляющій *область* Софину въ долинѣ, лежащей между нимъ и Тавромъ. По ту сторону Евфрата въ Малой Арменіи вслѣдъ за Антитавромъ къ сѣверу тянется большая гора со многими развѣт-

Fr. 29, v. 2: ἤθεσι Mein. ex *Dh.*

Digitized by Google

ὄρος καὶ πολυσχιδές· καλοῦσι δὲ τὸ μὲν αὐτοῦ Παρυάδρην, τὸ δὲ Μοσχικὰ ὄρη, τὸ δ' ἄλλοις ὀνόμασι· ταῦτα δ' ἀπολαμβάνει τὴν Ἀρμενίαν ὅλην μέχρι Ἰβήρων καὶ Ἀλβανῶν. εἶτ' ἀλλ' ἐπανίσταται πρὸς ἕω, τὰ ὑπερκείμενα τῆς Κασπίας θαλάττης μέχρι Μηδίας, τῆς τε Ἀτροπατίου καὶ τῆς μεγάλης· καλοῦσι δὲ καὶ ταῦτα τὰ μέρη πάντα τῶν ὀρῶν Παραχοάθραν καὶ τὰ μέχρι τῶν Κασπίων πυλῶν καὶ ἐπέκεινα ἔτι πρὸς ταῖς ἀνατολαῖς τὰ συνάπτοντα τῇ Ἀρίᾳ...

вленіями; одну часть ея называютъ Паріадромъ, другую — Москійскими горами, прочія — другими именами; эти горы охватываютъ всю Арменію до Иверовъ и Албанцевъ. Далѣе къ востоку поднимаются другія *горы*, лежащія надъ Каспійскимъ моремъ до Мидіи Атропатійской и Великой; всѣ эти части горъ называютъ Парахоаѳромъ, равно какъ и *простирающіяся* до Каспійскихъ воротъ и еще далѣе на востокѣ соприкасающіяся съ Аріей. . .

31. Изъ описанія Арменіи.

Lib. XI cap. XIV.

1. (p. 527 *C.*). Τῆς δ' Ἀρμενίας τὰ μὲν νότια προβέβληται τὸν Ταῦρον, διείργοντα αὐτὴν ἀφ' ὅλης τῆς μεταξὺ Εὐφράτου καὶ τοῦ Τίγριος, ἣν μεσοποταμίαν καλοῦσι, τὰ δὲ ἑωθινὰ τῇ Μηδίᾳ συνάπτει τῇ μεγάλῃ καὶ τῇ Ἀτροπατηνῇ· προσάρκτια δέ ἐστι τὰ ὑπερκείμενα τῆς Κασπίας θαλάττης ὄρη τὰ τοῦ Παραχοάθρα καὶ Ἀλβανοὶ καὶ Ἴβηρες καὶ ὁ Καύκασος ἐγκυκλούμενος τὰ ἔθνη ταῦτα καὶ συνάπτων τοῖς Ἀρμενίοις, συνάπτων δὲ καὶ τοῖς Μοσχικοῖς ὄρεσι καὶ Κολχικοῖς μέχρι τῶν καλουμένων Τιβαρανῶν· ἀπὸ δὲ τῆς ἑσπέρας ταῦτά ἐστι τὰ ἔθνη καὶ ὁ Παρυάδρης καὶ ὁ Σκυδίσης μέχρι τῆς μικρᾶς Ἀρμενίας καὶ τῆς τοῦ Εὐφράτου ποταμίας, ἣ διείργει τὴν Ἀρμενίαν ἀπὸ τῆς Καππαδοκίας καὶ τῆς Κομμαγηνῆς.

1. Южныя части Арменіи защищены Тавромъ, отдѣляющимъ ее отъ всей *страны*, лежащей между Евфратомъ и Тигромъ и называемой Месопотаміей, а восточныя примыкаютъ къ Мидіи Великой и Атропатійской. Сѣверный предѣлъ ея составляютъ лежащія надъ Каспійскимъ моремъ горы Парахоаѳра, Албанцы, Иверы и Кавказъ, обнимающій эти народы и примыкающій къ *горамъ* Армянскимъ, а также и къ Москійскимъ и Колхидскимъ до *такъ* называемыхъ Тиварановъ. Съ запада *граничатъ* эти-*же* народы, а также Паріадръ и Скидисъ до Малой Арменіи и рѣчной долины Евфрата, которая отдѣляетъ Арменію отъ Каппадокіи и Коммагины.

3. ...Ἀράξης, πρὸς τὰς ἀνατολὰς ἐνεχθεὶς μέχρι τῆς Ἀτροπατηνῆς, κάμπτει πρὸς δύσιν καὶ πρὸς ἄρκτους καὶ παραρρεῖ τὰ Ἄζαρα πρῶτον, εἶτ' Ἀρτάξατα, πόλεις Ἀρμενίων· ἔπειτα διὰ τοῦ Ἀραξηνοῦ πεδίου πρὸς τὸ Κάσπιον ἐκδίδωσι πέλαγος.

3. ...Араксъ, протекши къ востоку до Атропатины, поворачиваетъ къ сѣверо-западу, протекаетъ сначала мимо Азаръ, потомъ мимо Артаксатъ—*оба эти* города въ Арменіи — и наконецъ чрезъ Араксовскую долину изливается въ Каспійское море.

4. (p. 528 *C.*). Ἐν αὐτῇ δὲ τῇ Ἀρμενίᾳ πολλὰ μὲν ὄρη, πολλὰ δὲ ὀροπέδια, ἐν οἷς οὐδ' ἄμπελος φύεται ῥᾳδίως, πολλοὶ δ' αὐλῶνες, οἱ μὲν μέσως, οἱ δὲ καὶ σφόδρα εὐδαίμονες· καθάπερ τὸ Ἀραξηνὸν πεδίον, δι' οὗ ὁ Ἀράξης ποταμὸς ῥέων εἰς τὰ ἄκρα τῆς Ἀλβανίας καὶ τὴν Κασπίαν ἐκπίπτει θάλασσαν, καὶ μετὰ ταῦτα ἡ Σακασηνή, καὶ αὐτὴ τῇ Ἀλβανίᾳ πρόσχωρος καὶ τῷ Κύρῳ ποταμῷ, εἶθ' ἡ Γωγαρηνή· πᾶσα γὰρ ἡ χώρα αὕτη καρποῖς τε καὶ τοῖς ἡμέροις δένδρεσι καὶ τοῖς ἀειθαλέσι πληθύει, φέρει δὲ καὶ ἐλαίαν. ἔστι δὲ καὶ ἡ Φαυνηνὴ τῆς

4. Въ самой Арменіи есть много горъ и плоскогорій, на которыхъ съ трудомъ растетъ виноградъ, *но есть также* и много долинъ, *изъ коихъ* однѣ плодородны умѣренно, а другія — чрезвычайно; такова, напр., долина Араксовская, по которой р. Араксъ течетъ въ Албанскія горы и *затѣмъ* впадаетъ въ Каспійское море, за нею *область* Сакасинская, тоже граничащая съ Албаніей и рѣкой Киромъ, потомъ — Гогаринская. Вся эта страна изобилуетъ плодами, садовыми деревьями и вѣчно цвѣтущими *растеніями* и произво-

V. 36: «Φαυνηνὴ Tzsch. Cor. propter Φαυνίτιν infra commemoratam... Probabilius multo Lucas Ingigius (v. Armenia ant. p. 528) coniicit Φασιανή (cf. Const. Porphyrog. de adm. imp. cap. 45), quae provincia (*Basean* nominant Armenii) sita est circa Araxem superiorem». Kr.

Digitized by Google

Ἀρμενίας ἐπαρχία καὶ ἡ Κωμισηνὴ καὶ Ὀρχιστηνή, πλείστην ἱππείαν παρέχουσα· ἡ δὲ Χορζηνὴ καὶ Καμβυσηνὴ προσβορώταταί εἰσι καὶ νιφόβολοι μάλιστα, συνάπτουσαι τοῖς Καυκασίοις ὄρεσι καὶ τῇ Ἰβηρίᾳ καὶ τῇ Κολχίδι· ὅπου φασὶ κατὰ τὰς ὑπερβολὰς τῶν ὀρῶν πολλάκις καὶ συνοδίας ὅλας *τῶν ὀρῶν* ἐν τῇ χιόνι καταπίνεσθαι, νιφετῶν γινομένων ἐπὶ πλέον· ἔχειν δὲ καὶ βακτηρίας πρὸς τοὺς τοιούτους κινδύνους παρεξ- ἰφοντας εἰς τὴν ἐπιφάνειαν ἀναπνοῆς τε χάριν καὶ τοῦ διαμηνύειν τοῖς ἐπιοῦσιν, ὥστε βοηθείας τυγχάνειν, ἀνορύττεσθαι καὶ σώζεσθαι. ἐν δὲ τῇ χιόνι βώλους πήγνυσθαί φασι κοίλας περιεχούσας χρηστὸν ὕδωρ ὡς ἐν χιτῶνι, καὶ ζῷα δὲ ἐν αὐτῇ γεννᾶσθαι· καλεῖ δὲ σκώληκας Ἀπολλωνίδης, Θεοφάνης δὲ θρῖπας· κἀν τούτοις ἀπολαμβάνεσθαι χρηστὸν ὕδωρ, περισχισθέντων δὲ τῶν χιτώνων πίνεσθαι· τὴν δὲ γένεσιν τῶν ζώων τοιαύτην εἰκάζουσιν, οἵαν τὴν τῶν κωνώπων ἐκ τῆς ἐν τοῖς μετάλλοις φλογὸς καὶ τοῦ ψεφάλου.

дитъ даже маслину. Въ составъ Арменіи входятъ также области: Фавина, Комисина и Орхистина, доставляющая очень много конницы. Хорзина и Камвисина — самыя сѣверныя и наиболѣе покрываемыя снѣгомъ *области Арменіи*, примыкающія къ Кавказскимъ горамъ, Иверіи и Колхидѣ; говорятъ, что тамъ при перевалахъ чрезъ горы часто цѣлые караваны *путниковъ* засыпаются снѣгомъ, когда его выпадетъ слишкомъ много; на случай подобныхъ опасностей *путники* имѣютъ *при себѣ* палки, которыя протыкаютъ *сквозь* снѣгъ на поверхность для того, чтобы *имѣть возможность* дышать, а также давать знать проходящимъ; такимъ образомъ они получаютъ помощь, выкапываются *изъ подъ* снѣга и спасаются. Въ снѣгу, говорятъ, образуются полыя ледяныя глыбы, содержащія *въ себѣ*, какъ бы въ оболочкѣ, хорошую воду, и даже рождаются въ немъ живыя существа: Аполлонидъ называетъ ихъ дождевыми червями, а Θеофанъ — древесными; въ нихъ также заключается хорошая вода, которую пьютъ, разорвавши ихъ кожу. Предполагаютъ, что происхожденіе *этихъ* животныхъ таково же, какъ образованіе комаровъ изъ пламени и искръ на плавильныхъ заводахъ.

5. Ἱστοροῦσι δὲ τὴν Ἀρμενίαν, μικρὰν πρότερον οὖσαν, αὐξηθῆναι διὰ τῶν περὶ Ἀρταξίαν καὶ Ζαριάδριν, οἳ πρότερον μὲν ἦσαν Ἀντιόχου τοῦ μεγάλου στρατηγοί, βασιλεύσαντες δ' ὕστερον μετὰ τὴν ἐκείνου ἥτταν, ὁ μὲν τῆς Σωφηνῆς καὶ τῆς † Ἀκισηνῆς καὶ Ὀδομαντίδος καὶ ἄλλων τινῶν, ὁ δὲ τῆς περὶ Ἀρτάξατα, συνηύξησαν, ἐκ τῶν περικειμένων ἐθνῶν ἀποτεμόμενοι μέρη, ἐκ Μήδων μὲν τήν τε Κασπιανὴν καὶ Φαυνίτιν καὶ Βασοροπέδαν, Ἰβήρων δὲ τήν τε παρώρειαν τοῦ Παρυάδρου καὶ τὴν Χορζηνὴν καὶ Γωγαρηνήν, πέραν οὖσαν τοῦ Κύρου, Χαλύβων δὲ καὶ Μοσυνοίκων Καρηνῖτιν καὶ Ξερξηνήν, ἃ τῇ μικρᾷ Ἀρμενίᾳ ἐστὶν ὅμορα ἢ καὶ μέρη αὐτῆς ἐστι, Κατάονων δὲ Ἀκιλισηνὴν καὶ τὴν περὶ τὸν Ἀντίταυρον, Σύρων δὲ Ταρωνῖτιν, ὥστε πάντας ὁμωγλώττους εἶναι.

5. Говорятъ, что Арменія, первоначально имѣвшая небольшіе размѣры, была увеличена Артаксіемъ и Заріадріемъ, которые сначала были полководцами Антіоха Великаго, а впослѣдствіи, послѣ его пораженія, сдѣлавшись царями—первый въ Софинѣ, Акисинѣ, Одомантидѣ и нѣкоторыхъ другихъ *областяхъ*, а второй въ окрестностяхъ Артаксаты, расширили *Арменію*, отрѣзавши себѣ части *земель* у окрестныхъ народовъ, а именно у Мидянъ — Каспіану, Фавнитиду и Васороπеду, у Иверовъ — склоны Паріадра, Хорзину и Гогарину, лежащую по ту сторону Кира, у Халибовъ и Мосинниковъ — Карнитиду и Ксерксину, которыя граничатъ съ Малой Арменіей или даже составляютъ ея части, у Катаоновъ — Акилисину и область по Антитавру, у Сирійцевъ — Таронитиду, такъ что всѣ *эти народы* говорятъ *теперь* на одномъ языкѣ.

V. 8: τῶν ὀρῶν ex proximis male repetita esse crediderim cum Kramero. || Ad v. 18 haec recte adnotavit Kramer: «Mirum sane mihi videri fateor in animalculis istis aquam contineri, quae scissis tunicis (hoc quoque mire dictum) bibi possit: neque tamen perspicio quomodo ad saniorem sensum revocari possint haec verba» || V. 35: Ακισηνῆς lectio corrupta: cf. quae adnotavit Kramer.

Digitized by Google

7. (p. 529 *C.*). Ποταμοὶ δὲ πλείους μέν εἰσιν ἐν τῇ χώρᾳ, γνωριμώτατοι δὲ Φᾶσις μὲν καὶ Λύκος εἰς τὴν Ποντικὴν ἐκπίπτοντες θάλατταν (Ἐρατοσθένης δ' ἀντὶ τοῦ Λύκου τίθησι Θερμώδοντα οὐκ εὖ), εἰς δὲ τὴν Κασπίαν Κῦρος καὶ Ἀράξης, εἰς δὲ τὴν Ἐρυθρὰν ὅ τε Εὐφράτης καὶ ὁ Τίγρις.

7. Рѣкъ въ Арменіи довольно много; наиболѣе извѣстны Фасидъ и Ликъ, впадающіе въ Понтійское море (Ератосѳенъ вмѣсто Ликa невѣрно называетъ Ѳермодонтъ), въ Каспійское — Киръ и Араксъ, въ Красное — Евфратъ и Тигръ.

13. (p. 531 *C.*). Τὸν δὲ Ἀράξην κληθῆναι νομίζουσι κατὰ τὴν ὁμοιότητα τὴν πρὸς τὸν Πηνειὸν ὑπὸ τῶν περὶ τὸν Ἄρμενον ὁμωνύμως ἐκείνῳ· καλεῖσθαι γὰρ Ἀράξην κἀκεῖνον διὰ τὸ ἀπαράξαι τὴν Ὄσσαν ἀπὸ τοῦ Ὀλύμπου, ῥήξαντα τὰ Τέμπη· καὶ τὸν ἐν Ἀρμενίᾳ δέ, ἀπὸ τῶν ὀρῶν καταβάντα, πλατύνεσθαί φασι τὸ παλαιὸν καὶ πελαγίζειν ἐν τοῖς ὑποκειμένοις πεδίοις, οὐκ ἔχοντα διέξοδον, Ἰάσονα δέ, μιμησάμενον τὰ Τέμπη, ποιῆσαι τὴν διασφάγα δι' ἧς καταράττει νυνὶ τὸ ὕδωρ εἰς τὴν Κασπίαν θάλατταν· ἐκ δὲ τούτου γυμνωθῆναι τὸ Ἀραξηνὸν πεδίον, δι' οὗ τυγχάνει ῥέων ἐπὶ τὸν καταράκτην ὁ ποταμός. οὗτος μὲν οὖν ὁ λόγος περὶ τοῦ Ἀράξου ποταμοῦ λεγόμενος ἔχει τι πιθανόν, ὁ δὲ Ἡροδότειος οὐ πάνυ. φησὶ γὰρ ἐκ Ματιηνῶν αὐτὸν ῥέοντα εἰς τετταράκοντα ποταμοὺς σχίζεσθαι, μερίζειν δὲ Σκύθας καὶ Βακτριανούς· καὶ Καλλισθένης δὲ ἠκολούθησεν αὐτῷ.

13. Полагаютъ, что Араксъ по сходству съ Пинеемъ названъ спутниками Армена [1]) одноименно съ этой *рѣкой:* ибо и Пиней называется Араксомъ потому, что онъ оторвалъ Оссу отъ Олимпа, прорвавъ Темпы; такъ, по разсказамъ, и Армянскій Араксъ въ древности, спустившись съ горъ, широко разливался и образовывалъ озера въ низменностяхъ, не имѣя выхода, а Іасонъ по образцу Темпейской долины сдѣлалъ прокопъ, по которому нынѣ вода низвергается въ Каспійское море; вслѣдствіе этого освободилась-де отъ воды Араксовская долина, по которой рѣка протекаетъ до водопада. Этотъ разсказъ о рѣкѣ Араксѣ имѣетъ нѣкоторое вѣроятіе, а Иродотовскій мало *вѣроятенъ:* онъ говоритъ [2]), что Араксъ, вытекая изъ области Матіинновъ, раздѣляется на 40 рѣкъ и отдѣляетъ Скиѳовъ отъ Вактрійцевъ. Его мнѣнію послѣдовалъ и Каллисѳенъ.

15. (p. 532 *C.*)... τοῦ μὲν οὖν Ἀρταξίου Τιγράνης ἦν ἀπόγονος καὶ εἶχε τὴν ἰδίως λεγομένην Ἀρμενίαν (αὕτη δ' ἦν προσεχὴς τῇ τε Μηδίᾳ καὶ Ἀλβανοῖς καὶ Ἴβηρσι μέχρι Κολχίδος καὶ τῆς ἐπὶ τῷ Εὐξείνῳ Καππαδοκίας)...

...Тиграпъ былъ потомкомъ Артаксія и владѣлъ собственной Арменіей (она граничила съ Мидіей и *областями* Албанцевъ и Иверовъ до Колхиды и Каппадокіи, что при Понтѣ Евксинскомъ)...

32. Изъ описанія Понтійскаго царства.

Lib. XII cap. 3.

1. (p. 541 *C.*). Τοῦ δὲ Πόντου καθίστατο μὲν Μιθριδάτης ὁ Εὐπάτωρ βασιλεύς. εἶχε δὲ τὴν ἀφοριζομένην τῷ Ἅλυϊ μέχρι Τιβαρανῶν καὶ Ἀρμενίων καὶ τῆς ἐντὸς Ἅλυος τὰ μέχρι Ἀμάστρεως καί τινων τῆς Παφλαγονίας μερῶν. προσεκτήσατο δ' οὗτος καὶ τὴν μέχρι Ἡρακλείας παραλίαν ἐπὶ τὰ δυσμικὰ μέρη, τῆς Ἡρακλείδου τοῦ Πλατωνικοῦ πατρίδος, ἐπὶ δὲ τἀναντία μέχρι Κολχίδος καὶ τῆς μικρᾶς Ἀρμενίας, ἃ δὴ καὶ προσέθηκε τῷ πόντῳ. καὶ δὴ καὶ Πομπήιος καταλύσας ἐκεῖνον ἐν τούτοις τοῖς ὅροις οὖσαν τὴν χώραν ταύτην παρέλαβε· τὰ

1. Въ Понтѣ сдѣлался царемъ Миѳридатъ Евпаторъ; онъ владѣлъ страною, границею которой служила *рѣка* Алій до Тибарановъ и Арменіи и по сю сторону Алія областью до Амастрія и нѣкоторыхъ частей Пафлагоніи; пріобрѣлъ же онъ съ западной стороны побережье до Иракліи, родины Иракліда, философа Платоновой школы, а съ другой стороны—до Колхиды и Малой Арменіи, каковыя *области* и присоединилъ къ Понту. Дѣйствительно, и Помпей, побѣдивъ его, овладѣлъ этою страною, заключенною въ такихъ предѣлахъ.

Fr. 32, v. 13: «καὶ ante τὰ Cor. add. satis commode». Kr.; τὰ μέντοι vel τὰ μὲν δὴ coniecit Meineke.

1) Объ Арменѣ, одномъ изъ спутниковъ Іасона, давшемъ свое имя Арменіи, см. предыдущій (12-й) параграфъ. 2) Иród. I, 202 (см. выше стр. 6).

Digitized by Google

μὲν πρὸς Ἀρμενίαν καὶ τὰ περὶ τὴν Κολχίδα τοῖς συναγωνισαμένοις δυνάσταις κατένειμε, τὰ δὲ λοιπὰ εἰς ἔνδεκα πολιτείας διεῖλε καὶ τῇ Βιθυνίᾳ προσέθηκεν, ὥστ' ἐξ ἀμφοῖν ἐπαρχίαν γενέσθαι μίαν...

Мѣстности подлѣ Арменіи и Колхидскую область онъ раздѣлилъ между дѣйствовавшими заодно *съ нимъ* властителями, а остальныя *области* раздѣлилъ на 11 общинъ и присоединилъ къ Виѳиніи, такъ что изъ обоихъ *этихъ царствъ* образовалась одна провинція...

6. (p. 542 *C.*). Ἡ μὲν οὖν Ἡράκλεια πόλις ἐστὶν εὐλίμενος καὶ ἄλλως ἀξιόλογος, ἥ γε καὶ ἀποικίας ἔστελλεν· ἐκείνης γὰρ ἥ τε Χερρόνησος ἄποικος καὶ ἡ Κάλλατις...

6. Ираклія — городъ съ хорошею гаванью и вообще значительный; онъ высылалъ даже колоніи: его колоніями *были* Херсонисъ и Каллатія...

13. (p. 546 *C.*). Μετὰ δὲ τὴν ἐκβολὴν τοῦ Ἅλυος ἡ Γαδιλωνῖτίς ἐστι μέχρι τῆς Σαραμηνῆς, εὐδαίμων χώρα καὶ πεδιὰς πᾶσα καὶ πάμφορος· ἔχει δὲ καὶ προβατείαν ὑποδιφθέρου καὶ μαλακῆς ἐρέας, ἧς καθ' ὅλην τὴν Καππαδοκίαν καὶ τὸν Πόντον σφόδρα πολλὴ σπάνις ἐστί· γίνονται δὲ καὶ ζορκες, ὧν ἀλλαχοῦ σπάνις ἐστί. ταύτης δὲ τῆς χώρας τὴν μὲν ἔχουσιν Ἀμισηνοί, τὴν δ' ἔδωκε Δηιοτάρῳ Πομπήιος, καθάπερ καὶ τὰ περὶ Φαρνακίαν καὶ τὴν Τραπεζουσίαν μέχρι Κολχίδος καὶ τῆς μικρᾶς Ἀρμενίας· καὶ τούτων ἀπέδειξεν αὐτὸν βασιλέα, ἔχοντα καὶ τὴν πατρῴαν τετραρχίαν τῶν Γαλατῶν, τοὺς Τολιστοβωγίους. ἀποθανόντος δ' ἐκείνου, πολλαὶ διαδοχαὶ τῶν ἐκείνου γεγόνασι.

13. За устьемъ Алія до Саранины простирается Гадилонитида, страна богатая, вся ровная и всѣмъ изобильная. Въ ней разводятся, между прочимъ, овцы съ тонкимъ и мягкимъ руномъ, въ какихъ по всей Каппадокіи и Понту чувствуется очень большой недостатокъ; водятся также и газели, которыхъ въ другихъ странахъ мало. Одною частью этой области владѣютъ жители Амиса, а другую Помпей передалъ Деіотару, равно какъ и окрестности Фарнакіи и Трапезунтскую область до Колхиды и Малой Арменіи. Онъ назначилъ его царемъ и этихъ областей сверхъ унаслѣдованной отъ отца власти надъ одной изъ четырехъ областей Галатовъ, именно надъ Толистовогіями. Послѣ смерти Деіотара изъ его владѣній возникли многія наслѣдства.

17. (p. 548 *C.*). Μετὰ δὲ τὴν Σιδηνὴν ἡ Φαρνακία ἐστίν, ἐρυμνὸν πόλισμα, καὶ μετὰ ταῦτα ἡ Τραπεζοῦς, πόλις Ἑλληνίς, εἰς ἣν ἀπὸ τῆς Ἀμισοῦ περὶ δισχιλίους καὶ διακοσίους σταδίους ἐστὶν ὁ πλοῦς· εἶτ' ἔνθεν εἰς Φᾶσιν χίλιοί που καὶ τετρακόσιοι, ὥστε οἱ σύμπαντες ἀπὸ τοῦ Ἱεροῦ μέχρι Φάσιδος περὶ ὀκτακισχιλίους σταδίους εἰσὶν ἢ μικρῷ πλείους ἢ ἐλάττους. ἐν δὲ τῇ παραλίᾳ ταύτῃ ἀπὸ Ἀμισοῦ πλέουσιν ἡ Ἡράκλειος ἄκρα πρῶτόν ἐστιν, εἶτ' ἄλλη ἄκρα Ἰασόνιον καὶ ὁ Γενήτης, εἶτα † Κύτωρος πολίχνη, ἐξ ἧς συνῳκίσθη ἡ Φαρνακία, εἶτ' Ἰσχόπολις κατερηριμμένη, εἶτα κόλπος, ἐν ᾧ Κερασοῦς τε καὶ Ἑρμώνασσα, κατοικίαι μέτριαι, εἶτα τῆς Ἑρμωνάσσης πλησίον ἡ Τραπεζοῦς, εἶθ' ἡ Κολχίς· ἐνταῦθα δέ που ἐστὶ καὶ Ζυγόπολίς τις λεγομένη κατοικία. περὶ μὲν οὖν τῆς Κολχίδος εἴρηται καὶ τῆς ὑπερκειμένης παραλίας.

17. За Спдпною находится укрѣпленный городокъ Фарнакія и затѣмъ эллинскій городъ Трапезунтъ, до котораго отъ Амиса морскимъ путемъ около 2200 стадій; затѣмъ отсюда до Фасида почти 1400, такъ что всего выходитъ отъ Святого до Фасида около 8000 стадій или немного больше, или меньше. На этомъ берегу, если плыть отъ Амиса, прежде всего *встрѣтится* Ираклювъ мысъ, затѣмъ другой мысъ — Іасоній и *рѣка* Гепитъ, далѣе городокъ Котіоры, изъ котораго заселена Фарнакія, потомъ *лежащій* въ развалинахъ Исхополь, еще далѣе заливъ, при которомъ небольшія поселенія Керасунтъ и Ермонасса, затѣмъ недалеко отъ Ермонассы Трапезунтъ и потомъ Колхида; здѣсь гдѣ-то находится и селеніе, называемое Зигополемъ. О Колхидѣ и лежащемъ за нею побережьѣ *уже* сказано.

V. 42: «Κύτωρος corruptum esse eamque urbem intelligi, quae τὰ Κοτύωρα a Xenophonte (v. Anab. V, 5) aliisque compluribus nominatur, Cas. vidit: inde Κοτύωρος scripsit Cor., pro quo Κοτύωρον mavult Grosk., neutra tamen forma alibi invenitur.» Kr. — Κοτύωρα Meineke.

Digitized by Google

18. Τῆς δὲ Τραπεζοῦντος ὑπέρκεινται καὶ τῆς Φαρνακίας Τιβαρανοί τε καὶ Χαλδαῖοι καὶ Σάννοι, οὓς πρότερον ἐκάλουν Μάκρωνας, καὶ ἡ μικρὰ Ἀρμενία, καὶ οἱ Ἀππαῖται δέ πως πλησιάζουσι τοῖς χωρίοις τούτοις, οἱ πρότερον Κερκῖται. διήκει δὲ διὰ τούτων ὅ τε Σκυδίσης, ὄρος τραχύτατον, συνάπτον τοῖς Μοσχικοῖς ὄρεσι τοῖς ὑπὲρ τῆς Κολχίδος, οὗ τὰ ἄκρα κατέχουσιν οἱ Ἑπτακωμῆται καὶ ὁ Παριάδρης ὁ μέχρι τῆς μικρᾶς Ἀρμενίας ἀπὸ τῶν κατὰ Σιδηνὴν καὶ Θεμίσκυραν τόπων διατείνων καὶ ποιῶν τὸ ἑωθινὸν τοῦ Πόντου πλευρόν. (p. 549 *C.*). Εἰσὶ δ' ἅπαντες μὲν οἱ ὄρειοι τούτων ἄγριοι τελέως, ὑπερβέβληνται δὲ τοὺς ἄλλους οἱ Ἑπτακωμῆται· τινὲς δὲ καὶ ἐπὶ δένδρεσι ἢ πυργίοις οἰκοῦσι, διὸ καὶ Μοσυνοίκους ἐκάλουν οἱ παλαιοί, τῶν πύργων μοσύνων λεγομένων. ζῶσι δ' ἀπὸ θηρείων σαρκῶν καὶ τῶν ἀκροδρύων, ἐπιτίθενται δὲ καὶ τοῖς ὁδοιποροῦσι, καταπηδήσαντες ἀπὸ τῶν ἰκρίων. οἱ δὲ Ἑπτακωμῆται τρεῖς Πομπηίου σπείρας κατέκοψαν διεξιούσας τὴν ὀρεινήν, κεράσαντες κρατῆρας ἐν ταῖς ὁδοῖς τοῦ μαινομένου μέλιτος, ὃ φέρουσιν οἱ ἀκρεμόνες τῶν δένδρων. πιοῦσι γὰρ καὶ παρακόψασιν ἐπιθέμενοι ῥᾳδίως διεχειρίσαντο τοὺς ἀνθρώπους. ἐκαλοῦντο δὲ τούτων τινὲς τῶν βαρβάρων καὶ Βύζηρες.

19. Οἱ δὲ νῦν Χαλδαῖοι Χάλυβες τὸ παλαιὸν ὠνομάζοντο, καθ' οὓς μάλιστα ἡ Φαρνακία ἵδρυται, κατὰ θάλατταν μὲν ἔχουσα εὐφυίαν τὴν ἐκ τῆς πηλαμυδείας (πρώτιστα γὰρ ἁλίσκεται ἐνταῦθα τὸ ὄψον τοῦτο), ἐκ δὲ τῆς γῆς τὰ μέταλλα, νῦν μὲν σιδήρου, πρότερον δὲ καὶ ἀργύρου. ὅλως δὲ κατὰ τοὺς τόπους τούτους ἡ παραλία στενὴ τελέως ἐστίν· ὑπέρκειται γὰρ εὐθὺς τὰ ὄρη μετάλλων πλήρη καὶ δρυμῶν, γεωργεῖται δ' οὐ πολλά· λείπεται δὴ τοῖς μὲν μεταλλευταῖς ἐκ τῶν μετάλλων ὁ βίος, τοῖς δὲ θαλαττουργοῖς ἐκ τῆς ἁλιείας, καὶ μάλιστα τῶν πηλαμύδων καὶ τῶν δελφίνων· ἐπακολουθοῦντες γὰρ ταῖς ἀγέλαις τῶν ἰχθύων, κορδύλης τε καὶ θύννης καὶ αὐτῆς τῆς πηλαμύδος, πιαίνονταί τε καὶ εὐάλωτοι γίνονται διὰ τὸ πλησιάζειν τῇ γῇ προαλέστερον· δελεαζομένους μόνοι οὗτοι κατακόπτουσι τοὺς δελφῖνας καὶ τῷ στέατι πολλῷ χρῶνται πρὸς ἅπαντα.

18. Выше Трапезунта и Фарнакіи живутъ Тивараны, Халдэи и Санны, которыхъ прежде называли Макропами, и *лежитъ* Малая Арменія; близко къ этимъ мѣстамъ живутъ также Аппаиты, прежніе Керкиты. Чрезъ эти мѣста проходитъ Скидисъ, очень крутая гора, соединяющаяся съ Мосхійскими горами, что́ выше Колхиды, и заселенная на вершинахъ Епта-комитами, и Паріадръ, тянущійся отъ мѣстностей у Сидины и Ѳемискиры до Малой Арменіи и образующій восточный край Понта. Всѣ жители этихъ горъ крайне дики, но Епта-комиты превосходятъ *въ этомъ отношеніи* прочихъ. Нѣкоторые живутъ даже на деревьяхъ или въ башенкахъ, почему древніе называли ихъ Мосинниками отъ названія *такихъ* башенъ—мосинами. Питаются они звѣринымъ мясомъ и орѣхами, нападаютъ и на путешественниковъ, спускаясь съ горныхъ вершинъ. Епта-комиты истребили три помпеевыхъ отряда, проходившихъ чрезъ *эту* горную страну; они поставили на дорогахъ чаши разведеннаго одуряющаго меда, который вытекаетъ изъ древесныхъ вѣтвей, *а потомъ*, напавши на людей, напившихся *этого меда* и потерявшихъ сознаніе, легко перебили ихъ [1]). Нѣкоторые изъ этихъ варваровъ назывались также Визирами.

19. Нынѣшніе Халдэи въ древности назывались Халибами. Въ ихъ-то именно области лежитъ Фарнакія, отъ моря получающая благосостояніе посредствомъ ловли пиламидъ (ибо рыба эта прежде всего ловится здѣсь), а на сушѣ *владѣющая* рудниками, нынѣ *только* желѣзными, а прежде и серебряными. Вообще въ этихъ мѣстахъ морской берегъ чрезвычайно узокъ: *надъ моремъ* сразу поднимаются горы, изобилующія рудниками и лѣсами, а воздѣлываются *лишь* немногія мѣста. Средства къ жизни рудокопамъ доставляются рудниками, а поморянамъ ловлею рыбы, въ особенности тунцовъ и дельфиновъ: эти послѣдніе, слѣдуя за стадами рыбъ, *именно* мелкихъ тунцовъ, самокъ тунцовъ и самихъ пиламидъ, тучнѣютъ и легко ловятся вслѣдствіе того, что слишкомъ близко подходятъ къ берегу. Одни жители Фарнакіи ловятъ дельфиновъ на приманку, рѣжутъ на куски и употребляютъ большое количество *ихъ* жира на всякія *потребности*.

1) Объ этомъ медѣ ср. Ксенофонтъ. *Анаб.* IV, 8, 20 сл. (выше, стр. 76).

Digitized by Google

21. (p. 550 *C.*). Οἱ μὲν μεταγράφουσιν Ἀλαζώνων, οἱ δ' Ἀμαζώνων ποιοῦντες, τὸ δ' ἐξ Ἀλύβης ἐξ Ἀλόπης [ἢ] ἐξ Ἀλόβης, τοὺς μὲν Σκύθας Ἀλαζῶνας φάσκοντες ὑπὲρ τὸν Βορυσθένη καὶ Καλλιπίδας καὶ ἄλλα ὀνόματα, ἅπερ Ἑλλάνικός τε καὶ Ἡρόδοτος καὶ Εὔδοξος κατεφλυάρησαν ἡμῶν, τοὺς δ' Ἀμαζῶνας μεταξὺ Μυσίας καὶ Καρίας καὶ Λυδίας, καθάπερ Ἔφορος νομίζει, πλησίον Κύμης τῆς πατρίδος αὐτοῦ.

26. (p. 553 *C.*). ...ἀγνοεῖν γὰρ αὐτὸν [i. e. Ὅμηρον] πολλὰ τῶν ἐνδόξων ἔφη [sc. Ἀπολλόδωρος] περὶ τὸν Πόντον, οἷον ποταμοὺς καὶ ἔθνη· ὀνομάσαι γὰρ ἄν. τοῦτο δ' ἐπὶ μέν τινων σφόδρα σημειωδῶν δοίη τις ἄν, οἷον Σκύθας καὶ Μαιῶτιν καὶ Ἴστρον. οὐ γὰρ [ἂν] διὰ σημείων μὲν τοὺς νομάδας εἴρηκε Γαλακτοφάγους Ἀβίους τε, δικαιοτάτους *τ'* ἀνθρώπους, καὶ ἔτι ἀγαυοὺς Ἱππημολγούς, Σκύθας δὲ οὐκ *ἂν* εἶπεν ἢ Σαυρομάτας ἢ Σαρμάτας, εἰ δὴ οὕτως ὠνομάζοντο ὑπὸ τῶν Ἑλλήνων· οὐδ' ἂν Θρᾳκῶν τε καὶ Μυσῶν μνησθεὶς τῶν πρὸς τῷ Ἴστρῳ αὐτὸν παρεσίγησε, μέγιστον τῶν ποταμῶν ὄντα, καὶ ἄλλως ἐπιφορὰς ἔχων πρὸς τὸ τοῖς ποταμοῖς ἀφορίζεσθαι τοὺς τόπους· οὐδ' ἂν Κιμμερίους λέγων παρῆκε τὸν Βόσπορον ἢ τὴν Μαιῶτιν.

27. (p. 553 *C.*). Ἐπὶ δὲ τῶν μὴ οὕτω σημειωδῶν ἢ μὴ τότε ἢ μὴ πρὸς τὴν ὑπόθεσιν τί ἄν τις μέμφοιτο; οἷον τὸν Τάναϊν, δι' οὐδὲν ἄλλο γνωριζόμενον, ἢ διότι τῆς Ἀσίας καὶ τῆς Εὐρώπης ὅριόν ἐστιν· ἀλλ' οὔτε τὴν Ἀσίαν οὔτε τὴν Εὐρώπην ὠνόμαζόν πω οἱ τότε, οὐδὲ διῄρητο οὕτως εἰς τρεῖς ἠπείρους ἡ οἰκουμένη· ὠνόμασε γὰρ ἄν που διὰ τὸ λίαν σημειῶδες, ὡς καὶ τὴν Λιβύην καὶ τὸν Λίβα τὸν ἀπὸ τῶν ἑσπερίων τῆς Λιβύης πνέοντα· τῶν δ' ἠπείρων μήπω διωρισμένων, οὐδὲ τοῦ Τανάϊδος ἔδει καὶ τῆς μνήμης αὐτοῦ...

28. (p. 555 *C.*). Ὑπὲρ μὲν δὴ τῶν περὶ

21.[1]) *Въ этомъ стихѣ Иліады* одни *вмѣсто Ализоновъ* пишутъ «Алазоновъ», другіе—«Амазонокъ», а вмѣсто «изъ Алибы»—«изъ Алопы» или «изъ Аловы», называя Скиѳовъ-Алазоновъ, *живущихъ* выше Борисѳена, Каллипидовъ и другія имена, которыя легкомысленно сочинили намъ Элланикъ Иродотъ и Евдоксъ, а Амазонокъ *помѣщая* между Мизіей, Каріей и Лидіей, какъ полагаетъ Ефоръ, вблизи его родины Кимы...

26. ... *Аполлодоръ* говоритъ, что *Омиръ* не зналъ многихъ извѣстныхъ *названій* при Понтѣ, какъ напр. рѣкъ и народовъ, ибо *иначе* онъ назвалъ бы *ихъ*. Такое *заключеніе* можно, пожалуй, допустить относительно нѣкоторыхъ весьма извѣстныхъ *названій*, какъ напр. Скиѳовъ, Меотиды и Истра; ибо *иначе* онъ не назвалъ бы только по признакамъ кочевниковъ Млекоѣдами и Авіями, справедливѣйшими смертными, и еще дивными Доителями кобылицъ, умалчивая о Скиѳахъ или Савроматахъ или Сарматахъ, еслибы они дѣйствительно *уже въ то время* такъ назывались у Эллиновъ; упомянувши о Ѳракійцахъ и Мисахъ, *живущихъ* у Истра, онъ не обошелъ бы молчаніемъ самой *рѣки*, величайшей изъ *всѣхъ* рѣкъ, тѣмъ болѣе, что онъ вообще склоненъ ограничивать мѣстности рѣками; называя Киммерійцевъ, онъ не пропустилъ бы Боспоръ или Меотиду [2]).

27. Но за *неупоминаніе мѣстностей*, не столь замѣчательныхъ или *незамѣчательныхъ* въ тогдашнее время или въ данномъ отношеніи, кто станетъ упрекать поэта? напр. за *рѣку* Танаидъ, ничѣмъ инымъ неизвѣстную кромѣ того, что она служитъ границею Азіи и Европы. Тогдашніе люди не называли еще ни Азію, ни Европу *особыми именами* и обитаемая *земля* еще не дѣлилась такимъ образомъ на три материка; ибо *въ противномъ случаѣ* онъ гдѣ нибудь назвалъ бы *ихъ* вслѣдствіе чрезвычайной важности *такого дѣленія*, какъ *назвалъ онъ* Ливію и нѣтъ Ливъ, дующій изъ западныхъ частей Ливіи; но такъ какъ материки еще не были раздѣлены, то и не было нужды въ Танаидѣ и упоминаніи о немъ...

28. Итакъ, надъ окрестностями Фар-

1) Въ слѣдующихъ §§ (20—27) авторъ дѣлаетъ пространный экскурсъ по поводу стиховъ Ом. *Ил.* II, 856 сл.; изъ этого экскурса мы приводимъ только три отрывка.

2) Ср. выше lib. VII cap. 3 (стр. 109 сл.).

Digitized by Google

Φαρνακίαν καὶ Τραπεζοῦντα τόπων οἱ Τιβαρηνοὶ καὶ Χαλδαῖοι μέχρι τῆς μικρᾶς Ἀρμενίας εἰσίν. αὕτη δ' ἐστὶν εὐδαίμων ἱκανῶς χώρα· δυνάσται δ' αὐτὴν κατεῖχον ἀεί, καθάπερ τὴν Σωφηνήν, τοτὲ μὲν φίλοι τοῖς ἄλλοις Ἀρμενίοις ὄντες, τοτὲ δὲ ἰδιοπραγοῦντες· ὑπηκόους δ' εἶχον καὶ τοὺς Χαλδαίους καὶ Τιβαρηνούς, ὥστε μέχρι Τραπεζοῦντος καὶ Φαρνακίας διατείνειν τὴν ἀρχὴν αὐτῶν. αὐξηθεὶς δὲ Μιθριδάτης ὁ Εὐπάτωρ καὶ τῆς Κολχίδος κατέστη κύριος καὶ τούτων ἁπάντων, Ἀντιπάτρου τοῦ Σίσιδος παραχωρήσαντος αὐτῷ. ἐπεμελήθη δὲ οὕτω τῶν τόπων τούτων, ὥστε πέντε καὶ ἑβδομήκοντα φρούρια ἐν αὐτοῖς κατεσκευάσατο, οἱσπερ τὴν πλείστην γάζαν ἐνεχείρισε. τούτων δ' ἦν ἀξιολογώτατα ταῦτα· Ὕδαρα καὶ Βασγιδάριζα καὶ Σινορία, ἐπιπεφυκὸς τοῖς ὁρίοις τῆς μεγάλης Ἀρμενίας χωρίον, διόπερ Θεοφάνης Συνορίαν παρωνόμασεν. ἡ γὰρ τοῦ Παρυάδρου πᾶσα ὀρεινὴ τοιαύτας ἐπιτηδειότητας ἔχει πολλάς, εὔυδρός τε οὖσα καὶ ὑλώδης καὶ ἀποτόμοις φάραγξι καὶ κρημνοῖς διειλημμένη πολλαχόθεν· ἐτετείχιστο γοῦν ἐνταῦθα τὰ πλεῖστα τῶν γαζοφυλακίων, καὶ δὴ καὶ τὸ τελευταῖον εἰς ταύτας κατέφυγε τὰς ἐσχατιὰς τῆς Ποντικῆς βασιλείας ὁ Μιθριδάτης, ἐπιόντος Πομπηίου, καὶ τῆς Ἀκιλισηνῆς κατὰ Δάστειρα εὔυδρον ὄρος καταλαβόμενος (πλησίον δ' ἦν καὶ ὁ Εὐφράτης ὁ διορίζων τὴν Ἀκιλισηνὴν ἀπὸ τῆς μικρᾶς Ἀρμενίας) διέτριψέ *τε* τέως, ἕως πολιορκούμενος ἠναγκάσθη φυγεῖν διὰ τῶν ὀρῶν εἰς Κολχίδα, κἀκεῖθεν εἰς Βόσπορον. Πομπήιος δὲ περὶ τὸν τόπον τοῦτον πόλιν ἔκτισεν ἐν τῇ μικρᾷ Ἀρμενίᾳ Νικόπολιν, [ἣ] καὶ νῦν συμμένει καὶ οἰκεῖται καλῶς.

29. (p. 556 *C.*). Τὴν μὲν οὖν μικρὰν Ἀρμενίαν ἄλλωτ' ἄλλων ἐχόντων, ὡς ἐβούλοντο Ῥωμαῖοι, τὸ τελευταῖον εἶχεν ὁ Ἀρχέλαος· τοὺς δὲ Τιβαρηνοὺς καὶ Χαλδαίους μέχρι Κολχίδος καὶ Φαρνακίας καὶ Τραπεζοῦντος ἔχει Πυθοδωρίς, γυνὴ σώφρων καὶ δυνατὴ προίστασθαι πραγμάτων. ἔστι δὲ θυγάτηρ Πυθοδώρου τοῦ Τραλλιανοῦ, γυνὴ δ'

паків и Трапезунта живутъ Тиварины и Халдэи до Малой Арменіи. Послѣдняя—страна достаточно плодородная. Ею, какъ и Софиною, всегда владѣли *собственные* волостели, то бывшіе въ дружбѣ съ прочими Арменійцами, то дѣйствовавшіе самостоятельно. Они имѣли подъ своей властью и Халдэевъ и Тиварпновъ, такъ что ихъ владычество простиралось до Трапезунта и Фарнакіи. Миеридатъ Евпаторъ, усилившись, сталъ владыкою и Колхиды и всѣхъ этихъ *мѣстностей*, которыя уступилъ ему Антипатръ, сынъ Сисида. Онъ такъ заботился объ этихъ мѣстностяхъ, что соорудилъ въ нихъ 75 укрѣпленій, въ которыя и положилъ наибольшую *часть своихъ* сокровищъ. Самыя значительныя изъ этихъ *укрѣпленій* были слѣдующія: Идары, Васгидаризы и Синорія, мѣстечко, выстроенное на границахъ Великой Арменіи, почему Θеофанъ и переименовалъ его въ Синорію [Пограничное]. Вся горная *область* Паріадра обладаетъ многими удобствами, будучи богата водами и лѣсами и перерѣзываясь во многихъ мѣстахъ отвѣсными ущельями и крутизнами; поэтому-то здѣсь и было сооружено большинство казнохранилищъ и наконецъ, при нашествіи Помпея, Миеридатъ спасся въ эти окраины Понтійскаго царства и, занявъ хорошо орошенную гору въ Акилисинѣ у Дастиръ (близко былъ и Евфратъ, отдѣляющій Акилисину отъ Малой Арменіи), пробылъ здѣсь нѣкоторое время, пока осадою не былъ вынужденъ бѣжать чрезъ горы въ Колхиду и оттуда въ Воспоръ. Помпей около этого мѣста въ Малой Арменіи основалъ городъ Никополь, который существуетъ и понынѣ и хорошо населенъ.

29. Малой Арменіей правили то одни, то другіе *лица*, кого желали Римляне, а въ послѣднее время владѣлъ *ею* Архелай. Тиварнами же и Халдэями до Колхиды, Фарнакіи и Трапезунта владѣетъ Пиѳодорида, женщина разумная и умѣющая править дѣлами. Она — дочь Пиѳодора Тралліанскаго [1]), вышла замужъ за Полемона и

1) О Пиѳодорѣ Стравонъ говоритъ въ кн. XIV, гл. 1, § 42 (p. 649 *C.*) слѣдующее:

Ἵδρυται δ' ἡ μὲν τῶν Τραλλιανῶν πόλις ἐπὶ τραπεζίου τινός... συνοικεῖται δὲ καλῶς... ὑπὸ εὐπόρων ἀνδρῶν, καὶ ἀεί τινες ἐξ αὐτῆς εἰσιν οἱ πρωτεύοντες κατὰ τὴν ἐπαρχίαν, οὓς Ἀσιάρχας

Городъ Тралліанцевъ расположенъ на четырехугольной возвышенности... и управляется хорошо... зажиточными людьми, и нѣкоторыя *лица* изъ этого *города* всегда за-

Digitized by Google

ἐγένετο Πολέμωνος καὶ συνεβασίλευσεν ἐκείνῳ χρόνον τινά, εἶτα διεδέξατο τὴν ἀρχήν, τελευτήσαντος ἐν τοῖς Ἀσπουργιανοῖς καλουμένοις τῶν περὶ τὴν Σινδικὴν βαρβάρων· δυεῖν δ' ἐκ τοῦ Πολέμωνος ὄντων υἱῶν καὶ θυγατρός, ἡ μὲν ἐδόθη Κότυϊ τῷ Σαπαίῳ, δολοφονηθέντος δὲ ἐχήρευσε, παῖδας ἔχουσα ἐξ αὐτοῦ· δυναστεύει δ' ὁ πρεσβύτατος αὐτῶν· τῶν δὲ τῆς Πυθοδωρίδος υἱῶν ὁ μὲν ἰδιώτης συνδιάγει τῇ μητρὶ τὴν ἀρχήν, ὁ δὲ νεωστὶ καθέσταται τῆς μεγάλης Ἀρμενίας βασιλεύς. αὐτὴ δὲ συνῴκησεν Ἀρχελάῳ καὶ συνέμεινεν ἐκείνῳ μέχρι τέλους, νῦν δὲ χηρεύει, τά τε λεχθέντα ἔχουσα χωρία καὶ ἄλλα ἐκείνων χαριέστερα, περὶ ὧν ἐφεξῆς ἐροῦμεν.

нѣкоторое время царствовала съ нимъ вмѣстѣ, а затѣмъ наслѣдовала власть, когда *Полемонъ* окончилъ свою жизнь среди такъ называемыхъ Аспургіановъ, *принадлежащихъ къ числу* варварскихъ племенъ около Синдики. Отъ Полемона *у нея* было два сына и дочь; послѣдняя была выдана замужъ за Котія Сапая, а когда онъ былъ вѣроломно убитъ, осталась вдовою съ дѣтьми отъ него; старшій изъ нихъ правитъ *страною*. Изъ сыновей Пиѳодориды одинъ, *оставаясь* частнымъ человѣкомъ, раздѣлялъ съ матерью труды правленія, а другой недавно поставленъ царемъ Великой Арменіи. Сама же *Пиѳодорида* сдѣлалась женою Архелая и жила съ нимъ до *его* смерти, а нынѣ вдовствуетъ, владѣя какъ названными мѣстностями, такъ и другими, еще болѣе привлекательными, о которыхъ мы сейчасъ скажемъ [1]).

33. Миѳридатъ Пергамскій.

Lib. XIII cap. IV § 3 (p. 625 C.)

Ἄνδρες δ' ἐγένοντο ἐλλόγιμοι καθ' ἡμᾶς Περγαμηνοὶ Μιθριδάτης τε Μηνοδότου υἱὸς καὶ Ἀδοβογιωνίδος, τοῦ τετραρχικοῦ τῶν Γαλατῶν γένους, ἣν καὶ παλλακεῦσαι τῷ βασιλεῖ Μιθριδάτῃ φασίν. ὅθεν καὶ τοὔνομα τῷ παιδὶ θέσθαι τοὺς ἐπιτηδείους, προσποιησαμένους ἐκ τοῦ βασιλέως αὐτὸν γεγονέναι. οὗτος οὖν Καίσαρι τῷ Θεῷ γενόμενος φίλος εἰς τοσόνδε προῆλθε τιμῆς, ὥστε καὶ τετράρχης ἀπεδείχθη ἀπὸ τοῦ μητρῴου γένους καὶ βασιλεὺς ἄλλων τε καὶ τοῦ Βοσπόρου· κατελύθη δ' ὑπὸ Ἀσάνδρου τοῦ καὶ Φαρνάκην ἀνελόντος τὸν βασιλέα καὶ κατασχόντος τὸν Βόσπορον...

Въ наше время изъ числа Пергамцевъ пріобрѣли извѣстность: *вопервыхъ* Миѳридатъ, сынъ Миподота и Адовогіониды изъ рода Галатскихъ тетрарховъ, которая, какъ говорятъ, была и наложницей царя Миѳридата; поэтому-де родственники и дали ребенку *такое* имя, намекая на то, что онъ родился отъ царя. Сдѣлавшись другомъ божественнаго Кесаря, этотъ *Миѳридатъ* достигъ такихъ почестей, что былъ назначенъ и тетрархомъ по материнскому роду и царемъ Воспора и другихъ *областей*. Онъ былъ свергнутъ Асандромъ, умертвившимъ и царя Фарнака и захватившимъ Воспоръ...

καλοῦσιν· ὧν Πυθόδωρός τε ἦν, ἀνὴρ Νυσαεὺς τὸ ἐξ ἀρχῆς, ἐκεῖσε δὲ μεταβεβηκὼς διὰ τὴν ἐπιφάνειαν, καὶ ἐν τῇ πρὸς Πομπήιον φιλίᾳ διαπρέπων μετ' ὀλίγων· περιεβέβλητο δὲ καὶ οὐσίαν βασιλικὴν πλειόνων ἢ δισχιλίων ταλάντων, ἣν ὑπὸ Καίσαρος τοῦ Θεοῦ πραθεῖσαν διὰ τὴν πρὸς Πομπήιον φιλίαν ἐξωνησάμενος οὐχ ἧττω τοῖς παισὶ κατέμπε· τούτου δ' ἐστὶ θυγάτηρ Πυθοδωρίς, ἡ νῦν βασιλεύουσα ἐν τῷ Πόντῳ, περὶ ἧς εἰρήκαμεν.

нимаютъ первыя должности въ провинціи и называются Азіархами. Въ ихъ числѣ былъ Пиѳодоръ, уроженецъ г. Нисы, но переселившійся въ Траллы вслѣдствіе знаменитости *этого города* и принадлежавшій къ немногимъ избраннымъ друзьямъ Помпея. Онъ владѣлъ царскимъ богатствомъ болѣе чѣмъ въ 2000 талантовъ. Оно было продано божественнымъ Кесаремъ за дружбу *Пиѳодора* съ Помпеемъ, но *П.* выкупилъ его и оставилъ дѣтямъ въ неменьшемъ размѣрѣ. Его дочь — Пиѳодорида, нынѣшняя царица Понта, о которой мы уже говорили.

1) См. §§ 30 сл. и 37.

Fragmenti 33 textum sumpsi ex editione Meinekiana, in qua est accuratior.

Digitized by Google

34. О взятіи Сардъ Киммерійцами и Магнисіи Трирами.

Lib. XIII cap. IV § 8 (p. 627 C.).

Φησὶ δὲ Καλλισθένης ἁλῶναι τὰς Σάρδεις ὑπὸ Κιμμερίων πρῶτον, εἶθ' ὑπὸ Τρηρῶν καὶ Λυκίων, ὅπερ καὶ Καλλῖνον δηλοῦν, τὸν τῆς ἐλεγείας ποιητήν, ὕστατα δὲ τὴν ἐπὶ Κύρου καὶ Κροίσου γενέσθαι ἅλωσιν. λέγοντος δὲ τοῦ Καλλίνου τὴν ἔφοδον τῶν Κιμμερίων ἐπὶ τοὺς Ἰσιονῆας γεγονέναι, καθ' ἣν αἱ Σάρδεις ἑάλωσαν, εἰκάζουσιν οἱ περὶ τὸν Σκήψιον ἰαστὶ λέγεσθαι Ἰσιονεῖς τοὺς Ἀσιονεῖς...

Каллисѳенъ говоритъ, что Сарды были взяты сначала Киммерійцами, потомъ Трирами и Ликійцами, что̀ подтверждаетъ-де и елегическій поэтъ Каллинъ, а позднѣе всего произошло взятіе при Кирѣ и Крезѣ. А такъ какъ Каллинъ говоритъ, что нашествіе Киммерійцевъ, при которомъ взяты были Сарды, было сдѣлано на Исіонеевъ, то послѣдователи *Димитрія* Скепсійскаго предполагаютъ, что Исіонеями *здѣсь* по іонически названы Азіонеи [т. е. жители Азіи]...

Lib. XIV cap. 1 § 40 (p. 647 C.).

...καὶ τὸ παλαιὸν δὲ συνέβη τοῖς Μάγνησιν ὑπὸ Τρηρῶν ἄρδην ἀναιρεθῆναι, Κιμμερικοῦ ἔθνους, εὐτυχήσαντας πολὺν χρόνον· τῷ δ' ἑξῆς ἔτει Μιλησίους κατασχεῖν τὸν τόπον. Καλλῖνος μὲν οὖν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς τοὺς Ἐφεσίους πολέμῳ, Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν·

κλαίειν † Θάσσων, οὗ τὰ Μαγνήτων κακά·

ἐξ οὗ καὶ τὸ νεώτερον εἶναι τοῦ Καλλίνου τεκμαίρεσθαι πάρεστιν. ἄλλης δέ τινος ἐφόδου τῶν Κιμμερίων μέμνηται πρεσβυτέρας ὁ Καλλῖνος, ἐπὰν φῇ·

νῦν δ' ἐπὶ Κιμμερίων στρατὸς ἔρχεται ὀβριμοεργῶν·

ἐν ᾗ τὴν Σάρδεων ἅλωσιν δηλοῖ.

... Въ древности Магниты [1]) были совершенно уничтожены киммерійскимъ народомъ Трирами, долгое время проживши счастливо, а въ слѣдующемъ году *послѣ этого* мѣстностью завладѣли жители Милита. Каллинъ упоминаетъ о Магнитахъ, какъ о живущихъ еще счастливо и успѣшно ведущихъ войну съ Ефесцами, а Архилохъ, очевидно, уже зналъ постигшее ихъ бѣдствіе: «я оплакиваю бѣдствія Ѳасійцевъ, а не Магнитовъ». Отсюда можно заключить, что онъ жилъ позднѣе Каллина. Каллинъ упоминаетъ о какомъ-то другомъ, болѣе древнемъ нашествіи Киммерійцевъ, говоря: «теперь наступаетъ войско грозныхъ Киммерійцевъ», гдѣ онъ разумѣетъ взятіе Сардъ.

35. Изъ описанія Индіи.

Lib. XV cap. 1.

6. (p. 687 *C.*). [Μεγασθένης λέγει...] Ἰδάνθυρσον τὸν Σκύθην ἐπιδραμεῖν τῆς Ἀσίας μέχρι Αἰγύπτου...

6. [Мегасѳенъ говоритъ ... что] Скиѳъ Иданѳирсъ совершилъ нашествіе на Азію до Египта...

8. (p. 688). ...βεβαιοῦνται δὲ τὸν μῦθον τοῦτον καὶ ἐκ τῶν περὶ τὸν Καύκασον καὶ τὸν Προμηθέα· καὶ γὰρ ταῦτα μετενηνόχασιν ἐκ τοῦ Πόντου δεῦρο ἀπὸ μικρᾶς προφάσεως, ἰδόντες σπήλαιον ἐν τοῖς Παροπαμισάδαις ἱερόν· τοῦτο γὰρ ἐνεδείξαντο Προμηθέως δεσμωτήριον, καὶ δεῦρο ἀφιγμέ-

8. ... Эту сказку [2]) подтверждаютъ и *разсказами* о Кавказѣ и Промиѳеѣ: ибо и это *преданіе* перенесли сюда изъ Понта по ничтожному поводу, увидѣвши священную пещеру въ Паропамисадахъ. ее объявили мѣстомъ мученій Промиѳея, сюда, *будто-бы*, пришелъ Иракъ для освобож-

§ 40, v. 10: Kr. adlatis virorum doctorum coniecturis dicit difficile dictu esse, quae scriptura sit vera habenda; Mein. dedit κλαίει* Θάσων, Bergkius in Anthol. lyr. ed. 3 praebet κλαίω τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά, quam lectionem sequor in versione Russica. Pro verbis καὶ τὸ νεώτερον Mein. scripsit καὶ [αὐ]τὸν νεωτερον κτλ.

1) Разумѣются жители г. Магнисіи при Мэандрѣ.

2) О томъ, что Иракъ былъ въ Индіи.

Digitized by Google

νον τὸν Ἡρακλέα ἐπὶ τὴν ἐλευθέρωσιν τοῦ Προμηθέως, καὶ τοῦτον εἶναι τὸν Καύκασον, ὃν Ἕλληνες Προμηθέως δεσμωτήριον ἀτέφηναν.

денія Промѳея, и здѣсь *именно* находится *тотъ* Кавказъ, который Эллины назвали мѣстомъ мученій Промѳея.

56. (p. 710 *C.*). ...φησὶ γὰρ [sc. ὁ Μεγασθένης] τοὺς τὸν Καύκασον οἰκοῦντας ἐν τῷ φανερῷ γυναιξὶ μίσγεσθαι καὶ σαρκοφαγεῖν τὰ τῶν συγγενῶν σώματα· πετροκυλιστὰς δ' εἶναι κερκοπιθήκους, οἳ λίθους κατακυλίουσι κρημνοβατοῦντες ἐπὶ τοὺς διώκοντας· τά τε παρ' ἡμῖν ἥμερα ζῷα τὰ πλεῖστα παρ' ἐκείνοις ἄγρια εἶναι· ἵππους τε λέγει μονοκέρωτας ἐλαφοκράνους· καλάμους δέ, μῆκος μὲν τριάκοντα ὀργυιῶν τοὺς ὀρθίους, τοὺς δὲ χαμαικλινεῖς πεντήκοντα, πάχος δέ, ὥστε τὴν διάμετρον τοῖς μὲν εἶναι τρίπηχυν, τοῖς δὲ διπλασίαν.

56. ... [Мегасѳенъ] разсказываетъ [1]), что обитатели Кавказа открыто сообщаются съ женщинами и поѣдаютъ тѣла своихъ родственниковъ; что *тамъ* есть хвостатыя обезьяны «скалокатальщики», которыя, карабкаясь по крутизнамъ, скатываютъ камни на своихъ преслѣдователей; что большинство нашихъ домашнихъ животныхъ водится тамъ въ дикомъ состояніи; онъ разсказываетъ объ однорогихъ коняхъ съ оленьей головой; *тамъ есть*, *будто-бы*, тростники—прямые въ 30 оргій вышины, а наклонившіеся къ землѣ — въ 50 *оргій длины*, а толщина *ихъ такова*, что одни имѣютъ въ діаметрѣ 3 локтя, а другіе — вдвое больше.

57 extr. (p. 711 *C.*). ...ἐγγυτέρω δὲ πίστεώς φησιν ὁ Μεγασθένης, ὅτι οἱ ποταμοὶ καταφέροιεν ψῆγμα χρυσοῦ καὶ ἀπ' αὐτοῦ φόρος ἀπάγοιτο τῷ βασιλεῖ· τοῦτο γὰρ καὶ ἐν Ἰβηρίᾳ συμβαίνει.

57 кон. Ближе къ истинѣ говоритъ Мегасѳенъ, что *Индійскія* рѣки несутъ золотой песокъ и что изъ него уплачивается дань царю; это встрѣчается и въ Иверіи [2]).

36. Современныя автору владѣнія Римлянъ.

Lib. XVII cap. III § 24 (p. 839 C.).

...τριῶν δὲ ἠπείρων οὐσῶν, τὴν μὲν Εὐρώπην σχεδόν τι πᾶσαν ἔχουσι [sc. οἱ Ῥωμαῖοι], πλὴν τῆς ἔξω τοῦ Ἴστρου καὶ τῶν μεταξὺ τοῦ Ῥήνου καὶ τοῦ Τανάιδος παρωκεανιτῶν. τῆς δὲ Λιβύης ἡ καθ' ἡμᾶς παραλία πᾶσα ὑπ' αὐτοῖς ἐστιν, ἡ δὲ ἄλλη ἀοίκητός ἐστιν ἢ λυπρῶς καὶ νομαδικῶς οἰκεῖται. ὁμοίως δὲ καὶ τῆς Ἀσίας ἡ καθ' ἡμᾶς παραλία πᾶσα ὑποχείριός ἐστιν, εἰ μή τις τὰ τῶν Ἀχαιῶν καὶ Ζυγῶν καὶ Ἡνιόχων ἐν λόγῳ τίθεται, λῃστρικῶς καὶ νομαδικῶς ζώντων ἐν στενοῖς καὶ λυπροῖς χωρίοις. τῆς δὲ μεσογαίας καὶ τῆς ἐν βάθει τὴν μὲν ἔχουσιν αὐτοί, τὴν δὲ Παρθυαῖοι καὶ οἱ ὑπὲρ τούτων βάρβαροι, πρός τε ταῖς ἀνατολαῖς καὶ ταῖς ἄρκτοις Ἰνδοὶ καὶ Βάκτροι καὶ Σκύθαι, εἶτ' Ἄραβες καὶ Αἰθίοπες· προστίθεται δὲ ἀεί τι παρ' ἐκείνων αὐτοῖς. ταύτης δὲ τῆς συμπάσης χώρας τῆς ὑπὸ Ῥωμαίοις ἡ μὲν βασιλεύεται, ἣν δ' ἔχουσιν

... Изъ трехъ материковъ *Римляне* владѣютъ почти цѣлой Европой, кромѣ части ея по ту сторону Истра и приокеанскихъ странъ между Рейномъ и Танаидомъ. Въ Ливіи имъ подвластно все обращенное къ намъ побережье, а остальная *часть ея* необитаема или скудно заселена кочевниками. Равнымъ образомъ и въ Азіи наше побережье все подчинено имъ, если не брать въ разсчетъ земель Ахэйцевъ, Зиговъ и Ніоховъ, ведущихъ разбойническую и кочевую жизнь въ тѣсныхъ и скудныхъ мѣстностяхъ. Материкомъ въ глубинѣ *Азіи* отчасти владѣютъ сами *Римляне*, отчасти—Парѳяне и живущіе выше ихъ варвары, на востокѣ и на сѣверѣ—Индійцы, Вактрійцы и Скиѳы, затѣмъ Арабы и Эѳіопы; но постоянно кое-что отъ нихъ переходитъ къ Римлянамъ. Изъ всѣхъ этихъ земель, подвластныхъ Римлянамъ, часть

1) Стравонъ относитъ эти разсказы къ индійскому Кавказу, но несомнѣнно, что нѣкоторые изъ нихъ (напр. первый) относятся къ настоящему Кавказу.

2) То же извѣстіе Стравонъ повторяетъ въ § 69 той же главы (ψήγματά τε χρυσοῦ καταφέρειν τοὺς ποταμούς, καθάπερ τοὺς Ἰβηρικούς), ссылаясь уже не прямо на Мегасѳена, а вообще на писателей.

Digitized by Google

αὐτοὶ καλέσαντες ἐπαρχίαν, καὶ πέμπουσιν ἡγεμόνας καὶ φορολόγους. εἰσὶ δέ τινες καὶ ἐλεύθεραι πόλεις, αἱ μὲν ἐξ ἀρχῆς κατὰ φιλίαν προσελθοῦσαι, τὰς δ' ἠλευθέρωσαν αὐτοὶ κατὰ τιμήν. εἰσὶ δὲ καὶ δυνάσται τινὲς καὶ φύλαρχοι καὶ ἱερεῖς ὑπ' αὐτοῖς· οὗτοι μὲν δὴ ζῶσι κατά τινας πατρίους νόμους.

находятся подъ управленіемъ царей, а другой владѣютъ они сами, назвавши провинціей, и посылаютъ правителей и сборщиковъ дани. Есть также и нѣкоторые свободные города, одни съ самаго начала присоединившіеся *къ нимъ* мирнымъ образомъ, а другіе они сами освободили въ знакъ отличія. Есть также подъ ихъ властью нѣкоторые волости, князьки [начальники колѣнъ] и жрецы; эти живутъ по отеческимъ законамъ.

ΧΡΗΣΤΟΜΑΘΕΙΑΙ
ΕΚ ΤΩΝ
ΣΤΡΑΒΩΝΟΣ ΓΕΩΓΡΑΦΙΚΩΝ.
ΒΙΒΛΙΟΥ Ζ.

ХРИСТОМАТІЯ
ИЗЪ
ГЕОГРАФІИ СТРАВОНА[1]).
ИЗЪ КНИГИ 7-й.

Переводъ **П. И. Прозорова.**

...Ὅτι οἱ παλαιοὶ Ἕλληνες τοὺς Γέτας καὶ τοὺς Μυσοὺς οἰκοῦντας περὶ τὸν Ἴστρον, Θρᾳκας ὑπελάμβανον, καὶ τοὺς ἀποίκους τῶν ἐκ Θράκης Μυσῶν ἐν τῇ Ἀσίᾳ οἰκοῦντας μεταξὺ Φρυγῶν καὶ Λυδῶν καὶ Τρώων· καὶ αὐτοὶ δὲ οἱ Φρύγες Βρίγες εἰσί, Θρᾴκιόν τι ἔθνος· καθάπερ καὶ Μυγδόνες καὶ Βέβρυκες καὶ Μαιδοβιθυνοὶ καὶ Βιθυνοὶ καὶ Θῦνοι καὶ Μαριανδυνοί· ἀλλ' οὗτοι μὲν τελέως τὴν Εὐρώπην ἐξέλιπον πλὴν Μυσῶν, ὧν καὶ Ὅμηρος ἐμνήσθη. καὶ γάρ εἰσί τινες τῶν ταύτῃ Θρᾳκῶν καὶ Μυσῶν ἀπεχόμενοι κρεοφαγίας καὶ γάμου διὰ ὁσιότητα· οὓς λέγει ἀγαυοὺς Ἱππημολγούς, Γαλακτοφάγους Ἀβίους τε, τοῦτ' ἔστιν ἀγάμους, ἄνευ συμβιώσεως γυναικῶν· καὶ συμβαίνει αὐτοῖς δικαιοπραγεῖν διὰ τὸ πένητας εἶναι. εἰκὸς δὲ καὶ τὸν Ζάμολξιν ὕστερον τοὺς Γέτας ἀναπεῖσαι πυθαγορίζειν, εὑρόντα ἑτοίμους πρὸς φιλοσοφίαν. Ὅτι ὁ Εὔξεινος νῦν πόντος Ἄξενος τὸ πρὶν ἐκαλεῖτο διὰ τὸ τὰ ἐνοικοῦντα ἔθνη ἄγρια εἶναι καὶ ξενοκτονεῖν τοὺς περὶ τὴν Ταυρικήν. Ὅτι οἱ Σκύθαι πάντα κοινὰ εἶχον, καὶ αὐτὰς τὰς

... Древніе Эллины считали Гетовъ и Мисовъ, живущихъ у Истра, за Ѳракійцевъ, а также и мисійскихъ переселенцевъ изъ Ѳракіи, живущихъ въ Азіи между Фригійцами, Лидійцами и Троянцами; да и сами Фригійцы — *не что иное какъ* Бриги, нѣкій народъ ѳракійскаго племени, равно какъ и Мигдоны, Веврики, Мэдовпѣнны, Виѳины, Ѳины и Маріандины; но эти народы совершенно покинули Европу, кромѣ Мисовъ, о которыхъ упоминаетъ и Омиръ. Именно, нѣкоторые изъ здѣшнихъ Ѳракійцевъ и Мисовъ вслѣдствіе благочестія воздерживаются отъ мясной пищи и брака; ихъ-то *поэтъ* называетъ дивными Доителями кобылицъ, Млекоѣдами и Авіями, т. е. безбрачными, не имѣющими сожительства съ женщинами. Бѣдность же заставляетъ ихъ быть справедливыми. Естественно и то, что вслѣдствіе Замолксисъ убѣдилъ Гетовъ слѣдовать ученію Пиѳагора, найдя ихъ готовыми къ воспринятію философіи. Нынѣшній Евксинскій Понтъ прежде назывался Негостепріимнымъ вслѣдствіе дикости жи-

---

Chrest. v. 8: μεδοβιθυνοί. || V. 21: ἐνομίζετο, omisso antea νῦν cod. Par.

1) Изъ составленной въ византійскія времена «Страноновской христоматіи», представляющей собою не что иное, какъ сокращеніе его сочиненія, заимствованы только выдержки изъ спеціальнаго описанія Скиѳіи и Кавказа. Текстъ взятъ изъ вышеуказаннаго (стр. 91) изданія Крамера со всѣми отмѣченными у него варіантами.

Digitized by Google

γυναῖκας, πλὴν ξίφους καὶ ποτηρίου. διὰ δὲ τὸ εἶναι ἄβιοι δικαιότατοί εἰσιν· ἡ γὰρ ἀδικία διὰ τὴν τῶν χρημάτων κτῆσιν καὶ διὰ τὰ συμβόλαια. οἱ γὰρ παλαιοὶ Σκύθαι πένητες ἦσαν· [ὃ] καὶ Ὅμηρος μαρτυρεῖ καὶ Ἡρόδοτος, περὶ τῶν † τῷ Δαρείῳ βασιλεῖ τῶν Περσῶν Σκυθῶν γράφων, τῆς τε αὐταρκείας καὶ λιτότητος αὐτῶν. καὶ Δρομιχαίτης ὁ Γετῶν βασιλεύς, ζωγρήσας Λυσίμαχον, τὸν στρατηγὸν τῶν Μακεδόνων, συστρατεύσαντά ποτε Ἀλεξάνδρῳ, ἀπέλυσε, δείξας αὐτῷ πρότερον τὴν τῶν Γετῶν πενίαν καὶ εἰπών, ὅτι οὐ δεῖ τοῖς τὴν τοιαύτην πενίαν ἀσκοῦσι Γέταις πολεμεῖν, ἀλλὰ φίλοις κεχρῆσθαι. Ὅτι τῆς μεταξὺ Εὐξείνου πόντου καὶ Γερμανῶν γῆς, διχῇ διαιρουμένης, τὸ μὲν πρὸς ἀνατολάς τε καὶ τὸν Εὔξεινον Γέται νέμονται, τὸ δὲ πρὸς δυσμικὴν Δακοί, [οἳ] καὶ Δᾶοι· ἀφ' οὗ καὶ ἐπιπολάζει ἐν Ἀθηναίοις τὸ τῶν δούλων ὄνομα. Ὅτι τοῦ Ἴστρου ποταμοῦ τὰ μὲν ἄνω καὶ πρὸς ταῖς πηγαῖς μέρη μέχρι τῶν καταρακτῶν Δανούιον προσηγόρευον οἱ παλαιοί, ἃ μάλιστα διὰ τῶν Δακῶν φέρεται. τὰ δὲ κάτω μέχρι τοῦ Πόντου, τὰ παρὰ τοὺς Γέτας, ἐκάλουν Ἴστρον. ὁμόγλωττοι δ' εἰσὶν οἱ Δακοὶ τοῖς Γέταις. Ὅτι μεταξὺ τῆς Ποντικῆς θαλάττης τῆς ἀπὸ Ἴστρου ἐπὶ Τύραν καὶ ἡ τῶν Γετῶν ἐρημία πρόκειται, πεδιὰς πᾶσα καὶ ἄνυδρος· ἐν ᾗ Δαρεῖος ἀποληφθεὶς ὁ Ὑστάσπεω, καθ' ὃν καιρὸν διέβη τὸν Ἴστρον ἐπὶ τοὺς Σκύθας, ἐκινδύνευσε πανστρατιᾷ δίψῃ φθαρῆναι. Ὅτι μεταξὺ τῆς Πεύκης, ἥ ἐστι νῆσος ὑπὸ τῶν τοῦ Ἴστρου στομάτων ἀπολαμβανομένη, ἕως τῶν τοῦ Τύρα ἐκβολῶν, ϡ στάδιοί εἰσιν· τὸ δὲ ἀπὸ Ἱεροῦ στόματος τοῦ Ἴστρου, ὅ ἐστι νοτιώτατον, ἕως τοῦ βορειοτάτου, τοῦτ' ἔστιν ἡ τῆς Πεύκης βάσις τριγώνου οὔσης, στάδιοί εἰσι τ'. Ὅτι ἡ Λευκὴ νῆσος ἀπὸ τῆς Πεύκης ἀπέχει πρὸς ἀνατολὰς στάδια πεντακόσια εἰς τὸ πέλαγος, ἱερὰ Ἀχιλλέως. Ὅτι ὁ Βορυσθένης ποταμός, εἶτα πρὸς βορρᾶν καὶ ἀνατολὰς ὁ Ὕπανις ποταμὸς ἀπὸ τοῦ Τύρα ποταμοῦ· καὶ πρὸ αὐτῶν νῆσος Βορυσθένης. ἀναπλεύσαντι δὲ τὸν Βορυσθένη στάδια σ', πόλις ἐστὶν ὁμώνυμος τῷ ποταμῷ· ἡ δ' αὐτὴ καὶ Ὀλβία καλεῖται, κτίσμα Μιλησίων, ἐμπορεῖον μέγα. μεταξὺ δὲ τοῦ Ἴστρου ποταμοῦ καὶ τοῦ Βορυσθένους πρώτη ἐστὶν ἡ

вущихъ при немъ народовъ и *обычая* жителей Таврики убивать чужестранцевъ. У Скиѳовъ все было общее, даже жены, кромѣ мечей и чашъ для питья; вслѣдствіе же своей бѣдности они очень справедливы, такъ какъ несправедливость *происходитъ* отъ пріобрѣтенія богатствъ и заключенія торговыхъ сдѣлокъ, а между тѣмъ древніе Скиѳы были бѣдны. Объ этомъ свидѣтельствуетъ и Омиръ и Иродотъ, когда пишетъ о Скиѳахъ, *воевавшихъ* съ персидскимъ царемъ Даріемъ, о довольствіѣ ихъ своимъ положеніемъ и простодушіи. И царь Гетовъ Дромихэтъ, взявъ въ плѣнъ македонскаго полководца Лисимаха, участвовавшаго нѣкогда въ походѣ Александра, отпустилъ его, предварительно показавъ ему бѣдность Гетовъ и сказавъ, что съ Гетами, живущими въ такой бѣдности, слѣдуетъ не воевать, а дружить. Такъ какъ земля, лежащая между Евксинскимъ Понтомъ и Германцами, дѣлится на двѣ части, то въ восточной части у Евксина живутъ Геты, а въ западной — Даки, они же и Даи; отсюда и происходитъ употребительное у Аѳинянъ рабское имя. Верхнія части рѣки Истра, ближайшія къ истокамъ, вплоть до пороговъ древніе называли Данувіемъ; этой частью рѣка течетъ главнымъ образомъ черезъ Дакію; низовья же до Понта, въ области Гетовъ, называли Истромъ. Даки говорятъ на одномъ языкѣ съ Гетами. Между *Гетами и* Понтійскимъ моремъ отъ Истра по направленію къ Тирѣ лежитъ Гетская пустыня, ровное и безводное пространство, гдѣ Дарій, *сынъ* Истаспа, въ то время какъ перешелъ за Истръ *для похода* на Скиѳовъ, былъ захваченъ *въ ловушку* и рисковалъ погибнуть со всѣмъ своимъ войскомъ отъ жажды. Отъ острова Певки, образуемаго устьями Истра, до устьевъ Тиры 900 стадій, а отъ Священнаго, самаго южнаго, устья Истра до самаго сѣвернаго, которое служитъ основаніемъ Певки, имѣющей форму треугольника, — 300 стадій. Отъ Певки къ востоку *по направленію* въ открытое море отстоитъ на 500 стадій островъ Бѣлый, посвященный Ахиллу. *Далѣе идетъ* рѣка Борисѳенъ, потомъ къ сѣверо-востоку отъ р. Тиры р. Ипанидъ, а передъ ними лежитъ островъ

V. 6: περὶ τούτων, omisso postea Σκυθῶν, cod. Par.: περὶ τῶν [ἐπιστρατευσάντων] τῷ κτλ. Hads. || V. 8: δρομηχετης. || V. 9: κελτῶν cod. Par. || V. 14: ἔχεται cod. Par. || V. 18: δυσμὰς cod. Par. || V. 19: δάοι. || V. 34: Ἴστρου ποταμοῦ cod. Par. || V. 45: Βορυσθενίς Cor.

Digitized by Google

τῶν Σκυθῶν ἐρημία· εἶτα Τυραγέται· εἶτα Ἰάζυγες Σαρμάται καὶ οἱ Βασιλήιοι λεγόμενοι Σκύθαι. Ὅτι ἡ προσάρκτιος πᾶσα ἀπὸ Γερμανίας μέχρι τῆς Κασπίας θαλάσσης πεδιάς ἐστιν, ἣν ἴσμεν. Ὅτι Ῥωξολανοί, περὶ τὴν Μαιῶτιν οἰκοῦντες, ἐπολέμουν πρὸς τοὺς τοῦ Εὐπάτορος Μιθριδάτου στρατηγούς, ἔχοντες ἡγεμόνα Τάσιον. Ὅτι αἱ τοῦ Βορυσθένους ποταμοῦ ἐκβολαὶ ἐν τῷ μυχῷ κεῖνται τοῦ Ταμυράκου κόλπου καὶ ἡ Βορυσθένης νῆσος· ὁ δὲ Καρκινίτης ποταμὸς ἐν τῷ μυχῷ ἐκδίδωσι τοῦ ὁμωνύμου κόλπου· καὶ περιέχεται μεταξὺ τῶν δύο κόλπων τούτων ἡ Ταυροσκυθία χερρονησίζουσα, ἧς τὰ νότια μέρη εὐθεῖά ἐστιν αἰγιαλός, ὁ Ἀχίλλειος δρόμος. Ὅτι τὰ περὶ Μαιῶτιν χωρία διὰ τὴν ψῦξιν ὄνους οὐ τρέφει· δύσριγον γὰρ τὸ ζῷον. οἵ τε βόες, οἱ μὲν ἄκεροι γίνονται, τῶν δὲ ἀπορρινῶσι τὰ κέρατα· καὶ γὰρ τοῦτο δύσριγον τὸ μέρος. οἵ τε ἵπποι μικροὶ γίνονται, τὰ δὲ πρόβατα μεγάλα. ὁ δὲ διάπλους τοῦ Βοσπόρου ἀραξεύεται ἐκ τοῦ Παντικαπαίου εἰς Φαναγορίαν, ὥστε καὶ πηλὸν εἶναι καὶ ὀδόν· ὀρυκτοί τέ εἰσιν ἰχθύες, οἱ ἀπολῃφθέντες ἐν τῷ κρυστάλλῳ θηρευτοὶ γαγγάμῃ τῷ ἐργαλείῳ, καὶ μάλιστα οἱ ἀντακαῖοι, δελφῖσι πάρισοι τὸ μέγεθος. ἡ δὲ ἄμπελος χειμῶνος κατορύττεται. τὰ δὲ καύματα τοῦ θέρους σφοδρὰ γίνονται, τάχα μὲν τῶν σωμάτων ἀνθιζομένων, τάχα δὲ τῶν πεδίων νηνεμούντων, ἢ καὶ τοῦ πάχους τοῦ ἀέρος ἐκθερμαινομένου πλέον, καθάπερ ἐν τοῖς νέφεσιν οἱ παρήλιοι ποιοῦσιν. Ὅτι μετὰ τὴν νῆσον τὸν Βορυσθένη ἑξῆς πρὸς ἀνατολὰς ἐν τῇ ἠπείρῳ ψιλὸν χωρίον, καλούμενον ἄλσος, ἱερὸν Ἀχιλλέως· εἶτα ὁ Ἀχίλλειος δρόμος, ἀλιτενὴς χερσόνησος· ἔστι γὰρ ταινία τις ὅσον α σταδίων μῆκος ἐπὶ τὴν ἕω, πλάτος δὲ τὸ μέγιστον δυεῖν σταδίων, τὸ δὲ ἐλάχιστον πλέθρων δ', διέχουσα τῆς ἑκατέρωθεν τοῦ αὐχένος ἠπείρου τῇ θαλάσσῃ σταδίους ξ', ἀμμώδης, ὕδωρ ἔχουσα ὀρυκτόν· κατὰ μέσην δὲ ὁ τοῦ ἰσθμοῦ αὐχὴν ὅσον μ' σταδίων. τελευτᾷ δὲ πρὸς ἄκραν, ἣν Ταμυράκην καλοῦσιν, ἔχουσαν ὕφορμον· μεθ' ἣν ὁ Καρκινίτης κόλπος εὐμεγέθης, ἀνέχων πρὸς τὰς ἄρκτους ὅσον ἐπὶ σταδίους β μέχρι τοῦ μυχοῦ. τὸν δὲ κόλπον καὶ Ταμυράκην καλοῦσιν ὁμωνύμως τῇ ἄκρᾳ. ἐνταῦθα δ' ἐστὶν ὁ ἰσθμὸς

Борисѳенъ. Въ 200 стадіяхъ вверхъ по Борисѳену лежитъ одноименный съ рѣкою городъ, онъ-же называется Ольвіей и *представляетъ собою* большой торговый портъ, основанный Милетянами. Между р. Истромъ и Борисѳеномъ прежде всего находится пустыня Скиѳовъ, затѣмъ Тирагеты, за ними Язиги Сарматы и такъ называемые Царскіе Скиѳы. Вся сѣверная *страна* отъ Германіи до Каспійскаго моря, на сколько мы ее знаемъ, представляетъ равнину. Роксоланы, живущіе у Меотиды, воевали съ воеводами Миѳридата Евпатора подъ предводительствомъ Тасія. Устья рѣки Борисѳена и островъ Борисѳенъ находятся въ углу Тамиракскаго залива, а р. Каркинитъ впадаетъ въ уголъ соименнаго залива. Между этими двумя заливами лежитъ въ видѣ полуострова Тавроскиѳія, южная часть которой *представляетъ собою идущій по* прямой *линіи* берегъ, Ахилловъ бѣгъ. Въ мѣстностяхъ, по Меотидѣ вслѣдствіе холодовъ не водятся ослы, такъ какъ это животное не выноситъ холода; быки одни отъ рожденія безрогіе, а у другихъ отпиливаютъ рога, ибо эта часть тѣла также не выноситъ холода; лошади *здѣсь* мелки, а овцы крупны. По проливу изъ Пантикапея въ Фанагорію переѣзжаютъ на повозкахъ, такъ что тутъ бываетъ то каналъ, то сухой путь. Рыба, захваченная льдомъ, выкапывается и ловится орудіемъ гангамой, особенно же осетры, величиною не уступающіе дельфинамъ. Виноградныя лозы зимою зарываются. Жары лѣтомъ бываютъ очень сильны, быть можетъ потому, что тѣла *жителей* не привыкли *къ нимъ*, или потому, что въ степи наступаетъ безвѣтріе, или же и потому, что плотный воздухъ нагрѣвается болѣе, подобно тому какъ въ облакахъ производятъ *это* побочныя солнца. Сейчасъ же за островомъ Борисѳеномъ къ востоку на материкѣ находится голая мѣстность, но называемая рощей, посвященная Ахиллу. Затѣмъ слѣдуетъ Ахилловъ бѣгъ, низменный полуостровъ, такъ какъ онъ *представляетъ собою* узкую полосу *земли* длиною около 1000 стадій, *тянущуюся* къ востоку; наибольшая ширина ея—2 стадія, наименьшая—4 плеѳра; отъ материка, но ту и другую сторону перешейка, она отстоитъ на 60 стадій мо-

V. 5: ῥωξοανοί. || V. 11: Βορυσθενὶς Cor. || V. 24: πλοῦν Cor., recte. || V. 26: θηρευταί. || V. 35: τὴν Βορυσθενίδα Cor. || V. 38: τενία. || V. 47: καρπινίτης.

Digitized by Google

ὁ διείργων τὴν Σαπρὰν λεγομένην λίμνην ἀπὸ θαλάττης, σταδίων μ΄, καὶ ποιῶν τὴν Ταυρικὴν καὶ Σκυθικὴν λεγομένην χερρόνησον. οἱ δὲ τξ΄ τὸ πλάτος τοῦ ἰσθμοῦ φασιν. ἡ δὲ Σαπρὰ λίμνη σταδίων μὲν εἶναι δ λέγεται, μέρος δ' ἐστὶ τῆς Μαιώτιδος τὸ πρὸς δύσιν· συνεστόμωται γὰρ αὐτῇ στόματι μεγάλῳ καὶ ἔστιν ἐλώδης σφόδρα καὶ ραπτοῖς πλοίοις μόγις πλόιμος· οἱ γὰρ ἄνεμοι τὰ τενάγη ῥᾳδίως ἀνακαλύπτουσιν, εἶτα πάλιν πληροῦσιν, ὥστε τὰ ἕλη τοῖς μείζοσι σκάφεσιν οὐ περάσιμά ἐστιν, ἀλλ' ἐνίσχεται αὐτόθι. Ὅτι Χερρόνησος πόλις ἐν τῇ Ταυρικῇ πρότερον αὐτόνομος ἦν. κατατρεχομένη δ' ὑπὸ τῶν βαρβάρων ἠναγκάσθη προστάτην ἑλέσθαι Μιθριδάτην τὸν Εὐπάτορα στρατηγιῶντα ἐπὶ τοὺς ὑπὲρ τοῦ ἰσθμοῦ μέχρι Βορυσθένους ποταμοῦ βαρβάρους καὶ τοῦ Ἀδρίου. ταῦτα δ' ἦν ἐπὶ Ῥωμαίους παρασκευή. ἐκεῖνος μὲν οὖν κατὰ ταύτας τὰς ἐλπίδας ἄσμενος πέμψας εἰς τὴν Χερρόνησον στρατείαν, ἐπολέμει πρὸς τοὺς Σκύθας καὶ τούτους ἐχειρώσατο καὶ Βοσπόρου κατέστη κύριος, παρ' ἑκόντος λαβὼν Περισάδου, τοῦ κατέχοντος τότε. ἐξ ἐκείνου δὴ τοῦ χρόνου τοῖς τοῦ Βοσπόρου δυνάσταις ἡ τῶν Χερρονησιτῶν πόλις ὑπήκοος μέχρι νῦν ἐστιν. Ὅτι μετὰ τὸν Συμβόλων λιμένα ἐν τῇ Ταυρικῇ, ὅς ἐστι δυσμικὸς καὶ βόρειος, ἡ Ταυρικὴ πρὸς νότον τοῦ Εὐξείνου παραλία, ρα οὖσα σταδίων τὸ μῆκος, τραχεῖα καὶ ὀρεινὴ καὶ καταιγίζουσα τοῖς βορέαις ἵδρυται· [εἶτα] ἡ Θεοδοσία πόλις ἐν τῷ Βοσπόρῳ. ἐν δὲ τῷ μέσῳ τῆς παραλίας ταύτης ἀκρωτήριόν ἐστι, τὸ καλούμενον Κριοῦ μέτωπον, ἀντικρὺ Παφλαγονίας καὶ τοῦ ἀκρωτηρίου αὐτῆς Καράμβιδος. τὸ δὲ διάρμα τὸ μεταξὺ Καράμβιδος καὶ Κριοῦ μετώπου στάδιοι βσ΄. ἀπὸ δὲ Θεοδοσίας εἰς Παντικάπην, μητρόπολιν τῶν Βοσπορίανῶν, πᾶσα ἡ χώρα εὔγαιος καὶ εὔφορος σίτου, στάδια φλ΄. ἡ δὲ Παντικάπαια πόλις ἵδρυται ἐπὶ τῷ στόματι τῆς Μαιώτιδος λίμνης. τὸ δὲ Παντικάπαιον λόφος ἐστὶ πάντη περιοικούμενος ἐν κύκλῳ σταδίων κ΄, κτίσμα Μιλησίων. Ὅτι τὰ τοῦ Τανάιδος δύο στόματα διέχει ἀλλήλων ὡς στάδια ξ΄. ἔνθα καὶ πόλις ὁμώνυμος τῷ ποταμῷ, μέγιστον ἐμπορεῖον τῶν βαρβάρων μετὰ τὸ Παντικάπαιον. ἀπὸ δὲ τοῦ Παντικαπαίου πρὸς βορρᾶν στάδια κ΄ ἀνιόντι

ремъ; почва ея песчаная, вода колодезная. По срединѣ же перешеекъ имѣетъ около 40 стадій; оканчивается *полуостровъ* у мыса, называемаго Тамиракскимъ, имѣющаго гавань. За мысомъ — обширный Каркинитскій заливъ, вдающійся къ сѣверу приблизительно на 2000 стадій до угла; заливъ этотъ также зовутъ Тамиракскимъ, однимъ именемъ съ мысомъ. Здѣсь находится перешеекъ, *шириною* въ 40 стадій, отдѣляющій такъ называемое Гнилое озеро отъ моря и образующій полуостровъ, называемый Таврическимъ и Скиѳскимъ. Нѣкоторые, *впрочемъ*, утверждаютъ, что ширина перешейка *равна* 360 стадіямъ. Гнилое озеро, какъ говорятъ, имѣетъ *въ ширину* 4000 стадій и составляетъ западную часть Меотиды, ибо соединено съ нею широкимъ устьемъ; оно очень болотисто и едва судоходно для сшитыхъ лодокъ, такъ какъ вѣтры легко открываютъ мели и затѣмъ снова наполняютъ ихъ *водою*, такъ что эти болота непроходимы для болѣе значительныхъ судовъ, которыя задерживаются здѣсь. Городъ Херсонисъ въ Таврической *землѣ* прежде пользовался автономіей, но *потомъ*, подвергаясь набѣгамъ варваровъ, принужденъ былъ взять себѣ въ покровители Миѳридата Евпатора, желавшаго итти на варваровъ, *живущихъ* выше перешейка до р. Борисѳена и Адрія. Эти *походы* были подготовкой *къ войнѣ* съ Римлянами. Поэтому онъ, побуждаемый такими надеждами, охотно пославъ войско въ Херсонисъ, сталъ воевать со Скиѳами, подчинилъ ихъ себѣ и сдѣлался властителемъ Воспора, который добровольно уступилъ ему тогдашній его владѣлецъ Пирисадъ. Съ тѣхъ-то поръ и донынѣ городъ Херсонисъ подчиненъ владыкамъ Воспора. За бухтой Символовъ на Таврическомъ полуостровѣ, обращенной къ сѣверо-западу, тянется Таврическое побережье, *обращенное лицевой стороной* къ югу Евксина, длиною въ 1000 стадій, неровное, гористое и открытое для сѣверныхъ вѣтровъ. Далѣе — городъ Ѳеодосія на Воспорѣ. Въ срединѣ этого побережья есть мысъ, носящій названіе «Бараньяго лба», насупротивъ Пафлагоніи и мыса ея Карамвида; разстояніе же между Карамвидомъ и «Бараньимъ

V. 7: αὐτῃ. || V. 13: Hoc loco in marg. pr. m. add. ἡ νῦν χερσὸν καλεῖται. || V. 29: σύμβολον cod. Par. συμβούλων cod. Pal. || V. 36: ἀντικρὺς.

Digitized by Google

Μυρμήκιόν ἐστι πολίχνιον· εἶτα κώμη Παρθένιον, ἀπὸ σταδίων μ΄ τοῦ Μυρμηκίου, ἀπὸ δὲ Παντικαπαίου ξ΄. ἔστι δὲ κατὰ μὲν τὸ Παντικάπαιον ὁ πορθμός, τοῦτ' ἔστι τὸ πλάτος τοῦ Βοσπόρου, σταδίων ο΄· ἀπὸ δὲ τοῦ Παρθενίου, ὅπου καὶ τὸ στενώτατόν ἐστι τοῦ πορθμοῦ, στάδια κ΄. ἔχει δ' ἐνταῦθα ἀντικειμένην ἐν τῇ Ἀσίᾳ κώμην, Ἀχίλλειον καλουμένην. ἐντεῦθεν δὲ τὸ μῆκος τῆς λίμνης ἐπὶ τὸν Τάναϊν τὴν πόλιν καὶ τὴν νῆσον στάδια ,βσ΄. ὁ δὲ κατὰ τὴν Ἀσίαν παράπλους κατὰ τὰ δεξιὰ μέρη ὀλίγῳ τι ὑπερβάλλει τῶν ,βσ΄ σταδίων, ὁ δὲ ἀριστερὸς καὶ ἐπὶ τὴν Εὐρώπην ὑπὲρ τοὺς ζ΄ *ἔγγιστα*, ὡς εἶναι τὴν τῆς συμπάσης λίμνης περίμετρον ,θ ἔγγιστα σταδίων· ἧς τὰ μὲν Εὐρωπαῖα μέρη ἔρημα, τὰ δ' ἀνατολικὰ οἰκεῖται. ἡ δὲ Ταυρικὴ Χερρόνησος ἔοικε καὶ κατὰ τὸ μέγεθος καὶ κατὰ τὸ σχῆμα τῇ Πελοποννήσῳ. τὴν δὲ πλείστην μέχρι τοῦ ἰσθμοῦ καὶ τοῦ κόλπου τοῦ Καρκινίτου Ταῦροι, Σκυθικὸν ἔθνος, ᾤκουν· καὶ ἐκαλεῖτο πάλαι ἡ χώρα αὕτη πᾶσα, σχεδὸν δέ τι καὶ [ἡ] ἔξω τοῦ ἰσθμοῦ μέχρι Βορυσθένους, μικρὰ Σκυθία. τῆς δὲ Χερρονήσου τῆς Ταυρικῆς, πλὴν τῆς ὀρεινῆς τῆς παραλίου μέχρι Θεοδοσίας, ἡ ἄλλη πεδιάς καὶ εὔγαιός ἐστι πᾶσα, σίτῳ δὲ καὶ σφόδρα εὐτυχής· λ΄ γοῦν ἀποδίδωσι, διὰ τοῦ τυχόντος ὀρυκτοῦ σχιζομένη. φόρον δ' ἔφερον Μιθριδάτῃ τῷ Εὐπάτορι οὗτοι. ἐντεῦθέν φασι καὶ τὰ σιτοπόμπια τοῖς Ἕλλησιν εἶναι· καὶ Λεύκωνά φασι πέμψαι ἐντεῦθεν Ἀθηναίοις σίτου μεδίμνους μυριάδας ιε΄. διὰ δὲ τὸ νομάδας εἶναι τοὺς βορειοτέρους Γεωργοὶ οὗτοι ἐκαλοῦντο ἰδίως. Ὅτι ἴδιόν ἐστι Σκυθῶν καὶ Σαρματῶν τὸ τοὺς ἵππους ἐκτέμνειν εὐπειθείας χάριν· μικροὶ μὲν γάρ εἰσιν, ὀξεῖς δὲ σφόδρα καὶ δυσπειθεῖς. Ὅτι ἐν Σκυθίᾳ ἀετὸς οὐ γίνεται. γίνεται δὲ ζῷόν τι ἐνταῦθα, ὁ καλούμενος κόλος, μεταξὺ ἐλάφου τε καὶ κριοῦ τὸ μέγεθος, λευκός, ὀξύτερος τούτων τῷ δρόμῳ, πίνων τοῖς ῥώθωσιν εἰς τὴν κεφαλήν, εἶτ' ἐντεῦθεν εἰς ἡμέρας ταμιεύων πλείους, ὥστ' ἐν τῇ ἀνύδρῳ νέμεσθαι ῥᾳδίως.

хбомъ»—2200 стадій. Отъ Θеодосіи до Пантикапы, столицы Воспорянъ, вся страна, *на протяженіи* 530 стадій, отличается хорошей почвой и хлѣбородіемъ. Городъ Пантикапэя построенъ при устьѣ Мэотійскаго озера. Пантикапэй, основанный Милитпами, представляетъ собою холмъ, со всѣхъ сторонъ заселенный, въ 20 стадій. Два устья Тананда отстоятъ одно отъ другаго стадій на 60. Есть здѣсь и городъ, сименный рѣкѣ, самое большое торжище у варваровъ послѣ Пантикапэя. Если отъ Пантикапэя подняться къ сѣверу на 20 стадій, то тамъ лежитъ городокъ Мирмикій, за нимъ деревня Парееній въ 40 стадіяхъ отъ Мирмикія, отъ Пантикапэя же въ 60. У Пантикапэя проливъ, т. е. ширина Воспора, имѣетъ 70 стадій, а у Пареенія, гдѣ самое узкое мѣсто пролива,—20 стадій. На азіатской сторонѣ противъ него лежитъ деревня, называемая Ахилліемъ. Длина озера отъ этого мѣста до города Тананда и до острова — 2200 стадій; разстояніе будетъ нѣсколько больше 2200 стадій, если плыть вдоль берега Азіи, по правую сторону озера; если же плыть влѣво, вдоль европейскаго берега, то оно будетъ больше 7000 стадій, такъ что окружность всего озера составляетъ почти 9000 стадій; Европейскіе берега его пустынны, а восточные заселены. Таврическій Херсонисъ и по величинѣ и по виду похожъ на Пелопоннисъ; наибольшую *часть его* до перешейка и Каркинитскаго залива населяло скиѳское племя Тавровъ; вся эта страна, а также, пожалуй, и *область* за перешейкомъ до Борисѳена, называлась прежде Малой Скиѳіей. Кромѣ горнаго побережья до Θеодосіи, вся остальная *часть* Таврическаго Херсонниса *представляетъ* равнину съ хорошей почвой, чрезвычайно богатую хлѣбомъ: земля, вспаханная любымъ пахаремъ, даетъ урожай самъ-тридцать. Жители платили дань Митридату Евпатору. Отсюда, говорятъ, вывозился хлѣбъ къ Еллинамъ. Разсказываютъ, что Левконъ послалъ отсюда Аѳинянамъ 150000 медимновъ хлѣба. Въ отличіе отъ болѣе сѣверныхъ кочевыхъ народовъ эти *жители полуострова* спеціально назывались «Земледѣльцами». У Скиѳовъ и Сарматовъ есть обычай холостить лошадей, чтобы сдѣлать ихъ болѣе послушными; ибо лошади у нихъ хотя и не велики,

V. 6: στενότατον. || V. 12: περίπλους. || V. 24: δ' ἔτι. || V. 41: κολὸς.

Digitized by Google

но очень горячи и неукротимы. Въ Скиѳіи не водятся орлы; но здѣсь водится нѣкое животное, такъ называемый «колосъ», по величинѣ среднее между оленемъ и бараномъ, бѣлое и быстротою бѣга превосходящее названныхъ *животныхъ;* во время питья оно ноздрями *втягиваетъ воду* въ голову и затѣмъ нѣсколько дней сберегаетъ ее здѣсь, такъ что легко можетъ жить въ безводныхъ *мѣстахъ*.

ΕΚ ΤΟΥ ΙΑ΄ ΒΙΒΛΙΟΥ.

ИЗЪ КНИГИ 11-й.

...Ὅτι ἡ Κολχὶς μεταξὺ τῶν τε Μοσχικῶν καὶ Καυκασίων ὀρέων κεῖται. Ὅτι ἀπὸ Βοσπόρου τοῦ Κιμμερίου ἕως νήσου Ἀλωπεκίας στάδια ,βσ΄. Ὅτι ἐν τῇ ἀνατολικῇ πλευρᾷ τῆς Μαιώτιδός ἐστι ποταμός, ὁ μέγας Ῥομβίτης, εἶτα Θεοφάνιος, εἶτα μικρὸς Ῥομβίτης, εἶτα Ἀττικίτης, εἶτα Ψάτης, εἶτα Οὐαρδάνης. πάντες οὗτοι ποταμοὶ ἔκ τε τῶν Ἱππικῶν ὀρέων ἔρχονται καὶ ἐκ τῶν Καυκασίων. Ὅτι τὸ Κιμμέριον ἄκρον τὸ ἐν τῇ Μαιώτιδι πάλαι ἴσχυσε πλεῖστον, ὥστε καὶ τὸν Βόσπορον Κιμμέριον ἐξ αὐτοῦ κληθῆναι. εἶτα ἀπὸ σταδίων κ΄ Ἀχίλλειον κώμη, ὅπου καὶ τὸ στενώτατον τοῦ πορθμοῦ τοῦ Βοσπόρου· ἔχει γὰρ κ΄ σταδίους· οὐ ἀντιπέραν ἐν τῇ Εὐρώπῃ τὸ Μυρμήκιόν ἐστι. τὸ δὲ νοταπηλιωτικὸν τοῦ Βοσπόρου στόμα Κορακονδάμη· τὸ δὲ νοτολιβυκὸν κώμη τις τῆς Παντικαπαίων γῆς, ὄνομα Ἄκρα. μῆκος τοῦ Βοσπόρου στάδιοι ο΄. Ὅτι ἡ Φαναγορία καὶ ἡ Ἑρμώνασσα πόλεις εἰσὶν ἀξιόλογοι περὶ τὰ Ἀσιανὰ μέρη. Ὅτι παραθαλάσσιος πόλις Σινδικὴ ἐστι, τὸ τῶν Σινδῶν βασίλειον. Ὅτι τῶν Εὐρωπαίων Βοσποριανῶν μητρόπολίς ἐστι τὸ Παντικάπαιον, τῶν δὲ Ἀσιανῶν ἡ Φαναγορία. Ὅτι Ἡνίοχοι καὶ Ἀχαιοὶ καὶ Ζύγιοι, λυπρὰν γῆν οἰκοῦντες, λῃστεύουσι τὴν Ποντικὴν θάλασσαν, ἔχοντες πλοῖα κοῦφα μικρά, δυνάμενα ἐν τοῖς ὤμοις αἴρεσθαι καὶ ἐν ὕλῃ κρύπτεσθαι, διὰ τὸ ἁλίμενον εἶναι τὴν ταύτῃ θάλασσαν, περατουμένην ὑπὸ τῶν Καυκάσου ἄκρων· καλοῦσι δὲ αὐτὰ καμάρας. Ὅτι ὁ Καύκασος τὸ ὄρος περικλείει ἀπὸ βορρᾶ τὰς δύο θαλάσσας, Κασπίαν τε καὶ Πόντον, εἴργον Σαρμάτας τε καὶ Μαιώτας ἀπὸ Ἰβήρων καὶ Ἀλβανῶν. ἔστι δὲ εὐδενδρότατον τὸ ὄρος· ἀπολήγει δ΄ αὐτοῦ τὸ νοτολιβυκὸν ἄκρον κατὰ τὰ μυχὰ τοῦ Εὐξείνου· ἔνθα

... Колхида лежитъ между Москійскими и Кавказскими горами. Отъ Киммерійскаго Воспора до острова Алопекіи 2200 стадій. На восточномъ берегу Меотиды есть рѣка Большой Ромвитъ, за нимъ Ѳеофаній, далѣе Малый Ромвитъ, затѣмъ Аттикитъ, далѣе Псатъ и наконецъ Варданъ; всѣ эти рѣки текутъ изъ Конскихъ и Кавказскихъ горъ. Киммерійскій мысъ на Меотидѣ нѣкогда имѣлъ большую силу, такъ что и Воспоръ по нему былъ названъ Киммерійскимъ. Далѣе въ 20 стадіяхъ селеніе Ахиллій, у котораго самое узкое *мѣсто* Воспорскаго пролива, *шириною* въ 20 стадій. Напротивъ его въ Европѣ лежитъ Мирмикій. Юго-восточное устье Воспора — Корокондама, а юго-западное — нѣкая деревенька Пантикапэйской земли, по имени Акра. Длина Воспора — 70 стадій. На азіатской сторонѣ *Воспора* находятся значительные города Фанагорія и Ермонасса; есть тамъ и приморскій городъ Синдика, столица Синдовъ. Столицею европейскихъ Воспорянъ служитъ Пантикапэй, а азіатскихъ — Фанагорія. Иніохи, Ахэйцы и Зигійцы, населяя скудную землю, занимаются разбоемъ на Понтійскомъ морѣ, *для чего* имѣютъ маленькія, легкія ладьи, которыя можно взваливать на плечи и прятать въ лѣсу, вслѣдствіе того, что здѣсь море, ограничиваемое скалами Кавказа, не имѣетъ гаваней; эти ладьи называютъ «камарами». Кавказскій хребетъ окружаетъ съ сѣвера два моря, Каспій и Понтъ, отдѣляя Сарматовъ и Меотовъ отъ Иверовъ и Албанцевъ; онъ очень богатъ лѣсомъ. Юго-западный его отрогъ оканчивается у залива Евксина. Здѣсь *лежитъ* городъ Діоскуріада, который служитъ началомъ пере-

V. 8: Ψάθις legitur ap. Ptol. V, 8. || V. 10: κίμμερον. || V. 14: στενότατον. || V. 21: φαιναγορία et sic infra.

Digitized by Google

πόλις Διοσκουριάς, ἥτις πόλις καὶ ἀρχή ἐστι τοῦ ἰσθμοῦ τοῦ μεταξὺ Εὐξείνου καὶ Ὑρκανίας· καὶ ἐμπορεῖόν ἐστιν αὕτη ἡ Διοσκουριὰς πάντων τῶν ἀνατολικωτέρων ἐθνῶν κοινόν· συνέρχεσθαι γάρ φασιν εἰς αὐτὴν ἔθνη ἀλλήλων ἑτερόγλωσσα πλείω τῶν ο'. Ὅτι ἀπὸ Φάσιδος ποταμοῦ ἕως Ἁμισοῦ καὶ Σινώπης πλοῦς ἡμερῶν γ'. καὶ ἔστιν ἡ χώρα αὕτη ἀγαθὴ πλὴν μέλιτος· πικρίζει γάρ. Ὅτι ἡ Μοσχικὴ χώρα τριμερής ἐστι· τὸ μὲν γὰρ ἔχουσιν αὐτῆς Κόλχοι, τὸ δὲ Ἴβηρες, τὸ δὲ Ἀρμένιοι. Ὅτι τὸ τῶν Φθειροφάγων ἔθνος καὶ αὐτὸ σὺν τοῖς ἄλλοις ἐμπορείῳ χρῆται τῇ Διοσκουριάδι· οὕτως δὲ καλοῦνται διὰ τὸν αὐχμὸν καὶ τὸν πίνον. Ὅτι καὶ οἱ Σοάνες οὐδὲν βελτίους τῶν Φθειροφάγων τῷ πίνῳ εἰσίν. ἔχουσι δὲ καὶ μέταλλα χρυσοῦ, ἄτινα οἱ χείμαρροι καταφέρουσιν· ὑποδέχονται δ' αὐτὰ οἱ Σοάνες φάτναις ὀπὰς ἐχούσαις ἢ προβάτων μαλλωτῶν δοραῖς· ἀφ' οὗ καὶ ὁ μῦθος ἐπλάσθη τοῦ Αἰήτου, ὡς ἔχοι ποτὲ χρυσόμαλλον δέρας. Ὅτι ὁ Κόρος ποταμός, τὴν ἀρχὴν ἔχων ἀπὸ Ἀρμενίας, παραλαμβάνει τὸν Ἀραγῶνα ἐκ τοῦ Καυκάσου ῥέοντα καὶ ἄλλα ὕδατα ποταμῶν διὰ στενῆς ποταμίας εἰς τὴν Ἀλβανίαν ἐκπίπτει· μεταξὺ δὲ ταύτης τε καὶ τῆς Ἀρμενίας ἐνεχθεὶς πολὺς διὰ πεδίων ἀγαθῶν, δεξάμενός τε πλείους ποταμούς, ὧν ἐστιν ὅ τε Ἀλαζόνιος καὶ ὁ Σανδοβάνης καὶ ὁ Ῥοιτάκης καὶ Χάνης, πλωτοὶ πάντες, εἰς τὴν Κασπίαν ἐμβάλλει θάλασσαν. Ὅτι ὁ Φᾶσις ποταμός, ἐξ Ἀρμενίας ὁρμώμενος, δέχεται ποταμοὺς τόν τε Ἵππον καὶ τὸν Γλαῦκον· ἔξεισιν εἰς τὸν Πόντον πλησίον ὁμωνύμου πόλεως. Ὅτι οἱ Ἀλβανοὶ γῆν νέμονται, δίκην τῆς Κυκλώπων, ἀγαθωτάτην, οἵαν φησὶν ἐκεῖνος·

ἀλλ' ἥγ' ἄσπαρτος καὶ ἀνήροτος

καρποφορεῖ. καὶ αἱ ἄμπελοι αὐτοῖς ἄσκαφοι καὶ διὰ πενταετίας κλαδευόμεναι φέρουσι τὸν καρπόν. ἡ δὲ χώρα οὐδὲ σιδήρῳ τέμνεται, ἀλλὰ τῷ τοῦ ἀρότρου ξύλῳ, καὶ ἅπαξ σπαρεῖσα ἐπὶ διετίαν ἢ καὶ τριετίαν καρποφορεῖ. οἵ τε ποταμοὶ αὐτοῖς τὴν γῆν ποτίζουσιν, ὥσπερ ὁ Νεῖλος καὶ ὁ Εὐφράτης. καὶ ἁπλῶς ὑπερβολὴν οὐκ ἀπολείπει ἡ χοῦς τῆς Ἀλβανίας εἰς ἀρετὴν καρπογονίας. οὕτως δὲ δεῖ λέγειν καὶ θηλυκῶς ἡ χοῦς. εἰσὶ δὲ αὐτοῖς καὶ τὰ κτήνη πολυτόκα. καὶ αὐτοὶ καλοί τε τὰς ὄψεις καὶ μεγάλοι καὶ ἁπλοῖ τοῖς ἤθεσι· καὶ διὰ τὴν εὐθηνίαν οὐκ ἴσασί

шейка между Евксиномъ и Иркансвимъ *моремъ;* эта Діоскуріада есть торговый центръ, общій для всѣхъ народовъ, живущихъ восточнѣе; въ него сходятся, по разсказамъ, болѣе 70 народностей, говорящихъ на разныхъ языкахъ. Отъ р. Фасида до Амиса и Синопы три дня плаванія. Страна *эта* богата *плодами*, кромѣ меда, который горьковатъ *на вкусъ*. Страна Москвъ состоитъ изъ трехъ частей: одну занимаютъ Колхи, другую — Иверы, третью — Арменійцы. Къ числу народовъ, для которыхъ Діоскуріада служитъ торговымъ центромъ, принадлежатъ и Вшеѣды, называемые такъ вслѣдствіе нечистоплотности и грязи. Нисколько не лучше Вшеѣдовъ въ отношеніи чистоплотности и Соаны, у которыхъ есть золотыя розсыпи, напосимыя потоками; это золото Соаны собираютъ при помощи просверленныхъ корытъ и косматыхъ овечьихъ шкуръ. Отсюда-то и сложился миѳъ объ Эитѣ, будто онъ имѣлъ нѣкогда золотое руно. Рѣка Коръ, берущая начало въ Арменіи, принявъ въ себя Арагонъ, вытекающій съ Кавказа, и другіе притоки, по узкой рѣчной долинѣ входитъ въ Албанію; многоводной рѣкой пропесшись между ею и Арменіей по плодороднымъ равнинамъ и принявъ въ себя еще большее количество рѣкъ, въ числѣ которыхъ находятся Алазоній, Сандованъ, Ритакъ и Ханъ, всѣ судоходныя, онъ впадаетъ въ Каспійское море. Рѣка Фасидъ, вытекающая изъ Арменіи, принимаетъ въ себя рѣки Иппъ и Главкъ и впадаетъ въ Понтъ близъ города того-же имени. Албанцы населяютъ землю весьма плодородную, въ родѣ Киклоповской, о которой *поэтъ* говоритъ: «но она не засѣянная и не вспаханная» приноситъ плодъ. Виноградныя лозы у нихъ приносятъ плодъ, оставаясь невзрытыми и подрѣзываемыя черезъ пятилѣтіе. Земля вспахивается не желѣзнымъ, но деревяннымъ плугомъ, и разъ засѣянная приноситъ плоды на второй и даже на третій годъ. Рѣки у нихъ орошаютъ землю подобно Нилу и Евфрату; и вообще албанскій плъ (ἡ χοῦς) не оставляетъ желать лучшаго для успѣнія производительности почвы; говорить же слѣдуетъ именно такъ, ἡ χοῦς, въ женскомъ родѣ. Домашній скотъ у нихъ также отличается плодородіемъ. И сами *жители от-*

V. 24: παραλαβὼν Str. p. 500. || V. 52: εὐηθίαν Cor. recte.

Digitized by Google

τινες αὐτῶν ἀριθμεῖν, οἱ δὲ εἰδότες οὐ πλείω τῶν ἑκατὸν μετροῦσιν. Ὅτι περὶ Ἀλβανίαν ἐστὶ χώρα τῶν Ἀμαζόνων πλησίον Γαργαρέων περὶ τὰ Καυκάσια ὄρη· αἳ καὶ δύο μόνους μῆνας τοῦ ἐνιαυτοῦ συνίασι τοῖς Γαργαρεῦσι τεκνοποιίας χάριν, τοὺς δὲ ι' καθ' αὑτὰς οἰκοῦσι χωρίς, ἀσκοῦσαι τὰ πολέμια. τῶν δὲ τικτομένων τὰ μὲν θήλεα αὐταὶ ἔχουσι, τὰ δ' ἄρρενα τοῖς Γαργαρεῦσι διδόασι. μαρτυρεῖ καὶ Ἀρριανὸς τοῦτο, λέγων, ὅτι τῷ βασιλεῖ Ἀλεξάνδρῳ Φαρεσμάνης ἐδωρήσατο Ἀμαζόνας φ'. Ὅτι τὰ ὑψηλότατα μέρη τοῦ Καυκάσου τὰ νοτιώτατά ἐστι, τὰ πρὸς Ἀλβανίᾳ καὶ Ἰβηρίᾳ καὶ Κόλχοις καὶ Ἠνιόχοις. Ὅτι αἱ τοῦ Καυκάσου κορυφαὶ χειμῶνος μὲν ἄβατοι, θέρους δὲ προσβαίνουσιν, ὑποδούμενοι κεντρωτὰ ὠμοβοινα, δίκην τυμπάνων πλατέα, διὰ τὰς χιόνας καὶ τοὺς κρυστάλλους· καταβαίνουσι δ' ἐπὶ δορᾶς κείμενοι σὺν τοῖς φορτίοις καὶ κατολισθαίνοντες. ὅπερ καὶ κατὰ τὴν Ἀτροπατείαν Μηδίαν καὶ κατὰ τὸ Μάσιον ὄρος τὸ ἐν Ἀρμενίᾳ γίνεται. ἐνταῦθα δὲ καὶ τροχίσκοι ξύλινοι κεντρωτοὶ τοῖς πέλμασιν ὑποτίθενται. Ὅτι ὁ περίπλους τῆς Ὑρκανίας θαλάσσης, ὁ μὲν παρὰ τοὺς Ἀλβανοὺς καὶ τοὺς Καδουσίους ἐστὶ ,ευ' σταδίων, ὁ δὲ παρὰ τὴν Ἀριακῶν καὶ Μάρδων καὶ Ὑρκανῶν μέχρι τοῦ στόματος τοῦ Ὄξου ποταμοῦ δω' ἔνθεν δὲ ἐπὶ τοῦ Ἰαξάρτου ,βυ'. τὰ δὲ λοιπὰ ἕως νῦν ἀγνοεῖται.

личаются красивою наружностью, высокимъ ростомъ и простотою нравовъ; нѣкоторые изъ нихъ, не зная нужды, не умѣютъ даже считать, а умѣющіе считаютъ не дальше сотни. Близъ Албаніи находится страна Амазонокъ, неподалеку отъ Гаргареевъ, у Кавказскихъ горъ; онѣ всего два мѣсяца въ году имѣютъ сношенія съ Гаргареями ради дѣторожденія, десять же мѣсяцевъ живутъ отдѣльно, сами по себѣ, упражняясь въ военныхъ дѣлахъ; родившихся дѣвочекъ онѣ удерживаютъ у себя, а мальчиковъ отдаютъ Гаргареямъ. Объ этомъ свидѣтельствуетъ и Арріанъ, говоря, что Фаресманъ подарилъ Александру 500 Амазонокъ. Самыя высокія части Кавказа—самыя южныя, у Албаніи, Иверіи и *областей* Колховъ и Иніоховъ. Вершины Кавказа зимою неприступны, а лѣтомъ *люди* взбираются *на нихъ*, подвязывая *подошвы* изъ сырой воловьей кожи, широкія какъ литавры, по причинѣ снѣговъ и льдовъ; спускаются же *съ горъ*, лежа на шкурахъ вмѣстѣ съ кладью и скользя внизъ, что встрѣчается также въ Атропатійской Мидіи и на горѣ Масіи въ Арменіи; тамъ подвязываютъ подъ подошвы еще деревянныя колеса съ шипами. Путь вокругъ Иркапскаго моря составляетъ вдоль *областей* Албанцевъ и Кадусіевъ 5400 стадій, *затѣмъ* вдоль страны Аріаковъ, Мардовъ и Иркановъ до устья рѣки Окса—4800; отсюда до *рѣки* Іаксарта — 2400; остальныя же *части его* его до сихъ поръ неизвѣстны.

ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΛΟΓΟΣ ΒΟΡΥΣΘΕΝΙΤΙΚΟΣ,

ὃν ἀνέγνω ἐν τῇ πατρίδι (or. XXXVI).

ДІОНА ХРИСОСТОМА

БОРИСѲЕНИТСКАЯ РѢЧЬ,

прочитанная въ отечествѣ (р. XXXVI).

[Жилъ во 2-й половинѣ I-го и началѣ II-го в. по Р. Хр. Рѣчь произнесена около 100-го года по Р. Хр. (ср. наши «Изслѣдованія объ исторіи и госуд. строѣ г. Ольвіи», стр. 148). — Текстъ: Δίωνος του Χρυσοστόμου λογοι. Dionis Chrysostomi orationes. Recognovit et praefatus est *L. Dindorfius*. Vol. II. Lipsiae ap. Teubnerum, MDCCCLVII].

Переводъ **В. Л.**

(V. II p. 48 Dind.). Ἐτύγχανον μὲν ἐπιδημῶν ἐν Βορυσθένει τὸ θέρος, ὁπότε εἰσέπλευσα μετὰ τὴν φυγήν, βουλόμενος ἐλθεῖν, ἐὰν δύνωμαι, διὰ Σκυθῶν εἰς Γέτας,

Случилось мнѣ лѣтомъ быть въ Борисѳенѣ, когда я послѣ изгнанія прибылъ *туда* моремъ, имѣя въ виду, если можно будетъ, пробраться чрезъ Скиѳію къ Ге-

V. 22: ἀτροπατίαν.

Digitized by Google

ὅπως θεάσωμαι τἀκεῖ πράγματα ὁποῖά ἐστι. καὶ δὴ καὶ περιεπάτουν περὶ πλήθουσαν ἀγοράν παρὰ τὸν Ὕπανιν. ἡ γὰρ πόλις τὸ μὲν ὄνομα εἴληφεν ἀπὸ τοῦ Βορυσθένους διὰ τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ ποταμοῦ, κεῖται δὲ πρὸς τῷ Ὑπάνιδι ἥ τε νῦν καὶ ἡ πρότερον οὕτως ᾠκεῖτο, οὐ πολὺ ἄνωθεν τῆς Ἱππολάου καλουμένης ἄκρας ἐν τῷ κατ' ἀντικρύ. τοῦτο δέ ἐστι τῆς χώρας ὀξὺ καὶ στερεόν, ὥσπερ ἔμβολον, περὶ ὃ συμπίπτουσιν οἱ ποταμοί. τὸ δὲ ἐντεῦθεν ἤδη λιμνάζουσι μέχρι θαλάττης ἐπὶ σταδίους σχεδόν τι διακοσίους· καὶ τὸ εὖρος οὐχ ἧττον ταύτῃ τῶν ποταμῶν. ἔστι δὲ αὐτοῦ τὸ μὲν πλέον τέναγος καὶ γαλήνη ταῖς εὐδίαις ὥσπερ ἐν λίμνῃ γίγνεται στα-θερά. ἐν δὲ τοῖς δεξιοῖς φαίνεται ποταμός, καὶ τεκμαίρονται οἱ εἰσπλέοντες ἀπὸ τοῦ ῥεύματος τὸ βάθος, ὅθενπερ καὶ ἐξίησι, διὰ τὴν ἰσχὺν τοῦ ῥοῦ· εἰ δὲ μή, ῥᾳδίως ἂν ἐνεφράττετο τοῦ νότου πολλοῦ κατὰ στόμα εἰσπνέοντος. τὸ δὲ λοιπὸν ἠών ἐστιν ἑλώδης καὶ δασεῖα καλάμῳ καὶ δένδροις. φαίνεται δὲ τῶν δένδρων πολλὰ καὶ ἐν μέσῃ τῇ λίμνῃ, ὡς ἱστοῖς προσεοικέναι, καὶ ἤδη τινὲς τῶν ἀπειροτέρων διήμαρτον, ὡς ἐπὶ πλοῖα ἐπέχοντες. ταύτῃ δὲ καὶ τῶν ἁλῶν ἐστι τὸ πλῆθος, ὅθεν οἱ πλείους τῶν βαρβάρων λαμβάνουσιν ὠνούμενοι τοὺς ἅλας καὶ τῶν Ἑλλήνων καὶ Σκυθῶν οἱ Χερρόνησον οἰκοῦντες τὴν Ταυρικήν. ἐκδιδόασι δὲ οἱ ποταμοὶ εἰς [p. 49] θάλατταν παρὰ φρούριον Ἀλέκτορος, ὃ λέγεται τῆς γυναικὸς εἶναι τοῦ Σαυρομάτῶν βασιλέως.

Ἡ δὲ πόλις ἡ τῶν Βορυσθενιτῶν τὸ μέγεθός ἐστιν οὐ πρὸς τὴν παλαιὰν δόξαν διὰ τὰς συνεχεῖς ἁλώσεις καὶ τοὺς πολέμους. ἅτε γὰρ ἐν μέσοις οἰκοῦσα τοῖς βαρβάροις τοσοῦτον ἤδη χρόνον, καὶ τούτοις σχεδόν τι τοῖς πολεμικωτάτοις, ἀεὶ μὲν πολεμεῖται, πολλάκις δὲ καὶ ἑάλωκε· τὴν δὲ τελευταίαν καὶ μεγίστην ἅλωσιν οὐ πρὸ πλειόνων ἢ πεντήκοντα καὶ ἑκατὸν ἐτῶν. εἷλον δὲ καὶ ταύτην Γέται καὶ τὰς ἄλλας τὰς ἐν τοῖς ἀριστεροῖς τοῦ Πόντου πόλεις μέχρι Ἀπολλωνίας. ὅθεν δὴ καὶ σφόδρα ταπεινὰ τὰ πράγματα κατέστη τῶν ταύτῃ Ἑλλήνων, τῶν μὲν οὐκέτι συνοικισθεισῶν πόλεων, τῶν δὲ φαύλως, καὶ τῶν πλείστων βαρβάρων εἰς αὐτὰς συρρυέντων. πολλαὶ γὰρ δή τινες ἁλώσεις κατὰ πολλὰ μέρη γεγόνασι τῆς Ἑλλάδος, ἅτε ἐν πολλοῖς τόποις διεσπαρμένης. ἁλόντες δὲ

тамъ, чтобы посмотрѣть, что тамъ дѣлается. И вотъ я въ рыночный часъ прогуливался по берегу Ипаниды. Надо знать, что хотя городъ и получилъ названіе отъ Борисѳена вслѣдствіе красоты и величины этой рѣки, но какъ нынѣ лежитъ на Ипанидѣ, такъ и прежде былъ выстроенъ тамъ же, немного выше такъ называемаго Ипполаева мыса, на противоположномъ *отъ него* берегу [1]). *Мысъ этотъ представляетъ собою* острый и крутой выступъ материка въ видѣ корабельнаго носа, около котораго сливаются *обѣ* рѣки; далѣе онѣ представляютъ уже лиманъ вплоть до моря на протяженіи почти 200 стадій; и ширина рѣкъ въ этомъ мѣстѣ не менѣе. Большая часть лимана представляетъ мели, и при безвѣтріи поверхность воды тамъ постоянно гладка, какъ на озерѣ. Лишь съ правой стороны замѣтно теченіе воды, и плывущіе *съ моря* по теченію заключаютъ о глубинѣ; отсюда-то *рѣка* изливается въ море вслѣдствіе силы теченія; если-бы его не было, вода легко могла бы быть задержана сильнымъ южнымъ вѣтромъ, дующимъ въ устье. Въ остальной части лимана берега болотисты и покрыты густымъ тростникомъ и деревьями; даже въ самомъ лиманѣ видно много деревьевъ, издали похожихъ на мачты, такъ что неопытные корабельщики ошибаются, правя къ нимъ, какъ бы къ кораблямъ. Здѣсь есть также много соли [2]), и отсюда получаетъ ее покупкою большинство варваровъ, а также Эллины и Скины, живущіе на Таврическомъ полуостровѣ. Рѣки впадаютъ въ море у укрѣпленія Алектора, принадлежащаго, какъ говорятъ, супругѣ царя Савроматовъ.

Городъ Борисѳенитовъ по величинѣ не соотвѣтствуетъ своей прежней славѣ вслѣдствіе неоднократныхъ раззореній и войнъ: находясь уже такъ давно среди варваровъ и притомъ почти самыхъ воинственныхъ, онъ постоянно подвергается нападеніямъ и нѣсколько разъ уже былъ взятъ врагами; послѣднее и самое сильное раззореніе его было не болѣе какъ за 150 лѣтъ: Геты взяли и его и остальные города по лѣвому берегу Понта вплоть до Аполлоніи. Вслѣдствіе этого-то дѣла тамошнихъ Эллиновъ пришли въ крайній упадокъ: одни города совсѣмъ не были возстановлены, другіе—

1) Ср. Иродъ. IV, 53 (выше стр. 24).

2) Ср. Иродъ. тамъ-же.

Digitized by Google

τότε οἱ Βορυσθενῖται πάλιν συνῴκησαν, ἐθελόντων, ἐμοὶ δοκεῖν, τῶν Σκυθῶν διὰ τὸ δεῖσθαι τῆς ἐμπορίας καὶ τοῦ κατάπλου τῶν Ἑλλήνων. ἐπαύσαντο γὰρ εἰσπλέοντες ἀναστάτου τῆς πόλεως γενομένης, ἅτε οὐκ ἔχοντες ὁμοφώνους τοὺς ὑποδεχομένους οὐδὲ αὐτῶν Σκυθῶν ἀξιούντων οὐδὲ ἐπισταμένων ἐμπόριον αὐτῶν κατασκευάσασθαι τὸν Ἑλληνικὸν τρόπον. σημεῖον δὲ τῆς ἀναστάσεως ἥ τε φαυλότης τῶν οἰκοδομημάτων καὶ τὸ συνεστάλθαι τὴν πόλιν εἰς βραχύ. μέρει γάρ τινι προσῳκοδόμηται τοῦ παλαιοῦ περιβόλου, καθ' ὃ πύργοι τινὲς οὐ πολλοὶ διαμένουσιν οὐ πρὸς τὸ μέγεθος οὐδὲ πρὸς τὴν ἰσχὺν τῆς πόλεως. τὸ δὲ μεταξὺ συμπέφρακται κατ' ἐκεῖνο ταῖς οἰκίαις οὐκ ἐχούσαις ὁποῖα διαλείπει. τειχίον δὲ περιβέβληται πάνυ ταπεινὸν καὶ ἀσθενές. τῶν δὲ πύργων εἰσί τινες πολὺ ἀφεστῶτες [p. 50] τοῦ νῦν οἰκουμένου, ὥστε μηδ' εἰκάσαι ὅτι μιᾶς ἦσαν πόλεως. ταῦτά τε δὴ οὖν σημεῖα ἐναργῆ τῆς ἁλώσεως καὶ τὸ μηδὲν τῶν ἀγαλμάτων διαμένειν ὑγιὲς τῶν ἐν τοῖς ἱεροῖς, ἀλλὰ σύμπαντα λελωβημένα εἶναι, ὥσπερ τὰ ἐπὶ τῶν μνημάτων.

Ὅπερ οὖν ἔφην, ἔτυχον περιπατῶν πρὸ τῆς πόλεως, καί τινες ἐξῆσαν ἔνδοθεν τῶν Βορυσθενιτῶν πρὸς ἐμέ, ὥσπερ εἰώθεσαν· ἔπειτα Καλλίστρατος ἐφ' ἵππου τὸ μὲν πρῶτον παρίππευσεν ἡμᾶς ἔξωθεν προσελαύνων, παρελθὼν δὲ ὀλίγον κατέβη, καὶ τὸν ἵππον τῷ ἀκολούθῳ παραδοὺς αὐτὸς πάνυ κοσμίως προσῆλθεν ὑπὸ τὸ ἱμάτιον τὴν χεῖρα ὑποστείλας. παρέζωστο δὲ μάχαιραν μεγάλην τῶν ἱππικῶν καὶ ἀναξυρίδας εἶχε καὶ τὴν ἄλλην στολὴν Σκυθικήν, ἄνωθεν δὲ τῶν ὤμων ἱμάτιον μικρὸν μέλαν, λεπτόν, ὥσπερ εἰώθασιν οἱ Βορυσθενῖται. χρῶνται δὲ καὶ τῇ ἄλλῃ ἐσθῆτι μελαίνῃ ὡς τὸ πολὺ ἀπὸ γένους τινὸς Σκυθῶν τῶν Μελαγχλαίνων, ὡς ἐμοὶ δοκοῦσι, κατὰ τοῦτο ὀνομασθέντων ὑπὸ τῶν Ἑλλήνων. ἦν δὲ ὡς ὀκτωκαίδεκα ἐτῶν ὁ Καλλίστρατος, πανὺ καλὸς καὶ μέγας, πολὺ ἔχων Ἰωνικὸν τοῦ εἴδους. ἐλέγετο δὲ καὶ τὰ πρὸς τὸν πόλεμον ἀνδρεῖος εἶναι, καὶ πολλοὺς Σαυροματῶν τοὺς μὲν ἀνῃρηκέναι, τοὺς δὲ αἰχμαλώτους εἰληφέναι. ἐσπουδάκει δὲ καὶ περὶ λόγους καὶ φιλοσοφίαν, ὥστε καὶ ἐκπλεῦσαι σὺν ἐμοὶ ἐπεθύμει. διὰ πάντα δὴ ταῦτα εὐδοκίμει παρὰ τοῖς πολίταις, οὐχ ἥκιστα δὲ ἀπὸ τοῦ κάλλους, καὶ εἶχε πολλοὺς ἐραστάς. πάνυ γὰρ δὴ τοῦτο ἐμμεμένηκεν αὐτοῖς ἀπὸ τῆς μητροπόλεως, τὸ περὶ τοὺς ἔρωτας τοὺς

въ плохомъ видѣ, и при этомъ нахлынула въ нихъ масса варваровъ. Много сдѣлано было захватовъ во многихъ частяхъ еллинскаго міра, разсѣяннаго по разнымъ мѣстамъ. Послѣ разгрома Борисѳениты снова заселили городъ, какъ мнѣ кажется, по желанію Скиѳовъ, нуждавшихся въ торговлѣ и посѣщеніяхъ Еллиновъ, которые по разрушеніи города перестали пріѣзжать туда, такъ какъ не находили соплеменниковъ, которые могли бы ихъ принять, а сами Скиѳы не желали и не умѣли устроить имъ торговое мѣсто по еллинскому образцу. О бывшемъ раззореніи свидѣтельствуютъ плохой видъ построекъ и тѣсное расположеніе города на небольшомъ пространствѣ: онъ пристроенъ лишь къ небольшой части прежней городской черты, гдѣ остается еще нѣсколько башенъ, не соотвѣтствующихъ ни величинѣ, ни силѣ *нынѣшняго* города; находящееся между ними пространство тѣсно застроено домишками почти безъ промежутковъ и обнесено очень низенькою и непрочною стѣнкою. Нѣкоторыя башни стоятъ такъ далеко отъ заселенной нынѣ мѣстности, что нельзя даже представить себѣ, чтобы онѣ принадлежали одному городу. Все это служитъ явными признаками его раззоренія, и затѣмъ еще то, что въ храмахъ не осталось ни одной цѣлой статуи, но всѣ онѣ изуродованы, равно какъ и бывшія на надгробныхъ памятникахъ.

Итакъ я сказалъ, что мнѣ случилось прогуливаться передъ городомъ. Нѣкоторые изъ Борисѳенитовъ по обыкновенію выходили ко мнѣ изъ города; потомъ Каллистратъ, возвращаясь верхомъ *въ городъ* извнѣ, сначала проѣхалъ мимо насъ, затѣмъ, немного опередивъ, слѣзъ съ коня и, передавъ его ѣхавшему съ нимъ слугѣ, самъ очень вѣжливо подошелъ, спрятавъ руку подъ плащъ. Онъ былъ опоясанъ большимъ всадническимъ мечемъ, одежду его составляли шаровары и прочее скиѳское убранство, на плечахъ былъ небольшой, тонкій черный плащъ, какой обыкновенно носятъ Борисѳениты. И другая одежда у нихъ по большей части чернаго цвѣта по примѣру одного скиѳскаго племени, которое, какъ мнѣ кажется, отъ этого получило у Еллиновъ названіе Меланхлэновъ (Черноризцевъ). Каллистрату было лѣтъ 18, онъ былъ очень красивъ и высокъ и въ наружности имѣлъ много іоническаго. Про него гово-

Digitized by Google

τῶν ἀρρένων· ὥστε κινδυνεύουσιν ἀναπείθειν καὶ τῶν βαρβάρων ἐνίους οὐκ ἐπ' ἀγαθῷ σχεδόν, ἀλλ' ὡς ἂν ἐκεῖνοι τὸ τοιοῦτον ἀποδέξαιντο, βαρβαρικῶς καὶ οὐκ ἄνευ ὕβρεως.

Εἰδὼς οὖν αὐτὸν φιλόμηρον [p. 51] ὄντα περὶ τούτου εὐθὺς ἐπυνθανόμην. σχεδὸν δὲ καὶ πάντες οἱ Βορυσθενῖται περὶ τὸν ποιητὴν ἐσπουδάκασιν ἴσως διὰ τὸ πολεμικοὶ εἶναι ἔτι νῦν, εἰ μὴ ἄρα καὶ τὴν πρὸς τὸν Ἀχιλλέα εὔνοιαν. τοῦτον μὲν γὰρ ὑπερφυῶς τιμῶσι, καὶ νεὼν τὸν μὲν ἐν τῇ νήσῳ τῇ Ἀχιλλέως καλουμένῃ ἱδρυνται, τὸν δὲ ἐν τῇ πόλει, ὥστε οὐδὲ ἀκούειν ὑπὲρ οὐδενὸς ἄλλου θέλουσιν ἢ Ὁμήρου. καὶ τἆλλα οὐκέτι σαφῶς ἑλληνίζοντες διὰ τὸ ἐν μέσοις οἰκεῖν τοῖς βαρβάροις ὅμως τήν γε Ἰλιάδα ὀλίγου πάντες ἴσασιν ἀπὸ στόματος. εἶπον οὖν προσπαίζων πρὸς αὐτόν, Πότερόν σοι δοκεῖ, ὦ Καλλίστρατε, ἀμείνων ποιητὴς Ὅμηρος ἢ Φωκυλίδης; καὶ ὃς γελάσας ἔφη, Ἀλλ' οὐδὲ ἐπίσταμαι ἔγωγε τοῦ ἑτέρου ποιητοῦ τὸ ὄνομα, οἶμαι δὲ μηδὲ τούτων μηδένα. οὐδὲ γὰρ ἡγούμεθα ἡμεῖς ἄλλον τινὰ ποιητὴν ἢ Ὅμηρον. τοῦτον δὲ σχεδόν τι οὐδὲ ἄλλος οὐδεὶς ἀγνοεῖ. μόνου γὰρ Ὁμήρου μνημονεύουσιν οἱ ποιηταὶ αὐτῶν ἐν τοῖς ποιήμασιν, ἃ καὶ ἄλλως μὲν εἰώθασι λέγειν, ἀεὶ δὲ ὁπόταν μέλλουσι μάχεσθαι παρακελεύωνται τοῖς αὐτῶν [ὥσπερ τὰ Τυρταίου ἐν Λακεδαίμονι ἐλέγετο]. εἰσὶ δὲ πάντες οὗτοι τυφλοὶ καὶ οὐχ ἡγοῦνται δυνατὸν εἶναι ἄλλως τινὰ ποιητὴν γενέσθαι. Τοῦτο μέν, ἔφην, ἀπολελαύκασιν [οἱ ποιηταὶ αὐτῶν] ἀπὸ Ὁμήρου ὥσπερ ἀπὸ ὀφθαλμίας. τὸν δὲ Φωκυλίδην ὑμεῖς μὲν οὐκ ἐπίστασθε, ὡς λέγεις· πάνυ δὲ τῶν ἐνδόξων γέγονε ποιητῶν. ὥσπερ οὖν ἐπειδάν τις τῶν ἐμπόρων καταπλεύσῃ πρὸς ὑμᾶς οὐ πρότερον παραγεγονώς, οὐκ εὐθὺς ἠτιμάσατε αὐτόν, ἀλλὰ πρότερον γευσάμενοι τοῦ οἴνου, κἂν ἄλλο τι φορτίον ἄγῃ, δεῖγμα λαβόντες, ἐὰν μὲν ἀρέσῃ ὑμᾶς, ὠνεῖσθε, εἰ δὲ μή, ἐᾶτε· οὕτως, ἔφην, καὶ τῆς τοῦ Φωκυλίδου ποιήσεως ἔξεστί σοι λαβεῖν [p. 52] δεῖγμα ἔμβραχυ. καὶ γάρ ἐστιν οὐ τῶν μακρὰν τινα καὶ συνεχῆ ποίησιν εἰρόντων, ὥσπερ ὁ ὑμέτερος μίαν ἐξῆς διέξεισι μάχην ἐν πλείοσιν ἢ πεντακισχιλίοις ἔπεσιν, ἀλλὰ κατὰ δύο καὶ τρία ἔπη αὐτῷ καὶ ἀρχὴν ἡ ποίησις καὶ πέρας λαμβάνει· ὥστε καὶ προστίθησι τὸ ὄνομα αὐτοῦ καθ' ἕκαστον διανόημα, ἅτε σπουδαῖον καὶ πολλοῦ ἄξιον ἡγούμενος, οὐχ ὥσπερ Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως ὠνο-

рили, что онъ храбръ на войнѣ и многихъ Савроматовъ или убилъ, или взялъ въ плѣнъ; кромѣ того онъ прилежно занимался краснорѣчіемъ и философіей, такъ что даже выразилъ желаніе уѣхать вмѣстѣ со мною; благодаря всему этому онъ пользовался хорошею репутаціею у согражданъ, но особенно славился онъ красотою и имѣлъ много обожателей. Этотъ *обычай* любовныхъ отношеній къ мужескому полу укоренился у нихъ еще изъ митрополіи; повидимому они научили этому и нѣкоторыхъ варваровъ, конечно не къ добру, а такъ, какъ послѣдніе способны были это перенять, съ варварскою грубостью.

Зная, что Каллистратъ почитатель Омира, я тотчасъ заговорилъ о немъ. Почти всѣ Борисѳениты усердно читаютъ этого поэта, вѣроятно потому, что они и теперь еще воинственны, а можетъ быть вслѣдствіе любви къ Ахиллу: они чрезвычайно чтутъ его, построили ему одинъ храмъ на такъ называемомъ Ахилловомъ островѣ, а другой въ самомъ городѣ, и кромѣ Омира ни о комъ другомъ не хотятъ и слушать. Хотя они по гречески говорятъ не совсѣмъ уже чисто, благодаря тому, что живутъ среди варваровъ, но всетаки Иліаду почти всѣ знаютъ наизустъ. Я шутя сказалъ Каллистрату: «Какъ ты думаешь, Каллистратъ, который поэтъ лучше, Омиръ или Фокилидъ?» — «Да я не знаю и имени другого поэта, съ улыбкою отвѣтилъ Каллистратъ, — да вѣроятно и никто изъ присутствующихъ: мы не признаемъ никого другаго за поэта кромѣ Омира, но за то его знаетъ почти всякій». Въ самомъ дѣлѣ, ихъ поэты упоминаютъ только объ Омирѣ въ своихъ стихотвореніяхъ, которыя читаютъ и въ другихъ случаяхъ, но въ особенности предъ сраженіемъ постоянно возбуждаютъ ими согражданъ (какъ въ Лакедэмонѣ читались стихи Тиртэя). Всѣ они ослѣплены и не допускаютъ даже возможности существованія какого нибудь другаго поэта. «Въ этомъ отношеніи, сказалъ я, Омиръ подѣйствовалъ на вашихъ поэтовъ какъ глазная болѣзнь. Вы не знаете Фокилида, говоришь ты, а между тѣмъ онъ принадлежитъ къ числу знаменитѣйшихъ поэтовъ. Когда къ вамъ пріѣдетъ какой нибудь купецъ, не бывавшій у васъ прежде, вы не сейчасъ же распускаете о немъ дурные слухи, но сперва пробуете его вино или, если онъ привезетъ какой либо другой то-

Digitized by Google

μασεν αὐτόν. ἢ οὐ δοκεῖ σοι εἰκότως προσθεῖναι Φωκυλίδης τῇ τοιαύτῃ γνώμῃ καὶ ἀποφάσει,

καὶ τόδε Φωκυλίδου· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινούσης.

ἀλλ' οὐ πρὸς ὅλην Ἰλιάδα καὶ Ὀδύσσειαν ταῦτα τὰ ἔπη ἐστὶ τοῖς μὴ παρέργως ἀκροωμένοις; ἢ μᾶλλον ὑμῖν ἀκούειν συνέφερε περὶ τῶν τοῦ Ἀχιλλέως πηδήσεών τε καὶ ὁρούσεων καὶ τῆς φωνῆς, ὅτι μόνον φθεγξάμενος ἔτρεπε τοὺς Τρῶας; ταῦτα μᾶλλον ὠφελεῖ ὑμᾶς ἐκμανθάνοντας ἢ ἐκεῖνο, ὅτι ἡ μικρὰ πόλις ἐν τραχεῖ σκοπέλῳ κειμένη κρείττων ἐστὶ καὶ εὐτυχεστέρα κατὰ κόσμον οἰκοῦσα ἢ μεγάλη ἐν λείῳ καὶ πλατεῖ πεδίῳ, ἐάνπερ ἀκόσμως καὶ ἀνόμως ὑπὸ ἀνθρώπων ἀφρόνων οἰκῆται; καὶ ὃς οὐ μάλα ἡδέως ἀποδεξάμενος, Ὦ ξένε, εἶπεν, ὅτι ἡμεῖς σε ἀγαπῶμεν καὶ σφόδρα αἰδούμεθα· ὡς ἄλλως γε οὐδεὶς ἂν ἠνέσχετο Βορυσθενιτῶν εἰς Ὅμηρον καὶ Ἀχιλλέα τοιαῦτα εἰπόντος. ὁ μὲν γὰρ θεὸς ἡμῶν ἐστιν, ὡς ὁρᾷς, ὁ δὲ καὶ σχεδόν τι μετὰ τοὺς θεοὺς τιμᾶται. κἀγὼ πραῦναι βουλόμενος αὐτόν, ἅμα δὲ ἐπί τι χρήσιμον ἀγαγεῖν, Παραιτοῦμαί σε, εἶπον, καθ' Ὅμηρον συγγνώμην ἔχειν μοι, εἴ τι κακὸν νῦν εἴρηται. αὐθις γὰρ ποτε ἐπαινεσόμεθα Ἀχιλλέα τε καὶ Ὅμηρον ὅσα δοκεῖ ἡμῖν [p. 53] ὀρθῶς λέγειν. τὸ δὲ παρὸν σκεπτέον ἂν εἴη τὸ τοῦ Φωκυλίδου· ὡς ἐμοὶ δοκεῖ σφόδρα καλῶς λέγειν ὑπὲρ τῆς πόλεως. Σκόπει, ἔφη, ἐπεὶ καὶ τούσδε ὁρᾷς πάντας ἐπιθυμοῦντας ἀκοῦσαί σου καὶ διὰ τοῦτο συνερρυηκότας δεῦρο πρὸς τὸν ποταμόν, καίτοι οὐ σφόδρα ἀθορύβως ἔχοντας. οἶσθα γὰρ δήπου ὅτι χθὲς οἱ Σκύθαι προσελάσαντες μεσημβρίας τοὺς μέν τινας ἀπέκτειναν τῶν σκοπῶν οὐ προσέχοντας, τοὺς δὲ ἐζωγρήκασιν ἴσως· οὐ γάρ πω ἐπιστάμεθα διὰ τὸ μακροτέραν αὐτοῖς γενέσθαι τὴν συγγένειαν, ἅτε οὐ πρὸς τὴν πόλιν φεύγουσιν. ἦν δὲ τῷ ὄντι ταῦτα οὕτω, καὶ αἵ τε πύλαι συνεκέκλειντο καὶ τὸ σημεῖον ἦρτο ἐπὶ τοῦ τείχους τὸ πολεμικόν. ἀλλ' ὅμως οὕτως ἦσαν ῥιψήκοοι καὶ τῷ τρόπῳ Ἕλληνες, ὥστε μικροῦ δεῖν ἅπαντες παρῆσαν ἐν τοῖς ὅπλοις, βουλόμενοι ἀκούειν. κἀγὼ ἀγάμενος αὐτῶν τὴν προθυμίαν, Βούλεσθε, ἔφην, καθιζώμεθα ἰόντες ποι τῆς πόλεως, τυχὸν γὰρ νῦν οὐ πάντες ὁμοίως ἀκούουσιν ἐν τῷ βαδίζειν, ἀλλ' οἱ ὄπισθεν πράγματα ἔχουσι

варъ, берете его образчикъ и затѣмъ уже, если товаръ понравится, покупаете, а если нѣтъ, то оставляете. Такъ и съ Фокилидовской поэзіей, говорилъ я, можно тебѣ познакомиться по маленькому образчику; онъ вѣдь не принадлежитъ къ числу сплетающихъ длинныя и связныя стихотворенія, какъ вашъ *поэтъ* разсказываетъ объ одной битвѣ болѣе чѣмъ въ 5000 стихахъ,—его стихотвореніе начинается и оканчивается въ двухъ-трехъ стихахъ; поэтому онъ отмѣчаетъ свое имя въ каждой мысли, принимая ее за нѣчто серьезное и цѣнное, не такъ, какъ Омиръ, *который* нигдѣ не назвалъ себя въ поэмахъ. Напр. покажется ли тебѣ, что некстати поставилъ Фокилидъ *свое имя* въ слѣдующемъ изреченіи: «И это Фокилидово: хорошо управляемый маленькій городокъ на утесѣ лучше необузданной Ниневіи». Не стоятъ ли эти стихи для мыслящихъ слушателей цѣлой Иліады и Одиссеи? Неужели вамъ полезнѣе было слушать объ Ахилловыхъ прыжкахъ, нападеніяхъ и голосѣ,—что онъ однимъ крикомъ обратилъ въ бѣгство Троянцевъ? Полезнѣе ли вамъ изучать это, или то, что маленькій городокъ, лежащій на утесистой скалѣ, если обладаетъ правильнымъ устройствомъ, лучше и счастливѣе, чѣмъ большой городъ на гладкой и широкой равнинѣ, если онъ населенъ безумными людьми, не знающими порядка и закона?» Каллистрату слова мои пришлись не особенно по сердцу: «Гость, сказалъ онъ, *дѣло въ томъ*, что мы тебя любимъ и очень уважаемъ: иначе ни одинъ Борисоенитъ не вынесъ бы подобныхъ нападокъ на Омира и Ахилла: послѣдній, какъ ты видишь, нашъ богъ, а первый почитается почти наравнѣ съ богами». Желая смягчить его и вмѣстѣ съ тѣмъ привести къ чему нибудь полезному, я сказалъ: «Прошу тебя извинить меня за Омира, если я сказалъ теперь что нибудь дурное. Когда нибудь въ другой разъ мы похвалимъ и Ахилла съ Омиромъ, по скольку его рѣчи покажутся намъ справедливыми, а теперь разберемъ лучше изреченіе Фокилида: по моему мнѣнію онъ очень хорошо выразился о городѣ». — «Изволь, сказалъ онъ: ты видишь, что и всѣ эти люди желаютъ слушать тебя и для этого собрались сюда къ рѣкѣ, хотя на душѣ у нихъ и не очень спокойно: ты знаешь, конечно, что вчера

καὶ παρέχουσι τοῖς πρὸ αὐτῶν, σπεύδοντες ἐγγυτέρω προσελθεῖν. ὡς δὲ τοῦτο εἶπον, εὐθὺς ὥρμησαν ἅπαντες εἰς τὸ τοῦ Διὸς ἱερόν, οὗπερ εἰώθασι βουλεύεσθαι. καὶ οἱ μὲν πρεσβύτατοι καὶ οἱ γνωριμώτατοι καὶ οἱ ἐν ταῖς ἀρχαῖς κύκλῳ καθίζοντο ἐπὶ βάθρων· τὸ δὲ λοιπὸν πλῆθος ἐφειστήκεσαν. ἦν γὰρ εὐρυχωρία πολλὴ πρὸ τοῦ νεώ. πάνυ οὖν ἄν τις ἥσθη τῇ ὄψει φιλόσοφος ἀνήρ, ὅτι ἅπαντες ἦσαν τὸν ἀρχαῖον τρόπον, ὥς φησιν Ὅμηρος τοὺς Ἕλληνας, κομῶντες καὶ τὰ γένεια ἀφεικότες, εἷς δὲ ἐν αὐτοῖς μόνος ἐξυρημένος, καὶ τοῦτον ἐλοιδόρουν τε καὶ ἐμίσουν ἅπαντες. ἐλέγετο δὲ οὐκ ἄλλως τοῦτο ἐπιτηδεύειν, ἀλλὰ κολακεύων Ῥωμαίους καὶ τὴν πρὸς αὐτοὺς φιλίαν ἐπιδεικνύμενος· ὥστε εἶδεν [p. 54] ἄν τις ἐπ' ἐκείνου τὸ αἰσχρὸν τοῦ πράγματος καὶ οὐδαμῇ πρέπον ἀνδράσιν. ἐπεὶ δὲ ἡσυχία ἐγένετο, εἶπον ὅτι δοκοῦσί μοι ὀρθῶς ποιεῖν, πόλιν οἰκοῦντες ἀρχαίαν καὶ Ἑλληνίδα, βουλόμενοι ἀκοῦσαι περὶ πόλεως...

въ полдень Скипы сдѣлали набѣгъ и нѣкоторыхъ зазѣвавшихся часовыхъ убили, другихъ, можетъ быть, увели въ плѣнъ: мы еще не имѣемъ опредѣленныхъ свѣдѣній вслѣдствіе того, что бѣжавшіе забрались слишкомъ далеко, бросившись бѣжать не по *направленію* къ городу». Дѣйствительно, все это такъ и было: ворота были на запорѣ, и на стѣнѣ водружено было военное знамя. Однако они такъ были любознательны и такіе Эллины по характеру, что почти всѣ собрались въ вооруженіи, желая слушать. Съ удовольствіемъ замѣтивъ ихъ готовность, я сказалъ: «Не хотите ли пойдти куда нибудь въ городъ и сѣсть? Теперь, при ходьбѣ, можетъ быть, не всѣмъ одинаково хорошо слушать: стоящіе дальше чувствуютъ неудобство и безпокоятъ стоящихъ предъ ними, стараясь пробраться поближе». Лишь только я сказалъ это, всѣ тотчасъ бросились къ храму Зевса, гдѣ они обыкновенно совѣщаются. Старѣйшіе и почетнѣйшіе граждане и должностныя лица усѣлись кругомъ на ступеняхъ, а остальная толпа осталась на ногахъ, такъ какъ предъ храмомъ былъ большой просторъ. Философу очень понравилось бы это зрѣлище: всѣ они были на древній манеръ, какъ говоритъ Омиръ объ Эллинахъ, длинноволосые и бородатые, одинъ только между ними былъ выбритъ, и его всѣ поносили и ненавидѣли: говорили, что онъ сдѣлалъ это не по другой какой либо причинѣ, а изъ желанія польстить Римлянамъ и доказать свою дружбу къ нимъ, такъ что на немъ можно было видѣть весь позоръ такого поступка и крайнее его неприличіе для мужей. Когда водворилась тишина, я сказалъ, что мнѣ кажется справедливымъ выраженное ими, жителями старинаго эллинскаго города, желаніе выслушать рѣчь о государствѣ...

(Произнесенная затѣмъ Діономъ рѣчь не имѣетъ отношенія къ Ольвіи и потому опускается здѣсь за исключеніемъ вставленнаго въ нее разговора оратора съ однимъ изъ слушателей).

[P. 56] Μεταξὺ δὲ τῶν παρόντων εἷς ἐφθέγξατο εἰς τὸ μέσον, ὥσπερ ἦν πρεσβύτατος αὐτῶν καὶ μέγιστον ἀξίωμα ἔχων. εἶπε δὲ πάνυ εὐλαβούμενος, Μηδαμῶς, ὦ ξένε, ἄγροικον μηδὲ βαρβαρικὸν ἡγήσῃ τὸ τοιοῦτον, ὅτι μεταξὺ λέγοντί σοι ἐμπεσὼν ἐγενόμην. παρ' ὑμῖν μὲν γὰρ οὐκ ἔθος ἐστὶ τὸ τοιοῦτον διὰ τὸ πολλὴν ἀφθονίαν εἶναι τῶν ἐκ φιλοσοφίας λόγων καὶ περὶ παντὸς

«Между тѣмъ одинъ изъ присутствовавшихъ, старѣйшій по лѣтамъ и пользовавшійся величайшимъ уваженіемъ, возвысилъ голосъ и очень вѣжливо сказалъ: «Гость, пожалуйста не сочти за невѣжество или варварство, что я помѣшалъ тебѣ среди рѣчи. У васъ не въ обычаѣ такіе поступки вслѣдствіе большаго изобилія философскихъ рѣчей и возможности каждому слышать

Digitized by Google

ὅτου ἂν ἐπιθυμῇ τις ἐξεῖναι παρὰ πολλῶν ἀκοῦσαι· παρ' ἡμῖν δὲ ὥσπερ τέρας τι τοῦτο πέφηνε τὸ σὲ ἡμῖν ἀφικέσθαι. τὸ δὲ λοιπὸν σχεδόν τι δεῦρο ἀφικνοῦνται ὀνόματι Ἕλληνες, τῇ δὲ ἀληθείᾳ βαρβαρώτεροι ἡμῶν, ἔμποροι καὶ ἀγοραῖοι, ῥάκη φαῦλα καὶ οἶνον πονηρὸν εἰσκομίζοντες καὶ τά γε παρ' ἡμῶν οὐδὲν βελτίω τούτων ἐξαγόμενοι. σὲ δὲ αὐτὸς ἡμῖν ὁ Ἀχιλλεὺς ἔοικε δεῦρο ἀπὸ τῆς νήσου διαπέμψαι, καί σε πάνυ μὲν ἡδέως ὁρῶμεν, πάνυ δὲ ἡδέως ἀκούομεν ὅ, τι ἂν λέγῃς. οὐ μέντοι πολύν τινα χρόνον ἡγούμεθα ἔσεσθαι τοῦτον οὐδὲ βουλόμεθα, ἀλλά σε εὖ πράξαντα οἴκαδε κατελθεῖν τὴν ταχίστην. νῦν οὖν ἐπεὶ ἥψω τῷ λόγῳ τῆς θείας διοικήσεως, αὐτός τε ἀνεπτέρωμαι δαιμονίως καὶ τούσδε ὁρῶ πάντας ὀργῶντας πρὸς ἐκεῖνον τὸν λόγον· καὶ γὰρ ἡμῖν ἔδοξας μεγαλοπρεπῶς καὶ τοῦ πράγματος οὐκ ἀναξίως ὅσα εἶπας εἰρηκέναι, ὡς ἂν μάλιστα ἡμεῖς βουλοίμεθα ἀκοῦσαι. τῆς μὲν γὰρ ἀκριβεστέρας ταύτης φιλοσοφίας ἄπειροί ἐσμεν, Ὁμήρου δέ, ὡς οἶσθα, ἐρασταὶ καί τινες οὐ πολλοὶ Πλάτωνος· ὧν δὴ κἀμὲ ὁρᾷς ὄντα, ἀεί ποτε ἐντυγχάνοντα τοῖς ἐκείνου ὅπως ἂν δύνωμαι· καίτοι ἴσως ἄτοπον βαρβαρίζοντα τῶν πολιτῶν μάλιστα τῷ ἑλληνικωτάτῳ καὶ σοφωτάτῳ χαίρειν καὶ συνεῖναι, καθάπερ εἴ τις [p. 57] μικροῦ τυφλὸς τὸ μὲν ἄλλο ὁρῷς ἀποστρέφοιτο, πρὸς αὐτὸν δὲ τὸν ἥλιον ἀναβλέποι. ἔχει μὲν δὴ τὰ ἡμέτερα οὕτω. σὺ δὲ εἰ θέλεις πᾶσιν ἡμῖν χαρίσασθαι, τὸν μὲν ὑπὲρ τῆς θνητῆς πόλεως ἀναβαλοῦ λόγον, ἐὰν ἄρα σχολὴν ἡμῖν οἱ γείτονες παράσχωσιν εἰς αὔριον καὶ μὴ δέῃ προσγυμνάζεσθαι αὐτοῖς, ὥσπερ ἔθος ἡμῖν τὸ πολύ. περὶ δὲ τῆς θείας, εἴτε πόλεως εἴτε διακοσμήσεως φίλον σοι καλεῖν, εἰπὲ ὅπῃ τε καὶ ὅπως ἔχει, ὡς δύνασαι ἐγγύτατα τείνων τῆς τοῦ Πλάτωνος ἐλευθερίας περὶ τὴν φράσιν, οἷον δὴ καὶ ἄρτι ποιεῖν ἡμῖν ἔδοξας. εἰ γὰρ μηδενὸς ἄλλου, τῆς γε φωνῆς συνίεμεν ὑπὸ συνηθείας ὅτι οὐ μικρὸν οὐδὲ πόρρω τοῦ Ὁμήρου φθέγγεται. κἀγὼ σφόδρα γε ἡσθην τῇ ἁπλότητι τοῦ πρεσβύτου, καὶ γελάσας εἶπον, Ὦ φίλε Ἱεροσῶν, εἴ με ἐκέλευες χθὲς εἰσβεβληκότων ὑμῖν τῶν πολεμίων λαβόντα ὅπλα ὥσπερ τὸν Ἀχιλλέα μάχεσθαι, τὸ μὲν ἕτερον ἐπείσθην ἄν, πειρώμενος ἀμύνεσθαι ὑπὲρ ἀνδρῶν φίλων, τὸ δὲ ἕτερον οὐκ ἂν οἶμαι ἐδυνάμην, καίτοι σφόδρα βουλόμενος, ὁμοίως τῷ Ἀχιλλεῖ ἀγωνίζεσθαι. καὶ νῦν ὧν κελεύεις ποιήσω

отъ многихъ, что бы кто ни пожелалъ; у насъ же твое прибытіе къ намъ является какъ бы чудомъ: обыкновенно сюда пріѣзжаютъ Еллины только по имени, а на дѣлѣ варвары хуже насъ, купцы и торгаши, привозящіе дрянное тряпье и скверное вино и вывозящіе наши товары нисколько не лучше этихъ. Тебя же, кажется, самъ Ахиллъ прислалъ сюда съ своего острова, и мы съ большимъ удовольствіемъ видимъ тебя и съ неменьшимъ слушаемъ все, что ты говоришь. Однако мы не думаемъ, что это время будетъ очень продолжительно, да и не хотимъ этого, а *напротивъ желаемъ* тебѣ въ полномъ благополучіи какъ можно скорѣе возвратиться домой. Теперь, когда ты коснулся въ своей рѣчи божественнаго міроправленія, я самъ пришелъ въ чудный восторгъ и вижу, что всѣ присутствующіе напряженно внимаютъ этой рѣчи: все сказанное тобою намъ показалось превосходнымъ и достойнымъ предмета рѣчи, какъ мы именно больше всего желали бы слушать. Мы неопытны въ этой точной философіи, но любимъ, какъ ты знаешь, Омира, а немногіе *изъ насъ* и Платона; къ числу ихъ, какъ видишь, принадлежу и я, постоянно изучая его произведенія, какъ могу, хотя, быть можетъ, и странно, чтобы наиболѣе похожій на варвара гражданинъ восхищался и занимался лучшимъ представителемъ эллинизма и мудрости, все равно какъ еслибы какой нибудь полуслѣпой смотрѣлъ только на солнце, отворачиваясь отъ другаго свѣта. Таково наше положеніе. Ты же, если хочешь всѣмъ намъ угодить, отложи рѣчь о человѣческомъ государствѣ, если только сосѣди на завтра оставятъ насъ въ покоѣ и не нужно будетъ возиться съ ними, какъ это обыкновенно случается, а теперь скажи намъ о божественномъ (*міро*)правленіи или (*міро*)устройствѣ, называй какъ тебѣ угодно,— скажи, какъ оно составилось и въ чемъ состоитъ, и придерживайся какъ можно ближе Платоновой непринужденности въ изложеніи, что, впрочемъ, ты и сейчасъ дѣлалъ, какъ намъ показалось. Если мы не понимаемъ *въ немъ* ничего больше, то по крайней мѣрѣ, благодаря привычкѣ, понимаемъ его языкъ, возвышенный и близкій къ омировскому». Мнѣ очень понравилась эта простота старца, и я съ улыбкою отвѣчалъ: «Любезный Іеросонтъ, еслибы вчера, при

Digitized by Google

τὸ ἕτερον, προθυμήσομαι εἰπεῖν τὸν λόγον, ὡς ἂν ἐγὼ δύνωμαι κατ' ἐμαυτόν·

ἀνδράσι δὲ προτέροισιν ἐριζέμεν οὐκ ἐθελήσω,

οὔτε Πλάτωνι οὔτε Ὁμήρῳ. οὐ γάρ τοι οὐδὲ τῷ Εὐρύτῳ φησὶ συνενεγκεῖν ὁ ποιητὴς ὅτι ἤριζε πρὸς τοὺς κρείττονας. οὐ μέντοι σπουδῆς γε, ἔφην, οὐδὲν ἀπολείψομεν. ταῦτα δὲ εἰπὼν πρὸς ἐκεῖνον οὐδὲν ἧττον ὑπεκινούμην καὶ ἀνεφερόμην τρόπον τινὰ ἀναμνησθεὶς Πλάτωνός τε καὶ Ὁμήρου...

нападеніи непріятелей, ты пригласилъ меня взять оружіе и сражаться по-Ахилловски, то въ первомъ я послушался бы тебя и постарался бы биться за друзей, но втораго, думаю, при всемъ желаніи не могъ бы исполнить, т. е. сражаться подобно Ахиллу. Такъ и теперь я исполню одну часть твоей просьбы, именно постараюсь сказать рѣчь, какъ только позволятъ мнѣ мои силы, «но съ лучшими мужами состязаться не захочу», ни съ Платономъ, ни съ Омиромъ: вѣдь и Евриту, по словамъ поэта, плохо пришлось, когда онъ вздумалъ состязаться съ лучшими. Впрочемъ въ стараніи, сказалъ я, у меня недостатка не будетъ». Такъ говорилъ я ему, но тѣмъ не менѣе самъ до нѣкоторой степени воодушевлялся и увлекался воспоминаніемъ о Платонѣ и Омирѣ...

ΔΙΟΝΥΣΙΟΥ

ДІОНИСІЯ

ΟΙΚΟΥΜΕΝΗΣ ΠΕΡΙΗΓΗΣΙΣ.

ОПИСАНІЕ НАСЕЛЕННОЙ ЗЕМЛИ.

Долгое время не было извѣстно съ достовѣрностью, которому изъ многочисленныхъ писателей, носившихъ имя Діонисія, принадлежитъ это стихотворное описаніе земли и когда оно написано. Лишь недавно нѣмецкій ученый G. Leue (Philologus, т. 42, стр. 175 сл.; ср. A. Nauck, Hermes 24, стр. 325) открылъ въ двухъ мѣстахъ землеописанія (ст. 109 сл. и 513 сл.) акростихи, изъ которыхъ видно, что авторъ землеописанія былъ родомъ изъ Эгипта (τῶν ἐντὸς Φάρου) и писалъ при Адріанѣ (ἐπὶ Ἀδριανοῦ) О Діонисіяхъ, которымъ приписывалось это сочиненіе, см. C. Müller, Geogr. Gr. min. v. II, p. XV sq.).—Текстъ: Geographi Graeci minores. E codicibus recognovit... Carolus Müllerus. Vol. II (Paris. 1882), p. 103 sq. Подъ текстомъ приводятся соотвѣтствующія мѣста изъ прозаическаго пересказа (παράφρασις), сдѣланнаго въ византійскія времена и изданнаго Мюллеромъ ibid., p. 409 sq. Разночтенія рукописей не приводятся, такъ какъ въ случаѣ надобности ихъ легко найдти у Мюллера.

Переводъ **И. П. Цвѣткова**.

Vv. 14—22. Границы материковъ.

Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ μέσσον ὁρίζει,
ὃς ῥά θ' ἑλισσόμενος γαίης διὰ Σαυροματάων,
σύρεται ἐς Σκυθίην τε καὶ ἐς Μαιώτιδα λίμνην,
πρὸς βορέην· νότιον δὲ μεσούριον Ἑλλήσποντος·
σῆμα δ' ὑπερτέταται νοτιώτερον ἐς στόμα Νείλου·

Европу отъ Азіи отдѣляетъ по срединѣ Танаидъ, который, катясь черезъ землю Савроматовъ, течетъ въ Скиѳію и въ Меотійское озеро на сѣверѣ; южной-же границей служитъ Геллеспонтъ, а болѣе южный предѣлъ протянутъ чрезъ устье Нила. Другіе раздѣляютъ землю по материкамъ. Возвышается нѣкій перешеекъ, крайній предѣлъ Азіатской земли, между

ΠΑΡΑΦΡΑΣΙΣ. Vv. 14—22. Τὴν δὲ Εὐρώπην καὶ Ἀσίαν ὁ Τάναϊς μέσον διαχωρίζει. Τάναϊς δὲ λέγεται διὰ τὸ τεταμένως ῥεῖν· ὅστις δὴ συστρεφόμενος ἐπὶ τὴν Σαυροματῶν γῆν σύρεται καὶ ἐπὶ τὴν Σκυθίαν καὶ ἐπὶ τὴν Μαιώτιδα λίμνην πρὸς βορρᾶν, ὡς μέχρι τοῦ Ἑλλησπόντου τὰ βόρεια αὐτοῦ ὁρίζοντος. Μεσούριον δὲ εἶπε τὸ μέσον ὅριον, οἱονεὶ διαχώρισμα· τοῦ γὰρ Ἑλλησπόντου νοτιώτερον. Τὸ δὲ νότιον μέρος Ἑλλήσποντός ἐστι

Digitized by Google

Ἄλλοι δ' ἠπείροισι διὰ χθόνα νοσφίζουσιν.
Ἰσθμὸς ἄνω τέταταί τις ὑπέρτατος Ἀσίδος αἴης,
Κασπίης τε μεσηγὺ καὶ Εὐξείνοιο θαλάσσης·
κεῖνον δ' Εὐρώπης Ἀσίης θ' ὅρον ηὐδάξαντο·

Каспійскимъ и Евксинскимъ морями: его-то и приняли границею между Европой и Азіей.

Vv. 27—35. Океанъ.

πάντη δ' ἀκαμάτου φέρεται ῥόος Ὠκεανοῖο,
εἷς μὲν ἐών, πολλῇσι δ' ἐπωνυμίῃσιν ἀρηρώς·
ἤτοι ὁ μὲν Λοκροῖο παρ' ἐσχατίην ζεφύροιο
Ἄτλας ἐσπέριος κικλήσκεται, αὐτὰρ ὕπερθεν
πρὸς βορέην, ἵνα παῖδες ἀρειμανέων Ἀριμασπῶν,
πόντον μιν καλέουσι πεπηγότα τε Κρόνιόν τε·
ἄλλοι δ' αὖ καὶ νεκρὸν ἐφήμισαν εἵνεκ' ἀφαυροῦ
ἠελίου· βράδιον γὰρ ὑπεὶρ ἅλα τήνδε φαείνει,
αἰεὶ δὲ σκιερῇσι παχύνεται ἐν νεφέλῃσιν·

Повсюду несется теченіе неутомимаго Океана — одно и то же, но различающееся многими названіями: находящійся у крайнихъ предѣловъ локрійскаго Зефира называется западнымъ Атлантомъ, а вверху, на сѣверѣ, гдѣ *живутъ* сыны непстовыхъ Аримасповъ, онъ называется Ледовитымъ и Кронійскимъ моремъ; другіе называли его и Мертвымъ вслѣдствіе слабаго солнечнаго освѣщенія: *солнце* рѣдко свѣтитъ надъ этимъ моремъ и почти постоянно скрывается въ мрачныхъ густыхъ облакахъ...

Vv. 47—50. Каспійскій заливъ.

δεύτερον αὖτ' ὀλίγον μέν, ἀτὰρ προφερέστατον ἄλλων,
ὅστ' ἀποκιδνάμενος Κρονίης ἁλὸς ἐκ βορέαο
Κασπίῃ αἰπὺ ῥέεθρον ἐπιπροπίῃσι θαλάσσῃ.
ἤντε καὶ Ὑρκανίην ἕτεροι διεφημίξαντο.

Второй заливъ, небольшой, но важнѣйшій изъ *всѣхъ* прочихъ, тотъ, который, начинаясь съ сѣвера отъ Кронійскаго моря, несетъ свои глубокія волны въ Каспійское море, которое другіе называютъ Иркапскимъ.

Σῆμα δέ, ὅ ἐστι διαχώρισμα, ὑπερτετάνυσται νοτιώτερον ἐπὶ τὸ Ἡρακλεωτικὸν στόμα. Ἄλλοι δὲ πάλιν ταῖς ἠπείροις τὴν γῆν οὕτω διαχωρίζουσιν. Ἰσθμὸς ἄνω τετάνυσται ὑπέρτατος τῆς Ἀσιάδος γαίης, ἀναμεταξὺ τῆς Κασπίας θαλάσσης καὶ τοῦ Εὐξείνου πελάγους· ἰσθμὸς δὲ λέγεται στενὴ γῆ μεταξὺ δύο θαλασσῶν· ἐκεῖνον δὲ τὸν ἰσθμὸν τῆς Ἀσίας καὶ τῆς Εὐρώπης ὅρον εἶπον.

27—35. Πανταχοῦ δὲ τοῦ ἀκαμάτου, ὅ ἐστι τοῦ ἀεικινήτου, ὠκεανοῦ ὁ ῥοῦς φέρεται, εἷς μὲν ὑπάρχων, πολλαῖς δὲ ἐπωνυμίαις ἀρηρώς, ἤγουν ἡρμοσμένος. Καὶ οὗτος μὲν ὁ ὠκεανὸς περὶ τὴν ἐσχατιὰν τοῦ Λοκροῦ ζεφύρου, ἤτοι τοῦ δυτικοῦ, ἢ μᾶλλον τοῦ Ἰταλικοῦ (καὶ γάρ εἰσιν ἐν Ἰταλίᾳ Ἐπιζεφύριοι Λοκροί) Ἄτλας καλεῖται ἐσπέριος. Ὑπερθεν δὲ πρὸς βορρᾶν, ὅπου οἱ παῖδες, ἤτοι τὸ ἔθνος, τῶν πολεμιστῶν Ἀριμασπῶν, Κρόνιον τε καὶ πεπηγότα κόλπον καλοῦσιν [ἄλλοι δὲ πεπηγίτα τοῦτον τὸν Κρόνιον πόντον καλοῦσι διὰ τὸ ψυχρὸν τῶν τόπων, ὡς πηγνυμένου αὐτοῦ], καὶ νεκρὸν εἶπον διὰ τὸ ἀσθενὲς τοῦ ἡλίου· βραδέως γὰρ ἡ ὀλίγον ὑπεράνω ἐκείνης τῆς θαλάσσης φαείνει, πανταχοῦ δὲ ὑπὸ τῶν σκιερῶν νεφελῶν παχύνεται καὶ πυκνοῦται.

47—50. Δεύτερος δὲ [κόλπος], κατ' ὀλίγον μὲν μικρότερος τοῦ πρώτου, προφερέστατος δέ, ἤτοι μείζων τῶν ἄλλων, ὅστις ἀπὸ τῆς Κρονίας θαλάσσης ἀπὸ τοῦ βορρᾶ διασκορπιζόμενος τῇ Κασπίᾳ θαλάσσῃ τὸ δεινὸν αὐτοῦ ῥεῖθρον, ἤτοι τὴν πρόχυσιν τοῦ ὠκεανοῦ, ἐπιπέμπει. Ἄλλοι δὲ Ὑρκανίαν θάλασσαν αὐτὴν εἶπον.

Digitized by Google

Vv. 142—168. Понтъ Евксинскій.

Στεινότατος δὴ κεῖνος ἁπάντων ἔπλετο πορθμὸς
τῶν ἄλλων, οἵτ' εἰσὶ πολυκλύστοιο θαλάσσης,
Κυανέας ὅθι μῦθος ἀναιδέας εἰν ἁλὶ πέτρας
πλαζομένας καναχηδὸν ἐπ' ἀλλήλῃσι φέρεσθαι.
Ἐκ δὲ τοῦ οἰγόμενος παραπέπταται ἀνδράσι Πόντος
πολλὸς ἐὼν καὶ πολλὸν ἐπ' ἀντολίης μυχὸν ἕρπων.
Τοῦ δ' ἤτοι λοξαὶ μὲν ἐπιτροχάουσι κέλευθοι,
αἰεὶ πρὸς βορέην τε καὶ ἀντολίην ὁρόωσαι·
μέσσαι δ' ἔνθα καὶ ἔνθα δύω ἀνέχουσι κολῶναι,
ἡ μὲν ὑπερνοτίη, τήν τε κλείουσι Κάραμβιν,
ἡ δὲ βορειοτέρη γαίης ὑπὲρ Εὐρωπείης,
τήν ῥα περικτίονες Κριοῦ καλέουσι μέτωπον·
αἵτ' ἄμφω ξυνίασιν ἐναντίαι, οὐ μὲν ἐοῦσαι
ἐγγύθεν, ἀλλ' ὅσον ὁλκὰς ἐπὶ τρίτον ἦμαρ ἀνύσσαι.
Ἐκ τοῦ δ' ἂν καὶ Πόντον ἴδοις διθάλασσον ἐόντα,
τόρνῳ ἐειδόμενον περιηγέος ἄμματι τόξου·
ἀλλ' εἴη νευρῆς σημήια δεξιὰ Πόντου,
ἰθὺ διαγραφθέντα, μόνη δέ τοί ἐστι Κάραμβις,
γραμμῆς ἐκτὸς ἐοῦσα καὶ ἐς βορέην ὁρόωσα·

Этотъ проливъ [Воспоръ Оракійскій] уже всѣхъ прочихъ, которые находятся въ волнистомъ морѣ. По миѳическому преданію здѣсь безбожныя Кіанейскія скалы, плавая *по морю*, съ шумомъ ударяются одна о другую. За нимъ широко открывается людямъ обширный Понтъ, образующій пространный заливъ къ востоку; въ этомъ морѣ пути имѣютъ косвенное направленіе, будучи всегда обращены къ сѣверу и востоку. А по срединѣ съ обѣихъ сторонъ выдаются въ море два мыса, одинъ — южный, называемый Карамвидомъ, другой— сѣверный, возвышающійся надъ Европейской землей и называемый туземцами Бараньимъ лбомъ; оба эти мыса сближаются другъ съ другомъ, хотя и не слишкомъ близко, а на такое разстояніе, какое грузовое судно проходитъ въ три дня. Отсюда можно увидѣть, что Понтъ состоитъ *какъ-бы* изъ двухъ морей и по своей округлости похожъ на сгибъ согнутаго лука: правый берегъ Понта представляетъ собою тетиву, такъ какъ описываетъ прямую линію, и только одинъ Карамвидъ выходитъ за эту линію и смотритъ къ сѣверу; видъ же роговъ представляетъ лѣвый берегъ, который извивается двумя изгибами, похожій на отрожья лука. Къ сѣверу отъ Понта разлились воды Меотійскаго озера, вокругъ котораго обитаютъ Скиѳы, безчисленный народъ; Меотиду называютъ матерью Понта, такъ какъ изъ нея выходитъ огромная масса воды Понта прямо черезъ Кимме-

142—168. Ἐκεῖνος δὲ [*sc.* ὁ Θρακικὸς Βόσπορος]... στενώτατος ὑπάρχει πορθμός, ὑπὲρ τοὺς ἄλλους δηλονότι πορθμοὺς οἵπερ εἰσὶ τῆς Εὐβοίας καὶ Σικελίας· ὅπου ὁ μῦθος ἐν τῇ θαλάσσῃ τὰς τραχείας πλανωμένας πέτρας, τὰς Κυανέας καὶ Συμπληγάδας λεγομένας, ἐπ' ἀλλήλαις μετὰ κτύπου πολλοῦ κινεῖσθαι. Ἐκ τούτου δὲ τοῦ Βοσπόρου ἀνοιγόμενος ὁ Εὔξεινος πόντος παραπέπταται, μέγιστος ὢν καὶ σύρων ἐπὶ τὸ ἐσώτερον μέρος πρὸς τὰς ἀνατολάς. Τούτου δὲ τοῦ πόντου ἀεὶ μὲν καὶ διαπαντὸς λοξαὶ ὁδοὶ ἐπιτρέχουσι, πρὸς βορρᾶν καὶ ἀνατολὰς τὴν φορὰν καὶ ἀνάνευσιν ποιούμεναι, τουτέστι πρὸς Κιμμέριον Βόσπορον καὶ τὴν τῶν Κόλχων χώραν καὶ Φᾶσιν ποταμόν. Μέσαι δ' ἔνθα κἀκεῖσε δύο ὑψηλαὶ ἄκραι εἰς τὸν πόντον ἔκκεινται, ὧν ἡ μὲν πρὸς νότον τῆς Ἀσίας, ἥντινα Κάραμβιν καλοῦσιν· ἡ δὲ ὡς πρὸς βορρᾶν ἔκκειται ὑπεράνω τῆς Εὐρωπείας γῆς, ἥντινα οἱ περίοικοι καὶ Κριοῦ καλοῦσι μέτωπον, ἔστι δὲ τῆς Ταυρικῆς χερρονήσου. Αἵτινες ἄκραι ἐναντίαι ἀλλήλαις συνέρχονται, οὐδαμῶς οὖσαι πλησίον ἀλλήλων, ἀλλ' ὁπόσον ἐστὶν ὁλκάδα ἡ ναῦν ἐπὶ τρεῖς ἡμέρας διαπεράσαι. Ἐξ ἐκείνου δὲ ἴδοις ἂν καὶ διθάλασσον ὑπάρχοντα τὸν Πόντον, τῇ περιφερείᾳ κυκλοτεροῦς τόξου νευρᾷ ὁμοιούμενον. Ἀλλὰ γένοιτο νευρᾶς σημεῖα τὰ δεξιὰ τοῦ Πόντου κατ' εὐθεῖαν διαγραφέντα· μόνη δὲ τῆς διατυπώσεως ταύτης ἔξωθεν οὖσα καὶ ἐπὶ τὸν βορρᾶν ὁρῶσα ὑπάρχει ἡ Κάραμβις, ὁ δὲ ἀριστερὸς πόρος κεράτων ἔχει σημεῖον. Εἰς δισσὴν γὰρ συστροφὴν κέρασι τόξου ὁμοιούμενος συστρέφεται, τουτέστιν εἰς δύο μεγίστους κόλπους κυρτοῦται. Ὑπὲρ τοῦ Εὐξείνου πόντου πρὸς βορρᾶν

Digitized by Google

σῆμα δ' ἔχει κεράων σκαιὸς πόρος, ὅστ' ἐπὶ δισσὴν
εἰλεῖται στροφάλιγγα, βιοῦ κεράεσσιν ἐοικώς.
Τοῦ καὶ πρὸς βορέην Μαιώτιδος ὕδατα λίμνης
ἐγκέχυται. Τῇ μέν τε πέρι Σκύθαι ἀμφινέμονται,
ἄνδρες ἀπειρέσιοι, καλέουσι δὲ μητέρα Πόντου·
ἐκ τῆς γὰρ Πόντοιο τὸ μυρίον ἕλκεται ὕδωρ
ὀρθὸν Κιμμερίου διὰ Βοσπόρου, ᾧ ἔνι πολλοὶ
Κιμμέριοι ναίουσιν ὑπὸ ψυχρῷ ποδὶ Ταύρου.

рійскій Воспоръ, по которому живетъ много Киммерійцевъ у холодной подошвы Тавра.

Vv. 298—320. Описаніе сѣверо-востока Европы.

Ῥήνῳ δ' ἐξείης ἐπιτέλλεται ἱερὸς Ἴστρος,
Ἴστρος, ἐς ἀντολίην τετραμμένος ἄχρι θαλάσσης
Εὐξείνου, τόθι πᾶσαν ἐρεύγεται ὕδατος ἄχνην,
πενταπόροις προχοῇσιν ἐλισσόμενος περὶ Πεύκην.
Τοῦ μὲν πρὸς βορέην τετανυσμένα φῦλα κέχυνται
πολλὰ μάλ' ἐξείης Μαιώτιδος ἐς στόμα λίμνης,
Γερμανοὶ Σαμάται τε Γέται θ' ἅμα Βαστάρναι τε,
Δακῶν τ' ἄσπετος αἶα καὶ ἀλκήεντες Ἀλανοί,
Ταῦροί θ', οἳ ναίουσιν Ἀχιλλῆος δρόμον αἰπύν,
στεινὸν ὁμοῦ δολιχόν τε, καὶ αὐτῆς ἐς στόμα λίμνης.
Τῶν δ' ὕπερ ἐκτέταται πολυίππων φῦλον Ἀγαυῶν·

Недалеко отъ Рейна начинается священный Истръ, текущій на востокъ до Евксинскаго моря, въ которое онъ извергаетъ всю пѣну своихъ волнъ, изливаясь пятью устьями у Певки. Къ сѣверу отъ него на широкомъ пространствѣ живетъ множество племенъ вплоть до устья Меотійскаго озера: Германцы, Саматы, Геты и Вастарны, неизмѣримая земля Даковъ и храбрые Аланы, Тавры, населяющіе крутой, узкій и длинный Бѣгъ Ахилла и далѣе живущіе до устья самаго озера. Выше ихъ живетъ племя богатыхъ конями Агавовъ, а тамъ— Меланхлэны, Иппимолги [Довтели кобылицъ], Невры, Иппоподы [Коненогіе], Гелоны и Агаѳирсы. Здѣсь вливаются въ Евксинъ широко разлившіяся воды рѣки Борисѳена, передъ Бараньимъ лбомъ, прямо противъ Кіанеевъ. Тамъ-же воды Алиска и Пантикапа шумятъ въ двухъ мѣстахъ въ Рипейскихъ горахъ. При устьяхъ

τῆς Μαιώτιδος λίμνης ὕδατα ἐκκέχυται. Περὶ ταύτην οἱ Σκύθαι, πολλοὶ καὶ ἄπειροι ἄνδρες, κατοικοῦσι· καλοῦσι δὲ ταύτην τὴν Μαιώτιδα λίμνην καὶ μητέρα τοῦ Πόντου· ἐκ ταύτης γὰρ διὰ Κιμμερίου Βοσπόρου τὸ πολὺ καὶ ἄπειρον ὕδωρ ὀρθὸν διασύρεται καὶ εἰς τὸν Πόντον ἐκβάλλει. Παρ' ᾧτινι Κιμμερίῳ Βοσπόρῳ πολλοὶ Κιμμέριοι κατοικοῦσι πρὸς τὰ ἔσχατα καὶ κατώτατα μέρη τοῦ ὑψηλοῦ ὄρους Ταύρου. Τοιαύτη μὲν ἡ μορφὴ καὶ τὸ σχῆμα τῆς μελανιζούσης θαλάσσης τῆς καθ' ἡμᾶς.

298—320. Ἐφεξῆς δὲ ἐπὶ τῷ Ῥήνῳ ἐπεκτείνεται, ἤγουν τὰς πηγὰς ἔχει, ὁ μέγας Ἴστρος, ὅστις ἐστὶν ὁ Δάνουβις, ἐπὶ τὴν ἀνατολὴν ἐστραμμένος, πλησίον τοῦ Εὐξείνου πόντου, εἰς ὃν πάντα τὸν ἀφρὸν τοῦ ὕδατος ἐρεύγεται ἢ ἐκβάλλει διὰ πέντε στομάτων, συστρεφόμενος περὶ τὴν Πεύκην νῆσον, ἣν ὁ Ἴστρος ἀποτελεῖ. Ἐπὶ μὲν τὸ βόρειον αὐτοῦ μέρος πολλοὶ λίαν καὶ πάνυ ἐφαπλούμενα κέχυνται ἔθνη ἕως τοῦ στόματος τῆς Μαιώτιδος λίμνης, Γερμανοί, Σαρμάται, Γέται τε ὁμοῦ καὶ Βαστάρναι καὶ ἡ τῶν Δακῶν πολλὴ καὶ ἀπλήρωτος γῆ, καὶ οἱ ἄλκιμοι ἢ δυνατώτατοι Ἀλανοὶ καὶ οἱ Ταῦροι, οἵτινες ἐπὶ τὸν δεινὸν τοῦ Ἀχιλλέως δρόμον οἰκοῦσι, στενὸν ὁμοῦ καὶ μακρόν, καὶ ἐπ' αὐτὸ τὸ στόμα

Digitized by Google

ἔνθα Μελάγγλαινοί τε καὶ ἀνέρες Ἱππημολγοί,
Νευροί θ' Ἱππόποδές τε Γελωνοί τ' ἠδ' Ἀγάθυρσοι·
ἦχι Βορυσθένεος ποταμοῦ τετανυσμένον ὕδωρ,
μίσγεται Εὐξείνῳ, Κριοῦ προπάροιθε μετώπου,
ὀρθὸν ἐπὶ γραμμῇ κατεναντίον Κυανεάων.
Κεῖθι καὶ Ἀλδήσκοιο καὶ ὕδατα Παντικάπαο
Ῥιπαίοις ἐν ὄρεσσι διάνδιχα μορμύρουσι.
Τῶν δὲ παρὰ προχοῇσι πεπηγότος ἐγγύθι πόντου
ἠδυφαὴς ἤλεκτρος ἀέξεται, οἷά τις αὐγὴ
μήνης ἀρχομένης· ἀδάμαντά τε παμφανόωντα
ἐγγύθεν ἀθρήσειας ὑπὸ ψυχροῖς Ἀγαθύρσοις.
Ἴστρου μὲν τοσσοίδε βορειότεροι γεγάασιν.

их, недалеко отъ Ледовитаго моря водится янтарь, пріятно блестящій подобно свѣту народившейся луны; а вблизи у холодныхъ Агаѳирсовъ можно увидѣть и блестящіе алмазы. Столько народовъ живетъ къ сѣверу отъ Истра.

Vv. 541—553. Острова въ Понтѣ Евксинскомъ.

Ἔστι δέ τις καὶ σκαιὸν ὑπὲρ πόρον Εὐξείνοιο
ἄντα Βορυσθένεος μεγαλώνυμος εἰν ἁλὶ νῆσος
ἡρώων· Λευκὴν μιν ἐπωνυμίην καλέουσιν.
οὔνεκά οἱ τὰ πάρεστι κινώπετα λευκὰ τέτυκται·
κεῖθι δ' Ἀχιλλῆός τε καὶ ἡρώων φάτις ἄλλων
ψυχὰς εἰλίσσεσθαι ἐρημαίας ἀνὰ βήσσας·
τοῦτο δ' ἀριστήεσσι Διὸς πάρα δῶρον ὀπηδεῖ
ἀντ' ἀρετῆς· ἀρετὴ γὰρ ἀκήρατον ἔλλαχε τιμήν.

По лѣвой сторонѣ Евксина противъ Борисѳена лежитъ въ морѣ знаменитый островъ Героевъ; его называютъ Бѣлымъ, такъ какъ водящіяся здѣсь птицы—бѣлаго цвѣта. Здѣсь, говоритъ преданіе, блуждаютъ по пустыннымъ долинамъ души Ахилла и другихъ героевъ. Такая награда дана Зевсомъ героямъ за доблесть: ибо доблесть получила вѣчную славу. Если-же пройдти прямо черезъ Киммерійскій Воспоръ, встрѣтится другой обширнѣйшій островъ, который лежитъ внутри Мэотійскаго озера на правой сторонѣ; на немъ — Фанагора и прекрасно построенная Ермонасса, въ

τῆς λίμνης. Ὑπεράνω δὲ τούτων ἐκτέταται τῶν πολυίππων Ἀγαυῶν τὸ ἔθνος, ὅπου οἱ Μελάγγλαινοι καὶ οἱ τοὺς ἵππους ἀμέλγοντες ἄνδρες, καὶ οἱ Νευροὶ οἱ ταχεῖς καὶ ἰσχυροὺς πόδας ἔχοντες καὶ οἱ Γελωνοὶ καὶ οἱ Ἀγάθυρσοι· ὅπου τοῦ Βορυσθένους ποταμοῦ τὸ ἐκτεταμένον ὕδωρ ἔμπροσθεν τοῦ Κριοῦ μετώπου τῷ Εὐξείνῳ πόντῳ μίσγεται, ὡς ἐκ γραμμῆς τινος ἡ κατὰ διάμετρον ἐξεναντίας τῶν Κυανέων ἤτοι Συμπληγάδων πετρῶν. Ἐκεῖθεν καὶ τοῦ Ἀλδήσκου καὶ τοῦ Παντικάπου ποταμῶν τὰ ὕδατα ἐν τοῖς Ῥιπαίοις ὄρεσι τῆς Σκυθίας κεχωρισμένα μετὰ ἴχου ῥέουσιν. Παρὰ δὲ ταῖς ἐκβολαῖς τούτων πλησίον τοῦ πεπηγότος Κρονίου ὠκεανοῦ, τῆς νεκρᾶς οὕτω καλουμένης θαλάσσης, ὁ ἤλεκτρος αὔξεται ὁ ἡδεῖαν καὶ καλὴν τὴν λαμπηδόνα ἔχων, οἷά τις αὐγή ἐστι σελήνης ἀρχομένης. Πλησίον δὲ ὑπὸ τοῖς ψυχροῖς Ἀγαθύρσοις καὶ τὸν λαμπρότατον ἴδοις ἀδάμαντα.

541—553. Ὑπὲρ δὲ τὸν ἀριστερὸν πόρον, ἴοντι πρὸς τὰ ἀριστερὰ μέρη, τοῦ Εὐξείνου πόντου ἐξ ἐναντίας τοῦ Βορυσθένους ποταμοῦ μεγαλώνυμος καὶ ἔνδοξός τις νῆσος τῶν ἡμιθέων ἀνδρῶν κεῖται, Λευκὴν δὲ τὸ ἐπίκλην αὐτὴν λέγουσι, διότι τὰ ἐν αὐτῇ θηρία ἢ ὄρνεα λευκὰ ὑπάρχουσιν. Ἐκεῖσε λέγουσι τὰς καὶ τοῦ Ἀχιλλέως καὶ τῶν ἄλλων ἡμιθέων ψυχὰς κατὰ τοὺς ἐρήμους καὶ συμφύτους τόπους ἀναστρέφεσθαι. Τοῦτο δὲ τὸ δῶρον παρὰ τοῦ Διὸς ταῖς ἀρίσταις ψυχαῖς ἀντὶ τῆς ἀρετῆς ἐπακολουθεῖ· ἀφθάρτου γὰρ ἡ ἀρετὴ τιμῆς καὶ ἀκηράτου ἔτυχεν. Ἄλλη δὲ νῆσος ἄπειρος καὶ μεγάλη ὑπάρχει

Digitized by Google

Κιμμέριον δ' ἄρα τοι διὰ Βόσπορον ἰθὺς ἰόντι
ἄλλη ἀπειρεσίη νῆσος πέλει, ἣ ῥά τε λίμνης
ἔνδοθι δεξιτερῇ Μαιώτιδος ἐστήρικται·
ἧς ἔπι Φαναγόρη τε καὶ εὔκτιτος Ἑρμώνασσα,
ἔνθα τε ναιετάουσιν Ἰωνίδος ἔκγονοι αἴης.

которыхъ живутъ выходцы изъ Іонійской земли.

Vv. 652—710. Народы за Танаидомъ и на Кавказѣ.

Ἤτοι μὲν λίμνης Μαιώτιδος ἄγχι νέμονται
αὐτοὶ Μαιῶταί τε καὶ ἔθνεα Σαυροματάων,
ἐσθλὸν ἐνυαλίου γένος Ἄρεος· ἐκ γὰρ ἐκείνης
ἰφθίμης φιλότητος Ἀμαζονίδων ἐγένοντο,
τὴν ποτε Σαυρομάτῃσιν ἐπ' ἀνθρώποισι μίγησαν,
πλαγχθεῖσαι πάτρηθεν ἀπόπροθι Θερμώδοντος.
Τοὔνεκα καὶ παῖδες μεγαλήτορες ἐξεγένοντο,
ὕλην ναιετάοντες ἀπείριτον, ἧς διὰ μέσσης
συρόμενος Τάναϊς Μαιώτιδος ἐς μυχὰ πίπτει,
ὅστε καὶ Εὐρώπην ἀποτέμνεται Ἀσίδος αἴης,
ἐς δύσιν Εὐρώπην, ἐς δ' αὐγὰς Ἀσίδα γαῖαν.
Τοῦ δ' ἤτοι πηγαὶ μὲν ἐν οὔρεσι Καυκασίοισι
τηλόθι μορμύρουσιν· ὁ δὲ πλατὺς ἔνθα καὶ ἔνθα
ἐσσυμένος Σκυθικοῖσιν ἐπιτροχάει πεδίοισιν.
Τοῦ δ' ἂν, κυμαίνοντος ἀπείριτον ἐκ βορέαο,

Вблизи Мэотійскаго озера живутъ сами Мэоты и Савроматскія племена, славный родъ воинственнаго Арея; они произошли отъ той могучей любви Амазонокъ, которою онѣ соединились нѣкогда съ савроматскими людьми, блуждая вдали отъ своей родины Термодонта; отъ нихъ-то родились воинственные потомки, обитающіе въ необозримомъ лѣсу, среди котораго катится Танаидъ, впадающій въ уголъ Мэотиды и отрѣзывающій Европу отъ Азіатской земли, такъ что на западъ лежитъ Европа, а на востокъ Азія. Истоки его журчатъ вдали въ Кавказскихъ горахъ; онъ-же, широко разлившись повсюду, быстро несется по Скиѳскимъ равнинамъ; а когда онъ сильно взволнуется подъ дыханіемъ Борея, увидишь *на немъ* и ледъ, сплотившійся отъ мороза. Несчастны тѣ, которые обитаютъ въ этой странѣ: вѣчно у нихъ холодный снѣгъ и пронизывающій морозъ; а когда настанетъ отъ вѣтровъ страшная стужа, своими глазами увидишь умирающихъ коней или муловъ или пасущихся подъ открытымъ небомъ овецъ; даже сами люди, которые остались-бы подъ тѣми вѣтрами, не уцѣлѣли-бы невредимыми; но

ἰθύνοντί σοι καὶ ἐπ' εὐθείας ὁρμῶντι ἐπὶ τὸν Κιμμέριον Βόσπορον, ἥτις δὴ ἔσωθεν τῆς Μαιώτιδος λίμνης κατὰ τὸ δεξιὸν μέρος ἐστηριγμένη ἐστίν· ἐφ' ἧστινος λίμνης ἥ τε Φαναγόρη καὶ ἡ καλῶς ἐκτισμένη Ἑρμώνασσα, ὅπου καὶ ἀπὸ τῆς Ἰωνίδος γῆς ἀπόγονοι κατοικοῦσιν.

652—710. Πλησίον μὲν οὖν τῆς Μαιώτιδος λίμνης αὐτοὶ οἱ Μαιῶται οἰκοῦσι, καὶ τὸ γένος τοῦ πολεμικωτάτου Ἄρεος, τὰ ἔθνη τῶν ἀγαυῶν Σαυροματῶν· καὶ γὰρ ἐξ ἐκείνης τῆς συνουσίας τὴν γένεσιν ἕλκουσι τῶν Ἀμαζόνων, ἥντινά ποτε ἐμίγησαν τοῖς Σαυρομάταις, πόρρω τῆς οἰκείας πατρίδος καὶ τοῦ Θερμώδοντος ποταμοῦ πλανηθεῖσαι, ὁπόταν καθ' Ἑλλάδος ἐστρατοπέδευσαν, ἢ φεύγουσαι τὸν Ἡρακλέα. Τούτου χάριν καὶ μεγαλόψυχοι παῖδες καὶ ἰσχυροὶ ἐξ αὐτῶν ἐγεννήθησαν, ἐπὶ τὴν ἄπειρον κατοικοῦντες καὶ ὑλώδη γῆν, ἥστινος ἐπὶ μέσον ὁ Τάναϊς ποταμὸς συρόμενος εἰς τὴν μυχὸν ἢ τὸ μέσον τῆς Μαιώτιδος λίμνης ἐκβάλλει, ὅστις καὶ τὴν Εὐρώπην ἀπὸ τῆς Ἀσίας διαχωρίζει, ἐπὶ τὴν δύσιν μὲν τὴν Εὐρώπην, ἐπὶ δὲ τὰς αὐγάς, ἤτοι τὴν ἀνατολήν, τὴν τῆς Ἀσίας ἤπειρον. Τούτου δὲ τοῦ Τανάιδος αἱ μὲν πηγαὶ ἐν τοῖς Καυκασίοις πόρρωθεν ἀναβράζονται, ἤτοι ἀναπέμπονται, οὗτος δὲ ἔνθα κἀκεῖσε ἐπὶ τὰ Σκυθικὰ ὁρμῶν ἐπιτρέχει πεδία. Τούτου δὲ κυμαίνοντος ἀπὸ τοῦ βορρᾶ, ἄπειρον καὶ πολὺν προσβλέψειας ἀπὸ τοῦ κρύους παγέντα. Σχε-

Digitized by Google

ἔνθα Μελάγγλαινοί τε καὶ ἀνέρες Ἱππημολγοί,
Νευροί θ' Ἱππόποδές τε Γελωνοί τ' ἠδ' Ἀγάθυρσοι·
ἠχι Βορυσθένεος ποταμοῦ τετανυσμένον ὕδωρ,
μίσγεται Εὐξείνῳ, Κριοῦ προπάροιθε μετώπου,
ὀρθὸν ἐπὶ γραμμῇ κατεναντίον Κυανεάων.
Κεῖθι καὶ Ἀλδήσκοιο καὶ ὕδατα Παντικάπαο
Ῥιπαίοις ἐν ὄρεσσι διάνδιχα μορμύρουσι.
Τῶν δὲ παρὰ προχοῇσι πεπηγότος ἐγγύθι πόντου
ἠδυφαὴς ἤλεκτρος ἀέξεται, οἷά τις αὐγὴ
μήνης ἀρχομένης· ἀδάμαντά τε παμφανόωντα
ἐγγύθεν ἀθρήσειας ὑπὸ ψυχροῖς Ἀγαθύρσοις.
Ἴστρου μὲν τοσσοίδε βορειότεροι γεγάασιν.

ихъ, недалеко отъ Ледовитаго моря водится янтарь, пріятно блестящій подобно свѣту народившейся луны; а вблизи у холодныхъ Агаѳирсовъ можно увидѣть и блестящіе алмазы. Столько народовъ живетъ къ сѣверу отъ Истра.

Vv. 541—553. Острова въ Понтѣ Евксинскомъ.

Ἔστι δέ τις καὶ σκαιὸν ὑπὲρ πόρον Εὐξείνοιο
ἄντα Βορυσθένεος μεγαλώνυμος εἰν ἁλὶ νῆσος
ἡρώων· Λευκὴν μιν ἐπωνυμίην καλέουσιν.
οὐνεκά οἱ τὰ πάρεστι κινώπετα λευκὰ τέτυκται·
κεῖθι δ' Ἀχιλλῆός τε καὶ ἡρώων φάτις ἄλλων
ψυχὰς εἰλίσσεσθαι ἐρημαίας ἀνὰ βήσσας·
τοῦτο δ' ἀριστήεσσι Διὸς πάρα δῶρον ὀπηδεῖ
ἀντ' ἀρετῆς· ἀρετὴ γὰρ ἀκήρατον ἔλλαχε τιμήν.

По лѣвой сторонѣ Евксина противъ Борисѳена лежитъ въ морѣ знаменитый островъ Героевъ; его называютъ Бѣлымъ, такъ какъ водящіяся здѣсь птицы—бѣлаго цвѣта. Здѣсь, говоритъ преданіе, блуждаютъ по пустыннымъ долинамъ души Ахилла и другихъ героевъ. Такая награда дана Зевсомъ героямъ за доблесть: ибо доблесть получила вѣчную славу. Если-же пройдти прямо черезъ Киммерійскій Воспоръ, встрѣтится другой обширнѣйшій островъ, который лежитъ внутри Мэотійскаго озера на правой сторонѣ; на немъ — Фанагора и прекрасно построенная Ермонасса, въ

τῆς λίμνης. Ὑπεράνω δὲ τούτων ἐκτέταται τῶν πολυίππων Ἀγαυῶν τὸ ἔθνος, ὅπου οἱ Μελάγγλαινοι καὶ οἱ τοὺς ἵππους ἀμέλγοντες ἄνδρες, καὶ οἱ Νευροὶ οἱ ταχεῖς καὶ ἰσχυροὺς πόδας ἔχοντες καὶ οἱ Γελωνοὶ καὶ οἱ Ἀγάθυρσοι· ὅπου τοῦ Βορυσθένους ποταμοῦ τὸ ἐκτεταμένον ὕδωρ ἔμπροσθεν τοῦ Κριοῦ μετώπου τῷ Εὐξείνῳ πόντῳ μίσγεται, ὡς ἐκ γραμμῆς τινος ἡ κατὰ διάμετρον ἐξεναντίας τῶν Κυανέων ἤτοι Συμπληγάδων πετρῶν. Ἐκεῖθεν καὶ τοῦ Ἀλδήσκου καὶ τοῦ Παντικάπου ποταμῶν τὰ ὕδατα ἐν τοῖς Ῥιπαίοις ὄρεσι τῆς Σκυθίας κεχωρισμένα μετὰ ἦχου ῥέουσιν. Παρὰ δὲ ταῖς ἐκβολαῖς τούτων πλησίον τοῦ πεπηγότος Κρονίου ὠκεανοῦ, τῆς νεκρᾶς οὕτω καλουμένης θαλάσσης, ὁ ἤλεκτρος αὔξεται ὁ ἡδεῖαν καὶ καλὴν τὴν λαμπηδόνα ἔχων, οἷά τις αὐγή ἐστι σελήνης ἀρχομένης. Πλησίον δὲ ὑπὸ τοῖς ψυχροῖς Ἀγαθύρσοις καὶ τὸν λαμπρότατον ἴδοις ἀδάμαντα.

541—553. Ὑπὲρ δὲ τὸν ἀριστερὸν πόρον, ἤγουν πρὸς τὰ ἀριστερὰ μέρη, τοῦ Εὐξείνου πόντου ἐξ ἐναντίας τοῦ Βορυσθένους ποταμοῦ μεγαλώνυμος καὶ ἔνδοξός τις νῆσος τῶν ἡμιθέων ἀνδρῶν κεῖται, Λευκὴν δὲ τὸ ἐπίκλην αὐτὴν λέγουσι, διότι τὰ ἐν αὐτῇ θηρία ἢ ὄρνεα λευκὰ ὑπάρχουσιν. Ἐκεῖσε λέγουσι τὰς καὶ τοῦ Ἀχιλλέως καὶ τῶν ἄλλων ἡμιθέων ψυχὰς κατὰ τοὺς ἐρήμους καὶ συμφύτους τόπους ἀναστρέφεσθαι. Τοῦτο δὲ τὸ δῶρον παρὰ τοῦ Διὸς ταῖς ἀρίσταις ψυχαῖς ἀντὶ τῆς ἀρετῆς ἐπακολουθεῖ· ἀφθάρτου γὰρ ἡ ἀρετὴ τιμῆς καὶ ἀκηράτου ἔτυχεν. Ἄλλη δὲ νῆσος ἄπειρος καὶ μεγάλη ὑπάρχει

Digitized by Google

Κιμμέριον δ' ἄρα τοι διὰ Βόσπορον ἰθὺς ἰόντι
ἄλλη ἀπειρεσίη νῆσος πέλει, ἣ ῥά τε λίμνης
ἔνδοθι δεξιτερῇ Μαιώτιδος ἐστήρικται·
ἧς ἔπι Φαναγόρη τε καὶ εὔκτιτος Ἑρμώνασσα,
ἔνθα τε ναιετάουσιν Ἰωνίδος ἔκγονοι αἴης.

которыхъ живутъ выходцы изъ Іонійской земли.

Vv. 652—710. Народы за Танаидомъ и на Кавказѣ.

Ἤτοι μὲν λίμνης Μαιώτιδος ἄγχι νέμονται
αὐτοὶ Μαιῶταί τε καὶ ἔθνεα Σαυροματάων,
ἐσθλὸν ἐνυαλίου γένος Ἄρεος· ἐκ γὰρ ἐκείνης
ἰφθίμης φιλότητος Ἀμαζονίδων ἐγένοντο,
τὴν ποτε Σαυρομάτῃσιν ἐπ' ἀνθρώποισι μίγησαν,
κλαγχθεῖσαι πάτρηθεν ἀπόπροθι Θερμώδοντος.
Τοὔνεκα καὶ παῖδες μεγαλήτορες ἐξεγένοντο,
ὕλην ναιετάοντες ἀπείριτον, ἧς διὰ μέσσης
συρόμενος Τάναϊς Μαιώτιδος ἐς μυχὰ πίπτει,
ὅστε καὶ Εὐρώπην ἀποτέμνεται Ἀσίδος αἴης,
ἐς δύσιν Εὐρώπην, ἐς δ' αὐγὰς Ἀσίδα γαῖαν.
Τοῦ δ' ἤτοι πηγαὶ μὲν ἐν οὔρεσι Καυκασίοισι
τηλόθι μορμύρουσιν· ὁ δὲ πλατὺς ἔνθα καὶ ἔνθα
ἐσσυμένος Σκυθικοῖσιν ἐπιτροχάει πεδίοισιν.
Τοῦ δ' ἂν, κυμαίνοντος ἀπείριτον ἐκ βορέαο,

Вблизи Меотійскаго озера живутъ сами Меоты и Савроматскія племена, славный родъ воинственнаго Арея; они произошли отъ той могучей любви Амазонокъ, которою онѣ соединились нѣкогда съ савроматскими людьми, блуждая вдали отъ своей родины Термодонта; отъ нихъ-то родились воинственные потомки, обитающіе въ необозримомъ лѣсу, средн котораго катится Танаидъ, впадающій въ уголъ Меотиды и отрѣзывающій Европу отъ Азіатской земли, такъ что на западъ лежитъ Европа, а на востокъ Азія. Истоки его журчатъ вдали въ Кавказскихъ горахъ; онъ-же, широко разлившись повсюду, быстро несется по Скиескимъ равнинамъ; а когда онъ сильно взволнуется подъ дыханіемъ Борея, увидишь *на немъ* и ледъ, сплотившійся отъ мороза. Несчастны тѣ, которые обитаютъ въ этой странѣ: вѣчно у нихъ холодный снѣгъ и пронизывающій морозъ; а когда настанетъ отъ вѣтровъ страшная стужа, своими глазами увидишь умирающихъ коней или муловъ или пасущихся подъ открытымъ небомъ овецъ; даже сами люди, которые остались-бы подъ тѣми вѣтрами, не уцѣлѣли-бы невредимыми; но

ἰθύνοντί σοι καὶ ἐπ' εὐθείας ὁρμῶντι ἐπὶ τὸν Κιμμέριον Βόσπορον, ἥτις δὴ ἔσωθεν τῆς Μαιώτιδος λίμνης κατὰ τὸ δεξιὸν μέρος ἐστηριγμένη ἐστίν· ἐφ' ἧστινος λίμνης ἥ τε Φαναγόρη καὶ ἡ καλῶς ἐκτισμένη Ἑρμώνασσα, ὅπου καὶ ἀπὸ τῆς Ἰωνίδος γῆς ἀπόγονοι κατοικοῦσιν.

652—710. Πλησίον μὲν οὖν τῆς Μαιώτιδος λίμνης αὐτοὶ οἱ Μαιῶται οἰκοῦσι, καὶ τὸ γένος τοῦ πολεμικωτάτου Ἄρεος, τὰ ἔθνη τῶν ἀγαυῶν Σαυροματῶν· καὶ γὰρ ἐξ ἐκείνης τῆς συνουσίας τὴν γένεσιν ἔλκουσι τῶν Ἀμαζόνων, ἥντινά ποτε ἐμίγησαν τοῖς Σαυρομάταις, πόρρω τῆς οἰκείας πατρίδος καὶ τοῦ Θερμώδοντος ποταμοῦ πλανηθεῖσαι, ὁπόταν καθ' Ἑλλάδος ἐστρατοπέδευσαν, ἢ φεύγουσαι τὸν Ἡρακλέα. Τούτου χάριν καὶ μεγαλόψυχοι παῖδες καὶ ἰσχυροὶ ἐξ αὐτῶν ἐγεννήθησαν, ἐπὶ τὴν ἄπειρον κατοικοῦντες καὶ ὑλώδη γῆν, ἥστινος ἐπὶ μέσον ὁ Τάναϊς ποταμὸς συρόμενος εἰς τὴν μυχὸν ἢ τὸ μέσον τῆς Μαιώτιδος λίμνης ἐκβάλλει, ὅστις καὶ τὴν Εὐρώπην ἀπὸ τῆς Ἀσίας διαχωρίζει, ἐπὶ τὴν δύσιν μὲν τὴν Εὐρώπην, ἐπὶ δὲ τὰς αὐγάς, ἤτοι τὴν ἀνατολήν, τὴν τῆς Ἀσίας ἤπειρον. Τούτου δὲ τοῦ Τανάιδος αἱ μὲν πηγαὶ ἐν τοῖς Καυκασίοις πόρρωθεν ἀναβράζονται, ἤτοι ἀναπέμπονται, οὗτος δὲ ἔνθα κἀκεῖσε ἐπὶ τὰ Σκυθικὰ ὁρμῶν ἐπιτρέχει πεδία. Τούτου δὲ κυμαίνοντος ἀπὸ τοῦ βορρᾶ, ἄπειρον καὶ πολὺν προσβλέψειας ἀπὸ τοῦ κρύους παγέντα. Σχε-

Digitized by Google

πηγετὸν ἀθρήσειας ἀπὸ κρυμοῖο παγέντα.
Σχέτλιοι, οἳ περὶ κεῖνον ἐνοίκια χῶρον ἔχουσιν·
αἰεί σφιν ψυχρή τε χιὼν κρυμός τε δυσαής.
καὶ δέ κεν, ἐξ ἀνέμων ὁπόταν πλεῖστον κρύος ἔλθῃ,
ἢ ἵππους θνήσκοντας ἐν ὀφθαλμοῖσιν ἴδοιο,
ἠὲ καὶ ἡμιόνους ἢ ἀγραύλων γένος οἰῶν·
οὐδὲ μὲν οὐδ' αὐτοί κεν ἀπήμαντοι τελέθοιεν
ἀνέρες, οἳ κείνῃσιν ὑπαὶ ῥιπῇσι μένοιεν·
ἀλλὰ γὰρ ἡλάσκουσιν, ὑποζεύξαντες ἀπήνας,
χώρην εἰς ἑτέρην, λείπουσι δὲ γαῖαν ἀήταις
χειμερίοις, οἵ τε σφι κακῇ θύοντες ἀέλλῃ
γαῖάν τε κλονέουσι καὶ οὔρεα πευκήεντα.
Τόσσοι μὲν Τάναϊν ποταμὸν περιναιετάουσιν.
Σαυρομάτας δ' ἐπέχουσιν ἐπασσύτεροι γεγαῶτες
Σινδοί, Κιμμέριοί τε καὶ οἱ πέλας Εὐξείνοιο
Κερκέτιοι Τορέται τε καὶ ἀλκήεντες Ἀχαιοί,
τούς ποτ' ἀπὸ Ξάνθοιο καὶ Ἰδαίου Σιμόεντος
πνοιαὶ νοσφίσσαντο νότοιό τε καὶ ζεφύροιο,
ἑσπομένους μετὰ δῆριν Ἀρητιάδῃ βασιλῆι.
Τοῖς δ' ἔπι ναιετάουσιν, ὁμούριον αἶαν ἔχοντες,
Ἡνίοχοι Ζύγιοί τε, Πελασγίδος ἔκγονοι αἴης.
Πὰρ δὲ μυχὸν Πόντοιο, μετὰ χθόνα Τυνδαριδάων,

они, запрягши свои повозки, удаляются въ другую страну, а свою землю оставляютъ на волю холодныхъ вѣтровъ, которые, неистовствуя страшными порывами, потрясаютъ землю и поросшія соснами горы. Столько-то народовъ живетъ по Танаиду. Съ Савроматами-же сосѣдятъ Синды, Киммерійцы и живущіе вблизи Евксина Керкетіи, Тореты и сильные Ахейцы, которыхъ нѣкогда дуновенія Нота и Зефира унесли отъ Ксанѳа и Идэйскаго Симоента, когда слѣдовали они съ войны за воинственнымъ царемъ. За ними живутъ, владѣя сосѣднею землею, Иніохи и Зигіи, чада земли Пеласгійской; а по берегамъ самой дальней части Понта, за страною Тиндаридовъ живутъ Колхи, выходцы изъ Эгипта, въ сосѣдствѣ съ Кавказомъ, который у Иркапскаго моря поднимается крутыми горами. Здѣсь Фасидъ, катясь по поверхности Киркэйской равнины, извергаетъ въ волны Евксина свои быстрыя пѣнистыя воды, получивъ свое начало у Арменійской горы. Къ сѣверо-востоку отъ него лежитъ перешеекъ между Каспійскимъ и Евксинскимъ морями. На немъ живетъ восточный народъ Иверы, которые нѣкогда пришли съ Пиринеевъ на востокъ и вступили въ ожесточенную войну съ Иркапцами, и большое племя Камаритовъ, которые нѣкогда гостепріимно приняли Вакха послѣ Индійской войны и вмѣстѣ съ Линами устроили священный хороводъ, надѣвъ на грудь передники и оленьи кожи и крича: «эвой Вакхъ!»

τλιασμοῦ δὲ ἄρα ἐκεῖνοι οἱ ἄνδρες ἄξιοι, οἵτινες περὶ τὸν ποταμὸν ἐκεῖνον τὴν οἴκησιν αὐτῶν ἔχουσιν· ἀεὶ γὰρ ἐν αὐτοῖς ψυχρά ἐστι χιὼν καὶ ὁ δύσπνοος κρυμός. Καὶ δὴ ὁπόταν ἐκ τῶν ἀνέμων ψῦχος ἐπέλθῃ, ἢ ἵππους ἐκπνέοντας τοῖς ὀφθαλμοῖς ὁρῶσιν αὐτῶν, ἢ ἡμιόνους, ἢ τὸ γένος τῶν ἐν ἀγρῷ αὐλιζομένων προβάτων. Οὐδαμῶς δὲ οὐδ' αὐτοὶ σῶοι οἱ ἄνδρες ὑπάρχουσιν, οἵτινες ὑπὸ τῆς πνοῆς ἢ φορᾶς τῶν ἀνέμων ἐκείνων μένουσιν, ἀλλ' ἁμάξας ὑποζεύξαντες εἰς ἑτέραν χώραν ἐκκλίνουσι καὶ φεύγουσι, καταλείπουσι δὲ τοῖς χειμερίοις ἀνέμοις ἐκείνην τὴν γῆν, οἵτινες σὺν κακαῖς συστροφαῖς ὁρμώμενοι τήν τε γῆν ἅπασαν ἐκείνην καὶ τὰ πευκόεντα ὄρη συγκλονοῦσι. Τοσοῦτοι μὲν περὶ τὸν Τάναϊν ποταμὸν κατοικοῦσιν. Οἱ δὲ Σινδοὶ καὶ οἱ Κιμμέριοι πυκνοὶ καὶ συνεχεῖς ὄντες τοὺς Σαυρομάτας ἐπέχουσιν, οἵ τε πλησίον τοῦ Εὐξείνου ὄντες Κερκέτιοί τε καὶ Ὀρέται καὶ οἱ ἰσχυρότατοι Ἕλληνες, οὕστινάς ποτε ἀπὸ τοῦ Ξάνθου καὶ τοῦ Σιμόεντος ποταμοῦ τοῦ ἐξ Ἴδης ῥέοντος αἱ τοῦ ζεφύρου καὶ νότου πνοαὶ ἀπεχώρισαν τῷ πολεμικωτάτῳ Ἀγαμέμνονι καὶ Μενελάῳ ἐπὶ τὸν κατὰ τῆς Τροίας πόλεμον ἀκολουθήσαντας. Ἐπὶ τούτοις δὲ κατοικοῦσι πλησιόχωρον γῆν ἔχοντες ἔκγονοι ὄντες τῶν Πελασγῶν οἵ τε Ἡνίοχοι καὶ οἱ Ζύγιοι. Περὶ δὲ τὸ ἐνδότατον τοῦ Εὐξείνου πόντου μετὰ τὴν Διοσκουριάδα γῆν Κόλχοι, οἱ τῶν Αἰγυπτίων ἀπόγονοι, μέτοικοι ὄντες, κατοικοῦσι, πλησίον τοῦ Καυκάσου ὄρους ὑπάρχοντες, ὅστις Καύκασος περὶ τὸν Ὑρκάνιον πόντον τοῖς ὑψηλοῖς ὄρεσιν αὔξεται· ὅπου ὁ Φᾶσις ποταμὸς κατὰ τὸν νῶτον τοῦ Κιρκαίου πεδίου συστρεφόμενος εἰς τὸν Εὔξεινον πόντον τὸ ἀχνῶδες καὶ χορτῶδες αὐτοῦ ἀπερεύγεται, ἀπὸ Ἀρμενίου

Digitized by Google

Κόλχοι ναιετάουσι, μετήλυδες Αἰγύπτοιο,
Καυκάσου ἐγγὺς ἐόντες, ὃς Ὑρκάνιον περὶ πόντον
οὔρεσιν ἠλιβάτοισιν ἀέξεται. ἔνθα τε Φᾶσις,
Κιρκαίου κατὰ νῶτον ἑλισσόμενος πεδίοιο,
Εὐξείνου ποτὶ χεῦμα θοὴν ἀπερεύγεται ἄχνην,
ἀρξάμενος τὸ πρῶτον ἀπ' οὔρεος Ἀρμενίοιο,
Τοῦ δὲ πρὸς ἀντολίην βορέην τ' ἐπικέκλιται ἰσθμός,
ἰσθμὸς Κασπίης τε καὶ Εὐξείνοιο θαλάσσης.
Τῷ δ' ἔπι ναιετάουσιν ἐωθινὸν ἔθνος Ἰβήρων,
οἵ ποτε Πυρήνηθεν ἐπ' ἀντολίην ἀφίκοντο,
ἀνδράσιν Ὑρκανίοισιν ἀπειθέα δῆριν ἔχοντες,
καὶ Καμαριτάων φῦλον μέγα, τοί ποτε Βάκχον
Ἰνδῶν ἐκ πολέμοιο δεδεγμένοι ἐξείνισσαν,
καὶ μετὰ Ληναίων ἱερὸν χορὸν ἐστήσαντο,
ζώματα καὶ νεβρῖδας ἐπὶ στήθεσσι βαλόντες,
εὐοῖ Βάκχε λέγοντες· ὁ δὲ φρεσὶ φίλατο δαίμων
κείνων ἀνθρώπων γενεὴν καὶ ἤθεα γαίης.
Τοῖς δ' ἔπι Κασπίη κυμαίνεται ἀμφιτρίτη.
Ῥεῖα δέ τοι καὶ τηνδε καταγράψαιμι θάλασσαν,
οὐ μὲν ἰδὼν ἀπάνευθε πόρους, οὐ νηὶ περήσας·
οὐ γάρ μοι βίος ἐστὶ μελαινάων ἐπὶ νηῶν,
οὐδέ μοι ἐμπορίη πατρώιος...

Богъ-же возлюбилъ сердцемъ это племя и обычаи этой страны. За ними волнуется **Каспійское море. Я легко** могъ бы описать **тебѣ и это море, хотя** и не видалъ его **отдаленныхъ путей и не** переплывалъ ихъ **на кораблѣ, ибо я не** живу на черныхъ **корабляхъ и не занимаю**сь переданною **отцомъ торговлею...**

Vv. 718—732. Описаніе Каспійскаго моря.

Ἀλλ' εἴη τοι σχῆμα περίδρομον, ἀμφιέλικτον,
πάσης Κασπίης μεγάλης ἁλός· οὐκ ἂν ἐκείνην

Фигура всего великаго Каспійскаго **моря представляетъ собою** закругляющуюся **окружность; его, пожалуй,** не переплывешь **на кораблѣ** въ 3 лунныхъ круга: столь

ὄρους ἀρξάμενος. Πρὸς δὲ τὴν ἀνατολὴν τούτου καὶ τὸν βορρᾶν ὁ ἰσθμὸς τῆς Κασπίας θαλάσσης καὶ τοῦ Εὐξείνου ἐπίκειται. Ἐπὶ δὲ τούτῳ τῷ ἰσθμῷ τὸ ἀνατολικὸν ἔθνος κατοικεῖ τῶν Ἰβήρων (οἵτινές ποτε Ἴβηρες ἀπὸ τῆς Πυρήνης, ἦγουν τῆς ἑσπερίας ἢ δυτικῆς Ἰβηρίας ἐπὶ τὴν ἀνατολὴν παρεγένοντο, τοῖς Ὑρκανίοις ἀνδράσι μεγάλην ἔχθραν συμβαλόντες), καὶ τὸ μέγα ἔθνος τῶν Καμαριτῶν, οἵτινές ποτε τὸν Διόνυσον ἀπὸ τοῦ πολέμου τῶν Ἰνδῶν προσδεξάμενοι ἐξενοδόχησαν, καὶ ἱερὸν χορόν, ὅ ἐστι μέγαν, μετὰ τῶν Βακχῶν ἔστησαν, ζώματα καὶ νεβρῖδας ἐπὶ τοῖς στήθεσιν αὐτῶν περιβαλόμενοι, εὐ οἱ εὐὰν λέγοντες. Οὗτος δὲ ὁ Διόνυσος ταῖς ἑαυτοῦ φρεσὶ τὴν γενεὰν τῶν ἀνθρώπων καὶ τὰ ἤθεα τῆς γῆς ἐκείνης, τουτέστι περιφραστικῶς τὴν γῆν ἐκείνην, ἠγάπησεν. Ἐπὶ τούτοις δὲ ἡ Κασπία κυμαίνεται θάλασσα. ῥᾳδίως δέ σοι καὶ ταύτην τὴν θάλασσαν καταγράψαιμι, οὐδαμῶς μὲν τῶν ἄποθεν ἀπῳκισμένων χωρῶν τὰς θέσεις ἰδών, οὐδὲ μετὰ νηὸς περάσας· οὐδὲ γὰρ ἐμοὶ τοιοῦτος βίος ὑπῆρξεν, οὐδὲ πατρικὴ μοί ἐστιν ἐμπορία...

718—732. Ἀλλὰ τῆς μὲν Κασπίας θαλάσσης τὸ σχῆμα πανταχοῦ περιελισσόμενον καὶ περιερχόμενον κυκλοτερές ἐστιν· οὐδαμῶς ἂν ἐκείνην ἐπὶ τρεῖς κύκλους τῆς σελήνης,

Digitized by Google

νηὶ περήσειας τριτάτης ἐπὶ κύκλα σελήνης·
τόσσος γὰρ πόρος ἐστὶν ἀμείλιχος· ἂψ δὲ μετ' ἄρκτους
ἑλκόμενος, προχοῇς ἐπιμίσγεται Ὠκεανοῖο.
ἡ δὴ πολλὰ μὲν ἄλλα μετ' ἀνδράσι θαύματ' ἀέξει,
φύει δὲ κρύσταλλον ἰδ' ἠερόεσσαν ἴασπιν,
ἐχθρὴν ἐμπούσῃσι καὶ ἄλλοις εἰδώλοισιν.
Πάντα δέ τοι ἐρέω, ὅσα μιν πέρι φῦλα νέμονται,
ἀρξάμενος πλευρῆς ζεφυρίτιδος ἐκ βορέαο.
Πρῶτοι μὲν Σκύθαι εἰσίν, ὅσοι Κρονίης ἁλὸς ἄγχι
παραλίην ναίουσιν ἀνὰ στόμα Κασπίδος ἅλμης·
Οὖννοι δ' ἐξείης· ἐπὶ δ' αὐτοῖς Κάσπιοι ἄνδρες,
Ἀλβανοί τ' ἐπὶ τοῖσιν ἀρήιοι, οἵ θ' ὑπὲρ αἶαν
τρηχεῖαν ναίουσι Καδούσιοι· ἄγχι δὲ Μάρδοι,
Ὑρκανοί Τάπυροί τε·...

великъ этотъ трудный путь. Устремляясь снова на сѣверъ, оно соединяется съ теченіемъ Океана. Это море представляетъ много и другаго чуднаго для людей, а также производитъ кристаллъ и темную яшму, страшную для емпусъ и другихъ привидѣній. Я разскажу *теперь* все о томъ, какія племена живутъ вокругъ него, начавши съ сѣверо-западной стороны. Первые — Скиѳы, которые населяютъ побережье возлѣ Кронійскаго моря по устью Каспійскаго моря; потомъ — Унны, а за ними Каспійцы, за этими — воинственные Албанцы и Кадусіи, живущіе въ горнистой странѣ; вблизи ихъ — Марды, Ирканы и Тапиры...

Vv. 761—774. Народы Закавказья.

Τόσσοι μὲν φῶτες περὶ Κάσπια κύματ' ἔασιν·
φράζεο δ' ἐκ Κόλχων καὶ Φάσιδος ἐς δύσιν ἤδη,
Εὐξείνου παρὰ χεῖλος, ἐπιλαδὸν ἔθνεα Πόντου
ἄχρι Θρηικίου στόματος, τόθι Χαλκὶς ἄρουρα.
Βύζηρές τοι πρῶτα καὶ ἀγχόθι φῦλα Βεχείρων,
Μάκρωνες Φίλυρές τε καὶ οἳ μόσσυνας ἔχουσι

Столько народовъ живетъ вокругъ Каспійскихъ волнъ. Теперь обрати вниманіе на Понтійскіе народы, *живущіе* скученно къ западу отъ Колховъ и Фасида вдоль берега Евксина до Ѳракійскаго устья, гдѣ Халкидская земля. Сначала *живутъ* Визиры и вблизи *ихъ* племена Вехировъ, Макроны, Филиры и тѣ, которые имѣютъ деревянные моссины. Вблизи ихъ—богатые стадами Тиварины; за этими *послѣдними* населяютъ безплодную и суровую землю Халивы, искусные въ обработкѣ труднаго

τουτέστιν ἐπὶ τρεῖς μῆνας, περάσεις· τοσοῦτον γάρ ἐστι δυσπέρατος ὁ τόπος ἐκεῖνος. Εἰς τοὐπίσω δὲ ἐπὶ τὰ ἀρκτῶα μέρη ἑλκόμενος ταῖς προχύσεσι τοῦ ὠκεανοῦ ἀναμίγνυται· ἥτις Ὑρκανία ἐν τοῖς ἀνδράσι θαύματα πολλὰ αὔξει καὶ ἕτερα, ἀναβλαστάνει δὲ καὶ τὸν κρύσταλλον καὶ τὴν σκοτεινὴν ἴασπιν, τὴν ἐχθρὰν οὖσαν ταῖς ἐμπούσαις καὶ τοῖς δαίμοσιν ἢ φάσμασιν. Ἅπαντα δέ σοι ἔθνη λέξω, ὅσα τὴν Ὑρκανίαν ἢ Κασπίαν θάλασσαν περιοικεῖ, ἀρξάμενος ἀπὸ τῆς δυτικῆς πλευρᾶς ἐκ τοῦ βορρᾶ. Πρῶτοι μὲν οἱ Σκύθαι ὑπάρχουσιν, ὁπόσοι κατὰ τὴν παραλίαν οἰκοῦσι τῆς Κρονίας θαλάσσης κατὰ τὸ στόμα τῆς Κασπίδος θαλάσσης. Ἐφεξῆς δὲ Οὖννοι, ἐπ' αὐτοῖς δὲ οἱ Κάσπιοι, ἐπὶ τούτοις δὲ πάλιν οἱ πολεμικώτατοι Ἀλβανοὶ καὶ οἱ τὴν ὑπεράνωθεν αὐτῶν τραχεῖαν γῆν κατοικοῦντες Καδούσιοι, ἐπ' αὐτοῖς δὲ οἱ Μάρδοι καὶ οἱ Ὑρκάνιοι καὶ οἱ Τάπυροι.

761—774. Τοσοῦτοι μὲν ἄνδρες τὴν Κασπίαν θάλασσαν περιοικοῦσιν. Διαλογιζόμενος δὲ σκόπει ἀρτίως ἀπὸ τῶν Κόλχων καὶ τοῦ Φάσιδος ποταμοῦ ἐπὶ τὴν δύσιν παρὰ τὸ χεῖλος τοῦ Εὐξείνου πόντου τὸ πλῆθος τῶν ἐθνῶν ἄχρι τοῦ Θρακικοῦ στόματος, ἤγουν τοῦ Βοσπόρου, ὅπου ἡ τῶν Καλχηδονίων χώρα ἐστίν. Μετὰ δὲ τοὺς Κόλχους πρῶτά εἰσιν ἔθνη οἱ Βύζηρες, καὶ πλησίον αὐτῶν τὰ ἔθνη τῶν Βεχείρων καὶ οἱ Μάκρωνες καὶ οἱ Φίλυρες καὶ οἵτινες τοὺς οἴκους αὐτῶν ξυλίνους ἔχουσιν. Ὄντινων πλησίον εἰσὶν οἱ

Digitized by Google

δουρατέους· τῶν δ' ἄγχι πολύρρηνες Τιβαρηνοί.
τοῖς δ' ἔπι καὶ Χάλυβες στυφελὴν καὶ ἀπηνέα γαῖαν
ναίουσιν, μογεροῦδεδαηκότες ἔργα σιδήρου,
οἵ ῥα, βαρυγδούποισιν ἐπ' ἄκμοσιν ἑστηῶτες,
οὔποτε παύονται καμάτου καὶ οἴζυος αἰνῆς.
Τοὺς δὲ μέτ' Ἀσσυρίης πρόχυσις χθονὸς ἐκτετάνυσται,
ἔνθα δ' Ἀμαζονίδεσσιν ἀπ' οὔρεος Ἀρμενίοιο
λευκὸν ὕδωρ προΐησιν ἐνυάλιος Θερμώδων...

желѣза; стоя при тяжкозвучныхъ наковальняхъ, они никогда не прекращаютъ труда и тяжелыхъ заботъ. За ними разстилается разливъ Ассирійской земли, гдѣ воинственный Термодонтъ посылаетъ Амазонкамъ съ Армянской горы *свою* бѣлую воду...

πολυθρέμματοι, ἤτοι πολλὰ θρέμματα ἔχοντες, Τιβαρηνοί· ἐπὶ τούτοις δὲ οἱ Χάλυβες τὴν ἀμετακίνητον καὶ σκληρὰν γῆν κατοικοῦσι, τὰ τοῦ μοχθηροῦ σιδήρου ἔργα μεμαθηκότες, οἵτινες βαρυκτύποις σφυραῖς ἐπὶ τοῖς ἄκμοσιν ἑστηρικότες τῆς δεινῆς ταλαιπορίας καὶ τοῦ χαλεποῦ κόπου οὐδαμῶς παύονται. Μετὰ δὲ τούτους τοὺς Χάλυβας τῆς Ἀσσυρίας γῆς ἡ πρόχυσις ἐκτετάνυσται· λέγει δὲ τὰ περὶ Θερμώδοντα καὶ Παφλαγονίαν· ὅπου ταῖς Ἀμαζόσιν ἀπὸ τοῦ Ἀρμενίου ὄρους τὸ λευκὸν ὕδωρ ὁ πολεμικώτατος Θερμώδων προπέμπει...

ΕΥΣΤΑΘΙΟΥ

ΠΑΡΕΚΒΟΛΑΙ ΕΙΣ ΤΗΝ ΔΙΟΝΥΣΙΟΥ ΠΕΡΙΗΓΗΣΙΝ.

ЕВСТАѲІЯ

КОММЕНТАРІИ КЪ ЗЕМЛЕОПИСАНІЮ ДІОНИСІЯ.

Евстаѳій, знаменитый митрополитъ Ѳессалоникскій, жилъ во 2-й половинѣ XII в. по Р. Хр. Комментаріи къ Діонисію изданы въ свѣтъ между 1170 и 1175 гг. — Текстъ: Geographi Gr. min. rec. C. Müllerus, v. III p. 201 sq.

Переводъ И. П. Цвѣткова.

14. Ὅτι Ἀσίας καὶ Εὐρώπης νότιον μὲν μεσόριον ὁ Ἑλλήσποντος, νοτιώτατον δὲ ὁ Νεῖλος. Πρὸς βορρᾶν δὲ τὴν Εὐρώπην ὁρίζει τῆς Ἀσίας ὁ Τάναϊς, ὃς ἐλισσόμενος διὰ τῆς τῶν Σαυροματῶν καὶ Σκυθῶν γῆς εἰς τὴν Μαιῶτιν λίμνην κατασύρεται. Ἰστέον δὲ ὅτι οὐχ ἁπλῶς τὰ πρὸς βορρᾶν τοῦ Τανάϊδος τῇ Εὐρώπῃ προσνέμεται, ἀλλὰ μόνα ὅσα πρὸς δύσιν ἀπ' αὐτοῦ ἀφορίζονται· τὰ δέ γε πρὸς αὐγὰς τοῦ Τανάϊδος τῇ Ἀσίᾳ προσλογίζονται. Φησὶ γοῦν αὐτὸς προϊὼν ὅτι ὁ Τάναϊς ἀποτέμνεται εἰς δύσιν Εὐρώπην, εἰς δ' αὐγὰς Ἀσίδα γαῖαν. Οὐ μὴν λέγει ὅτι ἀποτέμνεται εἰς βορρᾶν μὲν τὴν Εὐρώπην, εἰς δὲ νότον τὴν Ἀσίαν· ὅθεν καὶ αὐτοὺς τοὺς Μαιώτας καὶ τοὺς Σαυρομά-

14. [*Сказано,*] что южная граница Азіи и Европы — Геллеспонтъ, а самая южная — Нилъ. На сѣверѣ-же Европу отъ Азіи отдѣляетъ Танаидъ, который, катясь черезъ землю Савроматовъ и Скиѳовъ, впадаетъ въ Мэотійское озеро. Нужно однако знать, что не всѣ *земли*, лежащія къ сѣверу отъ Танаида, причисляются къ Европѣ, а только тѣ, которыя отдѣляются къ западу отъ него; земли-же, лежащія къ востоку отъ Танаида, причисляются къ Азіи. Поэтому-то самъ *Діонисій* далѣе говоритъ, что Танаидъ отдѣляетъ на западъ Европу, а на востокъ Азіатскую землю, но не говоритъ, что онъ отдѣляетъ Европу на сѣверъ, а на югъ — Азію; поэтому-же онъ

Digitized by Google

τας Ἀσιανοὺς ἱστορεῖ, διότι οὐ πρὸς δύσιν αὐτοὺς ἀφορίζει ὁ Τάναϊς. Ἔτι δέ, ὡς ἐνταῦθα λέγει, ὁ Τάναϊς εἰς Σκυθίαν σύρεται βορείαν οὖσαν· καὶ ἀλλαχοῦ δέ φησι· «Σκυθικοῖς ἐπιτρέχει πεδίοις». Οἱ δὲ Σκύθαι Ἀσιανοί εἰσι κατὰ τὸν Διονύσιον· οὔκουν ἁπλῶς Εὐρωπαῖα πάντα τὰ βόρεια τοῦ Τανάϊδος, ἀλλ' ὅσα πρὸς δύσιν ἀπ' αὐτοῦ ὁρίζονται. Ἱστέον δὲ ὅτι ὁ ποταμὸς οὗτος διὰ τὸ τεταμένως ῥεῖν Τάναϊς Ἑλληνιστὶ καλούμενος, Σίλις, ὡς φασί τινες, παρὰ τοῖς παροικοῦσι βαρβάροις ὠνόμασται. Ὅτι δὲ καὶ ἄλλοι ποταμοὶ ἐν βαρβάροις ῥέοντες ὅμως ἐξελληνίζονται τῇ κλήσει δῆλον. Τοιοῦτος γὰρ καὶ ὁ Νεῖλος καὶ ὁ Θερμώδων καὶ ὁ Ἀράξης καὶ ἄλλοι πολλοί· καὶ ὁ Ἠριδανὸς δὲ οὐ βάρβαρον ὄνομα, κατὰ τὸν Ἡρόδοτον, ἀλλὰ Ἑλληνικόν, ποιηθέν, φησίν, ὑπό τινος ποιητοῦ. Τοῦ δὲ Τανάϊδος ἄλλοι μέν φασι μὴ γνωρίζεσθαι τὰς πηγάς, Ἡρόδοτος δὲ ἐκ λίμνης μεγάλης αὐτὸν λέγει εἰς λίμνην ἔτι μείζονα τὴν Μαιῶτιν εἰσβάλλειν, λέγων καὶ ὅτι ἡ Μαιῶτις οὐ πολὺ ἐλάττων τοῦ Πόντου ἐστὶ, λεγομένη, φησὶ, καὶ μήτηρ τοῦ Πόντου. Κἀκεῖνο δὲ εἰδέναι χρή, ὅτι Ἀρριανὸς καὶ ἄλλον Τάναϊν ἱστορεῖ Σκυθικόν, ὃν Ἀλέξανδρος ἐπικινδύνως διεπέρασεν.

19. Ὅτι ὁ Διονύσιος μὲν τὰς τρεῖς ἠπείρους, τὴν Λιβύην, τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν, τὰ μέγιστα τῆς οἰκουμένης τμήματα, ὕδασιν ἀλλήλων νοσφίζει, τουτέστι χωρίζει καὶ διαιρεῖ, καὶ τοὺς αὐτῶν ὅρους ἐξ ὑδάτων μεσολαβούντων γνωρίμους ποιεῖ, διὰ τὸ σημειωδέστερόν τε καὶ εὐκρινέστερον. Ἄλλοι δὲ, οἷς οὐκ ἀρέσκεσθαι αὐτὸς φαίνεται, διὰ τὸ δυσόριστον καὶ οὐκ εὐκρινὲς, τὰς τοιαύτας τρεῖς μεγίστας ἠπείρους ἀπ' ἀλλήλων ἠπείροις ἑτέραις σμικροτέραις διαχωρίζουσι, λέγοντες Ἀσίας μὲν καὶ Εὐρώπης ὅρον εἶναι τὸν μέγιστον καὶ πλατύτατον ἰσθμὸν τὸν μεταξὺ Κασπίας καὶ Εὐξείνου, περὶ ὃν ἰσθμὸν σὺν πολλοῖς ἄλλοις τόποις καὶ ὁ θρυλούμενός ἐστι τοῦ Προμηθέως Καύκασος καὶ ἡ ἑῴα γῆ Ἰβήρων, ἡ μεταξὺ Κόλχων καὶ Ἀλβανίας. Ἄλλον δὲ καὶ αὖθις ἰσθμὸν μέγαν τὸν μεταξὺ

самихъ Меотовъ и Савроматовъ называетъ Азіатами, такъ какъ Танаидъ отдѣляетъ ихъ не па западъ. Далѣе, какъ онъ здѣсь говоритъ, Танаидъ течетъ въ Скиѳію, страну сѣверную, а въ другомъ мѣстѣ говоритъ: «течетъ по скиѳскимъ равнинамъ». Но Скиѳы по Діонисію—Азіаты. Такимъ образомъ не всѣ вообще земли къ сѣверу отъ Танаида — Европейскія, но только тѣ, которыя ограничиваются имъ на западъ. Нужно замѣтить, что эта рѣка, называемая по еллински Тάναϊς вслѣдствіе того, что она течетъ тетаμένως —, у сосѣднихъ *съ нимъ* варваровъ, какъ нѣкоторые говорятъ, носитъ названіе Силиса. Извѣстно, что и другія рѣки, текущія въ варварскихъ земляхъ, получаютъ однако греческія названія. Таковы Нилъ, Ѳермодонтъ, Араксъ и многія другія; даже Иданъ, по Иродоту [1]), не варварское названіе, а еллинское, созданное, по его словамъ, какимъ-нибудь поэтомъ. Источники Танаида по словамъ другихъ писателей неизвѣстны, а Иродотъ [2]) говоритъ, что онъ вытекаетъ изъ большого озера и впадаетъ въ еще бо́льшее озеро—Меотиду; онъ говоритъ также [3]), что Меотида немногимъ меньше Понта и называется еще матерью Понта. Нужно знать *также* и то, что Арріанъ [4]) упоминаетъ и о другомъ Танаидѣ — Скиѳскомъ, черезъ который съ опасностью переправился Александръ.

19. Діонисій три материка: Ливію, Европу и Азію, самыя большія части земли, «отдаляетъ» одинъ отъ другаго водами, т. е. отдѣляетъ и разграничиваетъ, и границы ихъ опредѣляетъ по находящимся между ними водамъ, потому что это замѣтнѣе и яснѣе. Другіе-же, съ которыми онъ повидимому несогласенъ, потому что такое дѣленіе неопредѣленно и не ясно, — эти три самыхъ большихъ материка отдѣляютъ другъ отъ друга другими меньшими землями, называя границею Азіи и Европы очень большой и широкій перешеекъ между Каспійскимъ и Евксинскимъ *морями*, на каковомъ перешейкѣ находится кромѣ многихъ другихъ мѣстъ и пресловутый Прометеевъ Кавказъ и восточная страна Иверовъ, лежащая между Колхидою и Албаніей. Другой-же большой перешеекъ, на-

1) III, 115. 2) IV, 57 (см. выше стр. 25). 3) IV, 86 (выше, стр. 37). 4) *Anab.* III, 30, 7 и 8.

Digitized by Google

Ἀραβίου κόλπου καὶ Αἰγύπτου ὅρον εἶναί φασι Λιβύης καὶ Ἀσίας...

ходящійся между Аравійскимъ заливомъ и Эгинтомъ, они считаютъ границею Ливіи и Азіи...

31. Ὅτι ἔθνος Σκυθικὸν οἱ Ἀριμασποί, καὶ τούτους οὗτος μὲν ἀρειμανέας ἢ ἀρειμανίους λέγει, Αἰσχύλος δὲ μονῶπα στρατὸν ὀνομάζει, διότι τοξικώτατοι ὄντες ἐπιμύουσι τὸν ἕτερον ὀφθαλμὸν, διὰ τὸ πρὸς τὴν βολὴν εὔστοχον. Καὶ τάχα διὰ τὴν ἄγαν ἐκ παίδων εἰς τοῦτο συνάσκησιν, ὡς καὶ οἱ παλαιοὶ λέγουσιν, εἰς βραχύτερον αὐτοῖς συνέσταλται ὁ ἕτερος τῶν ὀφθαλμῶν. Ἔτι δὲ καὶ τοιοῦτοι, ὡς εἰκὸς, ἐκ προϋπαρξάντων ὁμοίων γεννῶνται πατέρων, καὶ τούτου γινομένου εἰσαεὶ, περιέστη τὸ πάθος εἰς ἐθνικὴν ἰδιότητα· οὐ γὰρ δήπου, φασὶν, ἄλλως ἡ φύσις οὕτω τερατῶδες γένος ἔθνους ἐξήνεγκε. Καὶ αὐτὸ δὲ τοῦτο Ἀριμασποί, καθὰ καὶ Ἡροδότῳ δοκεῖ, ἐκ τοῦ τοιούτου πάθους καλοῦνται, ὡς οἷον εἰπεῖν μονόφθαλμοι· ἀρὶ μὲν γὰρ τὸ ἓν Σκυθιστὶ, μασπὸς δὲ ὁ ὀφθαλμός. Ἱστορεῖ δὲ Ἡρόδοτος καὶ τοὺς χρυσοφύλακας γρῦπας ἀνωτέρω αὐτῶν ἐπὶ θάλασσαν, λέγων καὶ ὅτι ὥσπερ εἰσί τινες Ὑπερβόρειοι, οὕτω καὶ ὑπερνότιοι· καὶ ὅτι ὁ Ἄβαρις ὁ ὑμνούμενος Ὑπερβόρειος ἦν, ὃς οὐδέν τε σιτεῖσθαι λέγεται καὶ τὸν οἰστὸν περιφέρειν κατὰ πᾶσαν τὴν γῆν.

31. Аримаспы — скиѳскій народъ; Діонисій называетъ ихъ ἀρειμανέας или ἀρειμανίους (неистовствующіе отъ Арея, воинственные), а Эсхилъ называетъ ихъ [1]) «одноглазымъ войскомъ», потому что они, будучи весьма искусными стрѣлками, для того, чтобы вѣрнѣе прицѣлиться, закрываютъ одинъ глазъ. И можетъ быть вслѣдствіе прилежнаго упражненія въ этомъ съ дѣтства, какъ говорятъ и древніе, у нихъ одинъ глазъ сдѣлался меньше другаго. А сверхъ того они, естественно, родятся съ этимъ недостаткомъ отъ ранѣе получившихъ его-же отцовъ, и вслѣдствіе постояннаго повторенія этотъ недостатокъ сдѣлался отличительнымъ признакомъ племени: не иначе, конечно, говорятъ, произвела природа столь чудовищное племя. И самое названіе «Аримасповъ» они получили, какъ думаетъ и Иродотъ [2]), вслѣдствіе этого недостатка, какъ, можно сказать, одноглазые: ибо ἀρί по скиѳски значитъ одинъ, а μασπός — глазъ. Иродотъ также разсказываетъ [3]), что выше Аримасповъ у моря живутъ стерегущіе золото грипы, говоря при этомъ [4]), что какъ есть нѣкіе Ипербореи [живущіе на отдаленномъ сѣверѣ], такъ есть и Иперноти [живущіе на отдаленномъ югѣ], и что сказочный Аварисъ, который, какъ говорятъ, ничѣмъ не питался и стрѣлу обнесъ по всей землѣ, былъ Иперборей.

32. Ὅτι ὁ πρὸς Ἀριμασποῖς ὠκεανὸς πεπηγώς τε καλεῖται καὶ Κρόνιος καὶ νεκρός. Καὶ ἡ τούτου αἰτιολογία ἕνεκα φησὶν ἀφαυροῦ ἡλίου, μὴ δυναμένου λεπτῦναι καὶ λῦσαι καὶ ἐξαερῶσαι τὸ ἀναγόμενον ὑγρόν. Βράδιον γὰρ, φησὶν, ὑπὲρ ἅλα τήνδε φαείνει, ἀεὶ δὲ σκιεραῖς παχύνεται νεφέλαις ὁ ἥλιος, διὰ τὴν τῶν νεφῶν πύκνωσιν. Ψυχρὸς οὖν ὡς ἀληθῶς ὁ τόπος, καὶ διὰ τοῦτο κλῆσιν αὐχεῖ συγγενεῖ τῇ ἄγαν ψυχρότητι. Κρόνιος δὲ καλεῖται διὰ τὸ λέγεσθαι τῶν ἐκεῖ τόπων ἄρχειν τὸν ἀστέρα Κρόνον, ὃς εἰς ψύξιν τίθεται ψυχρὸς ὑπὸ τῶν ἀποτελεσματικῶν ἐκλαμβανόμενος, διὸ καὶ τὸ ψυχρὸν αὐτῷ ἀνάκειται. Ὁ δὲ μῦθος καὶ

32. Океанъ, омывающій землю Аримасповъ, называется ледовитымъ, Кронійскимъ и мертвымъ. Причиною этого названія по словамъ *Діонисія* служитъ слабое освѣщеніе солнца, которое не можетъ уменьшить влаги, заставивъ ее растаять и, обратившись въ пары, подняться вверхъ; «солнце, говоритъ онъ, хуже свѣтитъ надъ этимъ моремъ и всегда закрыто мрачными тучами» вслѣдствіе сгущенія облаковъ: итакъ это мѣсто — дѣйствительно холодное и поэтому носитъ названіе, соотвѣтствующее его чрезмѣрному холоду. Кронійскимъ-же называется онъ вслѣдствіе того, что въ этихъ мѣстахъ, какъ говорятъ, господству-

1) Эск. *Пром.* 802. 2) IV, 27 (выше, стр. 19). У Иродота скиѳскія слова приведены въ иной формѣ: ἀριμα и σποῦ. 3) IV, 13 (выше, стр. 15). Текстъ Иродота цитированъ Евстаѳіемъ не вполнѣ точно. Ср. также Ирод. III, 116 (выше, стр. 9). 4) IV, 36.

Digitized by Google

τὰ τοῦ Κρόνου ἐκτεμὼν αἰδοῖα ἐκεῖ ῥίπτει. Παρὰ δέ γε Ἀπολλωνίῳ τῷ ποιητῇ εὑρηται Κρονίη λεγομένη θάλασσα καὶ ὁ μυχὸς τοῦ Ἰονίου κόλπου, ἀπὸ νήσου τινὸς Κρονίας καλουμένης τὴν τοιαύτην κλῆσιν λαχὼν, ὡς καὶ ἀπὸ Ἰκάρου τινὸς νήσου κατά τινας τὸ Ἰκάριον πέλαγος. Ὅτι δὲ οἱ τοιοῦτοι παρωκεάνιοι τόποι πολὺ τὸ ψύχος ἔχουσι, δηλοῖ καὶ τὰ ἄνω τῶν Ἀριμασπῶν Ῥιπαῖα ὄρη, ἐξ ὧν ὁ ψυχρὸς βορρᾶς πνεῖ, ἔνθα χιὼν οὐδέποτε ἐπιλείπει.

ет звѣзда Кронъ, которая, слыв у звѣздочетовъ за холодную, располагаетъ къ охлажденію, почему ей также приписывается холодъ. По миѳическому преданію сюда-же былъ брошенъ половой членъ, отрѣзанный у Крона. А у поэта Аполлонія [1]) названіе «Кронійское море» встрѣчается въ примѣненіи къ углу Іонійскаго залива, получившему это названіе отъ одного острова, называющагося Кроніей, подобно тому какъ и Икарійское море, по нѣкоторымъ, названо такъ отъ острова Икара. А что въ этихъ приокеанскихъ мѣстностяхъ — сильный холодъ, это доказываютъ и находящіяся выше Аримасповъ Рипэйскія горы, съ которыхъ дуетъ холодный Борей, и гдѣ никогда не сходитъ снѣгъ.

48. Ὅτι τὴν Κασπίαν θάλασσαν Πτολεμαῖος μὲν λιμνοειδῶς περιγράφων περιοδεύεσθαι λέγει πεζῇ βαδίζουσι· συμφωνεῖ δὲ αὐτῷ καὶ Ἡρόδοτος, ἐν οἷς λέγει ὅτι ἡ Κασπία ἐστὶν ἐφ' ἑαυτῆς, οὐ συμμίσγουσα τῇ ἑτέρᾳ θαλάσσῃ. Διονυσίῳ μέντοι δοκεῖ τῆς Κρονίας ἁλὸς αὐτὴν ἀποσκίδνασθαι ἐκ βορέαο. Λέγει γὰρ ἐν τοῖς ἑξῆς, ὅτι ὀξὺ ἐπ' ἄρκτους ἑλκομένη προχοαῖς ἐπιμίσγεται ὠκεανοῖο. Καὶ οὕτω μὲν διαφωνοῦσιν αὐτοί. Οἱ δὲ παλαιοὶ συμφωνίαν τῇ τοιαύτῃ τῶν περιηγητῶν διαφωνίᾳ τεχνώμενοί φασιν ὅτι τάχα διὰ τόπων ἀδήλων ὁ Κρόνιος ὠκεανὸς ἑαυτὸν ἐκπέμπων ἀναδίδωσι τὸν Ὑρκάνιον κόλπον. Καὶ οὕτω σωθήσεται καὶ ὁ λόγος ὁ λέγων τὴν Κασπίαν κύκλῳ πεζεύεσθαι, καὶ ὁ εἰπὼν ἐκ τῆς Κρονίας θαλάσσης γενᾶσθαι αὐτήν.

48. Птолемэй [2]), описывая Каспійское море въ видѣ болота, говоритъ, что его можно обойти сухимъ путемъ. Съ нимъ согласенъ и Иродотъ, говорящій [3]), что Каспійское море существуетъ само по себѣ, не соединяясь съ другимъ моремъ. Діонисію-же кажется, что оно «разливается изъ Кронійскаго моря съ сѣвера», ибо далѣе онъ говоритъ: «съуживаясь на сѣверѣ, оно сливается съ водами Океана». Такимъ образомъ они разногласятъ *между собою*. Древніе-же, стараясь согласить такое разногласіе описателей, говорятъ, что, быть можетъ, Кронійскій океанъ, разливаясь по неизвѣстнымъ мѣстамъ, образуетъ Иркапскій заливъ. Такимъ образомъ останется въ силѣ и тотъ разсказъ, по которому Каспійское море можно обойти кругомъ, и тотъ, по которому оно беретъ начало изъ Кронійскаго моря.

76. ... Οἱ μέντοι παρὰ Τυρσηνοῖς Λίγυρες ἀπὸ Λίγυρος ποταμοῦ ὀνομάζονται. Ἰστέον δ' ὅτι ἐοίκασι καὶ Κολχικοί τινες Λίγυες εἶναι ἄποικοι τῶν Εὐρωπαίων, καὶ δηλοῖ ὁ Λυκόφρων, ἱστορῶν ἐν τοῖς Κόλχοις Κύταιαν Λιγυστικὴν πόλιν...

76. ... Сосѣдніе съ Этрусками Лигуры носятъ названіе отъ р. Лигура. Нужно знать, что есть повидимому и колхидскіе Лигійцы, происшедшіе отъ европейскихъ; это показываетъ Ликофронъ, называющій [4]) въ землѣ Колховъ лигистійскій городъ Китэю.

142. ... Ἰστέον δὲ ὅτι ἐστὶ καὶ Κιμμέριος Βόσπορος ὁ περὶ Χερσῶνα, ὁ καὶ Μαιωτικός, οὗ τὸ στενότατον εἴκοσι στάδια ἢ καὶ ὀλίγον τι πλέον. Λέγεται δὲ Βόσπορος μὲν διὰ τὴν αὐτὴν αἰτίαν καὶ ἐκεῖνος, ἐκ τῆς Ἰοῦς τῆς βοός, Κιμμέριος δὲ διὰ τὸ παροικοῦν ὁμώνυμον ἔθνος, οὗ πολὺς λόγος,

142. ... Нужно знать, что есть и Киммерійскій Воспоръ около Херсона, называемый также Меотійскимъ; въ самомъ узкомъ мѣстѣ его — 20 или немного болѣе стадій ширины. Воспоромъ называется онъ по той-же причинѣ, [какъ и Ѳракійскій], именно отъ коровы Іо, а Киммерійскимъ—

1) Аполл. Род. *Аргон.* IV, 327. 2) *Геогр.* II, 2. 3) I, 203 (выше, стр. 6).
4) Ликофр. *Алекс.* 1312.

Digitized by Google

ὡς τὴν Ἀσίαν ἦν ὅτε καταδραμόντος ἕως καὶ εἰς αὐτὴν Βιθυνίαν...

146. Ὅτι τὸν Εὔξεινον, ἅπλουν τε ὄντα καὶ Ἄξεινον θάλασσάν ποτε καλούμενον, Εὔξεινον οἱ ὕστερον κατὰ σχῆμα εὐφημισμοῦ μετεκάλεσαν. Ἄξεινος δὲ ἐλέγετο (ταὐτὸν δὲ εἰπεῖν ἀπόξεινος κατὰ τὸν Σοφοκλῆν) ἢ διὰ τὸ μὴ ἔχειν νήσων καταγωγάς, ἢ διὰ τοὺς περιοικοῦντας Σκύθας, ἀνεπιμίκτους βαρβάρους, οἳ καὶ ἐξενοθύτουν καὶ ἐσαρκοφάγουν, καὶ ἀνθρώπων κρανίοις ἐχρῶντο ἀπώμασιν. Ἕνεροι δέ φασιν Ἡρακλέα κεκαθάρκεναι τὰ τῇδε, καὶ εἰς Εὔξεινον μετασκευάσαι τὸν Ἄξεινον. Ἄλλοι δὲ εἰς Ἴωνας ἀνάγουσι τὸ τοιοῦτον ἀρίστευμα, οἳ πόλεις πολλὰς ἐν τῇ παραλίᾳ ᾤκισαν.

147. Ἰστέον δὲ ὅτι τοῖς παλαιοῖς ὁ Εὔξεινος πόντος μέγιστος τῶν καθ' ἡμᾶς ἐδόκει, καὶ οἱ πλέοντες ἐκεῖ ἐκτοπίζειν ἐνομίζοντο, καθὰ καὶ οἱ ἔξω Στηλῶν, καὶ ἄλλος τις ὥσπερ ὠκεανὸς τοῖς τότε ὑπελαμβάνετο, καὶ τὸ εἰς αὐτὸν πλέειν ἐξωκεανίζειν ἐνομίζετο. Διὸ καθὰ προερρέθη καὶ κατ' ἐξοχὴν ἰδίως Πόντος ἐλέγετο· καθὰ καὶ οὗτος ὁ ποιητὴς αὐτὸν καλεῖ ἐν τῷ «δεξιὰ Πόντου», καὶ «καλέουσι δὲ μητέρα Πόντου», καὶ «Πόντου τὸ μυρίον ὕδωρ». Διὰ δὲ τὸ κακόξενον καὶ δύσπλοον αὐτοῦ καὶ τὸ εἰς Πόντον ἀπελθεῖν ὅμοιον ἦν τῷ εἰς μέγα κακόν, ὡς καὶ οἱ παλαιοί φασιν· ὅπερ μέχρι καὶ εἰς ἄρτι κρατεῖ. Καὶ τοῦτο δηλοῖ μὲν καὶ ὁ Γεωγράφος, λέγει δὲ καὶ ὁ Δειπνοσοφιστὴς τὸ ἐκ πολλοῦ Πόντου ταὐτὸν εἶναι ὡς ἐὰν εἴπῃ τις ἐκ πολλοῦ ὀλέθρου. Ἡρόδοτος δὲ ἀξιοθέατον Πόντον τὸν Εὔξεινον λέγει καὶ πελαγέων ἁπάντων θαυμασιώτατον, ἱστορῶν καὶ τὸ μῆκος αὐτοῦ καὶ τὸ πλάτος πόσων σταδίων ἐστίν.

148. Ὅτι αἱ τοῦ Εὐξείνου πόντου κέ-

по сосѣднему одноименному народу, о которомъ есть много разсказовъ, какъ онъ нѣкогда дѣлалъ набѣги въ Азію вплоть до Виѳиніи...

146. Евксинъ, неудобный для плаванія и потому нѣкогда называвшійся Негостепріимнымъ моремъ, позднѣйшіе переименовали въ Гостепріимное въ видѣ евфемизма. А Негостепріимнымъ онъ назывался (то-же можно выразить прилаг. Ἀπόξεινος, по Софоклу) или вслѣдствіе того, что не имѣетъ острововъ съ пристанями, или изъ-за живущихъ по берегамъ его Скиѳовъ, необщительныхъ варваровъ, которые даже убивали для жертвы чужестранцевъ и ѣли ихъ мясо, а изъ человѣческихъ череповъ дѣлали чаши. Другіе-же говорятъ, что Иракълъ очистилъ здѣшнія мѣста и сдѣлалъ море изъ Негостепріимнаго Гостепріимнымъ. Иные этотъ подвигъ приписываютъ Іонянамъ, которые основали на побережьѣ много городовъ.

147. Нужно знать, что Евксинскій Понтъ древнимъ, вслѣдствіе незнакомства съ нимъ, казался самымъ большимъ изъ морей, и отправлявшіеся туда считались ѣдущими за край свѣта, какъ и *ѣздившіе* за *Иракловы* Столпы; тогда принимали *это море* какъ-бы за другой океанъ, и путешествіе туда считалось путешествіемъ въ океанъ. Поэтому, какъ было сказано, онъ преимущественно *передъ другими морями* назывался спеціально «Понтомъ», какъ называетъ его и нашъ поэтъ въ выраженіяхъ: «правая часть Понта» или: «называютъ матерью Понта» или: «неизмѣримыя воды Понта». Вслѣдствіе-же его негостепріимства и опасностей плаванія отправиться въ Понтъ значило то же, что идти на великое несчастіе, какъ говорятъ и древніе; это мнѣніе остается въ силѣ и по настоящее время. Объ этомъ свидѣтельствуетъ и Географъ [1]), а также и Діпнософистъ [2]) говоритъ, что слова: «изъ великаго Понта» по значенію равносильны выраженію: «изъ вѣрной гибели». А Иродотъ [3]) говоритъ, что Евксинскій Понтъ представляетъ замѣчательное зрѣлище и болѣе всѣхъ морей достойно удивленія; онъ приводитъ при этомъ измѣренія его длины и ширины въ стадіяхъ.

148. «Пути Евксинскаго Понта идутъ

1) Страв., p. 21 (выше, стр. 93). 2) Аѳин. *Дипнософ.* p. 351 *C.* 3) IV, 85 (выше, стр. 37).

Digitized by Google

λευθοι λοξαὶ ἐπιτρέχουσιν ἀεὶ πρὸς βορέην τε καὶ ἀντολίην ὁρῶσαι, καὶ ὅτι περὶ αὐτὸν δύο κολῶναι, ἤτοι ἄκραι καὶ ἔξοχαι, ἔνθα καὶ ἔνθα, ἡ μὲν νοτιωτέρα ἡ Κάραμβις περὶ τὴν Παφλαγόνων γῆν, φυλάττουσα μέχρι καὶ νῦν τὴν ἀρχαιογονίαν τῆς κλήσεως, ἡ δὲ βορειοτέρα, ἥτις ἐστὶ τὸ τοῦ Κριοῦ μέτωπον τὸ ἤδη καὶ ἀνωτέρω ῥηθὲν, τὸ περί που τὰ Κιμμέρια. Αἱ δὲ δύο αὗται ἄκραι οὕτως ἀλλήλαις ἀντικείμεναι ὑψοῦ τε ἀνέχουσι καὶ ἐπὶ πολὺ τῆς θαλάσσης εἰσέχουσι, καὶ διέχουσι μὲν ἀλλήλων ὅσον ἂν ὁλκὰς πλοῦν ἐπὶ τρίτον ἦμαρ ἀνύσῃ, ὅμως δὲ ἄμφω συνιᾶσιν ἐναντίαι καθ' ὁμοιότητά τινα καὶ αὐταὶ τῶν Πλαγκτῶν πετρῶν· ὡς ἐκ τούτου οἱονεὶ διθάλασσον τοῖς ἑκατέρωθεν πλέουσι δοκεῖν τὸν Εὔξεινον, κολουομένης ὡς ἔν τινι διατειχίσματι ταῖς δυσὶ ταύταις μακραῖς κολώναις τῆς ὁράσεως· ὥστε καὶ τοὺς ἐκ τῶν ἑῴων πρὸς τὰ ἑσπέρια πλέοντας καὶ τοὺς ἐκ τῆς ἑσπέρας ἐπὶ τὰ ἑῷα δοκεῖν εἰς αὐτὰς συντελεῖσθαι τὴν θάλασσαν, οἷα μὴ διϊκνουμένης τῆς ὁράσεως αὐτοῖς ὑπερέκεινα, ὁπηνίκα δὲ περὶ τὸ μέσον τῶν ἀκρωτηρίων γένοιντο οὗτοί τε καὶ ἐκεῖνοι, τότε δὴ τὴν λοιπὴν αὐτοῖς διαφαίνεσθαι θάλασσαν, ὥσπερ ἑτέραν δευτέραν ὑπανοιχθεῖσαν, μὴ βλεπομένην προτοῦ. Διὰ γὰρ τὴν τῶν ἀκρωτηρίων τοιαύτην ἀντίθεσιν διαιρεῖσθαί πως ὁ Εὔξεινος τοῖς πόρρωθεν βλέπουσιν εἰς πελάγη δύο δοκεῖ τῷ ἑκατέρωθεν γινομένῳ σφιγγόμενος πορθμῷ, καὶ τούτῳ τῷ τρόπῳ φαίνεται διδύμη θάλασσα, καθά που λέγει ὁ Σοφοκλῆς. Καὶ ταῦτα μὲν οὕτως. Οἱ δὲ παλαιοὶ περὶ τούτων οὕτως φράζουσιν ἐπιτομώτερον καὶ γοργότερον. «Ὁ Ἑλλήσποντος ἐκδίδωσι πρὸς ἄρκτον εἰς τὴν Προποντίδα, ἡ δὲ εἰς τὸν Εὔξεινον, ὃς διθάλασσός ἐστι τρόπον τινά· κατὰ μέσον γὰρ ἄκραι δύο προπίπτουσι, διέχουσαι ἀλλήλων περὶ δισχιλίους πεντακοσίους σταδίους, καὶ συνάγουσι τὸν μεταξὺ πόρον, καὶ ποιοῦσι δύο πελάγη μεγάλα».

157. Ὅτι τὸν Εὔξεινον, οὗ λοξὰς ἔφθασεν εἰπὼν τὰς κελεύθους, τόξῳ ἀπεικάζει τεταμένῳ Σκυθικῷ. Σκυθικὰ δὲ τόξα τὰ ἐκ κεράτων συγκείμενα. Καὶ νευρᾶς μὲν εἶναι σημεῖα τίθησι τὰ τοῖς εἰσπλέουσι δεξιὰ τοῦ Πόντου, ἤτοι τὰ νότια, εὐθὺ διαγραφέντα, τουτέστι ταθέντα κατ' εὐθεῖαν γραμμήν, καὶ ὑπερβάντα τὴν Κάραμβιν, ἐκτὸς πεσοῦ-

вкось, всегда смотря къ сѣверу и востоку, и съ обѣихъ сторонъ его выдаются двѣ холῶναι», т. е. высокіе мысы: одинъ южный — Карамвій, въ землѣ Пафлагоновъ, сохраняющій и до нашихъ дней свое старинное названіе, а другой сѣверный — Бараній лобъ, уже упомянутый выше, гдѣ-то въ Киммерійской землѣ. Эти два мыса, лежащіе такимъ образомъ одинъ противъ другаго, высоко поднимаются и далеко вдаются въ море, и отстоятъ одинъ отъ другаго на 3 дня плаванія грузоваго судна; однако и они оба сходятся другъ противъ друга почти такъ-же, какъ Блуждающія скалы; такъ что вслѣдствіе этого Евксинъ плывущимъ съ обѣихъ сторонъ представляется какъ-бы состоящимъ изъ 2 морей, такъ какъ этими двумя мысами образуется преграда для зрѣнія, какъ-бы въ видѣ стѣны, такъ что ѣдущимъ и съ востока на западъ, и съ запада на востокъ кажется, что море оканчивается этими мысами, такъ какъ взоръ ихъ не простирается по ту сторону; но когда тѣ и другіе очутятся по серединѣ между мысами, тогда для нихъ становится видимою и остальная часть моря, какъ-бы открывшееся другое море, котораго раньше не было видно; ибо вслѣдствіе такой противоположности мысовъ Евксинъ смотрящимъ издали кажется раздѣленнымъ на 2 моря, съуживаясь съ обѣихъ сторонъ въ видѣ пролива, и такимъ образомъ оно представляется двойнымъ моремъ, какъ говоритъ гдѣ-то и Софоклъ[1]). Итакъ это — таково. Древніе-же писатели[2]) говорятъ объ этомъ короче и рѣзче слѣдующимъ образомъ: «Геллеспонтъ изливается на сѣверѣ въ Пропонтиду, а эта — въ Евксинъ, который какъ-бы состоитъ изъ 2 морей, ибо по срединѣ его выдвигаются два мыса, отстоящіе одинъ отъ другаго приблизительно на 2500 стадій, съуживаютъ *находящійся* между *ними* проливъ и образуютъ два большихъ моря».

Поэтъ сравниваетъ Евксинъ, котораго пути только что назвалъ кривыми, съ натянутымъ скиѳскимъ лукомъ. Скиѳскіе-же луки *называются* состоящіе изъ роговъ. Подобіе тетивы онъ придаетъ правой, для въѣзжающихъ, *сторонѣ* Понта, т. е. южной, «описанной прямо», т. е. тянущейся по прямой линіи и миновавшей Карамвій,

1) Соф. *Антиг.* 967. 2) Страв. р. 124 (выше, стр. 103).

Digitized by Google

σαν τῆς γραμμῆς, πλὴν οὐ πρὸς νότον, ἀλλ' εἰς βορέαν ὁρῶσαν· ἵνα μὴ σκολιὰ γένηται ἡ τοῦ τόξου νευρά, προσλογιζομένης καὶ τῆς καμπῆς τῆς Καράμβεως. Τὰ δὲ τοῦ Πόντου βόρεια τὰ τοῖς ἐκ τῆς Προποντίδος εἰσπλέουσι σκαιά, ἤγουν ἀριστερά, σχῆμα ἔχειν φησὶ τῶν τοῦ τόξου δύο κεράτων, διὰ τὸ καὶ αὐτὰ ὁμοίως τοῖς τοῦ τόξου κέρασιν ἐπὶ δισσὴν κυρτοῦσθαι στροφάλιγγα ἑκατέρωθεν τοῦ Μετώπου τοῦ κριοῦ...

163. Ὅτι πρὸς βορρᾶν Εὐξείνου ἡ Μαιῶτις λίμνη, καὶ ὅτι Σκύθαι αὐτὴν ἀμφινέμονται καὶ εἰς αὐτὴν τερματοῦνται. Φησὶν οὖν ὁ Ἡρόδοτος «Τάναϊν διαβάντι οὐκέτι Σκυθίη». Ἔθνος δὲ καὶ οἱ Μαιῶται Σκυθικόν, πολυανθρωπότατόν τε καὶ ἄλκιμον, ἄνδρες γεωργοὶ καὶ πολεμισταί. Τὴν δὲ τοιαύτην Μαιῶτιν μητέρα τοῦ Πόντου καλοῦσιν· ὅθεν καὶ τούτου τινές φασι λαχεῖν αὐτὴν τοῦ ὀνόματος· μαῖα γὰρ ἡ τροφός. Διὸ καὶ ὁ Περιηγητής φησιν «ἐξ αὐτῆς Πόντου τὸ μυρίον ἕλκεται ὕδωρ, ὀρθὸν Κιμμερίου διὰ Βοσπόρου, παρ' ᾧ πολλοὶ Κιμμέριοι ναίουσιν ὑπὸ ψυχρῷ ποδὶ Ταύρου». Φασὶ δέ τινες καὶ μὴ πολὺ ἐλάττονα εἶναι τοῦ Πόντου τὴν αὐτοῦ μητέρα ταύτην τὴν Μαιώτιδα. Ἰστέον δὲ ὅτι καὶ Μαιῶτις λέγεται διὰ τοῦ ω παρὰ τοῖς παλαιοῖς, ὡς ἀπὸ τοῦ μαιῶ, μαιώσω, καὶ Μαιῆτις διὰ τοῦ η, ὡς ἀπὸ τοῦ μαῖα. Ταῦρον δὲ λέγει ὄρος ἄλλο παρὰ τὸν μετὰ ταῦτα ῥηθησόμενον ἐῷον Ταῦρον, ἢ βόρειόν τι τμῆμα ἐκείνου τοῦ Ταύρου, ὑφ' ᾧ κεῖνται οἱ Κιμμέριοι, τὸ Σκυθικὸν ἔθνος. Ἔνθα καὶ ἡ Ταυρικὴ χερρόνησος, μεγάλη οὖσα, καὶ ὥς φασί τινες τῇ Πελοποννήσῳ ἐοικυῖα καὶ τὸ σχῆμα καὶ τὸ μέγεθος, παρακειμένη δυσμικὴ τῷ στόματι τῆς Μαιώτιδος. Οἱ δὲ ἐνταῦθα Σκύθαι Ταυροσκύθαι λέγονται ἀπὸ τοῦ ἐκεῖ Ταύρου ὄρους, ὅπερ οἶδε καὶ Ἡρόδοτος, ἱστορῶν καὶ αὐτὸς ὄρη Ταυρικά, Σκυθικά. Περὶ δὲ Κιμμερίων ζήτει ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Τὸ δὲ ὑπὸ ψυχρῷ ποδὶ Ταύρου ἔχει τι ἀστεῖον καὶ αἰνιγματῶδες κατὰ τὴν ὁμωνυμίαν τῶν λέξεων.

298. Ὅτι τῷ Ῥήνῳ ἐξῆς ὁ Ἴστρος ἐπιτέλλεται, ἤγουν ἀνατέλλει κάτωθέν ποθεν·

выступившій внѣ *этой* линіи, но обращенный не къ югу, а къ сѣверу; для того, чтобы не стала кривою тетива лука, если-бы причислить къ *ней* и изгибъ Карамвія. Сѣверная же сторона Понта, для въѣзжающихъ изъ Пропонтиды лѣвая, по его словамъ имѣетъ видъ двухъ роговъ лука, потому что она подобно рогамъ лука изгибается двойнымъ извивомъ по обѣ стороны Бараньяго лба...

163. Къ сѣверу отъ Евксина *находится* Мэотійское озеро; Скиѳы его окружаютъ и имъ ограничиваются *ихъ земли*. Иродотъ говоритъ: «за Танаидомъ уже не Скиѳія» [1]). Но и Мэоты — также скиѳскій народъ, очень многочисленный и сильный, занимающійся земледѣліемъ и войной. Мэотійское озеро называютъ матерью Понта, и отъ этого, по мнѣнію нѣкоторыхъ, оно получило и первое свое названіе: μαῖα значитъ «кормилица». Поэтому и нашъ Перінгитъ говоритъ: «огромная масса воды Понта выливается изъ него прямо черезъ Киммерійскій Воспоръ, у котораго живутъ многочисленные Киммерійцы у холодной подошвы Тавра». Нѣкоторые говорятъ, что и по величинѣ немногимъ уступаетъ Понту эта мать его, *т. е.* Мэотійское озеро. Нужно знать, что у древнихъ встрѣчается какъ форма Μαιῶτις, черезъ ω, какъ-бы отъ *глагола* μαιῶ, μαιώσω [повиваю, повью], такъ и Μαιῆτις, черезъ η, какъ-бы отъ μαῖα [кормилица]. Тавромъ онъ здѣсь называетъ другую гору, не тотъ восточный Тавръ, о которомъ будетъ сказано ниже, или-же — сѣверную часть того Тавра, у подошвы которой живетъ скиѳское племя Киммерійцы. Здѣсь-же и Таврическій полуостровъ, большой и по нѣкоторымъ извѣстіямъ похожій на Пелопоннисъ и по виду, и по величинѣ, прилегающій съ запада къ устью Мэотійскаго озера. Живущіе здѣсь Скиѳы называются Тавроскиѳами отъ тамошней горы Тавра, которую знаетъ и Иродотъ [2]), упоминающій о горахъ Таврическихъ въ Скиѳіи. Относительно Киммерійцевъ см. *наши* замѣтки къ Одиссеѣ [3]). Выраженіе ὑπὸ ψυχρῷ ποδὶ Ταύρου нѣсколько витіевато и загадочно вслѣдствіе двоякаго значенія словъ.

298. Недалеко отъ Рейна ἐπιτέλλεται Истръ, т. е. появляется откуда-то снизу;

1) IV, 21 (выше, стр. 17). 2) IV, 3 (выше, стр. 11). 3) λ, 14, p. 1670.

Digitized by Google

ὂν καὶ ἱερόν φησιν, καὶ σεμνύνει διὰ συνήθους ἐπαναλήψεως, λέγων καὶ ὅτι εἰς τὸν Εὔξεινον πᾶσαν ἐρεύγεται ὕδατος ἄχνην, πενταπόροις προχοαῖς, ὅ ἔστι πέντε στόμασιν, ἐλισσόμενος περὶ Πεύκην. Νῆσος δὲ ἡ Πεύκη τρίγωνος, μεταξὺ κειμένη τῶν τοῦ Ἴστρου στομάτων. Ὁ μὲν Πτολεμαῖος ἑπτάστομον καὶ τὸν Ἴστρον λέγει, καθὰ καὶ τὸν Νεῖλον. Ὡσαύτως καὶ ὁ Γεωγράφος, ὃς λέγει καὶ ὅτι μέγιστός ἐστι τῶν Εὐρωπαίων ποταμῶν, διέχων τοῦ Ἀδριατικοῦ μυχοῦ χιλίους σταδίους, καὶ ὅτι ἀρχόμενος ἀπὸ Γερμανῶν ῥέει πρὸς νότον, εἶτα ἐπιστρέφει πρὸς ἀνατολὰς ἕως εἰς τὸν Πόντον. Ἔχει δὲ μέγιστον στόμα τὸ λεγόμενον ἱερόν, ὅπερ ἔζευξέ ποτε Δαρεῖος, ὡς ὁ Ξέρξης τὰ τοῦ Ἑλλησπόντου στενά. Περιέχει δὲ καὶ ἄλλα νησίδια ὁ Ἴστρος τοῖς στόμασι δίχα τῆς Πεύκης.

1 его Діонисій называетъ даже священнымъ и выражаетъ уваженіе обычнымъ повтореніемъ; по его выраженію «Истръ изрыгаетъ въ Евксинъ всю пѣну своихъ водъ пятью изливами», т. е. устьями, «извиваясь вокругъ Певки». Островъ Певка имѣетъ видъ треугольника и лежитъ между устьями Истра. Однако Птолемэй называетъ и Истръ, подобно Нилу, семиустнымъ. Также и Географъ [1]) говоритъ, что Истръ — величайшая изъ европейскихъ рѣкъ, отстоящая отъ Адріатическаго залива на 1,000 стадій, и что, получая начало въ *землѣ* Германцевъ, онъ течетъ къ югу, затѣмъ поворачиваетъ къ востоку до *самаго* Понта. Самое большое устье его — такъ называемое Священное, черезъ которое Дарій нѣкогда построилъ мостъ, какъ Ксерксъ — черезъ узкую часть Геллеспонта. Кромѣ Певки Истръ образуетъ своими рукавами и другіе островки.

302. Ὅτι πρὸς βορέαν τῷ Ἴστρῳ ἔθνη κεῖται ταῦτα, Γερμανοί, Σαμάται, ἤτοι Σαρμάται, κατὰ ἔλλειψιν τοῦ ρ ἀμεταβόλου, ὡς προγέγραπται, καὶ Γέται καὶ Βαστάρναι, Δακῶν τε ἄσπετος γῆ, καὶ Ἀλανοὶ καὶ Ταῦροι οἱ καὶ Ῥῶσοι, οἱ περὶ τὸν Ἀχιλλέως δρόμον, καὶ Μελάγχλαινοι καὶ Ἱππημολγοί, περὶ ὧν ἐν τοῖς εἰς τὴν Ἰλιάδα γέγραπται, καὶ Νευροὶ καὶ Ἱππόποδες οἱ κατά τινας Χάζαροι, καὶ Γελωνοὶ καὶ Ἀγάθυρσοι...

302. Къ сѣверу отъ Истра живутъ слѣдующія племена: Германцы, Саматы, т. е. Сарматы (*первая форма произошла* вслѣдствіе выпаденія неизмѣняемаго р), Геты, Вастарны, пепзмѣримая земля Даковъ, Аланы, Тавры или Росы, *живущіе* около Ахиллова Бѣга, Меланхлэны, Иппимолги, о которыхъ написано въ *нашихъ* замѣткахъ къ Иліадѣ [2]), Невры, Иппоподы или по нѣкоторымъ Хазары, Гелоны и Агаѳирсы...

304. ...Ὅτι τοὺς Γέτας Διονύσιος μὲν πρὸς βορρᾶν τοῦ Ἴστρου οἶδεν, ὡς ἀνωτέρω εἴρηται· καθὰ καὶ τοὺς Σαρμάτας, οἳ ἔθνος εἰσὶ Σκυθικόν. Ἡρόδοτος δὲ μέρος οἴεται εἶναι τῶν Θρᾳκῶν τοὺς Γέτας, ὁ δὲ Γεωγράφος ἑφ' ἑκάτερα τοῦ ποταμοῦ αὐτοὺς ἱστορεῖ, ὡς καὶ τοὺς Μυσοὺς καὶ τοὺς Θρᾷκας. Φιλογύναιοι δὲ, φησὶν, εἰσὶ, καὶ περὶ τὸ θεῖον σπουδάζοντες. Παρ' οἷς ἦν καὶ ὁ Ζάμολξις Πυθαγόρᾳ φοιτήσας καὶ τοῖς Αἰγυπτίοις καὶ πολλὰ προειπὼν, καὶ θεὸς διὰ τοῦτο κληθεὶς, καὶ κοινωνῶν βασιλεῖ τῶν πραγμάτων...

304. Діонисій, какъ сказано выше, знаетъ Гетовъ къ сѣверу отъ Истра, такъ же, какъ и Сарматовъ, которые суть племя скиѳское. По мнѣнію Иродота [3]), Геты составляютъ часть Ѳракійцевъ, по словамъ же Географа [4]), они живутъ, по обѣ стороны *названной* рѣки, подобно Мисамъ и Ѳракійцамъ. Онъ говоритъ, что они женолюбивы и религіозны. У нихъ былъ и Замолксисъ, который учился у Пиѳагора и у Эгиптянъ, многое предсказывалъ и за это былъ названъ богомъ и участвовалъ съ царемъ въ государственномъ управленіи...

305. Ὅτι τοὺς Δάκας Δάους ἐκάλουν τινές. Φησὶν οὖν καὶ ὁ Γεωγράφος, ὅτι οἱ Δάκαι Δάοι ποτὲ ὠνομάζοντο. Ὁ δὲ Ἡρόδοτος νομαδικὸν Περσικὸν γένος τοὺς Δάους λέγει, καθὰ καὶ τοὺς Μάρδας καὶ ἄλλους

305. Даковъ нѣкоторые называли Даями. Географъ также говоритъ [5]), что Даки нѣкогда назывались Даями. Иродотъ-же говоритъ [6]), что Даи — персидское кочующее племя, какъ и Марды и нѣкоторыя другія.

---

1) p. 289 (выше, стр. 107). 2) v, 5. 3) IV, 93 (выше, стр. 38). 4) Страв., p. 295 (выше, стр. 109). 5) Страв., p. 304 (выше, стр. 117). 6) I, 125.

Digitized by Google

τινάς. Ὁ δὲ τὰ Ἐθνικὰ γράψας καὶ πλησίον τοῦ ποταμοῦ Βορυσθένους φησὶ τὴν Δακίαν διήκειν, περὶ οὗ Βορυσθένους κατωτέρω ῥηθήσεται. Λέγει δὲ καὶ ὅτι παρὰ τοῖς Ἀττικοῖς ὡς ἐπὶ πολὺ τὰ τῶν οἰκετῶν ὀνόματα Δάοι καὶ Γέται. Φέρεται δὲ ἱστορία καὶ νοτιωτέρους τοῦ Ἴστρου Δάκας εἶναι· φασὶ γὰρ ὅτι Αὐρηλιανὸς τοὺς περὶ τὴν Δακίαν ἀπῳκισμένους Ῥωμαίους ἐκεῖθεν ἐξαγαγὼν διὰ τοὺς ἐν τῇ περαίᾳ τοῦ Ἴστρου κινδύνους ἐν μέσῃ τῇ Μυσίᾳ καθίδρυσε, τὴν χώραν ὀνομάσας Δακίαν.

Ὅτι Ἀλανὸς ὄρος Σαρματίας, ἀφ' οὗ τὸ ἔθνος οἱ Ἀλανοὶ ἔοικεν ὀνομάζεσθαι, οὓς καὶ ἀλκήεντας ὁ Διονύσιος καὶ πολυίππους καλεῖ.

306. Ὅτι ὁ Ἀχιλλέως δρόμος, ὃν οἱ Ταῦροι τὸ ἔθνος ναίουσιν, αὐλών τίς ἐστι στενὸς ὁμοῦ καὶ δολιχός, καὶ κατὰ τὸν Γεωγράφον χερρόνησος ἀλιτενής, οἷόν τις ταινία (ἤτοι φασκία), μῆκος ὅσον χιλίων σταδίων ἐπὶ τὴν ἕω, ἀμμώδης, πλάτος δὲ δύο σταδίων τὸ μέγιστον. Τοῦτον τὸν δρόμον ὁ Ἑλληνικὸς Ἀχιλλεὺς περιῆλθε, μεταδιώκων τὴν τοῦ Ἀγαμέμνονος Ἰφιγένειαν, ἐξ Αὐλίδος ἁναρπασθεῖσαν εἰς Σκυθίαν, ὁπηνίκα ἔλαφον ἡ Ἄρτεμις εἰς θυσίαν ἀντέδωκεν· ἔνθα καὶ μείνας πολὺν χρόνον ὁ Ἀχιλλεύς, καθὰ δοκεῖ καὶ τῷ Λυκόφρονι, ἀφῆκε τῷ τόπῳ τὴν ἐξ αὐτοῦ κλῆσιν. Ὅτι δὲ προκατηγγυημένη ἦν τῷ Ἀχιλλεῖ ἡ Ἰφιγένεια καθωμίληται. Ἄλλοι δέ φασιν ἕτερον εἶναι τοῦτον Ἀχιλλέα, παρὰ Σκύθαις βασιλέα τῶν τόπων, ὃς ἠράσθη τε τῆς Ἰφιγενείας πεμφθείσης ἐκεῖ καὶ ἔμεινεν ἐπιδιώκων, ἐξ οὗ ὁ τόπος Ἀχίλλειος. Οἱ δὲ τοῦτο λέγοντες παραφέρουσι μάρτυρα τὸν Ἀλκαῖον λέγοντα· «Ἀχιλλεὺς ὃς τᾶς Σκυθικᾶς μεδέεις». Ἀπὸ δὲ Ἀχιλλέως καὶ ἡ Λευκὴ νῆσος ἡ μετὰ ταῦτα ῥηθησομένη Ἀχίλλειος ἐλέγετο νῆσος περὶ τὸν Εὔξεινον, ἔνθα φασὶν οἱ Σκύθαι τὴν Ἀχιλλέως ψυχὴν διαβαίνουσαν τὰ ἑαυτῆς ἀθύρειν. Οἱ δὲ Ταῦροι τὸ ἔθνος ἀπὸ τοῦ ταύρου τοῦ ζώου, φασί, καλοῦνται, διὰ τὸ ἐκεῖ τὸν Ὄσιριν ζεύξαντα βοῦν ἀρόσαι γῆν. Περὶ τούτους νῆσος ἡ Ταυρικὴ ἡ καὶ Μαιωτική, μεγάλη καὶ ἐπίσημος, ᾗ παράκειται καὶ ἡ Φαναγόρεια καὶ ἡ Ἑρμώνασσα, ὡς ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. Καὶ ἡ Ἄρτεμις δὲ Ταυροπόλος ἀπὸ τούτων δοκεῖ τῶν Ταύρων λέγεσθαι, οἷς ἔχαιρεν ὡς

А авторъ книги «О народахъ» [1]) говоритъ, что Дакія простирается *до мѣстностей* близъ р. Борисѳена, о которомъ будетъ сказано ниже. Онъ говоритъ также, что у жителей Аттики имена рабовъ — большею частью Даи и Геты. Есть также извѣстіе, что Даки живутъ южнѣе Истра: говорятъ, что Авреліанъ, выведя Римлянъ, поселенныхъ въ Дакіи, изъ этой страны вслѣдствіе опасностей, *которыя имъ грозили* на той сторонѣ Истра, поселилъ ихъ въ срединѣ Мисіи, назвавъ *эту* страну Дакіей. Аланъ — горный хребетъ въ Сарматіи, отъ котораго повидимому получило названіе племя Алановъ, которыхъ Діонисій называетъ сильными и многоконными.

306. Бѣгъ Ахиллова, на которомъ живетъ племя Тавровъ, представляетъ собою узкую и длинную косу; по Географу [2]) это низкій полуостровъ въ родѣ ленты (или перевязи), длиною почти въ 1000 стадій къ востоку, песчаный, въ 2 стадія наибольшей ширины. Этотъ Бѣгъ пробѣжалъ еллинскій *герой* Ахиллъ, преслѣдуя Агамемнонову дочь Ифигенію, похищенную изъ Авлиды въ Скиѳію, когда Артемида подмѣнила ее ланью для жертвы. Ахиллъ, пробывъ здѣсь долгое время, какъ думаетъ и Ликофронъ [3]), далъ этому мѣсту свое имя. По наиболѣе распространенному преданію Ифигенія была ранѣе помолвлена за Ахилла; иные-же говорятъ, что это — другой Ахиллъ, скиѳскій царь этихъ земель, который влюбился въ отосланную туда Ифигенію и останавливался *здѣсь* во время ея преслѣдованія, отъ чего *это* мѣсто *и названо* Ахилловымъ. Тѣ, которые это говорятъ, ссылаются на слова Алкея: «Ахиллъ, ты, который владычествуешь надъ Скиѳской землей». По имени Ахилла и Бѣлый островъ, о которомъ будетъ сказано ниже, назывался Ахилловымъ островомъ въ Евксинскомъ *Понтѣ*, гдѣ, какъ говорятъ Скиѳы, душа Ахиллова увеселяется воспоминаніемъ своихъ подвиговъ. Племя-же Тавровъ получило названіе, говорятъ, отъ животнаго вола, такъ какъ тамъ Озирисъ, запрягши вола, пахалъ землю. У нихъ *есть* большой и замѣчательный островъ Таврическій или Меотійскій, къ которому прилежитъ и Фанагорія и Ермонасса, какъ

1) Стеф. Виз. п. сл. Дакія. 2) Страв. р. 307 (выше, стр. 122). 3) Ликофр. *Алекс.* 193.

Digitized by Google

ξενοκτονοῦσιν ἐπ' αὐτῇ. Οἱ μέντοι παρὰ τῷ Γεωγράφῳ Νωρικοὶ Ταυρίσκοι ἕτερόν εἰσιν ἔθνος παρὰ τούτους τοὺς Ταύρους.

309. Ὅτι Μελάγχλαινοι λέγονται διὰ τὸ ἐν ἕθει μέλαν καὶ ζοφερὸν τοῦ ἐνδύματος, ὡς καὶ Ἡροδότῳ δοκεῖ, ὃς καὶ ἀνθρωποφαγεῖν αὐτοὺς εἰπὼν λέγει καὶ ὅτι Μελαγχλαίνων τὸ καθύπερθεν λίμναι καὶ γῆ ἔρημος ἀνθρώπων.

310. Ὅτι οἱ Νευροὶ λέγονται ἐκλιπεῖν ποτε τὴν ἑαυτῶν χώραν ὑπὸ ὄφεων, καὶ ὅτι γόητες ἐλέγοντο εἶναι. Ἔτους τοίνυν ἑκάστου, φησίν, ἅπαξ ἕκαστος τῶν Νευρῶν λύκος γίνεται ὀλίγας ἡμέρας, καὶ αὖθις εἰς ἄνθρωπον ἀποκαθίσταται. Σημείωσαι δὲ ὅτι νεβρὸς μὲν τὸ γέννημα τῆς ἐλάφου διὰ τοῦ β γράφεται, Νευροὶ δὲ τὸ ἐθνικὸν οἱ καὶ Νευρῖται, διὰ τῆς ευ διφθόγγου. Ὅτι Ἡρακλέους υἱοὶ Γελωνὸς καὶ Ἀγάθυρσος, ἐξ ὧν ἔθνη βορειότερα τοῦ Ἴστρου οἱ Γελωνοί τε καὶ οἱ Ἀγάθυρσοι. Ὑπὸ μὲν οὖν ψυχροῖς Ἀγαθύρσοις, ὡς ὁ Διονύσιός φησιν, ἀδάμας ἐστὶ παμφανόων. Οἱ Γελωνοὶ δέ, ὡς ἄλλοι φασίν, γῆν τε ἐργάζονται καὶ σιτοφαγοῦσι καὶ κήπους ἔχουσιν. Ὁ δὲ τὰ Ἐθνικὰ γράψας οὕτω φησί. «Γελωνοί, πόλις Σαρματίας, ἀπὸ Γελωνοῦ, ὃς Ἀγαθύρσου μὲν ἦν ἀδελφός, υἱὸς δὲ Ἡρακλέους. Ἔστι δὲ περὶ αὐτοὺς πόλις ξυλίνη μεγάλη κατὰ Ἡρόδοτον, κειμένη ἐν Βουδίνοις, ἔθνει μεγάλῳ. Παρὰ τούτοις ζῶον λέγεται θαυμάσιον γίνεσθαι, τὸ μέγεθος ὅσον βοός, ἐοικὸς τὸν τοῦ προσώπου τύπον ἐλάφῳ, καλούμενον τάρανδος, δυσθήρατον διὰ τὴν μεταβολήν. Μεταβάλλει γὰρ τὰς χρόας τῶν τριχῶν καθ' ὃν ἂν τόπον ᾖ καὶ ἀλλοιοῦται, καθὰ καὶ ὁ χαμαιλέων καὶ ὁ πολύπους». Περὶ δὲ τῶν Ἀγαθύρσων ὁ αὐτὸς λέγει, ὅτι ἢ ἀπὸ Ἀγαθύρσου υἱοῦ Ἡρακλέους οὕτω λέγονται, ἢ ἀπὸ τῶν θύρσων τοῦ Διονύσου· κλάδοι δέ εἰσιν οἱ θύρσοι, οὓς ἐν ταῖς τοῦ Διονύσου τελεταῖς φέρουσιν. Ἡρόδοτος δὲ οὐ μόνον Γελωνὸν καὶ Ἀγάθυρσον υἱοὺς Ἡρακλέους λέγει, ἀλλὰ καὶ Σκύθην νεώτατον καὶ γεν-

сказано будетъ ниже. И Артемида называется «Таврополой», какъ кажется, отъ этихъ Тавровъ, къ которымъ она благоволила за то, что они убивали для нея чужестранцевъ. Упоминаемые-же у Географа [1]) Норики-Тариски — другое, отличное отъ этихъ Тавровъ племя.

309. Меланхлэны называются *такъ* вслѣдствіе обычнаго у нихъ чернаго и темнаго *цвѣта* одежды, какъ думаетъ и Иродотъ [2]), который говоритъ еще, что они ѣдятъ людей и что къ сѣверу отъ Меланхлэновъ находятся озера и незаселенная земля [3]).

310. Невры, говорятъ, оставили нѣкогда свою страну изъ-за змѣй и считались колдунами. По словамъ *Иродота* [4]), каждый изъ Невровъ разъ въ годъ превращается на нѣсколько дней въ волка и потомъ опять становится человѣкомъ. Замѣть, что νεβρός, молодой олень, пишется черезъ β а названіе народа Νευροί или Νευρῖται — черезъ дифтонгъ ευ. Гелонъ и Агаѳирсъ были сыновья Иракла; отъ нихъ произошли племена — Гелоны и Агаѳирсы, жившія къ сѣверу отъ Истра. «У холодныхъ Агаѳирсовъ», какъ Діонисій говоритъ, «водится блестящій алмазъ». Гелоны-же, по словамъ другихъ, обработываютъ землю, питаются хлѣбомъ и имѣютъ сады. Авторъ-же сочиненія Ἐθνικά говоритъ слѣдующее [5]): «Гелоны — Сарматское государство отъ Гелона, брата Агаѳирса и сына Иракла. У нихъ есть, по Иродоту [6]), большой деревянный городъ, лежащій въ странѣ многолюднаго племени Будиновъ. У нихъ, говорятъ, водится чудесное животное, величиною почти съ быка, по формѣ головы похожее на оленя, называемое тарандомъ, съ трудомъ ловимое вслѣдствіе *его* превращеній: онъ мѣняетъ цвѣтъ шерсти соотвѣтственно мѣсту, въ которомъ находится, и принимаетъ иной видъ, подобно хамелеону и полипу». Относительно Агаѳирсовъ онъ-же говоритъ [7]), что они такъ называются или отъ Ираклова сына Агаѳирса, или отъ ѳирсовъ Діониса: ѳирсы — это палки, которыя носятъ во время празднествъ въ честь Діониса. Иродотъ-же называетъ [8]) сы-

1) Страв. IV, 6, 9 (p. 206). 2) IV, 107 (выше, стр. 42). 3) Иród. IV, 20 (выше, стр. 17). О людоѣдствѣ Меланхлэновъ Иродотъ не упоминаетъ. 4) IV, 105 (выше, стр. 42). 5) Стеф. Визант. п. сл. Гелωνοί. 6) IV, 108 (выше, стр. 42). 7) П. сл. Ἀγάθυρσοι. 8) IV, 10 (выше, стр. 14).

Digitized by Google

ναιότατον, οὓς ἐγέννησεν Ἡρακλῆς ἐλθὼν εἰς τὴν τῶν Σκυθῶν γῆν, ὅτε τὰς Γηρυόνου βοῦς ἤλαυνε, μιγείς, φησίν, Ἐχίδνῃ μιξοπτερθένῳ, γυναικὸς μὲν τὰ ἄνω ἀπὸ γλουτῶν ἐχούσῃ, τὰ δὲ κάτω ὄφεως. Λέγει δὲ τοὺς Ἀγαθύρσους ὁ αὐτὸς ἀνδρῶν ἁβροτάτους καὶ χρυσοφόρους, καὶ ἐπίκοινον τὴν μίξιν τῶν γυναικῶν ποιουμένους. Τοὺς δὲ Γελωνοὺς Ἕλληνας τὸ ἀρχαῖον εἶναί φησι γῆς ἐργάτας.

311. Ὅτι Βορυσθένης ὁ ἐν ποταμοῖς ἀξιόλογος Εὐξείνῳ τὸ ὕδωρ μίσγεται κατὰ τὸ ἐκεῖ Μέτωπον τοῦ κριοῦ, περὶ οὗ εἴρηται, ὀρθὸν οἷον ἐπὶ γραμμῆς, κατεναντία (ἤγουν ἀντικρὺ) τῶν Κυανέων πετρῶν. Ἐκεῖ δὲ ἐν τοῖς Ῥιπαίοις ὄρεσι Σκυθικοῖς καὶ ὁ Ἄλδησκος, φησί, καὶ ὁ Παντικάπης οἱ ποταμοὶ ῥεόμενοι ἐκπορφύρουσιν· ὧν παρὰ προχοαῖς ἡδυφανὴς ἤλεκτρος μηνὸς ἀρχομένης αὔξεται, οἷά τις αὐγή. Καὶ ὥρα ὅπως συμπαθῶς ἔχει περὶ τὴν σελήνην ὁ τοιοῦτος ἤλεκτρος, καὶ ὅτι τὸν ἤλεκτρον ἐνταῦθα λίθον τινὰ νοητέον, καὶ οὐ κατὰ τὸ λεγόμενον τῶν αἰγείρων δάκρυον, ὡς ἀνωτέρω εἴρηται. Ὅτι δὲ ἐν τοῖς Ῥιπαίοις ὄρεσιν οὐδέποτε χιὼν ἐπιλείπει προγέγραπται. Ὑπὲρ δὲ ταῦτα τὰ ὄρη οἱ λεγόμενοι Ὑπερβόρειοι καθήκειν εἰς τὴν θάλασσαν λέγονται. Ἀπὸ δὲ Παντικάπου τοῦ ποταμοῦ καὶ τὸ ἐκεῖ ὀνομάζεται Παντικάπαιον, πόλις μεγάλη, κτίσμα παιδὸς Αἰήτου, λόφος κύκλῳ περιοικούμενος, σταδίων εἴκοσι, μητρόπολις τῶν ἐκεῖ Βοσπορανῶν. Ἡρόδοτος δὲ περὶ τούτων τῶν ποταμῶν φησιν, ὅτι ὁ μὲν Βορυσθένης μέγιστος καὶ πολυαρκέστατος τῶν Σκυθικῶν ποταμῶν, καὶ πίνεσθαι ἥδιστος, ῥέων καλὸς παρὰ νομεῦσι. Πήγνυνται δὲ καὶ ἄλες παρὰ τῷ στόματι αὐτοῦ αὐτόματοι, καὶ κήτη ἀνάκανθα μεγάλα ταριχεύειν παρέχει, ἃ καλέουσιν ἀντακαίους. Ὁ δὲ Παντικάπης ἀπὸ βορρᾶ ῥέων ἐν τῷ τέλει συμμίσγεται τῷ Βορυσθένει. Τὸ δὲ μεταξὺ τούτων τῶν ποταμῶν νέμονται οἱ Γεωργοὶ Σκύθαι. Δέκα δὲ, φησίν, ἡμερῶν ὁδὸς ἀπὸ Ἴστρου ἐπὶ Βορυσθένην· ὁμοίως δὲ καὶ ἀπὸ Βορυσθένους ἐπὶ τὴν Μαιῶτιν.

новыми Иракла не только Гелона и Агаѳирса, но и Скиѳа, самаго младшаго и самаго славнаго; Иракъ произвелъ ихъ, пришедши въ скиѳскую землю въ то время, какъ гналъ быковъ Гиріона, и, соединившись, по его словамъ, съ полудѣвицей Ехидной, имѣвшей верхнюю часть тѣла отъ ягодицъ женскую, а нижнюю змѣиную. Онъ-же говоритъ [1]), что Агаѳирсы — самые изнѣженные люди, носятъ золотыя украшенія и сообща пользуются женщинами. Гелоны-же, по его словамъ [2]), искони Эллины и занимаются земледѣліемъ.

311. Славная рѣка Борисѳенъ впадаетъ въ Евксинъ у тамошняго Бараньяго лба, о которомъ было уже сказано, прямо, какъ бы по линіи, противъ Кіанейскихъ скалъ. Тамъ въ Рипэйскихъ горахъ Скиѳіи журчатъ, говоритъ онъ, и рѣки Алдискъ и Пантикапъ, у устьевъ которыхъ «въ началѣ мѣсяца растетъ пріятно-блестящій янтарь, какъ-бы нѣкое сіяніе». Замѣть, какъ на этотъ янтарь оказываетъ вліяніе луна и что здѣсь должно разумѣть подъ янтаремъ нѣкій камень, а не «слезу», по распространенному сказанію, горныхъ тополей, какъ сказано выше [3]). Что въ Рипэйскихъ горахъ никогда не сходитъ снѣгъ — *объ этомъ* написано раньше. За этими горами, какъ говорятъ, такъ называемые Ипербореи спускаются до моря. Отъ рѣки Пантикапа имѣетъ названіе тамошній большой городъ Пантикапэй, основанный сыномъ Эита, кругомъ заселенный холмъ въ 20 стадій, главный городъ мѣстныхъ Воспорянъ [4]). Иродотъ-же объ этихъ рѣкахъ говоритъ [5]), что Борисѳенъ — самая большая и самая полезная изъ скиѳскихъ рѣкъ, съ весьма пріятною для питья водою, съ прекраснымъ теченіемъ рядомъ съ *другими* мутными. У его устья осаждается самородная соль и въ немъ ловятся для соленія большія безкостныя рыбы, называемыя осетрами. Пантикапъ-же, текущій съ сѣвера, подъ конецъ сливается съ Борисѳеномъ. На пространствѣ между этими рѣками живутъ Скиѳы-земледѣльцы. Отъ Истра до Борисѳена, по его словамъ, десять дней пути [6]); столько-же и отъ Борисѳена до Меотійскаго озера.

1) IV, 104 (выше, стр. 41). 2) IV, 108 и 109 (стр. 42). 3) Діон. ст. 293.
4) Описаніе Пантикапэя заимствовано у Страв. р. 309 (выше, стр. 124). 5) IV, 53 (выше, стр. 24). 6) Ирод. IV, 101 (выше, стр. 40).

Digitized by Google

541. Ὅτι ἀντικρὺ τοῦ βορείου ποταμοῦ Βορυσθένους τοῦ περὶ τὰ σκαιὰ τοῦ Εὐξείνου πόντου ἐκβάλλοντος πελαγία ἐστὶ νῆσος ἡρώων πολυώνυμος, Ἀχιλλέως ἱερά, ὅπου ἀντιπέραν καὶ ὁ προρρηθεὶς αὐτοῦ παρώνυμος Δρόμος Ἀχίλλειος. Τὴν δὲ νῆσον ταύτην φησὶ Λευκὴν καλεῖσθαι κατὰ ἐπωνυμίαν, ὅ ἔστι φερωνύμως, ἐπειδὴ τὰ ἐν αὐτῇ κινώπετα, ἤγουν θηρία ὀρνέων, τουτέστιν ὄρνεα, λευκά εἰσι· τυχὸν μὲν λάροι, κατὰ δέ τινας πελαργοί. Κινώπετα δέ ἐστιν, ὧν ἡ κίνησις ἐν τῷ πέτεσθαι. Ἀσυνήθης δὲ ἡ λέξις. Ἐκεῖ δέ, φησί, φήμη ἐστὶν Ἀχιλλέως τε καὶ ἡρώων ἐλίσσεσθαι ψυχὰς ἐρημίας ἀνὰ βήσσας· ὥστε νῆσος ἡρώων λέγεται ἡ Λευκὴ αὕτη νῆσος, ὥσπερ νῆσοι μακάρων αἱ ἐν τῷ ἑσπερίῳ ὑμνούμεναι ὠκεανῷ. Καὶ τοῦτο, φησὶ, δῶρον τοῖς ἀριστεῦσιν ἀντ' ἀρετῆς, ἤγουν τοῦτο ἔλαχον οἱ ἥρωες γέρας ἀντὶ ἀρετῆς, τὸ ἀθύρειν μετὰ ῥαστώνης ἐν τῇ ῥηθείσῃ νήσῳ...

549. Ὅτι ἐντὸς τῆς Μαιώτιδος νῆσος ἀπειρεσίη ἐστήρικται, ἣν καλοῦσι Ταυρικὴν, ἐν ᾗ Φαναγόρα καὶ Ἑρμώνασσα, Ἰώνων ἄποικοι πόλεις, ὧν ἡγήσατο Φαναγόρας τις καὶ Ἕρμων, ἀφ' ὧν οἱ τόποι καλοῦνται. Ἀρριανὸς δὲ οὕτω φησί. «Φαναγόρεια, ἣν ἔκτισε Φαναγόρας ὁ Τήιος, φεύγων τὴν τῶν Περσῶν ὕβριν. Ἔτι δὲ Ἑρμώνασσα ἐπὶ Ἑρμωνάσσῃ τῇ γυναικὶ Σημάνδρου Μυτιληναίου τινός, οὗ τινας τῶν Αἰολέων εἰς ἀποικίαν μεταστήσαντος καὶ θανόντος ἐν τῷ τῆς πόλεως οἰκισμῷ, ἡ γυνὴ τῆς τε πόλεως ἐγκρατὴς ἐγένετο καὶ τὸ ἑαυτῆς ὄνομα τῇ πόλει ἐπέθετο». Τὸ δὲ στόμα τῆς Μαιώτιδος Κιμμερικὸς λέγεται Βόσπορος, περὶ οὗ προεγράφη, ἔνθα τὸ τοῦ πορθμοῦ στενότατον στάδια κ'. Πολεμισταὶ δέ εἰσιν οἱ περὶ τὴν Μαιῶτιν καὶ γεωργοί, καὶ μετά γε τὸ τῶν Σκυθῶν ἔθνος πάντων ἀλκιμώτατοι· καὶ ἀπ' αὐτῶν ἡ κλῆσίς ἐστι τῇ Μαιώτιδι, καθά τινες λέγουσι. Φασὶ δὲ καὶ πάντας τοὺς ἐφεξῆς αὐτοῖς Σκύθας πάλαι ποτὲ σιτοφάγους εἶναι καὶ ἀροτῆρας, μεταβαλόντας δὲ γενέσθαι νομάδας, ἀλλοκότους τε καὶ ἀπόλιδας, διὰ τὴν ἐν τοῖς μετὰ ταῦτα ῥηθησομένην αἰτίαν.

541. Противъ сѣверной рѣки Борисѳена, впадающей въ лѣвую часть Евксинскаго Понта, лежитъ въ морѣ славный островъ героевъ, посвященный Ахиллу; насупротивъ его лежитъ и вышеупомянутый Ахилловъ Бѣгъ, названный по его-же имени. Этотъ островъ, по словамъ *Дюнисія*, называется Бѣлымъ, потому что водящіяся на немъ кинώпета или пернатыя животныя, т. е. птицы, — бѣлаго цвѣта, можетъ быть — чайки, а по нѣкоторымъ — аисты. Кинώпета — тѣ *животныя*, которыхъ движеніе *состоитъ* въ летаніи; слово это необычное. «Тамъ, говоритъ онъ, по преданію движутся по пустыннымъ долинамъ души Ахилла и *другихъ* героевъ»; такъ что этотъ Бѣлый островъ называется островомъ героевъ, подобно тому, какъ воспѣваемые *поэтами острова* на Западномъ океанѣ *называются* островами блаженныхъ. «И такова, говоритъ онъ, награда славнымъ мужамъ за доблесть», т. е. такую почесть получили герои за свою доблесть, — безпечно веселиться на упомянутомъ островѣ.

549. Внутри Мэотійскаго озера «утвержденъ обширный островъ», называемый Таврикой, на которомъ лежатъ города Фэнагора и Ермонасса, колонизованные Іонянами подъ предводительствомъ нѣкоего Фэпагора и Ермона, по имени которыхъ и названы *эти* мѣста. Арріанъ-же говоритъ такъ: «Фэнагорія, которую основалъ Фэнагоръ Теосскій, бѣжавшій отъ насилій Персовъ. Затѣмъ Ермонасса, *названная по имени* Ермонассы, жены нѣкоего Митиленца Симандра; онъ отвелъ въ колонію нѣкоторыхъ Эолянъ, но умеръ при основаніи города, и *послѣ его смерти* жена его овладѣла правленіемъ въ городѣ и дала ему свое имя». Устье Мэотиды называется Киммерійскимъ Воспоромъ, о которомъ было написано выше; здѣсь самое узкое мѣсто пролива, *шириною* въ 20 стадій. Живущіе окрестъ Мэотиды воинственны, преданы земледѣлію и послѣ Скиѳскаго племени первые по силѣ; отъ нихъ-то, какъ нѣкоторые говорятъ, дано и названіе Мэотидѣ. Говорятъ также, что и всѣ слѣдующіе за ними Скиѳы прежде когда-то питались хлѣбомъ и занимались земледѣліемъ, но потомъ, перемѣнивъ *образъ жизни*, сдѣлались кочевниками, стали жить особнякомъ и безъ городовъ; о причинѣ этого будетъ сказано послѣ.

Digitized by Google

652. Ὅτι περὶ τὴν προϊστορηθεῖσαν Μαῶτιν αὐτοί τέ εἰσιν οἱ Μαιῶται, οἱ τῆς Μαιώτιδος δηλονότι παρώνυμοι, ἢ καὶ τυχὸν ἐξ ὧν ἡ Μαιῶτις λίμνη κέκληται· καὶ οἱ Σαυρομάται δὲ πρὸς αὐτῇ κεῖνται, ὕλην ναίοντες ἀπείριτον, δι' ἧς μέσης ὁ Τάναϊς συρόμενος ἐς μέσα πίπτει τῆς Μαιώτιδος· ὃς Εὐρώπην Ἀσίας ἀποτέμνεται, εἰς δύσιν μὲν Εὐρώπην, εἰς δ' αὐγὰς τὴν Ἀσίαν. Περὶ δὲ τούτων εἴρηται ὅσα ἔδει ἐν τοῖς φθάσασιν.

653. Ὅτι τοὺς Σαυρομάτας (φῦλον δέ εἰσι Σκυθικὸν) ἐνυαλίου Ἄρεος ἐσθλὸν γένος λέγει, ἢ διὰ τὸ πολεμικοὺς εἶναι, ἢ διότι ἐξ Ἀμαζόνων γενεαλογοῦνται, αὗται δὲ ἐξ Ἄρεος. Φησὶ γὰρ ὅτι ἐκ φιλότητος ἰφθίμων Ἀμαζονίδων ἐγένοντο, ἣν ἐκεῖναί ποτε τοῖς Σαυρομάταις ἐμίγησαν, πλανηθεῖσαι πάτρηθεν ἐκ Θερμώδοντος ἐς Σκυθίαν· διὸ καὶ παῖδες μεγαλήτορες αὐτῶν ἐξεγένοντο. Ἐπλανήθησαν δέ, φασίν, αἱ Ἀμαζόνες ἤ ὅτε κατὰ τῆς Ἑλλάδος ἐστράτευσαν περαιωθεῖσαι τὰ βόρεια καὶ διὰ τοῦ Ἴστρου περαιωσάμεναι, ἀφ' ὧν ὡς ἐξ Ἄρεος καταγομένων καὶ ὁ Ἄρειος πάγος ἐν Ἀθήναις ὠνόμασται, οἷα μέχρι καὶ ἐκεῖ ἐλθουσῶν· ἢ ὅτε Ἡρακλῆς αὐτὰς ἐκ τῆς Ἀσίας ἐφυγάδευσεν ἐπιστρατευσάμενος διὰ τὸν τῆς Ἱππολύτης ζωστῆρα. Ἡρόδοτος δὲ περὶ τούτων τοιαῦτά φησιν· «Ἕλληνες νικήσαντες Ἀμαζόνας ἐπὶ Θερμώδοντι, καὶ ζωγρήσαντες ὅσας ἠδύναντο, ἀπέπλεον διὰ τοῦ Εὐξείνου· αἱ δὲ ἐν τῷ πελάγει ἐπιθέμεναι κατέκοψαν τοὺς ἄνδρας. Εἶτα φερόμεναι κατὰ κῦμα καὶ ἄνεμον ἀφικνοῦνται εἰς τὴν Μαιῶτιν, καὶ ἐξελθοῦσαι καὶ ληϊζόμεναι τὴν Σκυθικὴν τὴν μὲν ἀρχὴν ἐδόκουν ἄνδρες εἶναι, γνωσθεῖσαι δέ ποτε κατειργάσθησαν ἐρήκως, καὶ ζευχθεῖσαι τοῖς ἐγχωρίοις ναυσὶ διέβησαν τὸν Τάναϊν, καὶ τριῶν ἡμερῶν ὁδὸν ὁδεύσασαι πρὸς ἥλιον ἀνίσχοντα κατέμειναν ἐν τῇ νῦν χώρᾳ τῶν Σαυροματῶν». Τὸ δὲ Ἀμαζονίδες οὐχ ὑποχοριστικὸν ἵνα μὴ τὰς ἰφθίμους τῷ ὑποχορισμῷ ταπεινοῖ, ἀλλὰ κατὰ παραγωγήν...

652. Около вышеописанной Мэотиды живутъ сами Мэоты, получившіе, стало быть, имя отъ Мэотиды, или, пожалуй, отъ которыхъ Мэотійское озеро получило *свое* названіе. Возлѣ него-же живутъ и Савроматы, населяющіе громадный лѣсъ, посреди котораго катится Танаидъ, впадающій въ средину Мэотиды; онъ отрѣзываетъ Европу отъ Азіи, къ западу Европу, а къ востоку — Азію. Но объ этомъ сказано, сколько слѣдовало, въ предыдущемъ.

653. *Діонисій* называетъ Савроматовъ (скиѳское племя) славнымъ родомъ воинственнаго Арея или потому, что они воинственны, или потому, что ведутъ свой родъ отъ Амазонокъ, а эти послѣднія — отъ Арея. Именно, онъ говоритъ, что они произошли отъ любви могучихъ Амазонокъ, которою онѣ нѣкогда соединились съ Савроматами, зашедши изъ отечества отъ Θермодонта въ Скиѳію. Такимъ образомъ отъ нихъ родились и мужественныя дѣти. Заблудились же Амазонки, говорятъ, или тогда, когда онѣ, пройдя сѣверныя страны и переправившись черезъ Истръ, предприняли походъ противъ Эллады (отъ нихъ, какъ ведущихъ родъ отъ Арея, названъ и въ Аѳинахъ Ареевъ холмъ, такъ какъ онѣ дошли-де даже досюда), или когда Иракъ прогналъ ихъ изъ Азіи, предпринявъ походъ изъ-за пояса Ипполиты. Иродотъ [1]) же о нихъ говоритъ слѣдующее: «Эллины, побѣдивъ Амазонокъ при Θермодонтѣ и захвативъ въ плѣнъ, сколько могли, отплыли обратно по Евксину; но онѣ, напавши въ морѣ на мужчинъ, изрубили ихъ. Затѣмъ, носимыя по волѣ волнъ и вѣтровъ, онѣ были занесены въ Мэотиду и, высадившись на берегъ, стали опустошать Скиѳскую *землю;* сначала *Скиѳы* принимали ихъ за мужчинъ, но потомъ, когда узнали наконецъ *ихъ полъ*, подчинили мирнымъ путемъ; соединившись браками съ туземными юношами, онѣ перешли за Танаидъ и, пройдя на востокъ 3 дня пути, остановились въ нынѣшней странѣ Савроматовъ». Слово Ἀμαζονίδες не есть уменьшительное, такъ какъ уменьшительнымъ именемъ онъ унизилъ-бы храбрыхъ *воительницъ*, а *употреблено* по *фигурѣ* παραγωγή...

1) IV, 110 (выше, стр. 43).

Digitized by Google

663. Ὅτι αἱ τοῦ ῥηθέντος Ταναΐδος πηγαὶ ἐν τοῖς Καυκασίοις μορμύρουσιν ὄρεσιν, αὐτὸς δὲ πλατὺς ἐπιτρέχει ἔνθα καὶ ἔνθα τοῖς Σκυθικοῖς πεδίοις. Νοητέον δὲ νῦν, φασί, Καύκασον τμῆμά τι τοῦ προειρημένου Ταύρου βορειότατον, περὶ τὴν Κρονίαν ἀνῆκον θάλασσαν, οὗ μέρη καὶ τὰ πρὸ τούτων γραφέντα Ῥιπαῖα ὄρη. Τὸν δὲ τοιοῦτον Καύκασον, περὶ ὃν καὶ ὁ τοῦ Προμηθέως πλάττεται ἀνασκολοπισμός, οἱ παλαιοὶ μὴ ἐγκεῖσθαί φασι τῷ τῆς περιηγήσεως πίνακι· ὁ δὲ Γεωγράφος φησὶν αὐτὸν διήκειν μέχρι τῶν Τιβαρηνῶν. Σημείωσαι δὲ ὅτι ὁ μὲν Διονύσιος λέγει τοῦ τοιούτου Καυκάσου ἐκπίπτειν τὸν Τάναϊν, ὁ Γεωγράφος δὲ ἀδήλους λέγει καὶ τοῦ Ταναΐδος τὰς ἀρχάς, καθὰ καὶ τὰς τοῦ Νείλου, λέγων καὶ πόλιν παρ' αὐτῷ εἶναι ὁμώνυμον τῷ ποταμῷ. Ἄλλοι δέ φασιν αὐτὸν ἐκ λίμνης τινὸς ὡς ἐξ ἀρχῆς εἰς λίμνην τὴν Μαιῶτιν ῥέοντα δυσὶ στόμασιν εἰσβάλλειν εἰς αὐτήν.

663. Источники вышеупомянутаго Танаида «журчатъ въ Кавказскихъ горахъ, а самъ онъ широко плещется тамъ и сямъ по Скиѳскимъ равнинамъ». Подъ Кавказомъ теперь, нужно разумѣть, говорятъ, самую сѣверную часть вышеназваннаго Тавра, доходящую до Кронійскаго моря; часть его составляютъ и вышеописанныя Рипейскія горы. А такой Кавказъ, къ которому пріурочивается *миѳическое* распятіе Промиѳея, по словамъ древнихъ, не существуетъ на географической картѣ. Географъ же говоритъ, что онъ простирается до *земли* Тиварнонъ [1]). Замѣть, что по словамъ Діописія Танаидъ вытекаетъ изъ этого Кавказа, а Географъ [2]) говоритъ, что и истоки Танаида неизвѣстны подобно истокамъ Нила, прибавляя *еще*, что на Танаидѣ стоитъ городъ одноименный съ рѣкой. Другіе же говорятъ, что онъ изъ какого-то озера, какъ-бы отъ *истока*, течетъ въ Меотійское озеро и впадаетъ въ него двумя рукавами.

666. Ὅτι περὶ τοὺς τόπους τοὺς κατὰ τὸν Τάναϊν καὶ τὸν ἐκεῖ βόρειον Καύκασον, βορέου χειμαίνοντος, παγετὸν ἂν ἴδοις ἀπὸ κρυμοῦ παγέντα. Εἶτα ἐνδιαθέτως ὁ Διονύσιος οἷον οἰκτιζόμενος τοὺς ἐν τῷ τοιούτῳ τόπῳ διὰ τὸν ἀπείριτον παγετόν, ἔτι δὲ καὶ αὐξητικῶς τὸν χειμῶνα ἐκφράζων φησί, «σχέτλιοι ἐκεῖνοι φῶτες· ἀεὶ γὰρ αὐτοῖς ψυχρά τε χιὼν καὶ κρυμὸς δυσαής. Καὶ δὴ ὅταν ἐξ ἀνέμων πλεῖον κρύος ἔλθῃ, καὶ ἵππους ἄν τις θνήσκοντας ὀφθαλμοῖς ἴδοιτο καὶ ἡμιόνους, τὸ δὲ ὑπερβολικόν, καὶ οἷς ἀγραύλους», ὧν καθ' Ἡσίοδον οὐδὲ τὸ κατὰ Ληναιῶνα ψύχος καθικνεῖται διὰ τὸ δασὺ τῶν τριχῶν. «Οὐδὲ μὴν οὐδ' αὐτοί, φησιν, οἱ αὐτόθι ἄνδρες ὑπὸ ψύχους ἀπήμαντοι μένουσιν· ἀλλὰ γὰρ ὑποζευξάντες ἀπήνας, ἀμαξόβιοι γὰρ οἱ ἐκεῖ, πλανῶνται εἰς ἑτέραν χώραν, λείπουσι δὲ γαῖαν ἀήταις χειμερίοις». Τοῦτο δὲ καὶ εἰς παροιμίαν ἐπὶ ἐρημωθείσης οἰκουμένης κεῖται, ὡς τὸ «τὴν δεῖνα πόλιν ἐρήμην οἱ ἄνεμοι καταπνέουσι». Σημείωσαι δὲ καὶ ὅτι τὴν χιόνα ἐριῶδες ὕδωρ ἀστείως οἱ παλαιοί φασι, τοῦ σοφοῦ βασιλέως Δαβὶδ ἀφορμὴν ἐνδόντος αὐτοῖς, ὅτε εἶπε «διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον». Ὅρα δὲ καὶ ὅτι φανερῶς ἐνταῦθα τὸ σχέτλιοι οὐκ εἰς ὕβριν ἀλλ' ἐπὶ οἴκτῳ εἴρηται.

666. Въ мѣстностяхъ у Танаида и тамошняго сѣвернаго Кавказа, когда неистовствуетъ Борей, можно видѣть образовавшійся отъ мороза ледъ. Затѣмъ Діонисій съ искреннимъ убѣжденіемъ, какъ-бы сожалѣя о жителяхъ этихъ мѣстностей изъ-за страшнаго холода и съ преувеличеніемъ описывая зиму, говоритъ: «несчастны тѣ люди: вѣчно у нихъ холодный снѣгъ и холодомъ вѣющій ледъ; когда же настанетъ отъ вѣтровъ еще бо́льшая стужа, тогда можно увидѣть своими глазами замерзающихъ лошадей, и муловъ, и пасущихся въ полѣ овецъ»; *послѣднее* преувеличено, такъ какъ по Исіоду [3]) на овецъ не дѣйствуетъ холодъ даже въ Линэонѣ [4]) вслѣдствіе густоты *ихъ* шерсти. «И даже сами люди, говоритъ онъ, живущіе тамъ, не остаются невредимыми отъ холода, но, снарядивъ телѣги (живутъ тамъ въ телѣгахъ), перекочевываютъ въ другую страну, оставляя *свою* землю на произволъ неистовствующихъ вѣтровъ». Это обратилось даже въ пословицу относительно *мѣстности*, *прежде* населенной, *а потомъ* опустѣвшей: *говорятъ*, что «такой-то пустынный городъ вѣтры продуваютъ». Замѣть также, что древніе въ шутку называютъ снѣгъ

1) Въ сохранившемся текстѣ Стравона нѣтъ такого указанія. 2) p. 493 (выше, стр. 130). 3) Ис. *Дѣла и дни*, 516. 4) Зимній мѣсяцъ, приблизительно соотвѣтствующій январю.

Digitized by Google

669. Ὅτι δὲ ἡ τῶν πλανήτων τούτων νομάδων χώρα δυσχείμερός ἐστιν ὁμολόγηται. Διόπερ οὐδὲ ὄνους τρέφει· δύσριγον γὰρ τὸ ζῶον. Ῥήγνυνται δὲ κατὰ τὴν ἱστορίαν καὶ χαλκαῖ ὑδρίαι χειμῶνος ἐκεῖ, καὶ διάπλοι τινὲς ἀμαξεύονται, καὶ τὰ καύματα δὲ σφοδρὰ θέρους ἐκεῖ φασί τινες γίνεσθαι. Ὁ μέντοι Διονύσιος ἔοικε μὴ οὕτω δοξάζειν, ἀλλὰ διηνεκῶς τὴν χώραν ἐκείνην ψύχεσθαι. Φησὶ γάρ· «αἰεί σφι ψυχρή τε χιὼν κρυμός τε δυσαής». Οὕτω δὲ καὶ Ἡρόδοτος δυσχείμερον εἰπὼν τὴν Σκυθικὴν ἐπάγει, «ὅτι τοὺς μὲν ὀκτὼ μῆνας ἐκεῖ ἀφόρητος οἷος γίνεται κρυμός, ὅτε ὕδωρ μὲν ἐχέας πηλὸν οὐ ποιήσεις, πῦρ δὲ ἀνακαίων ποιήσεις πηλόν· ἡ δὲ θάλασσα πήγνυται καὶ ὁ Βόσπορος ὁ Κιμμέριος. Τοὺς δὲ λοιποὺς, φησί, τέσσαρας μῆνας ψύχεα αὐτόθι ἐστί». Τάχα οὖν ἡ μὲν ἐνδοτέρα Σκυθικὴ ἡ πρὸς βορέαν τοιαύτη ἐστὶν, οἵαν φησὶν ὁ Ἡρόδοτος, ἡ δὲ λοιπὴ πάσχει ὡς εἰκὸς καὶ καύματα. Σκυθῶν δὲ ἡ τοιαύτη πᾶσα γῆ, περὶ ὧν ἱστορεῖ ὁ Ἀρριανὸς, ὅτι «σιτοφάγοι ποτὲ καὶ ἀρωτῆρες ὄντες καὶ οἰκίας οἰκοῦντες καὶ πόλεις ἔχοντες, ἐπειδὴ ὑπὸ Θρᾳκῶν ἐπλήγησαν, μετέβαλον τὰ πρότερον ἤθη, καὶ ἀρὰς ἐπηράσαντο μεγάλας, μήποτε οἰκίαν ἔτι δείμασθαι, μήτε ἀρότρῳ γῆν ἀναρρῆξαι, μήτε πόλεις δομήσασθαι, μήτε κτῆμα κειμήλιον ἐπικτήσασθαι, ἀλλ' οἴκους μὲν ποιήσασθαι ἁμάξας, τροφὴν δὲ κρέα θήρεια, πόμα δὲ ταὐτὸ καὶ τροφὴν τὸ γάλα, θρέμματα δὲ κεκτῆσθαι μόνα, ἅπερ ἄγεσθαι αὐτοῖς ἔμελλεν ἄλλην γῆν ἐξ ἄλλης ἀμείβουσι· καὶ ἀπὸ τοῦδε ἀντὶ γεωπόνων γενέσθαι νομάδας». Ἐλλόγιμον δὲ ἄνδρα ἡ τῶν Σκυθῶν ἤνεγκε γῆ τὸν Ἀνάχαρσιν, οὗ μέμνηται καὶ Ἡρόδοτος, λέγων ὅτι ὁ Εὔξεινος παρέχεται ἔθνη ἀμαθέστατα, καὶ ἐξ οὐδενὸς τῶν ἐντὸς τοῦ Πόντου ἀνὴρ ἐλλόγιμος λέγεται, παρὲξ τοῦ Σκυθικοῦ, ὅθεν ὁ Ἀνάχαρσις. λέγονται δὲ οἱ νομάδες οὗτοι Σκύθαι καὶ μέχρι τῆς Θρᾳκικῆς χερρονήσου ἐλάσαι ποτὲ, κατατρέχοντες τὴν Εὐρώπην, ὅτε ὁ Δαρεῖος ἐκεῖ στρατεύσας ἠρέθισεν αὐτούς.

шерстевидною водой, по образцу мудраго царя Давида, сказавшаго: «когда даетъ онъ снѣгъ, какъ шерсть» [1]). Обрати вниманіе, что σχέτλιοι сказано здѣсь, очевидно, не въ смыслѣ порицанія, но для *выраженія* сожалѣнія.

669. Всѣми признано, что страна этихъ бродячихъ кочевниковъ очень холодна, почему въ ней нѣтъ даже ословъ, такъ какъ это животное не выноситъ холода. По разсказамъ тамъ зимою трескаются даже мѣдные сосуды и по нѣкоторымъ проливамъ ѣздятъ на телѣгахъ [2]); но лѣтомъ по нѣкоторымъ извѣстіямъ здѣсь бываютъ сильные жары. Однако Діонисій, повидимому, не такъ думаетъ, но что въ этой странѣ непрерывные холода; это видно изъ словъ: «вѣчно у нихъ холодный снѣгъ и вѣющій холодомъ ледъ». Подобно этому и Иродотъ [3]), назвавъ Скиѳію холодною страною, прибавляетъ, что «восемь мѣсяцевъ тамъ бываютъ невыносимые морозы; тогда, если нальешь воды, не сдѣлаешь грязи, но разведя огонь, сдѣлаешь грязь. Море и Киммерійскій Воспоръ замерзаютъ. Въ теченіе же остальныхъ 4 мѣсяцевъ тамъ бываютъ холода». Можетъ быть внутренняя Скиѳія, лежащая къ сѣверу, подходитъ къ описанію Иродота, а остальная имѣетъ, вѣроятно, и жаркіе дни. Такова вся земля Скиѳовъ, о которыхъ Арріанъ разсказываетъ, что они прежде питались хлѣбомъ и занимались земледѣліемъ, жили въ домахъ и имѣли города, но послѣ нанесеннаго имъ Ѳракійцами пораженія измѣнили прежній образъ жизни и поклялись великою клятвой никогда впредь не строить домовъ, не бороздить землю плугомъ, не основывать городовъ, не пріобрѣтать драгоцѣннаго имущества, но сдѣлать своими жилищами телѣги, пищей — звѣриное мясо, питьемъ и вмѣстѣ съ тѣмъ пищей — молоко, а скота держать не болѣе, чѣмъ сколько можно переводить при переселеніи изъ одной страны въ другую; и вотъ съ этого-то времени они изъ земледѣльцевъ сдѣлались кочевниками. Изъ замѣчательныхъ людей Скиѳская земля произвела Анахарсиса, о которомъ упоминаетъ и Иродотъ [4]), говоря, что у Евксина живутъ очень необразованныя племена и что ни изъ одного изъ племенъ, живущихъ за Понтомъ, не упо-

1) Пс. 147, 16. 2) Ср. Страв. VII, 3, 18 (выше, стр. 121). 3) IV, 28 (выше, стр. 19). 4) IV, 46 (выше, стр. 21).

Digitized by Google

680. Ὅτι Σαυρομάτας ἐπέχουσι Σινδοί, οἱ καὶ Ζιχοὶ κατά τινας. Λέγει δὲ τὸ ἐπέχουσιν ἀντὶ τοῦ διαδέχονται, καὶ μετ' αὐτοὺς τὴν γῆν ἔχουσιν... Ὁμοίως μετὰ Σαυρομάτας εἰσὶ καὶ οἱ ἐν Ὀδυσσείᾳ πλατύτερον ἱστορηθέντες Κιμμέριοι, καὶ οἱ Ὀρέται δίχα τοῦ σ· οἱ γὰρ μετὰ τοῦ σ Ὀρέσται ἔθνος εἰσὶν Εὐρωπαῖον, Μολοσσικόν, ἀπὸ τοῦ Ἀγαμεμνονίδου Ὀρέστου καλούμενοι. Ἐκεῖ δέ, φησι, καὶ οἱ Κερκέτιοι, ὧν ἡ χώρα Κερκετὸς λέγεται, παρακειμένη τῷ προειρημένῳ Καυκάσῳ. Ἐκεῖ δὲ καὶ οἱ ἁλκήεντες Ἀχαιοί, οὓς ἐκ Τροίας, φησί, νότου καὶ ζεφύρου πνοαὶ νοσφισάμεναι, ἦγουν νόσφι καὶ χωρὶς καὶ μακρὰν ἀπαγαγοῦσαι καὶ ἀφορίσασαι ἤγαγον ἐκεῖ, ἑπομένους Ἀρητιάδῃ βασιλεῖ, ἤγουν τῷ Πελοπίδῃ Ἀγαμέμνονι, ὃν Ἀρητιάδην λέγει, τουτέστιν ἐξ Ἄρεος καταγόμενον, διὰ τὴν τοῦ Ἄρεος Ἱπποδάμειαν, ἣν ὁ τοῦ Ἀγαμέμνονος πρόγονος Πέλοψ εἰς γυναῖκα ἠγάγετο. Οἱ δὲ ἕπεσθαι τοὺς τοιούτους φασὶν Ἀχαιοὺς Ἀρητιάδῃ βασιλεῖ ἤτοι τῷ πολεμικῷ Ἀχιλλεῖ, συλληστεύοντας αὐτῷ πολεμαρχοῦντι, ἢ μᾶλλον Ἰαλμένῳ φασὶν αὐτοὺς ἀκολουθῆσαι τῷ υἱῷ Ἄρεος, Ἀσπληδονίων βασιλεῖ· ἦσαν δὲ Ὀρχομένιοι. Ὁ δὲ Γεωγράφος φησὶν, ὅτι ἀπὸ τῆς Ἰάσονος στρατείας τῆς εἰς Κόλχους οἱ μὲν Φθιῶται Ἀχαιοὶ τὴν ἐν Ἀσίᾳ Φθίαν ᾤκησαν, Λάκωνες δὲ τὴν Ἰηνιοχίαν χώραν, ὧν ἦρχε Ῥέκας τε καὶ Ἀμφίστρατος, ἡνίοχοι Διοσκούρων, ἀφ' ὧν τὸ ἐκεῖ ἔθνος οἱ Ἡνίοχοι, καὶ ἡ χώρα ἡ Ἡνιοχία. Οἱ δὲ τὸν Πομπήϊον Ἀρητιάδην βασιλέα ἐνόησαν, ὃς ἔχων Σκύθας συμμάχους, μεθ' ὧν ἦσαν καὶ οἱ τοιοῦτοι Ἀχαιοί, ἐπολέμησε Καίσαρι κατὰ τὸν ἐμφύλιον πόλεμον...

687. Ὅτι μετὰ τοὺς Ἀχαιοὺς οἱ προρρηθέντες Ἡνίοχοι καὶ οἱ Ζύγιοι, ἔθνος

1) λ, 14. 2) p. 495 (выше, стр. 134).

минается замѣчательный человѣкъ, кромѣ Скиѳскаго *народа*, изъ котораго *происходилъ* Анахарсисъ. Говорятъ, что эти Скиѳы-кочевники нѣкогда, спускаясь на югъ по Европѣ, проникли до самаго Херсониса Ѳракійскаго, когда Дарій раздражилъ ихъ своимъ походомъ въ Скиѳію.

680. Савроматовъ «ἐπέχουσι» Синды, по нѣкоторымъ *называемые* также Зихами. Діонисій говоритъ ἐπέχουσι вмѣсто διαδέχονται (принимаютъ) или μετ' αὐτοὺς τὴν γῆν ἔχουσιν (послѣ нихъ землю имѣютъ)... Также за Савроматами слѣдуютъ и Киммерійцы, о которыхъ подробнѣе разсказано въ Одиссеѣ [1]), и Ореты — безъ *буквы с*, такъ какъ Оресты съ *с* — народъ въ Европѣ, Молосскій, названный по имени Агамемнонова сына Ореста. Тамъ-же, по словамъ *Діонисія*, живутъ и Керкетіи, страна которыхъ называется Керкетомъ и лежитъ у вышеупомянутаго Кавказа; тамъ-же и сильные Ахэйцы, которыхъ, говоритъ онъ, южный и юго-западный вѣтры, отдѣливши (νοσφισάμεναι), т. е. отдѣльно отъ другихъ (νόσφι καὶ χωρίς) далеко занесши и отрѣзавши, пригнали туда; они тогда слѣдовали за царемъ Аритіадомъ, т. е. Пелоповымъ сыномъ Агамемнономъ, котораго онъ называетъ Аритіадомъ, т. е. ведущимъ родъ отъ Арея, по дочери Арея Ипподаміи, которую Пелопъ, предокъ Агамемнона, взялъ въ замужество. Другіе же говорятъ, что эти Ахэйцы слѣдовали за царемъ Аритіадомъ, т. е. воинственнымъ Ахилломъ, разбойничая подъ его предводительствомъ, а еще *вѣроятнѣе*, говорятъ, они послѣдовали за Іалменомъ, сыномъ Арея, царемъ Аспледонцевъ; были же они Орхоменяне. Географъ же говоритъ [2]), что послѣ похода Іасона въ Колхиду Ѳеіоты-Ахэйцы заселили Азіатскую Ѳеію, а страну Иніохію *заняли* Лаконцы, которыми предводительствовали Река и Амфистратъ, возницы Діоскуровъ; отъ нихъ-то и получилъ названіе *живущій* тамъ народъ Иніохи и страна Иніохія. Иные же подъ царемъ Аритіадомъ подразумѣвали Помпея, который въ союзѣ со Скиѳами, съ которыми былъ *заодно* и эти Ахэйцы, велъ междоусобную войну съ Кесаремъ.

687. За Ахэйцами *слѣдуютъ* вышесказанные Иніохи и Зигіи, племя очень

ἀγριώτατον, ὡς ἡ ἱστορία φησίν, Πελασγῶν ἔκγονοι. Ἱστορεῖ δὲ Χάραξ τοὺς Ἀργοναύτας οὐ μιᾷ νηΐ, κατὰ τὸν πολὺν περὶ τῆς Ἀργοῦς λόγον, ἀλλὰ πολλοῖς πλοίοις εἰσπλεύσαι τὸν Εὔξεινον· καί τινας αὐτῶν ἀποπλανηθῆναι, καὶ ἐν μιᾷ τῶν νηῶν εἶναι τοὺς τῶν Τυνδαριδῶν ἡνιόχους, ἤτοι τοὺς τῶν Διοσκούρων, ἀφ' ὧν κληθῆναι τὰ ἔθνη τοὺς Ἡνιόχους, καὶ τοὺς Τυνδαρίδας, ναὶ μὴν καὶ τὴν Διοσκουρίδα χώραν, τὸν τοῦ Εὐξείνου μυχόν, ἤγουν τὸν ἔσχατον πρὸς τῇ Κολχικῇ Τραπεζοῦντι πλοῦν. Ὅθεν καὶ ἡ παροιμία «εἰς Φᾶσιν, ἔνθα ναυσὶν ἔσχατος δρόμος», τουτέστιν εἰς αὐτὴν τὴν Κολχίδα γῆν, ἀπὸ μέρους, ἔνθα τὸ ἔσχατον τοῖς ἐκεῖ πλέουσιν· ἐπείτοιγε ἄλλως πολλὰ στάδια, φασί, καὶ πολὺς πλοῦς ἐκ τοῦ Φάσιδος εἰς τὸν μυχὸν τοῦ Εὐξείνου καὶ εἰς τὴν Διοσκουρίδα, ἡ συνεχής ἐστιν ἡ Τραπεζοῦς, κτίσμα Σινωπέων, μέγα ἐμπόριον, περὶ ἣν ἡ Τραπεζουσία χώρα. Καὶ ἡ Τυνδαριδῶν δὲ χώρα πρὸς αὐτῷ ἐστι τῷ τοῦ Πόντου μυχῷ, ἤτοι τοῦ Εὐξείνου. Περὶ ὧν καὶ διά τί Τυνδαρίδαι λέγονται, ἀνωτέρω εἴρηται.

689. Ὅτι ἀκολούθως τῷ Ἡροδότῳ γνωματεύει καὶ οὗτος, μετήλυδας εἶναι τῆς Αἰγύπτου τοὺς Κόλχους, ὅ ἔστιν ἀποίκους ἢ μετοίκους. Πίστις δὲ τοῦ λόγου τούτου, ὅτι τε οὐλόκρανοι, τουτέστιν οὐλότριχές εἰσι κατὰ τοὺς Αἰγυπτίους καὶ μέλανες. Ἔτι δὲ καὶ τὰ παρ' αὐτοῖς Αἰγύπτια ἔθη, ὧν ἓν καὶ τὸ περιτέμνεσθαι, καὶ τὸ λινᾶς ἐσθῆτας ἀμπέχεσθαι· καὶ ἡ ζωὴ δὲ, φασί, καὶ ἡ γλῶσσα ἐμφερὴς ἦν καὶ τοῖς Κόλχοις καὶ τοῖς Αἰγυπτίοις. Ὁ δὲ Γεωγράφος φησί, «Κόλχοι μετὰ Ἡνιόχους, ὑπὸ τοῖς Καυκασίοις καὶ Μοσχικοῖς ὄρεσι». Καλοῦνται δὲ Κόλχοι ἀπὸ Κόλχου υἱοῦ Φάσιδος. Τούτων δὲ ὑπερκεῖσθαι λέγονται οἱ Θοᾶνες, ἄνδρες οὐδὲν μὲν βελτίους τῶν προσοίκων Φθειροφάγων τῷ πίνῳ, πλουτοῦντες δὲ τῷ χρυσῷ· Χρυσὸν γὰρ παρ' αὐτοῖς οἱ χείμαρροι καταφέρουσιν, ὃν ὑποδέχονται οἱ ἐκεῖ μαλλωταῖς, ἀφ' ὧν τὸ χρυσόμαλλον ἐμυθεύθη δέρας, οὗ χάριν καὶ ὁ τῶν Ἀργοναυτῶν ἐγένετο πλοῦς. Καίτοι ὁ Χάραξ τὸ χρυσοῦν δέρμα μέθοδον εἶναι λέγει χρυσογραφίας μεμβράναις ἐμπεριειλημμένην, δι' ἣν ὡς λόγου ἄξιαν

дикое, по преданію происходящее отъ Пеласговъ. Харакъ разсказываетъ, что Аргонавты вошли въ Евксинъ не на одномъ кораблѣ, какъ говоритъ общераспространенное преданіе объ Арго, а на многихъ судахъ, и что нѣкоторыя изъ нихъ сбились съ пути; на одномъ изъ этихъ кораблей были возницы Тиндаридовъ, т. е. Діоскуровъ, отъ которыхъ и получили названія племена Иніохи и Тиндариды, да и самая страна Діоскурида, находящаяся въ углу Евксина, т. е. въ самомъ концѣ пути у Колхидскаго Трапезунта. Отсюда и пословица: «на Фасидъ, гдѣ судамъ послѣдній бѣгъ» [1]), т. е. въ самую Колхидскую землю (часть употреблена вмѣсто цѣлаго), гдѣ крайній предѣлъ для плывущихъ туда; впрочемъ, говорятъ, еще много стадій и продолжительно плаваніе отъ Фасида до крайняго угла Евксина и до Діоскуриды, съ которою въ сосѣдствѣ Трапезунтъ, построенный Синопейцами, большой торговый портъ, вокругъ котораго *лежитъ* Трапезунтская земля. Также и земля Тиндаридовъ находится у самаго внутренняго угла Понта, т. е. Евксина. О нихъ вообще и о причинѣ ихъ названія Тиндаридами сказано выше.

689. Нашъ поэтъ согласно съ Иродотомъ [2]) полагаетъ, что Колхи — пришельцы изъ Эгипта, т. е. колонисты или переселенцы. Подтвержденіемъ этого мнѣнія *служитъ то*, что они кудреголовы, т. е. курчавы подобно Эгиптянамъ и чернокожи, кромѣ того и ихъ эгипетскіе обычаи, въ томъ числѣ обрѣзаніе и кошеніе льняныхъ одеждъ; самый образъ жизни и языкъ, говорятъ, у Колховъ и у Эгиптянъ совершенно сходны. По словамъ Географа [3]), «Колхи живутъ за Иніохами у горъ Кавказскихъ и Мосхійскихъ». Колхами они называются по имени Колха, сына Фасида. Выше ихъ, говорятъ, живутъ Ѳоаны, по нечистоплотности нисколько не стоящіе выше своихъ сосѣдей Вшѣдовъ, но богатые золотомъ, такъ какъ у нихъ потоки сносятъ золото, которое туземцы собираютъ на овечьи шкуры, что и послужило основаніемъ мнѣнія о золотомъ рунѣ, изъ-за котораго состоялся и походъ Аргонавтовъ. Харакъ однако говоритъ, что золотое руно есть не что иное, какъ способъ добыванія

1) Страв. p. 497 (выше, стр. 136). 2) II, 104 (выше, стр. 8). 3) Страв. p. 492 (выше, стр. 130).

Digitized by Google

τὸν τῆς Ἀργοῦς καταρτισθῆναι στόλον φησί. Καὶ ταῦτα μὲν τοιαῦτα. Ὁ δὲ Διονύσιος τοὺς Κόλχους τοπογραφῶν κατοικεῖν φησιν αὐτοὺς περὶ τὸν ῥηθέντα μυχὸν τοῦ Εὐξείνου πόντου, μετὰ τοὺς εἰρημένους Τυνδαρίδας, ἐγγὺς τοῦ προειρημένου Καυκάσου, ὃς περὶ τὸν Ὑρκάνιον κόλπον οὔρεσιν ἠλιβάτοις αὔξεται· ἔνθα, φησί, καὶ ὁ Φᾶσις «Κιρκαίου κατὰ νῶτον ἑλισσόμενος πεδίοιο Εὐξείνου ποτὶ χεῦμα θοὴν ἀπερεύγεται ἄχνην». Εἰς γὰρ τὸν Εὔξεινον πόντον ἐκβάλλει καὶ ὁ Φᾶσις ποταμός, ὃς ἐκτείνει μὲν τὴν παραλήγουσαν, καλεῖται δὲ οὕτως ἀπὸ Φάσιδος, οὗ υἱὸς Κόλχος ἱστόρηται. Καταρρέει δὲ εἰς τὴν Κολχίδα τραχὺς καὶ βίαιος, περατὸς ἑκατὸν γεφύραις κατὰ τὸν Γεωγράφον διὰ σκολιότητα. Ἐμβάλλουσι δὲ εἰς αὐτὸν ποταμοὶ Γλαῦκος καὶ Ἵππος. Ἐπίκειται δὲ καὶ πόλις ὁμώνυμος. Οἱ δὲ περὶ αὐτὸν τόποι Φασιανὴ λέγεται χώρα ὑπό τε Διοδώρου καὶ ἄλλων. Καὶ οἱ Φασιανοὶ δὲ τὸ ὄρνεον ἐκεῖθεν παρονομασθῆναι δοκοῦσιν, ὡς αὐτόθι πλεονάσαντες. Ὁ δὲ Καύκασος καὶ Κάσπιος ὑπὸ τῶν ἐκεῖ καλεῖται, ὡς ὁ Γεωγράφος φησίν· ὃς λέγει καὶ ὅτι τὰ πρὸς θάλασσαν αὐτοῦ Κεραύνια ὄρη καλοῦνται ὁμωνύμως δηλονότι τοῖς Ἰλλυρικοῖς· καὶ ὅτι ὑπέρκειται ὁ Καύκασος οὗτος τοῦ Κασπίου πελάγους, διατειχίζων τῶν αὐτόθι ἰσθμόν, καὶ ἀφορίζων πρὸς μὲν νότον Ἀλβανοὺς καὶ Ἴβηρας, πρὸς δὲ ἄρκτον Σαρμάτας.

692. Τὸ δὲ Κιρκαῖον πεδίον διὰ τὴν τοῦ Κολχικοῦ βασιλέως Αἰήτου ἀδελφὴν Κίρκην οὕτω καλεῖται, τὰς βοτάνας ἐκεῖθεν συλλέγουσαν. Περὶ τούτου πεδίου καὶ ὁ Γεωγράφος φησίν, ὅτι περί που τὴν Ἀλβανῶν γῆν Κίρκης ἱερόν, ἔνθα καὶ φιάλη τις Ὀδυσσέως δείκνυται, καὶ Κιρκαῖον ὄρος πολύρριζον, νησίζον θαλάσσῃ καὶ ἕλεσιν. Ἱστέον δὲ ὅτι κατὰ τὸν Λυκόφρονα ἔστι Κιρκαῖόν τι ὄρος καὶ περί που τὰ τῆς Ῥώμης ὅρια.

694. Ὅτι τὸ Ἀρμένιον ὄρος, ἀφ' οὗ ῥέειν

золота, записанный на кожахъ; ради этого-то достойнаго вниманія способа, по его словамъ, и былъ предпринятъ походъ на *корабль* Арго. Таковы *существующіе* объ этомъ *разсказы*. Діонисій, описывая страну Колховъ, говоритъ, что они живутъ у вышеупомянутаго внутренняго угла Евксинскаго Понта за вышесказанными Тиндаридами, близъ вышеупомянутаго же Кавказа, который около Иркапскаго залива возвышается крутыми горами; здѣсь, говоритъ онъ, и Фасидъ, «катясь по поверхности Киркейской равнины, извергаетъ пѣну своихъ быстрыхъ волнъ въ воды Евксина». Ибо въ Евксинскій же Понтъ впадаетъ и рѣка Фасидъ; первый слогъ ея названія протягивается, а называется она такъ отъ Фасида, сыномъ котораго по преданію былъ Колхъ. Она вливается въ Колхиду бурно и стремительно; по словамъ Географа [1]), на ней 100 мостовъ вслѣдствіе ея извилистаго теченія. Въ нее впадаютъ рѣки Главкъ и Иппъ; на ней стоитъ также одноименный городъ. *Лежащія* по ней мѣстности у Діодора [2]) и у другихъ называются Фасіаной. Оттуда, кажется, получили названіе и птицы фазаны, потому что водились тамъ въ изобиліи. Кавказъ туземцами называется также Каспіемъ по словамъ Географа [3]), который говоритъ также, что приморская часть его называется Керавискими горами, стало быть одинаково съ Иллирійскими, и что этотъ Кавказъ возвышается надъ Каспійскимъ моремъ, какъ-бы перегораживая стѣною перешеекъ и отдѣляя къ югу Албанцевъ и Иверовъ, а къ сѣверу — Сарматовъ [4]).

692. Киркэйская равнина называется такъ по имени Кирки, сестры Колхидскаго царя Эита, собиравшей тамъ травы. Объ этой равнинѣ говоритъ и Географъ именно что гдѣ-то у земли Албанской есть святилище Кирки, въ которомъ показывается чаша Одиссея, и изобилующая кореньями Киркэйская гора, образующая *собою какъ-бы* островъ среди моря и болотъ [5]). Нужно знать, что по словамъ Ликофрона [6]) есть какая-то Киркэйская гора и у предѣловъ Рима.

694. Армянская гора, откуда беретъ

1) Страв. p. 500 (выше, стр. 139) говоритъ о 120 мостахъ. 2) Діод. XIV, 29. 3) Страв. p. 497 (выше, стр. 136). 4) См. выше, стр. 135 и 141. 5) По словамъ Страбона (V, 3, 6, p. 232) эта гора находится въ Лаціи, въ 290 стадіяхъ отъ г. Анція. 6) Лик. *Алекс.* 1273.

Digitized by Google

ὁ Φᾶσις ἄρχεται, ὁ μὲν τὰ Ἐθνικὰ γράψας περὶ τὴν ἀρχὴν τῆς Ὑρκανίας εἶναι οἴεται, ἄλλοι δὲ τοῦ Ταύρου φασὶν ἀπόσπασμα εἶναι τὸ Ἀρμένιον, παρατεῖνον ἕως καὶ εἰς Ἀρμενίαν, τὴν οὕτω κληθεῖσαν ἢ ἀπὸ τοῦ ῥηθέντος Ἀρμενίου ὄρους, ἢ ἀπό τινος Ἀρμένου Ῥοδίου ἀνδρός. Κατὰ δὲ ἄλλους Ἀρμενία ἡ χώρα λέγεται ἐπωνύμως Ἀρμένου ἥρωος ἐξ Ἀρμενίου πόλεως Θετταλικῆς, συστρατεύσαντος ἐκεῖ τῷ Ἰάσονι. Ὅτι δὲ καὶ εἰς τοὺς τοιούτους τόπους ἦλθεν ὁ Ἰάσων, ὅτε εἰς τὸ χρυσόμαλλον ἐπέπλευσε δέρμα, πολλὰ τεκμήρια παρὰ τοῖς παλαιοῖς. Τὸ δὲ Ἀρμένιον ὄρος λέγεται καὶ πληθυντικῶς τὰ Ἀρμένια. Ἱστέον δὲ ὅτι Ἡρόδοτος τοὺς Ἀρμενίους Φρυγῶν ἀποίκους φησί, λέγων καὶ ὅτι πολυπρόβατοί εἰσι. Καὶ Εὔδοξος δὲ ἐν Γῆς Περιόδῳ φησίν· «Ἀρμένιοι τὸ γένος ἐκ Φρυγίας, καὶ τῇ φωνῇ πολλὰ φρυγίζουσι. Παρέχονται δὲ καὶ λίθον τὴν γλύφουσαν καὶ τρυπῶσαν τὰς σφραγῖδας»...

начало р. Фасидъ, по мнѣнію автора сочиненія «О народахъ» [1]), находится тамъ, гдѣ начинается Иркапія, а другіе принимаютъ Армепскую гору за отрогъ Тавра, простирающійся до самой Арменіи, которая получила это названіе или отъ сказанной Армепской горы, или отъ какого-то Родосца Армена. По другимъ *опять* эта страна названа Арменіей по имени героя Армена, происходившаго изъ Ѳессалійскаго города Арменія *и* сопутствовавшаго Іасону въ его походѣ туда [т. е. въ Армепію]: у древнихъ есть много свидѣтельствъ, что Іасонъ во время своего похода за золотымъ руномъ побывалъ и въ этихъ мѣстахъ. Названіе Армепской горы употребляется и во множественномъ числѣ—τὰ Ἀρμένια. Нужно знать, что Иродотъ [2]) называетъ Армянъ Фригійскими выселенцами, говоря также, что они богаты овцами. И Евдоксъ въ «Объѣздѣ земли» говоритъ [3]): «Армяне ведутъ родъ изъ Фригіи, и въ языкѣ ихъ есть много фригійскаго. У нихъ добывается камень, которымъ вырѣзываютъ и просверливаютъ печати»...

695. Ὅτι πρὸς ἀνατολὴν καὶ βορέαν τοῦ Ἀρμενίου ὄρους ὁ ἰσθμός ἐστιν ὁ μεταξὺ Κασπίας καὶ Εὐξείνου θαλάσσης, περὶ ὃν οἱ ἐωθινοί εἰσιν Ἴβηρες, Ὑρκανίοις ὡς εἰκὸς πολέμιοι, ἐκ τῶν κατὰ Πυρήνην μεταοικισθέντων ἑσπερίων Ἰβήρων· ἣν δὴ Πυρήνην καὶ Πυρηναῖον οἴδαμεν ὄρος λέγεσθαι. Ἐπαναλαμβάνει δὲ καὶ τὸν τοιοῦτον ἰσθμὸν διὰ τὸ πολὺ τοῦ χάσματος καὶ ἀξιόλογον. Οὗτος γάρ ἐστιν ὃν καὶ ὅρον Ἀσίας καὶ Εὐρώπης ἐνόμισάν τινες, ὡς προγέγραπται. Τοὺς δὲ Ἴβηρας τούτους Ἀρμενιστὶ καὶ Μηδιστὶ ὁ Γεωγράφος ἐσκευάσθαι φησί. Λέγει δὲ καὶ ὅτι τούτων οἱ ὀρεινοὶ μαχιμώτεροι.

695. Къ сѣверо-востоку отъ Армепской горы находится перешеекъ, что̀ между Каспійскимъ и Евксинскимъ морями; на немъ живутъ восточные Иверы, естественные враги Иркапцевъ, переселившіеся отъ западныхъ Иверовъ, живущихъ у Пирины, которая, какъ мы знаемъ, называется также Пиринейскою горой. Далѣе *Діонисій* опять повторяетъ упоминаніе объ этомъ перешейкѣ вслѣдствіе его величины и достопримѣчательности. Это — *тотъ самый перешеекъ*, который нѣкоторые, какъ раньше написано, признали границей Азіи и Европы. А Иверы эти, по словамъ Географа [4]), снаряжаются по армянски и по мидійски; горцы между ними, по его-же словамъ, отличаются особенною воинственностью.

700. Ὅτι περὶ τὸν ῥηθέντα ἰσθμὸν κεῖται καὶ τὸ μέγα φῦλον τῶν Καμαριτῶν, οἳ οὕτω λέγονται ἀπὸ πλοίων στρογγύλων λῃστρικῶν, οἷς ἐχρῶντο, ἃ ἐκαλοῦντο καμάραι παρ' Ἕλλησιν. Ἦσαν δὲ ἀκάτια λεπτά, στενὰ καὶ κοῦφα, ἀνθρώπους εἰς κε' δεχόμενα, σπάνια δὲ καὶ εἰς λ'. Οὗτοι οἱ Καμαρῖται τὸν Βάκχον Ἰνδῶν ἐκ πολέμου, φησί,

700. На сказанномъ перешейкѣ живетъ и большое племя Камаритовъ, которые носятъ это названіе отъ употребляемыхъ ими круглыхъ разбойничьихъ судовъ, которыя у Еллиновъ назывались «камарами» [5]). Это были небольшія узкія и легкія ладьи, вмѣщавшія до 25 и рѣдко до 30 человѣкъ. Эти Камариты, по словамъ *Діонисія*, госте-

1) Стеф. Виз. п. сл. Ἀρμενία со ссылкою на это самое мѣсто Діонисія. 2) V, 49 и VII, 73. 3) У Стеф. Виз. п. сл. Ἀρμενία. 4) Страв. р. 500 (выше, стр. 139).
5) Ср. описаніе камаръ у Стравона выше, стр. (134.)

Digitized by Google

δεξάμενοι ἐξένισαν καὶ ταῖς Λήναις, ὅ ἐστι ταῖς Βάκχαις, συνεχόρευσαν, τὰ ἐκείνων φορήματα, ζώματα δηλαδὴ καὶ νεβρῖδας, ἐπὶ στήθεσι βαλόντες, εὐοὶ Βάκχε λέγοντες...

718. Ὅτι ὁ Διονύσιος μὲν περίδρομον ἢ περίτροχον ἀμφιέλικτον τὸ τῆς Κασπίας θαλάσσης σχῆμά φησιν, ὡς οἷα κυκλοτερές, καὶ τῷ ὠκεανῷ αὐτὴν συμμιγνύειν. Φησὶ γάρ· «ὀξὺ δ' ἐπ' ἄρκτους ἑλκομένη ἐπιμίσγεται τῷ ὠκεανῷ». Καὶ οὕτω μὲν ὁ Διονύσιος, ὅς γε καὶ στόμα ἔοικε παραδιδόναι, καθ' ὃ δηλαδὴ εἰς αὐτὴν ὁ ὠκεανὸς ἀπερεύγεται, ὡς καὶ ἐν ἀρχαῖς τοῦ βιβλίου φαίνεται· Πτολεμαῖος δὲ οὔτε στόμα αὐτῆς τοιοῦτον οἶδεν, ὅς γε καὶ περιοδεύεσθαί φησι κύκλῳ αὐτὴν τοῖς πεζεύουσι, καὶ οὐδὲ κυκλοτερῆ αὐτὴν ἱστορεῖ, ἀλλὰ σφενδόνῃ ἐοικυῖαν ὑποτίθεται, ὁποῖον ὁ Διονύσιος τὸ τῆς οἰκουμένης ἔθετο σχῆμα. Διχῇ τοίνυν οὕτω διαφερομένων τῶν σοφῶν, τὰ μὲν περὶ τοῦ σχήματος τῆς θαλάσσης ταύτης μεμενήκασιν ἴσως αὐτοῖς ἀκατάλλακτα, ἡ δὲ λοιπὴ διαφορά, ὡς ἐν ἀρχαῖς ἐρρήθη, συμβεβίβασται παρὰ τῶν παλαιῶν διαιτηθεῖσα καλῶς. Εἰ γὰρ ἐξ ἀδήλων πηγῶν ὁ ὠκεανὸς τὸ Κάσπιον ἀναδίδωσι πέλαγος, σώζοιτο ἂν καὶ ὁ τοῦ Πτολεμαίου καὶ ὁ τοῦ Διονυσίου λόγος, ὡς ἐν τοῖς φθάσασι γέγραπται. Καθὸ μὲν γὰρ ἐξ ὠκεανοῦ τὸ Κάσπιον ὕδωρ, ἀληθεύει ὁ Διονύσιος, ἐρεύγεσθαι εἰπὼν αὐτόθι τὸν ὠκεανόν· εἰ δὲ ἄδηλοι αἱ πηγαὶ καὶ οὐ φαίνεται τὸ στόμα, ἀληθεύει καὶ ὁ Πτολεμαῖος.

721. Ὅτι τὴν Κασπίαν θάλασσαν ὁ Διονύσιος πόρον ἀμείλιχον λέγει, ἔτι δὲ καὶ μεγάλην θάλασσαν. Διά τί δὲ μεγάλην; ὅτι οὐκ ἄν, φησὶν, ἐκείνην νηὶ περάσειας τριτάτης ἐπὶ κύκλα σελήνης, ὅ ἔστιν ἐπὶ μῆνας τρεῖς, δηλονότι κατὰ τὴν κύκλῳ περίοδον. Ἄλλως γὰρ εὐπέρατός ἐστι, μῆκος μὲν πλόον ἔχουσα τοῖς ἐρέσσουσι ιε΄ ἡμερῶν, εὖρος δὲ ὀκτὼ ἡμερῶν, ὅπου ἐστὶν εὐρυτάτη ἑαυτῆς, κατὰ τὸν Ἡρόδοτον. Ἐντεῦθεν δὲ σημειώσαι καὶ ὅτι οὐκ ἀκριβῶς ἐστι κυκλοτερὴς ἡ Κασπία θάλασσα, ὡς τάχα ὁ Περιηγητὴς ὑποτίθεται, ἀλλὰ ἑτερομήκης, ὡς καὶ ὁ Πτολεμαῖός φησιν.

принято приняли Вакха *при возвращеніи его* съ индійской войны и участвовали въ пляскахъ вмѣстѣ съ Линами, т. е. Вакханками, накинувъ на грудь ихъ одѣянія, т. е. пояса и оленьи шкуры, и восклицая «эвое Вакхъ»...

718. Діонисій называетъ фигуру Каспійскаго моря круглою или колесообразною, со всѣхъ сторонъ извивающеюся, т. е. въ видѣ круга, и *говоритъ*, что *оно* соединяется съ Океаномъ. Вотъ его слова: «острымъ угломъ выдаваясь къ сѣверу, оно соединяется съ Океаномъ». Такъ думаетъ Діонисій, который, какъ кажется, обозначаетъ и устье, черезъ которое Океанъ изливается въ это море — какъ *это* видно и въ началѣ книги. Однако Птолемай не знаетъ такого устья этого моря, говоря, что его можно обойти кругомъ по сухому пути, и не называетъ его круглымъ, но представляетъ его подобнымъ праще, *т. е. такой фигуры*, въ видѣ какой Діонисій представляетъ землю. При такомъ разногласіи ученыхъ, мнѣнія ихъ относительно фигуры этого моря, можетъ быть, остались у нихъ несогласными, а разногласіе въ прочемъ, какъ сказано въ началѣ, прекрасно сопоставлено и согласовано древними: вѣдь если Океанъ выдѣляетъ изъ себя Каспійское море посредствомъ неизвѣстныхъ протоковъ, то могутъ остаться въ силѣ мнѣнія и Птолемэя, и Діонисія, какъ изложено въ предыдущемъ: поскольку вода Каспійскаго моря *берется* изъ Океана, правъ Діонисій, сказавшій, что «Океанъ изливается туда»; а если протоки неизвѣстны, и устье не видно, то правъ и Птолемэй.

721. Каспійское море Діонисій называетъ труднымъ для плаванія и сверхъ того великимъ моремъ. Почему-же великимъ? Потому что, говоритъ онъ, его, пожалуй, *не объѣдешь* въ третій оборотъ луны, т. е. въ три мѣсяца, конечно при круговомъ объѣздѣ. Иначе оно не затруднительно для переправы, такъ какъ въ длину оно простирается на 15 дней плаванія на веслахъ, а въ ширину на восемь дней, да и то въ самомъ широкомъ мѣстѣ, по показанію Иродота [1]). Отсюда слѣдуетъ заключить, что Каспійское море не вполнѣ круговидно, какъ повидимому представляетъ его Періэгетъ, но продолговато, какъ говоритъ и Птолемэй.

1) I, 203 (выше, стр. 6).

Digitized by Google

723. Ὅτι πολλὰ καὶ ἄλλα θαύματα ἡ Κασπία ἐν ἀνδράσιν αὔξει, φύει δὲ καὶ κρυστάλλους λίθους, καὶ ἴασπιν ἠερόεσσαν, ὅ ἐστιν ἀερώδη, σκοτεινὴν, ἐχθρὰν ἐμπούσαις καὶ ἄλλοις εἰδώλοις. Δοκεῖ γὰρ ἀλεξίκακος εἶναι ἡ λίθος αὕτη καὶ ἀποτροπιαστικὴ φασμάτων, ὧν ἓν ἐστι καὶ ἡ Ἔμπουσα, δαιμόνιόν τι περὶ τὴν Ἑκάτην...

728. Ὅτι Σκύθαι Κρονίας ἁλὸς ἄγχι εἰσί. Περὶ ὧν οἷοι τὸν βίον εἰσὶν, ἤδη προγέγραπται. Καλεῖσθαι δὲ λέγονται Σκύθαι ἢ παρὰ τὰ σκύτη ἃ περιβέβληνται, ἢ παρὰ τὸ σκύζεσθαι ἤτοι ὀργίζεσθαι· ὀργίλοι γάρ εἰσιν· ἢ ἀπὸ Σκύθου υἱοῦ Ἡρακλέος, καθὰ καὶ ἀλλαχοῦ γέγραπται...

730. Ὅτι Οὖννοι, ἢ Θοῦννοι μετὰ τοῦ θ στοιχείου, Κάσπιον ἔθνος εἰσὶ Σκυθικόν. Μάλιστα δὲ προσθετέον τοῖς γράφουσιν Οὖννοι δίχα τοῦ θ... Ὅτι ὥσπερ οἱ ῥηθέντες Οὖννοι Σκύθαι εἰσὶν, οὕτω καὶ οἱ Κάσπιοι μετ' αὐτοὺς ὄντες ἔθνος λόγου ἄξιον· ἀφ' ὧν καὶ ἡ θάλασσα Κασπία καλεῖται, ὡς καὶ ἀπὸ τῶν Ὑρκανίων Ὑρκανία· παρ' οἷς καὶ τῶν φύλλων ἀπορρέειν μέλι ἡ ἱστορία φησὶ, καὶ ἡ ἄμπελος πολυφορεῖ, καὶ ἡ συκῆ δὲ οὕτω λέγεται πλουτεῖν τῷ καρπῷ, ὡς ἐνίας καὶ εἰς μεδίμνους ἑξήκοντα πληθύνειν τὸν καρπόν. Ἐκεῖ δὲ καὶ τὸ ἔθνος οἱ Ἀλβανοὶ, ποιμενικοὶ καὶ μετρίως πολεμικοὶ, μεταξὺ Ἰβήρων καὶ Κασπίας· ὧν Κυκλώπειος, φασὶν, ὁ βίος, τουτέστιν εὐδαίμων καὶ ἄπονος, οἷς ἡ γῆ πολλαχοῦ ἅπαξ σπαρεῖσα τοῦ λοιποῦ δὶς καὶ τρὶς ἄσπαρτον φέρει καρπόν. Ἁπλοῖ δέ εἰσι καὶ οὐκ οἴδασι νόμους, οὐδὲ ἀριθμοὺς οἴδασι πλείω τῶν ἑκατόν. Γλῶσσαι δὲ αὐτῶν κατὰ τὸν Γεωγράφον ἓξ καὶ εἴκοσιν. Ἐκεῖ δὲ καὶ οἱ Καδούσιοι κατὰ τὸν Διονύσιον, ὧν τραχεῖα ἡ γῆ, ἄνδρες δεινοὶ πετροβατεῖν, καὶ ἀκοντισταὶ ἄριστοι, ὡς ὁ Γεωγράφος ἱστορεῖ, καὶ οἷοι ἐν τοῖς τραχέσι πεζοὶ ἀντὶ ἱππέων διαμάχεσθαι. Τούτοις δὲ ἀγχιγείτονες Μάρδοι καὶ Ὑρκάνιοι καὶ Ἄπυροι, οὓς Ταπύρους φησὶν ὁ Γεωγράφος, ἀρχομένους ἀπὸ τοῦ τ, οἳ ἐκ γυναικὸς δύο ἢ τρία ἀνελόμενοι τέκνα ἐκδιδόασι τοῦ λοιποῦ τὰς γυναῖκας ἑτέροις.

723. Много и другихъ чудесъ представляетъ людямъ Каспійское море; и производитъ камни-кристаллы и яшму ἠερόεσσαν, т. е. похожую по цвѣту на туманъ, темную,— страшную для ѣмпусъ и другихъ привидѣній. Камень этотъ, повидимому, считается защищающимъ отъ бѣдъ и отвращающимъ видѣнія, къ числу которыхъ относится и Ѣмпуса, одно изъ *низшихъ* божествъ изъ свиты Екаты.

728. Скиѳы живутъ близъ Кронійскаго моря. Объ ихъ образѣ жизни уже сказано выше. Скиѳами же называются они, говорятъ, или отъ кожъ (σκύτη), въ которыя они одѣваются, или отъ σκύζεσθαι, т. е. сердиться, такъ какъ они раздражительны, или же отъ *имени* Скиѳа, сына Иракла, какъ уже сказано въ другомъ мѣстѣ.

730. Унны, или Ѳунны съ буквою θ,— Каспійскій народъ *изъ племени* Скиѳовъ. Нужно слѣдовать тѣмъ, которые пишутъ «Унны» безъ θ... Какъ сказанные Унны— Скиѳское племя, такъ и живущіе за ними Каспіи, народъ весьма замѣчательный; отъ нихъ и море называется Каспійскимъ, какъ и отъ Иркановъ — Иркапскимъ; въ ихъ землѣ, по разсказамъ, изъ листьевъ сочится медъ, виноградныя лозы даютъ богатый урожай, а смоковница до того, говорятъ, изобилуетъ плодами, что нѣкоторыя деревья даютъ сбора до 60 медимновъ [1]). Тамъ-же живетъ пастушескій и не особенно воинственный народъ Албанцы, между *землею* Иверовъ и Каспійскимъ *моремъ*; живутъ они, говорятъ, по киклопски, т. е. счастливо и безъ трудовъ, такъ какъ земля у нихъ во многихъ мѣстахъ, будучи разъ засѣяна, впослѣдствіи дважды и трижды приноситъ плоды безъ новыхъ посѣвовъ. *Люди* они простые, законовъ не знаютъ и считать не умѣютъ дальше сотни [2]). Нарѣчій у нихъ, по словамъ Географа [3]), двадцать шесть. Тамъ-же живутъ, по Діонисію, и Кадусіи въ скалистой землѣ, очень ловкіе ходоки по скаламъ, отличные стрѣлки изъ лука, по словамъ Географа [4]), и въ скалистыхъ мѣстахъ пѣшіе не уступятъ въ сраженіи всадникамъ. Въ близкомъ сосѣдствѣ съ ними живутъ Марды, Ирканы и Апиры, которыхъ Географъ [5]) называетъ Тапирами, начиная

1) Діод. XVII, 75. 2) Страв. p. 501 (выше, стр. 142). 3) Страв. p. 502 (выше, стр. 143). 4) Страв. XI, 13, 4 (p. 523). 5) XI, 9, 1 (p. 515).

Digitized by Google

762. Ὅτι δυτικώτεροι Κόλχων καὶ Φάσιδος Εὐξείνου περὶ χεῖλος ἰλαδὸν οἱ Βύζηρες, ἀφ' ὧν καὶ λιμὴν Βυζηρικός, καὶ οἱ Βέχειρες, Ποντικὸν ἔθνος καὶ Σκυθικόν, ἔτι δὲ καὶ οἱ Μάκρωνες καὶ οἱ Μοσύνοικοι καὶ οἱ Τιβαρηνοὶ καὶ οἱ Χάλυβες, περὶ ὧν κάτω λελέξεται.

765. Ὅτι καὶ οἱ Μάκρωνες ἔθνος Ποντικόν, Βεχείρων νοτιώτερον. Τούτους νῦν Σάννους φαμέν, ἰδιωτικώτερον δὲ Τζάνους... καὶ τὴν χώραν δὲ τῶν Σάννων Τζανικὴν λέγουσιν οἱ τὴν φράσιν ἰδιωτεύοντες.

Ὅτι τοὺς Μοσυνοίκους περιφράζων ἢ ἐτυμολογῶν ὁ Διονύσιος λέγει μόσυνας ἔχειν δουρατέους, ἤγουν ξυλίνους. Οὗτοι δὲ ἀπὸ θηρείων ζῶσι σαρκῶν καὶ ἀκροδρύων. Λέγει δὲ καὶ ὁ Γεωγράφος ἀπὸ μοσύνων, ὃ ἔστι πύργων, αὐτοὺς ὀνομάζεσθαι. Ξενοφῶν δὲ στέατι δελφίνων χρᾶσθαι τοὺς Μοσυνοίκους ἱστορεῖ, ὡς οἱ Ἕλληνες τῷ ἐλαίῳ, καὶ κάρυα πολλὰ ἔχειν τὰ πλατέα οὐκ ἔχοντα διαφυήν, ἤτοι σχισμήν, οὐδεμίαν. Καὶ παῖδας αὐτοῖς εἶναί φησι σιτευτούς, τεθραμμένους καρύοις ἑφθοῖς, ἁπαλοὺς καὶ λευκοὺς σφόδρα, καὶ οὐ πολλοῦ δέοντας ἴσους τὸ μῆκος καὶ τὸ πλάτος εἶναι· καὶ οἶνον παρ' αὐτοῖς λέγει εὑρίσκεσθαι, ὃς ἄκρατος μὲν ὀξὺς ἦν ὑπὸ αὐστηρότητος, κερασθεὶς δὲ εὐώδης τε καὶ ἡδύς. Λευκοὶ δὲ πάντες, φησίν, οἱ ἄνδρες καὶ αἱ γυναῖκες. Βαρβαρώτατοι δὲ οἱ ἐκεῖ, ἐν ὄχλῳ μὲν ποιοῦντες ἅπερ ἄν τινες ἐν ἐρημίᾳ ποιήσειαν, ἐν δὲ τῷ ἰέναι μόνοι πράττοντες ἅπερ ἂν μετ' ἀλλήλων ἰόντες· καὶ γὰρ, φησὶ, καὶ ἐγέλων καὶ ἑαυτοῖς διελέγοντο καὶ ὠρχοῦντο ἐφιστάμενοι ὅπῃ τύχοιεν.

767. Ὅτι οἱ Τιβαρηνοί, οὓς ἡμεῖς Τιβρανούς φαμεν, πολύρρηνές εἰσιν, ὅ ἐστι πολυπρόβατοι, πολυθρέμμονες. Οἰκοῦσι δὲ, καθὰ καὶ οἱ Χαλδαῖοι, μέχρι τῆς μικρᾶς Ἀρμενίας, καθὰ καὶ ὁ Γεωγράφος φησίν. Ἐφ' οἷς οἱ Χάλυβές εἰσι, στυφελὴν καὶ ἀπηνέα γῆν οἰκοῦντες, μογεροῦ δεδαηκότες ἔργα σιδήρου, οἳ βαρυγδούποις, φησίν, ἐπ' ἄκμοσιν

1 *имя названіе* съ т, и которые, получивъ отъ жены двухъ или трехъ дѣтей, затѣмъ отдаютъ своихъ женъ другимъ.

762. Къ западу отъ Колховъ и Фасиса у берега Евксина скученно живутъ Визиры, отъ которыхъ названа и Визирская гавань, и Вехиры, Понтійскій народъ Скиѳскаго племени, кромѣ того Макроны, Мосинники, Тиварины и Халивы, о которыхъ будетъ сказано ниже.

765. Макроны народъ Понтійскій, *живущій* южнѣе Вехировъ. Ихъ мы нынѣ называемъ Саннами или вульгарнѣе Цанами... и страну Санновъ называютъ Цаникою употребляющіе вульгарную форму *имени*.

Перифрастически или этимологически объясняя имя Мосинниковъ, Діонисій говоритъ, что они имѣютъ мосунасъ дуратеусъ, т. е. деревянныя башни. Питаются они звѣринымъ мясомъ и орѣхами. Географъ [1]) также говоритъ, что ихъ названіе происходитъ отъ мосиновъ, т. е. башенъ. Ксенофонтъ же разсказываетъ [2]), что Мосинники употребляютъ сало дельфиновъ, какъ Еллины масло, и *область* *ихъ* изобилуетъ плоскими орѣхами безъ всякаго рубца, т. е. трещины; дѣти у нихъ, по его-же словамъ, жирны, откормлены вареными орѣхами, очень нѣжны и бѣлы, въ ширину почти такія-же, какъ и въ толщину; есть у нихъ, говоритъ онъ, и вино, которое, не будучи смѣшано *съ водою*, имѣетъ острый вкусъ отъ терпкости, а смѣшанное душисто и пріятно *на вкусъ;* всѣ *они*, говоритъ онъ, и мужчины, и женщины отличаются бѣлизною, но изъ всѣхъ туземцевъ имѣютъ наиболѣе варварскіе обычаи и дѣлаютъ *открыто*, въ толпѣ то, что другіе совершаютъ наединѣ, а на пути въ одиночку ведутъ себя такъ, какъ-бы *вели*, идя въ обществѣ другихъ: они и смѣялись, по его словамъ, и разговаривали сами съ *собою*, и плясали, вставая гдѣ попало.

Тиварины, которыхъ мы называемъ Тивранами, πολύρρηνες, т. е. богаты овцами, скотомъ. Живутъ они, какъ и Халдеи, до малой Арменіи, какъ говоритъ и Географъ [3]). За ними—Халивы, населяющіе безплодную и суровую землю, искусные въ обработкѣ труднаго желѣза, которые, *какъ* *они* говоритъ, стоя при тяжкозвучныхъ наковаль-

1) Страв. p. 549 (выше, стр. 158). 2) Анав. V, 4, 28 сл. (выше, стр. 82). 3) p. 548 (выше, стр. 158).

Digitized by Google

ἐστῶτες οὔποτε παύονται καμάτου. Τούτους τοὺς Χάλυβας ἄλλοι Χαλύβους ἐκάλεσαν· ἔθνος δέ εἰσι Ποντικὸν παρὰ τῷ Θερμώδοντι· ἀφ' ὧν σίδηρος, φασίν, ἐξάγεται ὁ πρὸς τὰ στόματα ἐπαινούμενος, ἤγουν πρὸς τὰ στομώματα... Ξενοφῶν δὲ ὀλίγους τε αὐτοὺς εἶναι λέγει καὶ τῶν Μοσυνοίκων ὑπηκόους, καὶ τὸν βίον αὐτῶν τοῖς πλείστοις ἀπὸ σιδηρείας εἶναι..

772. Ὅτι μετὰ τοὺς Χάλυβας ἡ τῆς Ἀσσυρίας χθονὸς πρόχυσις ἐκτέταται· ἔνθα καὶ ὁ Θερμώδων, Σκυθικός κατά τινας ποταμός, ἀπὸ τοῦ Ἀρμενίου ῥέων ὄρους ταῖς Ἀμαζόσι λευκὸν ὕδωρ προΐησι. Δι' ἃς καὶ ἐνυάλιος ὁ Θερμώδων λέγεται, οὐχ ὅτι αὐτὸς τοιοῦτος, ἀλλ' ὅτι μάχιμοι αἱ τούτου πίνουσαι Ἀμαζόνες, περὶ ὧν εἴρηται μὲν καὶ ἀνωτέρω, καὶ μετὰ ταῦτα δὲ ῥηθήσεται. Λέγει δὲ καὶ ὅτι ὁ αὐτὸς Θερμώδων καὶ τὴν Ἀσωπίδα Σινώπην πλανωμένην ἐδέξατο, ἤγουν τὴν θυγατέρα τοῦ Ἀσωποῦ τὴν Διὸς ἐρωμένην... Ἐξ ἧς καὶ πόλις διαφανεστάτη ὁμώνυμος αὐτῇ ἡ Σινώπη... ἧς κατὰ Διόδωρον ὅποικος ἡ Τραπεζοῦς, πόλις Ἑλληνίς, πρὸς τῇ τῶν Κόλχων χώρᾳ κειμένη... Ξενοφῶν δὲ ἱστορήσας καὶ αὐτὸς τοὺς Σινωπεῖς οἰκεῖν μὲν ἐν τῇ Παφλαγονικῇ, Μιλησίων δὲ ἀποίκους εἶναι, φησὶ καὶ ὅτι Κοτυωρῖται καὶ Κερασούντιοι καὶ Τραπεζούντιοι δασμὸν ἔφερον τοῖς Σινωπεῦσι λέγων καὶ ὅτι Κερασοῦς πόλις Ἑλληνὶς ἐπὶ θαλάσσῃ, Σινωπέων ἄποικος ἐν τῇ Κολχίδι χώρᾳ. Ἡρόδοτος δὲ ἱστορεῖ, ὅτι Κιμμέριοι φεύγοντες εἰς Ἀσίαν τοὺς Σκύθας τὴν χερρόνησον ἔκτισαν, ὅπου νῦν Σινώπη πόλις Ἑλλὰς οἰκεῖται...

нихъ, никогда не прекращаютъ труда. Этихъ Халибовъ другіе назвали Халибоями [1]); они — Понтійскій народъ у Термодонта; отъ нихъ, говорятъ, вывозится желѣзо, славящееся своей остротой, т. е. закалкой... Ксенофонтъ говоритъ [2]), что они малочисленны, подвластны Моссинэкамъ и большая часть ихъ живетъ разработкою желѣзной руды...

772. За Халибами «разстилается разливъ Ассирійской земли», гдѣ и Термодонтъ, по нѣкоторымъ Скиѳская рѣка, протекая отъ Арменской горы, посылаетъ Амазонкамъ *свою* бѣлую воду. Отъ нихъ Термодонтъ называется и воинственнымъ, не потому, что онъ самъ таковъ, а потому, что воинственны пьющія его *воду* Амазонки, о которыхъ сказано и выше, и будетъ еще сказано ниже. Онъ говоритъ также, что этотъ самый Термодонтъ принялъ и блуждающую Асопиду Синопу, т. е. дочь Асопа, любовницу Зевса... отъ которой *получилъ названіе* и одноименный съ нею весьма извѣстный городъ Синопа... колоніей котораго, по Діодору [3]), *былъ* Трапезунтъ, эллинскій городъ, лежащій у страны Колховъ... Ксенофонтъ же, также разсказавши, что Синопейцы живутъ въ Пафлагонской землѣ и суть колонисты изъ Милита, утверждаетъ, что Котіориты, Керасунтійцы и Трапезунтійцы платили дань Синопейцамъ, говоря *при этомъ*, что Керасунтъ — эллинскій приморскій городъ, колонія Синопейцевъ въ странѣ Колхидской [4]). Иродотъ же разсказываетъ [5]), что Киммерійцы, бѣжавъ въ Азію отъ Скиѳовъ, заселили полуостровъ, гдѣ нынѣ стоитъ эллинскій городъ Синопа...

ΣΧΟΛΙΑ
ΕΙΣ ΤΗΝ ΔΙΟΝΥΣΙΟΥ ΠΕΡΙΗΓΗΣΙΝ.

СХОЛІИ
КЪ «ЗЕМЛЕОПИСАНІЮ» ДІОНИСІЯ.

Текстъ: Geographi Graeci minores, rec. C. Müllerus, v. II p. 427 sq.

Переводъ В. Л.

7. ... Δείξας δὲ τοὺς ὅρους τῆς Λιβύης ἄνεισιν ἐπὶ τὰς ἄλλας, ἀποδιαιρῶν τὴν Ἀσίαν τῆς Εὐρώπης. Ὅριον δὲ τῆς ἀμφοῖν ἀποστάσεως εἶναι λέγει Τάναϊν τὸν Σκύθην

7. ... Показавъ предѣлы Ливіи, *Діонисій* переходитъ къ другимъ *материкамъ*, отдѣляя Азію отъ Европы. Границею обоихъ *этихъ материковъ* онъ называетъ скиѳ-

1) Екатэя Мил. fr. 195 (выше, стр. 3) 2) Анав. V, 5, 1 (выше, стр. 83). 3) Діод. XIV, 31. 4) Анав. V, 5, 10 и VI, 1, 15. 5) IV, 12 (выше, стр. 15).

Digitized by Google

ποταμὸν, ἔχοντα μὲν ἐν τῷ Καυκάσῳ τὰς πηγὰς, ἀρδεύοντα δὲ τὴν Σαρματίαν, εἰσβάλλοντα δ' εἰς Μαιῶτιν λίμνην, οὕτως καλουμένην ἐν τῇ Σκυθίᾳ. Ὅτι δὲ κάτεισιν ἐκ τοῦ Καυκάσου, διὰ τῶν ἑξῆς εἴρηται (v. 663) «τοῦ δ' ἤτοι πηγαὶ μὲν ἐν οὔρεσι Καυκασίοισι», [ἃ ἐστι] τὰ Ῥιπαῖα. Τινὲς γὰρ ἐν αὐτοῖς εἶναι λέγουσι τὰς πηγὰς, εἰρῆσθαι δὲ ὡς τὸ «Ἰδαίων ὀρέων»· μέρος γάρ εἶναι τοῦ Καυκάσου τὰ Ῥιπαῖα, ὡς καὶ τῆς Ἴδης τὸ Γάργαρον καὶ τὸ Λεκτόν. Ὁ μέντοι Πτολεμαῖος ἐξ ὑπερβορέων μερῶν ἀνωνύμων ἐπὶ Σκυθίαν αὐτὸν ἔρχεσθαι καὶ Σαυρομάτας· Αἰσχύλος δὲ ἐν Προμηθεῖ λυομένῳ καὶ Σοφοκλῆς ἐν Σκύθαις ὑπὸ τούτου διορίζεσθαί φησι τὰς ἠπείρους.

скую рѣку Танаидъ, имѣющую истоки на Кавказѣ, орошающую Сарматію и впадающую въ такъ называемое Меотійское озеро въ Скиѳіи. А что онъ спускается изъ Кавказа, *это* сказано въ слѣдующихъ *словахъ*: «а истоки его въ Кавказскихъ горахъ», которыя суть Рипэйскія. Нѣкоторые говорятъ, что *ею* истоки находятся въ нихъ и что приведенное выраженіе употреблено подобно выр. «Идэйскихъ горъ»: ибо Рипэйскія горы составляютъ-де часть Кавказа, какъ Гаргаръ и Лектъ — части Иды. Птолемэй же *говоритъ*, что *эта рѣка* течетъ изъ безъименныхъ иперборейскихъ странъ въ Скиѳію и къ Савроматамъ, а Эсхилъ въ «Освобождаемомъ Промиѳеѣ» и Софоклъ въ «Скиѳахъ» говорятъ, что имъ раздѣляются материки.

14. Δείξας τῆς Λιβύης τοὺς ὅρους ἄνεισιν ἐπὶ τὰς ἄλλας, ἀποδιαιρῶν τὴν Ἀσίαν τῆς Εὐρώπης. καὶ τούτου αἴτιόν φησι τὸν Τάναϊν, ὃς παρὰ τοῖς ἐνοικοῦσι Σίλις λέγεται. Εἴρηται δὲ Τάναϊς διὰ τὸ τεταμένως ῥεῖν. Ἀρτεμίδωρος δέ φησι τὰ δύο στόματα τοῦ Τανάϊδος διέχειν ἑαυτῶν στάδια ἑπτά*. Τὸ μὲν γὰρ αὐτοῦ εἰς Μαιώτιδα λίμνην ἐκρεῖ, τὸ δὲ εἰς Σκυθίαν.

14. Показавъ предѣлы Ливіи, *поэтъ* переходитъ къ другимъ *материкамъ*, отдѣляя Азію отъ Европы. Виновникомъ этого онъ называетъ Танаидъ, который у туземцевъ называется Силисомъ. Танаидомъ *рѣка* эта названа потому, что течетъ *тетамѣнως* (растянуто). Артемидоръ говоритъ, что *два* устья Танаида находятся на разстояніи семи стадій.* Одно изъ нихъ впадаетъ въ Меотиду, а другое въ Скиѳію.

15. ...Προς βορέην, ἤτοι πρὸς τὰ βόρεια μέρη τῆς Εὐρώπης, ὧν ὁ ποταμός ἐστιν ὅριον πρὸς τὰ νότια. Διὸ καὶ μέσον ὅριον ὑποτίθεται τὸν Ἑλλήσποντον, νοτιώτερον δὲ κεῖσθαι τὸν Νεῖλον. Ἀντίκεινται γὰρ ἀλλήλοις οἱ ποταμοί. Ὁ μὲν γὰρ Τάναϊς ἐκ βορείου φερόμενος ἐπιβάλλει τῇ λίμνῃ...

15. ... *Къ сѣверу*, т. е. къ сѣвернымъ частямъ Европы, границею которыхъ отъ южныхъ служитъ рѣка. Поэтому *поэтъ* представляетъ среднею границею Геллеспонтъ, а южнѣе лежитъ Нилъ. Ибо эти рѣки находятся одна противъ другой. Танаидъ, протекая съ сѣвера, впадаетъ въ озеро...

20. [Ἰσθμὸς ἀντέτατται] Τοῦτον τὸν ἰσθμὸν οἱ μὲν τὸν Καύκασον, οἱ δὲ τὴν Θρήνην πεδιάδα φασίν· ἄμεινον δὲ τὴν ἑῴαν Ἰβηρίαν ἀκούειν, ἥ ἐστι μεταξὺ Κόλχων καὶ Ἀλβανίας διαιροῦσα τὸν Εὔξεινον καὶ τὴν Ὑρκανίαν θάλασσαν. Τοῦτον τὸν ἰσθμόν φησι τὸν μεταξὺ δηλαδὴ τῆς Κασπίας θαλάσσης καὶ τοῦ Εὐξείνου πελάγους διαιρεῖν τὴν Ἀσίαν ἀπὸ τῆς Εὐρώπης,*** λήγοντα εἰς Ἀραβίαν καὶ εἰς τὴν Αἴγυπτον.

20. [*Перешеекъ протягивается*]. Этотъ перешеекъ одни называютъ Кавказомъ, а другіе — Ѳринскою равниною; но лучше подразумѣвать восточную Иверію, которая находится между Колхами и Албаніей, раздѣляя Евксинъ и Иркапское море. *Поэтъ* говоритъ, что этотъ перешеекъ, т. е. находящійся между Каспійскимъ моремъ и Евксиномъ, отдѣляетъ Азію отъ Европы,*** оканчиваясь у Аравіи и Египта.

21. Εὐξείνοιο] Ὁ οὖν Εὔξεινος Ἄξεινος ἐκαλεῖτο διὰ τὸ ὑπὸ ληστῶν οἰκεῖσθαι καὶ μηδένα ἐκεῖ παραβάλλειν τῶν ξένων· Εὔξεινος δὲ νῦν ἐκλήθη κατὰ ἀντίρρασιν ἢ

21. [*Евксина*]. Евксинъ назывался Аксеномъ [Негостепріимнымъ], потому что былъ заселенъ *по берегамъ* пиратами и туда не пріѣзжалъ ни одинъ иностранецъ.

Ad v. 25: «ἑπτὰ] ἑξήκοντα Strabo p. 493. Quod si sequentia, quibus alterum fluvii ostium in Maeotidem, alterum in Scythiam, i. e., puto, in oceanum borealem, effundi perhibetur, ex Artemidoro sumta sunt, pro ζ' fuisse ζ (7000) licet suspicari.» Müller. — Ad v. 45: «Nonnulla excidерunt, in quibus sermo erat de altero isthmo quo Libya ab Asia dirimitur.» Müller.

Digitized by Google

ὅτι, ὥς τινές φασιν, ὁ Ἡρακλῆς ἐκβαλὼν ἐκεῖθεν τοὺς λῃστὰς, φιλοξένους τινὰς κατῴκισεν.

30. Αὐτὰρ ὕπερθε πρὸς βορέην] Ὅτι τὸν πρὸς βορρᾶν Κρόνιον κόλπον καλοῦσι· καὶ ἴσως ὅτι ὁ Κρόνος εἰς τὸ ψυχρὸν λαμβάνεται, ἢ διὰ τὴν ψύξιν· Κρόνῳ γὰρ τὸ ψυχρὸν ἀνατέθειται. Τινὲς δὲ Κρόνιον διὰ τὸ ἐκεῖ ἐρρῖφθαι τὰ αἰδοῖα τοῦ Κρόνου. Ἀμεινον δὲ διὰ τὴν ἄγαν ψύξιν· ψυχρὸν γὰρ εἶναι τὸν Κρόνον οἱ ἀποτελεσματικοί φασι· δικαίως δὲ κατέψυκται ὁ ὑπερβόρειος ὠκεανὸς, μὴ παραμυθούμενος τῇ ἀγχιστείᾳ τοῦ ζωδιακοῦ κύκλου. Ἡ δὲ παρ' Ἀπολλωνίῳ τῷ ποιητῇ Κρονίη θάλασσα περὶ τὰ ἑσώτατά ἐστι τοῦ Ἰωνίου κόλπου καὶ ἀπὸ Κρονίας νήσου οὕτω καλουμένη... Ἄλλοι δ' αὖ καὶ νεκρὸν ἐφήμισαν. Ἀμφότερα διὰ τὸ ψυχρὸν τῶν τόπων. Πήγνυται γάρ. Καὶ λέγεται Κρόνιος μὲν πόντος, ὡς τινές φασι, διὰ τὸ Κρόνον εἰς τὴν ψύξιν ἀλληγορεῖσθαι· νεκρὸς δὲ διὰ τὴν ἀπόστασιν τοῦ ἡλίου καὶ τὸ προσκεχωρηκέναι πρὸς τὰ νότια μέρη· τῇ γὰρ ἀπουσίᾳ τοῦ θερμοῦ τὰ ζωογονούμενα παύεται· ἢ λέγεται διὰ τὸ ἀσθενῶς ἐκεῖ προσβάλλειν τὸν ἥλιον. Διὰ πολλοῦ γὰρ χρόνου ὑπὲρ τὴν θάλασσαν ἐκείνην γίνεται, τοῦτ' ἔστι πλησιάζει...

47. Δεύτερος αὖτ' ὀλίγος μέν]. Κατὰ σύγκρισιν τοῦ ἀπὸ Γαδείρων μικρότερος εἴρηται· μείζων δὲ ὡς πρὸς τὸν Περσικὸν καὶ Ἀράβιον κόλπον ἐστὶν ὁ Ὑρκάνιος, ἐκ τοῦ Κρονίου ὠκεανοῦ πληρούμενος. Ἴσως δι' ἀδήλων τόπων ἡ Κασπία ἐπὶ τὰ βόρεια ὀφείλει τετάχθαι περὶ Σκυθίαν, ὡς καὶ Ἀπολλώνιος περὶ Μηδείας· «Κασπίῃ ἐνὶ κόχλῳ ἀμήσατο». Πτολεμαῖος δὲ δίκην νήσου περιέχεσθαι αὐτὴν τῇ γῇ φησι.

Нынѣ онъ названъ Евксиномъ [Гостепріимнымъ] по противоположенію или, какъ нѣкоторые говорятъ, потому что Иракъ, изгнавъ оттуда пиратовъ, поселилъ какихъ-то гостепріимцевъ [1]).

30. [*А выше къ сѣверу*]. Сѣверное море называютъ Кронійскимъ заливомъ, можетъ быть потому, что Кронъ способствуетъ холоду, или по причинѣ охлажденія: ибо холодъ приписывается Крону. Нѣкоторые *объясняютъ названіе* Кронійскаго *залива* тѣмъ, что туда брошены половые органы Крона. Но лучше — по причинѣ чрезмѣрнаго холода: ибо звѣздочеты говорятъ, что Кронъ холоденъ; а иперборейскій океанъ естественно охлаждается, не будучи согрѣваемъ близостью круга зодіака. Кронійское море, упоминаемое поэтомъ Аполлоніемъ [2]), находится въ самой внутренней части Іоническаго залива и называется такъ отъ острова Кроніи... [*А другіе опять назвали и Мертвымъ*]. То и другое по причинѣ холода въ этихъ странахъ; ибо *море это* замерзаетъ. Кронійскимъ моремъ называется оно, какъ нѣкоторые говорятъ, потому, что Кронъ иносказательно обозначаетъ холодъ, а мертвымъ — вслѣдствіе отдаленности солнца и бо́льшей близости его къ южнымъ странамъ; ибо вслѣдствіе отсутствія тепла живородящія *животныя* перестаютъ *существовать;* или называется *такъ* потому, что солнце тамъ слабо бросаетъ *свои лучи*, ибо оно *лишь* чрезъ бо́льшіе промежутки времени оказывается надъ этимъ моремъ, т. е. приближается *къ нему*...

47. [*А второй малъ*]. *Этотъ заливъ* названъ меньшимъ по сравненію съ *заливомъ*, *начинающимся* отъ Гадиръ; но сравнительно съ Персидскимъ и Арабскимъ заливомъ больше Иркапскій, пополняющійся изъ Кронійскаго океана. Можетъ быть по неизвѣстнымъ мѣстамъ Каспійское *море* къ сѣверу должно быть помѣщено у Скиѳіи, какъ *говоритъ* и Аполлоній [3]) о Мидіи: «собрала въ Каспійскую раковину». Птолемэй же говоритъ, что *это море* окружено землею на подобіе острова [4]).

---

1) Это объясненіе дословно повторяется въ примѣчаніи къ ст. 146. 2) Аполл. Род. *Аргон.* IV, 509. 3) *Аргон.* III, 859. 4) Объ Иркапскомъ морѣ ср. примѣчаніе къ ст. 42: «δεύτερον δὲ [κόλπον ἡγοῦμαι] τὸν Ὑρκάνιον, ἐκ τοῦ Κρονίου κόλπου πληρούμενον. Ἔστι δὲ καὶ περὶ τούτου πάλιν ἀμφίβολος ἡ δόξα· τὴν γὰρ Κασπίαν ὁ Πτολεμαῖος ἐναποκλείων ἠπείρῳ νήσου φύσιν ἐξ ἐναντίου τὴν φύσιν ὥριζε. καὶ ἴσως οἱ εἰσβάλλοντες ἐκεῖ ποταμοὶ θαλαττεύουσι διὰ τὴν ὕλην, ἀξενίᾳ τόπου μεταποιήσαντες ἀνάγκῃ τὸ πότιμον. Ἢ τάχα διὰ τῶν ἀδήλων τόπων ὁ Κρόνιος ἑαυτὸν ἐκπέμπων ἀναδίδωσι πόρρω τὸν Ὑρκάνιον.

Digitized by Google

Ἀτὰρ προφερέστατος] Ἐπ' ὀλίγον μὲν συρόμενος, ὅμως ἐστὶ κρείττων τῶν ἄλλων· λέγει δὲ κατὰ τὸ σφοδρὸν τοῦ ῥεύματος, ὡς καὶ ἐν τῷ περὶ αὐτοῦ λόγῳ φησί [v. 721]· «τόσσος γὰρ πόρος ἐστὶν ἀμείλιχος».

74. Οἱ ἐν τῇ Ἀσίᾳ Γαλάται τῶν ἐν τῇ Εὐρώπῃ ἄποικοί εἰσιν, ὡς καὶ οἱ ἐν τῇ Ἀσίᾳ Ἴβηρες τῶν ἐν ταύτῃ ἄποικοί εἰσιν...

148. Στενοῦ γινομένου τούτου τοῦ Πόντου εἰκὸς ὁρᾶσθαι τὰς περαιτέρω δύο θαλάσσας πλατείας. Ὁρμῶσι μὲν ὡς ἐπὶ τὰ ἀνατολικά, τὴν δὲ ἀνάνευσιν ποιοῦνται ὡς ἐπὶ τὰ βόρεια καὶ τὴν Μαιῶτιν, ἥτις πρὸς τῷ τέλει κεῖται τοῦ Πόντου· καὶ δοκεῖ ὥσπερ ἐξ αὐτῆς γεννᾶσθαι ἡ θάλασσα. [Μέσαι δ' ἔνθα κἀκεῖσε δύο ὑψηλαὶ ἄκραι εἰς τὸν Πόντον ἔκκεινται, ὧν] ἡ μὲν κάτω ὡς πρὸς νότον, [ἥντινα Κάραμβιν καλοῦσιν], ἡ δὲ ἄνω πρὸς βορρᾶν ἔκκειται, τὸ Κριοῦ μέτωπον.

156. Ἐκ τοῦδ' ἂν καὶ] τοπικὸν ἢ χρονικόν. Μετὰ δὲ τὸ πλησίον γενέσθαι τὸν ἀνεωγότα πόντον ἐκεῖθεν ὄψει δύο θαλάσσας καὶ κόλπους ἐκ διαστάσεως, ὧν μεταξὺ τὸ Κριοῦ μέτωπον δίκην τόξου διακείμενον. Ἄλλως. Ἐκ τοῦ, φησί, ταύτας προβεβλῆσθαι καὶ πρὸς ἀλλήλας νεύειν διθάλαττογίνεται ὁ Πόντος, ὃ ἔστιν εἰς δύο κόλπους μερίζεται ἐοικὼς τόξῳ. Τόρνῳ δὲ λέγει τῇ περιφερείᾳ. ἄμματι δὲ τόξου περιφραστικῶς τὸ τόξον, παρὰ τὸ ἐξῆφθαι αὐτοῦ τὴν νευράν. Λέγει οὖν ὅτι ἔοικεν περιφερείᾳ τόξου, ἐκ τοῦ προεληλυθέναι ταύτας οὕτω τὰς ἄκρας. Νόμιζε γάρ, φησί, τὰ μὲν δεξιὰ πάντα τοῦ τόξου νευρὰν εἶναι, πλὴν τῆς Καράμβιδος, τὰ δ' ἀριστερὰ τὸ ἐπικαμπτόμενον τῇ νευρᾷ. Ἀλλ' ἐρεῖ τις· καὶ τί μᾶλλον τὰ δεξιὰ ἔοικε νευρᾷ πλὴν τῆς Καράμβιδος ἢ τὰ ἀριστερὰ τοῖς κέρασι πλὴν τοῦ Κριοῦ μετώπου; ὃ γὰρ ἂν εἴπῃς περὶ θατέρας πλευρᾶς, καὶ περὶ θατέρας ἁρμόζει, ὥστε οὐ τόξῳ ἔοικεν, ἀλλὰ δύο τόξων κέρασιν ἀντιπροσώποις. Πρὸς ὃν ῥητέον, ὅτι τοῦτο προειδὼς ὁ Περιηγητὴς προσέθηκε τὸ «μόνη δέ τοι Κάραμβις»· καὶ πάλιν ἐπὶ τῆς ἑτέρας πλευρᾶς τάδε· «πρὸς βορέην Μαιώτιδος ὕδατα λίμνης», ὡς εἰ ἔλεγεν· οὐ μόνον τὸ Κριοῦ μέτωπον, ἀλλὰ καὶ ἡ λίμνη ἦν φησιν Ἡρόδοτος μὴ πολὺ ἐλαττοῦσθαι αὐτοῦ τοῦ Πόντου· ὥστε (ὡς) πρὸς τὰ κυρτοῦντα τὴν ἀριστερὰν πλευρὰν ὀλίγη ἐστὶν ἡ Κάραμβις, καὶ οὐκ ἂν δύναιτο ἐοι-

[*Но наиболѣе выдающійся*]. Разливаясь на небольшомъ *пространствѣ*, онъ всетаки значительнѣе другихъ: *поэтъ* говоритъ это въ смыслѣ силы теченія, какъ и въ рѣчи о немъ говоритъ [ст. 721]: «такъ великъ этотъ неумолимый проливъ».

74. *Живущіе* въ Азіи Галаты — выселенцы изъ Европы, какъ и *живущіе* въ Азіи Иверы — выселенцы изъ *живущихъ* въ ней [т. е. въ Европѣ]...

148. Вслѣдствіе съуженія этого Понта естественно, что видны два лежащихъ далѣе широкихъ моря. Направляются они къ востоку, но имѣютъ отклоненіе къ сѣверу и Мэотидѣ, которая находится у конца Понта; и море кажется какъ бы рождающимся изъ нея. [Посреднѣ же съ той и другой стороны выдаются въ Понтъ два высокіе мыса, изъ коихъ] одинъ внизу, къ югу, [который называютъ Карамвидой], а другой вверху выдается къ сѣверу, Бараній лобъ.

156. [*Отсюда и*]. *Сказано* въ мѣстномъ или временномъ смыслѣ. Послѣ того, какъ приблизится открытый понтъ, увидишь оттуда на разстояніи два моря и залива, между которыми лежитъ Бараній лобъ на подобіе лука. Иначе: отъ того, говоритъ *поэтъ*, что эти *мысы* выступаютъ и сближаются другъ съ другомъ, Понтъ представляется состоящимъ изъ двухъ морей, т. е. дѣлится на два залива, подобный луку. Тόρνῳ говоритъ онъ *въ смыслѣ* окружности, а ἄμματι τόξου — описательно *въ смыслѣ* лука вслѣдствіе того, что къ нему привязана тетива. И такъ онъ говоритъ, что *изгибъ берега* похожъ на окружность лука, вслѣдствіе того, что такимъ образомъ выступаютъ эти мысы. Представь себѣ, говоритъ онъ, что вся правая сторона составляетъ тетиву лука кромѣ Карамвиды, а лѣвая — *часть*, изогнутую къ тетивѣ. Но скажетъ кто нибудь: почему же правая сторона кромѣ Карамвиды болѣе похожа на тетиву, или лѣвая кромѣ Баранья лба — на рога? вѣдь то, что скажешь объ одной сторонѣ, подходитъ и къ другой, такъ что *Понтъ* похожъ не на лукъ, а на противолежащіе рога двухъ луковъ. Тому слѣдуетъ возразить, что Періигитъ, предвидя это, прибавилъ *слова* «а одна Карамвида» и потомъ о другой сторонѣ слѣдующее: «къ сѣверу водЫ Мэотійскаго озера», какъ бы говоря: не только Бараній лобъ, но и озеро,

Digitized by Google

κέναι δυσὶ κέρασι δύο τόξων· οὐ γὰρ ἴση ἀμφοτέρων ἡ κατὰ τὸ μέσον κυρτότης, ἀλλ' ἑνί κατά τι μέρος τῆς νευρᾶς παραφθείρεσθαι τὸ σχῆμα.

которое по словамъ Иродота [1]) немногимъ уступаетъ по величинѣ самому Понту; такъ что въ сравненіи съ изгибами лѣвой стороны Карамвида мала и *потому Понтъ* не можетъ быть похожъ на два рога двухъ луковъ, ибо изгибъ по срединѣ обѣихъ сторонъ не одинаковъ, но есть только въ нѣкоторой части не полное сходство съ видомъ тетивы [2]).

163. Τοῦ καὶ πρὸς βορέην] Ἀνατρέχει πάλιν ὁ λόγος ἐπὶ τὸν Πόντον, ὑπερκεῖσθαι λέγων αὐτοῦ τὴν Μαιῶτιν, περὶ ἣν οἰκοῦσι Μαιῶται, Σκύθαι τὸ γένος. Εἶτα παρ' ἐκείνοις καλεῖσθαι μητέρα τοῦ Πόντου τὴν λίμνην, εἰκότως· ἐπιτρέχουσα γὰρ τὸν Βόσπορον ἐπιδαψιλεύεται τῇ θαλάσσῃ καὶ ἀναπληροῖ τὸν κόλπον. Εἶναι δὲ Κιμμερίους ὑπὸ τὴν εἰσβολὴν τοῦ Ταύρου, ἣ καλεῖται Χερρόνησος Ταυρικὴ παρακειμένη τῷ στόματι τῆς Μαιώτιδος ἐκ δυσμῶν· πολλὰ δὲ παροικοῦσιν αὐτῇ ἔθνη Σκυθικά. Τὴν δὲ Μαιῶτιν ἐκφράζων ὁ Ἀπολλώνιος ἅμα τῷ ὕψει παραφαίνει τὸ σχῆμα, λέγων, «τῆς ὑπὲρ βορέαο περισχίζονται ἄελλαι».

163. [*И къ сѣверу отъ него*]. Рѣчь снова возвращается къ Понту и поэтъ говоритъ, что выше его находится Меотида, вокругъ которой живутъ Меоты, родомъ Скиѳы. Затѣмъ *говорится*, что у нихъ озеро называется матерью Понта, *вполнѣ* правдоподобно: ибо, пробѣгая чрезъ Боспоръ, оно щедро прибавляетъ *воды* въ море и наполняетъ заливъ. Киммерійцы живутъ подъ выступомъ Тавра, который называется Херсонисомъ Таврическимъ и прилежитъ къ устью Меотиды съ запада; въ сосѣдствѣ съ нимъ живутъ многіе Скиѳскіе народы. Аполлоній, обрисовывая Меотиду, вмѣстѣ съ высотою указываетъ и на видъ ея, говоря: «надъ нею разрываются бури борея» [3]).

166. Ἐκ τῆς γὰρ Πόντοιο τόμυρ.] Ἤτοι ἐξ αὐτῆς τοῦ Πόντου τὸ ὕδωρ ἐκφέρεσθαι, ἢ ἐκ τοῦ Πόντου αὐτῆς καὶ τὸ ὕδωρ.

166. [*Ибо изъ нея неизмѣримая вода Понта*]. То есть изъ нея вытекаетъ вода Понта, или изъ Понта и вода ея.

167. Κιμμερίου διὰ Βοσπόρου] Πλησίον γάρ εἰσιν οἱ Κιμμέριοι κείμενοι παρὰ τὸν ἰσθμὸν, οὗ ἐστιν ὁ Ταῦρος· ἰσθμὸν δὲ λέγει τὸν κατ' ἐνίους διαιροῦντα τῆς Εὐρώπης τὴν Ἀσίαν. Κιμμέριοι μὲν οἱ πολλοὶ κατ' αὐτὸ εἰρημένοι διὰ τὸ πλῆθος· οἱ δὲ τὰ βορειότερα τῆς νήσου κατὰ τὸν Πτολεμαῖον Ἀλανοί, Ἀμαξόβιοι, Χοῦνοι.

167. [*Чрезъ Киммерійскій Боспоръ*]. Ибо вблизи находятся Киммерійцы, живущіе по перешейку, гдѣ Тавръ; перешеекъ онъ называетъ тотъ, который, по нѣкоторымъ, отдѣляетъ Азію отъ Европы. Киммерійцы названы многочисленными въ собственномъ смыслѣ, благодаря ихъ многолюдству. Сѣвернѣе острова, по Птолемею, *живутъ* Алапы, Амаксовіи и Хупы.

168. Ψυχρῷ δὲ ποδὶ Ταύρου ἀντὶ τοῦ εἰς τὸ ἔσχατον καὶ κατώτατον τοῦ Ταύρου. Ψυχρὸν δὲ λέγει τὸν Ταῦρον, ἐπεὶ ὑψηλός ἐστι. Τὰ γὰρ ὑψηλὰ κρυώδη εἰσί. Ποδὶ δὲ πάλιν τῷ κάτω μέρει ὡς τὸ «καὶ πόδας Ἴδηςˮ, ἀντὶ τοῦ ἔσχατα μέρη καὶ κάτω τῆς Ἴδης. Εἰσὶ δὲ καὶ ἐν ἄλλοις Κιμμέριοι.

168. [*Подъ холодной подошвой Тавра*] *сказано* вмѣсто: у самаго нижняго края Тавра. «Холоднымъ» *поэтъ* называетъ Тавръ потому, что онъ высокъ; ибо высокія мѣстности отличаются стужею. «Подошвой» *сказано* вмѣсто «нижней частью», какъ въ выраженіи «и подошвы Иды» вмѣсто: крайнія части внизу Иды. Есть и въ другихъ [?] Киммерійцы.

300. Ἄχρι τοῦ Εὐξείνου Πόντου φέρεται ὁ Ἴστρος. Οὐκ ἔγκειται δὲ τῇ εἰκόνι ἡ νῆσος, ὅτι περιέχεται ὑπὸ τοῦ ποταμοῦ, καθά φησιν ὁ Ἀπολλώνιος.

300. Истръ несется до Евксинскаго Понта. Островъ не нанесенъ на карту, такъ какъ окруженъ рѣкою, какъ говоритъ Аполлоній [4]).

301. Ἡ δὲ Πεύκη νῆσός ἐστιν, ἣν-

301. Певка — островъ, образуемый

1) IV, 86 (выше, стр. 37). 2) Объясненія уподобленія Понта луку даны еще къ стт. 157, 158 и 160. 3) *Аргон.* II, 362. 4) *Аргон.* IV, 309.

Digitized by Google

τινα ἀποτελεῖ ὁ Ἴστρος, ἧς μέμνηται καὶ Ἀπολλώνιος· «Ἴστρῳ γάρ τις νῆσος ἐέργεται, οὔνομα Πεύκη». Πεύκη νῆσος τρίγωνος μεταξὺ κειμένη τῶν τοῦ Ἴστρου στομάτων. Ὁ Πτολεμαῖος ἑπτάστομον λέγει καὶ τὸν Ἴστρον καθὰ τὸν Νεῖλον· ὡσαύτως καὶ ὁ Γεωγράφος.

303. Μαιώτιδος ἐς στόμα λίμνης] ἕως, φησί, τῆς Μαιώτιδος, μέχρι γὰρ ταύτης εἰσὶν οἱ Σκύθαι, ὡς ἱστορεῖ καὶ Ἡρόδοτος λέγων· «Τάναϊν γὰρ ποταμὸν διαβάντι οὐκέτι Σκυθίη». Λέγει δὲ τοῦτο ὁ Διονύσιος, οὐχ ὡς βουλόμενος ἐνταῦθα παύσασθαι τὴν Σκυθίαν καθόλου, ἀλλὰ τὴν πρὸς βορρᾶν τοῦ Ἴστρου. Οἱ δὲ Βαστάρναι καὶ Γερμανοὶ καὶ οὗτοι πάντες ἐπὶ τὰ ἀριστερὰ κεῖνται τοῦ Ἴστρου· οἱ δὲ Ταῦροι τῆς Σκυθίας, ἐν ᾗ ἐστιν ὁ Ἀχιλλέως δρόμος. οἱ δὲ Σκύθαι παρὰ τὴν Λευκὴν νῆσον.

304. Σαμάται] Σαρμάται ἔδει εἰπεῖν καὶ οὐ Σαμάται· ἀλλ' ἡ τοῦ μέτρου βία ἐξώθησε τὸ ρ, ὡς καὶ ἐν τοῖς προλαβοῦσιν, ἐν τῷ Βρετανία, τοῦ μέτρου ἐπιτάξαντος, ἀπεχώρισε τὸ ἓν τ.

306. Ἀχίλλειος δρόμος ἐκλήθη ἐκ τοιαύτης αἰτίας· Ἰφιγενείας μελλούσης σφαγιάζεσθαι ἐν τῇ Αὐλίδι τῇ Ἀρτέμιδι, ἀνήρπασεν αὐτὴν ἡ Ἄρτεμις καὶ ἔπεμψεν εἰς τὴν Σκυθίαν. Τότε δὲ ἠράσθη αὐτῆς Ἀχιλλεύς, καὶ ἔμεινεν ἐπιδιώκων μέχρι τινὸς τόπου· καὶ ἐντεῦθεν ἐκλήθη Ἀχίλλειος δρόμος.

309. Ἔνθα Μελάγχλαινοί τε] Ὀνόματα ταῦτα ἐθνῶν· καὶ ἴσως ἐκ τοῦ συμβεβηκότος ἐκλήθησαν. Τούτων δὲ καὶ ὁ Ποιητὴς ἐμνήσθη, ὅτε καὶ περὶ τῶν Μυσῶν ἔλεγεν. Ἄλλοι δὲ ἀπὸ τῆς ἐσθῆτος, οἱ δὲ ἀπὸ τῆς τροφῆς, ἕτεροι δὲ ἀπὸ τοῦ χρώματος τούτους ὀνομασθῆναι ὑπενόησαν.

310. Ἀγάθυρσοι] Ἀγάθυρσος υἱὸς Ἡρακλέους, ἀδελφὸς Γελώνου, ἐξ ὧν καὶ τὰ ἔθνη εἰλήφασι τὴν ἐπωνυμίαν.

211. Βορυσθένης ποταμὸς περὶ τὸν Πόντον, ὅθεν καὶ οἱ Ποντικοὶ Βορυσθενῖται, ὡς Μένανδρος λέγει·

— διεμέριζε γὰρ
ὁ Βορυσθενίτης.

314. Κεῖθι καὶ Ἀλδήσκοιο καὶ ὕδατα] Ταῦτα ὀνόματα ποταμῶν. Ὁ δὲ Παντικάπης συναφής ἐστι τῷ Ἴστρῳ. Ἔστι

Истромъ; о немъ упоминаетъ и Аполлоній [1]): «Истромъ вѣдь образуется нѣкій островъ, именемъ Певка», Певка — треугольный островъ, лежащій между устьями Истра. Птолемэй называетъ и Истръ семиустнымъ, подобно Нилу; точно такъ же и Географъ [2]).

303. [*До устья Меотійскаго озера*]. До Меотиды, говоритъ *поэтъ*, ибо до нея живутъ Скиѳы, какъ свидѣтельствуетъ и Иродотъ [3]), говоря: «Ибо за рѣкою Танаидомъ уже не Скиѳія». Діонисій говоритъ это не въ видѣ желанія ограничить здѣсь всю вообще Скиѳію, а *только лежащую* къ сѣверу отъ Истра. Вастарны, Германцы и всѣ эти *народы* живутъ вѣчно отъ Истра; Тавры — въ Скиѳіи, въ которой находится Ахилловъ бѣгъ; Скиѳы—у Бѣлаго острова.

304. [*Саматы*]. Нужно было сказать Сарматы, а не Саматы; но сила метра вытолкнула ρ, какъ и въ предыдущемъ, въ *словѣ* Бретанія, по требованію метра *поэтъ* удалилъ одно τ.

306. Ахилловъ бѣгъ получилъ свое *названіе* по слѣдующей причинѣ: когда Ифигенію намѣревались принести въ жертву Артемидѣ въ Авлидѣ, Артемида похитила ее и послала въ Скиѳію. Тогда влюбился въ нее Ахиллъ и преслѣдовалъ до нѣкотораго мѣста; и отсюда названъ Ахилловъ бѣгъ.

309. [*Здѣсь Меланхлэны*]. Это названія народовъ; и можетъ быть они получили названія по фактическимъ причинамъ. Объ этихъ упомянулъ и Поэтъ [4]), когда говорилъ о Мисійцахъ. Другіе предположили, что *Меланхлэны* названы такъ отъ одежды, иные—отъ пищи, а *еще* иные—отъ цвѣта *кожи*.

310. [*Агавирсы*]. Агаѳирсъ сынъ Иракла, братъ Гелона, отъ которыхъ и народы получили названія.

311. Борисѳенъ — рѣка близъ Понта, откуда и *Прип*онтійскіе *народы называются* Борисѳенитами, какъ говоритъ Менандръ: «ибо раздѣляетъ Борисѳенитъ».

314. [*Тамъ и воды Алдиска и*]. Это имена рѣкъ. Пантикапъ соединяется съ Истромъ [5]). Находится онъ въ Европѣ. А

1) Тамъ-же. 2) Птол. III, 10 (см. ниже). Страв. р. 305 (выше, стр. 119). 3) IV, 21 (выше, стр. 17). 4) Ом *Ил.* XIII, 5. 5) Слѣдовало сказать: съ Борисѳеномъ.

Digitized by Google

δὲ τῆς Εὐρώπης. Τὰ δὲ Ῥιπαῖα ὄρη εἰσὶ τῆς Σκυθίας, ἐξ ὧν καταφέρονται οἱ τοιοῦτοι ποταμοί. Διάνδιχα δὲ κεχωρισμένοι ἀλλήλων.

Рипэйскія горы, изъ которыхъ вытекаютъ таковыя рѣки, — въ Скиѳіи. Διάνδιχα *значитъ* «отдѣленные другъ отъ друга».

316. Τῶν δὲ προχοῇσι] τῶν Ῥιπαίων ὀρῶν τῆς Σκυθίας. Πεπηγότος δὲ πόντου, τοῦ Κρονίου λέγει ὠκεανοῦ, τῆς Νεκρᾶς καλουμένης θαλάσσης. Γίνεται δὲ οὐ μόνον ἐν τῷ Ἠριδανῷ ὁ ἤλεκτρος, ἀλλὰ καὶ ἐν τῇ Σκυθίᾳ, διάφορος δὲ κατὰ τὴν κελτικήν. Ὁ μὲν γὰρ ἡδυφαὴς, τουτέστιν ἡδεῖαν ἔχων τὴν λαμπηδόνα, ὁ δὲ χρυσαυγής. Φησὶ γάρ· δάκρυ ἀμέλγονται χρυσαυγέος ἠλέκτροιο.

316. [*У ихъ размивовъ*]. Рипэйскихъ горъ Скиѳіи. Ледовитаго моря, т. е. Кронійскаго океана, *такъ* называемаго Мертваго моря. Янтарь встрѣчается не только въ Иринданѣ, но и въ Скиѳіи, отличный отъ Кельтическаго: первый *называется* ἡδυφαής, т. е. имѣющій пріятный блескъ, а второй — χρυσαυγής. *Поэтъ* говоритъ: «собираютъ слезу златоцвѣтнаго янтаря».

666. Τινὲς δὲ τὸ κυμαίνοντος ἐπὶ τοῦ Καυκάσου νοοῦσιν ὡς ἐπιδεχομένου πολλὴν χιόνα, ἤτοι ὅτι τοῦ Καυκάσου καταπνεομένου ἐκ τοῦ βορρᾶ πήγνυται οὗτος ὁ ποταμός.

Τὸν Καύκασον περὶ τὴν Κρονίαν θάλασσαν ὑποτίθεται, καὶ μέρη αὐτοῦ τὰ Ῥιπαῖα βούλεται εἶναι, καὶ τὸν Καύκασον τμῆμα εἶναι τοῦ Ταύρου.

666. Нѣкоторые *епитетъ* «волнующагося» относятъ къ Кавказу, какъ принимающему большую массу снѣга, или потому, что, когда Кавказъ обвѣвается сѣвернымъ вѣтромъ, эта рѣка замерзаетъ.

Поэтъ предполагаетъ Кавказъ *находящимся* у Кронійскаго моря, считаетъ его частями Рипэйскія горы и *думаетъ*, что Кавказъ — отрогъ Тавра.

672. Ἀγραύλων γένος οἰῶν]. Τὸ δὲ ὑπερβάλλον κρύος τοῦ τόπου ἐκείνου δηλῶσαι βουλόμενος εἶπεν αὐλιζομένων προβάτων· οὐδὲ γὰρ κρύος εἰς αὐτὰ ἐπέρχεται μὴ πολλοῦ γινομένου χειμῶνος, ὡς φησι Ἡσίοδος «πώεα δ' οὔτι, οὔνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησιν ἰς ἀνέμου βορέου».

672. [*Племя ночующихъ въ полѣ овецъ*]. Желая обрисовать чрезвычайный холодъ этихъ мѣстъ, поэтъ сказалъ «ночующихъ въ полѣ овецъ»; ибо морозъ не дѣйствуетъ на нихъ, если зима не слишкомъ сурова, какъ говоритъ Исіодъ [1]): «но не овцы, ибо густа ихъ шерсть, и не продуваетъ *ея* сила вѣтра борея».

681. Εἰσὶ περὶ τὸν Ἴστρον οἱ Σινδοί, ὡς φησι Ἀπολλώνιος.

681. Синды живутъ по Истру, какъ говоритъ Аполлоній [2]).

685. Ἀρητιάδῃ] ἢ τῷ ἀπ' Ἄρεος καταγομένῳ. Λέγει δὲ τῷ Ἀγαμέμνονι. Εἶχε γὰρ τὸ γένος ἀπὸ Πέλοπος καὶ Ἱπποδαμείας τῆς Οἰνομάου· ὁ δὲ Οἰνόμαος παῖς ἦν Ἄρεος. Λέγει δὲ τῷ πολεμικωτάτῳ Ἀγαμέμνονι Ἄρεως υἱῷ. Ἀσπληδόνιοι χειμασθέντες ἅμα Ἰαλμένῳ τοὺς τόπους ᾤκησαν, ὡς Φερεκύδης. Οἱ δὲ Μυρμιδόνας εἶναί φασιν ἀποπλανηθέντας ἀπὸ Τροίας μετ' Ἀχιλλέως ἐκεῖ κατοικῆσαι.

685. [*Аритіаду*] или ведущему родъ отъ Арея. Разумѣетъ *поэтъ* Агамемнона; ибо онъ происходилъ отъ Пелопа и Ипподаміи, дочери Иномая; а Иномай былъ сынъ Арея. Смыслъ его словъ такой: воинственнѣйшему Агамемнону, сыну Арея. Асплидонцы, разбитые бурею, подъ предводительствомъ Іалмена заселили эти мѣста, какъ *говоритъ* Ферекидъ. Другіе же говорятъ, что Мирмидоны, заблудившіеся *при возвращеніи* изъ подъ Трои съ Ахилломъ, поселились тамъ.

687. Χάραξ δέ φησι πολλαῖς ναυσὶν ἐκπλεῦσαι τοὺς Ἀργοναύτας, ὧν ἀποπλανηθεῖσα μία ναῦς προσηράχθη τῇ Μαιώτιδι. Οἱ δὲ ἐμπλέοντες Τέλχις καὶ Ἀμφιτος ἡνίοχοι τῶν Διοσκούρων ὄντες αὐτόθι μείναντες ἦρξαν, ἀφ' ὧν συνέβη τοὺς ἐνοικοῦντας ἐκεῖσε Ἡνιόχους καλεῖσθαι. Ὅθεν καὶ Διοσ-

687. Харакъ говоритъ, что Аргонавты отплыли на многихъ корабляхъ, изъ коихъ одинъ, заблудившись, былъ прибитъ къ Меотидѣ. Плывшіе *на немъ* Телхисъ и Амфитъ, бывшіе возницами Діоскуровъ, остались тамъ и захватили власть; отъ нихъ то жившіе тамъ получили имя Иніоховъ.

1) Ис. *Дѣла и дни*, 516. 2) *Аргон.* IV, 322.

Digitized by Google

κουριὰς ἣν ἐκεῖσε λεγομένη ἡ πόλις, περὶ ἧς αὐτός φησι μετὰ χθόνα Τυνδαριδάων.

700. Ἰστέον δὲ ὅτι Καμαρῖται ἐλέγοντο ἀπὸ πλοίων στρογγύλων, καμαρῶν λεγομένων, ἐφ' ὧν ἐλῄστευον.

718. Οὗτος μὲν περίτροχον αὐτὴν λέγει εἶναι, ὁ δὲ Πτολεμαῖος (Ποσειδώνιος?) σφενδόνῃ ἐοικυῖαν. — Ταύτην δὲ τὴν Ὑρκανίαν θάλασσαν καὶ Πτολεμαῖος καὶ Ἀριστοτέλης ἐν τοῖς Μετεώροις νῆσον ὑποτίθενται εἶναι καὶ περιέχεσθαι ὑπὸ γῆς.

Оттуда же получилъ названіе лежавшій тамъ городъ Діоскуріада, о которой *поэтъ* самъ говоритъ: «послѣ земли Тиндаридовъ».

700. Нужно знать, что Камариты назывались *такъ* отъ круглыхъ судовъ, называвшихся камарами, на которыхъ они занимались *морскимъ* разбоемъ.

718. Этотъ *поэтъ* называетъ *Каспійское море* круглымъ, а Птолемэй [Посидоній?] похожимъ на пращу. Это Иркансное море и Птолемэй [1]) и Аристотель въ «Метеорологіи» представляютъ себѣ *какъ бы* островомъ, окруженнымъ землей.

[Müll. p. 457]. Ἕως τοῦ Ἱεροῦ Διὸς Οὐρίου ἤτοι [τοῦ στόματος τοῦ Πόντου] ἀπὸ τοῦ Ἱεροῦ λεγομένου πενταστομίου τοῦ Ἴστρου ποταμοῦ τοῦ Πόντου στάδια ,γχμ΄, γινόμενα μίλια υπε΄.

Ἀπὸ δὲ Βορυσθένους ποταμοῦ τοῦ [καὶ] Δανάπρεως καλουμένου ἕως Ἱεροῦ Διὸς Οὐρίου, στάδια ,εχ[ι΄], μίλια ψμς΄.

Ἀπὸ δὲ Χερσῶνος ἕως τοῦ Ἱεροῦ Διὸς Οὐρίου στάδια ,η[Ϡ΄], μίλια ,αρπς΄.

Ἀπὸ δὲ τῆς Πορθμίας κώμης τῆς ἐν τῷ τέλει [τῶν] τῆς Εὐρώπης τοῦ Πόντου μερῶν [καὶ ἐν τῷ στομίῳ] τῆς Μαιώτιδος λίμνης, ἤτοι Βοσπόρου τοῦ Κιμμερίου, ἕως [τοῦ Ἱεροῦ Διὸς Οὐρίου στάδια μύρια καὶ ,αρ΄, μίλια ,αυπ΄.

Ἀπὸ δὲ τοῦ Ἱεροῦ Διὸς Οὐρίου ἕως] πόλεως Ἀμισοῦ [στάδια ,δυξ΄, μίλια χκα΄. Ἀπὸ δὲ Ἀμισοῦ] ἕως τοῦ Φάσιδος ποταμοῦ στάδια ,γωβ΄, μίλια φζ΄.

Ἀπὸ δὲ τοῦ Φάσιδος ποταμοῦ ἕως τοῦ στομίου τῆς Μαιώτιδος λίμνης στάδια ,δρν΄, μίλια φν[γ]΄. Γίνεται δὲ ὁ πᾶς περίπλους Εὐξείνου Πόντου τῶν δεξιῶν τῆς Ἀσίας μερῶν τοῦ Πόντου (τῶν τελευταίων) τῶν τε εὐωνύμων τῆς Εὐρώπης ἕως τοῦ Ἱεροῦ στάδια δισμύρια φπζ΄, μίλια ,γρμε΄. Ὁ δὲ περίπλους τῆς Μαιώτιδος λίμνης, εἰς ἣν τρέχει ὁ Τάναϊς ποταμός, στάδια ,Ϡ, μίλια ,ασ΄.

Ἔστι δὲ τὸ στάδιον ἔχον μῆκος ὁποῖον ἐστὶ τὸ τοῦ ἱπποδρομίου. Τοιαῦτα δὲ ἑπτὰ [καὶ ἥμισυ] ποιοῦσι μίλιον ἕν.

До святилища Зевса Урія или [устья Понта] отъ такъ называемаго Священнаго пятиустія Понтійской рѣки Истра 3640 стадій, составляющихъ 485 миль.

Отъ рѣки Борисѳена, называемаго также Днѣпромъ, до святилища Зевса Урія 5610 стадій *или* $746^2/_3$ миль.

Отъ Херсона до святилища Зевса Урія 8900 стадій *или* $1186^2/_3$ миль.

Отъ Порѳмійской деревни, *находящейся* въ концѣ европейскихъ частей Понта [и въ устьѣ] Меотійскаго озера или Киммерійскаго Воспора, до [святилища Зевса Урія 11100 стадій или 1480 миль.

Отъ святилища Зевса Урія до] города Амиса [4460 стадій *или* $621^1/_3$ миль. Отъ Амиса] до рѣки Фасида 3802 ст. *или* 507 миль.

Отъ рѣки Фасида до устья Меотійскаго озера 4150 ст. *или* $553^2/_3$ миль. Вся окружность Евксинскаго Понта, именно правыхъ азіатскихъ частей Понта и лѣвыхъ, европейскихъ, до Святилища 20587 стадій *или* 3145 миль. А окружность Меотійскаго озера, въ которое течетъ рѣка Танаидъ, 9000 стадій *или* 1200 миль.

Стадій имѣетъ длину равную ипподрому. Семь съ половиною такихъ *stadiesъ* составляютъ одну милю.

1) Кн. VII гл. 5 § 4.

Digitized by Google

ΑΡΡΙΑΝΟΥ ΠΕΡΙΠΛΟΥΣ ΕΥΞΕΙΝΟΥ ΠΟΝΤΟΥ.

АРРІАНА ОБЪѢЗДЪ ЕВКСИНСКАГО ПОНТА.

[Флавій Арріанъ, уроженецъ вивинскаго города Никомидіи, жилъ во II в. по Р. Хр., при римскихъ императорахъ Адріанѣ и Антонинѣ. Въ 131—137 гг. онъ управлялъ Каппадокіею въ званіи legatus Augusti pro praetore и во время этого управленія совершилъ въ 134 г. плаваніе по Понту до Діоскуріады, о которомъ представилъ отчетъ Адріану въ настоящемъ сочиненіи, дошедшемъ до насъ въ одной только рукописи (Palat. 398). — Текстъ: Arriani Nicomediensis scripta minora iterum rec. K. Hercher, edenda cur. A. Eberhard. Lips. ap. Teubn. 1885. Въ раздѣленіи на §§ мы слѣдуемъ изданію К. Мюллера (Geogr. gr. min. I p. 370 sq.), отмѣчая дѣленіе Hercher'a въ скобкахъ].

Переводъ П. М. Прозорова.

Αὐτοκράτορι Καίσαρι Τραϊανῷ Ἀδριανῷ Σεβαστῷ Ἀρριανὸς χαίρειν.

Императору Кесарю Траяну Адріану Августу Арріанъ желаетъ здравія.

1 (1 *H.*). Ἐς Τραπεζοῦντα ἥκομεν, πόλιν Ἑλληνίδα, ὡς λέγει ὁ Ξενοφῶν ἐκεῖνος, ἐπὶ θαλάσσῃ ψκισμένην, Σινωπέων ἄποικον...

1 Мы прибыли въ Трапезунтъ, по словамъ извѣстнаго Ксенофонта — городъ эллинскій, лежащій при морѣ, колонію Синопейцевъ...

4 (3 *H.*). Ἐκ Τραπεζοῦντος δὲ ὁρμηθέντες τῇ μὲν πρώτῃ ἐς Ὕσσου λιμένα κατήραμεν καὶ τοὺς πεζοὺς τοὺς ταύτῃ ἐγυμνάσαμεν· ἡ γὰρ τάξις αὕτη, ὡς οἶσθα, πεζῶν ἐστιν καὶ ἱππέας εἴκοσιν ἐς διακονίαν ἔχει· ἀλλὰ καὶ τούτους τὰς λόγχας ἀκοντίσαι ἐδέησεν.

4. Отплывши изъ Трапезунта, мы въ первый день пристали въ гавань Исса и произвели смотръ находящейся тамъ пѣхотѣ; вѣдь тамошній отрядъ, какъ ты знаешь, состоитъ изъ пѣхотинцевъ и имѣетъ только 20 всадниковъ для услугъ; но и имъ понадобилось упражняться въ метаніи копій.

5. Ἐνθένδε ἐπλέομεν τὰ μὲν πρῶτα ταῖς αὔραις ταῖς ἐκ τῶν ποταμῶν πνεούσαις ἕωθεν καὶ ἅμα ταῖς κώπαις διαχρώμενοι· ψυχραὶ μὲν γὰρ ἦσαν αἱ αὖραι, ὡς λέγει καὶ Ὅμηρος, οὐχ ἱκαναὶ δὲ τοῖς ταχυναυτεῖν βουλομένοις· εἶτα γαλήνη ἐπέλαβεν, ὥστε τῇ εἰρεσίᾳ μόνῃ ἐχρώμεθα. ἔπειτα δὲ ἄφνω νεφέλη ἐπαναστᾶσα ἐξερράγη κατ' εὖρον μάλιστα, καὶ ἐπήνεγκεν πνεῦμα ἐξαίσιον καὶ τοῦτο ἀκριβῶς ἐναντίον, ὅπερ κἂν μόνον ἀπώλεσεν ἡμᾶς· κοίλην μὲν γὰρ δι' ὀλίγου τὴν θάλασσαν ἐποίησεν, ὡς μὴ κατὰ τὰς κώπας μόνον, ἀλλὰ καὶ ὑπὲρ τὰς παρεξειρεσίας ἐπεσρεῖν ἡμῖν ἑκατέρωθεν ἀφθόνως τοῦ ὕδατος, τοῦτο δὴ τὸ τραγικόν,

5. Отсюда мы плыли сначала при помощи вѣтровъ, дующихъ по утрамъ съ рѣкъ, но вмѣстѣ съ тѣмъ и при помощи веселъ: вѣтры, какъ упоминаетъ и Омиръ [1]), были холодные, но недостаточно сильные для желающихъ плыть быстро; затѣмъ наступилъ штиль, такъ что намъ *пришлось* плыть только на веслахъ. Потомъ вдругъ нависшая туча разразилась *бурею* съ восточной стороны, принеся съ собою сильный и прямо противный намъ вѣтеръ, который чуть не погубилъ насъ: въ короткое время онъ такъ взволновалъ море, что вода въ изобилін вливалась къ намъ съ обѣихъ сторонъ, не только со стороны веселъ, но даже черезъ носъ и корму. *Это напоминало* слѣдующій трагическій *стихъ*: «одну волну мы вычерпывали, а другая вливается».

'καὶ τὴν μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπεσρέει'·

ἀλλ' οὐ πλάγιόν γε ἦν τὸ κλυδώνιον· ταύτῃ καὶ ἠνύτομεν μόλις καὶ χαλεπῶς τῇ

Но волненіе было не боковое, и поэтому мы, *хотя* съ большимъ трудомъ, подвига-

V. 9: εἴκοσιν ὅσον εἰς cod.; em. Hercher. || V. 17: ὥστε καὶ ἡμεῖς τῇ cod., em. H. || V. 21: καὶ μόνον ὤνησεν cod., em. Eberhard (μόνον οὐχὶ ὤλεσεν C. Gesner).

1) *Од.* V. 469: αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνέει ἠῶθι πρό.

Digitized by Google

εἰρεσίᾳ, καὶ μέντοι πολλὰ παθόντες ἥκομεν εἰς τὰς Ἀθήνας.

6 (4 *H.*). Ἔστιν γάρ τοι καὶ ἐν Πόντῳ τῷ Εὐξείνῳ χωρίον οὕτω καλούμενον, καί τι καὶ Ἀθηνᾶς ἱερόν ἐστιν αὐτόθι Ἑλληνικόν, ὅθεν μοι δοκεῖ καὶ τὸ ὄνομα εἶναι τοῦτο τῷ χωρίῳ· καὶ φρούριόν τί ἐστιν ἠμελημένον. Ὁ δὲ ὅρμος οἷος ὥρᾳ ἔτους δέχεσθαι οὐ πολλὰς ναῦς καὶ σκέπην ταύταις παρέχειν ἀπὸ νότου ἀνέμου καὶ αὖ τοῦ εὔρου· σῴζοιτο δ' ἂν καὶ τοῦ βορρᾶ τὰ ὁρμοῦντα πλοῖα, ἀλλὰ οὐ τοῦ γε ἀπαρκτίου, οὐδὲ τοῦ θρᾳσκίου μὲν ἐν τῷ Πόντῳ, σκίρωνος δὲ ἐν τῇ Ἑλλάδι καλουμένου. ἐς δὲ τὴν νύκτα βρονταί τε σκληραὶ καὶ ἀστραπαὶ κατεῖχον, καὶ πνεῦμα οὐ τὸ αὐτὸ ἔτι, ἀλλ' εἰς νότον μεθειστήκει, καὶ δι' ὀλίγου ἀπὸ τοῦ νότου ἐς λίβα ἄνεμον, καὶ ταῖς ναυσὶν οὐκέτι ἀσφαλὴς ὁ ὅρμος ἦν. πρὶν οὖν παντάπασιν ἀγριωθῆναι τὴν θάλασσαν, ὅσας μὲν αὐτὸ τὸ χωρίον αἱ Ἀθῆναι δέξασθαι ἐδύναντο, ταύτας αὐτοῦ ἐνεωλκήσαμεν, πλὴν τῆς τριήρους· αὕτη γὰρ πέτρᾳ τινὶ ὑφορμοῦσα ἀσφαλῶς ἐσάλευεν. (5 *H.*). τὰς δὲ πολλὰς ἐδόκει πέμπειν ἐς τοὺς αἰγιαλοὺς τοὺς πλησίον νεωλκηθησομένας. Καὶ ἐνεωλκήθησαν ὥστε ἀπαθεῖς διαγενέσθαι πάσας πλὴν μιᾶς, ἥντινα ἐν τῷ ὁρμίζεσθαι πρὸ τοῦ καιροῦ ἐπιστρέψασαν πλαγίαν ὑπολαβὸν τὸ κῦμα ἐξήνεγκεν ἐς τὴν ἠόνα καὶ συνέτριψεν. ἀπεσώθη μέντοι πάντα, οὐ τὰ ἱστία μόνον καὶ τὰ σκεύη τὰ ναυτικὰ καὶ οἱ ἄνθρωποι, ἀλλὰ καὶ οἱ ἧλοι, καὶ ὁ κηρὸς ἀπεξύσθη, ὡς μηδενὸς ἄλλου ἢ ξύλων δεῖσθαι ναυπηγησίμων εἰς τὴν κατασκευήν, ὧν παμπόλλη, ὡς οἶσθα, ἀφθονία ἐστὶν κατὰ τὸν Πόντον. οὗτος ὁ χειμὼν ἐπὶ δύο ἡμέρας κατεῖχεν, καὶ ἦν ἀνάγκη μένειν. ἐχρῆν γὰρ ἄρα μηδὲ τὰς ἐν τῷ Πόντῳ Ἀθήνας παραπλεῦσαι ἡμᾶς, ὥσπερ τινὰ ὅρμον ἔρημον καὶ ἀνώνυμον.

7. (6 *H.*). Ἐνθένδε ἄραντες ὑπὸ μὲν τὴν ἕω πλαγίου τοῦ κλύδωνος ἐπειρώμεθα, προϊούσης δὲ τῆς ἡμέρας βορρᾶς ἐπιπνεύσας ὀλίγος κατέστησε τὴν θάλασσαν καὶ διατρεμῆσαι ἐποίησεν. καὶ ἤλθομεν πρὸ τῆς μεσημβρίας σταδίους πλείους ἢ πεντακο-

лись впередъ на веслахъ и, вытерпѣвъ не мало, прибыли *всетаки* въ Аѳины.

6. Есть и въ Евксинскомъ Понтѣ мѣстечко, носящее такое названіе, есть тамъ и еллинское святилище Аѳины, отъ котораго, мнѣ кажется, получило это названіе и мѣстечко; есть *тамъ* и какое-то заброшенное укрѣпленіе. *Тамошняя* гавань можетъ въ лѣтнее время вмѣщать небольшое число кораблей и давать имъ защиту отъ южнаго и восточнаго вѣтра; стоящія на якорѣ суда могутъ найти *въ ней* спасеніе и отъ Борея, но не отъ Апарктія и не отъ *того вѣтра, который* въ Понтѣ называется Ѳраскіемъ, а въ Елладѣ Скиронъмъ. Подъ ночь стали слышны глухіе раскаты грома, *засверкали* молніи, вѣтеръ не *остался* прежнимъ, а измѣнился въ южный и спустя немного изъ южнаго въ югозападный; тогда гавань уже не была безопасна для кораблей. Поэтому, прежде чѣмъ море совершенно разсвирѣпѣло, мы *то количество* кораблей, какое могло вмѣстить самое мѣстечко Аѳины, вытащили туда на берегъ, кромѣ тріиры, которая, стоя на якорѣ подъ прикрытіемъ скалы, въ безопасности покачивалась на волнахъ. Большую же часть судовъ рѣшено было отправить къ ближайшему берегу и *тамъ* вытащить на сушу; и *дѣйствительно, они* были вытащены, такъ что всѣ выдержали бурю невредимыми, за исключеніемъ одного, который, при причаливаніи слишкомъ рано повернувшись бокомъ, былъ подхваченъ волной, выброшенъ на берегъ и разбитъ. Впрочемъ, все было спасено, не только паруса, снасти и люди, но и гвозди; даже воскъ былъ выскобленъ, такъ что для постройки *новаго судна* нуженъ только корабельный лѣсъ, а его, какъ ты знаешь, большое обиліе въ Понтѣ. Эта буря продолжалась два дня, такъ что необходимо было оставаться *на мѣстѣ*. Значитъ намъ нельзя было миновать даже Понтійскія Аѳины, какъ какую-нибудь заброшенную и безвѣстную стоянку.

7. Отплывши отсюда, мы подъ утро испытывали боковую качку, но съ наступленіемъ дня легкій сѣверный вѣтеръ усмирилъ море и привелъ *его* въ спокойное состояніе. Мы *еще* до полудня прошли болѣе 500 стадій и *прибыли* въ Апсаръ, гдѣ

V. 11: αὐτοῦ τοῦ cod., em. H.

Digitized by Google

σίους ἐς Ἄψαρον, ἵναπερ αἱ πέντε σπεῖραί εἰσιν ἱδρυμέναι... ὁ δὲ Ἄψαρος τὸ χωρίον λέγουσιν ὅτι Ἄψυρτος ἐκαλεῖτο πάλαι ποτέ· ἐνταῦθα γὰρ τὸν Ἄψυρτον ὑπὸ τῆς Μηδείας ἀποθανεῖν, καὶ τάφος Ἀψύρτου δείκνυται. ἔπειτα διαφθαρῆναι τὸ ὄνομα ὑπὸ τῶν περιοίκων βαρβάρων, καθάπερ καὶ ἄλλα πολλὰ διέφθαρται· ὁπότε καὶ τὰ Τύανα τὰ ἐν τοῖς Καππαδόκαις Θόανα λέγουσιν ὅτι ὠνομάζετο ἐπὶ Θόαντι, τῷ βασιλεῖ τῶν Ταύρων, ὃς τοὺς ἀμφὶ Ὀρέστην καὶ Πυλάδην διώκων ἄχρι τῆσδε τῆς χώρας ἐλθεῖν σημαίζεται καὶ ἐνταῦθα νόσῳ ἀποθανεῖν.

8. (7 *H.*). Ποταμοὺς δὲ παρημείψαμεν ἐν τῷ παράπλῳ τῷ ἀπὸ Τραπεζοῦντος τόν τε Ἶσσον, ὅτου ἐπώνυμος Ἴσσου λιμήν, ὃς ἀπέχει Τραπεζοῦντος σταδίους ὀγδοήκοντα καὶ ἑκατόν, καὶ τὸν Ὄφιν, ὃς ἀπέχει Ἴσσου λιμένος ἐς ἐνενήκοντα σταδίους μάλιστα καὶ ὁρίζει τὴν Κόλχων χώραν ἀπὸ τῆς Θιαννικῆς· ἔπειτα τὸν Ψυχρὸν καλούμενον ποταμὸν διέχοντα ὅσον τριάκοντα σταδίους ἀπὸ τοῦ Ὄφιος· ἔπειτα τὸν Καλὸν ποταμόν· καὶ οὗτος τριάκοντα διέχει ἀπὸ τοῦ Ψυχροῦ. ἐχόμενος δὲ ἐστιν ὁ Ῥίζιος ποταμός, ἑκατὸν καὶ εἴκοσι σταδίους διέχων ἀπὸ τοῦ Καλοῦ. καὶ ἀπὸ τούτου τριάκοντα Ἄσκουρος ἄλλος ποταμός, καὶ Ἀδιηνός τις ἀπὸ τοῦ Ἀσκούρου ἑξήκοντα· ἐνθένδε ἐς Ἀθήνας ὀγδοήκοντα καὶ ἑκατόν. ταῖς δὲ Ἀθήναις Ζάγατις ποταμὸς ἑπτὰ μάλιστα σταδίους ἀπ' αὐτῶν διέχων πρόσκειται. ἀπὸ δὲ τῶν Ἀθηνῶν ὁρμηθέντες τὸν Πρύτανιν παρημείψαμεν, ἵναπερ καὶ τὰ Ἀγχιάλου βασιλειά ἐστιν. καὶ οὗτος ἀπέχει τεσσαράκοντα σταδίους ἀπὸ τῶν Ἀθηνῶν. τοῦ Πρυτάνεως δὲ ἔχεται ὁ Πυξίτης ποταμός. στάδιοι ἐνενήκοντα ἐν μέσῳ ἀμφοῖν. καὶ ἀπὸ τοῦ Πυξίτου ἐς Ἀρχαβιν ἄλλοι ἐνενήκοντα, ἀπὸ δὲ Ἀρχάβιος ἐς Ἄψαρον ἑξήκοντα.

поставлены пять когортъ... Говорятъ, что мѣстечко Апсаръ когда-то въ древности называлось Апсиртомъ, потому что здѣсь якобы погибъ отъ *руки* Мидіи Апсиртъ (показываютъ и могилу Апсирта), а потомъ-де *это* имя было искажено окрестными варварами подобно тому, какъ искажены и многія другія *имена;* такъ и Тіаны въ Каппадокіи, говорятъ, назывались Ѳоанами по имени царя Тавровъ Ѳоанта, который въ своемъ преслѣдованіи *спутниковъ* Ореста и Пилада дошелъ, какъ гласитъ молва, до этой страны и умеръ здѣсь отъ болѣзни.

8. Въ своемъ плаваніи отъ Трапезунта мы миновали *слѣдующія* рѣки: Иссъ, отъ котораго получила названіе гавань Исса, отстоящая отъ Трапезунта на 180 стадій; Офій [Змѣй], отстоящій отъ гавани Исса приблизительно на 90 стадій и отдѣляющій страну Колховъ отъ Ѳіаннки; затѣмъ такъ называемую Холодную рѣку, находящуюся приблизительно въ 30 стадіяхъ отъ Офія, далѣе Прекрасную рѣку, отстоящую также на 30 *стадій* отъ Холодной. Далѣе *течетъ* рѣка Ризій, отстоящая на 120 стадій отъ Прекрасной; а въ 30 *стадіяхъ* отъ Ризія — другая рѣка, Аскуръ; въ 60 *стадіяхъ* отъ Аскура нѣкая *рѣка* Адіинъ; отъ нея до Аѳинъ 180 *стадій*. Вблизи Аѳинъ, на разстояніи не болѣе 7 стадій, течетъ рѣка Загатій. Отплывши отъ Аѳинъ, мы миновали *рѣку* Пританій, на которой находится дворецъ Анхіала; эта *рѣка* отстоитъ отъ Аѳинъ на 40 стадій. За Пританіемъ слѣдуетъ рѣка Пиксита; между ними 90 стадій. Отъ Пиксита до Архавія также 90, а отъ Архавія до Апсара — 60.

9. Ἀπὸ δὲ Ἀψάρου ἄραντες τὸν Ἀκαμψιν παρημείψαμεν νύκτωρ, ἐπὶ πεντεκαίδεκα σταδίους ἀπέχοντα τοῦ Ἀψάρου. ὁ δὲ Βαθὺς ποταμὸς ἑβδομήκοντα καὶ πέντε ἀπέχει τούτου, καὶ ὁ Ἀκινάσης ἀπὸ τοῦ Βαθέος ἐνενήκοντα, ἐνενήκοντα δὲ καὶ ἀπὸ Ἀκινάσου ὁ Ἶσις. ναυσίποροι δέ εἰσιν ὅ τε Ἀκαμψις καὶ ὁ Ἶσις, καὶ αὖρας τὰς ἐωθινὰς ἰσχυρὰς ἐκπέμπουσιν. ἀπὸ δὲ Ἴσιος τὸν

9. Отплывши отъ Апсара, мы ночью миновали Акампсій, отстоящій на 15 стадій отъ Апсара. Отъ него отстоитъ *на* 75 *ст.* рѣка Глубокая; отъ Глубокой — *на* 90 *ст.* Акинасъ, и *на* 90 же *ст.* отъ Акинаса — Исій. *Изъ этихъ рѣкъ* судоходны Акинасъ и Исій; съ нихъ по утрамъ дуютъ сильные вѣтры. За Исіемъ мы миновали Могръ; между Могромъ и Исіемъ — 90

V. 2: πεντακοσίους numerum corruptum esse vidit C. Müller (p. 372, 37); cf. § 8 extr. || V. 19: Ὄφιν] idem flumen Ὀφιοῦς dicitur in periplo anonymi (v. infra). || V. 26: ἐχόμενος δὲ τοῦ ψυχροῦ ἐστιν cod.; τοῦ ψυχροῦ del. H. cum Hoffmanno. || V. 46: ἀκινασις cod., Κίνασος an. per., corr. Gail. || V. 50: ψυχρὰς? H.

Digitized by Google

Μῶγρον παρημείψαμεν. ἐνενήκοντα στάδιοι μεταξὺ τοῦ Μώγρου εἰσὶ καὶ τοῦ Ἴσιος· καὶ οὗτος ναυσίπορος.

10. (8 *H.*). Ἐνθένδε ἐς τὸν Φᾶσιν ἐσεπλεύσαμεν ἐνενήκοντα τοῦ Μώγρου διέχοντα, ποταμῶν ὧν ἐγὼ ἔγνων κουφότατον ὕδωρ παρεχόμενον καὶ τὴν χρόαν μάλιστα ἐξηλλαγμένον· τὴν μὲν γὰρ κουφότητα τῷ τε σταθμῷ τεκμαίροιτο ἄν τις, καὶ πρὸ τούτου, ὅτι ἐπιπλεῖ τῇ θαλάσσῃ, οὐχὶ δὲ συμμίγνυται, καθάπερ τῷ Πηνειῷ τὸν Τιταρήσιον λέγει ἐπιρρεῖν Ὅμηρος· καθύπερθεν ἠύτ' ἔλαιον'. καὶ ἢν κατὰ μὲν τοῦ ἐπιρρέοντος βάψαντα γλυκὺ τὸ ὕδωρ ἀνιμήσασθαι· εἰ δὲ ἐς βάθος τις καθῆκεν τὴν κάλπιν, ἁλμυρόν. καίτοι ὁ πᾶς Πόντος πολύ τι γλυκυτέρου τοῦ ὕδατός ἐστιν ἢπερ ἡ ἔξω θάλασσα· καὶ τούτου τὸ αἴτιον οἱ ποταμοί εἰσιν, οὔτε πλῆθος οὔτε μέγεθος σταθμητοὶ ὄντες. τεκμήριον δὲ τῆς γλυκύτητος, εἰ τεκμηρίων δεῖ ἐπὶ τοῖς αἰσθήσει φαινομένοις, ὅτι πάντα τὰ βοσκήματα οἱ προσοικοῦντες τῇ θαλάσσῃ ἐπὶ τὴν θάλασσαν κατάγουσιν καὶ ἀπ' αὐτῆς ποτίζουσιν· τὰ δὲ πίνοντά τε ἡδέως ὁρᾶται, καὶ λόγος κατέχει ὅτι καὶ ὠφέλιμον αὐτοῖς τοῦτο τὸ ποτόν ἐστιν τοῦ γλυκέος μᾶλλον. ἡ δὲ χρόα τῷ Φάσιδι οἵα ἀπὸ μολίβδου ἢ κασσιτέρου βεβαμμένου τοῦ ὕδατος· καταστὰν δὲ καθαρώτατον γίγνεται. οὐ τοίνυν νενόμισται ἐσκομίσαι ὕδωρ ἐς τὸν Φᾶσιν τοὺς ἐσπλέοντας, ἀλλ' ἐπειδὰν ἐσβάλωσιν ἤδη ἐς τὸν ῥοῦν, παραγγέλλεται πᾶν ἐκχέαι τὸ ἐνὸν ὕδωρ ἐν ταῖς ναυσίν· εἰ δὲ μή, λόγος κατέχει ὅτι οἱ τούτου ἀμελήσαντες οὐκ εὐπλοοῦσιν. τὸ δὲ ὕδωρ τοῦ Φάσιδος οὐ σήπεται, ἀλλὰ μένει ἀκραιφνὲς καὶ ὑπὲρ δέκατον ἔτος, πλήν γε δὴ ὅτι εἰς τὸ γλυκύτερον μεταβάλλει.

11. (9 *H.*). Ἐσβαλλόντων δὲ ἐς τὸν Φᾶσιν ἐν ἀριστερᾷ ἵδρυται ἡ Φασιανὴ θεός. εἴη δ' ἂν ἀπό γε τοῦ σχήματος τεκμαιρομένῳ ἡ Ῥέα· καὶ γὰρ κύμβαλον μετὰ χεῖρας ἔχει καὶ λέοντας ὑπὸ τῷ θρόνῳ, καὶ κάθηται ὥσπερ ἐν τῷ Μητρῴῳ Ἀθήνησιν ἡ τοῦ Φειδίου. ἐνταῦθα καὶ ἡ ἄγκυρα δείκνυται τῆς Ἀργοῦς. καὶ ἡ μὲν σιδηρᾶ οὐκ ἔδοξέ μοι εἶναι παλαιά — καίτοι τὸ μέγεθος οὐ

стадій; эта рѣка [т. е. Могръ] также судоходна.

10. Отсюда мы приплыли къ *рѣкѣ* Фасиду, отстоящему отъ Могра *на* 90 *стадій* и изъ всѣхъ извѣстныхъ мнѣ рѣкъ имѣющему самую легкую воду и притомъ необыкновеннаго цвѣта. Въ легкости ея можно убѣдиться посредствомъ взвѣшиванія, а еще проще *изъ того факта*, что она плаваетъ поверхъ морской воды, не смѣшиваясь съ нею, подобно тому, какъ, по словамъ Омира, Титарисій «сверху Пенея течетъ на подобье елея»[1]). Можно было, погрузивъ *сосудъ* въ верхній слой воды, зачерпнуть прѣсной, а если опускали сосудъ въ глубину, то соленой. Впрочемъ, весь Понтъ имѣетъ воду болѣе прѣсную, чѣмъ внѣшнее море, и причиною этого являются *впадающія въ него* рѣки, неизмѣримыя по численности и величинѣ. Доказательствомъ ея прѣснаго вкуса, если только нужны доказательства для того, что воспринимается чувствомъ,—*служитъ то обстоятельство*, что приморскіе жители водятъ весь свой скотъ на водопой къ морю, и онъ пьетъ съ очевиднымъ удовольствіемъ; говорятъ *даже*, что это питье для него полезнѣе прѣснаго. По цвѣту вода Фасида кажется окрашенною свинцомъ или оловомъ, но устоявшись, она дѣлается очень чистою. Поэтому у вплывающихъ въ Фасидъ нѣтъ обыкновенія ввозить съ собою воду, но какъ только вступятъ уже въ его русло, отдается приказаніе вылить всю воду, какая только есть на судахъ; въ противномъ случаѣ, по существующему преданію, для неисполнившихъ этого плаваніе бываетъ неблагополучно. Вода Фасида не гніетъ и остается неиспорченною даже долѣе 10 лѣтъ, развѣ только дѣлается еще прѣснѣе.

9. При входѣ въ Фасидъ на лѣвомъ *берегу* стоитъ статуя Фасіанской богини; судя по внѣшнему виду, эта богиня — скорѣе всего Рея: въ рукахъ она держитъ кимвалъ, у подножія ея сѣдалища *находятся* львы и *сама она* сидитъ такъ же, какъ Фидіева *Рея* въ Аѳинахъ въ храмѣ Матери. Здѣсь же показываютъ якорь *корабля* Арго: желѣзный не показался мнѣ древнимъ, хотя

V. 10: ἐπέπλει cod., ἐπιπλεῖ an. per. et coniectura restituerunt H. et C. Müller. || V. 11: πηνιῶ cod. || V. 21: [πάντα]? H., πάντες Eb. || V. 31: εἰσβαίνωσιν cod., εἰσβάλλωσι an. per., ἐσβάλωσιν H.

1) Ил. II, 754.

Digitized by Google

κατὰ τὰς νῦν ἀγκύρας ἐστὶν, καὶ τὸ σχῆμα ἀμηγέπη ἐξηλλαγμένη — ἀλλὰ νεωτέρα μοι ἐφάνη εἶναι τοῦ χρόνου· λιθίνης δέ τινος ἄλλης θραύσματα ἐδείκνυτο παλαιά, ὡς ταῦτα μᾶλλον εἰκάσαι ἐκεῖνα εἶναι τὰ λείψανα τῆς ἀγκύρας τῆς Ἀργοῦς. ἄλλο δὲ οὐδὲν ὑπόμνημα ἦν ἐνταῦθα τῶν μύθων τῶν ἀμφὶ τὸν Ἰάσονα.

по величинѣ онъ и не похожъ на нынѣшніе якоря и имѣетъ нѣсколько отличную форму, но *тѣмъ не менѣе онъ* показался мнѣ относящимся къ болѣе позднему времени; но здѣсь же показывали старинные обломки какого-то другаго каменнаго *якоря*, такъ что скорѣе можно эти послѣдніе принять за остатки *отъ* якоря *корабля* Арго. Никакихъ другихъ памятниковъ миѳовъ объ Іасонѣ здѣсь не было.

12. Τὸ μέντοι φρούριον αὐτὸ, ἵναπερ κάθηνται τετρακόσιοι στρατιῶται ἐπίλεκτοι, τῇ τε φύσει τοῦ χώρου ὀχυρώτατον εἶναί μοι ἔδοξεν, καὶ ἐν ἐπιτηδειοτάτῳ κεῖσθαι πρὸς ἀσφάλειαν τῶν ταύτῃ πλεόντων. καὶ τάφρος διπλῆ περιβέβληται τῷ τείχει, εὐρεῖα ἑκατέρα. πάλαι μὲν οὖν γήινον τὸ τεῖχος ἦν, καὶ πύργοι ξύλινοι ἐφειστήκεσαν· νῦν δὲ ἐκ πλίνθου ὀπτῆς πεποίηται καὶ αὐτὸ καὶ οἱ πύργοι· καὶ τεθεμελίωται ἀσφαλῶς, καὶ μηχαναὶ ἐφεστᾶσιν, καὶ ἐνὶ λόγῳ, πᾶσιν ἐξήρτυται πρὸς τὸ μηδὲ πελάσαι ἄν τινα αὐτῷ τῶν βαρβάρων, μή τί γε δὴ ἐς κίνδυνον καταστῆσαι πολιορκίας τοὺς ἐν αὐτῷ φρουροῦντας. ἐπειδὴ δὲ καὶ τὸν ὅρμον ἐχρῆν ἀσφαλῆ εἶναι ταῖς ναυσὶ καὶ ὅσα ἔξω τοῦ φρουρίου κατῳκεῖτο ὑπό τε τῶν πεπαυμένων τῆς στρατιᾶς καί τινων καὶ ἄλλων ἐμπορικῶν ἀνθρώπων, ἔδοξέ μοι ἀπὸ τῆς διπλῆς τάφρου, ἣ περιβέβληται τῷ τείχει, ἄλλην τάφρον ἐμβαλεῖν ὡς ἐπὶ τὸν ποταμόν, ἣ τό τε ναύσταθμον περιέξει καὶ τὰς ἔξω τοῦ τείχους οἰκίας.

12. Самая же крѣпость, гдѣ помѣщаются 400 отборныхъ воиновъ, мнѣ показалась весьма сильною по природнымъ свойствамъ мѣстности и расположенною на мѣстѣ очень удобномъ для защиты плавающихъ здѣсь. Вокругъ стѣны проведенъ двойной ровъ; оба они широки. Прежде стѣна была земляная и на ней стояли деревянныя башни, но теперь и стѣна и башни построены изъ обожженнаго кирпича; она построена на прочномъ фундаментѣ, на ней поставлены военныя машины, однимъ словомъ, она снабжена всѣмъ *необходимымъ* для того, чтобы никто изъ варваровъ не могъ даже приблизиться къ ней, не говоря уже о невозможности угрожать осадою *находящемуся* въ ней гарнизону. А такъ какъ и самая гавань должна была представлять безопасное убѣжище судамъ, а также и всѣ мѣста, которыя внѣ укрѣпленія населены отставными военными и нѣкоторыми другими торговыми людьми, то я рѣшилъ отъ двойнаго рва, окружающаго стѣну, провести другой ровъ до *самой* рѣки, который окружитъ гавань и дома, *стоящіе* внѣ стѣны.

13. (10 *H.*). Ἀπὸ δὲ τοῦ Φάσιδος Χαρίεντα ποταμὸν παρημείψαμεν ναυσίπορον· στάδιοι μεταξὺ ἀμφοῖν ἐνενήκοντα· καὶ ἀπὸ τοῦ Χαρίεντος ἐς Χῶβον ποταμὸν ἐσεπλεύσαμεν ἄλλους ἐνενήκοντα, ἵναπερ καὶ ὡρμίσθημεν. ὧν δὲ ἕνεκα, καὶ ὅσα ἐνταῦθα ἐπράξαμεν, δηλώσει σοι τὰ Ῥωμαϊκὰ γράμματα. ἀπὸ δὲ τοῦ Χώβου Σιγγάμην ποταμὸν παρημείψαμεν ναυσίπορον· διέχει δὲ τοῦ Χώβου σταδίους ἐς δέκα καὶ διακοσίους μάλιστα· ῥέχεται δὲ τοῦ Σιγγάμου Ταρσούρας ποταμός· στάδιοι εἴκοσι καὶ ἑκατὸν μεταξὺ ἀμφοῖν. ὁ δὲ Ἵππος ποταμὸς τοῦ Ταρσούρου πεντήκοντα σταδίους καὶ ἑκατὸν ἀπέχει, καὶ τοῦ Ἵππου ὁ Ἀστέλεφος τριάκοντα.

13. *Отправившись* отъ Фасида, мы миновали судоходную рѣку Харіентъ [Пріятную]; *разстояніе* между ними 90 стадій; отъ Харіента *проплывъ* еще 90 *стадій*, въѣхали мы въ рѣку Ховъ, гдѣ и стали на якорь. А почему *мы остановились* и что здѣсь сдѣлали, *это* объяснитъ тебѣ латинское письмо. Послѣ Хова мы миновали судоходную рѣку Сингамъ; *она* отстоитъ отъ Хова не болѣе чѣмъ на 210 стадій. За Сингамомъ слѣдуетъ рѣка Тарсуръ; между ними 120 стадій. Рѣка Иппъ [Конь] отстоитъ отъ Тарсура на 150 стадій, а отъ Иппа—*рѣка* Астелефъ на 30 *стадій*.

V. 13: χωρίου cod., em. H. || V. 21: ἐν ὀλίγῳ cod.; em. G. Bernhardy anal. geogr. p. 20. || V. 31: ἐκβαλεῖν cod., em. H. || V. 43: Σιγάμην cod., em. Müller. || V. 49: «Ταρσούρα [a non. ver.] nescio an recte». Eb.

Digitized by Google

14. Παραμείψαντες δὲ τὸν Ἀστέλεφον ἐς Σεβαστόπολιν ἥκομεν πρὸ μεσημβρίας, ἀπὸ Χώβου ὡρμηθέντες, σταδίους εἴκοσι καὶ ἑκατὸν τοὺς ἀπὸ Ἀστελέφου, ὡς καὶ τὴν μισθοφορὰν τοῖς στρατιώταις δοῦναι τῆς αὐτῆς ἡμέρας, καὶ τοὺς ἵππους καὶ τὰ ὅπλα ἰδεῖν καὶ τοὺς ἱππέας ἀναπηδῶντας ἐπὶ τοὺς ἵππους καὶ τοὺς κάμνοντας καὶ τὸν σῖτον, καὶ τὸ τεῖχος περιελθεῖν καὶ τὴν τάφρον. στάδιοι ἀπὸ μὲν Χώβου ἐς Σεβαστόπολιν τριάκοντα καὶ ἑξακόσιοι· ἀπὸ Τραπεζοῦντος δὲ ἐς Σεβαστόπολιν ἑξήκοντα καὶ διακόσιοι καὶ δισχίλιοι. ἡ δὲ Σεβαστόπολις πάλαι Διοσκουριὰς ἐκαλεῖτο, ἄποικος Μιλησίων.

14. Миновавъ Астелефъ, мы раньше полудня прибыли въ Севастополь, двинувшись отъ Хова, въ 120 стадіяхъ отъ Астелефа. Поэтому мы въ тотъ же день успѣли выдать жалованье солдатамъ, осмотрѣть коней, оружіе, прыганіе всадниковъ на коней, больныхъ и хлѣбные запасы, обойти стѣну и ровъ. Отъ Хова до Севастополя 630 стадій, а отъ Трапезунта до Севастополя — 2260. Севастополь основанъ Милетянами и прежде назывался Діоскуріадою.

15. (11 *H.*). Ἔθνη δὲ παρημείψαμεν τάδε. Τραπεζουντίοις μὲν, καθάπερ καὶ Ξενοφῶν λέγει, Κόλχοι ὅμοροι. καὶ οὓς λέγει τοὺς μαχιμωτάτους καὶ ἐχθροτάτους εἶναι τοῖς Τραπεζουντίοις, ἐκεῖνος μὲν Δρίλας ὀνομάζει, ἐμοὶ δὲ δοκοῦσιν οἱ Σάννοι οὗτοι εἶναι. Καὶ γὰρ μαχιμώτατοί εἰσιν ἐς τοῦτο ἔτι καὶ τοῖς Τραπεζουντίοις ἐχθρότατοι, καὶ χώρια ὀχυρὰ οἰκοῦσιν, ἔθνος ἀβασίλευτον καὶ πάλαι μὲν καὶ φόρου ὑποτελὲς Ῥωμαίοις, ὑπὸ δὲ τοῦ ληστεύειν οὐκ ἀκριβοῦσιν τὴν ἀποφοράν. ἀλλὰ νῦν γε διδόντος θεοῦ ἀκριβώσουσιν, ἢ ἐξελοῦμεν αὐτούς. τούτων δὲ ἔχονται Μάκρωνες καὶ Ἡνίοχοι. βασιλεὺς δ' αὐτῶν Ἀγχίαλος. Μακρώνων δὲ καὶ Ἡνιόχων ἐχόμενοι Ζυδρεῖται· Φαρασμάνου οὗτοι ὑπήκοοι· Ζυδρειτῶν δὲ Λαζοί· βασιλεὺς δὲ Λαζῶν Μαλάσσας, ὃς τὴν βασιλείαν παρὰ σοῦ ἔχει. Λαζῶν δὲ Ἀψίλαι ἔχονται· βασιλεὺς δὲ αὐτῶν Ἰουλιανός. οὗτος ἐκ τοῦ πατρὸς τοῦ σοῦ τὴν βασιλείαν ἔχει. Ἀψίλαις δὲ ὅμοροι Ἀβασκοί· καὶ Ἀβασκῶν βασιλεὺς Ῥησμάγας· καὶ οὗτος παρὰ σοῦ τὴν βασιλείαν ἔχει. Ἀβασκῶν δὲ ἐχόμενοι Σανίγαι, ἵναπερ καὶ ἡ Σεβαστόπολις ᾤκισται· Σανιγῶν βασιλεὺς Σπαδάγας ἐκ σοῦ τὴν βασιλείαν ἔχει.

15. Мы проѣхали мимо слѣдующихъ народовъ: съ Трапезунтійцами, какъ говоритъ и Ксенофонтъ [1]), граничатъ Колхи. Тотъ народъ, который по его словамъ отличается наибольшею воинственностью и непримиримою враждою къ Трапезунтійцамъ, онъ называетъ Дрилами, а по моему мнѣнію это — Санны: они и до сихъ поръ очень воинственны, непримиримые враги Трапезунтійцевъ и живутъ въ укрѣпленныхъ мѣстностяхъ; народъ этотъ не имѣетъ царей и съ давняго времени обязанъ платить дань Римлянамъ, но, благодаря разбойничеству, они платятъ взносы неаккуратно; впрочемъ теперь, богъ дастъ, они будутъ аккуратны, или мы выгонимъ ихъ *изъ страны*. Рядомъ съ ними живутъ Макроны и Иніохи; у нихъ царь Анхіалъ. Съ Макронами и Иніохами граничатъ Зидриты; они подвластны Фарасману. *Рядомъ* съ Зидритами—Лазы; царемъ у Лазовъ—Малассъ, получившій свою власть отъ тебя. За Лазами слѣдуютъ Апсилы; у нихъ царь Юліанъ, получившій царство отъ твоего отца. Съ Апсилами граничатъ Аваски; у Авасковъ царь Рисмагъ; этотъ также получилъ свою власть отъ тебя. Рядомъ съ Авасками—Санниги, въ землѣ которыхъ лежитъ Севастополь; царь Санигова Спадагъ получилъ царство отъ тебя.

16. Μέχρι μὲν δὴ Ἀψάρου ὡς πρὸς ἕω ἐπλέομεν ἐν δεξιᾷ τοῦ Εὐξείνου, ὁ δὲ Ἄψαρος πέρας ἐφάνη μοι εἶναι κατὰ μῆκος τοῦ Πόντου· ἔνθεν γὰρ ἤδη πρὸς ἄρκτον ὁ πλοῦς ἡμῖν ἐγίγνετο ἔστε ἐπὶ Χῶβον ποτα-

16. До Апсара мы плыли на востокъ по правой сторонѣ Евксина, Апсаръ же показался мнѣ крайнимъ предѣломъ длины Понта, такъ какъ отсюда мы держали путь уже на сѣверъ вплоть до рѣки Хова и за

V. 20: δρίλλας cod., Δρίλας Xenophon. || V. 25: καὶ ἔθνος ἀβασίλευτον πάλαι cod., em. H. || V. 27: φορὰν cod., em. H. || V. 29: μαχέλονες ... μαχελόνων cod., em. H. || V. 41: σανίγων cod. || V. 45: ηὼ cod., em. H. || V. 49: ἐγίνετο cod.

1) *Анаб.* IV, 8, 22; V, 2, 1 sq. (см. выше, стр. 76 сл.).

Digitized by Google

μὸν, καὶ ὑπὲρ τὸν Χῶβον ἐπὶ τὸν Σιγγάμην. ἀπὸ δὲ Σιγγάμου ἐκάμπτομεν ἐς τὴν λαιὰν πλευρὰν τοῦ Πόντου ἔστε ἐπὶ τὸν Ἵππον ποταμόν. ἀπὸ δὲ τοῦ Ἵππου ὡς ἐπ' Ἀστέλεφον καὶ Διοσκουριάδα κατείδομεν τὸν Καύκασον τὸ ὄρος, τὸ ὕψος μάλιστα κατὰ τὰς Ἄλπεις τὰς Κελτικάς. καὶ τοῦ Καυκάσου κορυφή τις ἐδείκνυτο — Στρόβιλος τῇ κορυφῇ ὄνομα, — ἵναπερ ὁ Προμηθεὺς κρεμασθῆναι ὑπὸ Ἡφαίστου κατὰ πρόσταξιν Διὸς μυθεύεται.

Тиваринія— страна у Понта, прилегающая къ Халибамъ и Моссинникамъ; имя жителей — Тиваранои и Тиварнои, женскій р. Тиварнисъ. Ефоръ въ 5-ой *книгѣ* говоритъ, что «Тиварины поставили цѣлью своихъ стремленій забаву и смѣхъ и считаютъ это величайшимъ блаженствомъ. Сосѣди ихъ— Халибы и народъ Левкосирскій».

Типаниссы— народъ у Кавказа. Екатэй въ *опис.* Европы.

Токсіи и *Токсіаны*— народъ Таврическій. Иродіанъ въ 7-ой *книгѣ*.

Торетты— народъ Понтійскій. Аполлодоръ во 2-ой *книгѣ соч.* «О землѣ».

Травхеніи — народъ у Понта Евксинскаго, сосѣдній съ Синдами.

Травсы—городъ Кельтовъ; народъ, который Еллины называютъ Агаѳирсами.

Трафа— городъ у Понта. Названіе жителей — Трафаіосъ.

Тѣниида — городъ Колховъ, отъ рѣки Тіянды. Названіе жителей — Тунитъ.

Тира — городъ и рѣка при Евксинскомъ Понтѣ; отъ Тиры имя жителей должно-бы быть Тиратъ, но Полисторъ городъ и рѣку называетъ Тиры, а жителей— Тиранои; есть и Тиритъ, какъ бы отъ Тиріе; городъ назывался еще Офіуссой.

V. 1—3: τινὲς — φασί aut corrupta sunt, aut extra ordinem posita. || V. 6: Τάφρη] Τάφροι RV. || V. 11: ante ταύτην videntur quaedam excidisse. || V. 16: Τιβαρηνία X, Τιβαρνία R, Τιβαρανία AV. || V. 18: «Τιβαρανοί V, Τιβάρνιοι R, Τιβαράνιοι A, Τιβαρήνιοι X. cf. s. v. Βόσπορος, v. Lobeck. Path. p. 199, 16 et Kramer ad Strab. v. 1 p. 197». M. || V. 24: «Τιπάνισσαι libri. Τιπενίσης apud Etym. M. p. 15, 1.» M. Librorum scripturam sequitur C. Müller, v. supra p. 1, fr. 162.|| V. 30: «Τραυχένιοι aut corruptum est aut tmema hoc post Τραυσοί transponendum». M. || V. 32: «Κελτῶν X, Γετῶν H. Κελτῶν si verum est, sequenti voci praefigendum καί.» M. Τραυσοί, πλησίον Κελτοῖς Gutschmid in *Centralblatt* 1864 p. 1190; Τραυσοί, [Θρᾴκης ἔθνος] πλησίον Κοιλήταις· [καὶ ἄλλοι], οὓς κτλ. C. Müller in ed. Ptolem. I p. 428. || V. 34: «Τράφη eadem, ut existimat H[olstenius], quae supra Τάφραι vel Τάφρη.» M. || V. 36: cf. supra Τυῆνις. || V. 38: verba quae sunt ἔστι καὶ—Τύρις legebantur post τὸ ἐθνικόν; totius tmematis textum dedi ita, ut legendum proposueram act. menstr. min. inst. publ. m. Aug. 1892, cl. phil. p. 68.

Digitized by Google

Τυριτάκη, πόλις Πόντου. τὸ ἐθνικὸν Τυριτακαῖος καὶ Τυριτακηνός τῷ συνήθει τύπῳ.

Тиритака — Понтійскій городъ. Названіе жителей—Τυριτακαῖος и Τυριτακηνός по обычному образованію.

Τυρμένιοι, Σκυθικὸν ἔθνος ναυτικώτατον. ἑρμηνεύονται δὲ φυγάδες.

Тирменіи — скиѳскій народъ, весьма преданный мореплаванію; въ переводѣ значитъ «изгнанники».

Ὑλαία, χώρα Ποντική, Ἀβική λεγομένη τουτέστιν ὑλαία. Ἀλέξανδρος ἐν τῷ περὶ Πόντου.

Илэя — Понтійская страна, *иначе* называемая Ἀβική, т. е. «Полѣсье». Александръ въ «Описаніи Понта».

Ὕπανις, ποταμὸς καὶ πόλις μεταξὺ τοῦ Πόντου καὶ τῆς Μαιώτιδος λίμνης. Ἀλέξανδρος δ' ὁ πολυίστωρ φησὶν ὅτι ὁ Ὕπανις διχῇ σχιζόμενος τὸ μὲν ἓν μέρος εἰς τὴν Μαιῶτιν λίμνην βάλλει, τὸ δ' ἕτερον εἰς τὸν Πόντον. Ἡρόδοτος δ' ἐν τετάρτῳ καὶ κρήνην τινὰ πικρὰν εἰς αὐτὸν ἐγχεῖσθαι καὶ ἄποτον ποιεῖν τὸν ποταμόν. τὸ ἐθνικὸν Ὑπανίτης ὡς Ταναΐτης.

Ипанидъ—рѣка и городъ между Понтомъ и Мэотійскимъ озеромъ. Александръ Полиисторъ говоритъ, что Ипанидъ, раздѣляясь на два *рукава*, одну часть *воды* изливаетъ въ Мэотійское озеро, а другую въ Понтъ. Иродотъ въ 4-ой *книгѣ* [1]) *говоритъ*, что въ него впадаетъ нѣкій горькій источникъ и дѣлаетъ рѣчную воду негодною для питья. Названіе жителей — Ὑπανίτης, какъ Ταναΐτης.

Ὑπερβόρεοι, ἔθνος. Πρώταρχος δὲ τὰς Ἄλπεις Ῥίπαια ὄρη οὕτω προσηγορεῦσθαι, καὶ τοὺς ὑπὲρ τὰ Ἄλπεια ὄρη κατοικοῦντας πάντας Ὑπερβορέους ὀνομάζεσθαι. Καλλίμαχος δὲ τοὺς αὐτούς φησιν εἶναι τοῖς Ἀριμασποῖς. Δαμάστης δ' ἐν τῷ περὶ ἐθνῶν, ἄνω Σκυθῶν Ἰσσηδόνας οἰκεῖν, τούτων δ' ἀνωτέρω Ἀριμασπούς, ἄνω δ' Ἀριμασπῶν τὰ Ῥίπαια ὄρη, ἐξ ὧν τὸν βορέαν πνεῖν, χιόνα δὲ μήποτε αὐτὰ ἐκλείπειν· ὑπὲρ δὲ τὰ ὄρη ταῦτα Ὑπερβορέους καθήκειν εἰς τὴν ἑτέραν θάλασσαν· καὶ ἄλλοι ἄλλως. Ἑλλάνικος δὲ Ὑπερβόρειοι γράφει διὰ διφθόγγου.

Ипербореи — народъ. Протархъ *говоритъ*, что Альпы называются Рипейскими горами и что всѣ живущіе выше Альпійскихъ горъ носятъ имя Иперборeевъ. Каллимахъ же говоритъ, что *Ипербореи* тождественны съ Аримаспами. Дамастъ въ соч. «О народахъ» говоритъ, что выше Скиѳовъ живутъ Иссидоны, еще выше этихъ — Аримаспы, за Аримаспами *находятся* Рипейскія горы, съ которыхъ дуетъ Борей и никогда не сходитъ снѣгъ, а за этими горами живутъ Ипербореи до другого моря. Другіе *говорятъ* иначе. Элланикъ пишетъ Ὑπερβόρειοι съ дифтонгомъ.

Φαναγόρεια, πόλις, ἀπὸ Φαναγόρου, ὡς Ἑκαταῖος Ἀσίᾳ. ἡ νῆσος Φαναγόρη καὶ Φαναγόρεια. ἔστι καὶ ἐμπόριον τὰ Φαναγόρεια οὐδετέρως. τὸ ἐθνικὸν ἐχρῆν Φαναγορεὺς ὡς Ἀλεξανδρεύς τῷ πλείονι λόγῳ. ἐκράτησε δ' ὅμως Φαναγορείτης.

Фанагорія — городъ, *названный* отъ *имени* Фанагора, какъ говоритъ Екатэй въ *описаніи* Азіи. Островъ *называется* Фанагорой и Фанагоріей; есть еще торжище Фанагоріи, средняго рода. Имя жителей по обычному образованію должно было бы быть Φαναγορεύς, какъ Ἀλεξανδρεύς, однако преимущественно употребляется Φαναγορείτης.

Φαρνάκεια, χώρα καὶ πόλις Ποντικὴ προσεχὴς τῇ Τραπεζοῦντι. τὸ ἐθνικὸν Φαρνακεύς ἀπὸ τοῦ Φάρνακος...

Фарнакія — Понтійская страна и городъ близъ Трапезунта. Имя жителя Φαρνακεύς, отъ *слова* Φάρνακος...

Φᾶσις, πόλις τῆς Αἴας πρὸς τῷ Φάσιδι ποταμῷ ἐν Κόλχοις. ἐκτίσθη δὲ ὑπὸ Μιλησίων· τὸ ἐθνικὸν ἔδει Φασίτης ὡς Ὀασίτης Μεμφίτης, ἢ Φασιάτης πλεονασμῷ τοῦ ᾱ,

Фасидъ, городъ Эи у рѣки Фасида въ Колхидѣ; основанъ Милитянами. Имя жителей должно было бы быть Φασίτης, какъ Ὀασίτης, Μεμφίτης, или Φασιάτης съ плео-

---

V. 15: Μητρόδωρος AR, μρόδωρος V, emend. Holstenius. || V. 22: ὑπὸ libri, em. Cluverus.|| V. 23: Ἀντίμαχος libri, em. Ruhnken. ad Callim. Del. 291.

1) IV, 52 (см. выше, стр. 23).

Digitized by Google

ὡς καὶ λέγεται. τὸ ἐθνικὸν Φασιάτης. καὶ Φασιατικὸς καὶ Φασιανός, ὡς Ἀριστοφάνης ἐν Ὀλκάσι, καὶ Φασιανὴ θηλυκὸν καί «Φασιανὸν νᾶπος» οὐδετέρως. ἔστι καὶ ἄλλος ποταμὸς Φᾶσις ἐν τῇ Ταπροβάνῃ.

Φθειροφάγοι, ἔθνος... Στράβων ἐνδεκάτῃ.

Φίλυρες, ἔθνος πρὸς τῷ Πόντῳ, ἀπὸ Φιλύρας τῆς μητρὸς Κρόνου. τὸ θηλυκὸν Φιλυρίς καὶ Φιλυρηΐς πλεονασμῷ τοῦ η̄. δύναται καὶ ἀπὸ τοῦ Φιλύρη Φιλυρίτης εἶναι.

Χαβαρηνοί ἔθνος. Εὔδοξος πρώτῳ γῆς περιόδου «ὀνομάζονται γὰρ καὶ Χαβαρηνοὶ οἱ περὶ Χαλύβων οἰκοῦντες, οἳ τῶν ξενικῶν γυναικῶν, ὧν ἴσως γένωνται κύριοι, [τοὺς] τίτθους ὠμοὺς ἐσθίουσι, τὰ δὲ παιδία κατευωχοῦσι».

Χαλδαῖοι... εἰσὶ δὲ καὶ Χαλδαῖοι ἔθνος πλησίον τῆς Κολχίδος. Σοφοκλῆς Τυμπανισταῖς «Κόλχος τε Χαλδαῖός τε καὶ Σύρων ἔθνος». οἱ μέντοι χαριέστεροι περὶ Βαβυλῶνα λέγουσιν οἰκεῖν αὐτούς...

Χαλκίς... [ε'] ἔστι καὶ πόλις Χαλκὶς ἐν Σκυθίᾳ, ἧς οἱ πολῖται Χαλκῖται καὶ ἡ χώρα Χαλκῖτις, ὡς Ἑρμείας ἐν περιηγήσει...

Χάλυβες, περὶ τὸν Πόντον ἔθνος ἐπὶ τῷ ποταμῷ Θερμώδοντι, περὶ ὧν Εὔδοξος ἐν πρώτῳ· «ἐκ δὲ τῆς Χαλύβων χώρας ὁ σίδηρος ὁ περὶ τὰ στομώματα ἐπαινούμενος ἐξάγεται». τούτους Ὅμηρος Ἀλιζῶνάς φησιν ἐν τῷ μετὰ τοὺς Παφλαγόνας καταλόγῳ αὐτὰρ Ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον
τηλόθεν ἐξ Ἀλύβων, ὅθεν ἀργύρου ἐστὶ γενέθλη
ἤτοι τῆς γραφῆς μετατεθείσης ἀπὸ τοῦ «τηλόθεν ἐκ Χαλύβης», ἢ τῶν ἀνθρώπων πρῶτον Ἀλύβων λεγομένων ἀντὶ τοῦ Χαλύβων. λέγεται καὶ μετὰ τοῦ δ Χαλυβδικὸς τὸ κτητικόν. Λυκόφρων «Χαλυβδικῷ κνώδοντι». καὶ ἡ χώρα Χαλυβικὴ λέγεται. καὶ Χάλυβοι παρ' Ἑκαταίῳ· «Χαλύβοισι πρὸς νότον Ἀρμένιοι ὁμουρέουσι».

настическимъ α, какъ *дѣйствительно* и говорятъ; имя жителей — Фасіάτης, *притяжательное* — Фасіатикός и Фасіанός, какъ *говоритъ* Аристофанъ въ «Судахъ»; женскій родъ — Фасіанή, а въ ср. родѣ — Фасіанὸν νᾶπος (Фасійская чаща). Есть и другая рѣка Фасидъ въ Тапрованѣ.

Θθειροφάγи [Вшеѣды]—народъ... Страбонъ въ 11-ой *книгѣ* [1]).

Филиры — народъ у Понта, названный по имени Кроновой матери Филиры. Женскій р. Филурίс и Филурηΐς съ плеонастическимъ η. Можетъ быть также Филурίτης отъ Филύρη.

Хаварины—народъ. Евдоксъ въ 1-ой *книгѣ* «Землеописанія» *говоритъ:* «Называются вѣдь и Хаваринами живущіе вокругъ Халибовъ; они ѣдятъ сырыми груди чужихъ женщинъ, которыми случится имъ овладѣть, а дѣтей угощаютъ».

Халдеи... есть и Халдеи — народъ вблизи Колхиды. Софоклъ въ «Тимпанистахъ» *говоритъ*: «и Колхъ, и Халдей, и Сирійскій народъ». Однако *люди* болѣе свѣдущіе говорятъ, что они живутъ около Вавилона...

Халкида... [5] есть и городъ Халкида въ Скиѳіи, граждане котораго *называются* Халкῖται и область — Халкῖтис, какъ *говоритъ* Ермій въ соч. «Περιήγησις».

Халибы—племя у Понта на рѣкѣ Ѳермодонтѣ, о конхъ *говоритъ* Евдоксъ въ 1-й *книгѣ*: «изъ земли Халибовъ вывозится желѣзо, которое хвалятъ за *пригодность* къ закаливанію». Ихъ Омиръ называетъ Ализонами въ каталогѣ послѣ Пафлагонцевъ [2]): «Одій и Епистрофъ предводительствовали Ализонами, *пришедшими* издалека изъ Алибъ, гдѣ родится серебро»; здѣсь или написаніе измѣнено изъ «издалека изъ Халибы», или люди назывались сначала Алибами вмѣсто Халибовъ. Притяжательное говорится также съ δ — Халυβδικός; Ликофронъ *говоритъ*: «Халибдійскимъ мечемъ» [3]). Страна называется Халυβική; *жители* у Екатея *называются* также Халибоями: «съ Халибоями къ югу граничатъ Арменіи».

V. 1: «τὸ κτητικὸν Φασιάτης καὶ Φασιατικός H. rectius τὸ θηλυκὸν Φασιᾶτις, καὶ Φασιατικός, sive malis καὶ [κτητικὸν] Φασιατικός, sed κτητικὸν saepissime omittitur». M. || V. 11: «τῆς μητρὸς [Χείρωνος, γυναικὸς δὲ] Κρόνου? vide Apoll. Rh. 4, 1235 [leg. 2, 1231 sq.]. Apollod. Bibl. 1, 2 ibique Heynium». M. || V. 13: Φιλυρίτης R, Φιλυρήτης AV. || V. 17: «Χαλύβην X, Καλύβων R, Χαλύβων V, malim [τὴν] Χαλύβων vel Χαλυβίαν. Cf. schol. Apoll. R. 2, 373». M. || V. 22: Σκολίδος (pro Κολχίδος) R.

1) р. 492 (см. выше, стр. 138). 2) Ил. 2, 856. 3) Ликъ. *Алекс.* 1109.

Digitized by Google

Χαριμάται, ἔθνος πρὸς τῷ Πόντῳ. Παλαίφατος ἐν ἑβδόμῳ Τρωικῶν· «Κερκετέων ἔχονται Μόσχοι καὶ Χαριμάται τοῦ Παρθενίου κρατέουσιν εἰς τὸν Εὔξεινον πόντον». καὶ Ἑλλάνικος ἐν κτίσεσιν ἐθνῶν καὶ πόλεων· «Κερκετέων δ' ἄνω οἰκέουσι Μόσχοι καὶ Χαριμάται, κάτω δ' Ἡνίοχοι, ἄνω δὲ Κοραξοί».

Χερρόνησος... ἔστι καὶ γ' πόλις τῆς Ταυρικῆς. Ἡρόδοτος τετάρτῃ «νέμεται τὸ Ταυρικὸν ἔθνος μέχρι Χερσονήσου τῆς τρηχείης καλεομένης». τὸ ἐθνικὸν ταύτης Χερρονησίτης...

Χοί, ἔθνος Βεχείρων ἐγγύς. Ἑκαταῖος ἐν Ἀσίᾳ «ἐς μὲν τοῦτο ἡ Βεχειρική, ἔχονται δ' αὐτῶν Χοί». καὶ πάλιν «μέχρι μὲν τούτων Χοί». καὶ πάλιν «Χοῖσι δὲ ὁμουρέουσι πρὸς ἥλιον ἀνίσχοντα Δίζηρες».

Χοιράδες, πόλις Μοσσυνοίκων. Ἑκαταῖος Εὐρώπῃ «Τιβαρηνοῖσι δὲ πρὸς ἥλιον ἀνίσχοντα Μοσσύνοικοι ὁμουρέουσι· ἐν δὲ αὐτοῖσι Χοιράδες πόλις». τὸ ἐθνικὸν Χοιραδεύς...

Ψευδαρτάκη, λόφος ἐν Σκυθίᾳ μετὰ τὸ λεγόμενον Ἅγιον ὄρος... τὸ τοπικὸν Ψευδαρτακαῖος, καὶ κατὰ τέχνην λέγεται Ψευδαρτακηνός διὰ τὰ πλησιόχωρα.

Ψησσοί, ἔθνος τῆς Ταυρινίας. Ἀπολλόδωρος ἐν δευτέρῳ περὶ γῆς· «ἔπειτα δ' Ἑρμώνασσα καὶ Κῆπος [πόλις], τρίτον δὲ τὸ Ψησσῶν ἔθνος».

Ὠβαρηνοί, μέρος Ἀρμενίας παρακείμενον Κύρῳ ποταμῷ, ὅστις Εὐφράτῃ παραλλήλως ἔχει. μέμνηται δ' αὐτῶν καὶ Κουάδρατος ἐν ἕκτῳ Παρθικῶν· «παρὰ δὲ Κύρῳ ποταμῷ Ὠβαρηνοί τε καὶ Ὠτηνοὶ νέμονται, μέγα μέρος Ἀρμενίας ὄντες».

Ὤλινα, πόλις πρὸς τῇ Κασπίᾳ θαλάσσῃ. τὸ ἐθνικὸν Ὠλινναῖος, ὡς Πελινναῖος τῆς Πελίννης.

Ὠτηνή, μοῖρα Ἀρμενίας. Κουάδρατος

Хариматы—народъ у Понта. Палэфатъ въ 7-ой *книгѣ соч.* «Троикá» *говоритъ*: «къ Керкетамъ примыкаютъ Мосхи, и Хариматы владѣютъ Парѳеніемъ до Евксинскаго Понта». Также Елланикъ въ «Основаніяхъ народовъ и городовъ»: «Выше Керкетовъ живутъ Мосхи и Хариматы, ниже Иніохи, а выше Кораксы».

Херроницъ.... есть и 3-й городъ въ Таврикѣ. Иродотъ въ 4-ой *книгѣ* [1]): «Племя Тавровъ занимаетъ *землю* до такъ называемаго Скалистаго полуострова». Имя жителей этого *города* Херронисѣтъ...

Хои—народъ вблизи Вехировъ. Екатэй въ *описаніи* Азіи: «до сихъ поръ земля Вехировъ, а съ ними рядомъ живутъ Хои»; и опять: «до этихъ Хои»; и опять: «съ Хоями сосѣдятъ къ востоку Дизиры».

Хирады — городъ Моссинниковъ. Екатэй въ *описаніи* Европы *говоритъ*: «съ Тиварнами къ солнечному восходу граничатъ Моссинники, а у нихъ городъ Хирады». Имя жителей — Хоиpадеύς...

Псевдартака—холмъ въ Скиѳіи за такъ называемою Святою горою... Названіе по мѣсту — Ψευδαρτακαῖος; и по правильному образованію говорится Ψευδαρταχηνός по образцу сосѣднихъ *названій*.

Псиссы — народъ Тавриніи (?). Аполлодоръ во 2-ой *книгѣ соч.* «О землѣ» *говоритъ*: «Затѣмъ Ермонасса и Кипъ [городъ], а третій — народъ Псиссовъ».

Оварины — часть Арменіи, прилегающая къ рѣкѣ Киру, которая течетъ параллельно Евфрату. О нихъ упоминаетъ и Квадратъ въ 6-й *книгѣ* соч. Парѳикá: «у рѣки Кира живутъ Оварины и Отины, составляющіе значительную часть Арменіи».

Олина—городъ у Каспійскаго моря. Названіе жителей — Ὠλινναῖος, какъ отъ Πέλινна — Πελινναῖος.

Отина — область Арменіи. Квадратъ

V. 3: «Κερκεταίων libri. Κερκέται ὧν H. ionice scripsisse Palaephatum etiam aliunde constat.» M. || Ibid. Χαριμάται, [οἵπερ] τοῦ conj. M. || V. 6: Κερκεταίων et οἰκοῦσι libri, em. M. Idem conj. κάτω δ' Ἡνίοχοι καὶ Κοραξοί conl. Scyl. Per. 73—76 (v. supra p. 85). || V. 18: Διζηρές A, Διζηνές RV, Βύζηρες H. || V. 20: leg. Ἀσίᾳ? Ibid. Τιβαρηνοῖσι R, Τιβαροῖσι AV, quod secutus est C. Müller (v. supra p. 3, fr. 193). || V. 25 sq. τὸ τοπικὸν Ψευδαρτακαῖος κατὰ τέχνην λέγεται, Ψευδαρταχηνὸς δὲ διὰ τὰ πλησιόχωρα? M. || V. 29: «Ταυρισίας P^{r}. an Ταυριανίας? ut enim Ταυριανοί passim dicuntur pro Ταῦροι, ita etiam regio quam incolunt recte dici potuit Ταυριανία». M. Tenendum tamen est non in Taurica paeninsula habitasse Psessos, sed in ora Maeotidis Asiatica. || V. 31: «πόλις versus causa addidi; pro Κῆπος RV κηπ'. forsan igitur Κῆποι scribendum, ut praeter alios hoc oppidum vocat Plinius NH. 6, 6, 6, qui quos noster et Apollodorus Ψησσούς appellat, consentiens cum Ptolemaeo (5. 9, 17) *Psesios* dicit». M.|| V. 36: ἐν ἕκτῳ: infra s. v. Ὠτηνή dicitur ἐν τῷ δευτέρῳ.|| V. 39: Ὤλινα A, Ὤλλινα RV. «Ὠλιννα scribendum esse docet comparatio cum Πέλινναι». M.

1) с. 99 (см. выше, стр. 40).

Digitized by Google

ἐν Παρθικῶν τρίτῳ· «ὁ δὲ τῆς Ἀρμενίας βασιλεὺς Πάκορος ἐν τούτῳ περὶ Ἀρτάξατα καὶ τὴν Ὠτηνὴν τῆς Ἀρμενίας διάγων». τὸ ἐθνικὸν ὁ αὐτὸς ἐν τῷ δευτέρῳ· «περὶ δὲ Κῦρον ποταμὸν Ὠβαρηνοί τε καὶ Ὠτηνοὶ νέμονται, μέγα μέρος Ἀρμενίας ὄντες».

1 въ 3-й *книгѣ соч.* «Парѳикá» *говоритъ:* «Царь Арменіи Пакоръ, находясь въ это время у Артаксатъ и Отины въ Арменіи». Названіе жителей *приводитъ* онъ же во 5 2-й *книгѣ:* «вокругъ рѣки Кира живутъ Оварины и Отины, составляющіе значительную часть Арменіи».

ΑΝΩΝΥΜΟΥ [ΑΡΡΙΑΝΟΥ ΩΣ ΦΕΡΕΤΑΙ] ΠΕΡΙΠΛΟΥΣ Εὐξείνου Πόντου

БЕЗЪИМЕННАГО АВТОРА [АРРІАНА, какъ считается] ОБЪѢЗДЪ Евксинскаго Понта

ἑκατέρων τῶν ἠπείρων, τῶν τε παρὰ τὴν Ἀσίαν τῶν τε παρὰ τὴν Εὐρώπην τόπων οὕτως· Βιθυνίας τῆς πρὸς τῷ Πόντῳ περίπλους· Παφλαγονίας περίπλους· Πόντων τῶν δύο περίπλους· τῶν ἐν τῇ Εὐρώπῃ μερῶν [τοῦ Πόντου περίπλους].

обоихъ материковъ *или* мѣстностей по *берегамъ* Азіи и по *берегамъ* Европы въ такомъ порядкѣ: объѣздъ Виѳиніи припонтійской; объѣздъ Пафлагоніи; объѣздъ двухъ Понтовъ; [объѣздъ] Европейскихъ частей [Понта].

[Безъименный авторъ, жившій, по соображеніямъ К. Мюллера (Geogr. Gr. min. v. I p. CXVIII, § 199), въ V в. по Р. Хр., составилъ описаніе Понта Евксинскаго подъ вышеприведеннымъ заглавіемъ по слѣдующимъ главнымъ источникамъ: 1) Маркіана Ираклійскаго сокращеніе перипла Меннппа, 2) Периплъ Арріана, 3) стихотворное землеописаніе, приписывавшееся Скимну Хіосскому, и 4) Периплъ, приписываемый Скилаку Каріандскому; быть можетъ, онъ пользовался и нѣкоторыми другими источниками. Заимствованные изъ разныхъ источниковъ отрывки приводятся почти безъ измѣненій (напр. въ отрывкахъ изъ Арріана удержаны даже имена современныхъ ему царей разныхъ кавказскихъ народцевъ) и очень слабо или ничѣмъ не связываются между собою; отъ себя безъименный составитель прибавляетъ лишь переводъ греческихъ мѣръ на римскія и иногда современныя названія мѣстностей. Подробнѣе о составѣ его «Перипла» см. К. Мюллера, Geogr. Gr. min. I p. CXV sq. — Въ рукописяхъ «Периплъ» сохранился по частямъ: первая, содержащая описаніе южнаго берега Понта отъ Воспора Ѳракійскаго до р. Апсара (§§ 1 — 42), сохранилась въ cod. Vatic. 143; третья, содержащая описаніе сѣвернаго и западнаго береговъ отъ р. Танаида до Византіи — въ cod. Heidelb. 398 (отрывки изъ этихъ двухъ частей имѣются и въ другихъ рукописяхъ, см. Müller l. c.). Эти двѣ части давно извѣстны и послѣ другихъ изданій помѣщены К. Мюллеромъ въ Geogr. Gr. min. I p. 402—423, откуда и заимствованъ нами ихъ текстъ. Средняя часть, въ которой заключается описаніе восточнаго берега Понта отъ р. Апсара до Танаида, издана тѣмъ же Мюллеромъ въ Fragmenta historicorum Graecorum v. V (Paris, Firmin Didot 1870) pp. 174—184 по одной недавно найденной рукописи Британскаго музея, въ которой сохранился цѣликомъ весь Периплъ. У насъ эта средняя часть, перепечатываемая изъ Fr. hist. Gr. V, вставлена на свое мѣсто, и отдѣлы ея, а равно и третьей части, обозначены параграфами по порядку отъ первой части, при чемъ §§ Мюллеровскаго изданія второй и третьей частей прибавлены въ скобкахъ].

Переводъ **Э. Н. фонъ-Штерна** съ дополненіями **В. Л.**

17 extr. Ἀπὸ δὲ Θυμήνων εἰς Κάραμβιν, ἀκρωτήριον ὑψηλὸν καὶ μέγα, στάδια ρκ, μίλια ις'.

1 17 кон. Отъ Ѳиминъ до Карамвія, высокаго и большого мыса, 120 стадій, 16 миль.

18. Κατ' ἀντικρὺς δὲ Καράμβεως ἐν τῇ Εὐρώπῃ κεῖται μέγιστον ἀκρωτήριον, ἀπότομον εἰς θάλασσαν ὑψηλὸν ὄρος, τὸ λεγόμενον Κριοῦ μέτωπον, ἀπέχον ἐκ Καράμβεως πλοῦν νυχθήμερον.

18. Насупротивъ Карамвія въ Европѣ 5 лежитъ огромнѣйшій мысъ, обрывистая со стороны моря высокая гора, называемая Бараньимъ лбомъ и отстоящая отъ Карамвія на сутки плаванія.

Fontes: § 17 e Menippo et Arr. § 20; § 18 e perieg. iamb. 953 sqq. (v. supra p. 91).

Digitized by Google

33. Ἀπὸ δὲ Κοτυώρου ἕως πλησίον Πολεμωνίου πρῶτον Τιβαρηνοὶ ᾤκουν ἔθνος ὁμοχώριον, πάνυ γελᾶν σπεύδοντες ἐκ παντὸς τρόπου, εὐδαιμονίαν εἶναι ταύτην κεκρικότες.

33. Отъ Котіора до окрестностей Полемонія прежде жилъ въ сосѣдствѣ народъ Тиварины, всячески старающіеся смѣяться, признавая это благополучіемъ.

35. Ἀπὸ οὖν Φαρνακίας τῆς καὶ πάλαι Κερασοῦντος ἕως πλησίον Κοτυώρου πρῶτον ᾤκουν ἔθνος οἱ λεγόμενοι Μοσύνοικοι, ἔθεσιν νόμοις τε ἔργοις τε βαρβαρικώτατοι· φασὶ γὰρ ἐν ξυλίνοισιν ὑψηλοῖς τ' ἄγαν πύργοις ἐνοικεῖν πάντας, ἐν φανερῷ δ' ἀεὶ ἕκαστα πράττειν· τὸν δ' ἑαυτὸν βασιλέα δεδεμένον [ἐν] πύργῳ [τε] συγκεκλεισμένον τηρεῖν ἐπιμελῶς, τὴν ἀνωτάτω στέγην ἔχοντα· τοῖς φρουροῦσι δ' αὐτὸν ἐπιμελὲς εἶναι, νομίμως ἵνα πάντα προστάττῃ ποιεῖν· εἰ δὲ παραβαίη, κόλασιν αὐτοῦ λαμβάνειν φασὶν μεγίστην, μὴ διδόντας τὴν τροφήν.

35. Отъ Фарнакіи, прежняго Керасунта, до окрестностей Котіора прежде жилъ народъ, называвшійся Мосинниками, по обычаямъ, законамъ и дѣламъ совершенно варварскій: говорятъ, что всѣ они живутъ въ деревянныхъ, очень высокихъ башняхъ и всегда все дѣлаютъ открыто; царя же своего, скованнаго и запертаго въ башнѣ, *тотъ* онъ занимаетъ самое верхнее помѣщеніе, прилежно стерегутъ; стерегущіе его смотрятъ за тѣмъ, чтобы онъ все приказывалъ дѣлать по закону; если же онъ преступитъ *законъ*, то, говорятъ, налагаютъ на него величайшее наказаніе, не давая *ему* пищи.

36 extr. Τραπεζοῦς πόλις Ἑλληνίς, Σινωπέων ἄποικος, ἐπὶ θαλάσσῃ ᾠκισμένη.

36 кон. Трапезунтъ—городъ эллинскій, колонія Синопейцевъ, лежащій при морѣ.

37. Ἀπὸ οὖν Τραπεζοῦντος ἕως τῆς Ἀρητιάδος νήσου (καὶ Φαρνακίας τῆς) καὶ πάλαι Κερασοῦντος πρῶτον ᾤκουν ἔθνος οἱ λεγόμενοι Μάκρωνες ἤτοι Μακροκέφαλοι.

37. Отъ Трапезунта до острова Аритіады и Фарнакіи, прежняго Керасунта, прежде жилъ народъ, называвшійся Макронами или Длинноголовыми.

38. Ἀπὸ δὲ Τραπεζοῦντος εἰς Ὕσσον λιμένα, τὸν νῦν λεγόμενον Σουσάρμια, στάδια ρπ', μίλια κδ'. Ἀπὸ δὲ Σουσαρμίων εἰς Ὀφιοῦντα ποταμόν, ἐν ᾧ σάλος συμμέτρους ναυσί, στάδια ϛ', μίλια ιβ'. Οὗτος ὁ Ὀφιοῦς ποταμὸς διορίζει τὴν Κόλχων χώραν ἀπὸ τῆς Θιαννικῆς. Ἀπὸ οὖν Ὀφιοῦντος ποταμοῦ τὰ ἔθνη τῶν δύο Πόντων ἐστί· τὰ δὲ ἐχόμενα βαρβάρων διαφόρων ἐστὶν ἐθνῶν. Ἀπὸ δὲ Ὀφιοῦντος ποταμοῦ εἰς Ψυχρὸν λεγόμενον ποταμὸν στάδια λ', μίλια δ'.

38. Отъ Трапезунта до порта Исса, нынѣ называемаго Сусарміями, 180 ст., 24 миля. Отъ Сусармій до рѣки Офіунта, гдѣ открытая стоянка для умѣреннаго *количества* судовъ, 90 ст., 12 миль. Эта р. Офіунтъ отдѣляетъ область Колховъ отъ Ѳіанниковъ. Отъ р. Офіунта живутъ народы двухъ Понтовъ, а сосѣднія *земли* заняты разными варварскими племенами. Отъ р. Офіунта до *такъ* называемой Холодной рѣки 30 ст., 4 мили.

39. Ἀπὸ δὲ Ψυχροῦ ποταμοῦ εἰς Καλὸν ποταμόν, τὸν νῦν λεγόμενον Καλὴν παρεμβολήν, στάδια λ', μίλια δ'. Ἀπὸ δὲ Καλῆς παρεμβολῆς εἰς τὸν Ῥίζιον λεγόμενον ποταμὸν καὶ λιμένα στάδια ρκ', μίλια ις'. Ἀπὸ δὲ τοῦ Ῥιζίου εἰς Ἀσκούρναν ποταμὸν στάδια λ', μίλια δ'. Ἀπὸ δὲ τοῦ Ἀσκούρνα ποταμοῦ εἰς Ἀδινῆον, [τὸν] ἤδη λεγόμενον Ἀδινὸν ποταμόν στάδια ξ', μίλια η' ἔχει σάλον σύμμετρον ναυσίν. Ἀπὸ δὲ τοῦ Ἀδι-

39. Отъ рѣки Холодной до р. Прекрасной, нынѣ называемой Прекраснымъ укрѣпленіемъ, 30 ст., 4 мили. Отъ Прекраснаго укрѣпленія до рѣки и гавани, называемой Ризіемъ, 120 ст., 16 м. Отъ Ризія до рѣки Аскурна 30 ст., 4 м. Отъ р. Аскурна до р. Адинія, нынѣ называемой Адіномъ, 60 ст., 8 миль; здѣсь есть умѣренная открытая стоянка для судовъ. Отъ р. Адинія до мѣстечка Кордилъ 100 ст., 13⅓ м. Отъ Кор-

---

V. 39: «τὸν νῦν λεγ. Καλὴν παρεμβολήν] Castrorum vel castelli fluvio adiacentis nomen ad ipsum flumen auctor male transfert». Müller. || V. 43: Ἄσκουρον ap. Arr. haud dubie rectius. || V. 46: «Ἀδινόν] sic Arrianus. Quare cum Hudsono legere malim: Ἀδινὸν [τὸν] ἤδη λεγ. Ἀδινῆον». Müll.

Fontes: § 33 e perieg. iamb. 915 sq.; § 35 e perieg. iamb. 901—911; § 38 ex Arriano (§ 8) et Menippo; § 39 ex Arr. § 8, nonnulla e Menippo.

Digitized by Google

νήου ποταμοῦ εἰς Κόρδυλα χωρίον στάδια ρ′, μίλια ιγ′, γ′. Ἀπὸ δὲ Κορδύλων εἰς Ἀθήνας χωρίον στάδια π′, μίλια ι′, ⌊ς′. ἐνταῦθα ὅρμος ναυσίν· ἔστι γὰρ [καὶ] ἐν Πόντῳ Εὐξείνῳ χωρίον Ἀθῆναι λεγόμενον, ἐν ᾧ καὶ Ἀθηνᾶς ἱερόν ἐστιν Ἑλληνικόν, ὅθεν μοι δοκεῖ καὶ τὸ ὄνομα εἶναι τούτου τοῦ χωρίου· καὶ φρούριόν τί ἐστιν ἠμελημένον· ὁ δὲ ὅρμος οἷος ὥρᾳ ἔτους δέχεσθαι οὐ πολλὰς ναῦς καὶ σκέπην ταύταις παρέχειν ἀπὸ νότου ἀνέμου καὶ αὐτοῦ τοῦ εὔρου· σώζοιτο δ' ἄν καὶ ἀπὸ τοῦ βορρᾶ τὰ ὁρμοῦντα πλοῖα, ἀλλ' οὐ τοῦ γε ἀπαρκτίου οὐδὲ τοῦ θρασκίου μὲν ἐν τῷ Πόντῳ, σκίρωνος δὲ ἐν τῇ Ἑλλάδι καλουμένου.

40. Ἀπὸ δὲ Ἀθηνῶν εἰς Ζάγατιν ποταμὸν στάδια ζ′. Ἀπὸ Ἀθηνῶν εἰς Πρυτάνην ποταμὸν στάδια μ′, μίλια ε′, γ′. ἐν τούτῳ καὶ τὰ Ἀγχιάλου βασίλεια ἐστιν. Ἀπὸ δὲ Πρυτάνου ποταμοῦ εἰς Ἀρμένην τόπον στάδια κδ′, μίλια γ′, γ′. Ἀπὸ δὲ Ἀρμένου τόπου εἰς Πυξίτην ποταμὸν στάδια ξς′, μίλια η′, ⌊ς′. Ἀπὸ δὲ τοῦ Πυξίτου ποταμοῦ εἰς Ἄρχαβιν ποταμὸν στάδια ϙ′, μίλια ιβ′. Ἀπὸ δὲ Ἀρχάβεως ποταμοῦ εἰς Ἄψαρον ποταμὸν στάδια ξ′, μίλια η′.

41. Ὁ δὲ Ἄψαρος τὸ χωρίον λέγουσιν ὅτι Ἄψυρτος ἐκαλεῖτο πάλαι· ἐνταῦθα γὰρ τὸν Ἄψυρτον ὑπὸ τῆς Μηδείας ἀποθανεῖν· καὶ τάφος Ἀψύρτου δείκνυται· ἔπειτα διεφθάρη τὸ ὄνομα ὑπὸ τῶν περιοίκων βαρβάρων, καθάπερ καὶ ἄλλα πολλὰ διέφθαρται, ὁπότε καὶ τὰ Τύανα [τὰ] ἐν τοῖς Καππαδόκαις Θόανα λέγουσιν ὅτι ὠνομάζετο ἐπὶ Θόαντι τῷ βασιλεῖ [τῶν Ταύρων], ὃς τοὺς ἀμφ' Ὀρέστην καὶ Πυλάδην διώκων ἄχρι τῆσδε τῆς χώρας ἐλθεῖν φημίζεται, καὶ ἐνταῦθα νόσῳ ἀποθανεῖν.

42. (1). Ἀπὸ οὖν Ἀρχάβεως ποταμοῦ ἕως Ὀφιοῦντος ποταμοῦ πρώην ᾤκουν ἔθνος οἱ λεγόμενοι Ἐχειριεῖς (νῦν δὲ οἰκοῦσι Μαχέλωνες καὶ Ἡνίοχοι)· ἀπὸ δὲ Ἀψάρου ποταμοῦ ἕως Ἀρχάβεως ποταμοῦ πρώην ᾤκουν οἱ λεγόμενοι Βύζηρες (νῦν δὲ οἰκοῦσι Ζυδρεῖται).

43. (2). Ἀπὸ δὲ Ἀψάρου ποταμοῦ εἰς Ἀχαμψιν ποταμὸν ναυσίπορον στάδια ιε′,

1 дилъ до мѣстечка Аѳинъ 80 ст., $10^2/_3$ миль; здѣсь стоянка для судовъ. Есть вѣдь и на Понтѣ Евксинскомъ мѣстечко, называемое Аѳинами, въ которомъ есть и еллинское святилище Аѳины, откуда, *какъ* мнѣ кажется, *явилось* и названіе этого мѣстечка; есть *въ немъ* и покинутое укрѣпленіе; стоянка можетъ въ лѣтнюю пору принимать немного судовъ и доставлять имъ защиту отъ вѣтра Нота и самого Евра; стоящія на якорѣ суда безопасны, пожалуй, и отъ Борея, но не отъ Апарктія и не отъ *вѣтра*, называемаго въ Понтѣ Ѳраскіемъ, а въ Елладѣ — Скирономъ.

40. Отъ Аѳинъ до рѣки Загатія 7 стадій. Отъ Аѳинъ до рѣки Притана 40 ст., $5^1/_3$ миль; на ней есть и дворецъ Анхіала. Отъ р. Притана до мѣстности Армена 24 ст., $3^1/_3$ м. Отъ мѣстности Армена до рѣки Пиксита 66 ст., $8^2/_3$ м. Отъ рѣки Пиксита до рѣки Архавія 90 ст., 12 миль. Отъ р. Архавія до рѣки Ансара 60 ст., 8 миль.

41. Говорятъ, что мѣстечко Ансаръ въ древности называлось Апсиртомъ, ибо здѣсь Апсиртъ былъ убитъ Мидіей; показывается и гробница Апсирта. Впослѣдствіи названіе было искажено окрестными варварами, какъ искажены и многія другія. Такъ и Каппадокійскій *городъ* Тіаны, говорятъ, назывался Ѳоаны по *имени* Ѳоанта, царя [Тавровъ], который, преслѣдуя Ореста и Пилада, по преданію дошелъ до этой страны и здѣсь умеръ отъ болѣзни.

42. Отъ рѣки Архавія до рѣки Офіунта прежде жилъ народъ, называемый Екхирійцами (а нынѣ живутъ Махелоны и Иніохи); отъ рѣки Ансара до рѣки Архавія прежде жили *такъ* называемые Визиры (а нынѣ живутъ Зидриты).

43. Отъ рѣки Ансара до судоходной рѣки Акампсія 15 стадій, 2 мили. Отъ

V. 17: fluvius Πρυτάνης, ou ap. Arr. dicitur Πρύτανις, εως. || V. 20: Ἀρμένην locum non habet Arrianus. || Vv. 33 et 35 uncis inclusa ex Arriano supplevit Müller. || § 42 in cod. Vat. 143 scriptus est ita: Ἀπὸ οὖν Ἀρχάβεως ποταμοῦ εἰς Ὀφιοῦντα ποταμὸν πρῶτον ᾤκουν ἔθνος οἱ λεγόμενοι Ἐχειριεῖς, νῦν δὲ οἰκοῦσι Μαχελῶνες καὶ Ἡνίοχοι. In haec verba desinit.

Fontes: § 40 ex Arr. § 8 et Menippo; § 41 ex Arr. § 7; § 42 e Menippo. § 43 ex Arr. § 9.

Digitized by Google

μίλια δύο. Ἀπὸ δὲ τοῦ Ἀκάμψιος ποταμοῦ εἰς Βαθὺν ποταμὸν στάδια οε′, μίλια ι′. Ἀπὸ δὲ τοῦ Βαθέος ποταμοῦ εἰς Κίνασον ποταμὸν στάδια ϙ′, μίλια ιβ′. Ἀπὸ δὲ Κινάσου ποταμοῦ εἰς Ἶσιν ποταμὸν ναυσίπορον στάδια ϙ′, μίλια ιβ′. Ναυσίποροι δέ εἰσιν ὅ τε Ἀκαμψις καὶ ὁ Ἶσις, καὶ αὔρας τὰς ἐωθινὰς ἰσχυρὰς ἐκπέμπουσιν. Ἀπὸ δὲ Ἴσιος ποταμοῦ εἰς Μόγρον (ἤτοι Νύγρον) λεγόμενον πόρος ναυσὶ σταδίων ϙ′, μιλίων ιβ′.

44 (3). Οὗτος δὲ ὁ Φᾶσις ποταμὸς ἔχει τὸ ῥεῦμα φερόμενον ἐκ τῆς Ἀρμενίας· οὐ πλησίον οἰκοῦσι μεταστάντες ἐξ Ἰβηρίας εἰς Ἀρμενίαν Ἴβηρες. Εἰσιόντων δὲ εἰς ποταμὸν ἀριστερὰ τοῦ Φάσιδος παράκειται Μιλησίων πόλις Ἑλληνὶς Φᾶσις λεγομένη, εἰς ἣν λέγεται καταβαίνειν ἔθνη ἑξήκοντα διαφόροις χρώμενα φωναῖς, ἐν οἷς τινὰς λέγουσιν ἀπὸ τῆς Ἰνδικῆς καὶ Βακτριανῆς συναφικνεῖσθαι βαρβάρους. Μεταξὺ δὲ τούτων βάρβαρός ἐστιν ἡ Κοραξική, ἧς τὰ ἐχόμενα ἡ Κωλικὴ καλουμένη, τὸ νῦν Μελαγχλαίνων καὶ Κόλχων ἔθνος.

45 (4). Ἔχει δὲ καὶ ἀνάπλουν ὁ ποταμὸς σταδίων ρ′, μιλίων δ′. Ἐν ᾧ ἐστὶ πόλις μεγάλη Αἶα λεγομένη, ὅθεν ἡ Μήδεια ἦν.

46 (5). Πάνυ δὲ κουφότατον ὕδωρ ἔχων ὁ Φᾶσις ἐπιπλεῖ τῇ θαλάσσῃ καὶ οὐ συμμίγνυται· καὶ ἔστι μὲν κατὰ τοῦ ἐπιρρέοντος γλυκύτατον ἀνιμήσασθαι, εἰ δὲ εἰς βάθος τις καθῆκε τὴν κάλπιν, ἁλμυρόν. Καίτοι ὁ πᾶς Πόντος πολύ τι γλυκυτέρου τοῦ ὕδατός ἐστιν ἢπερ ἡ ἔξω θάλασσα· καὶ τούτου τὸ αἴτιον οἱ ποταμοί εἰσιν, οὔτε πλῆθος οὔτε μέγεθος σταθμητοὶ ὄντες. Τεκμήριον δὲ τῆς γλυκύτητος, εἰ τεκμηρίων δεῖ ἐπὶ τοῖς αἰσθήσει φαινομένοις, ὅτι πάντα τὰ βοσκήματα οἱ προσοικοῦντες ἐπὶ τὴν θάλασσαν κατάγουσι καὶ ἐν ταύτῃ ποτί-

рѣки Акампсія до рѣки Глубокой 75 ст., 10 миль. Отъ р. Глубокой до р. Кинаса 90 ст., 12 миль. Отъ р. Кинаса до судоходной р. Исія 99 ст., 12 миль. Акампсій и Исій судоходны, и по утрамъ на нихъ дуютъ сильные вѣтры. Отъ р. Исія до *такъ* называемаго Могра (или Нигра) плаванія кораблямъ 90 ст., 12 миль.

44. Эта рѣка Фасидъ течетъ изъ Арменіи; вблизи ея живутъ переселившіеся изъ Иверіи въ Армепію Иверы. При входѣ въ рѣку на лѣвой сторонѣ Фасида лежитъ *основанный* Милитянами греческій городъ, называемый Фасидомъ, въ который, какъ говорятъ, сходятся шестьдесятъ племенъ, говорящихъ на разныхъ языкахъ; въ ихъ числѣ, говорятъ, пріѣзжаютъ варвары изъ Индіи и Бактріаны. Между ними варварская *страна* Коракспка, къ которой примыкаетъ такъ называемая Колика, *то* нынѣ народъ Меланхлэновъ и Колховъ.

45. Рѣка *эта* судоходна на протяженіи 100 стадій, 4 миль. На ней есть большой городъ по имени Эя, откуда происходила Мидія.

46. Имѣя чрезвычайно легкую воду, Фасидъ течетъ поверхъ морской воды и не смѣшивается *съ нею*; если зачерпнуть ее сверху, то она очень прѣсна, а если кто опуститъ кувшинъ въ глубину, то солона. Впрочемъ весь Понтъ имѣетъ гораздо болѣе прѣсную воду, чѣмъ внѣшнее море; причиною этого являются рѣки, количество и величину которыхъ невозможно и опредѣлить. Доказательствомъ прѣсноты — если нужно доказательство для явленій, воспринимаемыхъ чувствомъ,— *служитъ то*, что жители побережья пригоняютъ въ морю

V. 3: «εἰς Κίνασον] Arriani codex ὁ Ἀκίνασις... ἀπὸ Ἀκινάσου. Aliunde nomen fluvii non notum». Müller. || V. 9: «Μόγρον] Μῶγρον Arriani codex. Quid praestet, haud liquet, quum nemo alius scriptor Graecus fluvii mentionem iniecerit. ἤτοι Νύγρον] Hoc e Menippo auctor addiderit». M.|| V. 23: λόγχων cod. || V. 25: «σταδίων ρ′, μιλ. δ′] sic codex; fuerit ρπ′ μίλ. κδ′, uti Scylax habet». M. || V. 29: τὴν θάλασσαν cod. || V. 40: ἀπ' αὐτῆς ποτ. Arr. Mox ὁρᾶται et τοῦτο τὸ ποτόν ex Arr. inserui M.

Fontes: § 44 e periegesi iambica depromta esse putat M., cuius versus hunc in modum refingere conatus est:

Φᾶσις ποταμὸς ἔχει τὸ ῥεῦμα φερόμενον
ἐξ Ἀρμενίας, οὗ πλησίον Ἴβηρές ποτε
ἐκστάντες ἐξ Ἰβηρίας οἰκοῦσι νῦν.
Ἐσιοῦσι ποταμὸν ἀριστερὰ τοῦ Φάσιδος
Μιλησίων ἐστὶ παρακειμένη πόλις
ἑλληνὶς Φᾶσις λεγομένη, ἐς ἣν ἔθνη
κατέβαινον ἑξήκοντα φωναῖς διάφορα,
ἐν οἷς τινας λέγουσιν ἀπὸ τῆς Ἰνδικῆς
καὶ Βακτριανῆς συναφικέσθαι βαρβάρους.
Μεταξὺ τούτων βάρβαρος Κοραξική,
ἧς ἐχομένη τῇ Κωλικὴ καλουμένη,
τὸ νῦν Μελαγχλαίνων τε καὶ Κόλχων ἔθνος.

§ 45 e Scyl. periplo; § 46 ex Arr. § 10.

Digitized by Google

ζουσι· τὰ δὲ ἡδέως πίνοντα [ὁρᾶται], καὶ λόγος κατέχει ὅτι καὶ ὠφέλιμον αὐτοῖς [τοῦτο τὸ ποτόν] ἐστι τοῦ γλυκέος μᾶλλον. Ἡ δὲ χροιὰ τοῦ Φάσιδος ἐξηλλαγμένη, οἵα ἀπὸ μολίβδου ἢ κασσιτέρου βεβαμμένου τοῦ ὕδατος· καταστὰν δὲ καθαρώτατον γίνεται. Οὐ τοίνυν νενόμισται εἰσκομίσαι ὕδωρ εἰς τὸν Φᾶσιν τοὺς εἰσπλέοντας· ἀλλ' ἐπειδὰν ἤδη εἰσβαίνωσιν εἰς τὸν ῥοῦν, παραγγέλλεται ἅπαν ἐκχέαι τὸ ἐνὸν ὕδωρ ἐν ταῖς ναυσίν· εἰ δὲ μή, λόγος κατέχει ὅτι οὐκ εὐπλοοῦσι. Τὸ δὲ ὕδωρ τοῦ Φάσιδος οὐ σήπεται, ἀλλὰ μένει ἀκραιφνὲς καὶ ὑπὲρ δέκατον ἔτος, πλήν γε δὴ [ὅτι] εἰς τὸ γλυκύτερον μεταβάλλει.

47 (6). Ἀπὸ δὲ τοῦ Φάσιδος ποταμοῦ εἰς Χαρίεντα ποταμὸν ναυσίπορον στάδια ϛ΄, μίλια ιβ΄. Ἀπὸ δὲ Χαρίεντος ποταμοῦ εἰς Χόβον ποταμὸν ναυσίπορον στάδια ϛ΄, μίλια ιβ΄. Ἀπὸ δὲ Χόβου ποταμοῦ εἰς Σιγάμην (τὸν καὶ Ζίγανιν λεγόμενον) ποταμὸν στάδια σι΄, μίλια κη΄. Ἀπὸ δὲ Ζιγάνεως εἰς Ταρσούραν ποταμὸν (τὸν [νῦν] λεγόμενον Μοχή) στάδια ρκ΄, μίλια ις΄. Ἀπὸ δὲ Ταρσούρα ποταμοῦ εἰς Ἵππον ποταμὸν (τὸν νῦν λεγόμενον Λαγουμψᾶν) στάδια ρν΄, μίλια κ΄. Ἀπὸ δὲ τοῦ Ἵππου ποταμοῦ εἰς Ἀστέλεφον ποταμὸν ([τὸν] νῦν λεγόμενον Εὔαπον· εἴσπλους πορθμίων) στάδια λ΄, μίλια δ΄. Ἀπὸ δὲ Ἀστελέφου ποταμοῦ εἰς πόλιν Διοσκουρίδα λιμένα ἔχουσαν, τὴν νῦν λεγομένην Σεβαστούπολιν, στάδια ρλε΄, μίλια ιη΄.

48 (7). Ἀπὸ οὖν Διοσκουρίδος τῆς [καὶ] Σεβαστουπόλεως ἕως Ἀψάρου ποταμοῦ πρώην ᾤκουν ἔθνος οἱ λεγόμενοι Κόλχοι οἱ μετονομασθέντες Λαζοί.

49 (8). Ἔθνη δὲ παρημείψαμεν τάδε. Τραπεζουντίοις μὲν, καθάπερ καὶ Ξενοφῶν λέγει, Κόλχοι ὅμοροι καὶ οὓς λέγει τοὺς μαχιμωτάτους καὶ ἐχθροτάτους εἶναι τοῖς Τρα-

всѣ *свои* стада и поятъ въ немъ; животныя пьютъ съ очевиднымъ удовольствіемъ, и есть молва, что это питье имъ даже полезнѣе прѣснаго. Цвѣтъ воды въ Фасидѣ особенный, какъ у воды, насыщенной свинцомъ или оловомъ; но отстоявшись, она дѣлается чрезвычайно чистою. Поэтому у входящихъ *съ моря* въ Фасидъ не принято брать *съ собою* воду; когда они уже вступаютъ въ рѣчное русло, отдается приказъ вылить всю находящуюся на судахъ воду; въ противномъ случаѣ, по повѣрью, плаваніе бываетъ неблагополучно. Вода Фасида не гніетъ, но остается неиспорченною даже болѣе 10 лѣтъ, развѣ только измѣняется въ болѣе прѣсную.

47. Отъ рѣки Фасида до судоходной рѣки Харіента (Прелестной) 90 ст., 12 миль. Отъ р. Харіента до судоходной рѣки Хова 90 ст., 12 миль. Отъ р. Хова до р. Сигама (называемой и Зиганіемъ) 210 ст., 28 миль. Отъ Зиганія до рѣки Тарсуры (нынѣ называемой Моха) 120 ст., 16 миль. Отъ р. Тарсуры до рѣки Иппа (нынѣ называемой Лагумпсой) 150 ст., 20 миль. Отъ р. Иппа до рѣки Астелефа (нынѣ называемой Евріпомъ; входъ судовъ) 30 ст., 4 мили. Отъ рѣки Астелефа до города Діоскуриды, имѣющаго гавань, нынѣ называемаго Севастополемъ, 135 ст., 18 миль.

48. Отъ Діоскуриды или Севастополя до рѣки Апсара прежде жилъ народъ, называвшійся Колхами, переименованный въ Лазовъ.

49. Мы миновали слѣдующія племена. Рядомъ съ Трапезунтійцами, какъ говоритъ и Ксенофонтъ, живутъ Колхи и тѣ, которыхъ онъ называетъ весьма воинственными

V. 11: ὅτι οἱ τούτου ἀμελήσαντες οὐκ εὐπλ. Arr. Mox ὅτι ex Arr. inserui M. || V. 20: Χόβον] Χῶβον Arr. cod. fortasse rectius, ut putat M. Ibid. ναυσίπορον] «Vocem hanc non habet codex Arriani, in quo Singames ναυσίπορος esse dicitur, quod de hoc fluvio non monet Anonymus. In integriore codice uterque fluvius ναυσίπορος voce distinctus fuerit, quum reapse Chobus et Sigames (*Khopi* et *Ingour*) fluvii in hoc tractu longe maximi sint». M. || V. 22: Σηγάμην τ. κ. Ζηγάνην... Ζηγάνεως codex. Verba τὸν καὶ Ζίγανιν ex alio fonte addita sunt. M. || V. 23: «σι΄] Distantia est fere stadiorum 65. Quod Arrianus in fonte suo repperit σι΄, fortasse ortum erat ex ο΄ (70)». M. || V. 24: νῦν vocem addidit M. || V. 29: «Ἀστέλεφον] Sic Arriani cod.; Ἀτέλαφον, et mox Ἀτελάφου, item infra § 11 ἐπ' Ἀτέλαφον, sed deinceps ἀπὸ τοῦ Ἀστελέφου cod. Anonymi». M. || V. 30: Verba εἴσπλους πορθμίων non habet Arrianus. || V. 32: λιμένα] λίμνην codex, em. M.

Fontes: § 47 ex Arriano § 13 et 14, quibus nonnulla compilator de suo addidit; § 48 e Menippo; § 49 ex Arr. § 15.

Digitized by Google

πεζουντίοις, οὓς ἐκεῖνος μὲν Δρίλλας ὀνομάζει, ἐμοὶ δὲ δοκοῦσιν οἱ Σάννοι οὗτοι εἶναι. Καὶ γὰρ μαχιμώτατοί εἰσιν εἰς τοῦτο ἔτι καὶ τοῖς Τραπεζουντίοις ἐχθρότατοι, καὶ χωρία ὀχυρὰ οἰκοῦσι, καὶ ἔθνος ἀβασίλευτον, πάλαι μὲν καὶ φόρου ὑποτελὲς Ῥωμαίοις, ὑπὸ δὲ τοῦ λῃστεύειν οὐκ ἀκριβοῦσι τὴν φοράν. Κόλχων δὲ ἔχονται Μαχέλωνες καὶ Ἡνίοχοι. Βασιλεὺς δ' αὐτῶν Ἀγχίαλος.

50 (9). Τὸ δὲ Ἡνιόχων ἔθνος μιξογενές ἐστι. Τούτους δὲ λέγουσίν τινες κληθῆναι Ἡνιόχους ἀπὸ τῶν Πολυδεύκους καὶ Κάστορος ἡνιόχων Ἀμφιστάτου καὶ Τέλχιος· ἐν γὰρ τῷ μετὰ Ἰάσονος ἀφικέσθαι στόλῳ δοκοῦσιν οὗτοι, περὶ δὲ τούτους τοὺς τόπους ᾤκησαν ἀπολειφθέντες, ὡς μυθεύεται. Ὑπὲρ Ἡνιόχους δὲ ἄνω κεῖται Κασπία καλουμένη θάλασσα, βαρβάρων γένη ἱπποφάγα περὶ αὐτὴν ἔχουσα οἰκούμενα· ἧς δὴ τὰ Μήδων ἐστὶν ὅρια πλησίον.

51 (10). Μαχελώνων δὲ καὶ Ἡνιόχων ἐχόμενοι Ζυδρεῖται. Φαρασμάνου οὗτοι ὑπήκοοι· Ζυδρειτῶν δ' ἐχόμενοι Λαζοί, βασιλεὺς δὲ Λαζῶν Μαλάσσας, ὃς τὴν βασιλείαν παρὰ σοῦ ἔχει· Λαζῶν δὲ ἔχονται Ἀψῖλαι, βασιλεὺς δὲ Ἀψιλῶν Ἰουλιανός· οὗτος ἐκ τοῦ πατρὸς τοῦ σοῦ τὴν βασιλείαν ἔχει· Ἀψίλαις δὲ ὅμοροι Ἀβασγοί, καὶ Ἀβασγῶν βασιλεὺς Ῥίμαγας. καὶ οὗτος τὴν βασιλείαν παρὰ σοῦ ἔχει· Ἀβασγῶν δὲ ἐχόμενοι Σαννίγαι. ἐν ᾧ καὶ ἡ Σεβαστούπολις ᾤκισται· Σαννιγῶν βασιλεὺς Σπεδαγᾶς ἐκ σοῦ τὴν βασιλείαν ἔχει.

52 (11). Καὶ μέχρι μὲν Ἀψάρου ὡς πρὸς ἕω (τό τε ἀνατολικὸν) ἐπλέομεν ἐν δεξιᾷ τοῦ Εὐξείνου. Ὁ δὲ Ἄψαρος πέρας ἐφάνη μοι εἶναι κατὰ μῆκος τοῦ Πόντου· ἔνθεν γὰρ ἤδη πρὸς ἄρκτον ὁ πλοῦς ἡμῖν ἐγίνετο ἕστε ἐπὶ Χόβον [ποταμὸν, καὶ ὑπὲρ

и весьма враждебными Трапезунтійцамъ; онъ называетъ ихъ Дриллами, а мнѣ кажется, что этотъ *народъ* — Санны. Они вѣдь и весьма воинственны еще до нынѣ, и весьма враждебны Трапезунтійцамъ, и живутъ въ укрѣпленныхъ мѣстечкахъ, и не подчинены царямъ; прежде они были данниками Римлянъ, но *теперь* вслѣдствіе разбойничьяго образа жизни не платятъ дани аккуратно. За Колхами живутъ Махелоны и Иніохи. Царь у нихъ Анхіалъ.

50. Народъ Иніоховъ — разноплеменный. Нѣкоторые говорятъ, что они названы Иніохами отъ Амфистата и Телхія, возницъ Кастора и Полидевка: ибо они, повидимому, прибыли во время похода подъ предводительствомъ Іасона, а въ этихъ мѣстахъ поселились, какъ гласитъ преданіе, будучи покинуты *своими*. Выше Иніоховъ находится море, называемое Каспійскимъ, вокругъ котораго живутъ варварскія племена, питающіяся конниной; вблизи его находятся предѣлы Миданъ.

51. Рядомъ съ Махелонами и Иніохами живутъ Зидриты; они подвластны Фарасману; рядомъ съ Зидритами живутъ Лазы, а царь Лазовъ — Малласса, который получилъ престолъ отъ тебя. Рядомъ съ Лазами живутъ Апсилы, а царь Апсиловъ — Юліанъ; этотъ получилъ престолъ отъ твоего отца. Съ Апсилами граничатъ Авасги, и царь у Авасговъ Римага; и этотъ получилъ престолъ отъ тебя. Съ Авасгами рядомъ живутъ Санниги; въ ихъ *области* и находится Севастополь. Царь Санниговъ Спедага получилъ престолъ отъ тебя.

52. И до Апсара плыли мы въ восточномъ направленіи по правой *сторонѣ* Евксина. Апсаръ же показался мнѣ предѣломъ Понта по длинѣ: ибо оттуда уже плаваніе наше было на сѣверъ до Хова [рѣки и выше Хова] до Сигама. Отъ Сигама по-

---

V. 16: A. καὶ τούτου Τέλχιος codex. Versus passim evanidos hunc in modum reficere conatus est Müller:

Μιξογενὲς [εἴτεν] ἔστιν Ἡνιόχων ἔθνος.
⏑ ⏑ – – Τούτους δὲ κληθῆναί τινες
λέγουσιν ἀπὸ Πολυδεύκεος καὶ Κάστορος
τῶν ἡνιόχων Ἀμφιστάτου καὶ Τέλχιος.
ἐν Ἰάσονος στόλῳ γὰρ ἀφικέσθαι ποτὲ
δοκοῦσιν οὗτοι, περὶ δὲ τούτους τοὺς τόπους
ᾤκησαν ἀπολειφθέντες, ὡς μυθεύεται.
Ὑπὲρ Ἡνιόχους κεῖται δ' ἄνω ἡ Κασπία
καλουμένη θάλασσα, βαρβάρων γένη
ἱπποφάγα περὶ αὐτὴν ἔχουσ' οἰκούμενα·
ἧς δὴ τὰ Μήδων ἐστὶν ὅρια πλησίον.

V. 25 et 29 sq. Ζυδρῖται et Ἀψῆλαι codex. || V. 32: Ῥησμάγας Arr. || V. 34: Σαννῖται cod., Σανίγαι Arr. Infra § 56 Anon. et Arr. Σάνιχες habent. || V. 35: Σπαδάγας Arr. || V. 42: quae uncis inclusa sunt, ex Arr. inseruit M.

Fontes: § 50 e periegesi iambica; §§ 51 et 52 ex Arr. §§ 15 et 16.

Digitized by Google

τὸν Χόβον] ἐπὶ τὸν Σιγάμην. Ἀπὸ δὲ Σιγάμου ἐκάμπτομεν εἰς τὴν λαιὰν πλευρὰν τοῦ Πόντου ἔστε ἐπὶ τὸν Ἵππον ποταμόν. Ἀπὸ δὲ τοῦ Ἵππου ποταμοῦ ὡς ἐπ' Ἀστέλεφον καὶ Διοσκουριάδα καταφανῶς ἤδη ἐπ' ἀριστερὰ τοῦ Πόντου ἐπλέομεν, καὶ ὁ πλοῦς μὲν πρὸς ἥλιον δυόμενον ἐγίνετο· ὡς δὲ ἐπεστρέφομεν ἀπὸ τοῦ Ἀστελέφου ἐπὶ Διοσκουριάδα, κατείδομεν τὸν Καύκασον τὸ ὄρος, τὸ ὕψος μάλιστα κατὰ τὰς Ἄλπεις τὰς Κελτικάς. Καὶ τοῦ Καυκάσου κορυφή τις ἐδείκνυτο, Στρόβιλος τῇ κορυφῇ ὄνομα, ἵνα περ ὁ Προμηθεὺς κρεμασθῆναι ὑπὸ Ἡφαίστου κατὰ πρόσταξιν Διὸς μυθεύεται.

53 (12). Τάδε μὲν οὖν τὰ ἀπὸ Βυζαντίου πλεόντων ἐπὶ δεξιὰ ὡς ἐπὶ Διοσκουριάδα, ἐς ὅπερ στρατόπεδον τελευτᾷ Ῥωμαίων ἡ ἐπικράτεια [ἐν δεξιᾷ] εἰσπλεόντων ἐς τὸν Πόντον. Ἐγὼ δὲ ἐπεὶ ἐπυθόμην Κότυν τετελευτηκέναι, τὸν βασιλέα τοῦ Βοσπόρου τοῦ Κιμμερίου καλουμένου, ἐπιμελὲς ποιησάμην καὶ τὸν μέχρι Βοσπόρου πλοῦν ἡλῶσαί σοι, ὡς, εἴ τι βουλεύοιο περὶ τοῦ Βοσπόρου, ὑπάρχοι σοι καὶ τόνδε τὸν πλοῦν μὴ ἀγνοοῦντι βουλεύσασθαι.

54 (13). Τὰ δὲ λοιπὰ οὕτω πληρῶν ἐξῶ. Ὁρμισθεῖσιν οὖν ἐκ Διοσκουριάδος τῆς Σεβαστουπόλεως πρῶτος ἂν εἴη ὅρμος ἐν Πιτυοῦντι· ἀπὸ οὖν Σεβαστουπόλεως, ἔνθα ὅρμος ναυσί, στάδια τν', μίλια μς', Γ', ς'.

55 (14). Μέχρι τούτου Ποντικὴ τῶν βαρβάρων ἐστὶ βασιλεία κατά τε Τιβαρηνίην καὶ Σαννικὴν καὶ Κολχίδα, τὰ δ' ἐχόμενα τῶν αὐτονόμων ἐστὶ βαρβάρων.

56 (15). Ἀπὸ δὲ Πιτυοῦντος εἰς Στεννιτικὴν χώραν (καί ποτε Τριγλίτην λεγομένην) στάδιοι ρν', μίλια κ', ᾗ πάλαι ᾤκει ἔθνος Σκυθικόν, οὗ μνήμην ποιεῖται ὁ λογοποιὸς Ἡρόδοτος· καὶ λέγει τούτους εἶναι τοὺς φθειροτρωκτέοντας· καὶ γὰρ εἰς τοῦτο τι ἡ δόξα ἡ αὐτὴ ὑπὲρ αὐτῶν κατέχει.

воротили мы въ лѣвую сторону Понта до рѣки Иппа. Отъ рѣки же Иппа до Астелефа и Діоскуріады мы уже явно плыли вдоль лѣвой стороны Понта, и плаваніе наше направлялось къ солнечному закату. Когда мы поворачивали отъ Астелефа на Діоскуріаду, то увидѣли гору Кавказъ, по высотѣ ближе всего *подходящую* къ Кельтическимъ Альпамъ. И показывалась *намъ* одна вершина Кавказа — имя вершины Стровилъ, — гдѣ, по миѳическимъ сказаніямъ, Промиѳей былъ повѣшенъ Ифэстомъ по приказанію Зевса.

53. Таковъ путь плывущихъ отъ Византіи вправо до Діоскуріады, каковая крѣпость служитъ предѣломъ Римскаго владычества [на правой сторонѣ] отъ входа въ Понтъ. Когда же я получилъ извѣстіе о смерти Котиса, царя такъ называемаго Воспора Киммерійскаго, то позаботился описать тебѣ и морской путь до Воспора, для того чтобы тебѣ, *съ случаѣ* если ты задумаешь что-либо на счетъ Воспора, возможно было обсудить дѣло на основаніи подробныхъ свѣдѣній и объ этомъ пути.

54. Исполняя *это*, я изложу остальное такъ. Если отправиться изъ Діоскуріады — Севастополя, первая стоянка можетъ быть въ Питіунтѣ; отъ Севастополя, гдѣ стоянка кораблямъ, 350 ст., $46^2/_3$ миль.

55. До этого *мѣста* простирается Понтійское царство варваровъ въ Тиваринiи, Санникѣ и Колхидѣ, а сосѣднія области принадлежатъ автономнымъ варварамъ.

56. Отъ Питіунта до области Стеннитики (нѣкогда называвшейся Триглитомъ) 150 ст., 20 миль; въ ней прежде жилъ скиѳскій народъ, о которомъ упоминаетъ историкъ Иродотъ: онъ говоритъ, что они ѣдятъ вшей; и въ самомъ дѣлѣ, та же самая молва про нихъ идетъ еще и въ настоя-

---

V. 2: τὴν om. cod., add. M. || V. 5: de verbis καταφανῶς ἤδη — Διοσκουριάδα cf. quae diximus supra p. 223 ad Arr. § 16. || V. 7: πρὸς ἡλίου δυομένου cod., emend. M. || V. 15: «Τὰ μὲν οὖν ἀπὸ codex, qui deinde ἐν ᾧπερ στρατοπέδῳ τελ. Ῥ. ἡ ἐπικράτεια εἰσπλεόντων νῦν τὸν Πόντον». M.|| V. 20: Κότταν cod., em. M.||V. 23: βουλεύεις et v. 25: βουλεύεσθαι cod., em. M. || § 55 versus ita efficere conatur Müllerus:

Μέχρις δὲ τούτου Ποντικὴ τῶν βαρβάρων
ἔστι βασιλεία κατά τε Τιβαρανίαν
καὶ Σαννικὴν καὶ Κολχικήν, τὰ δ' ἐχόμενα
αὐτόνομοι ἔχουσι βάρβαροι.

V. 36 sq. Arriani codex habet ἐνθένδε εἰς τὴν Νιτικὴν στάδια ρν', ἵναπερ πάλαι ᾤκει... Ἐκ τῆς Νιτικῆς. Illud εἰς Στεννιτικὴν ex εἰς τὴν Νιτικὴν ortum esse recte putat M.

Fontes: § 53 ex Arr. § 26; § 54 ex eodem, § 27; § 55 e perieg. iambica; § 56 ex Arr. § 27.

Digitized by Google

Ἀπὸ δὲ Στεννιτικῆς εἰς Ἄβασκον ποταμὸν στάδιοι ϛ′, μίλια ιβ′. Ἀπὸ δὲ Ἀβάσκου ποταμοῦ εἰς Βρούχοντα ποταμὸν (τὸν νῦν λεγόμενον Μίζυγον) στάδιοι ρκ′, μίλια ις′. Ἀπὸ δὲ τοῦ Βρούχοντος εἰς Νῆσιν ποταμὸν, ἐν ᾧ καὶ Ἡράκλειαν ἄκραν ἔχεις (τὴν λεγομένην Πυξίτην) στάδιοι ξ′, μίλια η′. Ἀπὸ δὲ Νήσιος ποταμοῦ εἰς Μασαιτικὴν ποταμὸν στάδιοι ϛ′, μίλια ιβ′. Ἀπὸ δὲ Μασαιτικοῦ ποταμοῦ εἰς Ἀχαιοῦντα ποταμὸν (ἐν ᾧ εἴσπλους πορθμίοις) στάδιοι ξ′, μίλια η′. Οὗτος ὁ ποταμὸς Ἀχαιοῦς (λέγεται Βάσις καὶ) διορίζει Ζιχοὺς καὶ Σάνιχας. Ζιχῶν δὲ βασιλεὺς Σταχέμφλας· καὶ οὗτος τὴν βασιλείαν παρὰ σοῦ ἔχει.

57 (16). Ἀπὸ οὖν Ἀχαιοῦντος ποταμοῦ ἕως Ἀβάσκου ποταμοῦ Σάνιχες οἰκοῦσιν.

58 (17). Ἀπὸ δὲ Ἀχαιοῦντος ποταμοῦ εἰς Ἡράκλειον ἀκρωτήριον (τὸ νῦν λεγόμενον τὰ Ἕρημα) στάδιοι ρν′, μίλια κ′. (Ἀπὸ δὲ Ἡρακλείου ἀκρωτηρίου ἐπ᾽ ἄκραν, ἐν ᾗ καὶ νῦν λέγεται τὰ Βαγᾶ κάστρον, στάδιοι ι′, μίλια α′, γ′). Ἀπὸ δὲ [ταύτης τῆς ἄκρας] ἐπ᾽ ἄκραν ἐν ᾗ σκέπη ἐστὶν ἀνέμου Θρασκίου καὶ βορρᾶ (ἐν ᾗ νῦν λέγεται Λαιά) στάδιοι π′, μίλια ι′ ⌊′ ς′. Ἀπὸ δὲ Λαιᾶς εἰς τὴν λεγομένην Παλαιὰν Λαζικὴν (ἐν ᾗ ἵδρυται ἡ νῦν λεγομένη Νίκοψις, ἧς πλησίον ποταμὸς ὁ νῦν λεγόμενος Ψάχαψις) στάδιοι ρκ′, μίλια ις′. Ἀπὸ δὲ τῆς Παλαιᾶς Λαζικῆς εἰς τὴν Παλαιὰν Ἀχαΐαν (ἐν ᾗ καὶ ποταμὸς ὁ νῦν λεγόμενος Τόψιδας) στάδιοι ρν′, μίλια κ′.

59 (18). Ἀπὸ οὖν Παλαιᾶς Ἀχαΐας ἕως τῆς Παλαιᾶς Λαζικῆς καὶ ἐπέκεινα ἕως Ἀχαιοῦντος ποταμοῦ πρώην ᾤκουν ἔθνη οἱ λεγόμενοι Ἡνίοχοι, Κοραξοὶ καὶ Κωλικοί, Μελάγχλαινοι, Μαχέλωνες, Κόλχοι καὶ Λαζοί, νῦν δὲ οἰκοῦσι Ζιχοί.

60 (19). Ἀπὸ δὲ τῆς Παλαιᾶς Ἀχαΐας εἰς Πάγρας λιμένα (τὸν νῦν λεγόμενον Ἑπτάλου λιμένα) στάδιοι τν′, μίλια μς, ⌊′, ς′.

щее время. Отъ Степнитики до р. Аваска 90 ст., 12 миль. Отъ р. Аваска до р. Врухонта (нынѣ называемой Мизигомъ) 120 ст., 16 миль. Отъ Врухонта до р. Нисія, въ которомъ имѣешь и Ираклійскій мысъ (называемый Пикситомъ), 60 ст., 8 миль. Отъ р. Нисія до р. Масэтика 90 ст., 12 миль. Отъ р. Масэтика до р. Ахэунта (которая доступна для судовъ) 60 ст., 8 миль. Эта рѣка Ахэунтъ (называется Васій и) отдѣляетъ Зиховъ отъ Саниховъ. У Зиховъ царь Стахемфласъ; и онъ получилъ престолъ отъ тебя.

57. Итакъ отъ р. Ахэунта до р. Аваска живутъ Санихи.

58. Отъ р. Ахэунта до Ираклійскаго мыса (нынѣ называемаго Пустыннымъ) 150 ст., 20 миль. (Отъ Ираклійскаго мыса до мыса, на которомъ и теперь *находится* укрѣпленіе, называемое Вага, 10 ст., $1^1/_3$ м.). Отъ этого мыса до мыса, у котораго есть защита отъ вѣтра Θраскія и Борея (гдѣ нынѣ находится такъ называемая Лѣвая), 80 ст., $10^2/_3$ миль. Отъ Лѣвой до такъ называемой Старой Лазики (въ которой находится такъ называемая нынѣ Никопсія, близъ которой рѣка, нынѣ называемая Псахапсій) 120 ст., 16 миль. Отъ Старой Лазики до Старой Ахэи (въ которой и рѣка, нынѣ называемая Топсида) 150 ст., 20 миль.

59. Итакъ отъ Старой Ахэи до Старой Лазики и затѣмъ до р. Ахэунта прежде жили народы, носившіе имена: Иніохи, Кораксы, Колики, Меланхлэны, Махелоны, Колхи и Лазы, а нынѣ живутъ Зихи.

60. Отъ Старой Ахэи до гавани Пагры (нынѣ называемой гаванью Епталя) 350 ст., $46^2/_3$ миль.

V. 4: «Μίζυγον] Μίζυτον? Hodie *Misymta*. Ceterum codex habet εἰς Μίζυγον ποταμὸν τὸν νῦν λεγόμενον Βρούχοντα». M. Arrianus hoc flumen dicit Βόργυν, Ptolemaeus Βούρχαν.|| V. 6: «Ἡρ. ἄ. ἔχει codex Anonymi et Arriani, apud quem de coniectura dederam Ἡράκλειος ἄκρα ἀνέχει». M.|| V. 7: Πυξῖτιν conj. M. || V. 8: Μασετικὴν et mox Μασετικοῦ cod. Sequens vox ποταμὸν deest in Arriani codice.|| V. 11: quae uncis inclusa sunt, Arr. non habet. || V. 14: Σταχεμφλας sine accentu cod., Σταχέμφαξ Arrianus. || V. 21: Huius prom. non meminit Arrianus. || V. 23: ἀπὸ δὲ ἐπ᾽ ἄκρας ἐν ᾧ σκέπη codex, em. M. || V. 26: «Arrianus a Heracleo prom. ad Laeae prom. computat 180 stadia, idque recte habet; Anonymus ex eodem compnto notare debebat st. 170 (180—10), sed nescio qua negligentia nonnisi 80 exhibet; haud subesse scribae errorem ex collecta § 27 stadiorum summa colligitur». M. || V. 27 sq. quae uncis inclusa sunt, non habet Arrianus. Νικόψεως meminit Const. Porphyrog. De adm. imp. 42. «Ψάχαψις (Χάψαχις?) fluvius, quem Nicopsi vicinum esse Anon. dicit, in tabulis nostris *Chapsouco* vocatur». M. || V. 36: Κωλικοί] Κορικοί cod., em. M. || V. 41: μη′, ϛ′ cod., em. M.

Fontes: § 57 e Menippo, § 58 ex Arr. § 28, § 59 e Menippo, § 60 ex Arr. § 28.

Digitized by Google

61 (20). Ἀπὸ οὖν Πάγρας λιμένος ἕως τῆς παλαιᾶς Ἀχαΐας πρώην ᾤκουν οἱ λεγόμενοι Ἀχαιοί, νῦν δὲ οἰκοῦσι Ζιχοί.

62 (21). Ἀπὸ δὲ Ἑπτάλου λιμένος εἰς τὸν Ἱερὸν λιμένα (τὸν νῦν λεγόμενον Ἱερίου ἤτοι τὸ Νίκαξιν) στάδιοι ρπ΄, μίλια κδ΄. Ἀπὸ δὲ Ἱεροῦ λιμένος ἤτοι Νίκαξιν εἰς Σινδικὴν (ἤτοι Σινδικὸν λιμένα, νῦν δὲ λεγόμενον Εὐδουσίαν) στάδια σϚ΄, μίλια μ΄.

63 (22). Ἀπὸ οὖν Σινδικοῦ λιμένος ἕως Πάγρας λιμένος πρώην ᾤκουν ἔθνη οἱ λεγόμενοι Κερκέται ἤτοι Τορίται, νῦν δὲ οἰκοῦσιν Εὐδουσιανοὶ λεγόμενοι, τῇ Γοτθικῇ καὶ Ταυρικῇ χρώμενοι γλώττῃ.

64 (23). Ἀπὸ δὲ Σινδικοῦ λιμένος ἐκδέχεται κώμη Κορακονδάμη λεγομένη, ἐπὶ ἰσθμοῦ ἤτοι στενοῦ τῆς λίμνης καὶ τῆς θαλάσσης κειμένη. Μεθ' ἣν ἡ Κορακονδαμῖτίς ἐστι λίμνη ἡ νῦν λεγομένη Ὀπισσᾶς, κόλπον εὐμεγέθη ποιοῦσα, σταδίων χλ΄, μιλίων πδ΄. Εἰσπλεύσαντι δὲ εἰς αὐτὴν τὴν λίμνην καὶ περιπλεύσαντι εἰς Ἑρμώνασσαν πόλιν στάδια υμ΄, μίλια νη΄, Ⅼ΄, ς΄.

65 (24). Ἀπὸ οὖν Ἑρμωνάσσης ἕως τοῦ Σινδικοῦ λιμένος παροικοῦσι Μαιῶτίν τινες Σίνδοι λεγόμενοι ἔθνος, ἐφ' οἷς λέγεται Σινδική. Οὗτοι οἱ Σίνδοι βάρβαροι μέν εἰσι, τοῖς δὲ ἤθεσιν ἥμεροι. Ἀπὸ δὲ τῶν Σίνδων εἰσὶ Κερκέται οἱ λεγόμενοι Τορίται, δίκαιον καὶ ἐπιεικὲς ἔθνος καὶ ναυτικὸν μάλιστα. Ἀπὸ δὲ Κερκετῶν ὅμορον τούτων ἔχουσι γῆν Ἀχαιοί, οὓς δὴ λέγουσιν ὄντας Ἕλληνας γένει καλεῖσθαι Ἀχαιοὺς ἐκβεβαρβαρωμένους· τῶν Ὀρχομενίων γάρ φασι λαόν ποτε τὸν Ἰαλμένου μηνύεσθαι παντὶ τῷ στόλῳ ἐξ Ἰλίου πλέοντι ὑπὸ τῶν πνευμάτων τοῦ Τανάϊδος ἀνέμου ἄκοντας εἰς τὴν Ποντικὴν

61. Отъ гавани Пагры до Старой Ахэи прежде жили *такъ* называемые Ахэйцы, а нынѣ живутъ Зихи.

62. Отъ гавани Епгала до гавани Святой (нынѣ называемой *Іавань* Іерія или Никаксинъ) 180 ст., 24 мили. Отъ Святой гавани или Никаксинъ до Синдики (или Синдской гавани, нынѣ называемой Евдусіею) 290 ст., 40 миль.

63. Итакъ отъ Синдской гавани до гавани Пагры прежде жили народы, называвшіеся Керкеты или Ториты, а нынѣ живутъ *такъ* называемые Евдусіаны, говорящіе на готескомъ или таврскомъ языкѣ.

64. За Синдскою гаванью слѣдуетъ селеніе, называемое Корокондама, лежащее на перешейкѣ или узкой *полосѣ* между озеромъ и моремъ. За нею находится Корокондамское озеро, нынѣ называемое Опискасъ, образующее очень большой заливъ въ 630 ст., 84 мили. Если въѣхать въ самое озеро и плыть вокругъ *берега* въ городъ Ермонассу, *то будетъ* 440 ст., 58$^{2}/_{3}$ миль.

65. Итакъ отъ Ермонассы до Синдской гавани вдоль Меотиды живетъ нѣкій народъ, называемый Синдами, отъ которыхъ *страна эта* называется Синдикой. Эти Синды—варвары, но нравами кротки. За Синдами живутъ Керкеты, называемые *такоже* Торитами, народъ справедливый, добрый и весьма опытный въ мореходствѣ. Отъ Керкетовъ пограничную съ ними область занимаютъ Ахэйцы, которые, какъ говорятъ, будучи Эллинами по происхожденію, называются Ахэйцами съ тѣхъ поръ, какъ приняли варварскій образъ жизни. Именно, говорятъ, есть преданіе, что нѣкогда Ор-

V. 6: «στάδιοι ρπ΄] sic Arrianus, ρν΄ codex. Stadiorum numerum 180 postulant 24 m. p. Similiter in seqq. habes στάδιοι σϚ΄ (290), dum millia 40 efficiunt 300 stadia, quot habet etiam Arrianus. Anonymus complures fontes ob oculos habens diversos computus miscuisse videtur; nam a scribae errore istud σϚ΄ repetere vix licet». M. || V. 9: «Fort. Εὐλουσίαν vel Εὐλυσίαν legendum est ex Procopio B. G. 4, 4 p. 474... Verba ἤτοι Σινδικὸν λιμένα non habet Arrianus, recte tamen addidit Anonymus». M. || V. 12: «Τορίται] Sic etiam § 24. Apud Arrianum aliosque dicuntur Τορέται, ap. Strab. p. 495 Τορεᾶται». M.||V. 22: «περιπλεύσαντι] Malim παραπλεύσαντι. Dein Ἑρμωνασαν codex». M. || V. 28: ἔθνεσι cod., em. M. || V. 37: «Cf. Procop. B. G. 4, 4, p. 475, 1: τὸν ἄνεμον ὃς ἐνθένδε πνεῖ, Τανᾶϊτην προσαγορεύουσι». M. Idem versus recomponere hunc in modum conatus est:

Εἶτεν μεθ' Ἑρμώνασσαν ἄχρι τοῦ Σινδικοῦ
λιμένος ἔτι παροικοῦσι Μαιῶτίν τινες
Σίνδοι λεγόμενοι, ἐφ' οἷς καλεῖται Σινδική·
οἳ βάρβαροι μέν εἰσιν, ἤθεσι δ' ἥμεροι.
Ἐντεῦθέν εἰσι Κερκέται Τορετῶν [τ'?] ἔθνος
δίκαιον καὶ ἐπιεικὲς καὶ μᾶλα ναυτικόν.
Ὅμορον δὲ Κερκετῶν Ἀχαιοὶ ἔχουσι γῆν,
οὓς δὴ λέγουσιν ὄντας Ἕλληνας γένει
καλεῖσθ' Ἀχαιοὺς ἐκβεβαρβαρωμένους·
τὸν Ὀρχομενίων γάρ φασιν λαόν ποτε
τὸν Ἰαλμένου μηνύεσθαι παντὶ στόλῳ
ἐξ Ἰλίου πλέοντας ὑπὸ τῶν πνευμάτων
Τανάϊδος οὐχ ἑκόντας εἰς τὴν Ποντικὴν
καὶ βάρβαρον χώραν κατελθεῖν· διότι δὴ
ἀπεξενωμένους φασὶν καὶ παρανόμους
ἤθεσι, μάλισθ' Ἕλλησι δυσμενεστάτους·
πολλοὶ δὲ καὶ τοῖς Κερκέταις ἐναντίοι.

Fontes: § 61 e Menippo, § 62 ex Arr. § 28, § 63 e Menippo, § 64 fortasse ex eodem, § 65 e perieg. iambica.

Digitized by Google

9. Οὐ πρὸ πολλοῦ δὲ τῶν τοῦ Ῥήνου πηγῶν τὰς ἀρχὰς ἔχων ὁ Ἴστρος, ὃν μέχρι Νοουιοδούνου πόλεως Δάνουβιν καλοῦσιν, ὁρίζει τὴν Γερμανίαν πρὸς τὰ ὑποκείμενα ἔθνη...

10. Τῆς Γερμανίας μετὰ τὸν Οὐϊστούλαν ποταμὸν ἔχεται Σαρματία, ἀναλαμβάνουσα πολλὴν γῆν καὶ πολλὰ ἔθνη καὶ τῆς ἑτέρας ἠπείρου μένουσα δέ πως ἀποτερματίζεται παρὰ Εὐρώπῃ λίμνῃ τῇ Μαιώτιδι· εἶτα μετὰ τὸν ἰσθμὸν τῆς Ταυρικῆς χερσονήσου (αὕτη δὲ ἔκκειται πορθμὸν πρὸς τὴν Ἀσίαν ποιοῦσα τὸν καλούμενον Κιμμέριον Βόσπορον) ἀπολαμβάνει τοῦ Πόντου τὰ μέχρι Βορυσθένους ποταμοῦ.

11. Καὶ ἔστιν ὑπὸ μὲν τὰ δυτικώτατα τῆς Σαρματίας ἐπὶ νότον κατιοῦσα μετὰ τοὺς Ἰάζυγας τοὺς Μετανάστας ἡ Δακία, ὁριζομένη τῷ Ἴστρῳ, ὑπὸ δὲ τὰ λοιπὰ καὶ πρὸς ἀνατολὰς ὑποβέβληται ἡ κάτω Μυσία· ἐπιλαμβάνει δὲ καὶ αὕτη συχνόν τι καὶ τῆς ὑπὲρ τὸν Ἴστρον χώρας, τήν τε παράλιον κατέχει πᾶσαν ὅση ἐστὶν ἀπὸ Βορυσθένους ἐπὶ Μεσημβρίαν πόλιν.

IV. Овъ европейскихъ народахъ.

9. Истръ, берущій начало неподалеку отъ истоковъ Рейна и до города Новіодуна называемый Дунаемъ, отдѣляетъ Германію отъ народовъ, живущихъ ниже...

10. Къ Германіи за рѣкой Вистулой прилежитъ Сарматія, обнимающая большую область и многія племена и другого материка... ограничивается въ Европѣ Меотійскимъ озеромъ. Затѣмъ, за перешейкомъ Таврическаго полуострова (который выступаетъ, образуя съ Азіею проливъ, называемый Киммерійскимъ Воспоромъ), *она* захватываетъ часть Понта до рѣки Борисѳена.

11. Подъ самой западной частью Сарматіи находится Дакія, спускающаяся къ югу за Язигами-Метанастами *и* ограничиваемая Истромъ, а ниже остальныхъ частей къ востоку лежитъ Нижняя Мезія; она также захватываетъ и значительную часть страны, *лежащей* выше Истра, и обнимаетъ все побережье отъ Борисѳена до города Месимвріи.

VI. Περὶ τῶν κατὰ τὴν Ἀσίαν ἐθνῶν.

19. Τὰ δὲ ἐν τῇ Ἀσίᾳ ἔθνη ἔχει οὕτως. Μετὰ γὰρ τὸν ἰσθμὸν καὶ τὸν Τάναϊν ἐπεκταθεῖσα τὸν εἰρημένον τρόπον ἡ Σαρματία περατοῦται μὲν ὑπὸ μεσημβρινοῦ τοῦ δίχα τέμνοντος τὸ μῆκος τῆς Κασπίας θαλάσσης, ἐκπεριελθοῦσα δὲ μετὰ ταῦτα τῆς Μαιώτιδος καὶ τοῦ Πόντου τὰ μέχρι τοῦ μυχοῦ, διὰ τῆς μεσογαίας ἐπὶ τὴν Κασπίαν ἀφικνεῖται. Ταύτης δὲ ἔχεται πρὸς ἀνατολὰς ἡ Σκυθία· αὕτη δὲ περὶ μὲν τὰς ἀρχὰς οὐ σφόδρα πλατύνεται, περὶ δὲ τὰς ἀνατολὰς καὶ πάνυ· ὀλίγου γὰρ δεῖν συνάπτει τῇ Ἰνδικῇ. Μετὰ δὲ τὴν σύμπασαν Σκυθίαν ἐστὶν ἡ Σηρική, τὸ ἀνατολικώτατον ἀποτερματίζουσα τῆς ἐγνωσμένης.

20. Ὑπόκειται δὲ τῇ Σαρματίᾳ πρὸς μὲν τῷ Πόντῳ ἡ Κολχική, πρὸς δὲ τῇ Κασπίᾳ ἡ Ἀλβανία, ἧς μεταξὺ κεῖται ἡ Ἰβηρία...

21. Πάλιν δὲ τῇ μὲν Ἰβηρίᾳ καὶ μέρει τῆς Ἀλβανίας ὑπόκειται ἡ Ἀρμενία...

VI. О народахъ азіатскихъ.

19. Въ Азіи народы таковы. Сарматія, разстилающаяся *вышесказаннымъ* образомъ за перешейкомъ и Танаидомъ, ограничивается меридіаномъ, разсѣкающимъ на двое длину Каспійскаго моря, затѣмъ, обойдя *побережья* Меотиды и Понта до отдаленнѣйшаго угла, по срединѣ материка доходитъ до Каспія. За нею къ востоку лежитъ Скиѳія; она въ началѣ не очень расширяется, а на востокѣ — чрезвычайно: она почти соприкасается съ Индіей. За всею Скиѳіей находится Сирика, составляющая самый восточный предѣлъ извѣстной *земли*.

20. Ниже Сарматіи у Понта лежитъ Колхика, а у Каспія — Албанія, а между этими *областями* лежитъ Иверія...

21. Далѣе, ниже Иверіи и части Албаніи лежитъ Арменія...

V. 3: Νοουιοδούνου ex conj. posuit Müller: μέχρις οὐδούνου codd., μέχρις Οὐινδοβόνης edd.|| V. 9: locus corruptus; v. quae adnotavit Müller.

Digitized by Google

IX. Περὶ ὀρῶν μεγίστων.

28. Ἔστι δὲ καὶ τῶν ὀρῶν μέγιστα, ἐν μὲν τῇ Ἀσίᾳ ὅ τ' Ἰμάιος καὶ τὰ Ἡμωδὰ καὶ τὰ Καυκάσια· ταῦτα δὲ καὶ τὰ Ῥιπαιά φασι παρὰ πάντα ὑψηλότατα εἶναι... Ἐν δὲ τῇ Εὐρώπῃ μέγιστά φασιν εἶναι τὰ Σαρματικὰ καὶ τὰ Ἄλπεια, εἴ τις αὐτὰ κατὰ συνάφειαν λαμβάνοι...

IX. О величайшихъ горахъ.

28. Величайшія изъ горъ въ Азіи — Имай, Имодскія и Кавказскія; эти и Рипэйскія, говорятъ, выше всѣхъ *прочихъ горъ*... Въ Европѣ величайшія *горы*, говорятъ, Сарматскія и Альпійскія, если взять ихъ въ связи...

X. Περὶ ποταμῶν μεγίστων.

29. ...Τῶν δὲ λοιπῶν κατὰ τὴν Ἀσίαν ποταμῶν ἐμβαλλόντων τε εἰς διαφόρους θαλάσσας Ἰαξάρτης μὲν καὶ Ὦξος καὶ Ῥύμμος καὶ Ῥᾶς καὶ Κῦρος καὶ Ἀράξης εἰς τὴν Κασπίαν ἵενται θάλασσαν, Φᾶσις δὲ καὶ Θερμώδων καὶ Σάγγαρις εἰς τὸν Πόντον. Οὗτοι δὲ σχεδόν τι περὶ τοὺς αὐτοὺς τόπους τὰς ἐκβολὰς ἔχουσι ταῖς πηγαῖς.

X. О величайшихъ рѣкахъ.

29. ... Изъ остальныхъ азіатскихъ рѣкъ, впадающихъ въ разныя моря, Іаксартъ, Оксъ, Римъ, Ра, Киръ и Араксъ изливаются въ Каспійское море, а Фасидъ, Θермодонтъ и Сангарій — въ Понтъ. Онѣ имѣютъ устья почти въ тѣхъ же мѣстахъ, гдѣ и истоки.

30. Τῶν δὲ ἐν τῇ Εὐρώπῃ πρωτεύοι μὲν ἂν εἰκότως ὁ Ἴστρος, ὃς φερόμενος ἀπὸ τῶν πρὸς δύσιν τόπων τοσαῦτά τε διερχόμενος ἔθνη καὶ τόπους ἐκδίδωσιν εἰς τὸν Πόντον· ἐξῆς δὲ μέγιστοι Βορυσθένης, Οὐϊστούλας, Τάναϊς, Ῥῆνος...

30. Изъ европейскихъ *рѣкъ* первое мѣсто по справедливости можетъ занять Истръ, который, вытекая изъ западныхъ странъ и проходя столько племенъ и областей, впадаетъ въ Понтъ. Затѣмъ самыя большія *рѣки*: Борисѳенъ, Вистула, Танаидъ и Рейнъ...

XIII. Περὶ μήκους καὶ πλάτους τῆς ὅλης οἰκουμένης.

39. ...Τὸ πλάτος [τῆς οἰκουμένης] ἐπὶ μεσημβρινοῦ γραφομένου διὰ τῶν Ἱππικῶν τῆς Σαρματίας ὀρῶν, στάδια τρισμύρια δισχίλια φ', ἤτοι μιλίων χιλιάδες ,δ καὶ τλγ'.

XIII. О длинѣ и ширинѣ всей населенной земли.

39. ...Ширина [населенной *земли*] по меридіану, проводимому чрезъ Иппійскія горы Сарматіи, 32500 стадій или 4333 мили.

XIV. Περὶ μήκους καὶ πλάτους τῶν κατὰ τὴν οἰκουμένην θαλασσῶν.

41. Τοῦ δὲ Πόντου ἀπὸ Τόμων ἐπὶ τὰς τοῦ Φάσιδος ἐκβολὰς μῆκος μὲν στάδια ,ς[σ]' μίλια ωκς', πλάτος δὲ τὸ ἀπὸ Φαναγορίας τῆς ἐν Βοσπόρῳ ἐπὶ τὰς τοῦ Ἅλυος ἐκβολάς, ἥπερ καὶ πλατύτατός ἐστιν ὁ Πόντος, στάδια ,βυ', μίλια τκ'.

42. Ἔστι δὲ τῆς Κασπίας θαλάσσης μῆκος μὲν τὸ ἀπὸ τῶν τοῦ Κύρου ἐκβολῶν, ὃς κάτεισιν ἀπὸ τῆς Ἀρμενίας, ἐπὶ τὰς τοῦ Ἰαξάρτου ἐκβολὰς σταδίων ,ησ', ἤτοι μιλίων αϛδ', πλάτος δὲ πλεῖστον σταδίων ,βφ', μιλίων δὲ τλδ'.

XIV. О длинѣ и ширинѣ морей на землѣ.

41. Длина Понта отъ Томъ до устья Фасида 6200 ст. *или* 826 миль, а ширина отъ Фанагоріи на Воспорѣ до устья Алія, гдѣ Понтъ наиболѣе широкъ, 2500 ст. *или* 320 миль.

42. Длина Каспійскаго моря отъ устьевъ Кира, который вытекаетъ изъ Арменіи, до устьевъ Іаксарта 8200 ст. *или* 1094 мили, а наибольшая ширина 2500 ст. *или* 334 мили.

45. Αὕτη δὲ ἡ μεγάλη θάλασσα, ἡ τὴν ὅλην οἰκουμένην περιρρέουσα κοινῷ μὲν ὀνόματι ὠκεανὸς καλεῖται, κατὰ κλίματα δὲ διαφόρους ἔχει ἐπωνυμίας. Ὁ μὲν γὰρ

45. Это великое море, обтекающее всю землю, носитъ общее имя океана, но по частямъ имѣетъ разныя наименованія. Именно, весь *океанъ*, *находящійся* на сѣ-

Digitized by Google

ὑπὸ ταῖς ἄρκτοις πᾶς μὲν ἀρκτικὸς καὶ βόρειος λέγεται, ἤδη δὲ αὐτοῦ τὸ μὲν ἀνατολικώτερον Σκυθικὸς ὠκεανός, τὸ δὲ δυτικώτερον Γερμανικός τε καὶ Βρεττανικὸς καλεῖται· ὁ δὲ αὐτὸς οὗτος σύμπας καὶ Κρόνιον πέλαγος καὶ Πεπηγὼς καὶ Νεκρὸς ἐπωνομάζεται...

46. Ἡ δ' ὑπὸ τούτων περιρρεομένη γῆ τριχῆ νενέμηται ὑπὸ τῶν ἄριστα τὴν οἰκουμένην διελόντων, εἰς τε τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν καὶ τὴν Λιβύην. Ὅροι δὲ... τῆς δ' Ἀσίας... πρὸς δὲ τὴν Εὐρώπην ὁ Τάναϊς ποταμὸς εἰς τὴν Μαιῶτιν ἐμβάλλων λίμνην· ἡ δὲ εἰς τὸν Εὔξεινον ἐκφέρεται Πόντον... Ἔνιοι δὲ τὰς προκειμένας ἠπείρους ἰσθμοῖς διορίζουσιν, ἀπὸ μὲν τῆς Ἀσίας τὴν Εὐρώπην τῷ μεταξὺ Κασπίας θαλάσσης καὶ τοῦ Πόντου...

51. ...Μετὰ δὲ τὴν Προποντίδα εἰς τετραστάδιον αὖθις στενοῦται καὶ [τὸ] στόμα τοῦ Πόντου, ὃ καλεῖται Βόσπορος Θρᾴκιος. Ἐντεῦθεν δὲ ἤδη ὁ Πόντος αὐτὸς ἀνοίγεται διθάλασσος ὢν τρόπῳ τινί· κατὰ μέσον γὰρ αὐτοῦ δύο ἀνέχουσιν ἄκραι, ἀλλήλων ἀπέχουσαι δισχιλίους που καὶ φ' σταδίους, ὧν ἡ μὲν ἀπὸ τῆς Ἀσίας ἐπ' ἄρκτους ἀνατείνουσα καλεῖται Κάραμβις, ἡ δὲ ἀπὸ τῆς Εὐρώπης πρὸς νότον Κριοῦ μέτωπον προσαγορεύεται.

52. Καὶ τὰ μὲν ἀριστερὰ τοῦ Πόντου, ἅπερ ἐστὶ πρὸς ἑσπέραν, μῆκος μὲν ἔχει ἀπὸ Βυζαντίου μέχρι τῶν ἐκβολῶν Βορυσθένους σταδίων ,γω, μιλίων δὲ [φζ'], πλάτος δὲ ,β· τὸ δὲ ἑῷον μέρος, ὅπερ ἐστὶ καὶ δεξιὸν τοῖς εἰσπλέουσι, μῆκος ἔχει ,ε ἢ μικρῷ πλέον ἀπὸ τοῦ στόματος ἐπὶ τὸν κατὰ Διοσκουριάδα μυχόν, πλάτος δὲ ,γ.

53. Ἡ δὲ περίμετρος τοῦ σύμπαντος Πόντου δισμύρια ἐστι καὶ ,ε, ἐοικυῖα Σκυθικῷ τόξῳ. Τὰ μὲν γὰρ δεξιὰ τῇ νευρᾷ παρομοιοῦσι, πάντοθεν γάρ ἐστιν ἰθυτενὴς πλὴν τῆς ἀνεχούσης Καράμβεως, τὸ δὲ λοιπὸν πᾶν τῷ κέρατι τοῦ τόξου διττὴν ἔχοντι τὴν ἐπιστροφήν, ὥστε δύο κόλπους συνίστασθαι, ὧν ὁ ἑσπέριος κατὰ πολὺ περιφερέστερος ὑπάρχει τοῦ ἑῳθινωτέρου. Τούτου δὲ πρὸς ἄρκτον ἡ Μαιῶτις ὑπέρκειται λίμνη, τὴν περίμετρον ,θ οὖσα σταδίων, ἥς τὸ στόμα Κιμμερικὸς καλεῖται Βόσπορος. Ἡ μὲν δὴ καθ' ἡμᾶς θάλασσα τοιαύτη.

верѣ, называется арктическимъ или сѣвернымъ, а въ немъ болѣе восточная *часть* — Скиѳскимъ океаномъ, а западная — Германскимъ и Бретанскимъ; этотъ самый *океанъ* въ совокупности называется и Кронійскимъ моремъ, и Ледовитымъ, и Мертвымъ...

46. Омываемая этими *океанами* земля раздѣляется на три части *писателями*, лучше всего раздѣлившими вселенную, *именно* на Европу, Азію и Ливію. Границы... Азіи... съ Европой — рѣка Танаидъ, впадающая въ Мэотійское озеро, которое, *въ свою очередь*, изливается въ Евксинскій Понтъ... Нѣкоторые же раздѣляютъ вышеназванные материки перешейками, *именно* Европу отъ Азіи — *находящимся* между Каспійскимъ моремъ и Понтомъ...

51. ... За Пропонтидой снова сужнвается до 4-хъ стадій и устье Понта, которое называется Воспоромъ Ѳракійскимъ. Отсюда уже открывается самый Понтъ, состоящій нѣкоторымъ образомъ изъ двухъ морей: ибо по срединѣ его выступаютъ два мыса, отстоящіе другъ отъ друга приблизительно на 2500 ст., изъ коихъ выступающій со *стороны* Азіи къ сѣверу называется Карамвіей, а *выступающій* со *стороны* Европы къ югу именуется Бараньимъ Лбомъ.

52. И лѣвая сторона Понта, т. е. западная, имѣетъ въ длину отъ Византіи до устья Борисѳена 3800 стадій *или* [507] миль, а въ ширину 2000; восточная же часть, которая находится направо для въѣзжающихъ, имѣетъ въ длину 5000 или немного больше отъ устья до отдаленнѣйшаго угла у Діоскуріады, а въ ширину 3000.

53. Окружность всего Понта имѣетъ 25000 ст. и похожа на скиѳскій лукъ: правую сторону уподобляютъ тетивѣ, ибо *она* повсюду прямолинейна, кромѣ выступающей Карамвіи, а все остальное — рогу лука, имѣющему двойной изгибъ, такъ что образуются два залива, изъ коихъ западный гораздо круглѣе восточнаго. Выше *Понта* къ сѣверу лежитъ Мэотійское озеро, имѣющее въ окружности 9000 стадій, устье котораго называется Киммерійскимъ Воспоромъ. Таково наше море.

Конецъ 1-й части.

Напечатано по распоряженію Императорскаго Русскаго Археологическаго Общества.
Секретарь *В. Дружининъ.*

Типографія Императорской Академіи Наукъ. В. О., 9 л., № 12.

Digitized by Google

ЧАСТЬ II.

Извѣстія и замѣтки краткія, случайныя или относящіяся къ отдѣльнымъ мѣстностямъ, событіямъ или лицамъ.

Digitized by Google

Digitized by Google

ΟΜΗΡΟΣ. ОМИРЪ.

[Время возникновенія Омировскихъ поэмъ слѣдуетъ отнести къ IX в. до Р. Хр. — Текстъ: Homeri Ilias, ed. A. Nauck, Berol. 1877; Homeri Odyssea, ed. A. Nauck, Berol. 1877].

Переводъ В. Л. [1])

ΙΛΙΑΣ. ИЛІАДА.

XIII, 1—7.

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν,
τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀιζὺν
νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ,
νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν
Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν
γλακτοφάγων, ἀβίων τε δικαιοτάτων τ' ἀνθρώπων.
ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ.

Зевсъ, приблизивъ Троянцевъ и Ектора къ *ахейскимъ* судамъ, оставилъ ихъ предъ судами безпрерывно нести труды и бѣды, а самъ обратилъ вспять свѣтлыя очи, взирая вдаль на землю конеборныхъ Ѳракійцевъ, сражающихся въ рукопашную Мисійцевъ и дивныхъ Доителей кобылицъ, млекоѣдовъ, бѣдныхъ и справедливѣйшихъ людей; а къ Троѣ онъ совсѣмъ уже не обращалъ свѣтлыхъ очей [2])...

ΟΔΥΣΣΕΙΑ. ОДИССЕЯ.

X, 77—99 [3]).

Ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ.
τείρετο δ' ἀνδρῶν θυμὸς ὑπ' εἰρεσίης ἀλεγεινῆς
ἡμετέρῃ ματίῃ, ἐπεὶ οὐκέτι φαίνετο πομπή.
ἓξ ἦμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ,
ἑβδομάτῃ δ' ἰκόμεσθα Λάμου αἰπὺ πτολίεθρον,
Τηλέπυλον Λαιστρυγονίην, ὅθι ποιμένα ποιμὴν
ἠπύει εἰσελάων, ὁ δέ τ' ἐξελάων ὑπακούει.
ἔνθα κ' ἄυπνος ἀνὴρ δοιοὺς ἐξήρατο μισθούς,
τὸν μὲν βουκολέων, τὸν δ' ἀργυφα μῆλα νομεύων·
ἐγγὺς γὰρ νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι.

Отсюда [т. е. съ Эолова острова] мы [4]) поплыли впередъ съ сокрушеннымъ сердцемъ; истощалась бодрость людей отъ тяжелой гребли по нашей-же глупости, такъ какъ больше не являлся попутный вѣтеръ. Шесть сутокъ одинаково плыли мы по ночамъ и днемъ, а на седьмой *день* достигли Ламова неприступнаго города, Лэстригонскаго Тилепила, гдѣ пастыря пастырь зоветъ, загоняя *скотъ*, а тотъ отвѣчаетъ, *уже* выгоняя; тамъ человѣкъ безсонный заработалъ-бы двойную плату, — одну за пастьбу воловъ, а другую за пастьбу сребристо-бѣлыхъ овецъ; ибо близки *тамъ* пути ночи и дня. Тамъ вступили мы въ

---

1) Такъ какъ въ этомъ выпускѣ большинство переводовъ принадлежитъ издателю, то его иниціалы не будутъ ставиться при каждомъ отдѣльномъ авторѣ; фамиліи же сотрудниковъ будутъ обозначаться попрежнему.

2) Объ этихъ стихахъ ср. выше (стр. 109 сл.) Страв. VII, 3 и ниже сколіи.

3) Этотъ отрывокъ приводится потому, что нѣкоторые ученые (Dubois de Montpéreux, Bähr и др.) пріурочивали часть странствованій Одиссея къ Черному морю и въ бухтѣ Лэстригоновъ узнавали Балаклавскую бухту. Во всякомъ случаѣ изъ отрывка видно, что автору поэмы были извѣстны короткія сѣверныя ночи.

4) Разсказываетъ Одиссей на пиру у Аликноя, царя Фэаковъ. Разсказъ обнимаетъ рапсодіи IX—XII.

Digitized by Google

ἔνθ' ἐπεὶ ἐς λιμένα κλυτὸν ἵκόμεθ', ὃν πέρι πέτρη
ἠλίβατος τετύχηκε διαμπερὲς ἀμφοτέρωθεν,
ἀκταὶ δὲ προβλῆτες ἐναντίαι ἀλλήλῃσιν
ἐν στόματι προύχουσιν, ἀραιὴ δ' εἴσοδος ἐστίν,
ἔνθ' οἱ γ' εἴσω πάντες ἔχον νέας ἀμφιελίσσας.
αἱ μὲν ἄρ' ἔντοσθεν λιμένος κοίλοιο δέδεντο
πλησίαι· οὐ μὲν γάρ ποτ' ἀέξετο κῦμά γ' ἐν αὐτῷ,
οὔτε μέγ' οὔτ' ὀλίγον, λευκὴ δ' ἦν ἀμφὶ γαλήνη·
αὐτὰρ ἐγὼν οἶος σχέθον ἔξω νῆα μέλαιναν,
αὐτοῦ ἐπ' ἐσχατιῇ, πέτρης ἐκ πείσματα δήσας,
ἔστην δὲ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών.
ἔνθα μὲν οὔτε βοῶν οὔτ' ἀνδρῶν φαίνετο ἔργα,
καπνὸν δ' οἶον ὁρῶμεν ἀπὸ χθονὸς ἀίσσοντα.

славную бухту, вокругъ которой съ обѣихъ сторонъ сплошь высится крутая скала, а нависшіе берега выдаются другъ противъ друга въ устьѣ, и узокъ входъ. Тутъ всѣ направили внутрь округленныя суда, и они были привязаны близко *одно къ другому* внутри глубоколежащей бухты, ибо никогда въ ней не поднималось волненіе ни большое, ни малое, а было кругомъ свѣтлое затишье. Только одинъ я удержалъ черное судно внѣ *бухты*, тамъ на окраинѣ, привязавъ причалы къ скалѣ, а самъ, поднявшись на утесистую вершину, всталъ [чтобы обозрѣть мѣстность]: но не было тамъ видно дѣлъ ни воловъ, ни людей, и видѣли мы только поднимавшійся отъ земли дымъ...

X, 133—139.

Ἔνθεν δὲ προτέρω πλέομεν ἀκαχήμενοι ἦτορ,
ἄσμενοι ἐκ θανάτοιο, φίλους ὀλέσαντες ἑταίρους.
Αἰαίην δ' ἐς νῆσον ἀφικόμεθ'· ἔνθα δ' ἔναιεν
Κίρκη ἐυπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα,
αὐτοκασιγνήτη ὀλοόφρονος Αἰήταο·
ἀμφὼ δ' ἐκγεγάτην φαεσιμβρότου Ἠελίοιο
μητρός τ' ἐκ Πέρσης, τὴν Ὠκεανὸς τέκε παῖδα.

Оттуда [отъ Лэстригоновъ] поплыли мы дальше съ сокрушеннымъ сердцемъ, радуясь *своему избавленію* отъ смерти, *но* потерявъ милыхъ товарищей. Прибыли мы на островъ Эею; тамъ обитала славнокудрая Кирка, сильная богиня, одаренная *человѣческой* рѣчью, родимая сестра коварнаго Эпта; оба они произошли отъ лучезарнаго Иліи и отъ матери Персы, которую породилъ Океанъ...

XI, 12—19.

Δύσετό τ' ἠέλιος, σκιόωντό τε πᾶσαι ἀγυιαί,
ἡ δ' ἐς πείραθ' ἵκανε βαθυρρόου Ὠκεανοῖο.
ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,
ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς
ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσιν,
οὔθ' ὁπότ' ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,
οὔθ' ὅτ' ἂν ἂψ ἐπὶ γαῖαν ἀπ' οὐρανόθεν προτράπηται,
ἀλλ' ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσιν.

Закатилось солнце и покрылись тьмою всѣ пути, а *судно наше* достигло предѣловъ глубокаго Океана [1]). Тамъ народъ и городъ людей Киммерійскихъ, окутанные мглою и тучами; и никогда сіяющее солнце не заглядываетъ къ нимъ *своими* лучами,— ни *тогда*, когда восходитъ на звѣздное небо, ни *тогда*, когда съ неба склонится назадъ къ землѣ, но непроглядная ночь распростерта надъ жалкими смертными.

XII, 59—72 [2])

Ἔνθεν μὲν γὰρ πέτραι ἐπηρεφέες, προτὶ δ' αὐτὰς
κῦμα μέγα ῥοχθεῖ κυανώπιδος Ἀμφιτρίτης.
Πλαγκτὰς δή τοι τάς γε θεοὶ μάκαρες καλέουσιν.

Тамъ съ одной стороны нависшія скалы, а объ нихъ съ шумомъ разбиваются огромныя волны синеокой Амфитриты: «Блуждающими» зовутъ ихъ блаженные боги.

---

1) На пути съ острова Эеи. 2) Изъ разсказа Кирки Одиссею при прощаніи.

Digitized by Google

τῇ μέν τ' οὐδὲ ποτητὰ παρέρχεται, οὐδὲ πέλειαι
τρήρωνες, ταί τ' ἀμβροσίην Διὶ πατρὶ φέρουσιν,
ἀλλά τε καὶ τῶν αἰὲν ἀφαιρεῖται λὶς πέτρη.
ἀλλ' ἄλλην ἐνίησι πατὴρ ἐναρίθμιον εἶναι.
τῇ δ' οὔ πώ τις νηῦς φύγεν ἀνδρῶν, ἥ τις ἵκηται,
ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
κύμαθ' ἁλὸς φορέουσι πυρός τ' ὀλοοῖο θύελλαι.
οἵη δὴ κείνη γε παρέπλω ποντοπόρος νηῦς,
Ἀργὼ πᾶσι μέλουσα, παρ' Αἰήταο πλέουσα.
καί νύ κε τὴν ἔνθ' ὧκα βάλεν μεγάλας ποτὶ πέτρας,
ἀλλ' Ἥρη παρέπεμψεν, ἐπεὶ φίλος ἦεν Ἰήσων.

Этимъ путемъ не пролетаютъ ни пернатыя *вообще*, ни робкія голубки, которыя несутъ амвросію отцу Зевсу: и изъ нихъ всегда отнимаетъ *хотъ одну* гладкая скала, но отецъ посылаетъ другую для пополненія числа. Здѣсь еще не пробѣжало ни одно человѣческое судно, какое ни приходило, но морскія волны и бушующее губительное пламя вмѣстѣ уносятъ доски судовъ и трупы мужей. Только одинъ проплылъ тотъ мореходный корабль, всѣмъ извѣстный Арго, на *возвратномъ* пути отъ Эита: и его тутъ скоро кинуло бы на огромныя скалы, но Ира провела его, ибо любъ *ей* былъ Іасонъ...

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

ДРЕВНІЯ СХОЛІИ

КЪ ОМИРОВОЙ ИЛІАДѢ.

[Текстъ: Scholia Graeca in Homeri Iliadem ex codicibus aucta et emendata ed. Guil. Dindorfius. Oxonii 1875—1877. 4 тома].

Εἰς τὴν Β. 11 (V. III p. 86 Dind.). κάρη κομόωντες] κομῶσι γὰρ Λάκωνες, ἀφ' ὧν τὸ πᾶν Ἑλληνικόν... Σκύθαι δὲ πρῶτοι ἐκείραντο· διὸ καὶ ἀπεσκυθισμένοι λέγονται.

Къ п. 2, ст. 11. Длинновласые] Ибо Лаконцы носятъ длинные волосы, а отъ нихъ и всѣ Эллины... Скиѳы же первые стали стричься, почему и называются «оскиѳленными».

Εἰς τὴν Γ. 189 (V. I p. 149). Ἀμαζόνες ἀντιάνειραι] αἱ Ἀμαζόνες λέγονται εἶναι Ἄρεως καὶ Ἀφροδίτης θυγατέρες, τραφεῖσαι παρὰ Θερμώδοντι ποταμῷ τῆς Σκυθίας. ἐκλήθησαν δὲ οὕτως διὰ τὸ τὸν δεξιὸν μαστὸν ἐκτέμνεσθαι ὡς ἐμποδίζοντα αὐταῖς ἐν τῷ τοξεύειν.

Къ п. 3, ст. 189. Амазонки подобныя мужамъ]. Говорятъ, что Амазонки — дочери Арея и Афродиты, вскормленныя у Ѳермодонта, рѣки въ Скиѳіи. Названы онѣ такъ по причинѣ вырѣзыванія правой груди, какъ мѣшавшей имъ стрѣлять изъ лука.

— (V. III p. 172). Ἀμαζόνες] παρὰ τῷ Θερμώδοντι αὗται ᾤκουν... ὠνομάσθησαν δὲ παρὰ τὸ μὴ ἔχειν τὸν ἕτερον τῶν μαζῶν (ἐπυράκτουν γὰρ αὐτὸν πρὸς τὸ μὴ ἐμποδίζεσθαι ἐν τῇ τοξείᾳ) ἢ παρὰ τὸ μὴ χρῆσθαι μάζαις, χελώναις δὲ καὶ ὄφεσι καὶ σαύραις. ἀντιάνειραι δὲ αἱ ἴσαι ἢ ἐναντίαι τοῖς ἀνδράσιν.

— (*Къ тому же стиху*). Амазонки] жили онѣ у Ѳермодонта... а названы такъ по неимѣнію одной груди (онѣ выжигали ее, чтобы не имѣть помѣхи при стрѣльбѣ изъ лука) или потому, что не употребляли *въ пищу* хлѣба (μάζας), а *или* черепахъ, змѣй и ящерицъ. Ἀντιάνειραι же *значитъ* равныя или противныя мужамъ.

Εἰς τὴν Δ. 23 (V. I p. 169 = V. III p. 195). σκυζομένη] ὀργιζομένη· καὶ γὰρ οἱ ὀργιλώτατοι Σκύθαι καλοῦνται.

Къ п. 4, ст. 23. Σκυζομένη *значитъ* ὀργιζομένη, *т. е.* гнѣвающаяся; ибо самые вспыльчивые *люди* называются Скиѳами.

Εἰς τὴν Δ. 122 (V. III p. 203) γλυφίδας] ἀντὶ ἑνικοῦ τὸ γλυφίδας... νόμον δὲ τοξείας γράφει. Σκύθαι μὲν οὖν ἐπὶ τῶν ὤμων τείνουσι, καὶ νεύροις ἱππείοις, Κρῆτες δὲ

Къ п. 4, ст. 122. Γλυφίδας (ушки) *поставлено* вмѣсто единственнаго числа... *Поэтъ* описываетъ способъ стрѣльбы изъ лука. Скиѳы натягиваютъ *лукъ* къ плечамъ

Digitized by Google

τούτοις ἐναντίως, καὶ νεύροις βοείοις...

Εἰς τὴν Z. 186 (V. III p. 290). Ἀμαζόνας] ἔνιοι λέγουσιν ὅτι οὐκ ἦσαν γυναῖκες αἱ στρατεύσασαι, ἀλλ' ἄνδρες βάρβαροι· ἐφόρουν δὲ χιτῶνας ποδήρεις καὶ τὴν κόμην ἀνεδοῦντο μίτραις, ἐξυρῶντο δὲ καὶ τοὺς πώγωνας, καὶ διὰ τοῦτο ἐκαλοῦντο παρὰ τῶν πολεμίων γυναῖκες. Ἀμαζόνες δὲ τὸ γένος, μάχεσθαι δ' ἀγαθοὶ ἦσαν· στρατείαν δὲ γυναικὸς οὐδέποτε εἰκὸς γενέσθαι· οὐδὲ γὰρ νῦν οὐδαμοῦ.

1 и конскими тетивами, а Критяне — противоположно имъ и воловьими тетивами...

Къ п. 6, ст. 186. Амазонокъ]. Нѣкоторые говорятъ, что выступившіе въ поход были не женщины, а мужчины варвары: они носили длинные до земли хитоны, волосы повязывали повязками, а также брили и бороды, и поэтому враги называли ихъ женщинами. Они были изъ племени Амазоновъ и храбры въ бою. Невѣроятно, чтобы когда нибудь былъ женскій походъ: вѣдь и нынѣ нигдѣ *ихъ не бываетъ*.

Εἰς τὴν Θ. 325 (V. I p. 285)... ὁ μέντοι Νεοτέλης Σκυθικὴν εἶναι τὴν τοξείαν ἔφασκεν, τοῦ τόξου πρὸς τὸν ὦμον ἑλκομένου.

Къ п. 8, ст. 325. ...Неотель утверждалъ, что *это* скиѳскій способъ стрѣльбы, когда лукъ натягивается къ плечу.

— (V. III p. 361). *Πορφυρίου. ἐν τούτοις τοῖς ἔπεσι τοῖς περὶ τοῦ Τεύκρου εἰρημένοις ζητοῦσι ποίαν χεῖρα τέτρωται ὁ Τεῦκρος, καὶ πότερον τὴν νευρὰν ἐπὶ τὸν ὦμον ἕλκει, καθάπερ οἱ Σκύθαι· τοῦτο γὰρ ᾤετο Νεοτέλης, ὅλην βίβλον γράψας περὶ τῆς κατὰ τοὺς ἥρωας τοξείας, καὶ τοὺς μὲν Κρῆτας φάμενος τὴν νευρὰν ἕλκειν ἐπὶ τὸν μαστόν, τὴν δὲ τάσιν κυκλοτερῆ ποεῖσθαι, τῶν Σκυθῶν οὐκ ἐπὶ τὸν μαστόν, ἀλλ' ἐπὶ τὸν ὦμον ἑλκόντων...

— (*Къ тому же стиху*). *Схолій* Порфирія. По поводу этихъ стиховъ, относящихся къ Тевкру, спрашиваютъ, въ которую руку раненъ Тевкръ и тянетъ ли онъ тетиву къ плечу, какъ Скиѳы? Такъ думалъ Неотель, написавшій цѣлую книгу о стрѣльбѣ изъ лука въ героическій періодъ и утверждающій, что Критяне тянутъ тетиву къ груди и дѣлаютъ натягиваніе округленнымъ, тогда какъ Скиѳы натягиваютъ не къ груди, а къ плечу...

Εἰς τὴν I. 360. (V. I p. 319). Ἑλλήσποντον ἰχθυόεντα] καὶ ἀλλαχοῦ ταῦτα τὰ μέρη ἰχθυώδη ἀναγράφονται, ὅ τε Εὔξεινος πόντος καὶ ὁ Ἑλλήσποντος, ἀλλὰ καὶ ὁ Βόσπορος.

Къ п. 9, ст. 360. Рыбообильный Геллеспонтъ]. И въ другихъ *сочиненіяхъ* называются обильными рыбою эти воды, т. е. Понтъ Евксинскій и Геллеспонтъ, а также Воспоръ.

Εἰς τὴν K. 429 (V. I, p. 363). Καύκωνες] ἔθνος Παφλαγονίας, οἱ δὲ Σκυθίας· οἱ δὲ τοὺς λεγομένους Καυνίους.

Къ п. 10, ст. 429. Кавконы] народъ *въ* Пафлагоніи, а по другимъ — *въ* Скиѳіи; иные же *разумѣютъ подъ Кавконами* такъ называемыхъ Кавніевъ.

Εἰς τὴν N. 5 (V. II, p. 2). Ἀγαυῶν Ἱππημολγῶν] Ἀγαυοὶ ὄνομα ἔθνους· ἵππους δὲ ἀμέλγοντες οὗτοι τῷ γάλακτι ἐτρέφοντο. Δημήτριος δὲ ἀγαυοὺς τοὺς εὐειδεῖς [1]).

Къ п. 13, ст. 5. Агановъ доителей кобылицъ] Агавы — названіе народа; выдавая кобылицъ, они питались *ихъ* молокомъ. Димитрій *слово* ἀγαυοί *понимаетъ въ смыслѣ* «красивые».

6. Ἀβίων τῶν νομάδων Σκυθῶν, ὅθεν καὶ ὁ Ἀνάχαρσίς ἐστιν· οὓς δή φησιν ἁπάντων εἶναι δικαιοτάτους, ὅτι κοινοὺς ἔχουσι παῖδας καὶ γυναῖκας καὶ τὰ πάντα πλὴν ξίφους καὶ ποτηρίου. τούτοις δὲ καὶ αὐτόματος ἡ γῆ βίον φέρει, οὐδέ τι ζῷον ἐσθίουσιν. τούτους Αἰσχύλος Γαβίους φησίν. Ἄβιοι δὲ ἐκλήθησαν ἢ παρὰ τὸν βίον ἢ τὴν βίαν. ἢ ἅμα βίῳ πορευόμενοι. ἢ ὅτι ἄοικοι.

Авіевъ — кочевыхъ Скиѳовъ, изъ которыхъ происходитъ и Анахарсидъ; ихъ-то *поэтъ* называетъ справедливѣйшими всѣхъ, потому что они имѣютъ общихъ дѣтей, женъ и все *прочее* кромѣ меча и чаши; имъ земля сама собою даетъ пропитаніе и они не ѣдятъ никакой животной пищи. Эсхилъ называетъ ихъ Гавіями [2]); Ἄβιοι же они названы или отъ слова βίος [жизнь],

1) Aliud scholion ad hunc versum (v. IV p. 2 Dind.) legitur ita: Ἀγαυοὶ ὄνομα ἔθνους· οὗτοι δὲ ἵππους ἀμέλγοντες αὐτοὶ τῷ γάλακτι ἐτρέφοντο. 2) Cf. supra p. 252 Steph. Byz. s. v. Ἄβιοι.

Digitized by Google

οἱ δὲ τὸ ᾱ κατ' ἐπίτασιν, ἵν' ᾖ πολυβίων καὶ πολυετῶν, ὅτι μακρόβιοι. ἢ τὸν ἡμέτερον βίον μὴ ἐγνωκότων· ἐπιφέρει γὰρ δικαιοτάτων ἀνθρώπων. ἢ μὴ βιαζομένων· ἢ ἀμαξοβίων. τινὲς δὲ τούτους Σαρμάτας φασίν· λέγουσι δὲ αὐτοὺς τοὺς ὁδίτας τρέφοντας ἄλλον ἄλλῳ διαπέμπειν.

или отъ βία [сила]; или *это значитъ* «переѣзжающіе со *всѣмъ* имуществомъ»; или потому, что они бездомны; нѣкоторые *принимаютъ* а съ растяженіемъ, чтобы *это слово* значило «многожизненныхъ» и «многолѣтнихъ», ибо они долговѣчны; или *это значитъ* «незнающихъ нашей жизни»: ибо *поэтъ* прибавляетъ «справедливѣйшихъ людей»; или—«не употребляющихъ насилій»; или — «живущихъ въ кибиткахъ». Нѣкоторые называютъ ихъ Сарматами; говорятъ, что они кормятъ путниковъ и пересылаютъ одинъ другому.

πάντων Σκυθῶν ὑποκυψάντων Ἀλεξάνδρῳ μόνους Ἀβίους φασὶν οὐχ ὑπεῖξαι, μόνον δὲ ἐπισκεψαμένους τὴν ψυχὴν τοῦ ἀνδρὸς ἐπεκηρυκεύσασθαι πρὸς αὐτόν. δικαιοτάτους δέ φησιν αὐτοὺς διὰ τὸ ἀνεπίμικτον, ὡς καὶ Αἰθιοπῆας. ἢ ὅτι οὐκ ἠθέλησαν συστρατεῦσαι Ἀμαζόσιν εἰς Ἀσίαν.

Когда всѣ Скиѳы покорились Александру, одни Авіи, какъ говорятъ, не подчинились ему и только увидѣвши *величіе* его души, вступили съ нимъ въ сношенія. Справедливѣйшими *поэтъ* называетъ ихъ по необщительности *съ другими народами*, какъ и Эѳіопеевъ; или потому, что они не пожелали принять участіе въ походѣ Амазонокъ въ Азію.

[Въ vol. IV p. 2 имѣется дословное повтореніе вышеприведеннаго разсказа о сношеніяхъ Авіевъ съ Александромъ В., а потомъ читается слѣдующее]:

οὓς δικαιοτάτους φησὶ διὰ τὸ ἀνεπίμικτον, ἢ ὅτι κοινοὺς ἔχουσι παῖδας καὶ γυναῖκας καὶ τὰ πάντα πλὴν ξίφους καὶ ποτηρίου. τούτοις αὐτόματος ἡ γῆ φύει βοτάνας, ζῷον δὲ οὐδὲν ἐσθίουσιν· ἄβιοι δὲ οἱ ἀνέστιοι.

Поэтъ называетъ Авіевъ справедливѣйшими по необщительности *съ другими народами* или потому, что они имѣютъ общихъ дѣтей, женъ и все *прочее* кромѣ меча и чаши. Имъ земля сама собою родитъ растенія, а животныхъ они никакихъ не ѣдятъ; ἄβιοι же *значитъ* «неимѣющіе очаговъ».

Εἰς τὴν Ο. 628 (v. IV p. 100). τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται] τὸ τυχὸν γὰρ ἀπέχουσι τοῦ θανάτου. πρῶτος δὲ εἶπε τοῦτο Ἀνάχαρσις ὁ Σκύθης, ὃς ἐρόμενός τινα τῶν ναυτῶν πόσον ἀπέχομεν τοῦ ὕδατος, καὶ μαθὼν ὡς τέσσαρας δακτύλους, τοσοῦτον, φησί, καὶ τοῦ θανάτου...

Къ п. 15, ст. 628. «Ибо едва уплываютъ изъ подъ смерти»]. Ибо очень мало отстоятъ отъ смерти. Первый сказалъ это Скиѳъ Анахарсидъ, который, спросивъ одного моряка «на сколько мы отстоимъ отъ воды?» и узнавъ, что на 4 пальца, сказалъ: «на столько *же* и отъ смерти»...

Εἰς τὴν Σ. 515 (v. IV p. 197)... καὶ Σαυροματῶν αἱ γυναῖκες τὴν αὐτὴν τοῖς ἀνδράσι ἐνδυόμεναι στολὴν πολεμοῦσιν.

Къ п. 18, ст. 515. ... И *у* Савроматовъ женщины, нося одинаковую съ мужчинами одежду, участвуютъ въ войнахъ.

Digitized by Google

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΝ.

ДРЕВНІЯ СХОЛІИ

КЪ ОМИРОВОЙ ОДИССЕѢ.

[Текстъ: Scholia Graeca in Homeri Odysseam ex codicibus aucta et emendata edidit Gul. Dindorfius. Oxonii 1855. 2 тома] [1]).

Εἰς τὴν Θ. 222 (p. 374 Dind.) σῖτον ἔδοντες] εἶπε τοῦτο διά τινα γένη, οἵτινες οὐκ ἤσθιον σῖτον. διὸ καὶ ἀκριδοφάγοι τινὲς καὶ ἰχθυοφάγοι ἐκαλοῦντο, ὡς καὶ τὸ Σκυθικὸν καὶ Μασσαγετικὸν κρεοφάγοι καλοῦνται. τινὲς γὰρ τῶν ἀκριδοφάγων ἰδόντες ἄρτον κόπρον εἶναι ἐνόμιζον. B.

Εἰς τὴν I. 32 (p. 408). Κίρκη Αἰαίη] ἐξ Αἰαίης νήσου τῆς Τυρρηνίας, ἣ Κολχικῆς. Αἰαία γὰρ πόλις τῆς Κολχίδος. P. Q. V.... Αἰαίη] τοῦ Αἰήτου θυγάτηρ. ἡ ἀπὸ Αἰαίας χώρας τιμωμένη. ἔστι δὲ πόλις Κολχίας. E.

Εἰς τὴν K. 135 (p. 457). Αἰαίην δ' ἐς νῆσον] ὄνομα νήσου. ταύτην ἔνιοί φασι τὸ νῦν Κίρκαιον πρὸς τῇ Ἰταλίᾳ. Q. V.

137 (ibid.). Αἰήταο] Αἰήτης Κόλχων βασιλεύς, πατὴρ Μηδείας, Κίρκης ἀδελφός. Q.

139 (ibid.). ἐκ Πέρσης] Πέρση Ὠκεανοῦ μὲν ἦν θυγάτηρ, Ἠλίου δὲ γυνή. Ἠλίου δὲ καὶ Πέρσης Αἰήτης καὶ Κίρκη... Q. V.

Εἰς τὴν Λ. 14 (p. 479). ἔνθα δὲ Κιμμερίων] Ἀρίσταρχος Κερβερέων. H. Κιμμέριοι ἔθνος περιοικοῦν τὸν ὠκεανόν. ἔνιοι δὲ γράφουσι χειμερίων· οἱ δὲ Κερβερίων, ὡς Κράτης. Ἡρόδοτος δὲ ὑπὸ Κιμμερίων φησὶ Σκύθας ἐξελαθῆναι. ἄλλοι δὲ Κιμμερίους φασὶν ὑποτίθεσθαι τοὺς κατὰ δύσιν οἰκοῦντας καὶ προσκειμένους τοῖς κατὰ τὸν Ἅιδην τόποις. ἢ νεκροῖς, ἀπὸ τοῦ ἐν τοῖς ἠρίοις κεῖσθαι. P. V. τινές, τῶν νεκρῶν, παρὰ τὸ ἐν ἔρᾳ κεῖσθαι. B. H. οὗτοι οἱ Κιμμέριοι οἱ Σκύθαι νομάδες ὄντες ἐκ τῶν δυτικῶν τοῦ ὠκεανοῦ μερῶν ἐλθόντες ἐπόρθησαν τὸν ναὸν Ἀπόλλωνος τὸν ἐν Δελφοῖς. διὸ δυσφημεῖ αὐτοὺς ὁ ποιητὴς ὡς ἐν σκότῳ οἰκοῦντας. B. H.

Къ n. 8, ст. 222. Ѣдящіе хлѣбъ]. *Поэтъ* сказалъ это ради нѣкоторыхъ племенъ, которыя не питались хлѣбомъ; поэтому нѣкоторые назывались акридоѣдами и рыбоѣдами, подобно тому, какъ Скиѳское и Массагетское *племя* называются мясоѣдами. Нѣкоторые изъ акридоѣдовъ, увидѣвъ хлѣбъ, принимали его за навозъ.

Къ n. 9, ст. 32. Эейская Кирка] изъ Эеи, острова Тирриніи или Колхиды; ибо Эея — городъ Колхиды... Эейская] дочь Эита; или почитаемая отъ Эейской страны; есть и городъ *въ* Колхидѣ.

Къ n. 10, ст. 135. На Эейскій островъ] названіе острова; нѣкоторые говорятъ, что это нынѣшній Киркейонъ въ Италіи.

Къ ст. 137. Эита] Эитъ — царь Колховъ, отецъ Мидіи, братъ Кирки.

Къ ст. 139. Отъ Персы] Перса была дочь Океана и супруга Иліи. Отъ Иліи и Персы *родились* Эитъ и Кирка...

Къ n. 11, ст. 14. Тамъ Киммерійцевъ]. Аристархъ *пишетъ* Керверéонъ. — Киммерійцы — народъ, живущій вокругъ Океана; нѣкоторые пишутъ Хеимерíонъ [т. е. зимнихъ], а иные — Керверíонъ, какъ *напр.* Кратитъ. Иродотъ говоритъ [2]), что Киммерійцами были изгнаны Скиѳы. Иные же говорятъ, что подъ Киммерійцами разумѣются живущіе на западѣ и сосѣдніе съ мѣстностями близъ Анда; или съ мертвыми, отъ *выр.* ἐν τοῖς ἠρίοις κεῖσθαι (лежать въ гробницахъ). Нѣкоторые *разумѣютъ* мертвыхъ, отъ *выр.* ἐν ἔρᾳ κεῖσθαι (лежать въ землѣ). Эти Киммерійцы *или* Скиѳы кочевники, пришедши изъ западныхъ областей океана, разграбили храмъ Аполлона въ Дельфахъ; вслѣдствіе этого поэтъ поноситъ ихъ, какъ живущихъ во мракѣ.

---

1) Index codicum: M — Venetus bibliothecae Marcianae 613; H — Harleianus Musei Britannici 5674; Q — Mediolanensis bibliothecae Ambrosianae (Partis superioris Q. 88); T — Hamburgensis; P — Heidelbergensis bibliothecae olim Palatinae, nunc Academicae; B et E — Ambrosiani; R — Florentinus bibl. Laurentianae pl. 57, 32; D — Parisinus 2403; S — Parisinus 2894; N — Venetus Marcianus class. IX cod. IV; V — scholia quae Vulgata vel, comparatione facta cum Eustathii commentariis, minora, vel (quod nulla ratione nititur) Didymi appellari solent.

2) Иродотъ въ кн. IV, гл. 12 и 13 (см. выше, стр. 15) говоритъ наоборотъ, что Киммерійцы были изгнаны Скиѳами.

Digitized by Google

ΕΥΣΤΑΘΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΠΑΡΕΚΒΟΛΑΙ ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

ЕВСТАѲІЯ АРХІЕПИСКОПА ѲЕССАЛОНИКСКАГО ОБЪЯСНЕНІЯ КЪ ОМИРОВОЙ ИЛІАДѢ.

[О времени жизни автора см. выше стр. 187. — Текстъ: Eustathii archiepiscopi Thessalonicensis commentarii ad Homeri Iliadem ad fidem exempli Romani editi. Lipsiae, sumtibus I. A. G. Weigel. 1827. Въ разстановкѣ ударенiй и знаковъ препинанiя сдѣланы нѣкоторыя измѣненiя].

P. 22 v. 23 sq. (ad I, 9).

... Καὶ ἔστι πολλὰ τοιαῦτα πόρρω αἴτια παρὰ τοῖς παλαιοῖς, ὧν ἓν καὶ τὸ τοῦ Ἀναχάρσιδος, ὃς ἐρωτηθεὶς, διὰ τί παρὰ Σκύθαις οὐκ εἰσὶν αὐληταί, εἶπε, διότι οὐδὲ ἄμπελοι· μακρὰν γὰρ καὶ ἐκεῖνος ἀνέβη· τὸ μὲν γὰρ ἐγγὺς ἦν εἰπεῖν, ὅτι οὐδὲ μέθη παρὰ Σκύθαις ἐστὶν οὐδὲ οἶνος· ὁ δὲ ἀνέδραμεν ἐπὶ τὸ πορρώτερον αἴτιον, τὰς ἀμπέλους.

... Есть много подобныхъ *указанiй* отдаленныхъ причинъ у древнихъ; къ числу ихъ относится и изреченiе Анахарсида, который на вопросъ, почему у Скиѳовъ нѣтъ флейтистовъ, сказалъ: потому что нѣтъ и виноградныхъ лозъ. Онъ тоже далеко зашелъ *въ объясненiи причины:* ближе было бы сказать, что у Скиѳовъ нѣтъ и пьянства и вина; но онъ дошелъ до болѣе отдаленной причины, — виноградныхъ лозъ.

P. 259 v. 7 sq. (ad II, 481).

... Καὶ ὅτι καὶ ἔθνος βόρειον οἱ Ταῦροι, καὶ ὅτι ταυροπόλος Ἄρτεμις, οὐ μόνον ἀπὸ τοῦ ἔθνους τῶν Ταύρων, ἀλλὰ καὶ ἀπὸ τοῦ ζῴου... δηλοῦσιν οἱ παλαιοί.

... Древнiе свидѣтельствуютъ, что *есть* и сѣверный народъ Тавры и Артемида Тавропола, *названная такъ* не только отъ народа Тавровъ, но и отъ животнаго...

P. 272 v. 40 sq. (ad II, 511).

Ὁ γεωγράφος... ἱστορεῖ... καὶ ὅτι οἱ ἐν τῷ πόντῳ Ἀχαιοί, οἳ καὶ παρὰ τῷ περιηγητῇ, Ὀρχομενίων ἄποικοι πλανηθέντων ἐκεῖ σὺν Ἰαλμένῳ τῷ ἀρχηγῷ μετὰ Τροίας ἅλωσιν...

Географъ... разсказываетъ [1])... и что Понтійскiе Ахейцы, *упоминаемые* и у Перiигита [2]), — поселенцы Орхоменянъ, занесенныхъ туда съ вождемъ Іалменомъ послѣ взятiя Трои...

P. 315 v. 21 sq. (ad II, 656).

Ὁ δὲ τὰ ἐθνικὰ συλλέξας καὶ Σικελικὴν πόλιν Λίνδον ἱστορεῖ, ὃς καὶ τὴν παρ' Ὁμήρῳ Ἰηλυσὸν Ἰαλυσὸν γράφει, λέγων εἶναι καὶ ἐν Σκυθίᾳ καὶ ἐν τῷ Ἀδρίᾳ δὲ κόλπῳ Ἰαλυσόν.

Авторъ соч. «Ἐθνικά» упоминаетъ и сицилiйскiй городъ Линдъ; Омировскiй Ἰηλυσός онъ пишетъ Ἰαλυσός, говоря, что Ἰαλυσός есть и въ Скиѳiи и въ Адрiатическомъ заливѣ [3]).

P. 325 v. 15 (ad II, 701).

... Ὁ γεωγράφος ἀβίους παρ' Ὁμήρῳ εἰπὼν ἀντὶ τοῦ χωρὶς γυναικῶν ἐπάγει· ἡμιτελὴς γὰρ ὁ χῆρος βίος...

... Географъ, упомянувъ объ омировскихъ «авiяхъ», объясняетъ *ихъ названiе выраженiемъ* «безъ женщинъ»: ибо холостая жизнь полусовершенна [4])...

1) Стр. IX, 2, 42 (p. 416 C.): ἱστοροῦσι δὲ τοὺς ἐν τῷ Πόντῳ καλουμένους Ἀχαιοὺς ἀποίκους Ὀρχομενίων εἶναι τῶν μετὰ Ἰαλμένου πλανηθέντων ἐκεῖσε μετὰ τὴν τῆς Τροίας ἅλωσιν. (Къ сожалѣнiю это мѣсто по недосмотру пропущено выше, въ извлеченiяхъ изъ Страбона).

2) Діон. *Περiιγ.* 682 (см. выше стр. 184).

3) Стеф. Виз. п. сл. Ἰαλυσός (см. выше стр. 260). 4) Страв. VII, 3, 3 (см. выше стр. 110).

Digitized by Google

P. 332 *v.* 20 (ad II, 735).

...Ἔστι δὲ καὶ Ἀστερουσία Κρήτης, φασίν, ὄρος καὶ πόλις δὲ περὶ τὸν Ἰνδικὸν Καύκασον...

...Есть также Астерусія, какъ говорятъ, гора на *о.* Критѣ и городъ у индійскаго Кавказа [1])...

P. 363 (ad II, 856 sq.).

Ἀλιζώνων ὅ τε Ὀδίος ἦρχον καὶ ὁ Ἐπίστροφος, τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη... περὶ τούτων πλείστη παρὰ τοῖς παλαιοῖς ἀμφιβολία. διὸ καὶ ὁ γεωγράφος δυσκολίαν πολλὴν εὑρὼν εἰς διάρθρωσιν τοῦ τοιούτου ἔθνους καὶ εἰς γνώρισμα σαφὲς λέγει ὅτι ἀγνώτων τινῶν μέμνηται ὁ ποιητής... Τὸ δὲ ἐξ Ἀλύβης, ἐξ Ἀλύβων τινὲς γράφουσιν, ἕτεροι δὲ ἐκ Χαλύβων, ἄλλοι ἐξ Ἀλόπης ἢ κατὰ Μενεκράτην ἐξ Ἀλόβης, ἔτι δὲ καὶ ἐκ Χαλύβης. τὰ δὲ τοιαῦτα αἰτιᾶται ὁ γεωγράφος, ὡς περ καὶ τοὺς εἰπόντας περὶ Πύγελα εἶναι τοὺς Ἀλιζώνους μεταξὺ Ἐφέσου καὶ Μαγνησίας καὶ Πριήνης, λέγων καὶ ὅτι μεταπτωσις ὑπονοεῖται ὀνόματος ἐξ Ἀλύβων εἰς Χάλυβας. διὸ καὶ γράφει που ὅτι τοὺς Χάλυβας ὁ ποιητὴς Ἀλιζώνους ἐκάλεσε καὶ ὅτι ἐνεδέχετο ἐν Χάλυψιν ἀργύρια ὑπάρχειν ἄξια μνήμης ποτὲ καὶ ἔνδοξα, καθάπερ νῦν τὰ σιδήρια, λέγει δὲ καὶ ὅτι τὸ Ἀλιζώνων οὐ μόνον Ὀλιζώνων τινὲς μεταγράφουσιν ἀλλὰ καὶ Ἀλαζώνων καὶ ὅτι τοὺς Σκύθας τινὲς Ἀλιζῶνας νοοῦσιν...

Ализонами предводительствовали Одій и Епистрофъ издалека изъ Аливы, гдѣ родится серебро... Объ этихъ *Ализонахъ* весьма большое сомнѣніе у древнихъ. Поэтому и Географъ, встрѣтивъ большое затрудненіе для разъясненія этого народа и яснаго познанія *о немъ*, говоритъ [2]), что поэтъ упоминаетъ о какомъ-то неизвѣстномъ *народѣ*... *Вмѣсто* «изъ Аливы» нѣкоторые пишутъ «изъ Аливъ», другіе — «изъ Халивовъ», иные — «изъ Алопы» или по Менекрату «изъ Аловы», а также и «изъ Халивы». Подобныя *написанія* опровергаетъ Географъ, равно какъ и тѣхъ, которые говорили, что Ализоны жили у Пигелъ между Ефесомъ, Магнисіей и Пріной; онъ говоритъ при этомъ, что предполагается переходъ имени изъ «Аливъ» въ «Халивовъ». Поэтому онъ пишетъ гдѣ-то, что поэтъ назвалъ Ализонами Халивовъ и что предполагалось, что у Халивовъ нѣкогда существовали достопримѣчательные и знаменитые серебряные рудники, какъ нынѣ *существуютъ* желѣзные. Онъ говоритъ также, что нѣкоторые вмѣсто «Ализоновъ» пишутъ не только «Олизоновъ», но и «Алазоновъ» и что нѣкоторые разумѣютъ подъ Ализонами Скиѳовъ [3])...

P. 403, 5 sq. (ad III, 189).

...Δῆλον δὲ ὅτι ἀπ' αὐτῶν [sc. τῶν Ἀμαζόνων] καὶ παροιμία φέρεται τὸ ἄριστα χωλὸς οἰφεῖ. ἐπήρουν μὲν γάρ, φασιν, Ἀμαζόνες ἀρρένων σκέλος ἢ δεξιὰν χεῖρα. Σκυθῶν δὲ προκαλουμένων αὐτὰς αὐτοῖς συνοικεῖν, ὡς ἀπηρώτοις οὔσι κατὰ Παυσανίαν, Ἀντιάνειρά φασι, μίαν τῶν Ἀμαζόνων, θρασεῖαν οὖσαν καὶ ἀκόλαστον, εἰπεῖν ἄριστα χωλὸς οἰφεῖ, ὡς ἀρκουμένων αὐτῶν τοῖς χωλοῖς...

...Ясно, что отъ нихъ [т. е. Амазонокъ [4])] получила начало и пословица «прекрасно дѣйствуетъ [5]) хромой»: Амазонки, говорятъ, калѣчили ногу или правую руку у *дѣтей* мужскаго пола. Когда Скиѳы приглашали ихъ жить съ ними, какъ съ неискалѣченными, по Павсанію, то, говорятъ, Антіанира, одна изъ Амазонокъ, дерзкая и наглая, сказала: «прекрасно дѣйствуетъ хромой», т. е. что онѣ довольны и хромыми.

---

1) Ср. Стеф. Виз. п. сл. Ἀστερουσία (выше, стр. 255). 2) См. Страв. XII p. 550 sq. (отчасти выше, на стр. 159). 3) Объ Ализонахъ ср. еще Евст. p. 519, 35. 4) Выше комментаторъ говорилъ о происхожденіи названія амазонокъ и объ относящихся къ нимъ преданіяхъ. 5) Точный переводъ глагола οἰφεῖν неудобенъ для печати.

Digitized by Google

P. 565, 4 sq. (ad V, 408).

... Ἐνταῦθα δὲ χρήσιμον καὶ τὸ τοῦ Ἀρριανοῦ εἰπόντος ἐν Βιθυνιακοῖς, ὅτι ἀνιόντες εἰς τὰ ἄκρα τῶν ὀρῶν Βιθυνοὶ ἐκάλουν πάππαν τὸν Δία καὶ Ἄττιν τὸν αὐτόν· ὁμοίως καὶ Ἡροδότου τὸ καλεῖται Ζεὺς ὑπὸ Σκυθῶν ὀρθότατα Παπαῖος...

... Здѣсь пригодно и свидѣтельство Арріана, сказавшаго въ «исторіи Виѳиніи» [1]), что Виѳинцы, всходя на вершины горъ, называли Зевса папою и его же Атисомъ; а равно и выраженіе Иродота [2]): «Зевсъ у Скиѳовъ совершенно правильно называется Папаемъ»...

P. 626, 42 sq. (ad VII, 81).

... Τὸ δὲ τοῦ Ἡροδότου οὐχ ὅμοιον εἶναί φασι, παρ' ᾧ Σκυθίδες τινὲς γυναῖκες τοὺς ἑαυτῶν ἄνδρας φεύγοντας ὁρῶσαι προτροπάδην, ἀνασυράμεναι τὰ κάτω, πῇ φεύγετε; εἶπον, ἢ ἵνα κρυβῆτε εἰς τὰ ἐξ ἀρχῆς; ὅθεν αἰδεσθέντες ἐκεῖνοι ἐθάρρησαν καὶ ἀναμαχεσάμενοι ἐνίκησαν...

... Говорятъ, что *съ этимъ* не сходно свидѣтельство Иродота [3]), у котораго нѣкія скиѳскія женщины, видя, что ихъ мужья безъ оглядки бѣгутъ *съ поля битвы*, подняли подолы и сказали: «куда вы бѣжите? или хотите спрятаться туда, откуда вышли?» Вслѣдствіе этого мужья, устыдившись, ободрились и, возобновивъ битву, одержали побѣду...

P. 642, 65 sq. (ad VII, 290).

... Οὕτω ποτὲ καὶ οἱ Ἀργοναῦται διὰ τοῦ Ἑλλησπόντου εἰς Κολχίδα ἐξ Ἑλλάδος πλεύσαντες περιώδευσαν καὶ διὰ τοῦ Ἴστρου εἰς τὴν Ἀδριάδα διεκπεσόντες μόλις ἐπανεσώθησαν, φόβῳ τοῦ Αἰήτου μακρὰ πλανηθέντες...

... Такъ нѣкогда и Аргонавты, приплывъ въ Колхиду изъ Эллады чрезъ Геллеспонтъ, совершили объѣздъ и, по Истру пробравшись въ Адріатическое море, съ трудомъ спаслись, совершивъ далекое странствіе изъ страха предъ Эетомъ...

P. 667, 9 sq. (ad VII, 86).

Τὰ δὲ περὶ Ἕλλης θρυλούμενα δῆλα... καὶ ὡς... [ὁ κριὸς] τὸν μὲν Φρίξον περιεσώσατο εἰς τὴν Κολχίδα γῆν, τὴν δὲ Ἕλλην οὐκ ἴσχυσε, καταπεσοῦσαν εἰς τὸν ἀπ' αὐτῆς κληθέντα Ἑλλήσποντον, καὶ ὅτι ἐν Κόλχοις ἀπεδάρη παρὰ τοῦ Φρίξου ὁ κριὸς οὗτος, τυθεὶς Φυξίῳ Διΐ, καὶ τὸ αὐτοῦ κῶας χρυσωθὲν ἐφυλάττετο ὑπὸ ἀΰπνου δράκοντος, εἰς ὃ οἱ Ἀργοναῦται ἔπλευσαν...

Разсказы о Геллѣ извѣстны... и какъ... [баранъ] спасъ Фрикса въ Колхидскую землю, а *спасти* Геллу не могъ, когда она упала въ получившій отъ нея названіе Геллеспонтъ, и что въ Колхидѣ была снята Фриксомъ шкура съ этого барана, принесеннаго въ жертву Зевсу Фиксію, и неусыпнымъ дракономъ охранялось вызолоченное руно его, за которымъ и приплыли Аргонавты...

P. 723, 42 sq. (ad VIII, 460).

... Σκύζεσθαι γὰρ τὸ χόλῳ αἱρεῖσθαι. γίνεται δὲ ἴσως μὲν καὶ παρὰ τὸ κύων πλεονασμῷ τοῦ σ... μάλιστα δὲ κατὰ

... Σκύζεσθαι *значитъ* быть объяту гнѣвомъ; происходитъ *этотъ глаголъ*, можетъ быть, и отъ *слова* κύων съ плеонасти-

1) Это сочиненіе Арріана до насъ не дошло. (Arr. fr. 30 in Fragm. hist. Gr. ed. Müller, v. III p. 592). 2) Ирод. IV, 59 (см. выше стр. 25). 3) У Иродота нѣтъ такого разсказа о Скиѳянкахъ.

Digitized by Google

τοὺς παλαιοὺς παρὰ τὸν Σκύθην, ὡς τῶν Σκυθῶν μάλιστα ἑτοίμων ὄντων χολᾶν...

ческимъ *с*..., но скорѣе всего, по древнимъ, отъ *сл.* Скúθης, такъ какъ Скиѳы очень скоро приходятъ въ гнѣвъ [1])...

P. 746, 50 sq. (ad IX, 203).

Ἱστέον δὲ... καὶ ὅτι μᾶλλον ἐπὶ ἀκράτου νοεῖται τὸ ζωρόν, ὡς παραδηλοῖ καὶ Ἡρόδοτος ἐν οἷς φησίν· ἐπὰν ζωρότερον βούλωνται οἱ Σπαρτιάται πιεῖν, ἐπισκύθισον λέγουσιν, ὡς ἀπὸ τῶν Σκυθῶν, οἳ φησιν εἰς Σπάρτην ἀφικόμενοι πρέσβεις ἐδίδαξαν τὸν Κλεομένην ἀκρατοποτεῖν.

Нужно знать... и что подъ ζωρόν болѣе разумѣется чистое *вино*, какъ это видно и изъ слѣдующихъ словъ Иродота [2]): когда Спартіаты захотятъ выпить менѣе разбавленнаго *вина*, то говорятъ «подскиѳь», какъ бы отъ Скиѳовъ, которые, по его словамъ, прибывъ въ Спарту въ качествѣ пословъ, научили Клеомена пить цѣльное вино.

P. 916 (ad XIII, 1—7).

Ὅτι χωρογραφικήν τινα νῦν ἐπιτομὴν ἐκτίθεται ὁ ποιητὴς Θρᾳκῶν τε μεμνημένος, ὧν πέρας εἴτε καὶ ἀρχὴ ὁ Ἑλλήσποντος, οὓς καὶ ἱπποπόλους λέγει, φίλιππον γὰρ ἔθνος οἱ Θρᾷκες, καὶ Μυσῶν ἀγχεμάχων, τῶν ἐν Μακεδονίᾳ τε καὶ Ἴστρῳ, καὶ ἀγαυῶν Ἱππημολγῶν, ἐφ' ὧν, ὡς φασιν οἱ παλαιοί, ἄδηλον εἴτε τὸ ἀγαυῶν ἔθνους ἔστιν ὄνομα, τὸ δὲ ἱππημολγῶν ἐπιθέτως λέγεται, ἢ καὶ ἔμπαλιν τὸ μὲν ἀγαυῶν ἐπίθετον, ἴσον τῷ εὐειδῶν, τὸ δὲ ἱππημολγῶν κλῆσις ἐθνική, ὃ καὶ κάλλιον. Θρυλεῖται γὰρ ἐν ἱστορίαις ἔθνος Ἱππημολγοί. περὶ Σκυθίαν δὲ τὸ τοιοῦτον ἔθνος, δηλαδὴ τὸ τῶν ἀγαυῶν Ἱππημολγῶν, οὓς καὶ γαλακτοφάγους καλεῖ καὶ ἀβίους καὶ δικαίους, εἰπὼν· αὐτὸς δέ, ὡς εἴρηται, πάλιν τρέπεν ὄσσε φαεινὼ νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν, Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν, γλακτοφάγων ἀβίων τε, δικαιοτάτων ἀνθρώπων, γλακτοφάγους μὲν προσειπών, ὅ ἐστι κατὰ ἐντέλειαν γαλακτοφάγους, ὡς ἱππημολγοὺς καὶ ἀπὸ γάλακτος τρεφομένους καὶ γαλακτοπότας πρός τινων δι' αὐτὸ λεγομένους, ἀφ' ὧν καὶ ἱππάκης κατὰ Αἴλιον Διονύσιον βρῶμα Σκυθικὸν διὰ γάλακτος ἱππείου σκευαζόμενον· Ἀβίους δέ, ὅτι ὀλιγόβιοι, εὐτελεῖς γάρ εἰσι καὶ ἁπλοῖ τὴν δίαιταν, ἢ διότι ἅμα βίῳ πορεύονται ὡς ἀμαξόβιοι. νομάδων γὰρ ἐνταῦθα μέμνηται κατὰ τὸν γεωγράφον ὁ ποιητής, ὃς καὶ Θρᾳκῶν καὶ Μυσῶν μνήμην τῶν πρὸς τῷ

Теперь поэтъ вкратцѣ описываетъ страны, упоминая о Ѳракійцахъ, которыхъ предѣломъ или, *пожалуй*, началомъ *служитъ* Геллеспонтъ и которыхъ онъ называетъ «конеборными», ибо Ѳракійцы — народъ конелюбивый, о сражающихся въ рукопашную Мисійцахъ, *живущихъ* въ Македоніи и по Истру, и объ ἀγαυῶν Ἱππημολγῶν, въ упоминаніи о которыхъ, какъ говорятъ древніе, не ясно, есть-ли ἀγαυῶν названіе народа, а ἱππημολγῶν сказано въ видѣ эпитета, или наоборотъ — ἀγαυῶν эпитетъ, равнозначущій съ εὐειδῶν [благовидные], а Ἱππημολγῶν — народное названіе; такъ *понимать* лучше, потому что въ исторіи часто упоминается народъ Ипнимолги [Доители кобылицъ]; живетъ въ Скиѳіи этотъ народъ, т. е. дивныхъ Иппимолговъ, которыхъ поэтъ называетъ также млекоѣдами, авіями и справедливыми, говоря: «самъ онъ (какъ сказано) вспять обратилъ свѣтлыя очи, взирая вдаль на землю конеборныхъ Ѳракійцевъ, сражающихся въ рукопашную Мисійцевъ и дивныхъ Доителей кобылицъ, млекоѣдовъ и авіевъ, справедливѣйшихъ людей»; *поэтъ* назвалъ ихъ γλακτοφάγους, т. е. въ полной формѣ γαλακτοφάγους, какъ доящихъ кобылицъ и питающихся молокомъ, почему нѣкоторые называютъ ихъ млекопійцами; отсюда и «иппака» — по Элію Діонисію скиѳское кушанье, приготовляемое изъ кобыльяго молока. Ἄβιοι *поэтъ назвалъ* ихъ

1) Въ комментаріяхъ къ Одиссеѣ, p. 1745, 59, Евстаѳій производитъ Σκύθης отъ σκύτος.
2) Ирод. VI, 84 (см. выше стр. 56).

Digitized by Google

Ἴστρῳ ἐνταῦθα λέγει θέσθαι τὸν ποιητήν, ἱστορῶν Μυσοὺς καὶ πέραν τοῦ Ἴστρου. καὶ ἄλλως δέ, ἀβίους τοὺς ἅμα βιῷ, τουτέστι τόξῳ, τοξόται γάρ· ἢ ὅτι βίαν οὐκ οἴδασιν, ἐλεύθεροι γάρ· ἢ ὅτι ἄοικοι διὰ τὸ Σκυθικὸν νομαδικόν· ἐξ ὧν εἶναι φασὶ καὶ Ἀνάχαρσιν· ἢ ὅτι μακρόβιοι κατ' ἐπίτασιν τοῦ ᾱ, ἢ πολύβιοι, ὅ ἐστι πολυδύναμοι, ἀνδρεῖοι γάρ· καὶ οὕτω μὲν ἄβιοι. Δικαιότατοι δὲ καὶ οὐχ ἁπλῶς δίκαιοι, διότι κοινὰ ἔχουσι πάντα καὶ ὅτι τοὺς ὁδίτας τρέφοντες ἄλλος ἄλλῳ διαπέμπονται. αὐτόματον δὲ ἡ γῆ φέρει βίον αὐτοῖς, καὶ οὐδὲν ζῷον ἐσθίουσιν. εἰσὶ δέ, φασι, καὶ ἀνεπίμικτοι, καὶ οὐκ ἠθέλησαν συστρατεῦσαι Ἀμαζόσι κατὰ τῆς Ἀσίας. Αἰσχύλος δέ, φασιν, αὐτοὺς γαβίους λέγει. φασὶ δὲ καὶ πάντων Σκυθῶν ὑποκυψάντων Ἀλεξάνδρῳ μόνους Ἀβίους οὐχ ὑπεῖξαι· χρόνῳ δὲ ἐπισκεψαμένους ὡς ἀγαθὸς ἐκεῖνος βασιλεύς, ἐπικηρυκεύσασθαι πρὸς αὐτόν. Ἀρριανὸς δέ φησιν ὅτι οἰκοῦσι τὴν Ἀσίαν οἱ Ἄβιοι Σκύθαι αὐτόνομοι διὰ πενίαν καὶ δικαιότητα. ὅτι δὲ ἀμφίβολον εἴτε Ἀσιανὰ τὰ ῥηθέντα ἔθνη παρὰ τῷ ποιητῇ, εἴτε καὶ Εὐρωπαῖα, ἐπαμφοτερίζουσι γάρ, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται, οὐκ ἔστι ῥᾳδίως ἐπαγωνίσασθαι. καὶ οὕτω μὲν ἕτεροι. ὁ δὲ γεωγράφος φησὶν ὅτι οἱ παρ' Ὁμήρῳ Ἄβιοι οὕτω λέγονται διὰ τὸ χωρὶς εἶναι γυναικῶν. ἀπέχονται δὲ ἐμψύχων μέλιτι χρώμενοι καὶ γάλακτι καὶ τυρῷ. διὸ καὶ καλοῦνται θεοσεβεῖς καὶ καπνοβάται· ἢ Ἄβιοί, φησιν, ὡς ἀνέστιοι καὶ ἀμάξοικοι. λέγει δὲ καὶ νομάδας αὐτοὺς καὶ εὐτελεῖς καὶ αὐτάρκεις, πάντα κοινὰ ἔχοντας, καὶ γυναῖκας καὶ τέκνα. ἄμαχοι δέ εἰσι καὶ ἀνίκητοι, οὐδὲν ἔχοντες ὑπὲρ οὗ δουλεύσουσι. Περὶ δὲ τῶν Ἱππημολγῶν ἱστορεῖ καὶ ὅτι κρέασι χρῶνται ἱππείοις, τυρῷ τε ἱππείῳ καὶ γάλακτι καὶ ὀξυγάλακτι, ὃ καὶ ὄψημά ἐστιν αὐτοῖς. καὶ τοῦτο μὲν εἰς τὸ γαλακτοφάγους εἶναι. Δικαιοτάτους δέ φησι διότι ἐπιτρέψαντες τὴν γῆν γεωργοῖς αὐτοὶ ἔχουσι τὰ ὄρη, τάξαντες ἐκείνοις φόρους μετρίους εἰς τὰ ἐφήμερα καὶ ἀναγκαῖα τοῦ βίου, μὴ διδόντων δὲ πολεμοῦσιν... Τοῦ δὲ γεωγράφου καὶ ταῦτα· ἀμάξοικοι, ζῶντες ἀπὸ θρεμμάτων καὶ γάλακτος καὶ τυροῦ μάλιστα ἱππείου, θησαυρισμὸν οὐκ εἰδότες οὐδὲ

потому, что они ὀλιγόβιοι, т. е. умѣренны и просты по образу жизни, или потому, что странствуютъ съ пожитками, какъ живущіе на повозкахъ: ибо поэтъ упоминаетъ здѣсь о кочевникахъ по *мнѣнію* географа, который говоритъ [1]), что поэтъ вставилъ здѣсь упоминаніе и о Ѳракійцахъ и Мисійцахъ, *живущихъ* у Истра, прибавляя *при этомъ*, что Мисійцы живутъ и за Истромъ. По другому *объясненію* ἄβιοι *значитъ* имѣющіе βιόν, т. е. лукъ, ибо они лучники; или *они названы такъ потому*, что не знаютъ насилія (βίαν), ибо они свободны; или потому, что они бездомны вслѣдствіе скиѳскаго кочевого образа жизни; или потому, что долговѣчны (съ растяженіемъ α) или полубіи, т. е. велемощны, ибо они храбры, и потому *названы* ἄβιοι. «Весьма справедливы», а не просто справедливы они потому, что все имѣютъ общее, и потому, что кормятъ путниковъ и пересылаютъ ихъ другъ къ другу. Земля сама собою приноситъ имъ жизненные продукты, и они не ѣдятъ ничего живого. Они, говорятъ, не вступаютъ въ сношенія съ *другими народами* и не пожелали принять участіе въ походѣ Амазонокъ противъ Азіи. Эсхилъ, говорятъ, называетъ ихъ Гавіями. Говорятъ также, что, когда всѣ Скиѳы подчинились Александру, одни Авіи не поддались, но со временемъ, увидѣвши, что онъ хорошій царь, вступили съ нимъ въ сношенія. Арріанъ говоритъ, что въ Азіи живутъ Авіи-Скиѳы, никому не подчиненные вслѣдствіе бѣдности и справедливости [2]). А что не извѣстно навѣрное, азіатскіе ли народы названы поэтомъ, или европейскіе, — ибо *писатели* держатся и того и другого мнѣнія, какъ показано и въ замѣткахъ къ Періигету, — *съ этимъ* нелегко справиться. Такъ *говорятъ* прочіе *писатели;* а географъ говоритъ [3]), что Омировскіе Авіи названы такъ потому, что живутъ безъ женщинъ; они воздерживаются *отъ употребленія въ пищу* живыхъ *существъ*, питаясь медомъ, молокомъ и сыромъ, почему и называются богопочитателями и воскурителями; или *они называются* Ἄβιοι, говоритъ онъ, какъ бездомные и живущіе на повозкахъ; онъ называетъ ихъ также

V. 17: γαυοῖυς edd. Cf. supra p. 252, Steph. Byz. s. v. Ἄβιοι.
1) Страв. VII, 3, 2 (выше, стр. 109). 2) Арр. *Анаб.* IV, I, 1 (см. ниже). 1) Страв. VII, 3, 3 (см. выше стр. 110).

Digitized by Google

καπηλείαν πλὴν ἢ φόρτον ἀντὶ φόρτου, δικαιότατοι δέ, φησιν, ὡς μὴ ζῶντες ἐν συμβολαίοις καὶ ἀργυρισμῷ, ἀλλὰ κοινὰ πάντα ἔχοντες πλὴν ξίφους καὶ ποτηρίου. Ὅτι δὲ τρόφιμον καὶ τὸ γάλα, δηλοῖ ὁ γράψας ὅτι Φιλῖνός τις περιάδεται μήτε ποτῷ χρήσασθαί ποτε μήτε ἐδέσματι ἄλλῳ ἢ μόνῳ γάλακτι. καὶ πολλὰ δέ, φησιν, ἔθνη γαλακτοποτοῦντα ζῇ... Σημείωσαι δὲ ὡς, εἰ μέν τις τὰ βορειότερα τῆς Εὐρωπαίας Θράκης ἐν τοῖς εἰρημένοις νόησει καὶ τοὺς βαθυτέρους ἐν Εὐρώπῃ Μυσούς, ἐξ ὧν δύναται ὄψις καὶ εἰς τὰ Σκυθικὰ εὐθὺς μεταβῆναι, ὧν μέρος οἱ Ἱππημολγοί, εὐοδοῦται τὸ νόημα...

кочевниками, умѣренными и довольными своимъ положеніемъ и имѣющими все общее, *даже* женъ и дѣтей [1]). Они недоступны и непобѣдимы, не имѣя ничего *такого*, изъ за чего могли бы попасть въ рабство. О Доителяхъ географъ разсказываетъ также [2]), что они питаются кониной, кобыльимъ сыромъ, молокомъ и сывороткой, которая считается у нихъ лакомствомъ. Это относительно того, что они млекоѣды. Справедливѣйшими же географъ называетъ ихъ [3]) потому, что они, предоставивъ землю земледѣльцамъ, сами живутъ въ горахъ, назначивши имъ умѣренную дань для *удовлетворенія* ежедневныхъ насущныхъ потребностей жизни, а если *арендаторы* не даютъ *дани*, то воюютъ съ ними... Географъ *сообщаетъ* также слѣдующее [4]): *эти народы* живутъ на повозкахъ и питаются мясомъ домашнихъ животныхъ, молокомъ и сыромъ, преимущественно кобыльимъ, не имѣя понятія о запасахъ и мелочной торговлѣ, за исключеніемъ обмѣна товара на товаръ. Они весьма справедливы, говоритъ онъ, такъ какъ не занимаются торговыми дѣлами и сбереженіемъ денегъ, но всѣмъ владѣютъ сообща, кромѣ меча и чаши для питья. А что молоко питательно, это доказываетъ писатель, сообщившій, что нѣкій Филинъ пріобрѣлъ извѣстность тѣмъ, что никогда не употреблялъ иного питья или пищи, кромѣ одного молока; и многіе народы, говоритъ онъ, живутъ однимъ молокомъ... Замѣть, что если въ приведенныхъ словахъ *поэта* разумѣть сѣверныя части европейской Ѳракіи и живущихъ глубже въ Европѣ Мисійцевъ, отъ которыхъ взоръ можетъ тотчасъ перейдти и къ Скиѳамъ, часть которыхъ составляютъ Доители, то получается правильное пониманіе...

P. 986, 48 (ad XIV, 292).

...Ὅτι τὸ Γαργαρεῖς ἔθνους ὄνομα μιγνυμένου ταῖς Ἀμαζόσιν, ἡ αὐτὴ ἱστορία φησίν.

...Тотъ же разсказъ свидѣтельствуетъ, что Гаргареи — имя народа, вступающаго въ связи съ Амазонками [5]).

P. 987, 15 (ad XIV, 294).

...Ἄλλοι δὲ μυθεύονται ὅτι ἐξ Εὐρυμέδοντος, ἑνὸς τῶν Τιτάνων, ἔτεκεν ἡ Ἥρα

...Другіе передаютъ мнѣ, что Ира до замужества родила Промѳея отъ Еврime-

1) Страв. VII, 3, 7 (стр. 113). 2) Страв. VII, 4, 6 (стр. 126). 3) Тамъ же. 4) Страв. VII, 3, 7 (стр. 113). 5) Разсказъ этотъ Евстаѳій относитъ не къ опредѣленному писателю, а къ «нѣкоторымъ древнимъ». Ср. Страв. XI, 5, 1 (выше, стр. 144).

Digitized by Google

τὸν Προμηθέα παρθένιον, γνοὺς δὲ ὁ Ζεὺς τὸν μὲν Εὐρυμέδοντα ἐταρτάρωσε, τὸν Προμηθέα δὲ ὕστερον προφάσει τοῦ πυρὸς ἐν Καυκάσῳ ἀνασκολοπίσας προσεπαττάλευσε.

донта, одного изъ Титановъ, а Зевсъ, узнавъ *объ этомъ*, Евримедонта низвергъ въ тартаръ, а Промиѳея впослѣдствіи подъ предлогомъ *похищенія* огня распялъ и прибилъ гвоздями на Кавказѣ.

P. 1053, 4 (ad XVI, 174).

...Ὁ Ἀράξης ὁμοίως [sc. ὀξύ] καὶ αὐτὸς ῥέων τὴν ἐκ τοῦ ἀράσσειν [κλῆσιν εὐκλήρησεν]...

...Араксъ, благодаря своему бурному теченію, [получилъ свое названіе] отъ гл. ἀράσσειν...

P. 1159, 51 (ad XVIII, 514).

...Καὶ Σαυροματῶν δὲ αἱ γυναῖκες ἀνδρείαν ἐνδῦσαι στολὴν πολεμοῦσιν...

...И у Савроматовъ женщины, надѣвъ мужскую одежду, участвуютъ въ войнахъ...

P. 1257, 27 (ad XXII, 69).

...Πτολεμαῖος οὖν, φασίν, ὁ βασιλεὺς μὴ γεύσασθαι φασιανοῦ ὄρνιθος ὡμολόγησεν, ἐχρῶντο γὰρ οἱ παλαιοὶ αὐτοῖς ὡς ἀγάλμασιν...

...Царь Птолемэй, говорятъ, признался, что не пробовалъ фазана, ибо древніе воспитывали ихъ для украшенія...

ΕΥΣΤΑΘΙΟΥ

ΕΒΣΤΑΘΙЯ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

АРХІЕПИСКОПА ѲЕССАЛОНИКСКАГО

ΠΑΡΕΚΒΟΛΑΙ ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΝ.

ОБЪЯСНЕНІЯ КЪ ОМИРОВОЙ ОДИССЕѢ.

[Текстъ указанъ выше, на стр. 305].

P. 1382, 56 sq. (ad I, 4).

Ὅτι πόντος κυρίως τε καὶ κοινῶς πᾶν πέλαγος... ἰδίως δὲ πόντος παρὰ τοῖς ὕστερον καὶ ὁ Εὔξεινος, ἐκπλήττων αὐτὸς τοὺς Ἕλληνας διὰ τὸ ἐκτετοπίσθαι. διό φασι τοὺς ποντικοὺς ἀνθρώπους ἔλεγον, εἴ που φαίνοιντο, ἐκ τοῦ πολλοῦ ἥκειν πόντου, ὡς εἴπερ ἔλεγον ἐξ ὀλέθρου.

Понтомъ въ главномъ и общемъ значеніи *называлось* всякое море... въ частности же у позднѣйшихъ — Понтъ Евксинскій; онъ былъ страшенъ Эллинамъ по своей отдаленности; поэтому, говорятъ, про понтійскихъ людей, гдѣ либо появлявшихся, говорили, что они прибыли «изъ многаго Понта», что было равносильно выраженію «изъ ногибели».

P. 1493, 46 sq. (ad IV, 228).

...Πολύδαμνα δέ, ἡ κατὰ γένος οὐδέτερον ἐπιθετικῶς, τὰ πολλοὺς δαμάζοντα φάρμακα· ἢ κύριον γυναικὸς Αἰγυπτίας ἡ Πολύδαμνα ὡς ἡ Μήθυμνα, καθὰ καὶ Εὐφορίων φησί· βλαψίφρονα φάρμακα, ὅσσ' ἐδάη Πολύδαμνα, Κυταΐς ὅσα Μήδεια, τουτ-

...Полúдамна — или въ среднемъ родѣ въ видѣ эпитета, *т. е.* многихъ одолѣвающія зелья, или собственное имя египетской женщины — ἡ Πολύδαμνα какъ ἡ Μήθυμνα, какъ говоритъ и Евфоріонъ: «умовредительныя зелья, какія знала Полидамна и

Digitized by Google

έστι φάρμακα, ὧν ἴδρις ἦν ἡ Αἰγυπτία Πολύδαμνα καὶ Μήδεια ἡ ἐκ Κυταίας πόλεως, ἧς καὶ Λυκόφρων μέμνηται.

какія Китэйская Мидія», т. е. зелья, въ которыхъ свѣдуща была эгиптянка Полидамна и Мидія изъ города Китэи, о которой упоминаетъ и Ликофронъ [1]).

P. 1614, 1 sq. (ad IX, 32).

... Τὸ δὲ Αἰαίη ἀντὶ τοῦ Κολχικὴ κατὰ ἐπωνυμίαν τοπικήν· Αἶα γάρ πόλις Κολχίδος παρά τε ἄλλοις καὶ παρὰ Λυκόφρονι· ἧς ὁ πολίτης Αἰαῖος καὶ ἡ πολῖτις Αἰαία. καὶ ἡ νῆσος δὲ τῆς Κίρκης Αἰαία διὰ τὴν τοιαύτην Κίρκην. ἄλλως γὰρ εἴπερ πρωτοτυπίαν ἔχει ἡ Αἰαία νῆσος διὰ τῶν δύο αι, ὤφειλεν ἡ ἀπ' αὐτῆς Κίρκη ἔχειν καὶ τρίτον αι, ἵνα ἦν Αἰαιαίη, ὅπερ οὐκ ἔστι διά τε τὸ κακόφωνον καὶ διὰ τὴν ῥηθεῖσαν ὁμωνυμίαν. Ὁ δὲ γεωγράφος Αἶαν εἰπὼν πόλιν περὶ τὸν Φᾶσιν λέγει καὶ ὅτι περὶ τὴν τοιαύτην Κολχικὴν Αἶαν καὶ Αἰαίη νῆσος ἡ τῆς Κίρκης. ὅτι δὲ καὶ Αἰήτης ὁ ἥρως ἀπὸ τῆς τοιαύτης Αἴας ἐκλήθη, δηλοῦσιν οἱ παλαιοί.

... Αἰαίη *поставлено* вмѣсто Κολχική по мѣстному названію: ибо Эя *упоминается какъ* городъ въ Колхидѣ у другихъ *писателей* и у Ликофрона [2]); гражданинъ ея — Αἰαῖος, гражданка — Αἰαία. И островъ Кирки *также называется* Αἰαία изъ за этой Кирки: ибо иначе, если первоначальное названіе острова Αἰαία съ двумя αι, то живущая на немъ Кирка должна была бы имѣть и третье αι, чтобы было Αἰαιαίη, каковая форма *на самомъ дѣлѣ* не употребляется по неблагозвучію и по вышесказанной омониміи. Географъ, назвавъ городъ Эю на Фасидѣ, говоритъ, что близъ этой Колхидской Эи *лежитъ* и островъ Кирки — Эея [3]); древніе свидѣтельствуютъ, что и герой Эитъ получилъ имя отъ этой Эи.

Ibid. v. 62 sq. (ad IX, 65).

... Καὶ Πίνδαρος οὖν τὸν Ἰάσονος πλοῦν ἐπὶ ἀνακλήσει τῆς τοῦ Φρίξου ψυχῆς ἐκ τῆς Κολχίδος γῆς γενέσθαι μυθολογεῖ.

... И Пиндаръ разсказываетъ [4]), что походъ Іасона былъ предпринятъ съ цѣлью вызова души Фрикса изъ Колхидской земли.

P. 1649, 27 sq. (ad X, 86).

Τὸ δὲ ἐγγὺς νυκτός τε καὶ ἤματός εἰσι κέλευθοι οὐ μόνον τοπικῶς φασί τινες ἀντὶ τοῦ ἐγγὺς τῆς πόλεως κεῖνται, ὡς ἐρρέθη, αἱ νυκτερινὰι καὶ ἡμερινὰι νομαί, διὸ καὶ οἱ νομεῖς ἀλλήλους, ὡς ἐρρέθη, προσφθέγγονται, ἀλλὰ καὶ χρονικῶς ἐκλαμβάνονται, ὡς καιροῦ τινος πάνυ βραχείας ἐκεῖ τὰς νύκτας ποιοῦντος. διὸ μηδὲ ῥᾴδιον δύνασθαι μέρος μέν τι τῆς νυκτὸς ἀναπαύσασθαί τινα ἱκανῶς, μέρος δὲ βουκολῆσαι διὰ τὸ ἐγγὺς ἀρξαμένῃ δηλαδὴ τῇ νυκτὶ καὶ τὴν τοῦ ἡλίου συντρέχειν ἀνατολὴν ὀλίγον χρόνον διατρίψαντος ὑπὸ γῆν. ὅθεν τὸν τηνικαῦτα δυνάμενον ὀλιγοϋπνεῖν κερδαίνειν διπλᾶ. κατῆρξε δέ, φασι, τῆς τοιαύτης μαθηματικῆς ἐπινοίας Κράτης, βραχείας ὑποθέμενος τὰς ἐκεῖ νύκτας καὶ εἰπὼν εἶναι τοὺς

Выраженіе «близки пути ночи и дня» нѣкоторые принимаютъ не только въ мѣстномъ значеніи, *т. е.* что ночныя и дневныя пастбища лежатъ, какъ сказано, вблизи города, почему и пастухи, какъ сказано, привѣтствуютъ другъ друга, — но и во временномъ, т. е. что въ теченіи нѣкотораго времени тамъ бываютъ очень короткія ночи, почему и не легко возможно кому нибудь въ теченіи одной части ночи достаточно отдохнуть, а въ другую часть пасти скотъ, потому что съ началомъ ночи близко сходится и восходъ солнца, короткое время пробывшаго подъ землей; поэтому *человѣкъ*, могущій довольствоваться короткимъ сномъ, заработываетъ тамъ вдвое. Такое математическое объяс-

1) *Алекс.* 1312. 2) *Алекс.* 1024. 3) Страв. I, 2, 9 (выше, стр. 92) и I, 3, 39 (выше, стр. 94). 4) *Пиѳ.* IV, 159 (см. ниже стр. 323).

Digitized by Google

Λαιστρυγόνας ὑπὸ τὴν κεφαλὴν τοῦ δράκοντος κατηστερισμένην περὶ αὐτούς, ἣν καὶ Ἄρατος λέγει ἴσσεσθαι ἠχιπερ ἄκραι μίσγονται δύσιές τε καὶ ἀνατολαὶ ἀλλήλῃσιν. ὥστε φασὶ καὶ πλείω μὲν εἶναι τὴν ἡμέραν, ὀλίγην δὲ τὴν νύκτα. οὐ τὸ ἀνάπαλιν παρὰ τοῖς Κιμμερίοις, πρ' οἷς ὁ μῦθος πολυημέρους νύκτας πλάττεται, ὅθεν σύνεγγυς οὐσῶν ἐν Λαιστρυγονίᾳ τῶν ἀνατολῶν ταῖς δύσεσι καὶ τῆς νυκτὸς βραχυτάτης οὔσης διὰ τὸ ἐγγὺς τετάχθαι τῆς ἡμέρας εἰκότως ῥάναι τὸν ποιητὴν πλησιάζειν τὰς τῆς νυκτὸς κελεύθους ταῖς τοῦ ἤματος...

неніе первый далъ, говорятъ, Кратитъ, предложившій гипотезу о краткости тамошнихъ ночей и сказавшій, что Лэстригоны живутъ подъ головою Дракона, находящейся среди звѣздъ надъ ними; Аратъ тоже сказалъ *про нее*, что она находится тамъ, гдѣ «концы заката и восхода смѣшиваются другъ съ другомъ». Поэтому и говорятъ, что день больше, а ночь коротка. Обратное этому *явленіе* у Киммерійцевъ, у которыхъ миѳъ сочиняетъ многосуточныя ночи. Поэтому, такъ какъ въ Лэстригоніи восходъ *солнца* близокъ къ закату и ночь очень коротка вслѣдствіе близости къ дню, поэтъ правильно сказалъ, что пути ночи близки къ путямъ дня...

P. 1667, 42 sq. (ad X, 514).

... Οἱ γοῦν ἱστοροῦντες ἔθνος Εὐρωπαῖον τοὺς Κιμμερίους ἐπέκεινα Ἰταλίας οἰκοῦν ὑπὸ γῆν... φασὶ καὶ πηγὴν ἐν τοιούτοις τόποις Στύγα εἶναι νομιζομένην, καὶ Πυριφλεγέθοντα, καὶ Ἀχέροντα...

Писатели, представляющіе Киммерійцевъ европейскимъ народомъ, живущимъ за Италіей подъ землей... говорятъ, что въ этихъ мѣстахъ есть и источникъ, признаваемый Стиксомъ, и Пирифлегеѳонтъ, и Ахеронтъ...

P. 1671 (ad XI, 14).

Ἰστέον δὲ ὅτι καθάπερ ποταμοὺς ὑπὲρ γῆς ὄντας καὶ ἱστορουμένους μετήγαγεν ἡ μυθικὴ αὐτονομία εἰς Ἅιδην, ὀνόματα ἐπιλεξαμένη τοῖς κάτω προσήκοντα, ὡς καὶ προδεδήλωται, οὕτω καὶ τοὺς Κιμμερίους, ἔθνος ὄντας ἱστορίαις γνωστόν, μετοικίζειν ἐθέλει πρὸς παροικίαν Ἅιδου, διὰ ὁμοιότητα καὶ αὐτοὺς ὀνόματα ἐπιλεξάμενος. δοκεῖ γὰρ παραδηλοῦν κατὰ τὸν ἦχον τῆς προφορᾶς ἡ λέξις τοὺς περὶ ἠρία κειμένους ἢ περὶ ἔραν, ὡς οἷον νερτέρους. Κράτης μέντοι κερβερίους γράφει, ἀκολουθήσας οἶμαι τῷ κωμικῷ, τόπον τοὺς βερβερίους παίζοντι. ἕτεροι δὲ Χειμερίους τούτους ἔγραψαν, ἐκ τῶν ἀληθῶν ἴσως Κιμμερίων τοὔνομα ποησάμενοι· βορειότατοι γὰρ ἐκεῖνοι καὶ διὰ τοῦτο χειμέριοι. ἀλλ' οὕτω μὲν οἱ Ὁμηρικοὶ Κιμμέριοι ὡς ἐν πλάσματι περιφέρονται τῶν ἀρκτῴων ἐξοικισθέντων τόπων ἐπὶ δυσμάς, ὑπηρετοῦντος τῇ ποιήσει κἀνταῦθα τοῦ πολλὰ παρ' αὐτῇ δυναμένου μύθου καὶ οὐ μόνον ἐκ τῆς ἄρκτου εἰς ἑσπέραν, ἀλλὰ καὶ εἰς αὐτὸν Ἅιδην ἀναστατοῦντος αὐτούς, ὃς οὐδὲ ἐξαμήνῳ γοῦν φωτὶ κατὰ τὸ θρυλούμενον περιλάμπει αὐτούς, ἀλλὰ παρ' Ὁμήρῳ διὰ βίου ὑπὸ σκότει ποιεῖ. καὶ τί

Нужно знать, что подобно тому, какъ миѳическая свобода перенесла въ Аидъ находящіяся на землѣ и извѣстныя въ исторіи рѣки, придавъ имъ имена, приличествующія подземному царству, какъ *это* указано выше, — такъ и Киммерійцевъ, народъ извѣстный въ исторіи, *поэтъ* хочетъ переселить въ сосѣдство съ Аидомъ, выбравъ и для нихъ имя по сходству: ибо ихъ названіе, по звуку произношенія, повидимому означаетъ живущихъ [собств. лежащихъ] у гробницъ или у земли, т. е. какъ-бы подземныхъ. Однако Кратитъ пишетъ керберіусы, слѣдуя, я думаю, комику, въ шутку упоминающему мѣсто берберіусы; а другіе написали Хеимеріусы, быть можетъ, заимствовавъ это имя отъ дѣйствительныхъ Киммерійцевъ, ибо послѣдніе живутъ на крайнемъ сѣверѣ и потому *могутъ быть названы* хеимеріои [т. е. зимними, холодными]. Но такимъ образомъ омировскіе Киммерійцы въ вымыслѣ переносятся изъ сѣверныхъ мѣстностей на западъ, при чемъ поэзіи и здѣсь оказываетъ услугу имѣющій въ ней большое значеніе миѳъ, переносящій ихъ не только съ сѣвера на за-

Digitized by Google

γὰρ ἀλλ' ἢ προσοίκους τῷ Ἅιδῃ; τοὺς δὲ τοιούτους οὐδὲ ποτε εἰκὸς Ἡλίῳ λάμπεσθαι. ἡ δὲ ἱστορία ἔθνος αὐτοὺς ἔχει Σκυθικόν, νομαδικόν, ἀρκτικόν, οὑπερ ἀπόμοιρα λέγεταί ποτε μικρόν τι πρὸ Ὁμήρου ἢ καὶ ἐπ' αὐτοῦ ἐκ τοῦ Κιμμερίου βοσπόρου ὁρμηθεῖσα, Τρῆρες δέ φασιν ἐκαλοῦντο, πολλὴν τῆς Ἀσίας καταδραμεῖν καὶ τὰς Σάρδεις ἑλεῖν καὶ τῶν Μαγνήτων δὲ πολλοὺς ἀνελεῖν τῶν κατὰ τὸν Μαίανδρον, ἐμβαλεῖν δὲ καὶ ἐπὶ Παφλαγόνας καὶ Φρύγας, ὅτε καὶ Μίδας λέγεται αἷμα ταύρου πιὼν, ὡς Θεμιστοκλῆς ὕστερον, εἰς τὸ χρεὼν ἀπελθεῖν. φασὶ δὲ τὸ κατ' αὐτοὺς κλίμα ὀρῶν ὕψει περιεχόμενον ἐξ ἕω καὶ δύσεως καὶ ζοφῶδες ὂν ἐξάμηνον μὲν ἔχειν ἀχλύν· καὶ τοῦτο εἶναι οἷον νύκτα, κατὰ τὸ «ὀρώρει δ' οὐρανόθεν νύξ», ὡς ἐφορῶντος μὲν ἡλίου αὐτούς, οὐ μὴν φαέθοντος, καθὰ δηλοῖ καὶ ὁ ποιητής, ὡς διασκεδάζειν τὸ τῆς ἀχλύος πάχος καὶ ἱλαρὰν ἡμέραν ἀγαγεῖν αὐτοῖς. τὸ δὲ λοιπὸν ἑξάμηνον ἐκ μεσημβρίας, ἢ καὶ ἄλλοθέν ποθεν, ἥλιον καθαρὸν ἐπιλάμπειν αὐτοῖς. Ἀρριανὸς δέ φησιν ὅτι Κιμμέριοι Σκυθικὸν ἔθνος ἐξ ἠθῶν τῶν οἰκείων ἀναστάντες καὶ πάντας τοὺς διὰ μέσου βλάπτοντες ἦλθον ἕως Βιθυνίας. Ἡρόδοτος δὲ ἱστορεῖ ὅτι βασιλεύοντος Ἄρδυος τοῦ Γύγου Κιμμέριοι ἐξαναστάντες τῶν οἰκείων ἠθῶν ὑπὸ Σκυθῶν τῶν νομάδων ἀφίκοντο εἰς Ἀσίαν, ὅτε καὶ τὰς Σάρδεις εἷλον. ἄλλοι δέ φασι καὶ ὅτι ἱερὰ θεῶν καταδραμόντες ἐσύλησαν ἐν Ἀσίᾳ. ὅθεν οἱ ἀοιδοὶ μὴ ἔχοντες ἄλλως αὐτοὺς βλάψαι μυθοπλάστῳ ἐκτοπισμῷ τὴν τοῦ ἔθνους κακίαν ἠμύναντο κατά τι φασὶ κοινὸν ἔχθος Ἰώνων πρὸς αὐτούς. Ἴων δὲ καὶ ὁ ποιητὴς ὁ τῶν τοιούτων ἀοιδῶν κορυφαῖος. εἰσὶ δὲ οἳ καὶ Εὐρωπαῖον ἔθνος ἐπέκεινα Ἰταλίας ἔχον ὑπόγαιον ὡς τὰ πολλὰ ζωὴν τοὺς Κιμμερίους ἱστόρησαν... τὰ δὲ παλαιὰ σχόλια φασὶ καὶ ὅτι ἔθνος περιοικοῦν τὸν Ὠκεανόν οἱ Κιμμέριοι. ἄλλως δὲ, ὅτι Κιμμερίους ὑποτίθεται ὁ ποιητὴς τοὺς κατὰ δύσιν οἰκοῦντας καὶ προσκειμένους τῷ Ἅιδῃ. λέγουσι δὲ καὶ ἱστορεῖσθαι Σκύθας ὑπὸ Κιμμερίων ἐξελαθῆναι...

падъ, но даже въ самый Аидъ, который не освѣщаетъ ихъ даже шестимѣсячнымъ свѣтомъ по обычному преданію, но у Омира держитъ ихъ въ вѣчномъ мракѣ. Что же иное *они*, какъ не сосѣди Аида? а таковые никогда не могутъ быть освѣщаемы солнцемъ. Въ исторіи же они являются народомъ скиѳскимъ, кочевымъ и сѣвернымъ, небольшая часть котораго, говорятъ, не задолго до Омира или даже въ его время, двинувшись съ Киммерійскаго Воспора, — назывались они, говорятъ, Трирами, — обошла большую часть Азіи, взяла Сарды, уничтожила многихъ Магнитовъ, *жившихъ* по *рѣкѣ* Мэандру, и вторглась даже въ Пафлагонію и Фригію; тогда-то, говорятъ, и Мида покончилъ свою жизнь, напившись бычачьей крови, какъ впослѣдствіи Ѳемистоклъ. Говорятъ, что страна Киммерійцевъ, окруженная горными высотами съ востока и запада и *потому* мрачная, въ теченіи 6 мѣсяцевъ окутана туманомъ, подобнымъ ночи, по выраженію «спустилась съ неба ночь», такъ какъ солнце смотритъ на нихъ, но, какъ свидѣтельствуетъ и поэтъ, не освѣщаетъ *на* столько, чтобы разсѣять густоту тумана и принести имъ ясный день; а въ другіе 6 мѣсяцевъ чистое солнце свѣтитъ имъ съ юга или съ какой нибудь другой стороны. Арріанъ говоритъ [1]), что скиѳское племя Киммерійцевъ, поднявшись съ своей родины и вредя всѣмъ *встрѣчавшимся* на пути, дошло до Виѳиніи. Иродотъ разсказываетъ [2]), что въ царствованіе Ардія, сына Гигова, Киммерійцы, изгнанные съ родины Скиѳами-кочевниками, пришли въ Азію и взяли при этомъ Сарды. Другіе говорятъ также, что при своемъ нашествіи они разграбили святилища боговъ въ Азіи. Поэтому пѣвцы, не имѣя возможности повредить имъ иначе, вымышленнымъ переселеніемъ отомстили за дурные поступки *этою* народа вслѣдствіе всеобщей, говорятъ, вражды къ нимъ іонійцевъ; а поэтъ, стоящій во главѣ этихъ пѣвцовъ, — также іоніецъ. Нѣкоторые *писатели* представляли также Киммерійцевъ европейскимъ народомъ по ту сторону Италіи, живущимъ по большей части подъ землей ... Древніе

1) Вѣроятно въ соч. «Виѳуніакá» (у Мюллера этотъ отрывокъ пропущенъ). 2) Ирод. I, 15: ἐπὶ τούτου [sc. Ἄρδυος τοῦ Γύγεω] τυραννεύοντος Σαρδίων Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν νομάδων ἐξαναστάντες ἀπίκοντο ἐς τὴν Ἀσίην καὶ Σάρδις πλὴν τῆς ἀκροπόλιος εἷλον.

Digitized by Google

схоліи говорятъ также[1]), что Киммерійцы — народъ, живущій вокругъ Океана; *или* иначе — что подъ Киммерійцами поэтъ разумѣетъ живущихъ на западѣ и близкихъ къ Аиду. Говорятъ также, что есть преданіе объ изгнаніи Скиѳовъ Киммерійцами...

P. 1711, 58 sq. (ad XII, 70).

Σημείωσαι δὲ ὅτι τὰς χαλεπὰς Πλαγκτὰς πέτρας, ἃς καὶ διεξέπλευσεν ἀβλαβὴς μόνη ἡ Ἀργὼ ἐκ τῆς Κολχίδος παρ' Αἰήταο, ἤγουν ἐκ τοῦ Αἰήτου πλέουσα, ὁ ποιητὴς ὡς διά τινος πετροβόλου τεραστίας μηχανῆς ἐκ τοῦ κατὰ Θράκην πορθμοῦ εἰς τὸν Σικελικὸν ἐξετίναξεν ὑπὸ ἀρχιτέκτονι τῷ μύθῳ καὶ ῥιζώσας ἐκεῖ ἐξετόπισε, κατὰ ὁμοιότητα δῆθεν τῶν κατὰ Θράκην Συμπληγάδων, ἃς περὶ τὸν πρὸ τοῦ Εὐξείνου Θρᾳκικὸν πορθμὸν πλαττομένας εἶναι, ὡς ἐν τοῖς τοῦ περιηγητοῦ ἐρρέθη, παρῆλθεν ἡ Ἀργὼ κατὰ τοὺς μεθ' Ὅμηρον, ἐκ τῆς Προποντίδος καὶ τοῦ Πόντου εἰς τὴν Κολχίδα γῆν ἐκ Θετταλίας ἀναπλέουσα. ἐκ δὲ τῆς Κολχικῆς καθ' ἑτέραν κέλευθον παλίμπλους στελλομένη ἐνέκυρσε ταῖς καθ' Ὅμηρον ἄρτι μυθευομέναις Πλαγκταῖς. λέγεται γὰρ πρός τινων, ὅτι παλιννοστοῦντες ἐκ Κόλχων οἱ Ἀργοναῦται οὐ τὸν αὐτὸν ἐστείλαντο πλοῦν, οὐδὲ τὸν Εὔξεινον αὖθις διὰ τοῦ κατὰ τὸ Βυζάντιον πορθμοῦ καὶ τῶν ῥηθεισῶν Συμπληγάδων διεξέπλευσαν, ἀλλ' ἔχοντες τήν τε Μήδειαν τό τε χρυσοῦν κῶας τὸν σκοπὸν καὶ τὸ ἆθλον ἐκείνου τοῦ πλοῦ ἄλλην ἐτράποντο... Ἕτεροι δέ φασιν ὅτι τῷ Ἴστρῳ τὴν Ἀργὼ ἐκ τοῦ Εὐξείνου προσχόντες οἱ Ἀργοναῦται καὶ διὰ ποταμοῦ ἑτέρου ἢ καὶ διά τινος ἀποσπάδος τοῦ μεγάλου Ἴστρου τῷ Ἀδρίᾳ κόλπῳ ἐμβαλόντες καὶ ὡς ἔπος εἰπεῖν μεταβάντες ἐκ τοῦ Ἴστρου εἰς τὸ Ἰόνιον πέλαγος, εἶτα πρὸς τὰ ἑσπέρια κάμψαντες εἰς τὸν Σικελικὸν πορθμὸν διεξέπεσον· ὅτε καὶ παρέπλευσαν ὥσπερ πρὸ τούτων τὰς Θρᾳκίας Συμπληγάδας, οὕτω καὶ τὰς ἑσπερίας τότε Πλαγκτάς...

Замѣть, что тяжкія Блуждающія скалы, сквозь которыя невредимо проплылъ одинъ *корабль* Арго на пути изъ Колхиды παρ' Αἰήταο, т. е. отъ Эита, поэтъ какъ бы посредствомъ чудесной камнеметательной машины подъ руководствомъ мастера — мѣха перекинулъ изъ Ѳракійскаго пролива въ Сицилійскій и, укоренивъ тамъ, перенесъ на новое мѣсто, конечно на подобіе ѳракійскихъ Симплигадъ, которыя по мнѣнію находились въ Ѳракійскомъ проливѣ предъ Евксиномъ, какъ сказано въ *объясненіяхъ* къ Перигиту, и сквозь которыя, по свидѣтельству *писателей, живущихъ* послѣ Омира, прошелъ Арго во время плаванія изъ Ѳессаліи чрезъ Пропонтиду и Понтъ въ Колхидскую землю; а при возвращеніи изъ Колхиды, плывя другимъ путемъ, онъ встрѣтилъ упоминаемыя теперь у Омира Планкты. Ибо нѣкоторые говорятъ, что при возвращеніи изъ Колхиды Аргонавты избрали не тотъ же путь и не проплыли снова Евксинъ чрезъ Византійскій проливъ и вышесказанныя Симплигады, но, взявъ Мидію и золотое руно, цѣль и призъ этого плаванія, направились другимъ *путемъ*... Другіе говорятъ, что Аргонавты, изъ Евксина приставъ съ Арго къ Истру и по другой рѣкѣ или по какому-то рукаву великаго Истра вступивъ въ Адріатическій заливъ и, такъ сказать, перейдя изъ Истра въ Іонійское море, затѣмъ уклонившись къ западу, попали въ Сицилійскій проливъ; тогда-то они и проплыли западныя Планкты подобно тому, какъ раньше Ѳракійскія Симплигады[2])...

P. 1713, 35 sq. (ad XII, 67).

...Ὅτι δὲ καὶ τὸ ἅμα λαμβάνεται τὰ πλείω χρυνικῶς, πρόδηλόν ἐστιν... τοιοῦτον

... Ясно, что и ἅμα принимается по большей части во временномъ смыслѣ...

1) См. выше стр. 304. 2) Далѣе слѣдуетъ разсказъ о проходѣ Аргонавтовъ сквозь Симплигады при помощи Финея и пр.

Digitized by Google

φασὶ καὶ τὸ «Σόλων ἅμα ἐγένετο Ἀναχάρσιδι». ὅ περ ἐστὶ κατὰ τὸν αὐτὸν χρόνον ἤκμασαν. οὐ δήπου γὰρ τὸν Ἕλληνα Σόλωνα καὶ τὸν Σκύθην σοφὸν ὁ αὐτὸς τόπος εἰς γένεσιν παρήγαγε...

Таково, говорятъ, и выраженіе «Солонъ жилъ вмѣстѣ съ Анахарсидомъ», означающее, что они процвѣтали въ одно и то же время; ибо безъ сомнѣнія не въ одномъ и томъ же мѣстѣ родились Еллинъ Солонъ и скиѳскій мудрецъ...

(Ad v. 70). ...Τινὲς δὲ γράφουσι φασιμέλουσαν [sc. pro πασιμέλουσαν], ἐπειδὴ φασιν αὐτὴν εἰς τὸν Φᾶσιν Κολχικὸν ποταμὸν ἐλθοῦσαν ἐπεσκεύασαν οἱ Ἀργοναῦται ἀκεσάμενοι εἴ τί που παρεβλάβη κατὰ τὸν πλοῦν...

... Нѣкоторые пишутъ φασιμέλουσαν [вм. πασιμέλουσαν], такъ какъ, говорятъ, по прибытіи въ Колхидскую рѣку Фасидъ Аргонавты починили свой *корабль*, исправивъ случившіяся во время плаванія поврежденія...

P. 1775, 27 sq. (ad XV, 85) [1]).

...Οἱ δὲ παλαιοὶ λέγουσι καὶ ὅτι σκύφος ἀπὸ τοῦ σκαφίδος ἥτις ἐστὶ ξύλινον ἀγγεῖον στρογγύλον, γάλα καὶ ὁρὸν δεχόμενον. Ὅμηρος· γαυλοί τε σκαφίδες τε τοῖς ἐνάμελγεν, εἰ μή που, φασί, τὸ σκύφος ἐστὶν ὡς οἷον σκύθος τις διὰ τοὺς Σκύθας, οἳ περαιτέρω τοῦ δέοντος μεθύσκονται, ὅθεν, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, καὶ τὸ μεθύσαι σκυθίσαι καὶ ἐπισκυθίσαι ἐλέγετο... ἐσκώπτετο δὲ καί τις Λακεδαιμόνιος Δερκυλλίδας ἐν τῷ καλεῖσθαι σκύθος, ἴσως ἀπὸ τῶν Σκυθῶν· ἄνθρωπος ἐκεῖνος οὐδέν, φασιν, ἐν τῷ τρόπῳ Λακωνικὸν οὐδ' ἁπλοῦν ἔχων, ἀλλὰ πολὺ τὸ πανοῦργον καὶ τὸ θηριῶδες...

... Древніе говорятъ также, что σκύφος *происходитъ* отъ *слова* σκαφίς, обозначающаго круглый деревянный сосудъ для храненія молока и сыворотки; Омиръ *говоритъ* [2]): «подойники и судки, въ которые они доили»; если только, говорятъ, σκύφος не есть то же, что σκύθος отъ Скиѳовъ, которые напиваются больше, чѣмъ слѣдуетъ, откуда, какъ указано и въ другомъ мѣстѣ [3]), «напоить допьяна» выражалось *глаголами* σκυθίσαι и ἐπισκυθίσαι... Нѣкій Лакедэмонянинъ Деркиллидъ назывался въ насмѣшку σκύθος, можетъ быть, отъ Скиѳовъ: этотъ человѣкъ, какъ говорятъ, въ своемъ характерѣ не имѣлъ ничего Лаконскаго и простаго, но много хитрости и звѣрства [4])...

P. 1836, 62 sq. (ad XVIII, 35).

...Μνηστέον δ' ἐνταῦθα τοῦ μεμψαμένου ἄκαιρον γέλωτα τὸν ἐπ' ἀνθρώποις οἵπερ οὐκ ἂν γελῷντο. Ἀνάχαρσις δὲ ἦν ἐκεῖνος· ὃς ἐν συμποσίῳ, γελωτοποιῶν μέν, φασιν, εἰσαχθέντων, ἀγέλαστος διέμεινε, πιθήκου δὲ ἐπεισαχθέντος ἐγέλασεν εἰπὼν ὅτι οὗτος μὲν φύσει γελοῖός ἐστιν, ὁ δ' ἄνθρωπος ἐπιτηδεύεται...

... Здѣсь слѣдуетъ вспомнить осудившаго несвоевременный смѣхъ надъ людьми, не заслуживающими насмѣшки. Это былъ Анахарсидъ: онъ, говорятъ, на пиру, когда были введены шуты, остался серьезнымъ, а когда ввели затѣмъ обезьяну, разсмѣялся, сказавъ, что обезьяна смѣшна отъ природы, а человѣкъ дѣлаетъ *себя смѣшнымъ* нарочно...

P. 1837, 61 sq. (ad XVIII, 70).

...Πρωτότυπον δὲ τοῦ ἀλδαίνειν τὸ ἀλδῶ, ἀλδήσω, ἐξ οὗ καὶ τὸ ἀλδήσκω, καὶ

... *Глаголъ* ἀλδαίνειν [укрѣплять, увеличивать] происходитъ отъ ἀλδῶ, ἀλδήσω,

1) Изъ разбора происхожденія и значенія слова σκύφος. 2) Od. IX, 223. 3) P. 746, 50 sq. (см. выше стр. 308). 4) Разсказъ о Деркиллидѣ заимствованъ у Аѳинэя (XI, p. 500 B), заимствовавшаго его въ свою очередь изъ 18-ой книги Ефора (см. Fragm. hist. Graec. ed. Müller, v. I p. 271, Ephori fragm. 130); но по замѣчанію Диндорфа «deceptus est Athenaeus prava scriptura, nam Σίσυφος Dercylidae cognomen fuit».

Digitized by Google

ποταμός που Ἀλδησκος θρεμμάτων θερα-
πευτικός...

откуда и ἀλδήσκω; *есть* гдѣ-то и рѣка Алдискъ, излѣчивающая домашнихъ животныхъ...

P. 1967, 31 sq. (ad XXIV, 465).

...Ῥῦμος μὲν ποταμὸς Σκυθίας, ῥυμὸς δὲ ἅρματος... καὶ ψυχρὸς μὲν ὁ ἐψυγμένος, Ψύχρος δὲ ποταμὸς Σαρματίας.

... Ῥῦμος — рѣка *въ* Скиѳіи, а ῥυμὸς [дышло] — у колесницы... и ψυχρὸς *значитъ* холодный, охлажденный, а Ψύχρος — рѣка *въ* Сарматіи [1]).

ΗΣΙΟΔΟΣ.

ИСІОДЪ.

[Жилъ въ VIII в. до Р. Хр.—Текстъ: Hesiodi carmina recensuit et commentariis instruxit Car. Goettlingius; ed. 8, quam curavit Ioannes Flach. Lips. 1878].

ΘΕΟΓΟΝΙΑ.

РОДОСЛОВІЕ БОГОВЪ.

Vv. 337—345.

Τηθὺς δ' Ὠκεανῷ Ποταμοὺς τέκε δινήεντας,
Νεῖλόν τ' Ἀλφειόν τε καὶ Ἠριδανὸν βαθυδίνην,
Στρυμόνα, Μαίανδρόν τε καὶ Ἴστρον καλλιρέεθρον,
Φᾶσίν τε Ῥῆσόν τε...
Εὔηνον τε καὶ Ἀρδησκον, θεῖόν τε Σκαμανδρον.

Тѳѳія родила Океану изобильныя водоворотами рѣки: Нилъ, Алфей, глубокопучивный Иринанъ, Стримонъ, Мэандръ, красиво текущій Истръ, Фасидъ и Рисъ... Евинъ, Ардискъ и божественный Скамандръ.

Vv. 521—528.

Δῆσε δ' [ὁ Ζεὺς] ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον
δεσμοῖς ἀργαλέοισι μέσον διὰ κίον' ἐλάσσας.
καὶ οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ' ἧπαρ
ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ
νυκτός, ὅσον πρόπαν ἦμαρ ἔδοι τανύπτερος ὄρνις.
τὸν μὲν ἄρ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἡρακλέης ἔκτεινε, κακὴν δ' ἀπὸ νοῦσον ἄλαλκεν
Ἰαπετιονίδῃ, καὶ ἐλύσατο δυσφροσυνάων...

[Зевсъ] сковалъ изворотливаго Прометея несокрушимыми, тяжкими цѣпями, продѣвъ ихъ сквозь средину столпа, и наслалъ на него длиннокрылаго орла: онъ пожиралъ безсмертную печень, но она по ночамъ выростала повсюду ровно *на столько*, сколько за весь день съѣдала длиннокрылая птица. Его убилъ Иракль, могучій сынъ милоногой Алкмины, избавилъ Іапетова сына отъ тяжкаго страданія и освободилъ отъ печалей...

---

1) Эти два свидѣтельства приведены Евстаѳіемъ въ числѣ многихъ примѣровъ перемѣны ударенія въ именахъ собственныхъ для отличія отъ нарицательныхъ или прилагательныхъ.

Digitized by Google

Vv. 956—962.

Ἠελίῳ δ' ἀκάμαντι τέκε κλυτὸς Ὠκεανίνη
Περσηὶς Κίρκην τε καὶ Αἰήτην βασιλῆα.
Αἰήτης δ' υἱὸς φαεσιμβρότου Ἠελίοιο
κούρην Ὠκεανοῖο τελήεντος ποταμοῖο
γῆμε θεῶν βουλῇσιν Ἰδυῖαν καλλιπάρῃον.
ἡ δέ νύ οἱ Μήδειαν ἐύσφυρον ἐν φιλότητι
γείνατ' ὑποδμηθεῖσα διὰ χρυσέην Ἀφροδίτην.

Неутомимому Илію [Солнцу] славная Океанида Персида родила Кирку и царя Эита. Эитъ, сынъ лучезарнаго Илія, по волѣ боговъ взялъ въ жены миловидную Идію, дочь всесовершенной рѣки Океана. Она, покоренная ради златой Аѳродиты, родила ему въ любви славноногую Медію.

Vv. 992—999.

Κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης βουλῇσι θεῶν αἰειγενετάων
ἦγε παρ' Αἰήτεω, τελέσας στονόεντας ἀέθλους,
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεὺς ὑπερήνωρ,
ὑβριστὴς Πελίης καὶ ἀτάσθαλος, ὀβριμοεργός.
τοὺς τελέσας ἐς Ἰωλκὸν ἀφίκετο, πολλὰ μογήσας,
ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην
Αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν.

Дочь божественнаго царя Эита по волѣ вѣчноживущихъ боговъ увелъ отъ Эита сынъ Эсона, совершивъ тяжкіе подвиги, которыхъ много назначилъ ему великій надменный царь, насильникъ и гордецъ Пелій, свершитель жестокихъ дѣлъ; исполнивъ эти *подвиги*, сынъ Эсона послѣ многихъ тяжкихъ трудовъ прибылъ въ Іолкъ, везя на проворномъ кораблѣ быстроокую дѣву, и сдѣлалъ ее своею цвѣтущей супругой.

ΑΠΟΣΠΑΣΜΑΤΑ. ОТРЫВКИ.

Ἀστρονομία. Fragm. 14 ap. Kinkel, Epicorum Gr. fragmenta, v. I: Hygin. Astr. II, 20:

Aries. Hic existimatur esse, qui Phrixum et Hellen transtulisse dictus est per Hellespontum, quem Hesiodus et Pherecydes ait habuisse auream pellem.

Овенъ. Думаютъ, что это тотъ самый *баранъ*, который, по преданію, перевезъ Фрикса и Геллу чрезъ Геллеспонтъ и который по словамъ Исіода и Ферекида имѣлъ золотую шкуру.

Pseudo-Eratosth. Catast. 19: Κριὸς... εἶχε δὲ χρυσῆν δοράν, ὡς Ἡσίοδος καὶ Φερεκύδης εἰρήκασι.

Баранъ... онъ имѣлъ золотую кожу, какъ сказали Исіодъ и Ферекидъ.

Schol. Sangerm. ad Germ. Arat. 224 et Schol. p. 79 sq.:

Hunc putant quidam esse qui Phrixum et Hellen Colchos portavit (pertulit). Nebula eum his dedit aureo vellere cata Hesiodum qui eos perferret... Phrixum autem perlatum Colchos *arietem* immolasse pellemque eius auream Iovi sacrasse...

Нѣкоторые полагаютъ, что это тотъ *баранъ*, который перенесъ Фрикса и Геллу къ Колхамъ. По словамъ Исіода, Нефела дала имъ этого златорунаго *барана*, чтобы онъ ихъ перенесъ... Фриксъ, достигнувъ Колхиды, принесъ барана въ жертву и золотую его шкуру посвятилъ Зевсу...

Κατάλογος. Fragm. LXXXV Göttl. (83 Kinkel) v. infra ap. schol. Apoll. Rhod. IV, 284.

Digitized by Google

— Fragm. CLXXXIX Göttl. v. supra p. 115 ap. Strab. VII, p. 302 [1]).
Incertae sedis fragm. CXC Göttl. (222 Kink.) v. supra p. 112 ap. Strab. VII, p. 300.
» » » CXCI Göttl. (224 Kink.) v. infra ap. schol. Aesch. *Prom.* 793.
» » » CXCVIII Göttl. (223 Kink.) v. supra p. 20 ap. Herod. IV, 32.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ ΗΣΙΟΔΟΥ ΘΕΟΓΟΝΙΑΝ.

СХОЛІИ КЪ ИСІОДОВУ «РОДОСЛОВІЮ БОГОВЪ».

[Текстъ: Glossen und Scholien zur Hesiodischen Theogonie mit Prolegomena. Herausg. von Dr. Hans Flach. Leipzig, Teubner, 1876].

338. ...Ἴστρος [ποταμὸς] Σκυθίας, Φᾶσις Κόλχων... Ἄρδησχος Σκυθίας...

338. ... Истръ — [рѣка] *въ* Скиѳіи, Фасидъ — *у* Колховъ... Ардискъ — *въ* Скиѳіи...

[ΣΤΑΣΙΝΟΥ] ΚΥΠΡΙΑ.

[СТАСИНА] „КИПРСКІЯ СКАЗАНІЯ".

[Эпическое произведеніе въ 11 книгахъ, входящее въ составъ «эпическаго цикла» и излагавшее событія, предшествовавшія Иліадѣ. По словамъ Иродота (II, 107) нѣкоторыми приписывалось Омиру, но самъ Иродотъ указываетъ основанія, по которымъ нельзя считать Омира авторомъ этого произведенія. Позднѣйшіе приписывали его обыкновенно Стасину Кипрскому, а нѣкоторые Игисію или Игисину Саламинскому или Аликарнасскому. См. Epicorum Graecorum fragmenta, ed. God. Kinkel, v. I, p. 15 sq.].

Procli Chrestom. lib. I. [Излагается подробно содержаніе Κυπρίων; между прочимъ говорится о жертвоприношеніи Ифигеніи въ Авлидѣ, куда она была привезена подъ предлогомъ брака съ Ахилломъ; во время жертвоприношенія Артемида похитила ее и подставила къ алтарю лань]:

...Ἄρτεμις δὲ αὐτὴν ἐξαρπάσασα εἰς Ταύρους μετακομίζει καὶ ἀθάνατον ποιεῖ, ἔλαφον δὲ ἀντὶ τῆς κόρης παρίστησι τῷ βωμῷ.

...Артемида, похитивъ ее [т. е. Ифигенію], переноситъ къ Таврамъ и дѣлаетъ безсмертною, а къ алтарю подставляетъ вмѣсто дѣвушки лань.

ΑΡΚΤΙΝΟΥ ΑΙΘΙΟΠΙΣ.

АРКТИНА „ЭѲІОПИДА".

[Эпическому поэту Арктину Милитскому, жившему въ VIII в. до Р. Хр., приписывается поэма Αἰθιοπίς въ 5 кн., излагающая сказанія Троянскаго цикла, начиная отъ прибытія Амазонки Пенѳесилеи на помощь Троянцамъ и кончая смертью Ахилла и споромъ Одиссея и Эанта за его оружіе. — Собраніе отрывковъ: Kinkel, EGF. v. I, p. 32—36].

Procli Chrestom. l. II [Подробное изложеніе содержанія Эѳіопиды]:

...καὶ μετὰ ταῦτα ἐκ τῆς πυρᾶς ἡ Θέτις ἀναρπάσασα τὸν παῖδα εἰς τὴν Λευκὴν νῆσον διακομίζει.

...И послѣ этого Ѳетида, похитивъ изъ костра *трупъ* сына, переноситъ *его* на Бѣлый островъ.

---

1) Относительно ошибки Стравона, приписавшаго Исіоду сочиненіе «Γῆς περίοδος», см. замѣчанія въ изд. Гёттлинга-Флаха, стр. 334.

Digitized by Google

ΕΥΜΗΛΟΥ ΚΟΡΙΝΘΙΑΚΑ. ЕВМИЛА „КОРИНѲСКІЯ СКАЗАНІЯ".

[Эпическій поэтъ Евмилъ Коринѳскій, по словамъ Климента Александрійскаго (Strom. I, p. 144 Sylb.), былъ современникомъ Архія, основателя Сиракусъ (735 до Р. Хр.).— Собраніе отрывковъ: Kinkel, EGF. v. I, pp. 185—195].

Fragm. 2 v. ap. schol. Pind. Ol. XIII, 74. [«Eosdem versus e cod. Matritensi edidit Iriarte codd. Matrit. p. 263; citat praeterea Tzetz. ad Lycophr. 174.—V. 1—3 e schol. Pind. hausit Auctor Argum. III ad Eur. Med. [Scholl. Eurip. IV, p. 4 Dind.]. Cf. Tzetz. ad Lycophr. 1024». Kinkel].

Fragm. 3 v. infra ap. Paus. II, 3, 10 (cf. schol. ad Eur. *Med.* 10. 20).

ΚΑΛΛΙΝΟΣ. КАЛЛИНЪ.

[Элегическій поэтъ Каллинъ Ефесскій жилъ въ 1-ой пол. VII в. до Р. Хр. Собраніе отрывковъ: Bergk, Poetae lyrici Graeci, ed. 4, v. II, pp. 3—7].

Fragm. 3 v. supra p. 162 ap. Strab. XIV, 1, 40. Cf. Strab. XIII, 4, 8 (ibid.) et Clem. Alex. *Strom.* I, 398.

ΑΛΚΜΑΝ. АЛКМАНЪ.

[Лирическій поэтъ родомъ изъ Сардъ, жилъ во 2-ой пол. VII в. до Р. Хр. Собраніе отрывковъ: Bergk, PLG⁴. v. III, pp. 14—78].

Fragm. 136 A v. supra ap. Steph. Byz. s. v. Ἰσσηδόνες (p. 261).

De fragm. 23 v. 59 (ἵππος εἰβήνῳ Κολαξαῖος δραμείται) v. Bergkii explicationem.

ΜΙΜΝΕΡΜΟΣ. МИМНЕРМЪ.

[Элегическій поэтъ Мимнермъ Колофонскій жилъ въ концѣ VII и нач. VI в. до Р. Хр. Собраніе отрывковъ: Bergk, PLG⁴. v. II, pp. 25—33].

Fragm. 11 (ap. Strab. I p. 46 C.):

Οὐδέ κατ' ἂν μέγα κῶας ἀνήγαρεν αὖτις Ἰήσων
ἐξ Αἴης, τελέσας ἀλγινόεσσαν ὁδόν,
ὑβριστῇ Πελίῃ τελέων χαλεπῆρες ἄεθλον,
οὐδ' ἂν ἐπ' Ὠκεανοῦ καλὸν ἵκοντο ῥόον,
* * *
Αἰήταο πόλιν, τόθι τ' ὠκέος Ἠελίοιο
ἀκτῖνες χρυσέῳ κείαται ἐν θαλάμῳ
Ὠκεανοῦ παρὰ χεῖλος, ἵν' ᾤχετο θεῖος Ἰήσων.

И никогда бы самъ Іасонъ не увезъ изъ Эи великаго руна по совершеніи горестнаго пути, исполнивъ тяжкій подвигъ для надменнаго Пелія, и не прибыли бы они къ прекрасному потоку Океана ... городъ Эита, гдѣ лежатъ лучи быстраго Нлія въ золотомъ чертогѣ у брега Океана, куда удалился божественный Іасонъ.

Mimn. v. 1: «αὖτις Hecker, legebatur αὐτός, Meineke ἀρχός». Bergk.

Digitized by Google

ΑΛΚΑΙΟΣ. АЛКЕЙ.

[Лирическій поэтъ, уроженецъ г. Митилины на о. Лесвѣ, жилъ въ концѣ VII и началѣ VI в. до Р. Хр. Собраніе отрывковъ: Bergk, PLG⁴. v. III, pp. 147—197].

Fragm. 48 B (Σκόλια) v. supra p. 195 ap. Eust. ad Dion. *Perieg.* 306. Cf. Eudoc. 86. Зейдлеръ возстановилъ эолическій діалектъ отрывка въ слѣдующемъ видѣ: Ἀχίλλευ, ὁ γᾶς Σκυθίκας μέδεις.

Fragm. 103 (Harpocr. et Suid. s. v. Σκυθικαί): Καὶ Σκυθίκαις ὑποδησάμενος.

ΣΑΠΦΩ. САПФО.

[Знаменитая поэтесса, уроженка о. Лесва, младшая современница Алкея. Собраніе отрывковъ: Bergk, PLG⁴. v. III, pp. 82—140].

Fragm. 167 (Phot. Lex. s. v.): Θάψος· ξύλον ᾧ ξανθίζουσι τὰ ἔρια καὶ τὰς τρίχας· ὃ Σαπφὼ Σκυθικὸν ξύλον λέγει.

Θапсъ — дерево, которымъ красятъ въ желтый цвѣтъ шерсть и волосы и которое Сапфо называетъ Скиескимъ деревомъ [1]).

ΝΑΥΠΑΚΤΙΑ ΕΠΗ. НАВПАКТСКІЯ СКАЗАНІЯ.

[«Die Ναυπάκτια ἔπη waren ein genealogisches Epos auf berühmte Frauen nach Art der Eöen; als Verfasser derselben ward nach Paus. X, 38, 11 von den einen ein Milesier (Kerkops?), nach anderen Karkinos aus Naupaktos genannt. Es war in dem Gedicht namentlich auch, im Anschluss an Medea, die Argonautensage behandelt, weshalb dasselbe öfters in den Scholien zu Apollonios Rhodios angeführt wird». Christ, Griech. Litteraturgeschichte², p. 91. — Собраніе отрывковъ: Kinkel, EGF. v. I, pp. 198—202].

Fr. 4 v. ap. schol. Apoll. Rh. III, 242.
Fr. 7, 8 v. ibid. ad IV, 59 et 86.

ΕΠΙΜΕΝΙΔΟΥ ΑΡΓΟΝΑΥΤΙΚΑ. ЕПИМЕНИДА „ПОХОДЪ АРГОНАВТОВЪ".

[Епименида, уроженца Критскаго города Кносса, современника Солона, извѣстному въ исторіи очищеніемъ Аѳинъ, приписывается нѣсколько поэтическихъ произведеній, м. пр. Ἀργοναυτικά. — Собраніе отрывковъ: Kinkel, EGF. v. I, pp. 230—237].

Fragm. 1 v. ap. schol. Apoll. Rhod. III, 242, Eudoc. p. 31, 7—9.

Ad Alc. fragm. 48 B: «γᾶς scripsi: legebatur τᾶς». Bergk.

1) Cf. Photii glossam proxime praecedentem: θάψινον χρῶμα· ἀντὶ τοῦ ξανθόν; Hesych. et schol. Theocr. II, 88.

Digitized by Google

ΑΡΙΣΤΕΑΣ ΠΡΟΚΟΝΝΗΣΙΟΣ. АРИСТЕЙ ПРОКОННИССКІЙ.

[Аристей, сынъ Каистровія, уроженецъ Проконниса, по словамъ Свиды жилъ около 50 Олимп. (556 до Р. Хр.), во времена Креза и Кира, по словамъ Иродота (IV, 15) — за 240 л. до его времени, т. е. въ началѣ VII в., а по словамъ Стравона (XIV, p. 639) былъ учителемъ Омира. Жизнь его была окружена чудесными сказаніями. Онъ совершилъ, по преданію, путешествіе въ сѣверныя страны до Иссидоновъ и въ поэмѣ Ἀριμάσπεια (въ 3 кн.) сообщилъ различные баснословные разсказы объ этихъ странахъ. Свѣдѣнія древнихъ (главнымъ образомъ Ирод. IV, 13—16) объ его жизни и отрывки изъ поэмъ собралъ Kinkel, EGF. v. I, pp. 243—247].

ΑΡΙΜΑΣΠΕΙΑ.

Fragm. 2—4 (Tzetz. Chil. VII, 686 sq.):

Καὶ Ἀριστέας δέ φησιν ἐν τοῖς Ἀριμασπείοις·
Ἰσσηδοὶ χαίτῃσιν ἀγαλλόμενοι ταναῇσι.

—

καί σφεας ἀνθρώπους εἶναι καθύπερθεν
ὁμούρους
πρὸς Βορέω, πολλούς τε καὶ ἐσθλοὺς
κάρτα μαχητάς,
ἀφνείους ἵπποισι, πολύρρηνας, πολυβούτας...

—

ὀφθαλμὸν δ' ἕν' ἕκαστος ἔχει χαρίεντι
μετώπῳ.
χαίτῃσιν λάσιοι, πάντων στιβαρώτατοι
ἀνδρῶν.

И Аристей говоритъ въ Аримаспіи «Иссиды, чванящіеся длинными волосами [собств. гривами].—Эти люди живутъ вверху, въ сосѣдствѣ съ Бореемъ, многочисленные и очень доблестные воины, богатые конями и стадами овецъ и быковъ.—Каждый *изъ нихъ* имѣетъ одинъ глазъ на прелестномъ челѣ; они носятъ косматые волосы и *являются* самыми могучими изъ всѣхъ мужей.

Fragm. 5 v. ap. Herod. IV, 13 (supra, p. 15).

Fragm. 6 v. ibid. 16 (supra, p. 15). Paus. V, 7, 9 (v. infra).

Fragm. 7 v. ap. Paus. I, 24, 6 (infra). Cf. Plin. *Nat. Hist.* VII, 2, § 10. Strab. I, p. 21 (v. supra p. 93).

ΑΝΑΚΡΕΩΝ. АНАКРЕОНТЪ.

[Знаменитый лирическій поэтъ, уроженецъ г. Теоса, жилъ во 2-ой пол. VI в. до Р. Хр.—Собраніе сохранившихся стихотвореній и отрывковъ: Bergk, PLG⁴. v. III, pp. 253—295].

Fragm. 63 (Athen. X p. 427 *a*):

Ἄγε δηῦτε μηκέθ' οὕτω
πατάγῳ τε καλαληῖτῷ
Σκυθικὴν πόσιν παρ' οἶνῳ
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

Ну, друзья, не будемъ больше
Съ такимъ шумомъ и ораньемъ
Подражать попойкѣ Скиеской
За виномъ, а будемъ тихо
Пить подъ звуки славныхъ гимновъ.

Fragm. 130: «Schol. Hom. Od. θ 294: Καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν ὅπλων τεχνίτας (Σίντιας) μέμνηται· τί μοι, φησί, τῶν ἀγκύλων τόξων φιλοχίμεως καὶ Σκυθῶν μέλει; unde Buttmann scripsit: τί μοι τῶν ἀγκύλων τόξων, φίλε, Τί μοι δὲ Σιντίων μέλει; Aliquanto rectius Cramer An. Par. III, 455, 29: Καὶ Ἀνακρέων δὲ ὡς πολεμικῶν μέμνηται· τί μοι, φησί, τῶν ἀγκύλων τόξων φιλοχιμέρων καὶ Σκυθῶν μέλλει. Unde Cramer Σιντίων τῶν ἀγκυλοτόξων coniecit, Schneidewin τί μοι τῶν ἀγκυλοτόξων Ὦ φίλε Κιμμερίων Σιντιέων τε μέλει. Locus certo corrigi nequit, olim haec proposui:

Τί μοι τῶν ἀγκυλοτόξων
Σιντέων φυλόπιδος Κιμμερίων τε μέλει;

Digitized by Google

sed fortasse praestat: Τί μοι Σιντέων τῶν ἀγκυλοτόξων Καὶ φίλε Κιμμερίων καὶ Σκυθέων μελέτης; quemadmodum Eurip. Hippol. 221 τί κυνηγεσίων καὶ σοὶ μελέτης; quod Homerus Il. Φ 360 breviter dixit τί μοι ἔριδος καὶ ἀρωγῆς, de qua brachylogia scripsit Bernhardy Paralip. II 67». Bergk (p. 288).

ΠΙΝΔΑΡΟΣ. ПИНДАРЪ.

[Знаменитый лирикъ, род. 522, ум. около 442 г. до Р. Хр. — Текстъ: Bergk, PLG. I⁴]

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Γ', 13—16 [1]).

...ἐλαίας, τάν ποτε
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν Ἀμφιτρυωνιάδας,
μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἀέθλων,
δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα λόγῳ...

...Маслины, которую нѣкогда сынъ Амфитріона [т. е. Иракъ] принесъ отъ тѣнистыхъ истоковъ Истра, *какъ* прекраснѣйшій памятникъ Олимпійскихъ подвиговъ, убѣдивъ рѣчью служащій Аполлону народъ Иперборeевъ...

Vv. 25—27.

δὴ τότ' ἐς γαῖαν πορεύειν θυμὸς ὥρμαιν'
Ἰστρίαν νιν, ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ
δέξατο...

Тогда вотъ духъ [Иракла] стремился отправить его въ Истрійскую землю, гдѣ *его* приняла наѣздница, дочь Латоны...

ΟΛΥΜΠΙΟΝΙΚΑΙ Η', 47: упоминаются Ἀμαζόνες εὔιπποι и Ἴστρος.

ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΓ', 53—54.

...τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον
αὐτᾷ,
ναὶ σώτειραν Ἀργοῖ καὶ προπόλοις...

...Мидію, устроившую себѣ бракъ противъ *воли* отца, спасительницу корабля Арго и предводителей...

ΠΥΘΙΟΝΙΚΑΙ Δ'.

Vv. 9—12.

...τὸ Μηδείας ἔπος...
.....Αἰήτα τό ποτε ζαμενής
παῖς ἀπέπνευσ' ἀθανάτου στόματος, δέσποινα Κόλχων. εἶπε δ' οὕτως
ἡμιθέοισιν Ἰάσονος αἰχματᾶο ναύταις·

...Слово Мидіи..., которое нѣкогда пылкая дочь Эита, владычица Колховъ, испустила изъ безсмертныхъ устъ; она такъ сказала полубожественнымъ морякамъ копьеметателя Іасона...

(Слѣдуетъ пророчество Мидіи).

Vv. 159—162.

[Ἀγόρευσεν Πελίας]... κέλεται γὰρ ἐὰν
ψυχὰν κομίξαι
Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους
δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν, τῷ ποτ'
ἐκ πόντου σαώθη
ἔκ τε ματρυιᾶς ἀθέων βελέων.

[Пелій сказалъ]... Фриксъ повелѣваетъ принести его останки [*досл.* душу], придя къ чертогамъ Эита, и привезти густорунную шкуру барана, на которомъ онъ нѣкогда спасся изъ моря и отъ безбожныхъ козней [*досл.* стрѣлъ] мачихи.

---

1) Счетъ стиховъ по изд. Бергка.

Digitized by Google

Vv. 203—250.

[ИЗЪ ОПИСАНІЯ ПОХОДА АРГОНАВТОВЪ].

Σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμπόμενοι
ἦλυθον· ἔνθ' ἁγνὸν Ποσειδάωνος ἔσσαντ' εἰναλίου τέμενος,
φοίνισσα δὲ Θρηϊκίων ἀγέλα ταύρων ὑπᾶρχεν
καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ.
ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι δεσπόταν λίσσοντο ναῶν
συνδρόμων κινηθμὸν ἁμαιμάκετον Στρ. ι'.
ἐκφυγεῖν πετρᾶν. δίδυμοι γὰρ ἔσαν ζωαί,
κυλινδέσκοντό τε κραιπνότεραι
ἢ βαρυγδούπων ἀνέμων στίχες· ἀλλ' ἤδη τελευτὰν κεῖνος αὐταῖς
ἡμιθέων πλόος ἄγαγεν. ἐς Φᾶσιν δ' ἔπειτεν
ἦλυθον· ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν
μῖξαν Αἰήτᾳ παρ' αὐτῷ. πότνια δ' ὀξυτάτων βελέων
ποικίλαν ἴυγγα τετράκναμον Οὐλυμπόθεν
ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ
μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν Ἀντ. ι'.
πρῶτον ἀνθρώποισι, λιτάς τ' ἐπαοιδὰς
ἐκδιδάσκησεν σοφὸν Αἰσονίδαν,
ὄφρα Μηδείας τοκέων ἀφέλοιτ' αἰδῶ,
ποθεινὰ δ' Ἑλλὰς αὐτὰν
ἐν φρασὶ καιομέναν δόνεοι μάστιγι Πειθοῦς.
καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν πατρωΐων·
σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα στερεᾶν ὀδυνᾶν
δῶκε χρίεσθαι. καταίνησάν τε κοινὸν γάμον
γλυκὺν ἐν ἀλλάλοισι μῖξαι. Ἐπ. ι'.
ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον σκίμψατο
καὶ βόας, οἳ φλόγ' ἀπὸ ξανθᾶν γενύων πνέον καιομένοιο πυρός,
χαλκέαις δ' ὁπλαῖς ἀράσσεσκον χθόν' ἀμειβόμενοι·
τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος.
ὀρθὰς δ' αὔλακας ἐντανύσαις
ἦλαυν', ἀνὰ βωλακίας δ' ὀρόγυιαν σχίζε νῶτον
γᾶς· ἔειπεν δ' ὧδε· Τοῦτ' ἔργον βασιλεύς,
ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις ἄφθιτον στρωμνὰν ἀγέσθω,

Съ дыханіемъ Нота прибыли они въ своемъ путешествіи къ устью Негостепріимнаго *моря;* здѣсь они устроили священное капище Посидона морского; *въ немъ* было красное стадо оракійскихъ быковъ и вновь устроенное изъ камней углубленіе алтаря. Идя на встрѣчу великой опасности, они умоляли владыку кораблей *дать имъ возможность* избѣжать неотразимаго движенія сталкивающихся скалъ: было ихъ двѣ, *какъ-бы* живыя, и катились быстрѣе, чѣмъ ряды тяжкошумящихъ вѣтровъ; но это плаваніе полубоговъ уже принесло имъ конецъ. Затѣмъ они прибыли въ Фасидъ, гдѣ вступили въ борьбу съ темнолицыми Колхами у самого Энта. *Между тѣмъ* владычица острѣйшихъ стрѣлъ Кипригенія, привязавъ къ несокрушимому колесу съ четырьмя спицами пеструю вертошейку, впервые послала съ Олимпа на людей неистовую птицу и научила мудраго сына Эсона умилостивительнымъ заклинаніямъ, чтобы изгладить у Мидіи стыдъ предъ родителями и чтобы желанная Эллада возбуждала ее, горящую страстью, вмѣсто убѣжденія. И скоро показала она предѣлы назначенныхъ отцомъ подвиговъ и, смѣшавъ съ елеемъ зелья для утоленія жестокихъ болей, дала имъ намазаться; они условились также вступить другъ съ другомъ въ сладкій бракъ. Но Энтъ поставилъ по срединѣ несокрушимый плугъ и быковъ, которые при дыханіи извергали изъ желтыхъ челюстей пламя горящаго огня и мѣдными копытами поочередно разбивали землю; приведя ихъ, онъ одинъ подвелъ подъ ярмо; проведя прямыя борозды, онъ погналъ *ихъ* и на сажень разрѣзалъ хребетъ глыбистой земли, *затѣмъ* сказалъ такъ: «Царь, который повелѣваетъ кораблемъ, совершивъ мнѣ это дѣло, пусть увезетъ съ собою нетлѣнную постель,—шкуру, блистающую златою шерстью». Когда онъ произнесъ это, Іасонъ, сбросивъ шафраннаго цвѣта одѣяніе, съ упованіемъ на бога взялся за дѣло; огонь не трогалъ его по волѣ знавшей всѣ зелья чужестранки. Извлекши плугъ, насильственно возложивъ ярмо на шеи быковъ и поражая тяжкимъ рожномъ ихъ сильные бока, могучій мужъ

Digitized by Google

κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ. Στρ. ια΄.
ὡς ἄρ' αὐδάσαντος ἀπὸ κροκόεν ῥίψαις
Ἰάσων εἷμα θεῷ πίσυνος
εἶχετ' ἔργου· πῦρ δέ νιν οὐκ ἐόλει παμ-
φαρμάκου ξείνας ἐφετμαῖς.
σπασσάμενος δ' ἄροτρον, βοέοις δήσαις
ἀνάγκαις ἔντεσιν αὐχένας ἐμβάλλων τ' ἐριπλεύρῳ
φυᾷ
κέντρον αἰανὲς βιατὰς ἐξεπόνησ' ἐπιτακ-
τὸν ἀνὴρ
μέτρον. ἴυξεν δ' ἀφωνήτῳ περ ἔμπας ἄχει
δύνασιν Αἰήτας ἀγασθείς. Ἀντ. ια΄.
πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
ὦρεγον χεῖρας, στεφάνοισί τέ μιν ποίας
ἔρεπτον, μειλιχίοις τε λόγοις
ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου θαυμαστὸς
υἱὸς δέρμα λαμπρόν
ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου
μάχαιραι.
ἤλπετο δ' οὐκέτι οἱ κεῖνόν γε πράξεσθαι
πόνον.
κεῖτο γὰρ λόχμᾳ, δράκοντος δ' εἶχετο
λαβροτατᾶν γενύων,
ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν
κράτει,
τέλεσαν ἂν πλαγαὶ σιδάρου. Ἐπ. ια΄.
μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥρα
γὰρ συνάπτει· καί τινα
οἶμον ἴσαμι βραχύν· πολλοῖσι δ' ἄγημαι
σοφίας ἑτέροις.
κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλό-
νωτον ὄφιν,
ὦ 'ρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐτᾷ,
τὰν Πελίαο φόνον...

исполнилъ указанную мѣру. Испуганно вскричалъ отъ невыразимаго горя Эитъ, изумленный силою *Іасона*, а товарищи простирали руки къ сильному мужу, увѣнчивали его вѣнками изъ зелени и привѣтствовали ласковыми словами. Тотчасъ удивительный сынъ Илія указалъ, гдѣ ножи Фрикса распростерли блестящее руно, *но* надѣялся, что *Іасонъ* уже не совершитъ ему этого *новаго* труда: оно лежало въ чащѣ и охранялось прожорливыми челюстями дракона, который толщиною и длиною превосходилъ пятидесятивесельный корабль, сколоченный ударами желѣза. Далеко мнѣ идти по проѣзжей дорогѣ, ибо время подходитъ къ концу; я знаю краткую тропу и многимъ другимъ служу учителемъ мудрости: онъ убилъ искусствомъ свѣтлоокаго, пестроспиннаго змѣя, о Аркесилай, и похитилъ Мидію, убійцу Пелія, съ ея согласія...

NEMEONIKAI Δ΄, 48—50.

...ἀτὰρ
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·
ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς
νᾶσον...

...Эантъ владѣетъ отеческимъ Саламиномъ, а Ахиллъ — свѣтлымъ островомъ въ Евксинскомъ морѣ...

V. 232: «κροκόεν B. κρόκεον rell. (B = Vaticanus B, p. 44)». Bergk. || V. 243: «πράξεσθαι Hermann, πράξασθαι libri, Moschopulus κεῖνον πεπράξεσθαιι». B. || V. 244: «λαβροτατᾶν Hermann, libri λαβροτάταν et λαβροτάτων. Sed locus nondum in integrum restitutus, quem hunc in modum emendandum censeo: κεῖτο γὰρ λόχμᾳ δράκων, τοῦ λείχετο λαβροτάταιν γενύοιν, nam κεῖτο γὰρ λόχμᾳ· δράκοντος λείχετο λαβροτάταιν γενύοιν minus quidem a tradita scriptura recedit, sed propter asyndeton displicet. Christ εἶχετο λαβροτάταις γένυσιν coniecit». Bergk.

Digitized by Google

ΙΣΘΜΙΟΝΙΚΑΙ Β', 41—42.

...ἐπέρα [Ξεινοκράτης] ποτὶ μὲν Φᾶσιν θερείαις,
ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάς.

...Въ лѣтнее время [Ксенократъ] плавалъ къ Фасиду, а зимою — къ берегамъ Нила [1]).

ΥΠΟΡΧΗΜΑΤΑ.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩΙ.

ΑΠΟΣΠ. 105 (schol. Arist. *Avv.* 945).

Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων,
ὃς ἀμαξοφόρητον οἶκον οὐ πέπαται...

Среди кочевниковъ Скиѳовъ блуждаетъ Стратонъ, который не имѣетъ дома, перевозимаго на телѣгѣ...

ΑΠΟΣΠ. 172 (schol. Eurip. *Androm.* 796).

Οὐ Πηλέος ἀντιθέου μόχθοις νεότας ἐνέλαμψεν μυρίοις;
πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώϊον ἀμπεδίον,
καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθεν,
καὶ τὸν Ἰάσονος εὔδοξον πλόον ἐκτελέσαις
ἐξεῖλε Μήδειαν ἐκ Κόλχων δόμων.

Развѣ юность богоравнаго Пилея не блистала безчисленными подвигами? Вопервыхъ онъ съ сыномъ Алкмины *прибылъ* на Троянскую равнину, *затѣмъ* отправился за поясами Амазонки и, совершивъ знаменитое плаваніе *подъ начальствомъ* Іасона, захватилъ Мидію изъ чертоговъ Колховъ.

ΑΠΟΣΠ. 203 [217].

(Zenob. V, 59. Cf. Diogenian. VII, 12. Apostol. XIII, 7. Arsen. 389).

Ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι
νεκρὸν ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει,
κρυφᾷ δὲ σκολιοὺς γένυσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς.

Нѣкоторые Скиѳы, притворяясь, открыто на словахъ гнушаются убитою лошадью, а тайкомъ обдираютъ зубами [*досл.* челюстями] кривыя ноги и головы.

Ad Ἴσθμ. B v. 42 cf. Bergkii adnotationem. || Fragm. 172. V. 1. «ἐνέλαμψεν scripsi, ἐπέλαμψεν vel ἐπέλαμψε libri, vulgo ἐπιλάμψαι. Boeckh coni. μόχθοι νεότατ' ἐπέλαμψαν μυρίοις, Hermann μόχθοι νεότατ' ἐπέλαμψαν μυρίοι». Bergk. || V. 4. «ἐκτελέσαις scripsi, numeris aliter discriptis, A ἐκτελέσας, ἐκτελευτήσας ceteri, hinc Boeckh ἐκτελευτήσαις ἔλεν, Schneidewin ἐκτελέσσαις εἶλε». Bergk. || V. 5: «ἐξεῖλε scripsi, libri εἶλε». Bergk.

1) Объ рѣки названы, какъ отдаленнѣйшія отъ Эллады. Ср. въ такомъ же значеніи Еврип. *Андр.* 650: ἦν χρῆν σ' ἐλαύνειν τήνδ' ὑπὲρ Νείλου ῥοὰς ὑπέρ τε Φᾶσιν...

Digitized by Google

ΣΧΟΛΙΑ ΕΙΣ ΠΙΝΔΑΡΟΥ ΕΠΙΝΙΚΙΑ.

СХОЛІИ КЪ ПОБѢДНЫМЪ ОДАМЪ ПИНДАРА.

[Текстъ: Πινδάρου τὰ σωζόμενα. Pindari opera quae supersunt. Ed. Augustus Boeckhius. Tomus II, Lips. ap. Weigel. MDCCCXIX].

ΟΛΥΜΠ. Β', 150 (91).

Ὠκέα βέλη]... Σκυθικὰ δὲ βέλη τὰ ποιήματα λέγει· εἰώθασι γὰρ οἱ Σκύθαι ὑπὸ τὸν ἀγκῶνα βέλη βαστάζειν· οἱ δὲ Κρῆτες κατὰ τῶν ὤμων. Vet.

Быстрыя стрѣлы]... *Поэтъ* называетъ скиескими стрѣлами поэтическія произведенія [1]); ибо Скины обыкновенно носятъ стрѣлы подъ локтемъ, а Критяне — на плечахъ.

ΟΛΥΜΠ. Γ', 24 (13) sqq.

...τὴν ἐλαίαν ὁ Ἡρακλῆς ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος ἤνεγκέ ποτε ἀπὸ τῶν πηγῶν τοῦ Ἴστρου τοῦ ποταμοῦ τῶν σκιερῶν, ἤγουν τῶν ὑπὸ δένδρων σκιαζομένων, ἤγουν τῶν βαθειῶν, μνημόσυνον κάλλιστον ἐσομένην δηλονότι τῶν ἀγώνων τῶν ἐν Ὀλυμπίᾳ. ἤνεγκε δὲ αὐτὴν πείσας τὸν δῆμον τῶν Ὑπερβορέων, τουτέστι τὸν ἐν τοῖς Ὑπερβορέοις, ἔνθα ἦσαν αἱ ἐλαῖαι, τὸν θεράποντα τοῦ Ἀπόλλωνος. Rec.

... Иракъ, сынъ Амфитріона, нѣкогда принесъ маслину отъ истоковъ рѣки Истра тѣнистыхъ, т. е. осѣненныхъ деревьями, или глубокихъ, чтобы она была прекраснѣйшимъ памятникомъ состязаній въ Олимпіи; а принесъ онъ ее, убѣдивши народъ Иперборeевъ, т. е. жившій въ странѣ Иперборeевъ, гдѣ были маслины, и служившій Аполлону.

Τάν ποτε Ἴστρου] ἤντινα ἐλαίαν ποτὲ ἀπὸ Ἴστρου ποταμοῦ τῶν συσκίων πηγῶν ἐκόμισεν ὁ τοῦ Ἀμφιτρύωνος παῖς Ἡρακλῆς, μνημεῖον ἐσόμενον τῶν ἐν τῇ Ὀλυμπίᾳ ἄθλων. Vet.

Которую нѣкогда отъ Истра]. Каковую маслину нѣкогда отъ тѣнистыхъ истоковъ рѣки Истра принесъ Амфитріоновъ сынъ Иракъ, чтобы она была памятникомъ состязаній въ Олимпіи.

25. Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν] τὰς πηγὰς τοῦ Ἴστρου ἐν Ὑπερβορέοις ὑποτίθεται. Ἴστρος δὲ ποταμὸς διὰ πολλῶν ἐθνῶν τῆς Εὐρώπης χωρεῖ, ἔχει δὲ τὰς πηγὰς ἐν τῇ τῶν Ὑπερβορέων χώρᾳ ὃς νῦν Δάνουβις λέγεται. σκιερὰς δέ φησι πηγὰς ἤτοι τὰς βαθείας ἢ τὰς σκιαζομένας τῇ περὶ αὐτὰς τῶν ἐλαιῶν φυτείᾳ. Vet.

Отъ тѣнистыхъ истоковъ Истра]. Истоки Истра *поэтъ* представляетъ въ *землѣ* Иперборeевъ. Рѣка Истръ, нынѣ называемая Дунаемъ, течетъ чрезъ *земли* многихъ народовъ Европы, а истоки имѣетъ въ странѣ Иперборeевъ. Тѣнистыми *поэтъ* называетъ истоки или *какъ* глубокіе, или *какъ* осѣненные окружающими ихъ насажденіями маслинъ.

Ἴστρου ἀπὸ σκιαρᾶν] οὗτος ὁ ποταμὸς ἐν Ὑπερβορέοις ἔχει τοῦ ῥεύματος τὴν ἀρχήν. σκιαρῶν δὲ πηγῶν, τῶν ὑπὸ ἐλαιῶν καὶ ἄλλων δένδρων σκιαζομένων. Rec.

Отъ тѣнистыхъ Истра]. Эта рѣка беретъ начало въ *землѣ* Иперборeевъ. Тѣнистыхъ истоковъ *значитъ* осѣненныхъ маслинами и другими деревьями.

28. Δᾶμον Ὑπερβορέων] πείσας τὸν δῆμον τὸν τῶν Ὑπερβορέων δοῦναι τὸν κότινον, ὅστις δῆμος θεράπων ἦν τοῦ Ἀπόλλωνος καὶ θρησκευτὴς αὐτοῦ. τοὺς Ὑπερβορέους τοῦ Τιτανικοῦ γένους Φερένικός φησιν εἶναι γράφων οὕτως· [2])

Народъ Иперборeевъ]. Убѣдивъ народъ Иперборeевъ дать дикую маслину, каковой народъ былъ служителемъ и почитателемъ Аполлона. Ферениктъ говоритъ, что Ипербореи — титаническаго происхожденія; онъ пишетъ такъ: «И вокругъ Иперборeевъ, ко-

1) Объясненіе къ выраженію поэта: πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη ἔνδον ἐντὶ φαρέτρας, φωνᾶντα συνετοῖσιν. 2) О Ферениктѣ Ираклійскомъ ср. Аѳин. III, p. 78 b.

Digitized by Google

Ἀμφί θ' Ὑπερβορέων, οἵτ' ἔσχατα ναιετάουσιν,
νηῷ ὑπ' Ἀπόλλωνος, ἀπείρητοι πολέμοιο·
τοὺς μὲν ὄρα προτέρων ἐξ αἵματος ὑμνείουσιν
Τιτήνων βλαστόντας, ὑπὸ δρόμον αἰθρήεντα
νάσσασθαι Βορέαο γύην Ἀριμασπὸν ἄνακτα.

...πανταχοῦ δὲ οἱ Ὑπερβόρειοι ἱεροὶ Ἀπόλλωνος. ἐκλήθησαν δὲ Ὑπερβόρειοι ἀπὸ Ὑπερβοραίου τινὸς Ἀθηναίου, ὡς Φανόδημος. Φιλοστέφανος δὲ τὸν Ὑπερβόρεον Θεσσαλόν φησιν εἶναι· ἄλλοι ὑπὸ Ὑπερβορέου Πελασγοῦ τοῦ Φορωνέως καὶ Περιμήλης τῆς Αἰόλου· ὁ δὲ Φερένικος τοὺς Ὑπερβορέους ἀπὸ τοῦ Τιτανικοῦ γένους φησὶν εἶναι, ὁ δὲ Ἑκαταῖος ἄλλως ἱστορεῖ. Vet.

45 (26). Θυμὸς ὥρμαινεν] διὰ τοῦτο παραγενέσθαι προεθυμήθη εἰς τὴν γῆν τοῦ Ἴστρου ποταμοῦ, εἰς τὴν Σκυθίαν, ἐν ᾗ Ἄρτεμις αὐτὸν ὑπεδέξατο ἐλθόντα... ἐπὶ τῷ τὴν ἔλαφον ἀγαγεῖν, ἣν ποτε ἡ Ταϋγέτη ἀνέθηκε τῇ Ὀρθωσίᾳ Ἀρτέμιδι. Vet.

46 (27). Ἰστρίαν νιν] ἐὰν διὰ τῶν δύο νν, Ἴστριαν νιν, τὴν Σκυθίαν ἀκουστέον· ἐὰν δὲ διὰ τοῦ ἑνός, ἡ Ἰστρία Ἄρτεμις αὐτὸν τὸν Ἡρακλέα ὑπεδέξατο. Ἰστρία δὲ ἡ Ἄρτεμις ἤτοι ἀπὸ τοῦ Ἴστρου, ὃν περιοικοῦσιν αἱ Ἀμαζόνες, αἳ τιμῶσι μάλιστα τὴν θεόν, ἢ ἀπὸ Ταύρων ἔθνους Σκυθικοῦ, περιοικοῦντος τὸν Ἴστρον, παρ' οἷς ὁμοίως τιμᾶται ἡ Ἄρτεμις. τοὺς δὲ ἀναγινώσκειν Ἰστριανήν, ἵν' ᾖ τὴν Ἰστριανὴν γῆν. § εἰς τὴν Σκυθίαν ὁ θυμὸς αὐτὸν παρώρμησεν. Ἀρίσταρχος· εἰς τὴν γῆν ἐλθεῖν, ὅπου αὐτὸν ἡ Ἰστρία Ἄρτεμις ὑπεδέξατο. δηλοῖ δὲ πάλιν τὴν εἰς Ὑπερβορέους ἐπὶ τὰς τοῦ Ἴστρου πηγὰς ἄφιξιν· ἐκεῖ γὰρ τιμᾶται ἡ Ἄρτεμις ὅτι μάλιστα ὑπὸ Ταύρων τοῦ Σκυθικοῦ ἔθνους. ἔνιοι δὲ καὶ β' νν γράφουσι καὶ τὸν λόγον ἀπευθύνουσιν οὕτω· τότε δὴ ὁ θυμὸς παρώρμησε τὸν Ἡρακλέα ἐπὶ τὴν Ἰστρίαν γῆν πορεύεσθαι [1]). Vet.

55 (33). ...Ταύτην ἐπιδιώκων τὴν ἔλαφον ἐθεάσατο [ὁ Ἡρακλῆς] καὶ τοὺς Ὑπερβορέους ψυχροτάτους τόπους καὶ τὴν Σκυθίαν... Vet.

торые живутъ на краю *земли* подъ храмомъ Аполлона, не зная войны. Говорятъ, что они, выросши изъ крови древнѣйшихъ Титановъ, подъ прохладнымъ бѣгомъ засели Бореева землю царя Аримаспа».

...Иперборен повсюду *считаются* священными Аполлону. Названы *они* Ипербореями отъ нѣкоего Аѳинянина Иперборея, какъ *говоритъ* Фанодимъ. Филостефанъ говоритъ, что Иперборей былъ Ѳессаліецъ, а другіе *производятъ их* отъ Пеласга Иперборея, сына Форонея и Перимилы, дочери Эола. Ферениктъ говоритъ, что Иперборен произошли отъ титаническаго рода, а Екатэй повѣствуетъ иначе.

Духъ устремлялъ]. Поэтому *Иракл* пожелалъ прибыть въ землю рѣки Истра, въ Скиѳію, въ которой приняла его Артемида, когда онъ пришелъ... съ цѣлью увести лань, которую нѣкогда Тангета посвятила Артемидѣ Ореосіи.

'Ιστρίαν νιν]. Если *писать* чрезъ два ν, 'Ιστρίαν νιν, то нужно разумѣть Скиѳію, а если чрезъ одно ['Ιστρία νιν], *то это будетъ значить, что* Истрійская Артемида приняла этого Иракла. Истрійскою *называется* Артемида или отъ Истра, вокругъ котораго живутъ Амазонки, которыя очень чтутъ *эту* богиню, или отъ живущаго вокругъ Истра скиѳскаго племени Тавровъ, у которыхъ точно такъ же почитается Артемида. Нѣкоторые читаютъ 'Ιστριανὴν въ смыслѣ 'Ιστριανὴν γῆν (Истрійскую землю). —§ Духъ устремилъ его въ Скиѳію. Аристархъ *объясняетъ:* придти въ землю, гдѣ его приняла Истрійская Артемида; *поэтъ* указываетъ снова на прибытіе въ *землю* Иперборевъ къ истокамъ Истра; ибо тамъ чрезвычайно чтится Артемида скиѳскимъ племенемъ Таврами. Нѣкоторые же пишутъ два ν и объясняютъ выраженіе *поэта* такъ: тогда духъ устремилъ Иракла отправиться въ Истрійскую землю.

...Преслѣдуя эту лань, [Иракл] обозрѣлъ и весьма холодныя Иперборейскія мѣста и Скиѳію...

V. 10: Cod. Φιλόδημος. || V. 27: «Sic scripsi de coniectura: vulgo ὅνπερ τιμῶσιν. Scholiastae obversabantur Amazones Sauromatides (cf. schol. ad Olymp. XIII, 124, 125), quamquam eae non ad Istrum sunt, et fortasse locus Pindari Olymp. VIII, 47, qui tamen de Amazonibus ad Thermodontem recte exponi videtur. Non magis Tauri ad Istrum sunt quam Amazones». Boeckh.

1) «Discimus ex hoc Vrat. A. scholio Aristarchum legisse 'Ιστρία νιν». Boeckh.

Digitized by Google

Βορέα] Ὑπερβόρεος γὰρ ἡ χώρα διὰ τὸ ὄπισθεν ἔρπειν τῶν τοῦ Βορέου πνοῶν ἐν τοῖς Ῥιπαίοις ὄρεσιν. Vet.

Борея] Ибо страна эта Иперборейская [т. е. находящаяся за Бореемъ], потому что она простирается позади дуновенія Борея въ Рипейскихъ горахъ.

ΟΛΥΜΠ. Η΄.

61 (46). ...Οὕτω δὴ ὁ θεὸς ὁ Ἀπόλλων σαφῶς εἰπὼν εἰς τὸν Ξάνθον τὸν ποταμὸν... ἔπειγε... καὶ ἐκ τούτου εἰς τὰς Ἀμαζόνας τὰς καλαῖς ἵπποις χρωμένας, ἤτοι τὰς πολεμικὰς, καὶ ἀπὸ ἐκείνων εἰς τὸν Ἴστρον τὸν ποταμὸν, τουτέστιν εἰς τὴν Σκυθίαν... Rec.

...Такъ вотъ богъ Аполлонъ, ясно сказавши, поспѣшилъ... къ рѣкѣ Ксанѳу... и отъ него къ Амазонкамъ, имѣющимъ прекрасныхъ коней, т. е. воинственнымъ, а отъ нихъ къ рѣкѣ Истру, т. е. въ Скиѳію...

62 (47)... Πρῶτον μὲν εἰς Λυκίαν ἔσπευδεν [ὁ Ἀπόλλων], ἔπειτα εἰς τὰς Ἀμαζόνας, εἶτα ἐκεῖθεν διέβαινεν εἰς Σκυθίαν καὶ [ἐπὶ] τὸν Ἴστρον ποταμὸν, λέγει δὲ τοὺς Ὑπερβορέους, παρεγένετο. καὶ τὰ μὲν πρῶτα χωρία τῆς Ἀσίας εἰσὶ, τὰ δὲ δεύτερα τῆς Εὐρώπης... Vet.

...Сначала [Аполлонъ] поспѣшилъ въ Ликію, затѣмъ къ Амазонкамъ, потомъ оттуда перешелъ въ Скиѳію и прибылъ къ рѣкѣ Истру, *идѣ поэтъ* разумѣетъ Ипербореевъ. Первыя мѣстности *въ* Азіи, а вторыя—въ Европѣ...

63 (48) Ἴστρον ἐλαύνων] εἰς Ὑπερβορέους, ἔνθα Ἴστρος τὰς πηγὰς ἔχει. Vet.

Идя къ Истру]. Къ Ипербореямъ, гдѣ Истръ имѣетъ истоки.

ΟΛΥΜΠ. Ι΄.

75 (51). Καὶ τὰν πατρὸς ἀντία Μήδειαν] καὶ τὴν Μήδειαν ὑμνῶ τὴν παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς γαμηθεῖσαν· ἐγαμήθη δὲ τῷ Ἰάσονι σοφὴ οὖσα· τὴν γενομένην σώτειραν καὶ βοηθὸν τῇ Ἀργοῖ· ἐβούλετο γὰρ ὁ Αἰήτης ἀνελεῖν τοὺς Ἀργοναύτας. § Ἄλλως. Πατρὸς ἀντία] ἐπεὶ ἠναντιώθη κατὰ τὸν γάμον τῷ πατρὶ ἡ Μήδεια· ὃν γὰρ ἐκεῖνος οὐκ ἐβούλετο Ἰάσονα, τούτῳ ἐγαμήθη καὶ συνεπῆρεν αὐτῷ. ζητεῖται δὲ, τί δήποτε τὴν Μήδειαν Κολχίδα οὖσαν εἰς τοὺς περὶ Κορινθίων λόγους προσάγεται; φασὶ δὲ τὴν Κόρινθον πρῶτον κτῆμα εἶναι Μηδείας· Αἰήτῃ γὰρ τῷ Ἡλίου καὶ Ἀντιόπης χρησμὸν δοθῆναι πόλιν οἰκίζειν ἐν Κόλχοις ἀπ' αὐτοῦ τὴν ἐπωνυμίαν ἔχουσαν, τὴν δὲ τῶν Κορινθίων τυραννίδα παρακαταθέσθαι Βούνῳ τῷ Ἑρμοῦ ἐντειλάμενον, εἰ μὲν ἐπαναχθείη, ἀποδοῦναι αὐτῷ, εἰ δὲ μὴ, αὐτὸν ἔχειν... § Ἄλλως. διὰ τί Μηδείας ἐμνημόνευσεν; ὅτι ἡ Κόρινθος πατρῷον αὐτῆς κτῆμα γέγονε, τοῦτῳ τῷ λόγῳ· Ἀλωεὺς γὰρ καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης· τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαχεν Ἀλωεὺς τὴν ἐν Ἀρκαδίᾳ, ὁ δὲ Αἰήτης τὴν Κόρινθον. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βούνῳ μέν τινι Ἑρμοῦ υἱῷ παρέδωκε τὴν πο-

И противъ отца Мидію]. И Мидію прославляю, вступившую въ бракъ противъ воли своего отца; она вступила въ бракъ съ Іасономъ, будучи мудрою. *Ставшую спасительницею и помощницею для Арго:* ибо Эятъ хотѣлъ истребить Аргонавтовъ. Иначе: *Противъ отца*]. Ибо Мидія относительно брака пошла противъ воли отца, такъ какъ вышла за Іасона, котораго тотъ не желалъ, и удалилась вмѣстѣ съ нимъ. Спрашивается, зачѣмъ *поэтъ* вводитъ Мидію, уроженку Колхиды, въ рѣчь о Коринѳянахъ? Говорятъ, что Коринѳъ былъ первоначальнымъ владѣніемъ Мидіи: Эяту-де, сыну Илія [Солнца] и Антіопы, былъ данъ оракуломъ совѣтъ основать городъ въ Колхидѣ, названный по его имени, а верховную власть надъ Коринѳянами препоручить Вуну, сыну Ермія, съ тѣмъ условіемъ, чтобы, если онъ возвратится, то *Вунъ* возвратилъ ему *городъ*, а если нѣтъ, то самъ владѣлъ имъ... Иначе: Почему *поэтъ* упомянулъ о Мидіи? Потому что Коринѳъ былъ родовымъ ея владѣніемъ, слѣдующимъ образомъ: Алоей и Эятъ, отецъ Мидіи, были сыновья Илія и Антіопы; Илій раздѣлилъ между ними страну, при чемъ Алоей получилъ по жребію *область* въ Аркадіи, а

Digitized by Google

λιν εἰπὼν φυλάττειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ· αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος ὤκησε βασιλεύων. διδάσκει δὲ τοῦτο Εὔμηλός τις ποιητὴς ἱστορικὸς εἰπών·

Ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο
Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην
δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός·
ἣν μὲν ἔχ' Ἀσωπός, ταύτην πόρε δίῳ Ἀλωεῖ,
ἣν δ' Ἐφύρη κτεάτισσ', Αἰήτῃ δῶκεν ἅπασαν.
Αἰήτης δ' ἄρ' ἐκὼν Βούνῳ παρέδωκε φυλάσσειν,
εἰσόκεν αὐτὸς ἵκοιτ' ἢ ἐξ αὐτοῖό τις ἄλλος,
ἢ παῖς ἢ υἱωνός· ὁ δ' ᾤχετο Κολχίδα γαῖαν.

Βοῦνος δὲ Ἑρμοῦ καὶ νύμφης τινὸς παῖς... Vet.

...Αἰήτης... εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος καὶ κατασχὼν ἐκεῖ χώραν τινὰ ἐβασίλευεν. Ἰάσων οὖν ἐλθὼν εἰς αὐτὸν διὰ τὸ χρυσόμαλλον δέρας ἠράσθη παρὰ Μηδείας, ἣ παρασκευάσασα αὐτὸν λαβεῖν τὸ χρυσόμαλλον δέρας συναπῆρεν αὐτῷ πρὸς τὴν Ἑλλάδα ἄκοντος Αἰήτου. εἰρήκαμεν δὲ τὴν ἱστορίαν πλατύτερον ἐν τῇ τοῦ Λυκόφρονος παραφράσει. Rec.

75. Μήδειαν] ἱστέον δὲ ὅτι τὸ χρυσόμαλλον δέρας ἦν τοῦ κριοῦ, ὃς τὸν Φρίξον εἰς Κολχίδα διεπέρασεν. ἐκεῖ δὲ τοῦτο, ὥς φασι, Φυξίῳ Διὶ ἔθυσαν καὶ ἐπεχρέμασαν ἐν Ἄρεος ἄλσει, καὶ ἐφύλασσε τοῦτο δράκων ὅσον πεντηκόντορος ναῦς μήκει τε πάχει τε, ὥς φησι Πίνδαρος. Schol. Bodl. β. γ.

124 (84). Σὺν δ' ἐκείνῳ] μετὰ δὲ τοῦ ἵππου ὧν ἦ σὺν αὐτῷ ποτε καὶ τὸν στρατὸν τῶν Ἀμαζόνων τὸν ἐκ τοῦ ἀέρος τοῦ ἐρήμου καὶ τῶν ψυχροτάτων τόπων τῶν Ὑπερβορέων ἐνίκησεν. § ἤτοι τῶν ἐν Σκυθίᾳ. Vet.

125 (85). Αἰθέρος ψυχρᾶς] τῆς ἐν Σκυθίᾳ· κρυώδης γὰρ καὶ δυσχείμερος... Vet.

1 Эитъ—Коринеъ. Эитъ, недовольный своей областью, передалъ городъ нѣкоему Вуну, сыну Ермія, поручивъ сохранить *его* для его потомковъ, а самъ, прибывъ въ скиѳскую *страну* Колхиду, поселился *въ ней* и сталъ царствовать. Объ этомъ сообщаетъ нѣкій поэтъ-историкъ Евмилъ, говоря: «Но когда отъ Иліи и Антіопы произошли Эитъ и Алоей, тогда славный сынъ Иперіона раздѣлилъ землю надвѣ части своимъ сыновьямъ: *ту область*, которою владѣлъ Асопъ, онъ предоставилъ божественному Алоею, а *ту*, которую пріобрѣла Ефира, всю отдалъ Эиту. Итакъ, Эитъ добровольно передалъ *свою часть* хранить Вуну, пока не возвратится самъ или кто либо другой изъ его *потомковъ*, сынъ или внукъ; самъ же удалился въ Колхидскую землю». Вунъ—сынъ Ермія и какой то нимфы [1]). -

...Эитъ... прибывъ въ скиѳскую *страну* Колхиду и захвативъ тамъ нѣкую область, былъ царемъ. Іасонъ, прибывъ къ нему за золотымъ руномъ, влюбился въ себя Мидію, которая, устроивъ ему *возможность* захватить золотое руно, отправилась съ нимъ въ Элладу противъ воли Эита. Разсказъ этотъ мы изложили подробнѣе въ пересказѣ Ликофрона [2]).

Мидію]. Нужно знать, что златорунная шкура была *отъ* барана, который перевезъ Фрикса въ Колхиду. Тамъ ее, какъ говорятъ, принесли въ жертву Зевсу Фиксію и повѣсили въ Ареевой рощѣ, *гдѣ* ее стерегъ драконъ длиною и шириною съ пятидесятивесельный корабль, какъ говоритъ Пиндаръ [3]).

Съ нимъ]. Будучи при конѣ [т. е. Пегасѣ] или вмѣстѣ съ нимъ, [Беллерофонтъ] нѣкогда побѣдилъ и полчище Амазонокъ, *пришедшее* изъ пустыннаго воздуха и самыхъ холодныхъ мѣстностей Ипербореевъ. Или *живущихъ* въ Скиѳіи.

Холоднаго эѳира]—въ Скиѳіи, ибо *она* морозна и холодна...

ΠΥΘ. Δ'.

133 (75). Τὸν μονοκρήπιδα]... ἡ ἱστορία παρὰ Φερεκύδει. ἔθυε, φησίν, ὁ Πελίας τῷ Ποσειδῶνι καὶ προεῖπε πᾶσι παρεῖ-

Односапожнаго]... Разсказъ у Ферекида: «Пелій, говоритъ онъ, совершалъ жертвоприношеніе Посидону и приказалъ

1) Cf. schol. Eur. *Med.* 9 (v. infra). 2) «Exponitur quidem haec res ap. Tzetz. ad Lycophr. 174, 175, neque tamen ideo scholia recentiorum Tzetzae tribuenda sunt». Boeckh. 3) Pyth. IV, 245 (v. supra p. 325).

Digitized by Google

αι· οἱ δὲ ἦσαν οἵ τε ἄλλοι πολῖται καὶ ὁ Ἰήσων. ἔτυχε δὲ ἀροτρεύων ἐγγὺς τοῦ Ἀναύρου ποταμοῦ, ἀσάνδαλος δὲ διέβαινε τὸν ποταμόν, διαβὰς δὲ τὸν μὲν δεξιὸν ἐποδεῖται πόδα, τὸν δὲ ἀριστερὸν ἐπιλήθεται, καὶ ἔρχεται οὕτως ἐπὶ δεῖπνον. ἰδὼν δὲ ὁ Πελίας συμβάλλει τὸ μαντήϊον, καὶ πότε μὲν ἡσύχασε, τῇ δ' ὑστεραίᾳ μεταπεμψάμενος αὐτὸν ἤρετο ὅ τι ποιοίη, εἰ αὐτῷ ἀρησθείη ὑπό του τῶν πολιτῶν ἀποθανεῖν. τὸν δὲ Ἰήσων, πέμψαι ἂν εἰς Αἶαν αὐτὸν ἐπὶ τὸ κῶας· τὸ χρυσόμαλλον, ἄξοντα ἂν ἀπὸ Αἰήτεω. ταῦτα δὲ τῷ Ἰήσονι Ἥρη ἐς νόον βάλλει, ὡς ἔλθοι ἡ Μήδεια τῷ Πελίᾳ κακόν.

281 (158). . . Ἴδιος δέ ἐστι καὶ ἐνταῦθα ὁ Πίνδαρος μετὰ τοῦ δέρους καὶ τὴν ψυχὴν τοῦ Φρίξου κελεύων τῷ Ἰάσονι ἐκ τῆς Αἴας ἀνακομίσασθαι· ἐπὶ γὰρ τούτῳ μηνίειν τοὺς χθονίους δαίμονας· τῶν ἄλλων ἐπὶ μόνην τὴν κομιδὴν τοῦ δέρους αὐτὸν ἐκπεμφθῆναι λεγόντων. ὅτι δὲ τὰς ψυχὰς ἀνεκαλοῦντο τῶν ἐπὶ ταῖς ἀλλοδαπαῖς ἀποιχομένων, καὶ Ὅμηρος δηλοῖ·

Οὐδ' ἄρα μοι προτέρω νῆες κίον ἀμφιέλισσαι,
Πρίν τινα τῶν δειλῶν ἑτάρων τρὶς ἕκαστον ἀῦσαι.

§ Ἄλλως· ἐπειδὴ γὰρ ἐν Κόλχοις τέθνηκεν ὁ Φρίξος, κελεύει με δι' ὀνείρων ἀνακαλέσασθαι τὴν ψυχὴν αὐτοῦ εἰς Θεσσαλίαν παραγενόμενον εἰς τοὺς τοῦ Αἰήτου οἴκους, κελεύει δέ με καὶ τὸ δέρμα τοῦ κριοῦ ἀγαγεῖν, ᾧτινί ποτε ἐκ τοῦ πόντου διεσώθη καὶ ἐκ τῶν τῆς μητρυιᾶς ἀθέων βελῶν, τῶν ἐπιβουλῶν. ἔθος δὲ ἦν τῶν τελευτησάντων ἐπ' ἀλλοδαπῆς, εἰ καὶ μὴ τὰ σώματα εἴη παρ' αὐτοῖς, τὰς γοῦν ψυχὰς διά τινων μυστηρίων ἀνακαλεῖσθαι καὶ ὥσπερ συμπλεούσας εἰς τὴν πατρίδα διαπεραιοῦν. τοῦτο καὶ Ὅμηρος οἶδεν.

376 (211). Ἐς Φᾶσιν] ἔπειτα εἰς τὸν Φᾶσιν ποταμόν, φησίν, ἦλθον παρ' αὐτῷ τῷ Αἰήτῃ, ἔνθα τοῖς καταπληκτικοῖς Κόλχοις τὴν ἑαυτῶν ἰσχὺν προσήγαγον καὶ προσέμιξαν, περιῤῥαστικῶς παρεγένοντο. § τὸ κελαινώπεσσιν οἱ μὲν τοῖς καταπληκτικοῖς τὴν ὄψιν φασί. τὸ γὰρ κελαινὸν ἐπὶ τῆς καταπλήξεως λαμβάνειν εἰώθασιν· οἱ δὲ ὅτι Αἰγυπτίων ἄποικοί εἰσιν οἱ Σκύθαι, διὰ τοῦτο καὶ μελανόχροας αὐτοὺς εἶναι λέγουσιν. ἔχουσι δὲ καὶ λινουργοῦσι τὴν καλά-

всѣмъ собраться *на пиръ;* былъ *тутъ* и другіе граждане, и Іасонъ. Послѣдній пахалъ *землю* близъ рѣки Анавра *и* безъ сандалій перешелъ черезъ рѣку; перешедши, правую ногу обулъ, а лѣвую забылъ и въ такомъ видѣ пришелъ на обѣдъ. Увидѣвъ *это*, Пелій вспомнилъ предсказаніе, но въ тотъ день сохранилъ спокойствіе, а на завтра, призвавъ *Іасона*, спросилъ его, что бы овъ сдѣлалъ, если бы ему была предсказана смерть отъ *руки* кого либо изъ гражданъ? Іасонъ *отвѣтилъ*, что послалъ бы его въ Эю за золотымъ руномъ, чтобы привезти *его* отъ Эита. Такой отвѣтъ внушила Іасону Ира, чтобы Мидія явилась на гибель Пелію.

. . . Своеобразенъ и здѣсь Пиндаръ, приказывающій Іасону *вмѣстѣ* съ руномъ привезти изъ Эи и душу Фрикса, ибо изъза этого гнѣваются-де *подземныя* божества; другіе же говорятъ, что онъ былъ посланъ только для привоза руна. А что вызывали души умершихъ на чужбинѣ, *объ этомъ* свидѣтельствуетъ и Омиръ: «И не шли впередъ у меня округленные корабли, пока *мы* не назвали трижды каждаго изъ несчастныхъ товарищей»[1]). Иначе. Такъ какъ Фриксъ умеръ въ Колхидѣ, онъ въ сновидѣніи приказываетъ мнѣ, прибывши въ Эитовы чертоги, вызвать его душу въ Ѳессалію, а также привезти и руно барана, на которомъ онъ нѣкогда спасся изъ моря и отъ безбожныхъ стрѣлъ, *т. е.* козней, мачихи. Былъ обычай, въ случаѣ если кто умиралъ на чужбинѣ, и если нельзя было перевезти на родину тѣла, то по крайней мѣрѣ вызывать посредствомъ нѣкоторыхъ таинственныхъ обрядовъ души и, какъ бы плывущія вмѣстѣ, перевозить на родину. Это знаетъ и Омиръ.

Въ Фасидѣ]. Затѣмъ, говоритъ *поэтъ*, *Аргонавты* пріѣхали въ рѣку Фасидъ къ самому Эиту, гдѣ къ поразительнымъ Колхамъ свою силу привели и смѣшали, *т. е.* иносказательно *вмѣсто* прибыли. «Келаинώπεσσι» одни объясняютъ въ смыслѣ «поразительнымъ видомъ», такъ какъ κελαινόν употребляется обыкновенно о пораженіи *ужасомъ;* другіе же говорятъ, что такъ какъ Скиѳы — выселенцы изъ Эгипта, то поэтому они и чернокожи; они воздѣлы-

1) Od. IX, 64.

Digitized by Google

μην, ὥσπερ Αἰγύπτιοι. καὶ Καλλίμαχος· Κολχίδος ἐκ καλάμης. Φᾶσις δὲ ποταμὸς Σκυθίας τῆς κατὰ τὴν Ἀσίαν. ἔστι γὰρ καὶ ἑτέρα Εὐρώπης πλησίον τῆς Μαιώτιδος λίμνης καὶ τοῦ Τανάιδος ποταμοῦ. τούτου καὶ Ἀπολλώνιος μνημονεύει·

Φᾶσις δινήεις εὐρὺν ῥόον εἰς ἅλα βάλλει.

428 (241). Αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱός] εὐθέως δὲ ὁ τοῦ Ἡλίου, φησί, παῖς Αἰήτης τὸ χρυσόμαλλον κῶας ὑπεδείκνυε τῷ Ἰάσονι, ἔνθα αὐτὸ ἐξέτειναν αἱ τοῦ Φρίξου μάχαιραι. § τουτέστιν ἡ περὶ τὸ ἐκδέρειν τοῦ Φρίξου ἐνέργεια. Φυξίῳ γὰρ Διὶ τὸ δέρας ἀνιέρωσεν. ἔνιοι δέ φασιν ὑπὸ τοῦ Φρίξου ἀνατεθῆναι τῷ Ἄρει τὸ τοῦ χρυσομάλλου κριοῦ δέρας.

445 (250). Κλέψεν τε Μήδειαν] ἔκλεψε δὲ καὶ τὴν Μήδειαν ἑκοῦσαν, τὴν τὸν Πελίαν φονεύσασαν. ὁ δὲ νοῦς· κατεργασάμενος μὲν γὰρ τὸν ἆθλον ὁ Ἰάσων λάθρᾳ τοῦ Αἰήτου καὶ τῶν Κόλχων ἀπέκλεψε τὴν Μήδειαν ἑκοῦσαν καὶ αὐτήν, τὴν τῷ Πελίᾳ φόνον γενομένην...

вають ленъ и ткутъ изъ него полотно, какъ Египтяне [1]); и Каллимахъ *говоритъ* [2]): «Изъ Колхидскаго льна». Фасидъ — рѣка *въ* Азіатской Скиѳіи; есть вѣдь и другая *Скиѳія въ* Европѣ, вблизи Меотійскаго озера и рѣки Танаида; о немъ упоминаетъ и Аполлоній [3]): «Обильный водоворотами Фасидъ изливаетъ въ море широкій потокъ».

Тотчасъ удивительный сынъ Илія]. Тотчасъ, говоритъ *поэтъ*, сынъ Иліи Эитъ показалъ Іасону златорунную шкуру, гдѣ ее растянули ножи Фрикса, т. е. дѣятельность Фрикса по сдиранію *шкуры*: ибо онъ посвятилъ шкуру Зевсу Фиксію. Нѣкоторые же говорятъ, что шкура златорунаго барана была посвящена Фриксомъ Арею.

И похитилъ Мидію]. Онъ похитилъ и Мидію согласно ея желанію, убившую Пелія. Смыслъ: совершивши подвигъ, Іасонъ тайно отъ Эита и Колховъ похитилъ Мидію, также желавшую этого *и* сдѣлавшуюся убійцею Пелія... [4])

NEM. Δ', 79 (49).

Ἐν δ' Εὐξείνῳ πελάγει] πᾶν τὸ γένος τῶν Αἰγινητῶν ὑμνεῖ, ὅτι πολλῶν τόπων ὑπῆρξεν. ἔστι δέ τις ἐπὶ τοῦ Εὐξείνου πόντου καλουμένη Λευκὴ νῆσος, εἰς ἣν δοκεῖ τὸ Ἀχιλλέως σῶμα ὑπὸ Θέτιδος μετακεκομίσθαι· καὶ δρόμους τινὰς δεικνύουσι διὰ τὰ τοῦ ἥρωος γυμνάσια. ὅθεν καὶ ὁ Πίνδαρος φαεννὰν νῆσον τὴν Λευκὴν μεταληπτικῶς εἶπε· φαεινὸν γὰρ τὸ λευκόν ἐστι. Λευκὴ δὲ καλεῖται διὰ τὸ πλῆθος τῶν ἐννεοσσευόντων ὀρνέων, ἤτοι ἐρωδιῶν· φαντασίαν γὰρ τοιαύτην τοῖς πλέουσι παρέχει. § Ἄλλως. τὴν λεγομένην Λευκὴν ἀκτὴν ἐν τῷ Εὐξείνῳ πόντῳ, ἐν ᾗ πλεῖστοι ἐρωδιοὶ φαινόμενοι ἐκεῖθεν τοῖς πλέουσι μηνύουσιν αὐτήν. αὕτη καλεῖται καὶ Ἀχιλλέως δρόμος, ἐπειδὴ μνηστευομένου τοῦ Ἀχιλλέως τὴν Ἰφιγένειαν ἀχθεῖσάν τε διὰ τὴν αὐτοῦ πρόφασιν εἰς Αὐλίδα, γενομένης ἁπλοίας τοῖς Ἕλλησιν εἰς Ἴλιον ἠθέλησαν σφαγιάσαι ὑπὲρ εὐπλοίας, καὶ τῆς Ἀρτέμιδος αὐτὴν ἁρπασάσης καὶ ἐπὶ Ταύρους τῆς Σκυθίας τόπον

А въ Евксинскомъ морѣ]. *Поэтъ* прославляетъ весь родъ Эгинетовъ, такъ какъ онъ существовалъ во многихъ мѣстахъ. Есть на Евксинскомъ Понтѣ нѣкій островъ, называемый Бѣлымъ, на который, по *обычному* представленію, перенесено Ѳетидой тѣло Ахилла; показываютъ и нѣкіе «бѣги» вслѣдствіе упражненій героя. Поэтому и Пиндаръ металептически назвалъ Бѣлый островъ блестящимъ: ибо бѣлое *представляется* блестящимъ. Бѣлымъ же *островъ* называется по множеству гнѣздящихся *на* немъ птицъ, именно цаплей, ибо такой видъ [т. е. бѣлый] представляетъ *онъ* плывущимъ. Иначе: такъ называемый Бѣлый берегъ на Евксинскомъ Понтѣ, на которомъ множество цаплей, видѣнсь оттуда, указываетъ его мореплавателямъ. Онъ называется также Ахилловымъ Бѣгомъ, потому что въ то время, какъ Ахиллъ сватался за Ифигенію, и она была привезена ради его въ Авлиду, вслѣдствіе случившма-

1) Cf. Herod. II, 105 (supra, p. 9). 2) Fragm. 265. 3) *Argon.* II, 403.
4) Прочія схоліи къ приведенному отрывку 4-ой Пиѳ. оды не приводятся, такъ какъ содержатъ или простой пересказъ словъ поэта, или чисто миѳическія подробности.

Digitized by Google

ἀγαγούσης ἐπεδίωκεν ἐρῶν ὁ Ἀχιλλεὺς καὶ συνηκολούθησε μέχρι ταύτης τῆς νήσου τῆς λεγομένης Λευκῆς.

гося безвѣтрія *для плаванія* Эллинамъ въ Иліонъ, захотѣли принести ее въ жертву за благополучное плаваніе, но Артемида похитила ее и перенесла въ Скиѳскую мѣстность къ Таврамъ, а влюбленный Ахиллъ слѣдовалъ за нею и сопровождалъ до этого острова, называемаго Бѣлымъ.

ΙΣΘΜ. Β', 61 (41).

Ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις] Φᾶσις ποταμὸς τῆς Σκυθίας· ψυχρότατα δὲ τὰ περὶ αὐτὸν πνεύματα ἔχει...

Но плавалъ къ Фасиду лѣтомъ]. Фасидъ — рѣка *въ* Скиѳіи; *дующіе* на немъ вѣтры чрезвычайно холодны...

ΑΙΣΧΥΛΟΣ. ЭСХИЛЪ.

[Знаменитый трагикъ, род. 525, ум. 456 г. до Р. Хр. — Текстъ: Aeschyli fabulae cum lectionibus et scholiis codicis Medicei... ab Hier. Vitelli denuo collatis ed. N. Wecklein, Berol. 1885. Для отрывковъ: Tragicorum Graecorum fragmenta rec. Aug. Nauck, ed. 2. Lips. 1889].

ΠΡΟΜΗΘΕΥΣ ΔΕΣΜΩΤΗΣ. ПРИКОВАННЫЙ ПРОМИѲЕЙ.

Vv. 1 — 2. ΚΡΑΤΟΣ. СИЛА.

Χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον,
Σκύθην ἐς οἶμον, ἄβροτον ἐς ἐρημίαν...

Мы прибыли въ отдаленный край земли, въ Скиѳскую страну, въ безлюдную пустыню...

Vv. 315—318. ΠΡΟΜΗΘΕΥΣ. ПРОМИѲЕЙ (къ Океану).

...πῶς ἐτόλμησας, λιπὼν
ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
αὐτόκτιτ' ἄντρα, τὴν σιδηρομήτορα
ἐλθεῖν ἐς αἶαν;...

...Какъ ты осмѣлился, покинувъ сименныя *тебѣ* воды и каменныя самозданныя пещеры, придти въ *эту* страну, родящую желѣзо?...

Vv. 427 — 440. ΧΟΡΟΣ. ХОРЪ.

...Ὁπόσοι τ' ἔποικον ἀγνᾶς
Ἀσίας ἕδος νέμονται,
μεγαλοστόνοισι σοῖς πήμασι
συγκάμνουσι θνατοί.
Κολχίδος τε γᾶς ἔνοικοι
παρθένοι, μάχας ἄτρεστοι,
καὶ Σκύθης ὅμιλος, οἳ γᾶς
ἔσχατον τόπον ἀμφὶ Μαιῶτιν ἔχουσι λίμναν.
Ἀραβίας τ' ἄρειον ἄνθος,
ὑψίκρημνον οἳ πόλισμα
Καυκάσου πέλας νέμουσιν,
δάιος στρατός, ὀξυπρῴροισι βρέμων ἐν αἰχμαῖς.

...Всѣ смертные, которые обитаютъ въ ближайшихъ мѣстностяхъ чистой Азіи, соболѣзнуютъ твоимъ плачевнымъ страданіямъ: и дѣвы — обитательницы Колхидской земли, безтрепетныя въ бояхъ, и многолюдныя племена Скиѳовъ, обитающія на краю земли вокругъ Мэотійскаго озера, и воинственный цвѣтъ Аравіи, — обитатели высокой крѣпости близъ Кавказа, грозная рать, гремящая среди остроконечныхъ копій.

Digitized by Google

Vv. 729—761. ΠΡΟΜΗΘΕΥΣ.

Τὰ λοιπὰ νῦν ἀκούσαθ', οἷα χρὴ πάθη
τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα.
σύ τ', Ἰνάχειον σπέρμα, τοὺς ἐμοὺς λόγους
θυμῷ βάλ', ὡς ἂν τέρματ' ἐκμάθῃς ὁδοῦ.
πρῶτον μὲν ἑνθένδ' ἡλίου πρὸς ἀντολὰς
στρέψασα σαυτὴν στεῖχ' ἀνηρότους γύας.
Σκύθας δ' ἀφίξῃ νομάδας, οἳ πλεκτὰς στέγας
πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις,
ἐκηβόλοις τόξοισιν ἐξηρτυμένοι.
οἷς μὴ πελάζειν, ἀλλ' ἀλιστόνοις γύποδας
χρίμπτουσα ῥαχίαισιν ἐκπερᾶν χθόνα.
λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες
οἰκοῦσι Χάλυβες, οὓς φυλάξασθαί σε χρή·
ἀνήμεροι γὰρ οὐδὲ πρόσπλατοι ξένοις.
ἥξεις δ' ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον,
ὃν μὴ περάσῃς, οὐ γὰρ εὔβατος περᾶν,
πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς, ὀρῶν
ὕψιστον, ἔνθα ποταμὸς ἐκφυσᾷ μένος
κροτάφων ἀπ' αὐτῶν. ἀστρογείτονας δὲ χρὴ
κορυφὰς ὑπερβάλλουσαν ἐς μεσημβρινὴν
βῆναι κέλευθον, ἔνθ' Ἀμαζόνων στρατὸν
ἥξεις στυγάνορ', αἳ Θερμίσκυραν ποτε
κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ', ἵνα
τραχεῖα πόντου Σαλμυδησσία γνάθος.
ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν·
αὗταί σ' ὁδηγήσουσι καὶ μάλ' ἀσμένως.
ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις
Κιμμερικὸν ἥξεις, ὃν θρασυσπλάγχνως σε χρὴ
λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικόν·
ἔσται δὲ θνητοῖς εἰς ἀεὶ λόγος μέγας
τῆς σῆς πορείας, Βόσπορος δ' ἐπώνυμος
κεκλήσεται. λιποῦσα δ' Εὐρώπης πέδον
ἤπειρον ἥξεις Ἀσιάδα...

ПРОМИѲЕЙ (къ хору и Іо).

Выслушайте теперь объ остальныхъ страданіяхъ, которыя предстоитъ этой юницѣ вытерпѣть отъ Иры. И ты, дочь Инаха, вложи въ душу мои слова, чтобы узнать предѣлы *своихъ* странствованій. Прежде всего поверни отсюда къ восходу солнца и иди по невспаханнымъ степямъ; ты придешь къ кочевникамъ Скиѳамъ, которые живутъ на высокихъ повозкахъ съ прекрасными колесами, подъ плетеными кибитками, вооруженные дальнобойными луками. Къ нимъ ты не приближайся, но удались изъ этой страны, идя вдоль шумнаго и утесистаго морскаго берега. По лѣвую руку живутъ обработывающіе желѣзо Халивы, которыхъ тебѣ нужно остерегаться: они суровы и неприступны для чужеземцевъ. Далѣе ты достигнешь Буйной рѣки, не ложно носящей это имя; не переправляйся чрезъ нее, ибо она неудобна для переправы, пока не придешь къ самому Кавказу, высочайшему изъ горныхъ хребтовъ, гдѣ рѣка яростно низвергается съ самыхъ вершинъ. Переваливъ чрезъ поднимающіяся до звѣздъ высоты, ты вступишь на южную дорогу, по которой придешь къ враждебной мужамъ рати Амазонокъ, которыя современемъ поселятся въ Ѳемискирѣ у Ѳермодонта, гдѣ находится суровая Салмидисская бухта, враждебная морякамъ и мачиха кораблямъ; Амазонки очень охотно укажутъ тебѣ дорогу. За ними ты достигнешь у самыхъ узкихъ вратъ озера до Киммерійскаго перешейка; смѣло миновавъ его, переплывъ Мэотійскій проливъ — и на вѣки сохранится у смертныхъ славное сказаніе о твоей переправѣ, а проливъ получитъ отъ нея названіе Воспора. Покинувъ Европейскую землю, ты вступишь на Азіатскій материкъ...

Vv. 829—833. ΠΡΟΜΗΘΕΥΣ.

ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας
γρῦπας φύλαξαι, τόν τε μουνῶπα στρατὸν
Ἀριμασπὸν ἱπποβάμον', οἳ χρυσόρρυτον
οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου·
τούτοις σὺ μὴ πέλαζε...

ПРОМИѲЕЙ (къ Іо).

Берегись остроклювыхъ, безгласныхъ псовъ Зевса, грифовъ, и одноглазой конной рати Аримасповъ, которые живутъ у златоноснаго Плутонова потока. Къ нимъ ты не приближайся...

ХОНФОРОІ. Въ ст. 154 упоминаются Σκυθικὰ παλίντονα βέλη.

Digitized by Google

ΑΠΟΣΠΑΣΜΑΤΑ. ОТРЫВКИ.

NIOBH, fr. 155 (Choerob. *Exeg. in Hephaest. Enchir.* p. 41, 10 et alii).

Ἴστρος τοιαύτας παρθένους ἐξεύχεται τρέφειν ὅ θ' ἁγνὸς Φᾶσις.

Истръ и священный Фасидъ хвалятся, что кормятъ такихъ дѣвъ.

ΠΡΟΜΗΘΕΥΣ ΛΥΟΜΕΝΟΣ, fr. 190 et 191 v. ap. Arr. *Per. Ponti Eux.* § 19 Herch. (supra, p. 224) et Anon. *Per.* 43 (supra, p. 280). Cf. Procop. *Hist. Goth.* 4, 6 vol. 2 p. 484, 16: ἀλλὰ καὶ ὁ τραγῳδοποιὸς Αἰσχύλος ἐν Προμηθεῖ τῷ λυομένῳ εὐθὺς ἀρχόμενος τῆς τραγῳδίας τὸν ποταμὸν Φᾶσιν τέρμονα καλεῖ τῆς τε Ἀσίας καὶ τῆς Εὐρώπης.

Fragm. 193. Cic. *Tusc.* 2, 10, 23—25:

Veniat Aeschylus non poeta solum sed etiam Pythagoreus: sic enim accepimus. quo modo fert apud eum Prometheus dolorem quem excipit ob furtum Lemnium?... affixus ad Caucasum haec dicit:

Titanum suboles, socia nostri sanguinis, generata Caelo, aspicite religatum asperis vinctumque saxis, navem ut horrisono freto noctem paventes timidi adnectunt navitae. Saturnius me sic infixit Iuppiter, Iovisque numen Mulciberi adscivit manus. hos ille cuneos fabrica crudeli inserens perrupit artus: qua miser solertia transverberatus castrum hoc furiarum incolo.

iam tertio me quoque funesto die tristi advolatu aduncis lacerans unguibus Iovis satelles pastu dilaniat fero. tum iecore opimo farta et satiata adfatim clangorem fundit vastum, et sublime avolans pinnata cauda nostrum adulat sanguinem. cum vero adesum inflatu renovatum est iecur, tum rursum tetros avida se ad pastus refert. sic hanc custodem maesti cruciatus alo, quae me perenni vivum foedat miseria. namque, ut videtis, vinclis constrictus Iovis arcere nequeo diram volucrem a pectore. sic me ipse viduus pestis excipio anxias, amore mortis terminum anquirens mali: sed longe a leto numine aspellor Iovis, atque haec vetusta saeclis glomerata horridis luctifica clades nostro infixa est corpori, e quo liquatae solis ardore excidunt guttae, quae saxa adsidue instillant Caucasi.

Пусть выступитъ *свидѣтелемъ* и Эсхилъ, не только поэтъ, но и Пиѳагореецъ: такое существуетъ *о немъ* преданіе. Какъ выноситъ у него Прометей страданіе, которое присуждено ему за похищеніе *огня* на Лимносѣ?... Прикованный къ Кавказу, онъ говоритъ такъ: «Потомки Титановъ, родные нашей крови, порожденные небомъ, взгляните на *узника*, связаннаго и прикованнаго къ острымъ скаламъ, какъ робкіе моряки, страшась ночи, привязываютъ судно на страшно шумящемъ морѣ. Такъ приказалъ меня пригвоздить Сатурновъ сынъ Юпитеръ, и рука Вулкана исполнила велѣніе Юпитера. Онъ разорвалъ *мои* члены, съ жестокимъ искусствомъ вгоняя эти клинья; насквозь пробитый этими ловкими ударами, я помѣщенъ въ этомъ жилищѣ furій. Въ каждый третій мучительный день служитель Юпитера, прилетая *мнѣ* на горе, разрываетъ меня кривыми когтями и терзаетъ жестокимъ пожирапьемъ. Затѣмъ, вдоволь насытившись тучною печенью, онъ испускаетъ громкій кликъ и, улетая въ *воздушныя* выси, перистымъ хвостомъ обтираетъ нашу кровь. Когда же вновь надуется съѣденная печень, онъ, жадный, снова прилетаетъ къ отвратительной пищѣ. Такъ я питаю этого стража горькаго мученія, который мучитъ меня зажпво вѣчнымъ терзаньемъ. Ибо, какъ *вы* видите, сдавленный оковами Юпитера, я не могу отогнать отъ *своей* груди жестокую птицу. Такъ, лишенный силъ, я терплю тяжкія муки, съ любовью къ смерти ища предѣла страданія, но волею Юпитера далеко удаляюсь отъ смерти, и это исконное горькое страданіе, накопившееся въ теченіи ужасныхъ вѣковъ, внѣдрено въ наше тѣло, изъ коего сочатся растопленныя солнечнымъ зноемъ капли, непрестанно падающія на скалы Кавказа.

Digitized by Google

— Fragm. 196 v. supra ap. Steph. Byz. s. v. Ἄβιοι (p. 252). Cf. schol. Hom. *Il.* N 6 (supra, p. 302) et Eust. ad *Il.* p. 916, 24 (supra, p. 309).

— Fragm. 197 v. infra ap. schol. Apoll. Rhod. IV, 284. Non recte dixisse schol. Dion. Per. 10 de Tanai ea, quae leguntur supra p. 210, putat Nauckius.

— Fragm. 198 v. supra p. 113 ap. Strab. VII p. 301. Cf. Hesych. s. v. ἱππάκη.

ΣΧΟΛΙΑ ΕΙΣ ΑΙΣΧΥΛΟΝ. СХОЛІИ КЪ ЭСХИЛУ.

[Текстъ: Aeschyli tragoediae superstites et deperditarum fragmenta ex rec. G. Dindorfii. Tomus III: Scholia Graeca ex codicibus aucta et emendata. Oxonii, 1851. Схоліи Медицейской рукописи, называемыя у Диндорфа σχόλια παλαιά, приводятся по вышеуказанному изданію Веклейна].

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ. ДРЕВНІЯ СХОЛІИ.

ΠΡΟΜΗΘΕΥΣ. ПРОМИѲЕЙ.

Ὑπόθεσις. Содержаніе.

Προμηθέως ἐν Σκυθίᾳ δεδεμένου διὰ τὸ κεκλοφέναι τὸ πῦρ πυνθάνεται Ἰὼ πλανωμένη, κατ' Αἴγυπτον γενομένη ὅτι ἐκ τῆς ἐπαφήσεως τοῦ Διὸς τέξεται τὸν Ἔπαφον. Ἑρμῆς δὲ παράγεται ἀπειλῶν αὐτῷ κεραυνωθήσεσθαι, ἐὰν μὴ εἴπῃ τὰ μέλλοντα ἔσεσθαι τῷ Διί, καὶ τέλος βροντῆς γενομένης ἀφανὴς γίνεται ὁ Προμηθεύς.

Κεῖται δὲ ἡ μυθοποιία ἐν παρεκβάσει παρὰ Σοφοκλεῖ ἐν Κόλχοις [1]), παρὰ δὲ Εὐριπίδῃ ὅλως οὐ κεῖται. ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος...

Ἰστέον ὅτι οὐ κατὰ τὸν κοινὸν λόγον ἐν τῷ Καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, ἀλλὰ πρὸς τοῖς Εὐρωπαίοις τέρμασιν τοῦ Ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἔστι συμβαλεῖν.

117 (118 [2]). τερμόνιον] ἐπεὶ τέλος τῆς οἰκουμένης ὁ Καύκασος...

420 (435). Ἀραβίας] πῶς τὴν Ἀραβίαν Καυκάσῳ συνῴκισεν; ἢ ἐπεὶ Στράβων φησὶ Τρωγλοδύτας οἰκεῖν μεταξὺ Μαιώτιδος καὶ Κασπίας, οἵ εἰσιν Ἄραβες.

422 (438). νέμονται: οἱ Κόλχοι.

Когда Промиѳей былъ прикованъ въ Скиѳіи за похищеніе огня, блуждающая Іо узнаетъ, что, прибывъ въ Эгипетъ, она отъ прикосновенія Зевса родитъ Епафа. Ввостся Ермій, угрожающій ему пораженіемъ перунами, если онъ не откроетъ будущей *судьбы* Зевса, и въ концѣ концовъ раздается громъ, и Промиѳей исчезаетъ.

Этотъ миѳъ встрѣчается въ видѣ эпизода у Софокла въ «Колхахъ», а у Еврипида вовсе не встрѣчается. Сцена драмы предполагается въ Скиѳіи на Кавказской горѣ...

Нужно знать, что *Эсхилъ* представляетъ Промиѳея прикованнымъ не на Кавказѣ, согласно общераспространенному преданію, а у Европейскихъ предѣловъ Океана, какъ можно заключать изъ словъ его къ Іо.

117. *Предѣлъ*]. Ибо Кавказъ — конецъ населенной *земли*.

420. *Аравіи*]. Какъ *поэтъ* связалъ Аравію съ Кавказомъ? Или потому, что, по словамъ Страбона [3]), между Меотидою и Каспійскимъ *моремъ* жили Троглодиты, которые *родомъ* Арабы.

422. *Обитаютъ:* Колхи.

---

1) ἐν Κολχίσι Brunck. «Promethei unguenti (de quo Ap. Rh. 3, 843 sqq.) mentionem huius παρεκβάσεως ansam fuisse probabiliter coni. Welcker Trag. p. 335». Nauck, TGF. p. 205 ad fr. 316. 2) Въ скобкахъ указывается счетъ стиховъ по изд. Веклейна. 3) Strab. XI, 5, 7 (v. supra p. 147). То-же говорится и въ позднѣйшихъ схоліяхъ (A).

Digitized by Google

717 (743). ποταμόν] τὸν Ἀράξην, παρὰ τὸ ἀράσσειν καὶ ἠχεῖν τὰ κύματα αὐτοῦ.

722 (748). κορυφάς] τὰς τοῦ Καυκάσου.

723 (749). Ἀμαζόνων στρατόν] ὡς τὸ πρῶτον τῶν Ἀμαζόνων ἐν Σκυθίᾳ οἰκουσῶν.

730 (736). Κιμμερικόν] τὸν Κιμμερικὸν Βόσπορόν φησιν, ὃς ἐστι πλήρωμα τῆς Μαιώτιδος λίμνης.

790 (816). ῥεῖθρον ἠπείρων ὅρον] τὸν Τάναϊν ποταμόν. «Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ μέσσον ὁρίζει [1])».

803 (830). γρῦπας] πρῶτος Ἡσίοδος ἐτερατεύσατο τοὺς γρῦπας.

805 (831). Ἀριμασπόν] Σκυθικὸν μονόφθαλμον (m. [1]).

717. *Рѣку*]. Араксъ, *названный такъ* отъ того, что его волны разбиваются и шумятъ.

722. *Вершины*] Кавказа.

723. *Рать Амазонокъ*]. Ибо первоначально Амазонки жили въ Скиѳіи.

730. *Киммерійскій*]. *Поэтъ* разумѣетъ Киммерійскій Воспоръ, который составляетъ дополненіе Мэотійскаго озера.

790. *Потокъ—границу материковъ*]—рѣку Танандъ. «Европу отъ Азіи отдѣляетъ по срединѣ Танандъ».

803. *Грифовъ*]. Первый Исіодъ сообщилъ чудесныя сказанія о грифахъ.

805. *Аримаспово*] Скиѳское одноглазое.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΑ [2]).

ΠΡΟΜΗΘΕΥΣ.

Ὑπόθεσις.

Προμηθέως ἐκ Διὸς κεκλοφότος τὸ πῦρ καὶ δεδωκότος ἀνθρώποις, δι' οὗ τέχνας πάσας ἄνθρωποι εὕροντο, ὀργισθεὶς ὁ Ζεὺς παραδίδωσιν αὐτὸν Κράτει καὶ Βίᾳ, τοῖς αὐτοῦ ὑπηρέταις, καὶ Ἡφαίστῳ, ὡς ἂν ἀγαγόντες πρὸς τὸ Καυκάσιον ὄρος δεσμοῖς σιδηροῖς αὐτὸν ἐκεῖ προσηλώσαιεν... ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Σκυθίᾳ ἐπὶ τὸ Καυκάσιον ὄρος, ἡ δὲ ἐπιγραφὴ τούτου Προμηθεὺς δεσμώτης.

1. τηλουρὸν πέδον] τὸν Καύκασον λέγει... A.

τηλουρόν] ὑψηλόν, μακρόν, ἀφ' οὗ τῆλε καὶ μακρὰν ὁρᾶν τις δύναται. λέγει δὲ τὸν Καύκασον... B. ἰστέον δὲ ὅτι ἐν τῷ Καυκάσῳ φησὶ δεδέσθαι τὸν Προμηθέα, πρὸς τοῖς Εὐρωπαίοις μέρεσι δὲ τοῦ Ὠκεανοῦ καὶ οὐκ ἀλλαχοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν Ἰὼ λεγομένων ἐστὶ συμβαλεῖν. O. P.

2. Σκύθην ἐς οἶμον] ἤγουν τὴν Σκυθικὴν ὁδόν. ἵνα γὰρ ἀπαραμύθητος εἴη ὁ Προμηθεύς, διὰ τοῦτο ἐς ἐκείνους τόπους ἄγουσιν... ἢ διὰ τοῦτο Σκυθικὴν ὁδὸν εἶπε,

ПОЗДНѢЙШІЯ СХОЛІИ.

ПРОМИѲЕЙ.

Содержаніе.

Когда Промиѳей похитилъ у Зевса и далъ людямъ огонь, съ которымъ люди изобрѣли всякія искусства, разгнѣванный Зевсъ передаетъ его своимъ слугамъ Могуществу и Силѣ и Ифесту, чтобы они отвели его къ Кавказской горѣ и тамъ приковали желѣзными цѣпями... Сцена драмы предполагается въ Скиѳіи на Кавказской горѣ, а заглавіе ея — «Прикованный Промиѳей».

1. *Отдаленную землю*]. *Поэтъ* разумѣетъ Кавказъ...

Отдаленную] высокую, длинную, откуда можно далеко видѣть; *поэтъ* разумѣетъ Кавказъ... Нужно знать, что, по словамъ *поэта*, Промиѳей былъ прикованъ на Кавказѣ, но у Европейскихъ частей Океана, а не въ другомъ мѣстѣ, какъ можно заключать изъ словъ его къ Іо.

2. *Въ Скиѳскую страну*] или Скиѳскую дорогу; ибо для того, чтобы Промиѳей не имѣлъ *ни въ чемъ* утѣшенія, его ведутъ въ *тѣ* мѣста.. Или *поэтъ* потому сказалъ «Скиѳ-

V. 33: «ἐν] καὶ ἐν O. Recte schol. vetus οὐ κατὰ τὸν κοινὸν λόγον ἐν τῷ». Dind. Inter ὅτι et ἐν inserendum videtur οὐκ.

1) Versus Dionysii *Perieg.* 14 (v. supra p. 178). 2) De his scholiis uberius disserit Dindorfius in praefatione.

Digitized by Google

διότι Σκύθαι κατῴκουν τὸν Καύκασον· ἢ διὰ τὸ ἄγριον καὶ ἀπάνθρωπον τοῦ τόπου. ὅτι δὲ τοιοῦτος ἦν ὁ τόπος ἐκεῖνος, δῆλον ἀπὸ τοῦ εἰπεῖν ἄβατον εἰς ἐρημίαν. A.

117 (118). τερμόνιον ἐπὶ πάγον]... ἐπὶ τὸ τελευταῖον μέρος τῆς γῆς ἦλθεν, ἐπειδὴ τέλος τῆς οἰκουμένης ὁ Καύκασος... A.

118. πάγον] ἐπὶ τέλει τοῦ Ὠκεανοῦ ὁ Καύκασος... P.

167 (180). ἦ μὴν ἔτ' ἐμοῦ]... λέγει δὲ τὸν ἔρωτα τῆς Θέτιδος ὃν ἔσχεν ὁ Ζεύς· οὗτος γὰρ ἐρασθεὶς αὐτῆς ἐδίωκεν αὐτὴν ἐν τῷ Καυκάσῳ ὄρει, ὅπως συγγένηται αὐτῇ, ἐκωλύθη δὲ ὑπὸ Προμηθέως, εἰπόντος αὐτῷ ὅτι ὁ μέλλων γεννηθῆναι ἐξ αὐτῆς ἔσται κρείττων κατὰ πολὺ τοῦ ἰδίου πατρός· φοβηθεὶς οὖν ὁ Ζεὺς περὶ τῆς βασιλείας ἀπέσχετο τῆς πρὸς Θέτιδα συνουσίας... A.

281 (279). ὀχρυοέσσῃ χθονί] τῇ χαλεπῇ καὶ σκληρᾷ καὶ πετρώδει, λέγω δὲ τῷ Καυκάσῳ. B.

298 (314)... εἰς τὴν γῆν τὴν σιδηρομήτορα, τὴν γεννῶσαν τὸν σίδηρον. λέγει δὲ τὴν Σκυθίαν· οἱ γὰρ Χάλυβες ἐκεῖσέ που πλησίον οἰκοῦσι ἔθνος ὄντες Σκυθικόν, ὅπου ὁ σίδηρος ἐφευρίσκεται... A.

301 (317). σιδηρομήτορα] τὴν ἐργαζομένην τὸν σίδηρον. τὴν τῆς Σκυθίας Χαλυβικὴν γῆν, ἐν ᾗ πρῶτον ὁ σίδηρος εὑρηται. λέγει δὲ τὸν Καύκασον, περὶ αὐτὸν γὰρ οἱ Χάλυβες. B.

347 (363)... τὸν μὲν Προμηθέα προσήλωσεν ὁ Ζεὺς εἰς τὸ Καυκάσιον ὄρος... A. Cf. ad v. 397: σὲ δὲ δεσμεῖ ἐνταῦθα εἰς τὸ Καυκάσιον ὄρος... A.

411 (427). ὁπόσοι τ' ἔποικον] ὅσοι τε ἄνθρωποι κατοικοῦσι τὸ ἔδαφος καὶ τὸν χῶρον τῆς καθαρᾶς Ἀσίας, συγκάμνουσιν ἡμῖν καὶ συνανιῶνται ταῖς σαῖς βλάβαις ταῖς μετεχούσαις μεγάλων στεναγμάτων. παρθένοι τε αἱ ἐγκάτοικοι τῆς Κολχίδος, ἦγουν αἱ Ἀμαζόνες αἱ ἄτρεστοι καὶ ἄφοβοι ἐν ταῖς μάχαις, ἀνιῶνται τοῖς σοῖς κακοῖς, καὶ ὁ Σκυθικὸς ὅμιλος, οἵτινες κατοικοῦσι τὸν ἔσχατον πόρον τῆς γῆς περὶ τὴν Μαιῶτιν λίμνην· τὸ ἄρειόν τε καὶ πολεμικὸν γένος τῆς Ἀραβίας, λέγει δὲ τοὺς Τρωγλοδύτας, οἵτινές τε πλησίον τοῦ Καυκάσου νέμονται καὶ οἰκοῦσι πόλιν ὑψίκρημνον, στρατὸς πολεμικὸς ὁ βρέμων καὶ ἠχῶν ἐν αἰχμαῖς ὀξείας ἄκρας ἐχούσαις, ἦγουν οἱ Κόλχοι. A.

свою дорогу», что Скиѳы заселяли Кавказъ, или по причинѣ дикости и безлюдія мѣстности; а что такова была эта мѣстность, *это* ясно изъ выраженія «въ безлюдную пустыню».

117. *На предѣльную скалу*]... Пришелъ на конечную часть земли, ибо Кавказъ — конецъ обитаемой *земли*...

118. *Скалу*]. Кавказъ — на концѣ Океана...

167. *Да, еще меня*]... *Поэтъ* разумѣетъ любовь къ Ѳетидѣ со стороны Зевса. Ибо онъ, влюбившись, преслѣдовалъ ее на горѣ Кавказѣ, чтобы вступить съ нею въ связь, но былъ остановленъ Промѳеемъ, сказавшимъ ему, что *сынъ*, который родится отъ нея, будетъ значительно могущественнѣе своего отца; поэтому Зевсъ, испугавшись за *свою* власть, удержался отъ связи съ Ѳетидою...

281. *Леденящей землѣ*] — тяжелой, суровой и скалистой, т. е. Кавказу.

298. ...въ землю — мать желѣза, *т. е.* производящую желѣзо. *Поэтъ* разумѣетъ Скиѳію; ибо тамъ гдѣ-то вблизи живутъ Халивы, скиѳское племя, гдѣ добывается желѣзо...

301. *Мать желѣза*] — обработывающую желѣзо; въ Скиѳіи Халивскую землю, въ которой впервые найдено желѣзо; *поэтъ* разумѣетъ Кавказъ, ибо около него *живутъ* Халивы.

347.... Промѳеея приковалъ Зевсъ къ Кавказской горѣ...

Которые ближайшее]. *Всѣ* люди, которые только населяютъ землю и область чистой Азіи, сострадаютъ намъ и сочувствуютъ твоимъ страданіямъ, соединеннымъ съ великими стенаніями, и дѣвы — обитательницы Колхиды, т. е. Амазонки, безтрепетныя и безстрашныя въ бояхъ, огорчаются твоими бѣдствіями, и многолюдныя племена Скиѳовъ, которые населяютъ край земли вокругъ Меотійскаго озера, и ареевъ воинственный родъ Аравіи, *подъ которымъ поэтъ* разумѣетъ Троглодитовъ, которые живутъ вблизи Кавказа и населяютъ высокоутесный городъ, воинственная рать, гремящая и звучащая въ копьяхъ съ острыми наконечниками, т. е. Колхи.

Digitized by Google

415 (431). Κολχίδος] ἥτις ἔνεστιν ἐν Σκυθίᾳ. B.

561 (581). Ἡ Ἰὼ κατὰ χόλον τῆς Ἥρας μεταβληθεῖσα εἰς βοῦν καὶ οἰστρηλατουμένη, ἐλθοῦσα καὶ εἰς ἑτέρους διαφόρους τόπους, κατήντησε καὶ ἔνθα ἦν ὁ Προμηθεὺς δεδεμένος πρὸς τοῖς Εὐρωπαίοις μέρεσι τοῦ Καυκάσου... P.

709 (735). οἳ πλεκτὰς στέγας] οἵτινες οἱ Σκύθαι ναίουσι καὶ κατοικοῦσι πλεκτὰς στέγας, πεδάρσιοι δηλονότι, καὶ ἀπὸ τῆς γῆς ἐπαιρόμενοι καὶ ὑψούμενοι ἐπὶ τοῖς εὐκύκλοις ὄχοις, ἤτοι ταῖς ἁμάξαις ταῖς εὐτρόχοις. τούτων γάρ ἄνωθεν οἱ Σκύθαι τὰς ἑαυτῶν ποιοῦνται σκηνὰς ἐξηρτημένοι καὶ θαρροῦντες οἷον ἐν τοῖς ἐκηβόλοις τόξοις. P.

712 (738). οἷς μὴ πελάζειν] οἵστισι Σκύθαις μὴ προσπέλαζε καὶ πλησίαζε, διότι ἀναιρεταί τῶν ξένων εἰσίν, ἀλλὰ ...ἐκπέρα τὴν χθόνα καὶ τὴν γῆν τῶν Γυπόδων... Γύποδες δὲ ὄνομα ἔθνους. ἕτεροι δὲ ἐν τῷ γύποδας τὸ γυ ποιοῦνται γε καὶ... λέγουσιν οὕτως, ἁλιστόνοις γε πόδας χρίμπτουσα ῥαχίαισιν... ἄλλοι δὲ γυμνόποδας, γυμνοὺς κατὰ πόδας, ἐξεδέξαντο κατὰ συγκοπήν. A.

714 (740). λαιᾶς δὲ χειρὸς] ἐν τοῖς ἀριστεροῖς, φησί, μέρεσι κατοικοῦσιν οἱ τὸν σίδηρον ἐργαζόμενοι Χάλυβες, οὓς πρέπει φυλάξασθαι ἤγουν ἀποφυγεῖν καὶ μὴ προσελθεῖν αὐτοῖς, διότι ἀνήμεροί εἰσιν οὐδὲ τοῖς ξένοις πλησιαζόμενοι, ἤτοι ὑπὸ τῶν ξένων. βλάπτονται γὰρ παρ' αὐτῶν οἱ ἐκεῖσε ἀφικόμενοι. A.

717 (743). ἥξεις δ' ὑβριστήν] ὑβριστὴν ποταμὸν τὸν Ἀράξην φησίν. Ἀράξης δὲ λέγεται παρὰ τὸ ἀράσσειν καὶ ἠχεῖν τὰ ῥύματα αὐτοῦ. τῷ γὰρ ὀνόματι τούτου καὶ ἡ πρᾶξίς ἐστι συνάδουσα. ὅπερ Αἰσχύλος ἐμφαίνων φησὶν οὐ ψευδώνυμον ἤγουν οὐ μάτην κληθέντα Ἀράξην, ὃν μὴ περάσῃς· δύσκολος γὰρ καὶ οὐκ εὔβατός ἐστι περᾶσθαι. P.

719 (745). πρὶν ἂν πρὸς αὐτὸν Καύκασον] ἤτοι πρὸς τὸ ἕτερον μέρος τοῦ Καυκάσου. ὁ γὰρ Προμηθεὺς ἔν τινι μέρει καὶ ἀκρωρείῳ τοῦ Καυκάσου ἐσταυρώθη. ὁ δὲ Καύκασος ὄρος ἐπὶ πολὺ διῆκον. A.

723 (749). ἔνθ' Ἀμαζόνων] ὡς τὸ πρῶτον τῶν Ἀμαζόνων ἐν Σκυθίᾳ οἰκουσῶν. λέγει δὲ ὅπου καταλάβῃς τὸν στυγάνορα καὶ τὸν τοὺς ἄνδρας στυγοῦντα καὶ μι-

415. *Колхиды*], которая находится въ Скиѳіи.

561. Іо, вслѣдствіе гнѣва Иры превращенная въ корову и гонимая оводомъ, обошедши многія другія мѣста, прибыла и *туда*, гдѣ Промиѳей былъ прикованъ у Европейскихъ частей Кавказа...

709. *Которые плетеныя кровли*]. Каковые Скиѳы живутъ и обитаютъ подъ плетеными кровлями, очевидно педа́рсіои, т. е. поднимаемые отъ земли и возвышаемые ἐπὶ τοῖς εὐκύκλοις ὄχοις, т. е. на повозкахъ съ хорошими колесами: ибо на нихъ Скиѳы устраиваютъ свои палатки, вооруженные и увѣренные въ *своихъ* дальнобойныхъ лукахъ.

712. *Къ которымъ не приближайся*]. Къ каковымъ Скиѳамъ не подходи и не приближайся, потому что они истребляютъ чужестранцевъ, но... выходи изъ земли и изъ области Гиподовъ... Гиподы—названіе народа; иные въ словѣ γύποδας измѣняютъ γυ въ γε и... говорятъ «ἁλιστόνοις γε πόδας χρίμπτουσα ῥαχίαισιν..., а другіе приняли γύποδας съ сугкопи́й вмѣсто γυμνόποδας, *т. е.* съ голыми ногами.

714. *По лѣвую руку*]. Въ лѣвыхъ частяхъ, говоритъ *поэтъ*, живутъ обработывающіе желѣзо Халивы, которыхъ слѣдуетъ остерегаться, т. е. избѣгать и не приходить къ нимъ, потому что они суровы и не посѣщаются иностранцами; ибо прибывшіе туда терпятъ отъ нихъ вредъ.

717. *Придешь къ буйной*]. Буйной рѣкой *поэтъ* называетъ Араксъ. Она называется Араксомъ отъ того, что волны ея разбиваются (ἀράσσειν) и шумятъ; ибо ея названію соотвѣтствуетъ и дѣйствительность. На это именно указывая, Эсхилъ называетъ «не ложноименнымъ», т. е. не напрасно *такъ* названнымъ, Араксъ, черезъ который не переправляйся, ибо онъ труденъ и неудобенъ для переправы.

719. *Пока къ самому Кавказу*], т. е. къ другой части Кавказа; ибо Промиѳей былъ распятъ въ одной части *и на* вершинѣ Кавказа, а гора Кавказъ имѣетъ большое протяженіе.

723. *Затѣмъ Амазонокъ*] — такъ какъ первоначально Амазонки жили въ Скиѳіи. *Поэтъ* говоритъ: гдѣ застанешь мужененавистное, *т. е.* ненавидящее и презираю-

Digitized by Google

σοῦντα στρατὸν τῶν Ἀμαζόνων, αἵτινες Ἀμαζόνες κατοικιοῦσι ποτὲ τὴν Θεμίσκυραν πόλιν περὶ τὸν Θερμώδοντα ποταμόν, ὅπου ἐστὶν ἡ τραχεῖα τῆς θαλάττης γνάθος, ἤγουν ὀξύτης, ἢ ἡ σιαγὼν ἡ Σαλμυδησσία ἡ ἐχθρόξενος τοῖς ναύταις μητρυιὰ νεῶν. γνάθον οὖν εἶπε, διότι Σαλμυδησσία θάλασσα τοιοῦτον σχῆμα ἔχει οἷον καὶ ἡ τοῦ ὄνου γνάθος... Ἄλλως. τὸ σχῆμα ἀναχρονισμός· τὸ γὰρ πρὸ πολλῶν χρόνων γενόμενον ὡς γεννησόμενον λέγει. καὶ γὰρ πρὸ τοῦ Αἰσχύλου αἱ Ἀμαζόνες ἀφεῖσαι τὴν οἰκείαν πατρίδα κατῴκισαν Θεμίσκυραν πλησίον τοῦ Θερμώδοντος ποταμοῦ. νῦν δὲ λέγει καὶ μέλλουσι κατοικίσαι, ὡς τὸ πρότερον τῶν Ἀμαζόνων ἐν Σκυθίᾳ οἰκουσῶν. λέγονται δὲ Ἀμαζόνες ἢ ὅτι μάζαις καὶ ἄρτοις οὐκ ἐχρῶντο, ἢ ὅτι ἔκαιον τοὺς μαζούς, ἢ ὅτι οὐδ' ὅλως εἶχον μαζούς, ἢ ὅτι μαζὸν οὐκ ἐθήλαζον, ἀλλὰ φοράδων γάλα ἤσθιον οὖσαι νεογνοί. A.

щее мужчинъ войско Амазонокъ, каковыя Амазонки нѣкогда заселятъ городъ Ѳемискиру у рѣки Ѳермодонта, гдѣ находится суровая челюсть моря, т. е. острое углубленіе или челюсть Салмидисская, враждебная морякамъ мачиха кораблей. Поэтъ употребилъ слово «челюсть» потому, что Салмидисское море имѣетъ такой видъ, какъ ослиная челюсть... Иначе: *въ этомъ мѣстѣ есть* фигура - анахронизмъ, ибо совершившееся задолго раньше *поэтъ* представляетъ какъ имѣющее совершиться, такъ какъ раньше Эсхила Амазонки, покинувъ свою родину, заселили Ѳемискиру близъ рѣки Ѳермодонта; а теперь *поэтъ* говоритъ, что онѣ намѣрены заселить, такъ какъ раньше Амазонки жили въ Скиѳіи. Амазонками онѣ называются или потому что не питались лепешками (μάζαις) и хлѣбомъ, или потому что выжигали груди, или потому что вовсе не имѣли грудей, или потому что новорожденныя не сосали грудп, а питались коровьимъ молокомъ.

724 (750). Θεμίσκυραν] ὄνομα τόπου Ἀρμενίας, ἢ ποταμός. O. πόλιν Σκυθίας. B.

724. *Ѳемискиру*] названіе мѣстности *въ* Арменіи, или рѣка.— Городъ *въ* Скиѳіи.

729 (755). λίμνης] τῆς Μαιώτιδος. B.

729. *Озера*] Меотійскаго.

730 (756). Κιμμερικὸν] ἤξεις δὲ εἰς τὸν Ἰσθμὸν τὸν Κιμμερικὸν ἐπ' αὐταῖς ταῖς στενοπόροις πύλαις τῆς λίμνης, δηλαδὴ τῆς Μαιώτιδος. λέγει δὲ τὸν Κιμμερικὸν Βόσπορον, ὅς ἐστι πλήρωμα τῆς Μαιώτιδος λίμνης. O. P.

730. *Киммерійскій*]. Ты придешь на Киммерійскій перешеекъ на самыхъ узкихъ вратахъ озера, т. е. Меотійскаго. *Поэтъ* разумѣетъ Киммерійскій Воспоръ, который служитъ дополненіемъ Меотійскаго озера.— Большинство говоритъ, что Киммерійцы — народъ у Скиѳскаго Тавра и Меотійскаго озера; они не имѣютъ свѣта, не видя солнца, и сорокъ дней проводятъ во мракѣ и глубокой ночи; время этого мрака — когда солнце находится въ *созвѣздіи* Козерога; другіе же сорокъ *дней* они живутъ въ полномъ свѣтѣ. Омиръ говоритъ, что Киммерійцы *живутъ* около Италіи, и утверждаетъ, что они всегда находятся во мракѣ; Киммерійцы — небольшая часть и народецъ одного Италійскаго племени; ихъ жилища *находятся* въ оврагахъ, лощинахъ и зарослях, и солнце вовсе ихъ не освѣщаетъ; тамъ есть и нѣкое озеро, называемое Сіахой, въ которомъ тонутъ падающіе съ деревьевъ листья.

Τοὺς Κιμμερίους οἱ πολλοὶ ἔθνος φασὶν ὑπάρχειν περὶ τὸν Ταῦρον Σκυθικὸν καὶ τὴν Μαιῶτιν λίμνην,
οἵπερ ἀφώτιστοί εἰσιν, ἥλιον οὐχ ὁρῶντες,
ἐν σκότῳ δὲ διάγουσιν ἔν τε νυκτὶ βαθείᾳ
ἡμέρας τεσσαράκοντα· καιρὸς δ' αὐτοῦ τοῦ σκότους,
ὅταν ἐν αἰγοκέρωτι ὁ ἥλιος ὑπάρχῃ·
ἄλλας δὲ τεσσαράκοντα ὁλόφωτοι τελοῦσιν.
τοὺς Κιμμερίους δ' Ὅμηρος περ' Ἰταλίαν λέγει
καὶ ἀφωτίστους εἰσαεὶ τούτους φησὶν ὑπάρχειν.
εἰσὶ δὲ οἱ Κιμμέριοι μέρος βραχὺ καὶ δῆμος
ἔθνους τινὸς Ἰταλικοῦ· αἱ δὲ οἰκήσεις τούτων
ἐν φάραγξι καὶ κοίλοις δὲ καὶ καταδένδροις τόποις,
καὶ οὔτε ἥλιος αὐτοῖς οὐδόλως ἐπιλάμπει.
ἐκεῖ καὶ λίμνη τίς ἐστι, Σιάχα καλουμένη·
ἣ καὶ τὰ φύλλα πίπτοντα βυθίζεται τῶν δένδρων P.

789 (815)... τότε γὰρ, φησὶν, ἐγγράφου ταῖς σαῖς διανοίαις τὴν σὴν πολύστρο-

789. ...«Тогда, говоритъ *Промивей*, запечатлѣй въ своихъ мысляхъ свое мно-

Ad v. 31: «Τοὺς Κιμμερίους] Huius scholii prima tantum verba τοὺς Κιμμερίους — νυκτί edita erant. Ego dedi integrum ex P. Scriptum autem est versibus politicis tetrametris». Dindorf.

Digitized by Google

φον πλάνην, ὅταν περάσῃς τὸν ποταμὸν τὸν Τάναϊν. τοῦτον γὰρ λέγει ὅρον καὶ ὁρισμὸν καὶ διαχωρισμὸν τῶν ἠπείρων, ἤτοι τῶν δύο γαιῶν τῆς Εὐρώπης καὶ τῆς Ἀσίας, ὡς καὶ ὁ περιηγητής. «Εὐρώπην Ἀσίης Τάναϊς διὰ μέσσον ὁρίζει»... A.

790 (816). ῥεῖθρον ἠπείρων ὅρον] τὸν Ἑλλήσποντον· τὸν Τάναϊν τῆς Ἀσίας καὶ Εὐρώπης ὁρισμόν. B.

793 (819)... φησὶ δὲ ἐν τοῖς ἑξῆς [sc. ὁ Προμηθεὺς]... φύλαξαι δὲ καὶ πρόσχες μή πως ἀπέλθῃς ἔνθα εἰσὶν οἱ ἀκραγεῖς κύνες, ἤγουν οἱ γρῦπες, οἱ ἀεὶ κράζοντες λίαν, ἢ οὐ κράζοντες· περὶ ὧν Ἡσίοδος πρῶτος ἐτερατεύσατο· φύλαξαι δὲ καὶ τὸν μουνῶπα στρατὸν, ἤτοι τὸν μονόφθαλμον, τὸν Ἀριμασπόν, τὸν ἐν τοῖς ἵπποις βαίνοντα, ἤτοι τὸν πολεμικόν, οἵτινες οἰκοῦσι περὶ τὸ νᾶμα τοῦ πόρου καὶ τοῦ ὁρισμοῦ τοῦ Πλούτωνος. Πλούτων δέ ἐστι ποταμὸς Αἰθιοπίας. οὗτω δὲ λέγεται διὰ τὸ πολὺν ἐκεῖσε καταρρεῖν τὸν χρυσόν. A. (Cf. schol. Bad. v. 806).

805 (831). Ἀριμασπὸν] Ἀριμασπὸς ἐτυμολογεῖται ἀπὸ τοῦ ἐν τῷ Ἄρει καὶ τοῦ μασπῶ τὸ μετὰ αὐθαδείας κινεῖσθαι. O. Ἀριμασποὶ καλοῦνται διὰ τὸ ἕνα ὀφθαλμὸν ἔχειν. ἄρι γὰρ κατὰ γλῶσσαν τὸ ἕν, καὶ μασπὸς ὁ ὀφθαλμὸς, καὶ αὐτὸ κατὰ γλῶσσαν... B.

ЕПТА ЕПІ ӨНВАΣ.

727. ξένος δὲ κλήρους] ποιητικῶς πάνυ ταῦτά φησι· τὸν γὰρ Χαλυβικὸν καὶ Σκυθικὸν σίδηρόν φησι ταῦτα πράττειν... οὗτος οὖν ὁ σίδηρος Χάλυβος Σκυθῶν ἄποικος, ὃς ἀπὸ τῆς Χάλυβος πόλεως τῶν Σκυθῶν ἐρευνᾶται... O. P.

728. Χάλυβος] ἐπειδήπερ εἰς τοὺς Χάλυβας εὕρηται ὁ σίδηρος, οἱ δὲ Χάλυβες μέρος τῶν Σκυθῶν, ἐντεῦθεν δὲ πανταχόσε τῆς γῆς μετενήνεκται, διὰ τοῦτο καλεῖ αὐτὸν ξένον ἤτοι φίλον τοῦ Χάλυβος καὶ ἄποικον τῶν Σκυθῶν. B.

814... ἐν τῷ... σιδήρῳ τῷ Σκύθῃ, τῷ ἀπὸ τῆς Σκυθίας ὄντι· ἐκεῖσε γὰρ γεννᾶται ὁ σίδηρος... O. P.

1 гократное странствованіе, когда переправившись чрезъ рѣку Танандъ»[1])... Ибо ее называетъ *поэтъ* границей, опредѣленіемъ и раздѣленіемъ материковъ, т. е. двухъ земель Европы и Азіи, какъ и періигитъ *говоритъ*: «Европу *отъ* Азіи посрединѣ раздѣляетъ Танандъ»[2]).

790. *Потокъ; границу материковъ*]. Геллеспонтъ *или* Танандъ, границу Азіи и Европы.

793. ...Далѣе *Промиѳей* говоритъ: остерегайся и берегись, чтобы не уйдти туда, гдѣ находятся οἱ ἀκραγεῖς κύνες, т. е. грипы, всегда сильно кричащіе, или, *напротивъ*, некричащіе; Исіодъ первый сообщилъ о нихъ чудесныя сказанія. Остерегайся также однозрачной, т. е. одноглазой рати Аримасповъ, выступающей на коняхъ, т. е. воинственной; живутъ они у теченія пролива и предѣла Плутона; а Плутонъ — рѣка *въ* Эѳіопіи; *она* называется такъ потому, что тамъ несется теченіемъ большое количество золота.

Аримасповъ]. *Слово* Ἀριμασπὸς производится отъ Ἄρης и *глагола* μασπῶ, *означающаго* двигаться съ дерзостью. — Аримаспы называются *такъ* потому, что имѣютъ одинъ глазъ, ибо ἄρι на *ихъ* языкѣ значитъ одинъ, а μασπός — глазъ, тоже на *ихъ* языкѣ... [3]).

СЕМЕРО ПРОТИВЪ ѲИВЪ.

Чужеземецъ жребіи]. *Авторъ* говоритъ это очень поэтично: онъ говоритъ, что это дѣлаетъ Халивское и Скиѳское желѣзо... Это Халивское желѣзо происходитъ изъ Скиѳіи, такъ какъ оно добывается изъ скиѳскаго города Халива...

Халива]. Такъ какъ желѣзо открыто у Халивовъ, а Халивы *составляютъ* часть Скиѳовъ, и оттуда распространилось по всей землѣ, то поэтому *авторъ* называетъ его гостемъ, т. е. другомъ Халива и выселенцемъ изъ Скиѳіи.

...Въ желѣзѣ скиѳскомъ, *т. е.* происходящемъ изъ Скиѳіи; ибо тамъ добывается желѣзо...

1) Относится къ слѣдующимъ словамъ Промиѳея, обращеннымъ къ Іо (vv. 814—816):
σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω,
ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν.
ὅταν περάσῃς ῥεῖθρον ἠπείρων ὅρον...
2) V. pag. 178. Cf. ad v. 801: ὅταν περάσῃς τὸν τῆς Ἀσίας καὶ Εὐρώπης διορισμὸν Τάναϊν.
3) Cf. Herod. IV, 27 (supra, p. 19) et Eust. *ad Dion. Per.* 31 (p. 189).

Digitized by Google

817. Σκύθη] Σκυθικῷ, παρ' ὅσον οἱ Χάλυβες εὗρον αὐτόν... B.

941... πόντιον δὲ τὸν σίδηρον λέγει, ὅτι οἱ Χάλυβες παράλιοί εἰσιν, ἐν οἷς ὁ σίδηρος γίνεται. ἢ ὅτι ἔθνος ἐν τῷ Πόντῳ οἱ Χάλυβες, ὅθεν ὁ σίδηρος...

Скиѳомъ]. Скиѳскимъ *желѣзомъ*, по скольку Халивы открыли его...

...*Поэтъ* называетъ желѣзо понтійскимъ потому, что на побережьѣ живутъ Халивы, у которыхъ добывается желѣзо; или потому, что Халивы, откуда *вывозится* желѣзо, — народъ въ Понтѣ...

ΣΟΦΟΚΛΗΣ. СОФОКЛЪ.

[Второй изъ знаменитѣйшихъ аѳинскихъ трагиковъ, род. 496, ум. 406 до Р. Хр. — Текстъ: Sophokles erklärt von F. W. Schneidewin, besorgt von A. Nauck, послѣднее изданіе. Для отрывковъ — Nauck, TGF. ed. 2].

ΟΙΔΙΠΟΥΣ ΤΥΡΑΝΝΟΣ. ЦАРЬ ЭДИПЪ.

V. 1227—8 (ΕΞΑΓΓΕΛΟΣ).

οἶμαι γὰρ οὔτ' ἂν Ἴστρον οὔτε Φᾶσιν ἂν
νίψαι καθαρμῷ τήνδε τὴν στέγην...

...Я думаю вѣдь, что ни Истръ, ни Фасидъ не могутъ омыть очистительною водою этого дома... [1]).

ΑΠΟΣΠΑΣΜΑΤΑ. ОТРЫВКИ.

ΚΟΛΧΙΔΕΣ. «Agebat fabula de Iasone Medeae ope arietis aurei vellus repetente, quam rem narrat Apollodorus 1, 9, 23 sqq. cf. Schol. Ap. Rh. 3, 2040: Σοφοκλῆς δὲ ἐν ταῖς Κολχίσιν εἰσάγει τὴν Μήδειαν ὑποτιθεμένην τῷ Ἰάσονι περὶ τοῦ ἆθλου δι' ἀμοιβαίων». Nauck.

ΟΙΝΟΜΑΟΣ. Fragm. 432 v. infra ap. Athen. X p. 410 *c.*; cf. Hesych. s. v. σκυθιστὶ χειρόμακτρον.

ΣΚΥΘΑΙ. «Ex Argonautarum fabula dramatis argumentum petitum esse docent reliquiae». Nauck.

Fragm. 504 v. infra ap. schol. Ap. Rh. IV, 284; cf. schol. Dion. *Per.* 7 (supra, p. 210).

ΤΥΜΠΑΝΙΣΤΑΙ. «De argumento non constat». Nauck. Fragm. 581 v. supra (p. 269) ap. Steph. Byz. s. v. Χαλδαῖοι.

ΦΙΝΕΥΣ A. Fragm. 641 v. supra (p. 257) ap. Steph. Byz. s. v. Βόσπορος; «cf. Etym. M. cod. Voss. p. 590 E Gaisf., ubi fabulae nomen om.» Nauck.

ΣΧΟΛΙΑ ΕΙΣ ΣΟΦΟΚΛΕΑ. СХОЛІИ КЪ СОФОКЛУ.

[Текстъ: Scholia in Sophoclis tragoedias vetera... ed. Petrus N. Papageorgius. Lipsiae 1888].

ΕΙΣ ΑΙΑΝΤΑ. КЪ ЭАНТУ.

172... Ταυροπόλα δὲ ἢ ὅτι ἐν Ταύροις τῆς Σκυθίας τιμᾶται ἢ...

...Таврополою *называется Артемида* или потому, что почитается у Тавровъ въ Скиѳіи, или...

---

1) Истръ и Фасидъ названы, какъ величайшія рѣки Европы и Азіи. Ср. прим. въ изд. Шнейдевина-Наука къ этому мѣсту.

Digitized by Google

ΕΙΣ ΟΙΔΙΠΟΔΑ ΕΠΙ ΚΟΛΩΝΩΙ.

1248. αἱ δὲ νυχίαν ἀπὸ ῥιπᾶν: τὰ ἀπὸ τῶν ὀρῶν φησι τῶν προσαγορευομένων Ῥιπῶν· τινὲς δὲ οὕτω καλοῦσι Ῥίπαια ὄρη· λέγει δὲ αὐτὰ ἐννύχια διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι...

КЪ ЭДИПУ ВЪ КОЛОНѢ.

Другія отъ ночныхъ порывовъ: *поэтъ* разумѣетъ отъ горъ, называемыхъ Рипами; нѣкоторые называютъ такъ Рипейскія горы; *поэтъ* называетъ ихъ ночными потому, что *онѣ* лежатъ на западѣ...

ΕΥΡΙΠΙΔΗΣ. ЕВРИПИДЪ.

[Третій изъ знаменитѣйшихъ трагиковъ, род. 480, ум. 406 до Р. Хр. Текстъ: Euripidis tragoediae ex recensione A. Nauckii, Lips. ap. Teubnerum; для отрывковъ — Nauck, TGF. ed. 2].

АЛКНЕТІС. Въ ст. 980 упоминается ὁ ἐν Χαλύβοις σίδαρος.

ΑΝΔΡΟΜΑΧΗ. АНДРОМАХА.

Vv. 1260—62. ΘΕΤΙΣ (къ Пилею).

τὸν φίλτατον σοὶ παῖδ' ἐμοί τ' Ἀχιλλέα
ὄψει δόμους ναίοντα νησιωτικοὺς
Λευκὴν κατ' ἀκτὴν ἐντὸς Εὐξείνου πόρου.

Ты увидишь любезнѣйшаго тебѣ и мнѣ сына Ахилла обитающимъ въ островномъ домѣ на Бѣломъ берегу внутри Евксинскаго моря...

ΗΡΑΚΛΗΣ ΜΑΙΝΟΜΕΝΟΣ. НЕИСТОВЫЙ ИРАКЛЪ.

Vv. 408—410. ΧΟΡΟΣ.

τὸν ἱππευτὰν τ' Ἀμαζόνων στρατὸν
Μαιῶτιν ἀμφὶ πολυπόταμον
ἔβα [Ἡρακλῆς] δι' Εὔξεινον οἴδμα λίμνας...

[Иракъ] по волнамъ Евксинскаго озера пришелъ и къ конной рати Амазонокъ, *живущей* вокругъ изобильной рѣками Мэотиды...

ΙΦΙΓΕΝΕΙΑ Η ΕΝ ΤΑΥΡΟΙΣ. ИФИГЕНІЯ ВЪ ТАВРИДѢ.

Ὑπόθεσις. Содержаніе.

Ὀρέστης κατὰ χρησμὸν ἐλθὼν εἰς Ταύρους τῆς Σκυθίας μετὰ Πυλάδου παρακινηθεὶς τὸ παρ' αὐτοῖς τιμώμενον τῆς Ἀρτέμιδος ξόανον ὑφελέσθαι προῃρεῖτο. προελθὼν δ' ἀπὸ τῆς νεὼς καὶ φανεὶς, ὑπὸ τῶν ἐντοπίων ἅμα τῷ φίλῳ συλληφθεὶς ἀνήχθη κατὰ τὸν παρ' αὐτοῖς ἐθισμὸν, ὅπως τοῦ τῆς Ἀρτέμιδος ἱεροῦ σφάγιον γένωνται. τοὺς γὰρ καταπλεύσαντας ξένους ἀπέσφαττον.

Орестъ, по предсказанію оракула прибывъ съ Пиладомъ въ *землю* Тавровъ въ Скиѳіи въ изступленномъ состояніи, рѣшилъ похитить почитаемый у нихъ истуканъ Артемиды. Удалившись отъ корабля и будучи замѣченъ, онъ вмѣстѣ съ другомъ былъ схваченъ туземцами и уведенъ по существовавшему у нихъ обычаю, чтобы быть принесенными въ жертву въ святилищѣ Артемиды: они закалали *въ жертву богинѣ* прибывшихъ чужестранцевъ.

ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ταύροις τῆς Σκυθίας· ὁ δὲ χορὸς συνέ-

Сцена драмы представляется въ области Тавровъ въ Скиѳіи; хоръ состоитъ изъ

V. 1: αἱ δ' ἐννυχιᾶν ἀπὸ Ῥιπᾶν Schneidewin-Nauck.

Digitized by Google

στηκεν ἐξ Ἑλληνίδων γυναικῶν, θεραπαινίδων τῆς Ἰφιγενείας. προλογίζει δὲ ἡ Ἰφιγένεια.

эллинскихъ женщинъ, прислужницъ Ифигеніи; прологъ говоритъ Ифигенія.

Vv. 28—41. ΙΦΙΓΕΝΕΙΑ.

ἀλλ' ἐξέκλεψεν ἔλαφον ἀντιδοῦσά μου
Ἄρτεμις Ἀχαιούς, διὰ δὲ λαμπρὸν αἰθέρα
πέμψασα μ' εἰς τήνδ' ὦκισεν Ταύρων χθόνα,
οὗ γῆς ἀνάσσει βαρβάροισι βάρβαρος
Θόας, ὃς ὠκὺν πόδα τιθεὶς ἴσον πτεροῖς
εἰς τοὔνομ' ἦλθε τόδε ποδωκείας χάριν.
ναοῖσι δ' ἐν τοῖσδ' ἱερίαν τίθησί με,
ὅθεν νόμοισι τοῖσιν ἥδεται θεὰ
Ἄρτεμις ἑορτῆς, τοὔνομ' ἧς καλὸν μόνον,
τἀ δ' ἄλλα—σιγῶ, τὴν θεὸν φοβουμένη.
θύω γάρ, ὄντος τοῦ νόμου καὶ πρὶν πόλει,
ὃς ἂν κατέλθῃ τήνδε γῆν Ἕλλην ἀνήρ.
κατάρχομαι μέν, σφάγια δ' ἄλλοισιν μέλει
ἄρρητ' ἔσωθεν τῶνδ' ἀνακτόρων θεᾶς.

...Но Артемида похитила *меня* у Ахейцевъ, давши вмѣсто меня лань, и, перенесши по свѣтлому эѳиру, поселила меня въ этой землѣ Тавровъ, гдѣ царствуетъ надъ варварами варваръ Ѳоантъ, который, передвигая быстрыя ноги подобно крыльямъ, получилъ такое имя за быстроту ногъ. Онъ поставилъ меня жрицею въ этомъ храмѣ, гдѣ такими обычаями услаждается богиня Артемида на праздникѣ, одно имя котораго прекрасно, а объ остальномъ умалчиваю, боясь богини. По обычаю, и прежде существовавшему въ общинѣ, я приношу въ жертву *всякаго* Еллина, который прибываетъ въ эту землю[1]). Я освящаю жертву, а таинственнымъ убіеніемъ ея внутри этихъ чертоговъ богини занимаются другіе.

Vv. 85—115.

ΟΡΕΣΤΗΣ.

ὦ Φοῖβε . . . . . .
σὺ δ' εἶπας ἐλθεῖν Ταυρικῆς μ' ὅρους χθονός,
ἔνθ' Ἀρτεμίς σοι σύγγονος βωμοὺς ἔχει,
λαβεῖν τ' ἄγαλμα θεᾶς, ὅ φασιν ἐνθάδε
εἰς τούσδε ναοὺς οὐρανοῦ πεσεῖν ἄπο·
λαβόντα δ' ἢ τέχναισιν ἢ τύχῃ τινί,
κίνδυνον ἐκπλήσαντ', Ἀθηναίων χθονὶ
δοῦναι· τὸ δ' ἐνθένδ' οὐδὲν ἐρρήθη πέρα·
καὶ ταῦτα δράσαντ' ἀμπνοὰς ἕξειν πόνων.
ἦκω δὲ πεισθεὶς σοῖς λόγοισιν ἐνθάδε
ἄγνωστον εἰς γῆν, ἄξενον. σὲ δ' ἱστορῶ,
Πυλάδη, σὺ γάρ μοι τοῦδε συλλήπτωρ πόνου,
τί δρῶμεν; ἀμφίβληστρα γὰρ τοίχων ὁρᾷς
ὑψηλά· πότερα κλιμάκων προσαμβάσεις
ἐκβησόμεσθα; πῶς ἂν οὖν λάθοιμεν ἄν;
ἢ χαλκότευκτα κλῆθρα λύσαντες μοχλοῖς,

О Фивъ, ...ты повелѣлъ мнѣ идти въ предѣлы земли Таврической, гдѣ имѣетъ алтари родственная тебѣ Артемида, и взять истуканъ богини, который, говорятъ, упалъ съ неба здѣсь въ этотъ храмъ; взявъ его или хитростью, или какимъ либо случаемъ, и исполнивъ опасный подвигъ, дать землѣ аѳинской; дальше этого ничего не сказано; исполнивъ это, я получу-де облегченіе моихъ страданій. Повинуясь твоимъ словамъ, я прибылъ сюда въ неизвѣстную, негостепріимную землю. Тебя, Пиладъ, сообщника этого моего подвига, спрашиваю я, что намъ дѣлать? Ты видишь, что вѣнцы стѣнъ высоки. Подняться-ли намъ по ступенямъ лѣстницы? но какъ мы *съ такою случаемъ* можемъ остаться незамѣченными? Или, разбивъ ломами мѣдные запоры, такъ переступимъ порогъ? Если мы будемъ схвачены, отворяя двери и пытаясь проникнуть *въ храмъ*, то умремъ; но

1) Объ этомъ обычаѣ есть много упоминаній и въ дальнѣйшихъ стихахъ трагедіи.

Digitized by Google

ὧδ' οὐδὸν ἔσιμεν; ἦν δ' ἀνοίγοντες πύλας
ληφθῶμεν εἰσβάσεις τε μηχανώμενοι,
θανούμεθ'. ἀλλὰ πρὶν θανεῖν, νεὼς ἔπι
φεύγωμεν, ἧπερ δεῦρ' ἐναυστολήσαμεν.

1 прежде чѣмъ умереть, убѣжимъ на кораблѣ, на которомъ прибыли сюда.

ΠΥΛΑΔΗΣ.

φεύγειν μὲν οὐκ ἀνεκτὸν οὐδ' εἰώθαμεν·
τὸν τοῦ θεοῦ δὲ χρησμὸν οὐ κακιστέον.
ναοῦ δ' ἁπαλλαχθέντε κρύψωμεν δέμας
κατ' ἄντρ' ἃ πόντος νοτίδι διακλύζει μέλας,
νεὼς ἄπωθεν, μή τις εἰσιδὼν σκάφος
βασιλεῦσιν εἴπῃ κἄτα ληφθῶμεν βίᾳ.
ὅταν δὲ νυκτὸς ἅμμα λυγαίας μόλῃ,
τολμητέον τοι ξεστὸν ἐκ ναοῦ λαβεῖν
ἄγαλμα πάσας προσφέροντε μηχανάς...

Бѣгство невыносимо, и мы къ *нему* не привыкли; прорицанія же бога ослушаться не слѣдуетъ. Удалившись отъ храма, спрячемся въ пещерѣ, которую черное море омываетъ волнами, вдали отъ корабля, чтобы кто нибудь, увидѣвъ *нашу* ладью, не донесъ царямъ, и мы не были бы потомъ схвачены силою. Когда же выйдетъ зракъ темной ночи, нужно будетъ рѣшиться всякими способами добыть изъ храма гладкій истуканъ...

Vv. 123—131. ΧΟΡΟΣ.

εὐφαμεῖτ', ὦ
πόντου δισσὰς συγχωρούσας
πέτρας Εὐξείνου ναίοντες.
ὦ παῖ τᾶς Λατοῦς,
Δίκτυννα οὐρεία,
πρὸς σὰν αὐλάν, εὐστύλων
ναῶν χρυσήρεις θριγκούς,
πόδα παρθένιον ὅσιον ὁσίας
κληδούχου δούλα πέμπω...

Благоговѣйте, о обитатели двойныхъ сходящихся скалъ Евксинскаго Понта! О дочь Латоны, горная Диктинна, къ твоему жилищу, къ златымъ карнизамъ храма съ прекрасными колоннами я, рабыня почтенной жрицы, съ благоговѣніемъ направляю дѣвственныя ноги...

Vv. 218—219. ΙΦΙΓΕΝΕΙΑ.

νῦν δ' ἀξείνου πόντου ξείνα
δυσχόρτους οἴκους ναίω...

...Нынѣ же я чужестранкой живу въ безплодныхъ жилищахъ негостепріимнаго Понта...

Vv. 389—390. ΙΦΙΓΕΝΕΙΑ.

...ἐγὼ μὲν οὖν...
τοὺς δ' ἐνθάδ', αὐτοὺς ὄντας ἀνδροκτόνους,
εἰς τὴν θεὸν τὸ φαῦλον ἀναφέρειν δοκῶ.

И такъ я... полагаю, что жители здѣшней страны, сами будучи человѣкоубійцами [=людоѣдами], приписываютъ богинѣ гнусный обычай...

Vv. 421—423 и 435—438. ΧΟΡΟΣ.

πῶς πέτρας τὰς συνδρομάδας,
πῶς Φινείδας ἀύπνους
ἀκτὰς ἐπέρασαν
. . . . . .
τὰν πολυόρνιθον ἐπ' αἶαν,
λευκὰν ἀκτάν, Ἀχιλῆος
δρόμους καλλισταδίους,
ἄξεινον κατὰ πόντον;

Какъ *эти чужестранцы прошли сквозь* сбѣгающіяся скалы, какъ миновали неусыпные Финеевы берега... въ изобилующую птицами землю, *на* бѣлый берегъ, прекрасный бѣгъ Ахилла на негостепріимномъ Понтѣ?...

Digitized by Google

Vv. 625—626.

ΟΡ. τάφος δὲ ποῖος δέξεταί μ', ὅταν θάνω;

ΙΦ. πῦρ ἱερὸν ἔνδον χάσμα τ' εὐρωπὸν πέτρας.

Ор. Какая же могила приметъ меня, когда я умру?

Иф. Священный огонь внутри *храма* [1] и широкая разсѣлина скалы.

Vv. 1446—1457. ΑΘΗΝΑ.

μαθὼν δ', Ὀρέστα, τὰς ἐμὰς ἐπιστολάς,
κλύεις γὰρ αὐδὴν καίπερ οὐ παρῶν θεᾶς,
χώρει λαβὼν ἄγαλμα σύγγονόν τε σήν.
ὅταν δ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
χῶρός τις ἔστιν Ἀτθίδος πρὸς ἐσχάτοις
ὄροισι, γείτων δειράδος Καρυστίας,
ἱερός, Ἀλὰς νιν οὖμος ὀνομάζει λεώς·
ἐνταῦθα τεύξας ναὸν ἵδρυσαι βρέτας,
ἐπώνυμον Ταυρικῆς πόνων τε σῶν,
οὓς ἐξεμόχθεις περιπολῶν καθ' Ἑλλάδα
οἴστροις Ἐρινύων. Ἄρτεμιν δέ νιν βροτοὶ
τὸ λοιπὸν ὑμνήσουσι Ταυροπόλον θεάν...

Узнавъ мои велѣнія, Орестъ, — ибо ты слышишь голосъ богини, хотя и не присутствуешь *здѣсь*,—иди, взявши истуканъ *богини* и свою сестру. Когда ты прибудешь въ богозданныя Аѳины, — есть священное мѣсто у крайнихъ предѣловъ Аѳинды, сосѣднее Каристійскому хребту; мой народъ называетъ его Алами. Воздвигнувъ здѣсь храмъ, водрузи истуканъ, сименный Таврической землѣ и трудамъ, которые ты перенесъ, блуждая по Елладѣ подъ жаломъ Эриній. Впредь смертные будутъ прославлять ее подъ именемъ Артемиды, богини Таврополы...

МНΔΕΙΑ. МИДІЯ.

Vv. 1—2. ΤΡΟΦΟΣ.

Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας...

О если бы ладья Арго не пролетѣла *сквозь* мрачныя Симплигады въ землю Колховъ...

ΡΗΣΟΣ. РИСЪ.

Vv. 426—436. ΡΗΣΟΣ.

ἀλλ' ἀγχιτέρμων γαῖά μοι, Σκύθης λεώς,
μέλλοντι νόστον τὸν πρὸς Ἴλιον περᾶν
ξυνῆψε πόλεμον· Εὐξένου δ' ἀφικόμην
πόντου πρὸς ἀκτάς, Θρῇκα πορθμεύσας στρατόν.
ἐνθ' αἱματηρὸς πέλαγος ἐς γαῖαν Σκύθης

...Но живущій въ сосѣдней [съ Ѳракіею] землѣ Скиѳскій народъ завязалъ со мною войну, когда я собирался двинуться въ путь къ Иліону; я прибылъ къ берегамъ Евксинскаго Понта, двинувши ѳракійское войско. Тамъ проливалась копьемъ на

1) Cf. v. 1155.

Digitized by Google

ἠντλεῖτο λόγχῃ Θρῄξ τε συμμιγὴς φόνος.
τοιάδε τοί μ' ἀπεῖργε συμφορὰ πέδον
Τροίας ἰκέσθαι σύμμαχόν τέ σοι μολεῖν.
ἐπεὶ δ' ἔπερσα, τῶνδ' ὁμηρεύσας τέκνα,
τάξας ἔτειον δασμὸν εἰς δόμους φέρειν,
ἥκω περάσας ναυσὶ πόντιον στόμα...

землю скиѳская кровь и смѣшанная *съ нею* ѳракійская. Это обстоятельство помѣшало мнѣ прибыть на Троянскую равнину и явиться тебѣ [т. е. Гектору] союзникомъ. Когда же я разбилъ *Скиѳовъ*, взявъ въ заложники ихъ дѣтей и назначивъ приносить въ *мой* домъ ежегодную дань, — я явился *сюда*, переправившись на корабляхъ *чрезъ* понтійское устье.

ΣΧΟΛΙΑ ΕΙΣ ΕΥΡΙΠΙΔΗΝ. СХОЛІИ КЪ ЕВРИПИДУ.

[Текстъ: Scholia in Euripidem... edidit Eduardus Schwartz. Berolini, v. I—1887, v. II—1891].

ΕΙΣ ΑΛΚΗΣΤΙΝ. КЪ «АЛКИСТИДѢ».

Ad v. 112 memoratur Αἶα πόλις Κολχίδος.

980. Χάλυβες ἔθνος τοῦ Πόντου, ἔνθα σιδηρᾶ μέταλλά ἐστιν.

Халивы — народъ въ Понтѣ, гдѣ находятся желѣзные рудники.

ΕΙΣ ΑΝΔΡΟΜΑΧΗΝ. КЪ «АНДРОМАХѢ».

651. [Φᾶσις] ποταμὸς Κολχίδος.

1262. Λευκὴν κατ' ἀκτὴν ἐντός: Λευκὴν νῆσον, ἐν ᾗ διέτριβεν ὁ Ἀχιλλεύς, μεταξὺ τοῦ Εὐξείνου πόντου· ὅθεν καὶ οἱ Ἀχίλλειοι δρόμοι, περὶ ὧν ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις [v. 435] εἴρηται.

Фасидъ — рѣка въ Колхидѣ.

На Бѣломъ берегу внутри: разумѣется Бѣлый островъ, на которомъ пребывалъ Ахиллъ, посреди Евксинскаго Понта; отсюда и Ахилловы Бѣги, о коихъ сказано въ «Ифигеніи въ Тавридѣ».

ΕΙΣ ΜΗΔΕΙΑΝ. КЪ «МИДІИ».

2. Κόλχων ἐς Αἶαν: πόλις ἐν Σκυθίᾳ οὕτω καλουμένη.

9. Οὐδ' ἂν κτανεῖν: ὅτι ἡ Κόρινθος πατρῷον ἦν αὐτῆς κτῆμα τῷ λόγῳ τούτῳ· Ἀλωεὺς καὶ Αἰήτης ὁ τῆς Μηδείας πατὴρ παῖδες Ἡλίου καὶ Ἀντιόπης γεγόνασι. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαβεν ὁ μὲν Ἀλωεὺς τὴν ἐν Ἀρκαδίᾳ, τὴν δὲ Κόρινθον ὁ Αἰήτης. οὗτος οὖν μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βουνῷ μέν τινι Ἑρμοῦ παιδὶ παρέδωκε τὴν πόλιν εἰπὼν φυλάσσειν αὐτὴν τοῖς ἐσομένοις ἐξ αὐτοῦ, αὐτὸς δὲ εἰς Κολχίδα ἀφικόμενος τῆς Σκυθίας ᾤκησε βασι-

Въ Эю Колховъ: такъ называется городъ въ Скиѳіи.

И не убить: Коринѳъ былъ ея [т. е. Мидіи] отчиною по слѣдующему сказанію: Алоей и Эитъ, отецъ Мидіи, были сыновья Иліи и Антіопы. Илій раздѣлилъ между ними страну, при чемъ Алоей получилъ *область* въ Аркадіи, а Эитъ — Коринѳъ. Послѣдній, недовольный своей областью, передалъ городъ нѣкоему Вуну, сыну Ермія, заповѣдавъ сберечь его для его потомковъ, а самъ, прибывъ въ скиѳскую Колхиду, поселился *тамъ* и сдѣлался ца-

Digitized by Google

λεύων. διδάσκει δὲ τοῦτο καὶ Εὔμηλος ποιητὴς ἱστορικὸς λέγων 'ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός' καὶ τὰ ἑξῆς. Βουνὸς δὲ Ἑρμοῦ καὶ νύμφης υἱὸς γέγονεν. ταῦτα δὲ ἀπὸ τοῦ ἀνεπιγράφου ὑπομνήματος τοῦ εἰς Πίνδαρον ἔγραψα. AB.

167 [3]). Ἄψυρτον λέγει τὸν ἐπιδιώξαντα αὐτὴν κατὰ πρόσταξιν τοῦ Αἰήτου. πέπεικε γὰρ αὐτὸν ἐλθεῖν εἴς τινα νῆσον ὑποβαλοῦσα τῷ Ἰάσονι δόλῳ τινὶ τοῦτον ἀνελεῖν. B.

рем. Объ этомъ свидѣтельствуетъ и историческій поэтъ Евмилъ, говоря: «Но когда Эитъ и Алоей родились отъ Илія и Антіопы, тогда славный сынъ Иперіона раздѣлилъ землю на двѣ части своимъ сыновьямъ» [1]) и т. д. Вунъ былъ сынъ Ермія и нимфы. Это написалъ я изъ неподписанной *именемъ автора* замѣтки къ Пиндару [2]).

Мидія разумѣетъ Апсирта, преслѣдовавшаго ее по приказанію Эита: она убѣдила его прибыть на какой-то островъ, внушивъ Іасону убить его какой нибудь хитростью.

ΑΚΟΥΣΙΛΑΟΣ. АКУСИЛАЙ.

[Акусилай, родомъ изъ Аргоса, жилъ, вѣроятно, въ концѣ VI и началѣ V в. до Р. Хр. Ему приписывается сочиненіе Генеалогіаι, но принадлежность его именно Акусилаю заподозрѣна уже Свидою. Собраніе отрывковъ—въ Fragm. hist. Graec. ed. Müller, v. I pp. 100—103].

Fragm. 23 (Schol. Hom. Odyss. ξ, 533): ...Ζήτης καὶ Κάλαϊς, οἱ καὶ δι' ἀρετὴν μετὰ τῶν ἡμιθέων εἰς Κόλχους ἐπὶ τὸ νάκος ἔπλευσαν ἐν τῇ Ἀργοῖ. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ.

...Зитъ и Каландъ, которые по *своей* храбрости вмѣстѣ съ полубогами поплыли на Арго къ Колхамъ за *золотымъ* руномъ. Разсказъ *объ этомъ* у Акусилая.

ΕΛΛΑΝΙΚΟΣ. ЕЛЛАНИКЪ.

[Елланикъ Митилинскій былъ современникомъ Иродота и Ѳукидида (V в. до Р. Хр.). — Собраніе отрывковъ: Müller, FHG. v. I pp. 45—69 et v. IV pp. 629—637].

ΑΤΘΙΣ. Fragm. 84 v. infra ap. Tzetz. ad Lycophr. 1332.
ΠΕΡΙ ΕΘΝΩΝ. Fragm. 92 v. infra ap. schol. Apoll. Rhod. IV, 322.

Fragm. 96 (Clem. Alex. Strom. I p. 305 C): Τοὺς δὲ Ὑπερβορέους Ἑλλάνικος ὑπὲρ τὰ Ῥίπαια ὄρη οἰκεῖν ἱστορεῖ· διδάσ-

Елланикъ разсказываетъ, что Ипербореи живутъ выше Рипейскихъ горъ и что они учатся справедливости, не упо-

---

1) V. supra p. 320 et 330. 2) *Olymp.* 13, 75 (v. supra p. 329). 3) Къ словамъ Мидіи: ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην αισχρῶς τὸν ἐμὸν κτείνασα κάσιν. Въ схоліи изъ рукописи *B* сообщаются и другія преданія объ имени Апсирта и его смерти. Ср. ст. 1334 и схолій къ нему.

Digitized by Google

κεσθαι δὲ αὐτοὺς δικαιοσύνην, μὴ κρεωφαγοῦντας ἀλλ' ἀκροδρύοις χρωμένους. Cf. Theodoreti de Graecorum affectibus curandis disp. XII, v. IV p. 1024 sq. ed. Schulz: Ἑλλάνικος ἐν ταῖς Ἱστορίαις ἔφη τοὺς Ὑπερβορέους οἰκεῖν μὲν ὑπὲρ τὰ Ῥίπαια ὄρη, ἀσκεῖν δὲ δικαιοσύνην, μὴ κρεωφαγοῦντας ἀλλ' ἀκροδρύοις χρωμένους. Cf. etiam Steph. Byz. s. v. Ὑπερβόρεοι (supra, p. 268).

требляя въ пищу мяса, но питаясь древесными плодами.

ΚΤΙΣΕΙΣ. Fragm. 109 v. ap. Steph. Byz. s. v. Χαριμάται (supra, p. 270).
ΣΚΥΘΙΚΑ. Fragm. 170 v. ap. eundem s. v. Ἀμάδοκοι (p. 253).
» Fragm. 171 v. ap. eundem, s. v. Ἀμύργιον (p. 254).
» Fragm. 172 v. supra ap. Strab. XII, 3, 21 (p. 159).

ΦΕΡΕΚΥΔΗΣ ΛΕΡΙΟΣ. ФЕРЕКИДЪ ЛЕРІЙСКІЙ.

[Жилъ въ V в. до Р. Хр.— Собраніе отрывковъ: Müller FHG. v. I pp. 70—99 и IV pp. 637—9].

ΘΕΟΓΟΝΙΑ. Fragm. 14 v. infra ap. sch. Apoll. Rhod. II, 1214.
» Fragm. 21 v. ap. eundem II, 1248.
» Fragm. 60 v. ap. schol. Pind. Pyth. IV, 133 (supra, p. 330).
» Fragm. 113 (Clem. Alex. Strom. V, p. 567 C. D):

Φασὶ καὶ Ἰδανθούραν τὸν Σκυθῶν βασιλέα, ὡς ἱστορεῖ Φερεκύδης ὁ Σύριος, Δαρείῳ διαβάντι τὸν Ἴστρον πόλεμον ἀπειλοῦντα πέμψαι σύμβολον ἀντὶ τῶν γραμμάτων, μῦν, βάτραχον, ὄρνιθα, ὀϊστόν, ἄροτρον. Ἀπορίας δὲ οὔσης οἵας εἰκὸς ἐπὶ τούτοις, Ὀροντοπάγας μὲν ὁ χιλίαρχος ἔλεγεν παραδώσειν αὐτοὺς τὴν ἀρχήν, τεκμαιρόμενος ἀπὸ μὲν τοῦ μυὸς τὰς οἰκήσεις, ἀπὸ δὲ τοῦ βατράχου τὰ ὕδατα, τὸν ἀέρα τε ἀπὸ τῆς ὄρνιθος καὶ ἀπὸ τοῦ ὀϊστοῦ τὰ ὅπλα, ἀπὸ δὲ τοῦ ἀρότρου τὴν γῆν. Ξιφόδρης δὲ ἔμπαλιν ἡρμήνευσεν· ἔφασκε γάρ, ἐὰν μὴ ὡς ὄρνιθες ἀναπτῶμεν, ἢ ὡς μύες κατὰ τῆς γῆς, ἢ ὡς οἱ βάτραχοι καθ' ὕδατος δύωμεν, οὐκ ἂν φύγοιμεν τὰ ἐκείνων βέλη· τῆς γὰρ χώρας οὐκ ἐσμὲν κύριοι. Ἀνάχαρσίν τε τὸν Σκύθην φησὶ καὶ αὐτὸν καθεύδοντα κατέχειν τῇ μὲν λαιᾷ τὰ αἰδοῖα τῇ δεξιᾷ δὲ τὸ στόμα, αἰνιττόμενον δεῖν μὲν ἀμφοῖν, μεῖζον δὲ εἶναι γλώττης κρατεῖν ἢ ἡδονῆς.

Говорятъ, что и скиѳскій царь Иданѳуръ, — какъ разсказываетъ Ферекидъ [Лер]ійскій, — угрожая войною Дарію, перешедшему черезъ Истръ, послалъ символы вмѣсто письма, *именно* мышь, лягушку, птицу, стрѣлу и плугъ. Когда по поводу этихъ *даровъ* возникло недоумѣніе, какого и слѣдовало ожидать, тысяченачальникъ Оронтопагъ говорилъ, что Скиѳы подчинятся *Персамъ:* онъ разумѣлъ подъ мышью жилища, подъ лягушкою — воды, воздухъ — подъ птицею, подъ стрѣлою — оружіе и подъ плугомъ — землю. *Напротивъ* Ксифодръ объяснилъ *эти дары* совершенно иначе: онъ говорилъ, что «если мы не взлетимъ подобно птицамъ, *не скроемся* въ землю подобно мышамъ, или не погрузимся въ воду подобно лягушкамъ, то не избѣгнемъ ихъ стрѣлъ, ибо не владѣемъ землею»[1]). *Ферекидъ же* говоритъ, что Скиѳъ Анахарсидъ во время сна держалъ лѣвую *руку* на половыхъ органахъ, а правую — на устахъ, обозначая этимъ, что должно *владѣть* тѣмъ и другимъ, но важнѣе владѣть языкомъ, нежели удовольствіями.

V. 2: «pro ὁ Σύριος legendum esse ὁ Λέριος putant Vossius, Wesseling, Sturz.» Müller.
1) Cf. Herod. IV, 131 sq. (supra, p. 51).

Digitized by Google

ΔΑΜΑΣΤΗΣ ΣΙΓΕΙΕΥΣ. ДАМАСТЪ СИГЕЙСКІЙ.

[По словамъ Свиды былъ современникъ Иродота и ученикъ Елланика. Собраніе отрывковъ: Müller, FHG. v. II, pp. 64—67].

ΠΕΡΙ ΕΘΝΩΝ, fragm. 1 v. supra p. 268 ap. Steph. Byz. s. v. Ὑπερβόρεοι. Cf. Hellanici fr. 96 (p. 348).

ΙΠΠΟΚΡΑΤΗΣ. ИППОКРАТЪ.

[Cf. supra p. 57].

ΠΕΡΙ ΝΟΥΣΩΝ. О БОЛѢЗНЯХЪ.

Lib. IV § 20 (v. II p. 461 Erm.). Ἔοικε δὲ τοῦτο ὥπερ οἱ Σκύθαι ποιέουσιν ἐκ τοῦ ἱππείου γάλακτος· ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα σείουσι· τὸ δὲ ταρασσόμενον ἀφριᾷ καὶ διακρίνεται καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσι, ἐπιτολῆς δίσταται ἐλαφρὸν ἐόν· τὸ δὲ βαρὺ καὶ παχὺ κάτω ἵσταται, ὃ καὶ ἀποκρίναντες ξηραίνουσι· ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην μιν καλέουσι· ὁ δὲ ὀρρὸς τοῦ γάλακτος ἐν μέσῳ ἐστί.

Кн. 4 § 20. ...Это [1]) похоже на то, что Скиѳы дѣлаютъ изъ кобыльяго молока: вливъ молоко въ деревянные сосуды, они встряхиваютъ *ихъ;* взбалтываемое *молоко* пѣнится и раздѣляется, при чемъ жиръ, который они называютъ вутиромъ, по своей легкости отдѣляется *и поднимается* вверхъ, а тяжелая и плотная часть осѣдаетъ внизъ; ее отдѣляютъ и сушатъ; когда она сгустится и высохнетъ, ее называютъ иппакою; молочная сыворотка остается въ серединѣ [2]).

ΠΕΡΙ ΑΓΜΩΝ ΚΑΙ ΠΕΡΙ ΑΡΘΡΩΝ. О ПЕРЕЛОМАХЪ И О ЧЛЕНАХЪ.

§ 101 (v. III p. 117 Erm.). Μυθολογοῦσι δέ τινες, ὡς αἱ Ἀμαζονίδες τὸ ἄρσεν γένος τὸ ἑαυτῶν αὐτίκα νήπιον ἐὸν ἐξαρθρέουσι, αἱ μὲν κατὰ τὰ γούνατα, αἱ δὲ κατὰ τὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίγνοιτο καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρσεν γένος τῷ θήλεϊ· χειρώναξι ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτείης ἔργα, ἢ χαλκείης, ἢ ἄλλο ὅ τι ἑδραῖον ἔργον. Εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστι, ἐγὼ μὲν οὐκ οἶδα· ὅτι δὲ γένοιτο ἂν τοιαῦτα, οἶδα, εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα.

§ 101. Нѣкоторые разсказываютъ, что Амазонки калѣчатъ *дѣтей* мужескаго пола тотчасъ по рожденіи: однѣ *переламываютъ* голени, другія — бедра, для того чтобы они были хромыми и *чтобы* мужескій полъ не возставалъ противъ женскаго. Онѣ пользуются мужчинами какъ ремесленниками для работъ кожевенныхъ, мѣдныхъ или другихъ, требующихъ сидячаго образа жизни. Я не знаю, правда ли это; но знаю, что это возможно, если искалѣчить члены *у дѣтей* тотчасъ послѣ рожденія.

1) Рѣчь идетъ о вліяніи жара на больное человѣческое тѣло. 2) Cf. infra Theopompi fr. 51.

Digitized by Google

ΘΟΥΚΥΔΙΔΗΣ.

ѲУКИДИДЪ.

[Знаменитый историкъ Пелопоннисской войны, род. около 470, ум. около 400 г. до Р. Хр.— Текстъ: Thucydidis de bello Peloponnesiaco lib. I et II, ed. A. Schoene, 1874].

ΠΕΡΙ ΤΟΥ ΠΕΛΟΠΟΝΝΗΣΙΑΚΟΥ ΠΟΛΕΜΟΥ.

О ПЕЛОПОННИССКОЙ ВОЙНѢ.

Lib. II, cap. 95. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ χειμῶνος τούτου ἀρχομένου, Σιτάλκης ὁ Τήρεω Ὀδρύσης, Θρᾳκῶν βασιλεύς, ἐστράτευσεν ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου, Μακεδονίας βασιλέα, καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης...

95. Около того же времени, въ началѣ этой зимы [1]), Одрисъ Ситалкъ, сынъ Тирея, царь Ѳракійскій [2]), пошелъ войною на Македонскаго царя Пердикку, сына Александрова, и на Халкидянъ, живущихъ около Ѳракіи...

96. Ἀνίστησιν οὖν ἐκ τῶν Ὀδρυσῶν ὁρμώμενος πρῶτον μὲν τοὺς ἐντὸς τοῦ Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾴκας ὅσων ἦρχε μέχρι θαλάσσης ἐς τὸν Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον, ἔπειτα τοὺς ὑπερβάντι Αἷμον Γέτας καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου πόντου κατῴκητο· εἰσὶ δ' οἱ Γέται καὶ οἱ ταύτῃ ὅμοροί τε τοῖς Σκύθαις καὶ ὁμόσκευοι, πάντες ἱπποτοξόται...

96. Итакъ, отправляясь изъ страны Одрисовъ, онъ поднимаетъ [въ походъ] во первыхъ подвластныхъ ему Ѳракійцевъ, живущихъ по сю сторону горъ Эма и Родопы до моря по направленію къ Евксинскому Понту и Геллеспонту, затѣмъ живущихъ за Эмомъ Гетовъ и остальныя племена, разселившіяся по сю сторону рѣки Истра, ближе къ Понту Евксинскому. Геты и прочіе туземцы — сосѣди Скиѳовъ и сходны съ ними по вооруженію: всѣ они конные стрѣлки...

97. Ἐγένετο δὲ ἡ ἀρχὴ ἡ Ὀδρυσῶν μέγεθος ἐπὶ μὲν θάλασσαν καθήκουσα ἀπὸ Ἀβδήρων πόλεως ἐς τὸν Εὔξεινον πόντον μέχρι Ἴστρου ποταμοῦ... ὥστε ἐπὶ μέγα ἦλθεν ἡ βασιλεία ἰσχύος· τῶν γὰρ ἐν τῇ Εὐρώπῃ ὅσαι μεταξὺ τοῦ Ἰονίου κόλπου καὶ τοῦ Εὐξείνου πόντου μεγίστη ἐγένετο χρημάτων προσόδῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ, ἰσχύι δὲ μάχης καὶ στρατοῦ πλήθει πολὺ δευτέρα μετὰ τὴν τῶν Σκυθῶν. ταύτῃ δὲ ἀδύνατα ἐξισοῦσθαι οὐχ ὅτι τὰ ἐν τῇ Εὐρώπῃ, ἀλλ' οὐδ' ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι· οὐ μὴν οὐδ' ἐς τὴν ἄλλην εὐβουλίαν καὶ ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον ἄλλοις ὁμοιοῦνται.

97. Царство Одрисовъ простиралось со стороны моря отъ города Авдиръ до Евксинскаго Понта и рѣки Истра... [Благодаря огромнымъ доходамъ] царство это достигло большаго могущества. По количеству денежныхъ доходовъ и вообще благосостоянію оно оказалось величайшимъ изъ всѣхъ европейскихъ царствъ, лежащихъ между Іоническимъ заливомъ и Понтомъ Евксинскимъ; но по военной силѣ и количеству войска все-таки далеко уступало Скиѳскому. Съ этимъ послѣднимъ не только не могутъ сравниться европейскія царства, но даже въ Азіи нѣтъ народа, который могъ бы одинъ на одинъ противостать Скиѳамъ, если всѣ они будутъ единодушны; но они не выдерживаютъ сравненія съ другими въ отношеніи благоразумія и пониманія житейскихъ дѣлъ.

1) Въ ноябрѣ 429 г. до Р. Хр. 2) Cf. de eo Herod. IV, 80 (supra, p. 35).

Digitized by Google

ΑΓΑΘΩΝ. АГАѲОНЪ.

[Трагическій поэтъ, жилъ въ V в. до Р. Хр. Собраніе отрывковъ — Nauck, TGF² p. 763 sq.].

ΤΗΛΕΦΟΣ. Fr. 4 v. infra ap. Athen. X p. 454 *d*.

ΧΟΙΡΙΛΟΣ ΣΑΜΙΟΣ. ХИРИЛЪ САМОССКІЙ.

[Эпическій поэтъ, младшій современникъ и почитатель Иродота. Написалъ поэму Περσηίς или Περσικά, главнымъ содержаніемъ которой была побѣда Аѳинянъ надъ Ксерксомъ. Собраніе свидѣтельствъ о немъ и отрывковъ—Kinkel, EGF. I pp. 265—272].

Fragm. 3 v. supra (p. 115) ap. Strab. VII p. 303.

ΑΝΤΙΜΑΧΟΣ. АНТИМАХЪ.

[Эпическій и элегическій поэтъ, жилъ во 2-й пол. V в. до Р. Хр. Изъ его произведеній извѣстны эпическая поэма Θηβαΐς и большое элегическое произведеніе Λύδη. Собраніе отрывковъ изъ «Ѳиваиды» — Kinkel, EGF. v. I pp. 279 — 308; отрывки изъ «Лиды» — Bergk, PLG⁴. v. II pp. 289—294].

ΛΥΔΗ. Fr. 12 v. infra ap. schol. Apoll. Rhod. IV, 259.

ΑΡΙΣΤΟΦΑΝΗΣ. АРИСТОФАНЪ.

[Род. около 450, ум. около 385 г. до Р. Хр.].

Въ произведеніяхъ этого знаменитѣйшаго комика древности встрѣчаются лишь рѣдкія и случайныя упоминанія о Скиѳіи. Такъ, въ ком. «Ἀχαρνῆς» ст. 704 упоминается ἡ Σκυθῶν ἐρημία, въ ком. «Ὄρνιθες» ст. 941—νομάδες Σκύθαι[1]). Въ «Лисистратѣ» ст. 184 упоминается рабыня съ именемъ Σκύθαινα и въ стт. 451 и 455—Σκύθαι, т. е. скиѳскіе стрѣлки (τοξόται), служившіе въ Аѳинахъ полицейскими стражами. Одинъ изъ такихъ Скиѳовъ является дѣйствующимъ лицомъ въ комедіи «Θεσμοφοριάζουσαι» (ст. 1001—1225), при чемъ говоритъ крайне испорченнымъ греческимъ языкомъ.

---

1) Этотъ стихъ представляетъ пародію на стихъ Пиндара, приведенный выше: стр. 326, отр. 105.

Digitized by Google

ΣΧΟΛΙΑ

ΕΙΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΚΩΜΩΙΔΙΑΣ.

[Текстъ: Scholia Graeca in Aristophanem... ed. Fr. Dübner. Paris. Ed. Firmin Didot MDCCCLV].

ΕΙΣ ΑΧΑΡΝΕΑΣ.

V. 704 (p. 20 Dübn.). Σκυθῶν ἐρημίᾳ: ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν Σκυθῶν... τοῦτο δὲ λέγει, ὅτι οἱ Σκύθαι ἄοικοι ὄντες καὶ ἐπὶ τῶν ἁμαξῶν φερόμενοι αἴτιοι ἑαυτοῖς ὀλέθρου γίνονται· ἔστι δὲ παροιμία ἡ Σκυθῶν ἐρημία...

V. 726 (ibid.)... ἔστι δὲ καὶ πόλις τῆς Σκυθίας Φᾶσις, ὁμώνυμος τῷ ποταμῷ.

ΕΙΣ ΙΠΠΕΑΣ.

V. 963 (p. 67). μολγὸν γενέσθαι: Φαεινὸς μολγὸν ἀντὶ τοῦ τυφλόν. Ἡρόδοτος δὲ ἱστορεῖ τοὺς Μολγοὺς τούτους ἐπάνω τῆς Σκυθίας εἶναι...

ΕΙΣ ΝΕΦΕΛΑΣ.

V. 109 (p. 86)... οἱ δὲ ὅτι Φᾶσις ποταμός ἐστι Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται.

ΕΙΣ ΟΡΝΙΘΑΣ.

V. 941 (p. 231). Νομάδεσσι γὰρ ἐν Σκύθαις: καὶ ταῦτα παρὰ τὰ ἐκ Πινδάρου. ἔχει δὲ οὕτως «Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων, ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται»...

V. 942 (p. 232). ἀλᾶται Στράτων· (Ἀλᾶται ἔφη), ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι διὰ τὸ ἀφόρητον αὐτοῦ ἐπὶ ἁμαξῶν τὰ πράγματα βάλλοντες ἑαυτῶν ἀπαίρουσιν εἰς ἄλλην χώραν. ὁ μὴ ἔχων δὲ ἐκεῖσε ἅμαξαν ἄτιμος παρ' αὐτοῖς κρίνεται.

ΕΙΣ ΛΥΣΙΣΤΡΑΤΗΝ.

V. 184 (p. 250). Σκύθαινα: τὴν ὑπηρέτιν λέγει. Σκύθας γὰρ καὶ τοξότας ἐκάλουν τοὺς δημοσίους ὑπηρέτας ἀπὸ τῆς ἀρχαίας χρήσεως.

СХОЛИИ

КЪ КОМЕДІЯМЪ АРИСТОФАНА.

КЪ «АХАРНЯНАМЪ».

Скиѳской пустынѣ: ибо пустыни Скиѳовъ дики... *Поэтъ* говоритъ это потому, что Скиѳы, не имѣя домовъ и переѣзжая на повозкахъ, дѣлаются виновниками собственной гибели. *Выраженіе* «Скиѳская пустыня» вошло въ пословицу [1])...

...Есть въ Скиѳіи и городъ Фасидъ, сонменный рѣкѣ.

КЪ «ВСАДНИКАМЪ».

Сдѣлаться молгóн: Фаинъ *говоритъ*, *что* молгóн *употребленo* вмѣсто тупóй [слѣпымъ]. Иродотъ разсказываетъ, что эти Молги живутъ выше Скиѳіи [2])...

КЪ «ОБЛАКАМЪ».

...Другіе *говорятъ*, что Фасидъ—рѣка въ Скиѳіи, гдѣ водятся прекрасные кони.

КЪ «ПТИЦАМЪ».

Ибо средп кочевниковъ Скиѳовъ: и это заимствовано у Пиндара [3]); *у него* сказано такъ: «ибо среди кочевниковъ Скиѳовъ блуждаетъ Стратонъ, который не имѣетъ дома, перевозимаго на повозкѣ»...

Блуждаетъ Стратонъ: (*поэтъ* сказалъ «блуждаетъ»), потому что Скиѳы зимою, вслѣдствіе ея невыносимости, складываютъ свое имущество на повозки и уѣзжаютъ въ другую страну. Не имѣющій тамъ повозки считается у нихъ безчестнымъ.

КЪ «ЛИСИСТРАТѢ».

Скиѳянка: *поэтъ* называетъ *такъ* рабыню. Скиѳами и стрѣлками называли государственныхъ рабовъ отъ стариннаго употребленія [4]).

---

1) Cf. schol. in Av. 1487 (p. 242 Dübn.): πέπαικται δὲ ἀπὸ τοῦ Σκυθῶν ἐρημία. 2) У Иродота нѣтъ такого названія; схоліастъ, безъ сомнѣнія, имѣлъ въ виду назв. Ἱππημολγοί и смѣшалъ Иродота съ какимъ либо другимъ писателемъ, у котораго оно встрѣчается. 3) Ср. выше стр. 326. 4) Т. е. отъ того, что Скиѳы, купленные въ рабство государствомъ, изстари служили полицейскими стрѣлками. Ср. къ ст. 451 (p. 253): Ὦ Σκύθαι: ὦ ὑπηρέται.

Digitized by Google

ΚΤΗΣΙΑΣ ΚΝΙΔΙΟΣ. КТИСІЙ КНИДСКІЙ.

[Ктисій, уроженецъ г. Книда, жилъ во 2-й пол. V в. до Р. Хр. Въ 415 г. попалъ въ плѣнъ къ Персамъ и провелъ въ Персіи 17 лѣтъ, при чемъ состоялъ врачемъ при царѣ Артаксеркс̀ѣ II Мнимонѣ и м. пр. излѣчилъ рану, нанесенную ему Киромъ въ битвѣ при Кунаксахъ. Изъ его сочиненій особенно извѣстны были Περσικά въ 23 кн., Ἰνδικά въ I книгѣ и Περίπλους или Περίοδος въ 3 книгахъ, но ни одно изъ нихъ до насъ не дошло. Отрывки собралъ C. Müller въ прибавленіи къ Дидотовскому изданію Иродота: Herodoti historiarum libri IX. Recognovit... Guil. Dindorfius. Ctesiae Cnidii et chronographorum, Castoris, Eratosthenis etc. fragmenta dissertatione et notis illustrata a Car. Müllero. Paris. Ed. Firmin Didot, 1844].

ΠΕΡΣΙΚΑ. ИСТОРІЯ ПЕРСІИ.

Fragm. 2 v. infra ap. Diod. II, 2.

Fragm. 26 v. ap. Demetrium Phaler. de elocut. § 218 sq. Cf. fragm. 27 ap. Tzetz. Hist. XII, 894.

Fragm. 29. Ecloga ex Ctesiae Cnidii Persicis ap. Photium cod. LXXII, p. 106:

§ 16. Ὅτι ἐπιτάσσει Δαρεῖος Ἀριαράμνῃ τῷ σατράπῃ Καππαδοκίας ἐπὶ Σκύθας διαβῆναι καὶ ἄνδρας καὶ γυναῖκας αἰχμαλωτίσαι. Ὁ δὲ διαβὰς πεντηκοντόροις λ' ἠχμαλώτισε· συνέλαβε δὲ καὶ τὸν ἀδελφὸν τοῦ βασιλέως τῶν Σκυθῶν Μαρσαγέτην, ἐπὶ κακώσει εὑρὼν παρὰ τοῦ οἰκείου ἀδελφοῦ δεδεμένον. (17) Σκυθάρβης δὲ ὁ Σκυθῶν βασιλεὺς ὀργισθεὶς ἔγραψεν ὑβρίζων Δαρεῖον· καὶ ἀντεγράφη αὐτῷ ὁμοίως. Στράτευμα δὲ ἀγείρας Δαρεῖος ὀγδοήκοντα μυριάδας καὶ ζεύξας τὸν Βόσπορον καὶ τὸν Ἴστρον διέβη ἐπὶ Σκύθας, ὁδὸν ἐλάσας ἡμερῶν ιε'. Καὶ ἀντέπεμπον ἀλλήλοις τόξα. Ἐπικρατέστερον δ' ἦν τὸ τῶν Σκυθῶν· διὸ καὶ φεύγων Δαρεῖος διέβη τὰς γεφυρώσεις καὶ ἔλυσε σπεύδων πρὶν ἢ τὸ ὅλον διαβῆναι στράτευμα. Καὶ ἀπέθανον ὑπὸ Σκυθάρβεω οἱ καταλειφθέντες ἐν τῇ Εὐρώπῃ μυριάδες ὀκτώ...

16. Дарій приказалъ Каппадокійскому сатрапу Аріарамну перейдти *въ Европу* противъ Скиѳовъ и взять въ плѣнъ мужчинъ и женщинъ. Аріарамнъ, переправившись на 30 пятидесятивесельныхъ судахъ, взялъ *Скиѳовъ* въ плѣнъ, *при чемъ* захватилъ и брата скиѳскаго царя — Марсагета, найдя его заключеннымъ въ оковы по приказанію брата за *какой-то* проступокъ. (17) Скиѳскій царь Скиѳарвъ въ гнѣвѣ написалъ Дарію дерзкое письмо [1]); ему былъ данъ такой же отвѣтъ. Собравши 800,000 [2]) войска и построивши мосты на Воспорѣ и Истрѣ, Дарій переправился въ Скиѳію, пройдя на 15 дней пути. Они послали другъ другу луки; скиѳскій лукъ оказался крѣпче. Поэтому Дарій обратился въ бѣгство, перешелъ черезъ мосты и поспѣшно разрушилъ ихъ прежде, чѣмъ переправилось все войско. Оставленныя въ Европѣ 80,000 были перебиты Скиѳарвомъ...

ΠΕΡΙ ΟΡΩΝ. Lib. II, fragm. 93 v. infra ap. schol. Apoll. Rhod. II, 1017.
» » » fragm. 94 v. ap. eundem, ad II, 401.

V. 6: «Μασαγέτην lib. Monac.» Müller. || V. 8: «Σκυθάρβης] Sic Bekker; vulgo Σκυθάρκης. Σκυθάρχης in marg. et Cod. Monac. paullo infra. «Alii Σκυτάρβης, Σκυτάρης. Herodoto IV, 76 dicitur Ἰδάνθυρσος eodemque modo scribunt Arrian., Strabo, Plutarch. Apud Clem. Alex. Strom. V p. 567. D. est Ἰδανθεῦρος. Idem nomen apud Iustin. II, 5 abiit in *Iancyrus* (v. Duebner. ad h. l.).— Apud Ctesiam nomen appellativum (σκυθάρχης, *rex Scytharum*) positum videtur pro nomine proprio. Ceterum huic quoque regi Darius bellum intulisse fertur, quod filiae eius nuptias non obtinuisset (Iustin. l. c.)». Müller.

1) «Paullo aliter Herodot. IV, 126 sq.» Müll. 2) «Totidem Diodor. II, 5, 5 ex Ctesia, ut videtur. *Septingenta milia* Herod. IV, 8, quem sequuntur Iustin. II, 5 et Oros. II, 8». Müll.

Digitized by Google

ΗΡΟΔΩΡΟΣ ΗΡΑΚΛΕΩΤΗΣ.

ИРОДОРЪ ИРАКЛІЙСКІЙ.

[Миѳологъ Иродоръ, уроженецъ Иракліи Понтійской, былъ, вѣроятно, современникомъ философа Сократа. Ему принадлежатъ недошедшія до насъ сочиненія: Ὁ καθ' Ἡρακλέα λόγος и Ἀργοναυτικά или Ἀργοναῦται. — Собраніе отрывковъ: Müller, FHG. v. II pp. 27—41].

Ο ΚΑΘ' ΗΡΑΚΛΕΑ ΛΟΓΟΣ.

СЛОВО ОБЪ ИРАКЛѢ.

Fragm. 5 (schol. Theocr. XIII, 56): Ἐχρῆτο δὲ Ἡρακλῆς τοῖς Σκυθικοῖς τόξοις, διδαχθεὶς παρά τινος Σκύθου Τευτάρου, ὡς ἱστορεῖ Ἡρόδωρος (libri Ἡρόδοτος) καὶ Καλλίμαχος (fr. 365 Bentl.).

Иракъ употреблялъ скиѳскій лукъ, будучи обученъ какимъ-то Скиѳомъ Тевтаромъ, какъ разсказываютъ Иродоръ и Каллимахъ.

«Haec Pontici auctoris innovatio. Eurytum (Oechaliensem) pro Teutaro habes ap. Apollod. II, 4, 4, 1... Ceterum cf. Natalis Com. p. 679: *Hercules iaculandi artem fuit a Teutaro Scytha pastore, ut ait Isacius* (Tzetzes?), *edoctus*». Müller.

Fragm. 23 v. infra ap. schol. Apoll. Rhod. II, 1248.
Fragm. 27 v. infra ap. Apollod. II, 6, 3, 5.

ΑΡΓΟΝΑΥΤΙΚΑ. Fragm. 46 v. infra ap. schol. Apoll. Rhod. I, 1024.
» Fragm. 53 v. ap. eundem IV, 87.
» Fragm. 54 v. ibidem IV, 86.
» Fragm. 55 v. ibidem IV, 259.

ΛΥΣΙΑΣ.

ЛИСІЙ.

[Аттическій ораторъ, род. около 445, ум. около 380 г. до Р. Хр. — Текстъ: Lysiae orationes... rec. Carolus Scheibe, ed. 2. Lips. ap. Teubnerum, 1879. Для отрывковъ: Oratores Attici. Recensuerunt, adnotaverunt etc. I. G. Baiterus et H. Sauppius. Pars posterior: scholia fragmenta indices. Turici 1850].

XVI. ΕΝ ΒΟΥΛΗΙ ΜΑΝΤΙΘΕΩΙ ΔΟΚΙΜΑΖΟΜΕΝΩΙ ΑΠΟΛΟΓΙΑ.

16. РѢЧЬ ВЪ СОВѢТѢ ВЪ ЗАЩИТУ МАНТИѲЕЯ ПРИ ДОКИМАСІИ. [1]).

§ 4. ...Ἡμᾶς γὰρ ὁ πατὴρ πρὸ τῆς ἐν Ἑλλησπόντῳ συμφορᾶς ὡς Σάτυρον τὸν ἐν τῷ Πόντῳ διαιτησομένους ἐξέπεμψε, καὶ οὔτε τῶν τειχῶν καθαιρουμένων οὔτε μεθισταμένης τῆς πολιτείας, ἀλλ' ἤλθομεν πρὶν τοὺς ἀπὸ Φυλῆς εἰς τὸν Πειραιᾶ κατελθεῖν πρότερον πέντε ἡμέραις...

...Отецъ отправилъ насъ[2]) на жительство къ Сатиру, *правителю* Понтійскому [3]), до пораженія при Геллеспонтѣ [4]), а возвратились мы не въ то время, когда разрушались стѣны, и происходилъ государственный переворотъ [5]), а за пять дней до вторженія въ Пирэй *изгнанниковъ* изъ Филы...

---

1) Сказана около 393 г. до Р. Хр. 2) Рѣчь идетъ объ одномъ Мантиѳеѣ.
3) Сатиръ I, правившій, по всей вѣроятности, отъ 407/6 до 388/7 до Р. Хр. 4) Разумѣется битва при Эгосъ-потамахъ 405 г. до Р. Хр.
5) Правленіе 30 тирановъ въ Аѳинахъ по окончаніи Пелопоннисской войны.

Digitized by Google

ΑΠΟΣΠΑΣΜΑΤΑ.

ΥΠΕΡ ΒΑΚΧΙΟΥ ΚΑΙ ΠΥΘΑΓΟΡΟΥ.

3 (Orr. Att. p. 182). Σκυθικαί· Λυσίας ἐν τῷ ὑπὲρ Βακχίου καὶ Πυθαγόρου, εἰ γνήσιος. εἶδός τι ὑποδήματός εἰσιν αἱ Σκυθικαί. καὶ Ἀλκαῖος ἐν η' «καὶ Σκυθικὰς ὑποδησάμενος». Hагросr.

ОТРЫВКИ.

РѢЧЬ ЗА ВАККХІЯ И ПИѲАГОРА.

Скиѳки: *употребляетъ* Лисій въ рѣчи за Вакхія и Пиѳагора, если она подлинна. **Скиѳки** — родъ обуви. *Употребляетъ* также Алкэй въ *стих.* 8-мъ: «и подвязавши Скиѳки» [1]).

ΙΣΟΚΡΑΤΗΣ.

ИСОКРАТЪ.

[Аттическій ораторъ, **род. 436, ум. 338 до Р. Хр.**—Текстъ: Isocratis orationes recogn. Gust. Ed. Benseler. Ed. altera curante Friderico Blass. 2 voll. Lipsiae in aed. B. G. Teubneri, 1881].

IV. ΠΑΝΗΓΥΡΙΚΟΣ.

4. ПАНЕГИРИКЪ [2]).

§ 67. Ἔστι γὰρ ἀρχικώτατα μὲν τῶν γενῶν καὶ μεγίστας δυναστείας ἔχοντα Σκύθαι καὶ Θρᾷκες καὶ Πέρσαι, τυγχάνουσι δ' οὗτοι μὲν ἅπαντες ἡμῖν ἐπιβουλεύσαντες, ἡ δὲ πόλις πρὸς ἅπαντας τούτους διακινδυνεύσασα... (68)... ἔτι γὰρ ταπεινῆς οὔσης τῆς Ἑλλάδος ἦλθον εἰς τὴν χώραν ἡμῶν Θρᾷκες μὲν μετ' Εὐμόλπου τοῦ Ποσειδῶνος, Σκύθαι δὲ μετ' Ἀμαζόνων τῶν Ἄρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον ἀλλὰ καθ' ὃν ἑκάτεροι τῆς Εὐρώπης ἐπῆρχον [1])... (69) οὐ μὴν κατώρθωσαν, ἀλλὰ πρὸς μόνους τοὺς προγόνους τοὺς ἡμετέρους συμβαλόντες ὁμοίως διεφθάρησαν, ὥσπερ ἂν εἰ πρὸς ἅπαντας ἀνθρώπους ἐπολέμησαν... (70) λέγεται δ' οὖν περὶ μὲν Ἀμαζόνων, ὡς τῶν μὲν ἐλθουσῶν οὐδεμία πάλιν ἀπῆλθεν, αἱ δ' ὑπολειφθεῖσαι διὰ τὴν ἐνθάδε συμφορὰν ἐκ τῆς ἀρχῆς ἐξεβλήθησαν...

§ 67. Самые способные къ власти и обладающіе наибольшимъ могуществомъ народы — Скиѳы, Ѳракійцы и Персы; всѣ они оказываются злоумышлявшими противъ насъ, и государство наше со всѣми ними боролось... (68) ...Еще во времена слабости Эллады пришли въ нашу страну Ѳракійцы съ Евмолпомъ, сыномъ Посидона, а Скиѳы съ Амазонками, дочерьми Арея, не въ одно и то же время, а въ которое тѣ и другіе господствовали надъ Европою... (69) Однако они не имѣли удачи, но, сразившись съ одними нашими предками, погибли подобно тому, какъ если бы воевали со всѣмъ человѣчествомъ... (70) Объ Амазонкахъ существуетъ преданіе, что изъ пришедшихъ ни одна не ушла назадъ, а остальныя *дома* вслѣдствіе *понесеннаго* здѣсь пораженія лишились владычества [3]).

XVII. ΤΡΑΠΕΖΙΤΙΚΟΣ.

17. БАНКИРСКАЯ РѢЧЬ [4]).

3. Ἐξ ἀρχῆς οὖν ὑμῖν, ὅπως ἂν δύνωμαι, διηγήσομαι τὰ πεπραγμένα. ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί, πατὴρ μέν ἐστι Σωπαῖος,

3. Я разскажу вамъ *мое* дѣло, какъ смогу, съ *самаго* начала. Отецъ мой, судьи,—Сопэй, который, какъ знаютъ всѣ

1) Cf. supra p. 321.
2) Обнародована, по всей вѣроятности, въ 380 г. до Р. Хр.
2) Locus citatur ap. Theon. Progymn. cap. IV extr. (Rhetores Graeci ed. Walz, v. I p. 201).
3) О нашествіи Амазонокъ Исократъ упоминаетъ еще: VI, 42 и VII, 75; въ XII, 193 (Παναθηναικός) упоминается и причина похода: Σκύθαι δὲ μετ' Ἀμαζόνων τῶν ἐξ Ἄρεως γενομένων [sc. εἰσέβαλον εἰς τὴν χώραν ἡμῶν], αἳ τὴν στρατείαν ἐφ' Ἱπολύτην ἐποιήσαντο τὴν τούς τε νόμους παραβᾶσαν τοὺς παρ' αὐταῖς κειμένους, ἐρασθεῖσάν τε Θησέως καὶ συναπολουθήσασαν ἐκεῖθεν καὶ συνοικήσασαν αὐτῷ.
4) Составлена въ 394 г. до Р. Хр.

Digitized by Google

ὃν οἱ πλέοντες εἰς τὸν Πόντον ἅπαντες ἴσασιν οὕτως οἰκείως πρὸς Σάτυρον διακείμενον, ὥστε πολλῆς μὲν χώρας ἄρχειν, ἁπάσης δὲ τῆς δυνάμεως ἐπιμελεῖσθαι τῆς ἐκείνου. (4) πυνθανόμενος δὲ καὶ περὶ τῆσδε τῆς πόλεως καὶ περὶ τῆς ἄλλης Ἑλλάδος ἐπεθύμησ' ἀποδημῆσαι. γεμίσας οὖν ὁ πατήρ μου δύο ναῦς σίτου καὶ χρήματα δοὺς ἐξέπεμψεν ἅμα κατ' ἐμπορίαν καὶ κατὰ θεωρίαν. συστήσαντος δέ μοι Πυθοδώρου τοῦ Φοίνικος Πασίωνα ἐχρώμην τῇ τούτου τραπέζῃ. (5) χρόνῳ δ' ὕστερον διαβολῆς πρὸς Σάτυρον γενομένης, ὡς καὶ ὁ πατὴρ οὑμὸς ἐπιβουλεύοι τῇ ἀρχῇ κἀγὼ τοῖς φυγάσι συγγιγνοίμην, τὸν μὲν πατέρα μου συλλαμβάνει, ἐπιστέλλει δὲ τοῖς ἐνθάδ' ἐπιδημοῦσιν ἐκ τοῦ Πόντου τά τε χρήματα παρ' ἐμοῦ παραλαβεῖν καὶ αὐτὸν εἰσπλεῖν κελεύειν· ἐὰν δὲ τούτων μηδὲν ποιῶ, παρ' ὑμῶν ἐξαιτεῖν...

плавающіе въ Понтъ, такъ друженъ съ Сатиромъ [1]), что начальствуетъ надъ большой областью и имѣетъ попеченіе о всѣхъ его владѣніяхъ. (4) Познакомившись *по разсказамъ* и съ этимъ городомъ и съ остальною Элладой, я возымѣлъ желаніе отправиться путешествовать; итакъ отецъ мой, нагрузивъ два судна хлѣбомъ и давъ денегъ, отпустилъ *меня* для торговли и вмѣстѣ для обозрѣнія *чужихъ странъ; при этомъ* Финикіянинъ Пиѳодоръ рекомендовалъ мнѣ Пасіона, и я пользовался его банкомъ. (5) Впослѣдствіи, когда Сатиру былъ сдѣланъ ложный доносъ, что и отецъ мой злоумышляетъ на его власть, и я вхожу въ сношенія съ изгнанниками, онъ схватываетъ моего отца и поручаетъ находящимся здѣсь *лицамъ* изъ Понта отобрать отъ меня деньги и приказать самому возвратиться; если же я изъ этого ничего не сдѣлаю, то вытребовать отъ васъ...

11. Μετὰ δὲ ταῦτ', ὦ ἄνδρες δικασταί, ἀφικνοῦνταί μοι οἱ ἀπαγγέλλοντες, ὅτι ὁ πατὴρ ἀφεῖται, καὶ Σατύρῳ οὕτως ἀπάντων μεταμέλει τῶν πεπραγμένων, ὥστε πίστεις τὰς μεγίστας αὐτῷ δεδωκὼς εἴη καὶ τὴν ἀρχὴν ἔτι μείζω πεποιηκὼς ἢ πρότερον καὶ τὴν ἀδελφὴν τὴν ἐμὴν εἰληφὼς γυναῖκα τῷ αὐτοῦ υἱεῖ...

11. Послѣ этого, судьи, мнѣ приносятъ вѣсть, что отецъ мой освобожденъ, и Сатиръ такъ раскаивается въ своемъ поступкѣ, что далъ ему величайшіе залоги вѣрности, сдѣлалъ его власть еще большею, чѣмъ онъ имѣлъ прежде, и взялъ мою сестру въ жены своему сыну...

20. ταῦτα δὲ συγγράψαντες καὶ ἀναγαγόντες εἰς ἀκρόπολιν Πύρωνα Φεραῖον ἄνδρα, εἰθισμένον εἰσπλεῖν εἰς τὸν Πόντον, δίδομεν αὐτῷ φυλάττειν τὰς συνθήκας, προστάξαντες αὐτῷ, ἐὰν μὲν διαλλαγῶμεν πρὸς ἡμᾶς αὐτούς, κατακαῦσαι τὸ γραμματεῖον, εἰ δὲ μή, Σατύρῳ ἀποδοῦναι...

20. Изложивъ это письменно и приведя на акрополь Пирона Ферскаго, часто совершавшаго плаваніе въ Понтъ, мы [2]) отдаемъ ему на сохраненіе договоръ, поручивъ ему сжечь запись, если мы примиримся между собою, а въ противномъ случаѣ отдать Сатиру...

35. Ἤδη δέ τινας Πασίων ἐπεχείρησε πείθειν, ὡς τὸ παράπαν οὐδ' ἦν ἐνθάδε μοι χρήματα, λέγων, ὡς παρὰ Στρατοκλέους ἐδανεισάμην τριακοσίους στατῆρας. ἄξιον οὖν καὶ περὶ τούτων ἀκοῦσαι, ἵν' ἐπίστησθ', οἷος τεκμηρίοις ἐπαρθεὶς ἀποστερεῖ με τῶν χρημάτων. Ἐγὼ γάρ, ὦ ἄνδρες δικασταί, μέλλοντος Στρατοκλέους εἰσπλεῖν εἰς τὸν Πόντον, βουλόμενος ἐκεῖθεν ὡς πλεῖστ' ἐκκομίσασθαι τῶν χρημάτων, ἐδεήθην Στρατοκλέους τὸ μὲν αὐτοῦ χρυσίον ἐμοὶ καταλιπεῖν, ἐν δὲ τῷ Πόντῳ παρὰ τοῦ πατρὸς τοὐμοῦ κομίσασθαι, νομίζων μεγάλα κερδαίνειν, εἰ κατὰ πλοῦν μὴ κινδυνεύοι τὰ χρήματα, ἄλλως τε καὶ Λακεδαιμονίων ἀρχόντων κατ' ἐκεῖνον τὸν χρόνον τῆς θαλάττης...

35. Нѣкоторыхъ уже Пасіонъ попытался убѣдить, что у меня здѣсь вовсе даже не было денегъ, говоря, что я занялъ у Стратокла 300 статировъ. Итакъ слѣдуетъ выслушать и объ этомъ, чтобы вы знали, на основаніи какихъ данныхъ онъ лишаетъ меня денегъ. Въ то время какъ Стратоклъ собирался отплыть въ Понтъ, я, судьи, желая вывезти оттуда какъ можно больше денегъ, попросилъ Стратокла свои деньги оставить мнѣ, а въ Понтѣ получить отъ моего отца, считая очень выгоднымъ, если во время плаванія деньги не будутъ въ опасности, тѣмъ болѣе, что въ то время Лакедэмоняне господствовали на морѣ...

1) Сатиръ I, правившій 407/6—388/7 до Р. Хр. 2) Т. е. истецъ и Пасіонъ.

Digitized by Google

51. Τὸ τελευταῖον τοίνυν, ὦ ἄνδρες δικασταί, ὁμολογήσας ὡς Σάτυρον εἰσπλευσεῖσθαι καὶ ποιήσειν ἅττ' ἂν ἐκεῖνος γνῷ, καὶ ταῦτ' ἐξηπάτησε, καὶ αὐτὸς μὲν οὐκ ἤθελεν εἰσπλεῦσαι πολλάκις ἐμοῦ προκαλεσαμένου, εἰσέπεμψε δὲ τὸν Κίττον· ὃς ἐλθὼν ἐκεῖ ἔλεγεν, ὅτι ἐλεύθερος εἴη καὶ τὸ γένος Μιλήσιος, εἰσπέμψειε δ' αὐτὸν Πασίων διδάξοντα περὶ τῶν χρημάτων. (52) ἀκούσας δὲ Σάτυρος ἀμφοτέρων ἡμῶν δικάζειν μὲν οὐκ ἠξίου περὶ τῶν ἐνθάδε γενομένων συμβολαίων, ἄλλως τε καὶ μὴ παρόντος τούτου μηδὲ μέλλοντος ποιήσειν, ἃ ἐκεῖνος δικάσειεν, οὕτω δὲ σφόδρ' ἐνόμιζεν ἀδικεῖσθαί με, ὥστε συγκαλέσας τοὺς ναυκλήρους ἐδεῖτ' αὐτῶν βοηθεῖν ἐμοὶ καὶ μὴ περιορᾶν ἀδικούμενον, καὶ πρὸς τὴν πόλιν συγγράψας ἐπιστολὴν ἔδωκε φέρειν Ξενοτίμῳ τῷ Καρκίνου...

57. Ἄξιον δὲ καὶ Σατύρου καὶ τοῦ πατρὸς ἐνθυμηθῆναι, οἳ πάντα τὸν χρόνον περὶ πλείστου τῶν Ἑλλήνων ὑμᾶς ποιοῦνται, καὶ πολλάκις ἤδη διὰ σπάνιν σίτου τὰς τῶν ἄλλων ἐμπόρων ναῦς κενὰς ἐκπέμποντες ὑμῖν ἐξαγωγὴν ἔδοσαν· καὶ ἐν τοῖς ἰδίοις συμβολαίοις, ὧν ἐκεῖνοι κριταὶ γίγνονται, οὐ μόνον ἴσον ἀλλὰ καὶ πλέον ἔχοντες ἀπέρχεσθε. (58) ὥστ' οὐκ ἂν εἰκότως περὶ ὀλίγου ποιήσαισθε τὰς ἐκείνων ἐπιστολάς. δέομαι οὖν ὑμῶν καὶ ὑπὲρ ἐμαυτοῦ καὶ ὑπὲρ ἐκείνων τὰ δίκαια ψηφίσασθαι καὶ μὴ τοὺς Πασίωνος λόγους ψευδεῖς ὄντας πιστοτέρους ἡγεῖσθαι τῶν ἐμῶν.

51. Наконецъ, судьи, *Пасіонъ*, согласившись прибыть моремъ къ Сатиру и исполнить все, что онъ рѣшитъ, и въ этомъ обманулъ *меня* и самъ не хотѣлъ отправиться, не смотря на мои частыя просьбы, а послалъ *своего раба* Китта, который, прибывъ туда, называлъ себя свободнымъ и уроженцемъ Милита и *говорилъ*, что его послалъ Пасіонъ для объясненій на счетъ денегъ. (52) Сатиръ, выслушавъ обоихъ насъ, не пожелалъ произвести судъ о заключенныхъ здѣсь условіяхъ, тѣмъ болѣе, что этотъ [т. е. Пасіонъ] не присутствовалъ и не поступилъ бы согласно его приговору, но такъ глубоко былъ убѣжденъ въ нечестности *его* поступка со мною, что, созвавъ судохозяевъ, просилъ ихъ помочь мнѣ и не оставить безъ вниманія причиненную мнѣ несправедливость, кромѣ того написалъ письмо къ здѣшнимъ государственнымъ властямъ *и* передалъ *его* для доставки Ксенотиму, сыну Каркинову...

57. Стоитъ также вспомнить и о Сатирѣ и *моемъ* отцѣ, которые постоянно ставятъ васъ выше *всѣхъ* Эллиновъ и уже часто, при недостаткѣ хлѣба, отсылали пустыми суда прочихъ купцовъ, а вамъ предоставляли вывозъ; и въ вашихъ частныхъ коммерческихъ дѣлахъ, которыя имъ приходится разбирать, вы получаете не только должное, но *даже* и больше; (58) такъ что несправедливо было бы вамъ пренебрегать ихъ письмами. Поэтому я прошу васъ и за себя и за нихъ постановить правое рѣшеніе и не считать лживыя рѣчи Пасіона болѣе моихъ заслуживающими довѣрія.

ΞΕΝΟΦΩΝ.

КСЕНОФОНТЪ.

[V. supra p. 65].

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΑ ΣΩΚΡΑΤΟΥΣ.

ВОСПОМИНАНІЯ О СОКРАТѢ.

II, 1, 10... Ἐν τῇ Εὐρώπῃ Σκύθαι μὲν ἄρχουσιν, Μαιῶται δὲ ἄρχονται...

...Въ Европѣ Скины господствуютъ, а Меоты имъ подвластны... [Слова Сократа].

III, 9, 2. Νομίζω μέντοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς ἀνδρείαν αὔξεσθαι· δῆλον μὲν γάρ, ὅτι Σκύθαι καὶ Θρᾷκες

Я полагаю однако, что во всякомъ организмѣ мужество усиливается путемъ изученія и упражненія: очевидно, напр.,

Digitized by Google

οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες Λακεδαιμονίοις διαμάχεσθαι, φανερὸν δέ, ὅτι καὶ Λακεδαιμόνιοι οὔτ' ἂν Θραξὶν πέλταις καὶ ἀκοντίοις, οὔτε Σκύθαις τοξόις ἐθέλοιεν ἂν διαγωνίζεσθαι...

что Скиѳы и Ѳракійцы не осмѣлятся вступить въ бой съ Лакедэмонянами съ щитами и копьями въ рукахъ, но также ясно, что и Лакедэмоняне не захотятъ сражаться ни съ Ѳракійцами посредствомъ пелтъ и дротиковъ, ни съ Скиѳами посредствомъ луковъ...

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ.

V, 3, 24... [Κύρῳ πολεμοῦντι τοῖς Ἀσσυρίοις] καί Καδούσιοι συνεστρατεύοντο καὶ Σάκαι καὶ Ἱρκάνιοι. καὶ συνελέγη ἐντεῦθεν στράτευμα Καδουσίων μὲν πελτασταὶ εἰς δισμυρίους καὶ ἱππεῖς εἰς τετρακισχιλίους... ὅτι καὶ οἱ Καδούσιοι καὶ Σάκαι τοῖς Ἀσσυρίοις πολέμιοι ἦσαν.

ВОСПИТАНІЕ КИРА.

...[Во время войны Кира старшаго съ Ассирійцами] въ походѣ приняли участіе и Кадусіи, и Саки, и Ирканцы. Войска собралось оттуда отъ Кадусіевъ до 20,000 пелтастовъ и до 4000 всадниковъ... потому что и Кадусіи и Саки были врагами Ассирійцевъ.

ΚΥΝΗΓΕΤΙΚΟΣ.

Π, 4. Τὰς ἄρκυς Φασιανοῦ ἢ Καρχηδονίου λεπτοῦ λίνου [χρὴ εἶναι] καὶ τὰ ἐνόδια καὶ τὰ δίκτυα...

ОБЪ ОХОТѢ.

Опускныя сѣти должны дѣлаться изъ тонкаго Фасіанскаго или Карѳагенскаго льна, а также и дорожныя и полевыя...

ΑΙΝΕΙΑΣ. ЭНЕЙ.

[Современникъ Ксенофонта; Казобонъ предполагалъ, что онъ тожественъ съ упоминаемымъ у Ксенофонта (Hell. VII, 3, 1) Энеемъ Стимфалійскимъ.— Текстъ: Aeneae commentarius poliorceticus, rec. Rudolphus Hercher, Berol. ap. Weidmannos 1870].

ΤΑΚΤΙΚΟΝ ΥΠΟΜΝΗΜΑ ΠΕΡΙ ΤΟΥ ΠΩΣ ΧΡΗ ΠΟΛΙΟΡΚΟΥΜΕΝΟΥΣ ΑΝΤΕΧΕΙΝ.

Cap. 5, § 2. Λεύκων δὲ ὁ Βοσπόρου τύραννος καὶ τῶν φρουρῶν τοὺς χρεωφειλέτας διὰ κυβείαν ἢ δι' ἄλλας ἀκολασίας ἀπομίσθους ἐποίει...

ТАКТИЧЕСКАЯ ЗАПИСКА О ТОМЪ, КАКЪ СЛѢДУЕТЪ ЗАЩИЩАТЬСЯ ОСАЖДЕННЫМЪ.

Воспорскій тиранъ Левконъ [1]) лишалъ жалованья стражей, дѣлавшихъ долги благодаря игрѣ въ кости или другимъ излишествамъ...

ΣΟΦΑΙΝΕΤΟΣ ΣΤΥΜΦΑΛΙΟΣ. СОФЭНЕТЪ СТИМФАЛІЙСКІЙ.

[«Sophaenetus tanquam auctor historiae de Cyri expeditione quattuor locis laudatur apud Stephanum Byzantium. Idem est, nisi egregie fallor, cum Sophaeneto Stymphalio, Cyri minoris hospite (Xenoph. Anab. I, 1, 11), qui mille milites gravis armaturae ad fratrem Artaxerxis adduxit (ib. I, 2, 9), inter duces redeuntium Graecorum natu maximus, plus semel ille a Xenophonte memoratus (II, 5, 37. IV, 4, 19. V, 3, 1. V, 8, 1)». Müller, FHG. v. II p. 74. Fragmenta v. ibidem].

ΑΝΑΒΑΣΙΣ. Fragm. 4 v. supra ap. Steph. Byz. s. v. Τάοχοι (p. 266). Cf. Xenoph. Anab. supra, pp. 71, 72 и 83.

1) Левконъ I, 387—347 до Р. Хр.

Digitized by Google

ΠΛΑΤΩΝ.

ПЛАТОНЪ.

[Знаменитый философъ, род. 427, ум. 348 до Р. Хр. — Текстъ: Platonis opera quae feruntur omnia, ad codices denuo collatos ed. Martinus Schanz, Berol. 1880 sq.].

ΦΑΙΔΩΝ.

Cap. LVIII (p. 109 B.)... Ἔτι τοίνυν, ἔφη [ὁ Σωκράτης, πέπεισμαι]... ἡμᾶς οἰκεῖν τοὺς μέχρι Ἡρακλείων στηλῶν ἀπὸ Φάσιδος ἐν σμικρῷ τινι μορίῳ, ὥσπερ περὶ τέλμα μύρμηκας ἢ βατράχους περὶ τὴν θάλατταν οἰκοῦντας...

ФЭДОНЪ.

...Сверхъ того, сказалъ [Сократъ, я думаю,]... что мы живемъ *лишь* на небольшой части *земли* отъ Фасида до Иракловыхъ столповъ, расположившись вокругъ моря, какъ муравьи или лягушки вокругъ болота...

ХАРМІДНЅ. Cap. VI (p. 158 B) упоминаются Ζαλμόξιδος καὶ Ἀβάριδος τοῦ Ὑπερβορέου ἐπῳδαί.

ΛΑΧΗΣ.

Cap. XVII (p. 191 A et B). ΣΩΚΡΑΤΗΣ... ἀνδρεῖός που οὗτος, ὃν καὶ σὺ λέγεις, ὃς ἂν ἐν τῇ τάξει μένων μάχηται τοῖς πολεμίοις.

ΛΑΧΗΣ. Ἔγωγοῦν φημί.

ΣΩ. Καὶ γὰρ ἐγώ. ἀλλὰ τί αὖ ὅδε, ὃς ἂν φεύγων μάχηται τοῖς πολεμίοις, ἀλλὰ μὴ μένων;

ΛΑ. Πῶς φεύγων;

ΣΩ. Ὥσπερ που καὶ Σκύθαι λέγονται οὐχ ἧττον φεύγοντες ἢ διώκοντες μάχεσθαι...

ΛΑ. ...σὺ τὸ τῶν Σκυθῶν ἱππέων πέρι λέγεις. τὸ μὲν γὰρ ἱππικὸν τὸ ἐκείνων οὕτω μάχεται, τὸ δὲ ὁπλιτικὸν τό γε τῶν Ἑλλήνων, ὡς ἐγὼ λέγω.

ЛАХИТЪ.

Сократъ. ...Мужественъ тотъ, о комъ и ты говоришь, т. е. кто сражается съ врагами, оставаясь на своемъ посту.

Лахитъ. Да, я утверждаю это.

С. И я тоже. А что же тотъ, кто сражается съ врагами, обращаясь въ бѣгство, а не оставаясь?

Л. Какъ, обращаясь въ бѣгство?

С. Какъ Скиѳы, говорятъ, столько же сражаются посредствомъ бѣгства, какъ и посредствомъ преслѣдованія...

Л. ...Ты говоришь о *способѣ сраженія* скиѳскихъ всадниковъ: такъ сражается ихъ конница, а тяжелая пѣхота Эллиновъ — такъ, какъ я говорю.

ΕΥΘΥΔΗΜΟΣ.

Cap. XIII (p. 285 C. Σωκράτης λέγει)... ὡς ἐγώ, ἐπειδὴ καὶ πρεσβύτης εἰμί, παρακινδυνεύειν ἕτοιμος καὶ παραδίδωμι ἐμαυτὸν Διονυσοδώρῳ τούτῳ ὥσπερ τῇ Μηδείᾳ τῇ Κόλχῳ· ἀπολλύτω με, καὶ εἰ μὲν βούλεται, ἑψέτω, εἰ δ' ὅ τι βούλεται τοῦτο ποιείτω· μόνον χρηστὸν ἀποφηνάτω.

Cap. XXV (p. 299 E)... Φασί γε οὖν, ὦ Εὐθύδημε, ἔφη ὁ Κτήσιππος, τούτους εὐδαιμονεστάτους εἶναι Σκυθῶν καὶ ἀρίσ-

ЕВѲИДИМЪ.

(Сократъ говоритъ)... я, хотя и старикъ, готовъ испытать опасность и предаю себя этому Діонисодору, какъ Колхидянкѣ Мидіи [1]): пусть онъ меня погубитъ и, если хочетъ, сваритъ, а если *нѣтъ*, то пусть дѣлаетъ что хочетъ, лишь бы сдѣлалъ меня хорошимъ *человѣкомъ*.

Ктесиппъ сказалъ: Вѣдь говорятъ, Евѳидимъ, что у Скиѳовъ самые счастливые и лучшіе люди тѣ, которые имѣютъ много

1) Намекъ на то, что Мидія была волшебница и, по преданію, сварила Эсона, чтобы возвратить ему молодость.

Digitized by Google

τοὺς ἄνδρας, οἳ χρυσίον τε ἐν τοῖς κρανίοις ἔχουσιν πολὺ τοῖς ἑαυτῶν... καὶ ὃ θαυμασιώτερόν γε ἔτι, ὅτι καὶ πίνουσιν ἐκ τῶν ἑαυτῶν κρανίων κεχρυσωμένων καὶ ταῦτα ἐντὸς καθορῶσιν τὴν ἑαυτῶν κορυφὴν ἐν ταῖς χερσὶν ἔχοντες.

золота на своихъ [1]) черепахъ... и что еще удивительнѣе — они даже пьютъ изъ своихъ вызолоченныхъ череповъ и смотрятъ въ нихъ, имѣя свою голову въ рукахъ.

ГОРГІАСЪ.

Cap. XXXIX (p. 483 E): ...ποίῳ δικαίῳ χρώμενος Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν ἢ ὁ πατὴρ αὐτοῦ ἐπὶ Σκύθας;...

ГОРГІЙ.

...По какому праву Ксерксъ предпринялъ походъ на Элладу или отецъ его на Скиѳовъ?..

МЕНЕКСЕНЪ.

Cap. IX (p. 239 E)... τρίτος δὲ [βασιλεὺς τῆς Ἀσίας] Δαρεῖος πεζῇ μὲν μέχρι Σκυθῶν τὴν ἀρχὴν ὡρίσατο...

...Третій [царь Азіи] Дарій на сушѣ раздвинулъ предѣлы своего царства до Скиѳіи...

ΠΟΛΙΤΕΙΑ. Lib. X cap. 3 (p. 600 A) упоминается Ἀνάχαρσις Σκύθης.

NOMOI.

Lib. I c. IX (p. 637 D. Ἀθηναῖος λέγει πρὸς Μέγιλλον Λακεδαιμόνιον)... λέγω δ' οὐχ οἴνου περὶ πόσεως τὸ παράπαν ἢ μή, μέθης δὲ αὐτῆς πέρι, πότερον, ὥσπερ Σκύθαι χρῶνται καὶ Πέρσαι, χρηστέον, καὶ ἔτι Καρχηδόνιοι καὶ Κελτοὶ καὶ Ἴβηρες καὶ Θρᾷκες, πολεμικὰ ξύμπαντα ὄντα ταῦτα γένη, ἢ καθάπερ ὑμεῖς· ὑμεῖς μὲν γάρ, ὅπερ λέγεις, τὸ παράπαν ἀπέχεσθε, Σκύθαι δὲ καὶ Θρᾷκες ἀκράτῳ παντάπασι χρώμενοι, γυναῖκές τε καὶ αὐτοί, καὶ κατὰ τῶν ἱματίων καταχεόμενοι καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασι...

ЗАКОНЫ.

(Аѳинянинъ говоритъ Лакедэмонянину Мегиллу): ...Я говорю не о томъ, слѣдуетъ ли вообще пить вино, или нѣтъ, а о самомъ пьянствѣ: слѣдуетъ ли пить такъ, какъ пьютъ Скиѳы и Персы, затѣмъ Карѳагеняне, Кельты, Иверы и Ѳракійцы — все народы воинственные,—или такъ, какъ вы? Вы, какъ ты говоришь, совершенно воздерживаетесь *отъ вина*, а Скиѳы и Ѳракійцы, женщины и мужчины, пьютъ вовсе не разбавленное *вино* и, обливая имъ одежды, признаютъ *это* прекраснымъ и блаженнымъ занятіемъ...

Lib. VII c. XI (p. 804 E. Ἀθηναῖος λέγει)... ἀκούων μὲν γὰρ δὴ μύθους παλαιοὺς πέπεισμαι, τὰ δὲ νῦν ὡς ἔπος εἰπεῖν οἶδα, ὅτι μυριάδες ἀναρίθμητοι γυναικῶν εἰσι τῶν περὶ τὸν Πόντον, ἃς Σαυρομάτιδας καλοῦσιν, αἷς οὐχ ἵππων μόνον ἀλλὰ καὶ τόξων καὶ τῶν ἄλλων ὅπλων κοινωνία καὶ τοῖς ἀνδράσιν ἴση προστεταγμένη ἴσως ἀσκεῖται...

(Говоритъ Аѳинянинъ)... Слушая древнія сказанія, я убѣдился, а относительно нынѣшняго времени, собственно говоря, даже знаю, что *между народами*, окружающими Понтъ, есть безчисленное множество женщинъ, которыхъ называютъ Савроматидами и которыя не только ѣздятъ верхомъ, но и владѣютъ луками и прочимъ оружіемъ и упражняются въ употребленіи ихъ наравнѣ съ мужчинами...

1) Т. е. на принадлежащихъ имъ черепахъ убитыхъ враговъ: по словамъ Иродота (IV, 65, см. выше стр. 27), Скиѳы обдѣлывали эти черепа въ золото и употребляли вмѣсто чашъ.

Digitized by Google

ЕРУΞІАΣ.

Cap. XVIII (p. 400 D.)... εἰ δὲ βουλοίμεθα ἐπισκέψασθαι, τί δή ποτε τοῖς μὲν Σκύθαις αἱ οἰκίαι οὐ χρήματά εἰσιν, ἡμῖν δὲ... ἆρ' ἂν οὐτωσὶ μάλιστα ἐξεύροιμεν;...

Cap. XIX. Ἆρά γε, ἔφην, διὰ τοῦτο, ὅτι τὸ μὲν χρήσιμον, τὸ δ' ἀχρεῖον ἡμῖν ἐστιν; Ναί. Ἐπεὶ καὶ ἐν τοῖς Σκύθαις τούτου ἕνεκα αὐτοῖς οἰκίαι οὐ χρήματά ἐστιν, ὅτι οὐδεμία αὐτοῖς χρεία οἰκίας ἐστίν, οὐδ' ἂν προτιμήσειε Σκύθης ἀνὴρ οἰκίαν αὐτῷ τὴν καλλίστην εἶναι μᾶλλον ἢπερ σίσυραν δερματίνην· ὅτι τὸ μὲν χρήσιμον, τὸ δ' ἀχρεῖον αὐτῷ ἐστίν...

ЕРИКСІЙ.

... Если бы мы захотѣли разобрать, почему у Скиѳовъ дома не считаются богатствомъ, а у насъ *считаются*..., то нашли бы, быть можетъ, преимущественно слѣдующую причину...

Не потому ли, сказалъ я, что одно для насъ полезно, а другое безполезно? Да. Вѣдь и у Скиѳовъ дома не считаются богатствомъ именно потому, что у нихъ нѣтъ никакой нужды въ домѣ. Скиѳъ врядъ-ли предпочтетъ имѣть прекраснѣйшій домъ, чѣмъ кожаный тулупъ, ибо послѣдній ему полезенъ, а первый безполезенъ...

ΣΧΟΛΙΑ ΕΙΣ ΠΛΑΤΩΝΑ.

СХОЛІИ КЪ ПЛАТОНУ.

[Текстъ: Platonis dialogi... ex recogn. C. Fr. Hermanni, vol. VI, p. 145 sq. Appendix Platonica].

ΕΙΣ ΤΗΝ ΠΟΛΙΤΕΙΑΝ.

КЪ «ГОСУДАРСТВУ».

Ad p. 600 A. (p. 351 Herm.). Ἀνάχαρσις Γνούρου υἱὸς τοῦ βασιλέως Σκυθῶν, μητρὸς δ' Ἑλληνίδος· διὸ καὶ δίγλωσσος ἦν. οὗτος ἐξενώθη ἐν Ἀθήναις Σόλωνι, καὶ ἐπανελθὼν εἰς τὴν Σκυθίαν ἔθη Ἑλληνικὰ παραδιδάξαι, ἐτοξεύθη ὑπὸ τοῦ ἀδελφοῦ καὶ ἀποπνέων ἔφη· διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος ἐσώθην, διὰ δὲ τὸν φθόνον ἐν τῇ πατρίδι ἀνῃρέθην. R.

Анахарсидъ *былъ* сынъ скиѳскаго царя Гнура и матери гречанки, почему и владѣлъ обоими языками. Онъ гостилъ въ Аѳинахъ у Солона; возвратившись въ Скиѳію, чтобы научить *своихъ соплеменниковъ* еллинскимъ обычаямъ, былъ застрѣленъ изъ лука своимъ братомъ и, умирая, сказалъ: «благодаря рѣчи, я спасся изъ Еллады, а вслѣдствіе зависти убитъ на родинѣ [1])».

B. Πυθαγόρας... διήκουσε... Ἀβάριδος τοῦ Ὑπερβορέου καὶ Ζάρατος τοῦ μάγου.

Пиѳагоръ [2])... *между прочими* слушалъ... Иперборея Абарида и мага Зарата.

ΕΦΟΡΟΣ.

ЕФОРЪ.

[Историкъ Ефоръ, уроженецъ малоазіатскаго города Кимы, жилъ въ IV в. до Р. Хр., прибл. между 405 и 330 гг. Собраніе отрывковъ — Müller FHG. v. I, pp. 234—277].

ΙΣΤΟΡΙΩΝ ΑΠΟΣΠΑΣΜΑΤΑ.

ОТРЫВКИ ИЗЪ ИСТОРІЙ.

Βιβλ. δ', Εὐρώπη. Fragm. 38 (Cosmas Topogr. Christ. p. 148 in Montf. Nov. Coll. Patr. v. II): Ἐφόρου ἐκ τῆς δ' ἱστορίας· Τὸν μὲν γὰρ πρὸς ἀπηλιώτην καὶ τὸν ἐγγὺς

Изъ 4-й *книги* исторіи Ефора: Область, *обращенную* къ Апиліоту и близкую къ *солнечному* восходу, заселяютъ Инды; *обращенною* къ Ноту и полудню владѣ-

1) Cf. Herod. IV, 76 (выше, стр. 32).


2) Знаменитый философъ.

Digitized by Google

ἀνατολῶν τόπον Ἰνδοὶ κατοικοῦσι· τὸν δὲ πρὸς νότον καὶ μεσημβρίαν Αἰθίοπες νέμονται· τὸν δὲ ἀπὸ Ζεφύρου καὶ δυσμῶν Κελτοὶ κατέχουσι· τὸν δὲ κατὰ βορρᾶν καὶ τοὺς ἄρκτους Σκύθαι κατοικοῦσιν. Ἔστιν μὲν οὖν οὐκ ἴσον ἕκαστον τῶν μερῶν· ἀλλὰ τὸ μὲν τῶν Σκυθῶν καὶ τῶν Αἰθιόπων μεῖζον, τὸ δὲ τῶν Ἰνδῶν καὶ τῶν Κελτῶν ἔλαττον... Ἡ δὲ τῶν Σκυθῶν κατοίκησις τοῦ ἡλίου τῆς περιφορᾶς τὸν διαλείποντα κατέχει τόπον· ἀντίκειται δὲ πρὸς τὸ τῶν Αἰθιόπων ἔθνος, ὃ δοκεῖ παρατείνειν ἀπὸ ἀνατολῶν χειμερινῶν μέχρι δυσμῶν τῶν βραχυτάτων.

ютъ Эѳіопы; *область* со стороны Зефира и *солнечнаго* заката занимаютъ Кельты, а *обращенную* къ Борею и сѣверу заселяютъ Скиѳы. Части эти неравны между собою: область Скиѳовъ и Эѳіоповъ больше, а *область* Индовъ и Кельтовъ меньше... Заселенная Скиѳами область занимаетъ промежуточную часть солнечнаго круга; она лежитъ противъ народа Эѳіоповъ, который, повидимому, тянется отъ зимняго восхода до кратчайшаго заката.

Sequitur sciagraphia:



Cf. Strab. I, p. 59. Herod. VII, 70. Paus. I, 33. Scymn. vv. 168—175.

Fragm. 76 v. supra (p. 115) ap. Strab. VII, 3, 9.

Fragm. 77 v. ap. eundem VII, 3, 15 (supra, p. 119). Cf. Dion. Perieg. v. 299 (supra, p. 181).

Fragm. 78 v. supra (p. 89) ap. Scymn. vv. 841—885.

Βιβλ. ε', Ἀσία καὶ Λιβύη. Fragm. 81 v. infra ap. schol. Apoll. Rhod. II, 1030. Cf. Scymni v. 900 sq. (supra, p. 90), Anon. *Per.* § 35 (supra, p. 272).

Fragm. 82 v. supra (p. 267) ap. Steph. Byz. s. v. Τιβαρηνία. Cf. Anon. *Per.* § 33 (supra, p. 272).

Fragm. 84 v. infra ap. schol. Apoll. Rhod. II, 360.

Fragm. 87 v. supra (p. 159) ap. Strab. XII, 3, 21.

Fragm. 92 v. infra ap. Athen. XII, 26 (p. 523 *e*).

Βιβλ. ϛ'. Fragm. 103 v. supra (p. 253) ap. Steph. Byz. s. v. Ἀμαζόνες.

Digitized by Google

ΔΗΜΟΣΘΕΝΗΣ. ДИМОСѲЕНЪ.

[Знаменитѣйшій изъ аѳинскихъ ораторовъ, род. 383, ум. 322 до Р. Хр. — Текстъ: Demosthenis orationes ex rec. Guil. Dindorfii, ed. IV quam curavit Fr. Blass, Lips. ap. Teubner. 1890].

ΧΧ. ΠΕΡΙ ΤΗΣ ΑΤΕΛΕΙΑΣ ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ.

XX. РѢЧЬ ПРОТИВЪ ЛЕПТИНА О БЕЗПОШЛИННОСТИ. [1])

Переводъ И. П. Цвѣткова.

§ 29. Ἔτι δ', ὦ ἄνδρες δικασταί, διὰ τὸ γεγράφθαι ἐν τῷ νόμῳ διαρρήδην αὐτοῦ «μηδένα μήτε τῶν πολιτῶν μήτε τῶν ἰσοτελῶν μήτε τῶν ξένων εἶναι ἀτελῆ, μὴ διειρῆσθαι δ' ὅτου [ἀτελῆ] χορηγίας ἢ τινος ἄλλου τέλους, ἀλλ' ἁπλῶς ἀτελῆ μηδένα πλὴν τῶν ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος», καὶ ἐν μὲν τῷ «μηδένα» πάντας περιλαμβάνειν τοὺς ἄλλους, ἐν δὲ τῷ «τῶν ξένων» μὴ διορίζειν τῶν οἰκούντων Ἀθήνησιν, ἀφαιρεῖται καὶ Λεύκωνα τὸν ἄρχοντα Βοσπόρου καὶ τοὺς παῖδας αὐτοῦ τὴν δωρεὰν ἣν ὑμεῖς ἔδοτ' αὐτοῖς. (30) ἔστι γὰρ γένει μὲν δήπου ὁ Λεύκων ξένος, τῇ δὲ παρ' ὑμῶν ποιήσει πολίτης· κατ' οὐδέτερον δ' αὐτῷ τὴν ἀτέλειαν ἔστ' ἔχειν ἐκ τούτου τοῦ νόμου. καίτοι τῶν μὲν ἄλλων εὐεργετῶν χρόνον τιν' ἕκαστος ἡμῖν χρήσιμον αὐτὸν παρέσχεν, οὗτος δ', ἂν σκοπῆτε, φανήσεται συνεχῶς ἡμᾶς εὖ ποιῶν, καὶ ταῦθ' ὧν μάλισθ' ἡμῶν ἡ πόλις δεῖται. (31) ἴστε γὰρ δήπου τοῦθ', ὅτι πλείστῳ τῶν πάντων ἀνθρώπων ἡμεῖς ἐπεισάκτῳ σίτῳ χρώμεθα. πρὸς τοίνυν ἅπαντα τὸν ἐκ τῶν ἄλλων ἐμπορίων ἀφικνούμενον ὁ ἐκ τοῦ Πόντου σῖτος εἰσπλέων ἐστίν, εἰκότως· οὐ γὰρ μόνον διὰ τὸ τὸν τόπον τοῦτον σῖτον ἔχειν πλεῖστον τοῦτο γίγνεται, ἀλλὰ διὰ τὸ κύριον ὄντα τὸν Λεύκων' αὐτοῦ τοῖς ἄγουσιν Ἀθήναζε ἀτέλειαν δεδωκέναι, καὶ κηρύττειν πρώτους γεμίζεσθαι τοὺς ὡς ὑμᾶς πλέοντας· ἔχων γὰρ ἐκεῖνος ἑαυτῷ καὶ τοῖς παισὶ τὴν ἀτέλειαν ἅπασι δέδωκεν ὑμῖν. (32) τοῦτο δ' ἡλίκον ἐστὶ θεωρήσατε. ἐκεῖνος πράττεται τοὺς παρ' αὐτοῦ σῖτον ἐξάγοντας τριακοστήν. αἱ τοίνυν παρ' ἐκείνου δεῦρ' ἀφικνού-

29. Далѣе, судьи, въ законѣ *Лептина* ясно сказано, чтобы никто ни изъ гражданъ, ни изъ равнообязанныхъ, ни изъ чужеземцевъ не былъ свободенъ *отъ государственныхъ повинностей*, но *при этомъ* не указано, отъ какихъ именно, — хорегіи или какой либо другой повинности, а просто *сказано*, чтобы никто не былъ свободенъ отъ повинностей кромѣ потомковъ Армодія и Аристогитона; и такъ какъ съ одной стороны подъ словомъ «никто» *Лептинъ* разумѣетъ всѣхъ прочихъ, а съ другой стороны, говоря о «чужеземцахъ», не прибавляетъ опредѣленія «живущихъ въ Аѳинахъ», то *этимъ* онъ и Воспорскаго правителя Левкона [2]) съ дѣтьми лишаетъ того дара, которымъ вы ихъ наградили. (30) По происхожденію Левконъ, конечно, чужеземецъ, но по вашему постановленію — *аѳинскій* гражданинъ. Но по этому закону ни первое, ни второе не даетъ ему права на свободу отъ повинностей. А между тѣмъ, если поразмыслите, то окажется, что онъ постоянно оказываетъ вамъ благодѣянія, и *притомъ* такія, которыя наиболѣе нужны нашему городу, тогда какъ каждый изъ другихъ благодѣтелей былъ вамъ полезенъ лишь въ теченіе нѣкотораго времени. (31) Вы вѣдь, конечно, знаете, что къ намъ привозятся хлѣба гораздо болѣе, чѣмъ ко всѣмъ другимъ. Хлѣбъ, привозимый водою изъ Понта, по количеству равняется всему привозимому изъ прочихъ рынковъ. И понятно: это происходитъ не только отъ того, что эта земля производитъ огромное количество хлѣба, но и

1) Сказана въ 355/4 году. Лептинъ, съ цѣлью помочь финансовымъ затрудненіямъ государства, предложилъ уничтожить свободу отъ пошлинъ, дарованную кому бы то ни было, кромѣ потомковъ Армодія и Аристогитона. Димосѳенъ въ блестящей и хорошо продуманной рѣчи вступился за право и обязанность государства чтить выдающіяся заслуги отдѣльныхъ лицъ и такимъ образомъ поощрять другихъ къ соревнованію въ исполненіи своихъ гражданскихъ обязанностей. 2) Разумѣется Левконъ I, правившій на Воспорѣ отъ 387 до 347 г. до Р. Хр.

Digitized by Google

μεναι σίτου μυριάδες περὶ τετταράκοντά εἰσι· καὶ τοῦτ' ἐκ τῆς παρὰ τοῖς σιτοφύλαξιν ἀπογραφῆς ἄν τις ἴδοι. οὐκοῦν παρὰ μὲν τὰς τριάκοντα μυριάδας μυρίους δίδωσι μεδίμνους ἡμῖν, παρὰ δὲ τὰς δέκα ὡσπερανεὶ τρισχιλίους. (33) τοσούτου τοίνυν δεῖ ταύτην ἀποστερῆσαι τὴν δωρειὰν τὴν πόλιν, ὥστε προσκατασκευάσας ἐμπορίον Θευδοσίαν, ὅ φασιν οἱ πλέοντες οὐδ' ὀτιοῦν χεῖρον εἶναι τοῦ Βοσπόρου, κάνταῦθ' ἔδωκε τὴν ἀτέλειαν ἡμῖν. καὶ τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν, ὅσ' εὐηργέτηκεν ὑμᾶς οὗτος ἀνὴρ καὶ αὐτὸς καὶ οἱ πρόγονοι· ἀλλὰ πρωπέρυσιν σιτοδείας παρὰ πᾶσιν ἀνθρώποις γενομένης, οὐ μόνον ὑμῖν ἱκανὸν σῖτον ἀπέστειλεν, ἀλλὰ τοσοῦτον ὥστε πεντεκαίδεκ' ἀργυρίου τάλαντα, ἃ Καλλισθένης διώκησε, προσπεριγενέσθαι. (34) τί οὖν οἴεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτον τὸν τοιοῦτον περὶ ὑμᾶς γεγενημένον, ἐὰν ἀκούσῃ νόμῳ τὴν ἀτέλειαν ὑμᾶς ἀφῃρημένους αὐτὸν, καὶ μηδ' ἂν μεταδόξῃ ποτὲ ψηφισαμένους ἐξεῖναι δοῦναι; ἆρ' ἀγνοεῖθ' ὅτι ὁ αὐτὸς νόμος οὗτος ἐκεῖνον τ' ἀφαιρήσεται τὴν ἀτέλειαν, κύριος ἂν γένηται, καὶ ὑμῶν τοὺς παρ' ἐκείνου σιτηγοῦντας; (35) οὐ γὰρ δήπου τοῦτό γ' ὑπείληφεν οὐδείς, ὡς ἐκεῖνος ὑπομενεῖ ἑαυτῷ μὲν ἀκύρους εἶναι τὰς παρ' ὑμῶν δωρειάς, ὑμῖν δὲ μένειν τὰς παρ' ἑαυτοῦ. οὐκοῦν πρὸς πολλοῖς οἷς βλάψειν ὑμᾶς ὁ νόμος φαίνεται, καὶ προσαφαιρεῖταί τι τῶν ὑπαρχόντων ἤδη. εἶθ' ὑμεῖς ἔτι σκοπεῖτε εἰ χρὴ τοῦτον ἐξαλεῖψαι, καὶ οὐ πάλαι βεβουλευσθε; ἀνάγνωθι λαβὼν αὐτοῖς τὰ ψηφίσματα τὰ περὶ τοῦ Λεύκωνος.

потому, что ея правитель Левконъ даровалъ безпошлинность *купцамъ*, везущимъ *хлѣбъ* въ Аѳины, и обнародовалъ приказъ, чтобы отплывающіе къ вамъ грузились первыми. Имѣя *отъ васъ такую* льготу для себя и своихъ дѣтей, онъ *съ своей стороны* далъ ее всѣмъ вамъ. (32) Разсмотрите *теперь*, какъ велика эта *милость!* Съ *купцовъ*, вывозящихъ изъ его владѣній хлѣбъ, онъ взимаетъ въ видѣ пошлины $^1/_{30}$ *стоимости товара;* оттуда ввозится сюда около 400,000 *медимновъ* хлѣба, какъ это можно видѣть изъ записки у хлѣбныхъ приставовъ; слѣдовательно онъ даритъ намъ 10,000 медимновъ съ 300,000, а со 100,000 приблизительно 3,000. (33) Притомъ онъ такъ далекъ отъ мысли лишать насъ этого благодѣянія, что, устроивъ новый торговый портъ Ѳевдосію, которая, по словамъ моряковъ, ничуть не хуже Босфора, — и здѣсь даровалъ намъ безпошлинность. О прочемъ я умалчиваю, хотя могъ бы многое сказать о благодѣяніяхъ, которыя оказалъ вамъ какъ самъ Левконъ, такъ и его предки; *припомню только, что* въ позапрошломъ году, когда повсюду оказался недостатокъ въ хлѣбѣ, онъ прислалъ вамъ хлѣба не только въ достаточномъ количествѣ, но даже въ такомъ, что *отъ продажи его* было выручено 15 талантовъ, которые поступили въ распоряженіе Каллисѳена. (34) Итакъ что-же по вашему мнѣнію, Аѳиняне, *подумаетъ о васъ* этотъ *мужъ*, оказавшій вамъ такія услуги, если услышитъ, что вы по закону лишили его льготы, и если вы не сдѣлаете когда нибудь постановленія, что ему можно возвратить ее? Неужели вы не понимаете, что этотъ самый законъ, если войдетъ въ силу, вмѣстѣ съ Левкономъ лишитъ безпошлинности и тѣхъ изъ васъ, которые вывозятъ хлѣбъ изъ его владѣній? (35) Вѣдь, конечно, никто не воображаетъ, что Левконъ допуститъ, чтобы ваши дары у него были отняты, а данные имъ остались за вами. Стало быть, помимо значительнаго ущерба, который, очевидно, принесетъ вамъ этотъ законъ, онъ отнимаетъ у васъ и нѣкоторыя изъ наличныхъ выгодъ. И послѣ этого вы еще разсуждаете, нужно-ли его отмѣнить, и не пришли уже давно къ такому рѣшенію? Возьми и прочти имъ постановленія, касающіяся Левкона. [*Читаются* постановленія].

ΨΗΦΙΣΜΑΤΑ.

Digitized by Google

(36) Ὡς μὲν εἰκότως καὶ δικαίως τετύχηκε τῆς ἀτελείας παρ' ὑμῶν ὁ Λεύκων, ἀκηκόατ' ἐκ τῶν ψηφισμάτων, ὦ ἄνδρες δικασταί. τούτων δ' ἁπάντων στήλας ἀντιγράφους ἑστήσαθ' ὑμεῖς κἀκεῖνος, τὴν μὲν ἐν Βοσπόρῳ, τὴν δ' ἐν Πειραιεῖ, τὴν δ' ἐφ' Ἱερῷ. σκοπεῖτε δὴ πρὸς ὅσης κακίας ὑπερβολὴν ὑμᾶς ὁ νόμος προάγει, ὃς ἀπιστότερον τὸν δῆμον καθίστησ' ἑνὸς ἀνδρός. (37) μὴ γὰρ οἴεσθ' ὑμῖν ἄλλο τι τὰς στήλας ἑστάναι ταύτας ἢ τούτων πάντων ὧν ἔχετ' ἢ δεδώκατε συνθήκας; αἷς ὁ μὲν Λεύκων ἐμμένων φανεῖται καὶ ποιεῖν ἀεί τι προθυμούμενος ὑμᾶς εὖ, ὑμεῖς δ' ἐστώσας ἀκύρους πεποιηκότες, ὃ πολὺ δεινότερον τοῦ καθελεῖν· αὐταὶ γὰρ οὑτωσὶ τοῖς βουλομένοις κατὰ τῆς πόλεως βλασφημεῖν τεκμήριον ὡς ἀληθῆ λέγουσιν ἑστήξουσιν. (38) φέρ', ἐὰν δὲ δὴ πέμψας ὡς ἡμᾶς ὁ Λεύκων ἐρωτᾷ τί ἔχοντες ἐγκαλέσαι καὶ τί μεμφόμενοι τὴν ἀτέλειαν αὐτὸν ἀφῄρησθε, τί πρὸς θεῶν ἐροῦμεν ἢ τί γράψει ποθ' ὁ τὸ ψήφισμα ὑπὲρ ἡμῶν γράφων; ὅτι νὴ Δί' ἦσάν τινες τῶν εὑρημένων ἀνάξιοι. (39) ἐὰν οὖν εἴπῃ πρὸς ταῦτ' ἐκεῖνος· καὶ γὰρ Ἀθηναίων τινές εἰσιν ἴσως φαῦλοι, καὶ οὐ διὰ ταῦτ' ἐγὼ τοὺς χρηστοὺς ἀφειλόμην, ἀλλὰ τὸν δῆμον νομίζων χρηστὸν πάντας ἔχειν ἐῶ», οὐ δικαιότερ' ἡμῶν ἐρεῖ; ἐμοὶ γοῦν δοκεῖ. παρὰ πᾶσι γὰρ ἀνθρώποις μᾶλλόν ἐστιν ἔθος διὰ τοὺς εὐεργέτας καὶ ἄλλους τινὰς εὖ ποιεῖν τῶν μὴ χρηστῶν ἢ διὰ τοὺς φαύλους τοὺς ὁμολογουμένως ἀξίους χάριτος τὰ δοθέντ' ἀφαιρεῖσθαι. (40) καὶ μὴν οὐδ' ὅπως οὐκ ἀντιδώσει τῷ Λεύκωνί τις, ἂν βούληται, δύναμαι σκοπούμενος εὑρεῖν. χρήματα μὲν γάρ ἐστιν ἀεὶ παρ' ὑμῖν αὐτοῦ, κατὰ τὸν δὲ νόμιν τοῦτον, ἐάν τις ἐπ' αὖτ' ἔλθῃ, ἢ στερήσεται τούτων ἢ λητουργεῖν ἀναγκασθήσεται. ἔστι δ' οὐ τὸ τῆς δαπάνης μέγιστον ἐκείνῳ, ἀλλ' ὅτι τὴν δωρειὰν ὑμᾶς αὐτὸν ἀφῃρῆσθαι νομιεῖ.

(36). Изъ *прочитанныхъ* постановленій вы слышали, судьи, какъ заслуженно и справедливо получилъ отъ васъ Левконъ безпошлинность. И вы и онъ поставили плиты съ копіями декретовъ,— одну въ Воспорѣ, другую въ Пирэѣ, третью въ Святомъ. Разсмотрите-же, до какой степени позора доводитъ васъ этотъ законъ, выставляющій *цѣлый* народъ менѣе вѣрнымъ *своему слову*, чѣмъ одинъ человѣкъ. (37). Не думайте, что эти плиты поставлены для какой нибудь другой цѣли, а не въ видѣ договора о всемъ томъ, что вы получили или дали; Левконъ окажется вѣрнымъ этимъ условіямъ и всегда готовымъ оказывать вамъ какія-нибудь услуги, а вы—отмѣнившими *постановленія, написанныя на* существующихъ *плитахъ*, что гораздо хуже ихъ уничтоженія, ибо такимъ образомъ онѣ будутъ стоять для желающихъ поносить нашъ городъ въ видѣ *краснорѣчиваго* доказательства того, что они говорятъ правду. (38) Ну, а если Левконъ пришлетъ къ вамъ *пословъ* съ вопросомъ, за какую вину вы лишили его безпошлинности, *скажите* ради боговъ, что мы отвѣтимъ или что напишетъ авторъ сдѣланнаго въ нашу пользу постановленія? Что нѣкоторые оказались недостойными пріобрѣтенной *ими льготы?* (39) А если онъ на это скажетъ: «вѣдь и среди Аѳинянъ, быть можетъ, есть люди нечестные, однако я изъ-за этого не лишаю честныхъ благодѣянія и, считая честнымъ народъ, предоставляю льготу всѣмъ», — то его слова не будутъ-ли справедливѣе нашихъ? Мнѣ, по крайней мѣрѣ, кажется *такъ*. Вѣдь у всѣхъ людей скорѣе водится ради людей, оказавшихъ услуги, благодѣтельствовать и нѣкоторымъ другимъ изъ *числа* плохихъ, чѣмъ изъ-за негодяевъ отнимать *разъ* данное у тѣхъ, которые безспорно заслуживаютъ благодѣяній. (40) И я даже не могу представить себѣ, какъ не принудитъ кто нибудь Левкона къ обмѣну имущества, если захочетъ: у васъ всегда есть его деньги, а въ силу этого закона, если кто изъявитъ на нихъ претензію, то онъ или лишится ихъ, или будетъ принужденъ исполнить повинности. А для него самое важное — не потеря денегъ, а мысль о томъ, что вы отняли у него *вашъ же собственный* даръ.

Digitized by Google

XXXIV. ΠΡΟΣ ΦΟΡΜΙΩΝΑ ΠΕΡΙ ΔΑΝΕΙΟΥ.

XXXIV. ПРОТИВЪ ФОРМІОНА О ЗАЙМѢ [1]).

Переводъ **В. Л.**

§ 8. Ἐλθὼν τοίνυν εἰς τὸν Βόσπορον [ὁ Φορμίων] . . . καταλαβὼν δ' ἐν τῷ Βοσπόρῳ μοχθηρὰ τὰ πράγματα διὰ τὸν συμβάντα πόλεμον τῷ Παιρισάδῃ πρὸς τὸν Σκύθην καὶ τῶν φορτίων ὧν ἦγε πολλὴν ἀπρασίαν, ἐν πάσῃ ἀπορίᾳ ἦν...

§ 8. [Форміонъ,] прибывъ въ Воспоръ..., засталъ тамъ дѣла въ дурномъ положеніи вслѣдствіе случившейся у Пэрисада [2]) войны съ Скиѳскимъ царемъ, почти не находилъ покупателей для привезенныхъ товаровъ и не зналъ, что дѣлать...

§ 23... Φορμίων δέ φησιν ἀποδοῦναι Λάμπιδι ἐν Βοσπόρῳ ἑκατὸν καὶ εἴκοσι στατῆρας Κυζικηνούς... ὁ δὲ Κυζικηνὸς ἐδύνατο ἐκεῖ εἴκοσι καὶ ὀκτὼ δραχμὰς Ἀττικάς...

§ 23... Форміонъ говоритъ, что онъ отдалъ Лампиду въ Воспорѣ 120 кизикскихъ статировъ..., а кизикскій *статиръ* ходилъ тамъ по 28 аттическихъ драхмъ...

§ 36. . . . Κήρυγμα γὰρ ποιησαμένου Παιρισάδου ἐν Βοσπόρῳ, ἐάν τις βούληται Ἀθήναζε εἰς τὸ Ἀττικὸν ἐμπόριον σιτηγεῖν, ἀτελῆ τὸν σῖτον ἐξάγειν, ἐπιδημῶν ἐν τῷ Βοσπόρῳ ὁ Λάμπις ἔλαβε τὴν ἐξαγωγὴν τοῦ σίτου καὶ τὴν ἀτέλειαν ἐπὶ τῷ τῆς πόλεως ὀνόματι, γεμίσας δὲ ναῦν μεγάλην σίτου ἐκόμισεν εἰς Ἄκανθον κἀκεῖ διέθετο...

§ 36. ... Когда Пэрисадъ въ Понтѣ объявилъ всенародно, что желающій вывозить хлѣбъ въ Аѳины, въ Аттическую гавань *имѣетъ право* вывозить его безпошлинно, находившійся *тогда* въ Воспорѣ Лампидъ предпринялъ вывозъ хлѣба и *воспользовался* безпошлинностью во имя города, а *самъ*, нагрузивъ большой корабль хлѣбомъ, отвезъ *его* въ Аканѳъ и тамъ продалъ...

XXXV. ΠΡΟΣ ΛΑΚΡΙΤΟΝ.

XXXV. ПРОТИВЪ ЛАКРИТА [3]).

§ 31... Λάκριτος δ' οὑτοσὶ ναυαγῆσαι ἔφη τὸ πλοῖον, παραπλέον ἐκ Παντικαπαίου εἰς Θεοδοσίαν, ναυαγήσαντος δὲ τοῦ πλοίου ἀπολωλέναι τὰ χρήματα τοῖς ἀδελφοῖς τοῖς ἑαυτοῦ ἃ ἔτυχεν ἐν τῷ πλοίῳ ἐνόντα. ἐνεῖναι δὲ τάριχός τε καὶ οἶνον Κῷον καὶ ὄλλ' ἄττα, καὶ ταῦτα ἔφασαν πάντα ἀντιφορτισθέντα μέλλειν ἀπάγειν Ἀθήναζε, εἰ μὴ ἀπώλετο ἐν τῷ πλοίῳ. (32)... πρὸς τὸ πλοῖον τὸ ναυαγῆσαν οὐδὲν ἦν αὐτοῖς συμβόλαιον, ἀλλ' ἦν ἕτερος ὁ δεδανεικὼς Ἀθήνηθεν ἐπὶ τῷ νεὼλῳ τῷ εἰς τὸν Πόντον καὶ ἐπ' αὐτῷ τῷ πλοίῳ... τὸ τ' οἰνάριον τὸ Κῷον, ὀγδοήκοντα στάμνοι ἑξεστηκότος οἴνου, καὶ τὸ τάριχος ἀνθρώπῳ τινὶ γεωργῷ παρεκομίζετο ἐν τῷ πλοίῳ ἐκ Παντικαπαίου εἰς Θεοδοσίαν, τοῖς ἐργάταις τοῖς περὶ τὴν γεωργίαν χρῆσθαι...

§ 31... Этотъ Лакритъ сказалъ, что разбилось судно, шедшее изъ Пантикапэя въ Ѳеодосію, и что при крушеніи судна погибли деньги его братьевъ, случайно находившіяся на суднѣ; оно было-де нагружено соленой рыбой, Косскимъ виномъ и кое-чѣмъ другимъ; и говорили, что все это было нагружено вмѣсто *прежняго груза* и что онъ хотѣлъ отвезти этотъ *новый грузъ* въ Аѳины, если бы онъ не погибъ при крушеніи судна. (32) ...На судно, потерпѣвшее крушеніе, у нихъ не было никакого векселя, а было другое *лицо*, ссудившее деньги изъ Аѳинъ подъ залогъ провозной платы въ Понтъ и самого судна... А Косское винцо, *т. е.* 80 сосудовъ прокисшаго вина, и соленая рыба перевозились изъ Пантикапэя въ Ѳеодосію для какого-то земледѣльца, на продовольствіе полевымъ рабочимъ...

1) Сказана около 328 г. до Р. Хр.
2) Правилъ вмѣстѣ съ братомъ Спартокомъ III въ 347—342 и одинъ въ 342—309 до Р. Хр.
3) Сказана около 341 г. до Р. Хр.

Digitized by Google

ΜΑΡΤΥΡΙΑΙ.

§ 34. Ἐρασικλῆς μαρτυρεῖ συμπλεῖν Ὑβλησίῳ κυβερνῶν τὴν ναῦν τὴν εἰς τὸν Πόντον, καὶ ὅτε παρέπλει ἡ ναῦς εἰς Θευδοσίαν ἐκ Παντικαπαίου, εἰδέναι κενὴν τὴν ναῦν παραπλέουσαν, καὶ Ἀπολλοδώρου αὐτοῦ τοῦ φεύγοντος νυνὶ τὴν δίκην μὴ εἶναι οἶνον ἐν τῷ πλοίῳ, ἀλλὰ παράγεσθαι τῶν ἐκ τῆς Θεοδοσίας τινὶ οἴνου Κῷα κεράμια περὶ ὀγδοήκοντα.

Ἱππίας Ἀθηνίππου Ἁλικαρνασσεὺς μαρτυρεῖ συμπλεῖν Ὑβλησίῳ διοπεύων τὴν ναῦν, καὶ ὅτε παρέπλει ἡ ναῦς εἰς Θευδοσίαν ἐκ Παντικαπαίου, ἐνθέσθαι Ἀπολλόδωρον εἰς τὴν ναῦν ἐρίων ἄγγεῖον ἓν ἢ δύο καὶ ταρίχους κεράμια ἕνδεκα ἢ δώδεκα καὶ δέρματ' αἴγεια, δύο δέσμας ἢ τρεῖς, ἄλλο δ' οὐδέν.

§ 35... Ὑμεῖς δ', ὦ ἄνδρες δικασταί, ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτούς, εἴ τινας πώποτ' ἴστε ἢ ἠκούσατε οἶνον Ἀθήναζε ἐκ τοῦ Πόντου κατ' ἐμπορίαν εἰσαγαγόντας, ἄλλως τε καὶ Κῷον. πᾶν γὰρ δήπου τοὐναντίον εἰς τὸν Πόντον ὁ οἶνος εἰσάγεται ἐκ τῶν τόπων τῶν περὶ ἡμᾶς, ἐκ Πεπαρήθου καὶ Κῶ καὶ Θάσιος καὶ Μενδαῖος καὶ ἐξ ἄλλων πόλεων παντοδαπός· ἐκ δὲ τοῦ Πόντου ἕτερά ἐστιν ἃ εἰσάγεται δεῦρο...

СВИДѢТЕЛЬСКІЯ ПОКАЗАНІЯ.

§ 34. Ерасиклъ свидѣтельствуетъ, что онъ сопутствовалъ Ивлисію въ Понтъ въ качествѣ кормчаго и что изъ Ѳевдосіи въ Пантикапэй корабль шелъ, какъ ему извѣстно, безъ груза, и на немъ не было вина, принадлежавшаго самому Аполлодору, нынѣ находящемуся подъ судомъ, а перевозилось около 80 глиняныхъ сосудовъ Косскаго вина для одного изъ жителей Ѳеодосіи.

Иппій, сынъ Аѳиниппа изъ Аликарнасса, свидѣтельствуетъ, что сопутствовалъ Ивлисію въ качествѣ надсмотрщика на кораблѣ и что когда корабль шелъ въ Ѳевдосію изъ Пантикапэя, то Аполлодоръ нагрузилъ на него одинъ или два сосуда шерсти, одиннадцать или двѣнадцать глиняныхъ сосудовъ соленой рыбы и двѣ или три связки козьихъ кожъ, а больше ничего.

§ 35. ...А вы, судьи, припомните сами, знаете-ли или слыхали-ли когда нибудь, чтобы кто нибудь привезъ на продажу въ Аѳины изъ Понта вино, въ особенности Косское? Совершенно наоборотъ, въ Понтъ ввозятся вино изъ нашихъ странъ, — изъ Пепаривоа, Коса, Ѳасское, Мендэйское и разное *другое* изъ другихъ городовъ; а изъ Понта вывозятся сюда совершенно другіе *продукты*...

LX. [ΔΗΜΟΣΘΕΝΟΥΣ] ΕΠΙΤΑΦΙΟΣ.

§ 8 [Οἱ τῶν Ἀθηναίων πρόγονοι] τὸν Ἀμαζόνων στρατὸν ἐλθόντ' ἐκράτησαν οὕτως, ὥστ' ἔξω Φάσιδος ἐκβαλεῖν...

LX. [ПРИПИСЫВАЕМАЯ ДИМОСѲЕНУ] НАДГРОБНАЯ РѢЧЬ [1]).

[Предки Аѳинянъ] такъ разбили пришедшее *противъ нихъ* войско Амазонокъ, что прогнали его за Фасидъ...

ΑΠΟΣΠΑΣΜΑ.

(Oratores Attici edd. *Baiterus* et *Sauppius*, pars poster. p. 257, fr. 64). Item Demosthenes, cum ei quidam obiecisset matre Scytha natum, respondit: *Non miraris igitur, quod Scytha matre et barbara natus tam bonus et clemens evaserit?* Rutilius l. 2 § 9.

ОТРЫВОКЪ.

Димосѳенъ также, когда кто-то упрекнулъ его въ происхожденіи отъ матери Скиѳянки, отвѣтилъ: «Не удивительно ли тебѣ, что сынъ Скиѳянки и варварки оказался такимъ добрымъ и кроткимъ?»

1) По павшимъ въ битвѣ при Хэронеѣ въ 338 г. до Р. Хр.

Digitized by Google

ΣΧΟΛΙΑ ΕΙΣ ΔΗΜΟΣΘΕΝΗΝ.

СХОЛІИ КЪ ДИМОСѲЕНУ.

[Текстъ: Demosthenes ex recensione Gul. Dindorfii, Vol. VIII et IX: scholia graeca ex codicibus aucta et emendata. Oxonii, 1851].

ΖΩΣΙΜΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ ΒΙΟΣ ΔΗΜΟΣΘΕΝΟΥΣ.

(Vol. VIII p. 18 Dind.) ...[Δημοσθένης] πατρὸς μὲν ἦν ὁμωνύμου μὲν τὴν προσηγορίαν, τῇ δὲ τέχνῃ μαχαιροποιοῦ... μητρὸς δὲ Κλεοβούλης μὲν ὀνόματι, Σκυθίδος δὲ τὸ γένος. Γύλων γάρ, ὁ πάππος αὐτοῦ, Νύμφαιον προδοὺς, τόπον τινὰ ἐν τῷ Πόντῳ, μέλλων ποιεῖσθαι τὴν κρίσιν ὑπὲρ τούτου, φυγὼν παρὰ τοῖς τοῦ Πόντου δυνάσταις καὶ τοὺς καλουμένους Κήπους, τόπους τινὰς, καρποῦσθαι λαβὼν παρ' αὐτῶν, γυναῖκα ἐκεῖσε Σκυθίδα ἠγάγετο, ἐξ ἧς ἔσχε τὴν Κλεοβούλην, τὴν μητέρα τοῦ ῥήτορος. αὕτη γὰρ πεμφθεῖσα ὑπὸ τοῦ πατρὸς λάθρᾳ εἰς Ἀθήνας καὶ γαμηθεῖσα Δημοσθένει τῷ μαχαιροποιῷ τίκτει τοῦτον τὸν ῥήτορα...

ЗОСИМА АСКАЛОНСКАГО ЖИЗНЬ ДИМОСѲЕНА.

...[Димосѳенъ] родился отъ отца, носившаго одинаковое съ нимъ имя, а по ремеслу ножевщика... и отъ матери именемъ Клеовулы, родомъ Скиѳянки. Дѣдъ его Гилонъ, предавъ Нимфэй, одно мѣстечко въ Понтѣ, долженъ былъ подвергнуться за это суду, но бѣжалъ къ властителямъ Понта и, получивъ отъ нихъ на пропитаніе такъ называемые Кипы [Сады], какія-то мѣста, женился тамъ на Скиѳянкѣ, отъ которой имѣлъ Клеовулу, мать оратора: она была тайкомъ отправлена отцомъ въ Аѳины и, выйдя за мужъ за ножевщика Димосѳена, родила этого оратора.

ΕΤΕΡΩΣ Ο ΔΗΜΟΣΘΕΝΟΥΣ ΒΙΟΣ.

(V. VIII p. 23 D.)... Γύλων ἀνὴρ Ἀθηναῖος ἐφθονηθείς, οἶμαι, δι' ἀρετὴν (οἰκεῖον καὶ σύνηθες τῇ πόλει τοῦτο τὸ πάθος) αἰτίαν ἔσχεν προδεδωκέναι Νύμφαιον, χωρίον ἐν Πόντῳ κείμενον. ἀδοξήσας δὲ διὰ τὴν ἐκ τῆς κατηγορίας ὕβριν, τάχα δὲ καὶ φοβηθεὶς τοὺς συκοφάντας (ἰσχυρὸν γὰρ ἐν Ἀθήναις τὸ τούτων γένος), τὴν τούτων κρίσιν οὐ περιέμεινε, τῆς δὲ κατηγορίας προεξῆλθε· καὶ παραγενόμενος εἰς Σκυθίαν γαμεῖ τῶν ἐπιχωρίων τινὸς θυγατέρα, πολλὴν προῖκα σὺν αὐτῇ λαβών· δύο δὲ γεννήσας καὶ θρέψας θυγατέρας, ὡς τὴν τοῦ γάμου ὥραν ἐπέλαβον, ἑτοιμάσας προῖκας αὐταῖς εἰς Ἀθήνας ἔπεμψε...

ДРУГОЕ ЖИЗНЕОПИСАНІЕ ДИМОСѲЕНА.

...Аѳинянинъ Гилонъ, возбудивъ, я думаю, зависть своими доблестями (это чувство весьма обычно въ Аѳинахъ), былъ обвиненъ въ томъ, что предалъ Нимфэй, мѣстечко въ Понтѣ. Будучи обезславленъ обидою обвиненія, а можетъ быть и испугавшись сикофантовъ (ихъ шайка сильна въ Аѳинахъ), онъ не дождался ихъ суда и удалился *изъ отечества* раньше обвиненія. Прибывъ въ Скиѳію, онъ женился на дочери одного изъ туземцевъ, взявъ за нею большое приданое. Родивъ и воспитавъ двухъ дочерей, онъ, по достиженіи ими брачнаго возраста, приготовилъ имъ приданое и отправилъ въ Аѳины...

(ΟΥΛΠΙΑΝΟΥ ΣΧΟΛΙΑ).

XX. ΛΟΓΟΣ ΠΡΟΣ ΛΕΠΤΙΝΗΝ.

§ 33 (V. IX, p. 477 Dind.) ἐμπόριον Θευδοσίαν] Θευδοσία χωρίον Βοσπόρου. P.[1])

(СХОЛІИ УЛЬПІАНА).

XX. РѢЧЬ ПРОТИВЪ ЛЕПТИНА.

Торжище Ѳевдосію] Ѳевдосія — мѣстечко Воспора. Имя торжищу *дано* или

1) Ed. Parisina a. 1570.

Digitized by Google

τὸ μὲν ὄνομα τῷ ἐμπορίῳ ἢ ἀπὸ τῆς ἀδελφῆς ἢ ἀπὸ τῆς γαμετῆς· διαφωνεῖται γάρ...

Θευδοσίαν] Θευδοσία χωρίον κείμενον ἐγγὺς Σκυθῶν, ὃ πολιορκῶν Σάτυρος ἐτελευτησεν. b. [1]).

отъ сестры, или отъ жены: *объ этомъ* существуетъ разногласіе...

Θεвдосію] Θевдосія — мѣстечко, лежащее вблизи Скиѳіи, при осадѣ котораго умеръ Сатиръ.

XXXV. ΠΡΟΣ ΛΑΚΡΙΤΟΝ.

§ 31 (V. IX, p. 811 Dind.) ἐκ Παντικαπαίου] Παντικάπαιον ὄνομα πόλεως. B. [2]).

35. РѢЧЬ ПРОТИВЪ ЛАКРИТА.

Изъ Пантикапэя] Пантикапэй названіе города.

ΑΙΣΧΙΝΗΣ. ЭСХИНЪ.

[Знаменитый аттическій ораторъ, противникъ Димосѳена, род. 389, ум. 314 до Р. Хр.—Текстъ: Aeschinis orationes e codicibus partim nunc primum excussis edidit, scholia ex parte inedita adiecit Ferd. Schultz. Lips. in aed. B. G. Teubneri 1865].

III. ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ. III. РѢЧЬ ПРОТИВЪ КТИСИФОНТА [3]).

§ 171... Γύλων ἦν ἐκ Κεραμέων. οὗτος προδοὺς τοῖς... πολεμίοις Νύμφαιον τὸ ἐν τῷ Πόντῳ, τότε τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἀπ' εἰσαγγελίας ἐκ τῆς πόλεως ἐγένετο [θανάτου καταγνωσθέντος αὐτοῦ] τὴν κρίσιν οὐχ ὑπομείνας, καὶ ἀφικνεῖται εἰς Βόσπορον, κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων τοὺς ὠνομασμένους Κήπους, καὶ γαμεῖ γυναῖκα πλουσίαν μὲν νὴ Δία καὶ χρυσίον ἐπιφερομένην πολύ, Σκύθιν δὲ τὸ γένος, ἐξ ἧς γίγνονται αὐτῷ θυγατέρες δύο, ἃς ἐκεῖνος δεῦρο μετὰ πολλῶν χρημάτων ἀποστείλας συνῴκισε τὴν μὲν ἑτέραν ὁτῳδήποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι· τὴν δ' ἑτέραν ἔγημε παριδὼν τοὺς τῆς πόλεως νόμους Δημοσθένης ὁ Παιανιεύς, ἐξ ἧς ὑμῖν ὁ περίεργος καὶ συκοφάντης γεγένηται Δημοσθένης...

... Былъ *нѣкто* Гилонъ изъ *дима* Керамеевъ. Онъ предалъ врагамъ Нимфэй, *мѣстечко* въ Понтѣ, которое находилось тогда во владѣніи нашего государства, и послѣ доноса бѣжалъ изъ города [будучи приговоренъ къ смерти], не подчинившись приговору; онъ прибылъ въ Воспоръ, получилъ тамъ въ даръ отъ тирановъ такъ называемые Сады и женился на женщинѣ, правда, богатой, клянусь Зевсомъ, и принесшей *въ приданое* много золота, но родомъ Скиѳянкѣ; отъ нея родились у него двѣ дочери, которыхъ онъ прислалъ сюда съ большими деньгами, и одну выдалъ за лицо, *котораго я не назову*, чтобы не навлечь на себя ненависть многихъ, а на другой женился вопреки государственнымъ законамъ Димосѳенъ Пэаніецъ; отъ нея-то и произошелъ намъ *этотъ* проныра и сикофантъ Димосѳенъ...

V. 2: «γρ. διαπορεῖται margo P». Dind. || V. 3: Hoc scholion omissum a Dindorfio sumpsi ex ed. *Baiteri* et *Sauppii* (oratores attici II, p. 97). || Aesch. v. 5: Verba uncis inclusa cum Bakio delevit Schultz.

1) Cod. bavaricus. 2) Cod. Monacensis 85. 3) Сказана въ 330 г. до Р. Хр.

Digitized by Google

ΣΧΟΛΙΑ ΕΙΣ ΑΙΣΧΙΝΗΝ.

II. ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ.

§ 78. Νομάδων Σκυθῶν] ἔθνος ἐστὶ Σκυθικόν, οἱ καλούμενοι ἁμάξοικοι. Vat. Laur. Fgim. ὡσανεὶ ἔλεγε, καὶ ταῦτα οὐδὲ ἀπὸ εὐγενῶν τινῶν Σκυθῶν, ἀλλὰ νομάδων καὶ βιοπλανῶν. Vat. Laur. Fgim.

§ 173. Σκύθας δὲ οἱονεὶ τοξότας· τοξόται γὰρ οἱ Σκύθαι καὶ οἱ Κρῆτες. Vat. Laur. Fgim.

III. ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ.

§ 171. Νύμφαιον] νεὼν Νυμφῶν. Β. τόπος τῆς πόλεως ἐπὶ Πόντῳ· τοῦτον Ἀθηναίων ἐχόντων Γύλων Ἀθηναῖος προέδωκε τοῖς Βοσπόρου τυράννοις. Laur.

Φυγὰς] φυγὰς ἐγένετο καὶ ἔλαβε παρὰ τῶν τυράννων χωρίον ὃ ἐκαλεῖτο Κῆποι. Laur.

СХОЛІИ КЪ ЭСХИНУ.

II. ОБЪ ИЗМѢНѢ ВЪ ПОСОЛЬСТВѢ.

Кочевниковъ Скиѳовъ] скиѳское племя, *такъ* называемые жители кибитокъ. — *Ораторъ* какъ бы *хочетъ* сказать «и при томъ не отъ благородныхъ какихъ либо Скиѳовъ, но *отъ* кочевниковъ, ведущихъ странствующую жизнь».

Скиѳовъ, т. е. стрѣлковъ; ибо Скиѳы и Критяне — стрѣлки.

III. РѢЧЬ ПРОТИВЪ КТИСИФОНТА.

Нимфэй] храмъ Нимфъ. — Мѣстность города при Понтѣ. Ею владѣли Аѳиняне, но Аѳинянинъ Гилонъ передалъ тираннамъ Воспора.

Бѣглецъ] онъ удалился въ изгнаніе и получилъ отъ тирановъ мѣстечко, которое называлось Садами.

ΘΕΟΠΟΜΠΟΣ.

ѲЕОПОМПЪ.

[Историкъ Ѳеопомпъ, уроженецъ о. Хіоса, род. около 380 г., ум. въ концѣ IV в. до Р. Хр. Отъ его сочиненій Ἑλληνικά въ 12 книгахъ и Φιλιππικά въ 58 книгахъ сохранились только отрывки. Собраніе отрывковъ — Müller, FHG. v. I, pp. 278—333].

ΦΙΛΙΠΠΙΚΩΝ βιβλ. γ΄. Fragm. 51. Hesychius: Ἱππάκη· Σκυθικὸν βρῶμα ἐξ ἵππου γάλακτος· οἱ δὲ ὀξύγαλα ἱππεῖον, ᾧ χρῶνται Σκύθαι· πίνεται δὲ καὶ ἐσθίεται πηγνύμενον, ὡς Θεόπομπος ἐν τρίτῳ αὐτοῦ λόγῳ.

Иппака — скиѳское кушанье изъ кобыльяго молока, а по другимъ — кислое кобылье молоко, которое употребляютъ *въ пищу* Скиѳы; его пьютъ и ѣдятъ въ сгущенномъ видѣ, какъ *говоритъ* Ѳеопомпъ въ своей третьей книгѣ [1]).

Incertae sedis fragm. 306 v. ap. Steph. Byz. s. v. Ἀχανοί (supra, p. 255).
» » » 308 v. apud eundem s. v. Ἑρμώνασσα (supra, p. 259).

Sch. Aeseh. v. 2: «ἁμάξοικοι Sauppius pro ἁμαξικοί». || V. 3: Ante ὡσανεὶ «Ἄλλως add. g.» Schultz.

1) Cf. Hippocr. de morbis IV, 20 (supra, p. 350).

Digitized by Google

ΔΕΙΝΑΡΧΟΣ. ДИНАРХЪ.

[Аттическій ораторъ, род. около 361, ум. около 290 г. до Р. Хр.—Текстъ: Dinarchi orationes ... iterum ed. Frid. Blass. Lipsiae in aed. B. G. Teubneri 1888].

1. ΚΑΤΑ ΔΗΜΟΣΘΕΝΟΥΣ. 1. РѢЧЬ ПРОТИВЪ ДИМОСѲЕНА [1]).

§ 43. Εἴπατέ μοι πρὸς Διός, ὦ ἄνδρες, προῖκα τοῦτον [*i. e.* τὸν Δημοσθένη] οἴεσθε γράψαι Διφίλῳ τὴν ἐν πρυτανείῳ σίτησιν... ἢ τὸ χαλκοῦς ἐν ἀγορᾷ στῆσαι Βιρισάδην καὶ Σάτυρον καὶ Γόργιππον τοὺς ἐκ τοῦ Πόντου τυράννους, παρ' ὧν αὐτῷ χίλιοι μέδιμνοι τοῦ ἐνιαυτοῦ πυρῶν ἀποστέλλονται...

Скажите мнѣ ради Зевса, судьи, неужели Димосѳенъ даромъ предложилъ дать Дифилу содержаніе въ пританеѣ... или поставить на площади мѣдныя статуи Понтійскихъ тирановъ Вирисада, Сатира и Горгиппа [2]), отъ которыхъ ему ежегодно присылается по тысячѣ медимновъ пшеницы...

ΕΡΜΕΙΑΣ ΜΗΘΥΜΝΑΙΟΣ. ЕРМІЙ МИѲИМНЕЙСКІЙ.

[Историкъ Ермій Миѳимнейскій жилъ въ IV в. до Р. Хр. Собраніе отрывковъ—Müller, FHG. v. II, p. 80—81].

ΠΕΡΙΗΓΗΣΙΣ. Fragm. 3 v. supra (p. 269) ap. Steph. Byz. s. v. Χαλκίς. «Num hic sit noster Hermias, nescio. Fortasse Hecataeus esse debet». Müller.

ΑΡΙΣΤΟΤΕΛΗΣ. АРИСТОТЕЛЬ.

[Знаменитѣйшій философъ древности, учитель Александра Великаго, род. въ г. Стагирѣ въ 384, ум. въ Халкидѣ въ 322 г. до Р. Хр. — Текстъ: Aristoteles graece ex recens. Imm. Bekkeri. Edidit Academia regia Borussica. Voll. I et II. Berol. 1831. Текстъ свѣренъ съ новѣйшими изданіями, изъ коихъ заимствовано и дѣленіе нѣкоторыхъ сочиненій на §§].

ΜΕΤΕΩΡΟΛΟΓΙΚΑ. МЕТЕОРОЛОГІЯ.

(Въ 4 книгахъ. V. I pp. 338—390 Bekker).

Lib. I c. 10, § 6. Γίνεται ἡ δρόσος πανταχοῦ νοτίοις, οὐ βορείοις, πλὴν ἐν τῷ Πόντῳ· ἐκεῖ δὲ τοὐναντίον· βορείοις μὲν γὰρ γίνεται, νοτίοις δ' οὐ γίνεται. Αἴτιον δ' ὁμοίως ὥσπερ ὅτι εὐδίας μὲν γίνεται, χειμῶνος δ' οὔ· ὁ μὲν γὰρ νότος εὐδίαν ποιεῖ, ὁ δὲ βορέας χειμῶνα· ψυχρὸς γάρ, ὥστ' ἐκ

Роса бываетъ при южныхъ *вѣтрахъ*, а не при сѣверныхъ, повсюду кромѣ Понтійскихъ странъ; здѣсь наоборотъ: при сѣверныхъ *вѣтрахъ* бываетъ, а при южныхъ не бываетъ. Причина этого явленія—та же, по которой *роса* бываетъ въ жаркое время, а зимою не бываетъ: южный вѣтеръ произ-

---

Din. v. 4: «Βηρισάδην Ald.; vera scriptura est Παιρισάδης». Bl. || V. 5: «ἐκ τοῦ Πόντου Bait[er], Tur[icenses]: ἐκ τούτων codd.» Bl.

1) Сказана въ 324 г. до Р. Х. 2) Разумѣется Пэрисадъ I, 342—309 до Р. Хр. Сатиръ — вѣроятно его сынъ, а Горгиппъ — тесть.

Digitized by Google

τοῦ χειμῶνος τῆς ἀναθυμιάσεως σβέννυσι τὴν θερμότητα. (7) Ἐν δὲ τῷ Πόντῳ ὁ μὲν νότος οὐχ οὕτω ποιεῖ εὐδίαν ὥστε γίνεσθαι ἀτμίδα, ὁ δὲ βορέας διὰ τὴν ψυχρότητα ἀντιπεριστὰς τὸ θερμὸν ἀθροίζει, ὥστε πλεῖον ἀτμίζειν μᾶλλον.

водитъ жаръ, а сѣверный — холодъ: онъ холоденъ, такъ что своимъ холоднымъ дуновеніемъ уничтожаетъ теплоту. (7). А въ Понтѣ южный вѣтеръ не производитъ такого жара, при которомъ бы поднимались испаренія, тогда какъ сѣверный, отовсюду окружая *страну* холодомъ, собираетъ теплоту, такъ что скорѣе происходитъ сильное испареніе.

Lib. I c. 13 § 15. Ἐν... τῇ Ἀσίᾳ πλεῖστοι μὲν ἐκ τοῦ Παρνασσοῦ καλουμένου φαίνονται ῥέοντες ὄρους καὶ μέγιστοι ποταμοί, τοῦτο δ' ὁμολογεῖται πάντων εἶναι μέγιστον ὄρος τῶν πρὸς τὴν ἕω τὴν χειμερινὴν ὑπερβάντι γὰρ ἤδη τοῦτο φαίνεται ἡ ἔξω θάλασσα, ἧς τὸ πέρας οὐ δῆλον τοῖς ἐντεῦθεν. (16) Ἐκ μὲν οὖν τούτου ῥέουσιν ἄλλοι τε ποταμοὶ καὶ ὁ Βάκτρος καὶ ὁ Χοάσπης καὶ ὁ Ἀράξης· τούτου δ' ὁ Τάναϊς ἀποσχίζεται μέρος ὢν εἰς τὴν Μαιῶτιν λίμνην. Ῥεῖ δὲ καὶ ὁ Ἰνδὸς ἐξ αὐτοῦ, πάντων τῶν ποταμῶν ῥεῦμα πλεῖστον. (17) Ἐκ δὲ τοῦ Καυκάσου ἄλλοι τε ῥέουσι πολλοὶ καὶ κατὰ πλῆθος καὶ κατὰ μέγεθος ὑπερβάλλοντες, καὶ ὁ Φᾶσις· ὁ δὲ Καύκασος μέγιστον ὄρος τῶν πρὸς τὴν ἕω τὴν θερινήν ἐστι καὶ πλήθει καὶ ὕψει. (18) Σημεῖον δὲ τοῦ μὲν ὕψους ὅτι ὁρᾶται καὶ ἀπὸ τῶν καλουμένων βαθέων, καὶ εἰς τὴν λίμνην εἰσπλέοντων· ἔτι δ' ἡλιοῦται τῆς νυκτὸς αὐτοῦ τὰ ἄκρα μέχρι τοῦ τρίτου μέρους ἀπό τε τῆς ἕω καὶ πάλιν ἀπὸ τῆς ἑσπέρας· τοῦ δὲ πλήθους ὅτι πολλὰς ἔχον ἕδρας, ἐν αἷς ἔθνη τε κατοικεῖ πολλὰ καὶ λίμνας εἶναί φασι μεγάλας, ἀλλ' ὅμως πάσας τὰς ἕδρας εἶναί φασι φανερὰς μέχρι τῆς ἐσχάτης κορυφῆς.

Въ Азіи, какъ мы видимъ, множество огромнѣйшихъ рѣкъ течетъ съ горы, называемой Парнассомъ, а она признается величайшею изъ всѣхъ горъ съ юговосточной стороны: когда перейдешь ее, уже видно внѣшнее море, предѣлы котораго неизвѣстны жителямъ здѣшнихъ странъ. (16) Съ этой горы текутъ, между прочимъ, Бактръ, Хоаспъ и Араксъ; отъ послѣдняго отдѣляется въ видѣ рукава Танаидъ въ Меотійское озеро. Съ нея же течетъ и Индъ, самая многоводная изъ всѣхъ рѣкъ. (17) А съ Кавказа кромѣ многихъ другихъ рѣкъ, выдающихся количествомъ и величиной, течетъ Фасидъ. Кавказъ и по величинѣ и по высотѣ самый большой изъ горныхъ хребтовъ съ сѣверовосточной стороны. (18) Доказательствомъ его высоты служитъ то, что онъ виденъ съ такъ называемыхъ пучинъ и при входѣ въ *Меотійское* озеро, кромѣ того его вершины ночью освѣщаются солнцемъ до третьей части какъ передъ зарей, такъ и съ вечера; доказательствомъ же его громадности служитъ то, что хотя въ немъ много долинъ, въ которыхъ живетъ много народовъ, и есть, говорятъ, большія озера, но все таки всѣ эти долины, говорятъ, ясно видны до самой отдаленной вершины.

§ 20... Ὑπ' αὐτὴν τὴν ἄρκτον ὑπὲρ τῆς ἐσχάτης Σκυθίας [εἰσὶν] αἱ καλούμεναι Ῥῖπαι, περὶ ὧν τοῦ μεγέθους λίαν εἰσὶν οἱ λεγόμενοι λόγοι μυθώδεις. Ῥέουσι δ' οὖν οἱ πλεῖστοι καὶ μέγιστοι μετὰ τὸν Ἴστρον τῶν ἄλλων ποταμῶν ἐντεῦθεν, ὥς φασιν.

§ 20... Подъ самымъ сѣверомъ, выше крайнихъ предѣловъ Скиѳіи, находятся такъ называемыя Рипы, о величинѣ которыхъ передаются очень баснословные разсказы. Оттуда, говорятъ, текутъ очень многія и притомъ самыя огромныя изъ другихъ рѣкъ послѣ Истра.

§ 29... Ἡ ὑπὸ τὸν Καύκασον λίμνη, ἣν καλοῦσιν οἱ ἐκεῖ θάλασσαν, φανερά [ἐστιν εὑρισκομένη τὴν δίοδον εἰς βάθος]· αὕτη γὰρ ποταμῶν πολλῶν καὶ μεγάλων εἰσβαλλόντων, οὐκ ἔχουσα ἔκρουν φανερόν, ἐκδίδωσιν ὑπὸ γῆν κατὰ Κοραξοὺς περὶ τὰ καλούμενα βαθέα τοῦ Πόντου· ταῦτα δ' ἐστὶν

§ 29... Находящееся подъ Кавказомъ озеро, которое туземцы называютъ моремъ, очевидно находитъ себѣ выходъ въ глубинѣ: принимая въ себя много большихъ рѣкъ и не имѣя открытаго стока, оно наливается подъ землю у страны Кораксовъ около такъ называемыхъ пучинъ Понта;

Digitized by Google

ἄπειρόν τι τῆς θαλάσσης βάθος· οὐθεὶς γοῦν πώποτε καθιεὶς ἐδυνήθη πέρας εὑρεῖν.

это—неизмѣримая глубина моря: по крайней мѣрѣ никто еще никогда не могъ достать дна, спуская *лотъ*.

Lib. I c. 14 § 29. Ἀλλὰ μὴν καὶ τὰ περὶ τὴν Μαιῶτιν λίμνην ἐπιδέδωκε τῇ προσχώσει τῶν ποταμῶν τοσοῦτον, ὥστε πολλῷ ἐλάττω μεγέθει πλοῖα νῦν εἰσπλεῖν πρὸς τὴν ἐργασίαν ἢ ἔτος ἑξηκοστόν· ὥστ' ἐκ τούτου ῥᾴδιον ἀναλογίσασθαι ὅτι καὶ τὸ πρῶτον, ὥσπερ αἱ πολλαὶ τῶν λιμνῶν, καὶ αὕτη ἔργον ἐστὶ τῶν ποταμῶν, καὶ τὸ τελευταῖον πᾶσαν ἀνάγκη γενέσθαι ξηράν.

§ 31. Φανερὸν τοίνυν, ἐπεὶ ὅ τε χρόνος οὐχ ὑπολείπει καὶ τὸ ὅλον ἀΐδιον, ὅτι οὔθ' ὁ Τάναϊς ποταμὸς οὔθ' ὁ Νεῖλος ἀεὶ ἔρρει, ἀλλ' ἦν ποτε ξηρός ὁ τόπος ὅθεν ῥέουσιν· τὸ γὰρ ἔργον ἔχει αὐτῶν πέρας, ὁ δὲ χρόνος οὐκ ἔχει.

Даже побережье Меотійскаго озера вслѣдствіе рѣчныхъ наносовъ настолько увеличилось, что нынѣ входятъ туда для работы суда гораздо меньшей величины, нежели 60 лѣтъ тому назадъ; изъ этого легко сообразить, что и оно, подобно многимъ озерамъ, первоначально обязано своимъ происхожденіемъ рѣкамъ и что въ концѣ концовъ ему суждено всему высохнуть.

§ 31. Такъ какъ время никогда не прекращается и міръ вѣченъ, то очевидно, что ни Танаидъ, ни Нилъ не текли вѣчно, но что нѣкогда тѣ мѣста, откуда они текутъ, были сухи: ибо ихъ дѣятельность имѣетъ предѣлъ, а время не имѣетъ его.

Lib. II c. I § 10... Πλείους εἰσὶ θάλατται πρὸς ἀλλήλας οὐ συμμιγνύουσαι κατ' οὐθένα τόπον, ὧν ἡ μὲν ἐρυθρὰ φαίνεται κατὰ μικρὸν κοινωνοῦσα πρὸς τὴν ἔξω στηλῶν θάλατταν, ἡ δ' Ὑρκανία καὶ Κασπία κεχωρισμέναι τε ταύτης καὶ περιοικούμεναι κύκλῳ...

§ 12. Ἡ ἐντὸς Ἡρακλείων στηλῶν ἅπασα [θάλαττα] κατὰ τὴν τῆς γῆς κοιλότητα ῥεῖ καὶ τῶν ποταμῶν τὸ πλῆθος· ἡ μὲν γὰρ Μαιῶτις εἰς τὸν Πόντον ῥεῖ, οὗτος δ' εἰς τὸν Αἰγαῖον. Πάντα δ' ἤδη τὰ τούτων ἔξω πελάγη ἧττον ποιεῖ τοῦτ' ἐπιδήλως. (13) Ἐκείνοις δὲ διά τε τὸ τῶν ποταμῶν πλῆθος συμβαίνει τοῦτο (πλείους γὰρ εἰς τὸν Εὔξεινον ῥέουσι ποταμοὶ καὶ τὴν Μαιῶτιν ἢ τὴν πολλαπλασίαν χώραν αὐτῆς) καὶ διὰ τὴν βραχύτητα τοῦ βάθους· ἀεὶ γὰρ ἐκεῖ βαθυτέρα φαίνεται οὖσα ἡ θάλαττα, καὶ τῆς μὲν Μαιώτιδος ὁ Πόντος, τούτου δ' ὁ Αἰγαῖος...

...Есть довольно много морей, ни въ одномъ мѣстѣ не соединяющихся между собою; *правда*, Красное море повидимому имѣетъ небольшое сообщеніе съ тѣмъ, что за *Ираклювыми* столбами, но Иркапское и Каспійское отдѣлены отъ него, и берега ихъ кругомъ заселены...

§12. Все море по сю сторону Ираклювыхъ столбовъ имѣетъ теченіе соотвѣтственно степени вогнутости земли и числу рѣкъ: Меотида течетъ въ Понтъ, а послѣдній — въ Эгейское море. Во всѣхъ другихъ моряхъ это явленіе менѣе очевидно; (13) въ вышеназванныхъ же оно происходитъ вслѣдствіе множества рѣкъ (въ Евксинъ и Меотиду изливается столько рѣкъ, что онѣ въ нѣсколько разъ превосходятъ площадь послѣдняго) и незначительности глубины: тамъ море, повидимому, чѣмъ дальше, тѣмъ глубже, такъ что Понтъ глубже Меотиды, а Эгейское море — глубже Понта...

Lib. II c. 4 § 47. Ἔστι... περὶ Λύγκον κρήνη τις ὕδατος ὀξέος, περὶ δὲ τὴν Σκυθικὴν πικρά· τὸ δ' ἀπορρέον αὐτῆς τὸν ποταμὸν εἰς ὃν εἰσβάλλει ποιεῖ πικρὸν ὅλον.

...У Линка есть одинъ источникъ кислой воды, а въ Скиѳіи—горькій; вытекающая изъ него *вода* дѣлаетъ горькою цѣлую рѣку, въ которую впадаетъ.

Lib. II c. 5 § 14. Πολὺ... τὸ μῆκος [τῆς οἰκουμένης] διαφέρει τοῦ πλάτους. τὸ

Длина населенной земли сильно разнится отъ ширины: ибо пространство отъ

Digitized by Google

γὰρ ἀπὸ Ἡρακλείων στηλῶν μέχρι τῆς Ἰνδικῆς τοῦ ἐξ Αἰθιοπίας πρὸς τὴν Μαιῶτιν καὶ τοὺς ἐσχατεύοντας τῆς Σκυθίας τόπους πλέον ἢ πέντε πρὸς τρία τὸ μέγεθός ἐστιν, ἐάν τις τούς τε πλοῦς λογίζηται καὶ τὰς ὁδούς, ὡς ἐνδέχεται λαμβάνειν τῶν τοιούτων τὰς ἀκριβείας.

Иракловыхъ столбовъ до Индіи къ пространству отъ Эѳіопіи до Меотиды и самыхъ отдаленныхъ мѣстностей Скиѳіи по величинѣ относится болѣе чѣмъ 5 : 3, если принять въ разсчетъ и морскіе пути и сухіе, на сколько возможно достигнуть точности въ такого рода измѣреніяхъ.

ΠΕΡΙ ΚΟΣΜΟΥ.

О МІРѢ [1]).

(Vol. I pp. 391—401 Bekker).

Cap. III. [2]) Ἀντιπαρήκει τοῖς εἰρημένοις [πελάγεσι καὶ κόλποις] πολυμερέστατος ὢν ὁ Πόντος, οὗ τὸ μὲν μυχαίτατον Μαιῶτις καλεῖται, τὸ δ' ἔξω πρὸς τὸν Ἑλλήσποντον συνανεστόμωται τῇ καλουμένῃ Προποντίδι. Πρός γε μὲν τοῖς ἀνασχέσεσι τοῦ ἡλίου πάλιν εἰσρέων ὁ Ὠκεανὸς τὸν Ἰνδικόν τε καὶ Περσικὸν διανοίξας κόλπον ἀναφαίνει, συνεχῆ τὴν Ἐρυθρὰν θάλασσαν διειληφώς. Ἐπὶ θάτερον δὲ κέρας κατὰ στενόν τε καὶ ἐπιμήκη διῆκων αὐχένα πάλιν ἀνευρύνεται, τήν τ' Ὑρκανίαν τε καὶ Κασπίαν ὁρίζων. Τὸ δ' ὑπὲρ ταύτην βαθὺν ἔχει τὸν ὑπὲρ τὴν Μαιῶτιν λίμνην τόπον, εἶτα κατ' ὀλίγον ὑπὲρ τοὺς Σκύθας τε καὶ Κελτικὴν σφίγγει τὴν οἰκουμένην πρός τε τὸν Γαλατικὸν κόλπον καὶ τὰς... Ἡρακλείους στήλας, ὧν ἔξω περιῤῥέει τὴν γῆν ὁ Ὠκεανός...

Гл. III. Съ противоположной стороны отъ вышеупомянутыхъ [морей и заливовъ] тянется Понтъ, состоящій изъ множества отдѣльныхъ частей; самая отдаленная часть его называется Меотидою, а съ внѣшней стороны онъ суживается къ Геллеспонту такъ называемою Пропонтидою. У восхода солнца снова вливающійся океанъ образуетъ Индійскій и Персидскій заливы, захвативъ рядомъ Красное море. Съ другой стороны, проходя узкимъ и удлиненнымъ рукавомъ, онъ снова расширяется, образуя Иркапское и Каспійское *моря*. *Пространство* выше его имѣетъ глубокое мѣсто выше Меотійскаго озера, затѣмъ понемногу выше Скиѳовъ и Кельтской *земли* суживаетъ населенную *землю* къ Галатскому заливу и... Иракловымъ столпамъ, внѣ которыхъ обтекаетъ землю океанъ...

Εὐρώπη... ἐστὶν ἧς ὅροι κύκλῳ στῆλαί θ' Ἡρακλέους καὶ μυχοὶ Πόντου θάλαττά θ' Ὑρκανία, καθ' ἣν στενώτατος ἰσθμὸς εἰς τὸν Πόντον διήκει· τινὲς δ' ἀπὸ τοῦ ἰσθμοῦ Τάναϊν ποταμὸν εἰρήκασιν. Ἀσία δ' ἐστὶ τὸ ἀπὸ τοῦ εἰρημένου ἰσθμοῦ τοῦ τε Πόντου καὶ τῆς Ὑρκανίας θαλάσσης μέχρι θατέρου ἰσθμοῦ... τινὲς δὲ τὸ ἀπὸ Τανάιδος μέχρι Νείλου στομάτων τίθενται τὸν τῆς Ἀσίας ὅρον.

Европа... предѣлы которой кругомъ — Иракловы столпы, отдаленнѣйшія части Понта и Иркапское море, отъ котораго весьма узкій перешеекъ проходитъ до Понта. Нѣкоторые называютъ отъ перешейка рѣку Танандъ. Азіею *называется часть свѣта* отъ вышесказаннаго перешейка между Понтомъ и Иркапскимъ моремъ до другого перешейка... Нѣкоторые же полагаютъ предѣломъ Азіи пространство отъ Танапда до устьевъ Нила.

ΠΕΡΙ ΤΑ ΖΩΑ ΙΣΤΟΡΙΑΙ.

ИСТОРІИ О ЖИВОТНЫХЪ.

(Въ 10 книгахъ, изъ коихъ двѣ послѣднія считаются подложными. Vol. I pp. 486—638 Bekker).

Lib. III c. 21, 7. Διαφέρει τὸ πλεῖον ἁμᾶσθαι γάλα ἢ ἔλαττον τῶν ἐχόντων γάλα

Большее или меньшее количество молока у млекопитающихъ животныхъ измѣ-

1) «Das Buch ist mitsamt dem einleitenden Brief an Alexander fälschlich dem Aristoteles beigelegt worden». *Christ*, Gesch. d. Griech. Litter. ² S. 408. 2) Haec repetiit I. Stob. *Phys.* I, 34, 2.

Digitized by Google

ζῴων κατά τε τὰ μεγέθη τῶν σωμάτων καὶ τὰς τῶν ἐδεσμάτων διαφοράς, οἷον ἐν Φάσει μέν ἐστι βοίδια μικρά, ὧν ἕκαστον βδάλλεται γάλα πολύ...

няется въ зависимости отъ величины тѣла и различія пищи, какъ напр. на Фасидѣ есть маленькія коровки, изъ коихъ каждая даетъ много молока...

Lib. V c. 19, 14. Περὶ τὸν Ὕπανιν ποταμὸν τὸν περὶ Βόσπορον τὸν Κιμμέριον ὑπὸ τροπὰς θερινὰς καταφέρονται ὑπὸ τοῦ ποταμοῦ οἷον θύλακοι μείζους ῥωγῶν, ἐξ ὧν ῥηγνυμένων ἐξέρχεται ζῷον πτερωτὸν τετράπουν· ζῇ δὲ καὶ πέτεται μέχρι δείλης· καταφερομένου δὲ τοῦ ἡλίου ἀπομαραίνεται καὶ ἅμα δυομένου ἀποθνήσκει, βιῶσαν ἡμέραν μίαν· διὸ καὶ καλεῖται ἐφήμερον.

На рѣкѣ Ипанидѣ у Воспора Киммерійскаго около времени лѣтняго солнцестоянія приносится рѣкою родъ мѣшечковъ величиною побольше пауковъ; когда они лопнутъ, изъ нихъ выходитъ крылатое четвероногое животное; оно живетъ и летаетъ до вечера; при склоненіи солнца къ *западу* оно сохнетъ и вмѣстѣ съ закатомъ умираетъ, прожившн *всего* одинъ день, почему и называется поденкою.

Lib. V c. 22, 8... Ἐν τῷ Πόντῳ εἰσί τινες μέλιτται λευκαὶ σφόδρα, αἳ τὸ μέλι ποιοῦσι δὶς τοῦ μηνός. Ἐν δὲ Θερμισκύρᾳ περὶ τὸν Θερμώδοντα ποταμὸν ἐν τῇ γῇ καὶ ἐν τοῖς σμήνεσι ποιοῦνται κηρία οὐκ ἔχοντα κηρὸν πολύν, ἀλλὰ πάνυ σμικρόν, μέλι δὲ παχύ· τὸ δὲ κηρίον λεῖον καὶ ὁμαλόν ἐστι· οὐκ ἀεὶ δὲ τοῦτο ποιοῦσιν, ἀλλὰ τοῦ χειμῶνος· ὁ γὰρ κιττὸς πολὺς ἐν τῷ τόπῳ ἐστίν, ἀνθεῖ δὲ ταύτην τὴν ὥραν, ἀφ' οὗ φέρουσι τὸ μέλι. Κατάγεται δὲ καὶ εἰς Ἀμισὸν μέλι ἄνωθεν λευκὸν καὶ παχὺ σφόδρα, ὃ ποιοῦσιν αἱ μέλιτται ἄνευ κηρίων πρὸς τοῖς δένδρεσιν· γίνεται δὲ καὶ ἄλλοθι τοιοῦτον ἐν τῷ Πόντῳ.

...Въ Понтѣ есть порода пчелъ, отличающихся чрезвычайной бѣлизной и производящихъ медъ дважды въ мѣсяцъ. А въ Ѳемискирѣ у рѣки Ѳермодонта въ землѣ и въ ульяхъ дѣлаются соты съ очень небольшимъ количествомъ воска и съ густымъ медомъ; сотъ этотъ гладокъ и ровенъ, пчелы производятъ его не постоянно, а только зимою, такъ какъ въ это время года цвѣтетъ плющъ, который въ изобилін растетъ въ этой мѣстности и съ котораго онѣ берутъ медъ. Въ Амисъ также привозится извнутри материка очень бѣлый и густой медъ, который пчелы дѣлаютъ безъ сотовъ на деревьяхъ; такой же *медъ* встрѣчается и въ другихъ мѣстахъ въ Понтѣ.

Lib. VI c. 22, 2... Οἱ Σκύθαι ἱππεύουσι ταῖς κυούσαις ἵπποις, ὅταν θᾶττον στραφῇ τὸ ἔμβρυον, καὶ φασὶ γίνεσθαι αὐτὰς εὐτοκωτέρας.

...Скины ѣздятъ верхомъ на жеребыхъ кобылахъ, когда замѣтятъ особенно быстрое движеніе плода, и говорятъ, что этимъ облегчаются ихъ роды.

Lib. VIII c. 12... Πάντα [τὰ ζῷα] τῆς κατὰ τὸ θερμὸν καὶ ψυχρὸν μεταβολῆς αἴσθησιν ἔχει σύμφυτον... καὶ τὰ μὲν ἐν αὐτοῖς τοῖς συνήθεσι τόποις εὑρίσκεται τὰς βοηθείας, τὰ δ' ἐκτοπίζει, μετὰ μὲν τὴν φθινοπωρινὴν ἰσημερίαν ἐκ τοῦ Πόντου καὶ τῶν ψυχρῶν τόπων φεύγοντα τὸν ἐπιόντα χειμῶνα, μετὰ δὲ τὴν ἐαρινὴν ἐκ τῶν θερμῶν εἰς τοὺς τόπους τοὺς ψυχρούς, φοβούμενα τὰ καύματα, τὰ μὲν ἐκ τῶν ἐγγὺς τόπων ποιούμενα τὰς μεταβολάς, τὰ δὲ

...Всѣ животныя отъ природы чувствительны къ перемѣнамъ тепла и холода... Одни изъ нихъ находятъ себѣ защиту въ обычныхъ мѣстахъ жительства, другія переселяются, именно послѣ осенняго равноденствія — изъ Понта и холодныхъ странъ, спасаясь отъ наступающей зимы, а послѣ весенняго — изъ теплыхъ въ холодныя страны, боясь жаровъ; при этомъ одни переселяются изъ близкихъ мѣстностей, а другія, такъ сказать, съ края свѣта,

Digitized by Google

καὶ ἐκ τῶν ἐσχάτων, ὡς εἰπεῖν, οἷον αἱ γέρανοι ποιοῦσιν· μεταβάλλουσι γὰρ ἐκ τῶν Σκυθικῶν πεδίων εἰς τὰ ἕλη τὰ ἄνω τῆς Αἰγύπτου, ὅθεν ὁ Νεῖλος ῥεῖ...

как напр. журавли: они изъ скиѳскихъ равнинъ переселяются въ болота, лежащія выше Эгипта, откуда течетъ Нилъ...

Lib. VIII c. 13. Τῶν κολιῶν οἱ πολλοὶ εἰς μὲν τὸν Πόντον οὐκ ἐμβάλλουσιν, ἐν δὲ τῇ Προποντίδι θερίζουσι καὶ ἐκτίκτουσι, χειμάζουσι δ' ἐν τῷ Αἰγαίῳ· θυννίδες δὲ καὶ πηλαμύδες καὶ ἄμιαι εἰς τὸν Πόντον ἐμβάλλουσι τοῦ ἔαρος καὶ θερίζουσιν· σχεδὸν δὲ καὶ οἱ πλεῖστοι τῶν ῥυάδων καὶ ἀγελαίων ἰχθύων· εἰσὶ δ' οἱ πλεῖστοι ἀγελαῖοι. Ἔχουσι δ' οἱ ἀγελαῖοι ἡγεμόνας πάντες· εἰσπλέουσι δ' εἰς τὸν Πόντον διά τε τὴν τροφὴν (ἡ γὰρ νομὴ καὶ πλείων καὶ βελτίων διὰ τὸ πότιμον), καὶ τὰ θηρία δὲ τὰ μεγάλα ἐλάττω· ἔξω γὰρ δελφῖνος καὶ φωκαίνης οὐδέν ἐστιν ἐν τῷ Πόντῳ, καὶ ὁ δελφὶς μικρός· ἔξω δ' εὐθὺς προελθόντι μεγάλοι. Διά τε δὴ τὴν τροφὴν εἰσπλέουσι καὶ διὰ τὸν τόπον· τόποι γάρ εἰσιν ἐπιτήδειοι ἐντίκτειν, καὶ τὸ πότιμον καὶ τὸ γλυκύτερον ὕδωρ ἐκτρέφει τὰ κυήματα· ὅταν δὲ τέκωσι καὶ τὰ γενόμενα αὐξηθῇ, ἐκπλέουσιν εὐθὺς μετὰ Πλειάδα...

Большинство «колiевъ» не входятъ въ Понтъ, но проводятъ лѣто и выводятъ дѣтенышей въ Пропонтидѣ, а зимуютъ въ Эгейскомъ морѣ; но тунцы, пиламиды и скумбріи весною входятъ въ Понтъ и тамъ проводятъ лѣто, равно какъ и большая часть идущихъ по теченію и стадныхъ рыбъ; а стадами живетъ большинство рыбъ; всѣ стадныя рыбы имѣютъ вожаковъ. Въ Понтъ онѣ переселяются изъ за пищи (кормъ тамъ и изобильнѣе и лучше вслѣдствіе прѣсноты воды) и потому, что тамъ меньше большихъ морскихъ животныхъ: въ Понтѣ нѣтъ ничего кромѣ дельфиновъ и тюленей, да и дельфины тамъ малы, а по выходѣ изъ него немедленно *попадаются* большіе. Итакъ, *рыбы* переселяются *туда* изъ за пищи, а также и для вывода дѣтенышей: тамъ есть удобныя для этого мѣста, а годная для питья и болѣе прѣсная вода способствуетъ развитію мальковъ. Когда же процессъ размноженія окончится и мальки подрастутъ, они выходятъ изъ Понта немедленно послѣ Плеядъ...

Lib. VIII c. 19. Τῶν ἰχθύων τὸ πλεῖστον γένος εὐθηνεῖ μᾶλλον... ἐν τοῖς ἐπομβρίοις ἔτεσιν· οὐ γὰρ μόνον τότε πλείω τροφὴν ἔχουσιν, ἀλλὰ καὶ ὅλως τὸ ὄμβριον συμφέρει... Σημεῖον δὲ καὶ τὸ τοὺς πλείστους τῶν ἰχθύων εἰς τὸν Πόντον ἐκτοπίζειν θεριοῦντας· διὰ γὰρ τὸ πλῆθος τῶν ποταμῶν γλυκύτερον τὸ ὕδωρ, καὶ τροφὴν οἱ ποταμοὶ καταφέρουσι πολλήν...

Большинство породъ рыбъ бываетъ здоровѣе... въ дождливые годы: тогда онѣ не только находятъ себѣ больше пищи, но и вообще дождливое время имъ полезно... Доказательствомъ этого служитъ и переселеніе большинства рыбъ на лѣто въ Понтъ: вода въ немъ прѣснѣе вслѣдствіе множества *впадающихъ въ него* рѣкъ, и эти рѣки сносятъ въ море изобильный кормъ *для рыбъ*.

Lib. VIII c. 25... [Ὁ ὄνος] δυσριγότατόν ἐστι τῶν τοιούτων ζώων· διὸ καὶ περὶ τὸν Πόντον καὶ τὴν Σκυθικὴν οὐ γίνονται ὄνοι.

...Оселъ изъ всѣхъ животныхъ своего класса наиболѣе чувствителенъ къ холоду; поэтому по берегамъ Понта и въ Скиѳіи ослы не водятся.

Lib. VIII c. 28... Ἐν τῷ Πόντῳ οὔτε τὰ μαλάκια γίγνεται... οὔτε τὰ ὀστρακόδερμα, εἰ μὴ ἔν τισι τόποις ὀλίγα... Ἐν

...Въ Понтѣ не водятся ни моллюски, ни черепокожія, развѣ только въ нѣкоторыхъ мѣстахъ въ небольшомъ количествѣ...

Digitized by Google

μὲν Λιβύῃ εὐθὺς γίνεται κέρατα ἔχοντα τὰ κερατώδη τῶν κριῶν... ἐν δὲ τῷ Πόντῳ περὶ τὴν Σκυθικὴν τοὐναντίον· ἀκέρατα γὰρ γίνονται...

...Ἐν τῇ Σκυθικῇ καὶ Κελτικῇ [οἱ ὄνοι] ὅλως οὐ γίνονται· δυσχείμερα γὰρ ταῦτα.

1 Въ Ливіи бараны рогатой породы прямо родятся съ рогами..., а у Понта въ Скиѳіи, наоборотъ, рога у нихъ совсѣмъ не растутъ...

5 Въ Скиѳіи и Кельтикѣ ослы совершенно не водятся, такъ какъ эти страны очень холодны.

Lib. IX c. 33. Ἐν Σκύθαις ὀρνίθων γένος ἔστιν οὐκ ἔλαττον ὠτίδος· τοῦτο τίκτει δύο νεοττούς, οὐκ ἐπικάθηται δέ, ἀλλ' ἐν δέρματι λαγωοῦ ἢ ἀλώπεκος ἐγκρύψαν ἐᾷ· ἐπ' ἄκρῳ δὲ τῷ δένδρῳ φυλάττει, ὅταν μὴ τύχῃ θηρεύων, κἂν τις ἀναβαίνῃ, μάχεται καὶ τύπτει ταῖς πτέρυξιν, ὥσπερ οἱ ἀετοί.

Въ Скиѳіи водится порода птицъ величиною не меньше дрохвы; она выводитъ не парѣ птенцовъ, но *на яйцахъ* не сидитъ, а завертываетъ *ихъ* въ заячью или *лисью* шкуру и *такъ* оставляетъ, сама же, когда не ищетъ добычи, *сидитъ* на вершинѣ дерева и сторожитъ *яица*; если кто къ *нимъ* приблизится, она нападаетъ и бьетъ крыльями подобно орламъ.

Lib. IX c. 36 extr. Περὶ τὴν Μαιῶτιν λιμνην τοὺς λύκους φασὶ συνήθεις εἶναι τοῖς ποιουμένοις τὴν θήραν τῶν ἰχθύων· ὅταν δὲ μὴ μεταδιδῶσι, διαφθείρειν αὐτῶν τὰ δίκτυα ξηραινόμενα ἐν τῇ γῇ.

У Меотійскаго озера волки, говорятъ, приручены рыболовами; но когда послѣдніе не дадутъ имъ части *добычи*, волки портятъ ихъ сѣти, растянутыя для просушки на землѣ.

Lib. IX c. 47. Λέγεται τῷ Σκυθῶν βασιλεῖ γενέσθαι ἵππον γενναίαν, ἐξ ἧς ἅπαντας ἀγαθοὺς γίνεσθαι τοὺς ἵππους· τούτων ἐκ τοῦ ἀρίστου βουλόμενον γεννῆσαι ἐκ τῆς μητρὸς προσαγαγεῖν, ἵν' ὀχεύσῃ· τὸν δ' οὐ θέλειν· περικαλυφθείσης δὲ λαθόντα ἀναβῆναι· ὡς δ' ὀχεύσαντος ἀπεκαλύφθη τὸ πρόσωπον τῆς ἵππου, ἰδόντα τὸν ἵππον φεύγειν καὶ ῥῖψαι ἑαυτὸν κατὰ τῶν κρημνῶν.

Говорятъ, что у Скиѳскаго царя была *однажды* благородная кобылица, отъ которой всѣ жеребята были очень хороши; желая, чтобы она родила отъ самаго лучшаго изъ нихъ, *царь* подвелъ его къ маткѣ для случки; жеребецъ не хотѣлъ, но когда *кобылицу* закрыли, то, не замѣтивъ, вскочилъ *на нее*. Когда же послѣ случки открыли голову кобылицы, то жеребецъ, увидѣвъ *ее*, убѣжалъ и бросился съ утесовъ.

ΠΕΡΙ ΖΩΩΝ ΜΟΡΙΩΝ.

О ЧАСТЯХЪ ЖИВОТНЫХЪ.

(Въ 4 книгахъ. Vol. I pp. 639—697 Bekk.).

Lib. IV c. 5 § 45. ...Πάντα μὲν οὖν ἐστὶν ὀλιγότροφα τὰ ἔντομα τῶν ζώων... μάλιστα δὲ τὸ τῶν τεττίγων γένος· ἱκανὴ γὰρ τροφὴ τῷ σώματι ἡ ἐκ τοῦ πνεύματος ὑπομένουσα ὑγρότης, καθάπερ τοῖς ἐφημέροις ζῴοις (γίνεται δὲ ταῦτα περὶ τὸν Πόντον), πλὴν ἐκεῖνα μὲν ζῇ μιᾶς ἡμέρας χρόνον, ταῦτα δὲ πλειόνων μὲν ἡμερῶν, ὀλίγων δὲ τούτων.

...Всѣ насѣкомыя нуждаются въ маломъ количествѣ пищи... въ особенности семейство кузнечиковъ: для ихъ тѣла достаточную пищу *составляетъ* вбираемая при дыханіи влага, равно какъ и для поденокъ (водящихся около Понта), только послѣднія живутъ лишь въ продолженіи одного дня, а первые — нѣсколько дней, хотя не много.

Digitized by Google

ΠΕΡΙ ΖΩΩΝ ΓΕΝΕΣΕΩΣ. О РОЖДЕНІИ ЖИВОТНЫХЪ.

(Въ 5 книгахъ. Vol. I pp. 715—789 Bekker).

Lib. II c. 8... Ψυχρὸν τὸ ζῷον ὁ ὄνος ἐστίν· διόπερ ἐν τοῖς χειμερινοῖς οὐ θέλει γίνεσθαι τόποις διὰ τὸ δύσριγον εἶναι τὴν φύσιν, οἷον περὶ Σκύθας καὶ τὴν ὁμορον χώραν...

...Оселъ — животное чувствительное къ холоду; поэтому онъ не водится въ холодныхъ странахъ вслѣдствіе зябкости своей природы, какъ напр. въ Скиѳіи и сосѣднихъ странахъ...

Lib. V c. 3. Εὐθύτριχα ὅσα ὑγρότητ' ἔχει πολλήν· ῥέον γάρ, ἀλλ' οὐ στάζον προέρχεται ἐν ταύταις τὸ ὑγρόν. Καὶ διὰ ταῦτα οἱ μὲν ἐν τῷ Πόντῳ Σκύθαι καὶ Θρᾷκες εὐθύτριχες· καὶ γὰρ αὐτοὶ ὑγροὶ καὶ ὁ περιέχων αὐτοὺς ἀὴρ ὑγρός...

Τὰ δ' ἐν τοῖς ψυχροῖς πρόβατα τοὐναντίον πέπονθε τοῖς ἀνθρώποις· οἱ μὲν γὰρ Σκύθαι μαλακότριχες, τὰ δὲ πρόβατα τὰ Σαυροματικὰ σκληρότριχα.

Прямоволосы тѣ *люди*, въ которыхъ много влажности: ибо влага течетъ у нихъ въ волосахъ, а не сочится по каплямъ. По этому Понтійскіе Скиѳы и Ѳракійцы прямоволосы, такъ какъ и сами они отличаются изобиліемъ влаги, и окружающій ихъ воздухъ влаженъ...

На овецъ холодный климатъ имѣетъ противоположное вліяніе, чѣмъ на людей: Скиѳы мягковолосы, а Савроматскія овцы отличаются жесткою шерстью.

ΠΕΡΙ ΘΑΥΜΑΣΙΩΝ ΑΚΟΥΣΜΑΤΩΝ. О ЧУДЕСНЫХЪ СЛУХАХЪ [1]).

(Vol. II pp. 830—847 Bekk.).

18. Ἐν Τραπεζοῦντι τῇ ἐν τῷ Πόντῳ γίνεται τὸ ἀπὸ τῆς πύξου μέλι βαρύοσμον· καί φασι τοῦτο τοὺς μὲν ὑγιαίνοντας ἐξιστάναι, τοὺς δ' ἐπιλήπτους καὶ τελέως ἀπαλλάττειν.

Въ Понтійскомъ Трапезунтѣ собирается съ буксоваго дерева медъ съ тяжелымъ запахомъ; говорятъ, что здоровыхъ людей онъ лишаетъ разсудка, а одержимыхъ падучею болѣзнью совсѣмъ *убиваетъ* [2]).

---

30. Ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασὶ θηρίον τι γίνεσθαι, σπάνιον μὲν ὑπερβολῇ, ὃ ὀνομάζεται τάρανδος. λέγεται δὲ τοῦτο μεταβάλλειν τὰς χρόας τῆς τριχὸς καθ' ὃν ἂν καὶ τόπον ᾖ. διὰ δὲ τοῦτο εἶναι δυσθήρατον [καὶ διὰ τὴν μεταβολήν]· καὶ γὰρ δένδρεσι καὶ τόποις, καὶ ὅλως ἐν οἷς ἂν ᾖ, τοιοῦτον τῇ χροιᾷ γίνεσθαι. θαυμασιώτατον δὲ τὸ τὴν τρίχα μεταβάλλειν· τὰ γὰρ λοιπὰ τὸν χρῶτα, οἷον ὅ τε χα-

Разсказываютъ, что у Скиѳовъ, называемыхъ Гелонами, водится очень рѣдкое животное, которое называется тарандомъ. Говорятъ, что оно мѣняетъ цвѣтъ шерсти смотря по мѣсту, гдѣ находится; поэтому трудно ловить его, такъ какъ цвѣтъ его шерсти уподобляется цвѣту деревьевъ, мѣстностей и вообще всего, что его окружаетъ; весьма удивительно, что оно мѣняетъ цвѣтъ шерсти, такъ какъ прочія *жи-*

1) «Περὶ θαυμασίων ἀκουσμάτων ist die älteste Schrift in der Litteratur der Wundergeschichten, rührt aber gleichwohl nicht von Aristoteles her, da sie vieles enthält, was erst nach des Aristoteles Tod sich ereignete, wie über Agathokles c. 110 und Kleomenes c. 78». *Christ*, Gesch. d. Griech. Litteratur, [2] S. 409. 2) Cf. Xen. *Anab.* IV, 8, 20 (supra, p. 76). Stob. *Flor.* 100, 13. Aelian. V, 42. Steph. Byz. s. v. Τραπεζοῦς.

Digitized by Google

μαιλέων καὶ ὁ πολύπους. τὸ δὲ μέγεθος ὡσανεὶ βοῦς, τοῦ δὲ προσώπου τὸν τύπον ὅμοιον ἔχει ἐλάφῳ.

вотныя мѣняютъ цвѣтъ кожи, какъ напр. хамелеонъ и полипъ; величиною *оно* съ быка, а складомъ головы похоже на оленя [1]).

---

48. Λέγεται δὲ ἰδιαιτάτην εἶναι γένεσιν σιδήρου τοῦ Χαλυβικοῦ καὶ τοῦ Ἀμισηνοῦ. συμφύεται γάρ, ὥς γε λέγουσιν, ἐκ τῆς ἄμμου τῆς καταφερομένης ἐκ τῶν ποταμῶν. ταύτην δ' οἱ μὲν ἁπλῶς φασι πλύναντας καμινεύειν, οἱ δὲ τὴν ὑπόστασιν τὴν γενομένην ἐκ τῆς πλύσεως πολλάκις πλυθεῖσαν συγκαίειν, παρεμβάλλειν δὲ τὸν πυρίμαχον καλούμενον λίθον· εἶναι δ' ἐν τῇ χώρᾳ πολύν. οὗτος δ' ὁ σίδηρος πολὺ τῶν ἄλλων γίνεται καλλίων. εἰ δὲ μὴ ἐν μιᾷ καμίνῳ ἑκαίετο, οὐδὲν ἄν, ὡς ἔοικε, διέφερε τἀργυρίου. μόνον δέ φασιν αὐτὸν ἀνίωτον εἶναι, οὐ πολὺν δὲ γίνεσθαι.

Разсказываютъ о совершенно особомъ происхожденіи желѣза Халивскаго и Амисскаго: оно образуется, по разсказамъ, изъ песка, несомаго рѣками; песокъ этотъ, по однимъ разсказамъ, просто промываютъ и плавятъ на огнѣ, а по другимъ—образовавшійся отъ промывки осадокъ нѣсколько разъ *еще* промываютъ и *потомъ* плавятъ, прибавляя такъ называемый огнеупорный камень, коего много въ той странѣ; этотъ *родъ* желѣза гораздо лучше прочихъ, и если бы оно плавилось не въ одной печи, то, кажется, ничѣмъ не отличалось бы отъ серебра. Только одно это *желѣзо*, по разсказамъ, не подвергается ржавчинѣ; но добывается оно въ незначительномъ количествѣ.

---

62. Φασὶ τὸν Μοσσύνοικον χαλκὸν λαμπρότατον καὶ λευκότατον εἶναι, οὐ παραμιγνυμένου αὐτῷ κασσιτέρου, ἀλλὰ γῆς τινος αὐτοῦ γινομένης καὶ συνεψομένης αὐτῷ. λέγουσι δὲ τὸν εὑρόντα τὴν κρᾶσιν μηδένα διδάξαι· διὸ τὰ προγεγονότα ἐν τοῖς τόποις χαλκώματα διάφορα, τὰ δ' ἐπιγιγνόμενα οὐκέτι.

Разсказываютъ, что Моссинникская мѣдь отличается яркимъ блескомъ и чрезвычайною бѣлизною; къ ней примѣшивается не олово, но особый сортъ тамошней земли, которая плавится вмѣстѣ съ мѣдью; говорятъ, что изобрѣтатель такого сплава никому не открылъ *своего секрета*; поэтому старинныя мѣдныя издѣлія этой страны отличаются *превосходными качествами*, а позднѣйшія уже не *имѣютъ ихъ*.

---

63. Ἐν τῷ Πόντῳ λέγουσι τοῦ χειμῶνος τῶν ὀρνέων τινὰ εὑρίσκεσθαι φωλεύοντα, οὔτε ἀφοδεύοντα, οὔτε δὲ ὅταν τὰ πτερὰ αὐτῶν τίλλωσιν αἰσθάνεσθαι, οὔτε ὅταν ἐπὶ τῶν ὀβελίσκων ἀναπαρῇ, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διακαυθῇ. πολλοὺς δὲ καὶ τῶν ἰχθύων λέγουσι περικοπέντας καὶ περιτμηθέντας μὴ αἰσθάνεσθαι, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διαθερμανθῶσιν.

Говорятъ, что въ Понтѣ встрѣчаются нѣкоторыя птицы, гнѣздящіяся зимою; онѣ не даютъ помета, не чувствуютъ боли, когда у нихъ выщипываютъ перья и втыкаютъ ихъ на вертелъ, а только *тогда*, когда ихъ жарятъ на огнѣ. Разсказываютъ также, что многія рыбы не чувствуютъ, когда ихъ разрѣзываютъ и разрубаютъ, и *чувствительны* только къ согрѣванію огнемъ.

---

105. Φασὶ δὲ καὶ τὸν Ἴστρον ῥέοντα ἐκ τῶν Ἑρκυνίων καλουμένων δρυμῶν σχί-

Разсказываютъ, что Истръ, вытекая изъ такъ называемыхъ Еркинскихъ лѣсовъ,

1) Cf. Theophr. fr. 172 (infra, p. 388). Antig. *Hist. mir.* c. 25. Ael. II, 16. Steph. Byz. s. v. Γελωνοί (supra, p. 258).

Digitized by Google

ζεσθαι, καὶ τῇ μὲν εἰς τὸν Πόντον ῥεῖν, τῇ δὲ εἰς τὸν Ἀδρίαν ἐκβάλλειν. σημεῖον δὲ οὐ μόνον ἐν τοῖς νῦν καιροῖς ἑωράκαμεν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀρχαίων μᾶλλον, οἷον τὰ ἐκεῖ ἄπλωτα εἶναι· καὶ γὰρ Ἰάσονα τὸν μὲν εἰσπλουν κατὰ Κυανέας, τὸν δὲ ἐκ τοῦ Πόντου ἔκπλουν κατὰ τὸν Ἴστρον ποιήσασθαί φασι· καὶ φέρουσιν ἄλλα τε τεκμήρια οὐκ ὀλίγα, καὶ κατὰ μὲν τὴν χώραν βωμοὺς ὑπὸ τοῦ Ἰάσονος ἀνακειμένους δεικνύουσιν, ἐν δὲ μιᾷ τῶν νήσων τῶν ἐν τῷ Ἀδρίᾳ ἱερὸν Ἀρτέμιδος ὑπὸ Μηδείας ἱδρυμένον...

раздѣляется *на рукава* и однимъ течетъ въ Понтъ, а другимъ впадаетъ въ Адріатическое море. Доказательство *этого* мы видимъ не только въ наше время, но еще болѣе въ старину, какъ *напр.* то, что его верховья не судоходны. Такъ объ Іасонѣ разсказываютъ, что въѣхалъ онъ *въ Понтъ* у Кіаней, а выѣхалъ изъ Понта по Истру; приводятъ не мало и другихъ свидѣтельствъ *этого*, а также показываютъ въ *той* мѣстности жертвенники, посвященные Іасономъ, а на одномъ изъ острововъ Адріатики храмъ Артемиды, построенный Мидіей...[1])

---

141. Φασὶ τὸ Σκυθικὸν φάρμακον, ᾧ ἀποβάπτουσι τοὺς ὀϊστούς, συντίθεσθαι ἐξ ἐχίδνης. τηροῦσι δέ, ὡς ἔοικεν, οἱ Σκύθαι τὰς ἤδη ζωοτοκούσας, καὶ λαβόντες αὐτὰς τήκουσιν ἡμέρας τινάς. ὅταν δὲ ἱκανῶς αὐτοῖς δοκῇ σεσῆφθαι πᾶν, τὸ τοῦ ἀνθρώπου αἷμα εἰς χυτρίδιον ἐγχέοντες εἰς τὰς κοπρίας κατορύττουσι πωμάσαντες. ὅταν δὲ καὶ τοῦτο σαπῇ, τὸ ὑφιστάμενον ἐπάνω τοῦ αἵματος, ὃ δή ἐστιν ὑδατῶδες, μιγνύουσι τῷ τῆς ἐχίδνης ἰχῶρι, καὶ οὕτω ποιοῦσι θανάσιμον.

Разсказываютъ, что скиѳскій ядъ, которымъ пропитываютъ стрѣлы, добывается изъ ехидны. Скиѳы, кажется, подстерегаютъ уже родившихъ живыхъ *дѣтенышей*, ловятъ *ихъ* и оставляютъ гнить нѣсколько дней; когда имъ покажется все достаточно сгнившимъ, они наливаютъ человѣческую кровь въ горшечекъ, закрываютъ его и зарываютъ въ навозъ, а когда и это сгніетъ, то водянистый отстой, образующійся надъ кровью, смѣшиваютъ съ гноемъ ехидны и такимъ образомъ дѣлаютъ смертоносный *ядъ*[2]).

---

158. Ἐν τῷ Φάσιδι ποταμῷ γεννᾶσθαι ῥάβδον ὀνομαζομένην λευκόφυλλον, ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον, καὶ ἀνόθευτον τηροῦσι τὸν γάμον.

Разсказываютъ, что въ рѣкѣ Фасидѣ растетъ лоза, называемая бѣлолистникомъ, которую ревнивые мужья срываютъ и разбрасываютъ вокругъ брачнаго покоя и *такимъ образомъ* сохраняютъ свой бракъ неосквернennымъ[3]).

---

168. Ῥῆνος καὶ Ἴστρος οἱ ποταμοὶ ὑπ' ἄρκτον ῥέουσιν, ὁ μὲν Γερμανούς, ὁ δὲ Παίονας παραμείβων· καὶ θέρους μὲν ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, τοῦ δὲ χειμῶνος παγέντες ὑπὸ κρύους ἐν πεδίου σχήματι καθιππεύονται.

Рѣки Рейнъ и Истръ текутъ по сѣвернымъ странамъ, первый мимо Германцевъ, второй мимо Пэоновъ; лѣтомъ они судоходны, а зимой замерзаютъ отъ холода и по нимъ ѣздятъ верхомъ, какъ по равнинѣ[4]).

ΠΡΟΒΛΗΜΑΤΑ. ПРОБЛЕМЫ.

(V. II pp. 859—967 Bekker).

ΙΘ, 28. Διὰ τί νόμοι καλοῦνται οὓς ᾄδουσιν; ἢ ὅτι πρὶν ἐπίστασθαι γράμματα,

Почему *нѣкоторыя* пѣсни называются νόμοι, *т. е. законами?* Не потому ли, что

1) Cf. Strab. I, 3, 15 (supra p. 97). Arist. *hist. an.* 8, 15. Eust. *ad Dion.* v. 298 (supra, p. 194).
2) Cf. Ael. IX, 15. Plin. *N. h.* XI, 53, 279. 3) Cf. [Plut.] *de fluv.* 5. 4) Cf. Herodian. *hist.* 6, 7.

Digitized by Google

ἥδον τοὺς νόμους, ὅπως μὴ ἐπιλάθωνται, ὥσπερ ἐν Ἀγαθύρσοις ἔτι εἰώθασιν; καὶ τῶν ὑστέρων οὖν ᾠδῶν τὰς πρώτας τὸ αὐτὸ ἐκάλεσαν ὅπερ τὰς πρώτας.

до изобрѣтенія письменности пѣли законы, чтобы не забыть ихъ, какъ это *и теперь* еще въ обычаѣ у Агаѳирсовъ? Поэтому и назвали первыя строфы позднѣйшихъ пѣсенъ тѣмъ же именемъ, что и прежнія.

ΚΕ, 6. Διὰ τί ἐν τῷ Πόντῳ καὶ ψύχη μάλιστα καὶ πνίγη; ἢ διὰ τὴν παχύτητα τοῦ ἀέρος; τοῦ μὲν γὰρ χειμῶνος οὐ δύναται διαθερμαίνεσθαι, τοῦ δὲ θέρους, ὅταν θερμανθῇ, κάει διὰ τὴν παχύτητα. ἡ δὲ αὐτὴ αἰτία καὶ διότι τὰ ἑλώδη τοῦ μὲν χειμῶνος ψυχρά, τοῦ δὲ θέρους θερμά. ἢ διὰ τὴν τοῦ ἡλίου φοράν; τοῦ μὲν γὰρ χειμῶνος πόρρω γίνεται, τοῦ δὲ θέρους ἐγγύς.

Почему въ Понтѣ *бываютъ* величайшіе холода и жары? Не вслѣдствіе ли густоты воздуха? Ибо зимою онъ не можетъ нагрѣваться, а лѣтомъ, когда нагрѣется, жжетъ вслѣдствіе своей плотности. По той же причинѣ и болотистыя мѣстности зимою отличаются холодомъ, а лѣтомъ — жарами. Или вслѣдствіе движенія солнца? Ибо зимою оно бываетъ далеко *отъ нихъ*, а лѣтомъ — близко.

ΠΡΟΒΛΗΜΑΤΑ ΑΝΕΚΔΟΤΑ.

НЕИЗДАННЫЯ ПРОБЛЕМЫ.

II, 72. Διὰ τί Αἰθίοπες μὲν οὐλότριχες, Σκύθαι δὲ καὶ οἱ πρὸς ἄρκτον εὐθύτριχες; Ἢ διότι ξηραινομένη ἡ θρὶξ ὑπὸ τοῦ ἡλίου συγκάμπτεται ὥσπερ καὶ τὰ ἄλλα, οἱ δ' Αἰθίοπες πρὸς τῷ ἡλίῳ καὶ ἐν ὑπερβολῇ θερμοῦ διατελοῦσιν, οἱ δὲ Σκύθαι ἐν ψυχρῷ τόπῳ, ὅπουπερ τὸ ὑγρὸν τὸ ἐν ταῖς θριξὶν οὐκ ἐξατμίζει ὁ ἥλιος, ὥστ' οὐδὲ συγκάμπτονται...

Почему Эѳіопы курчавы, а Скиѳы и *вообще* сѣверные народы прямоволосы? Не потому-ли, что высушиваемый солнцемъ волосъ скручивается подобно другимъ *предметамъ*, а Эѳіопы живутъ ближе къ солнцу и въ чрезвычайномъ зноѣ, *между тѣмъ какъ* Скиѳы *живутъ* въ холодной странѣ, гдѣ солнце не испаряетъ находящейся въ волосахъ влаги, такъ что *они и* не скручиваются?...

II, 168. ...οἱ ὄνοι δύσριγοι καὶ ψυχροί· σημεῖον δὲ τούτου· οὐ γὰρ γίνονται ἐν Σκυθίᾳ ὄνοι.

...Ослы чувствительны къ морозу и зябки. Доказательствомъ этого *служитъ то, что* ослы не водятся въ Скиѳіи.

III, 45. Διὰ τί ἡ Ὑρκανία λίμνη πότιμος οὖσα πλύνει καὶ ῥύπτει τὰ ἱμάτια; Πλύνει μὲν τῷ γλυκεῖ, ῥύπτει δὲ τῷ πικρῷ...

Почему Иркапское озеро, имѣющее прѣсную воду, моетъ и очищаетъ платья? Моетъ прѣснотою, а очищаетъ горечью...

ΗΘΙΚΑ ΝΙΚΟΜΑΧΕΙΑ.

НИКОМАХОВСКАЯ ЭТИКА.

(Въ 10 книгахъ. Vol. II pp. 1094—1191 Bekk.).

Lib. VII c. 6. ...λέγω δὲ τὰς θηριώδεις [ἕξεις]... οἷοις χαίρειν φασὶν ἐνίους τῶν ἀπηγριωμένων περὶ τὸν Πόντον, τοὺς μὲν ὠμοῖς τοὺς δὲ ἀνθρώπων κρέασι, τοὺς δὲ τὰ παιδία δανείζειν ἀλλήλοις εἰς εὐωχίαν...

...Я называю звѣрскими [привычками *такія*], какими, говорятъ, наслаждаются нѣкоторыя одичалыя *племена* вокругъ Понта: одни изъ нихъ *ѣдятъ* сырое мясо, другіе — человѣческое, третьи одолжаютъ другъ другу дѣтей для пиршествъ...

Lib. VII c. 7 § 6. ...ἐν τοῖς Σκυθῶν βασιλεῦσιν ἡ μαλακία διὰ τὸ γένος καὶ ὡς τὸ θῆλυ πρὸς τὸ ἄρρεν διέστηκεν.

...Скиѳскіе цари отъ природы изнѣженны и отличаются *отъ другихъ людей*, какъ женщины отъ мужчинъ.

Digitized by Google

ΠΟΛΙΤΙΚΑ.

ПОЛИТИКА.

(Въ 8 книгахъ. V. II pp. 1252—1342 Bekker).

Lib. VII c. II § 6... Ἐν Σκύθαις οὐκ ἐξῆν πίνειν ἐν ἑορτῇ τινι σκύφον περιφερόμενον τῷ μηθένα ἀπεκταγκότι πολέμιον. ἐν δὲ τοῖς Ἴβηρσιν, ἔθνει πολεμικῷ, τοσούτους τὸν ἀριθμὸν ὀβελίσκους καταπηγνύουσι περὶ τὸν τάφον ὅσους ἂν διαφθείρῃ τῶν πολεμίων.

У Скиѳовъ не позволялось пить круговую чашу во время одного праздника тому, кто *еще* не убилъ ни одного врага; а у воинственнаго народа Иверовъ вокругъ могилы втыкаютъ столько колышковъ, сколько умершій истребилъ враговъ.

Lib. VIII c. IV § 4. Πολλὰ δ' ἐστὶ τῶν ἐθνῶν ἃ πρὸς τὸ κτείνειν καὶ πρὸς τὴν ἀνθρωποφαγίαν εὐχερῶς ἔχει, καθάπερ τῶν περὶ τὸν Πόντον Ἀχαιοί τε καὶ Ἡνίοχοι καὶ τῶν ἠπειρωτικῶν ἐθνῶν ἕτερα, τὰ μὲν ὁμοίως τούτοις, τὰ δὲ μᾶλλον· ἃ λῃστρικά μέν ἐστιν, ἀνδρίας δὲ οὐ μετειλήφασιν...

Есть много народовъ, склонныхъ къ убійству и людоѣдству, какъ напр. изъ числа припонтійскихъ Ахейцы и Иніохи, а равно и другія племена изъ живущихъ на материкѣ, одни подобно этимъ, а другія *еще* больше *ихъ*; они ведутъ разбойничій образъ жизни, но храбростію не отличаются...

OIKONOMIKA.

ЭКОНОМІЯ.

(Въ 2 книгахъ. Vol. II pp. 1343—1353 Bekk.).

Lib. II c. II § 8. Ἡρακλεῶται πέμποντες ναῦς τεσσαράκοντα ἐπὶ τοὺς ἐν Βοσπόρῳ τυράννους, οὐκ εὐπορούμενοι χρημάτων παρὰ τῶν εὐπόρων συνηγόρασαν τὸν τε σῖτον πάντα καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον καὶ τὴν ἄλλην ἀγοράν...

Ираклеоты, посылая *однажды* сорокъ кораблей противъ Воспорскихъ тирановъ, и имѣя недостатокъ въ денежныхъ средствахъ, закупили у богачей весь хлѣбъ, масло, вино и прочіе товары...

ΑΠΟΣΠΑΣΜΑΤΑ.

ОТРЫВКИ.

[Текстъ: Aristotelis opera, ed. Academia regia Borussica, vol. V: Fragmenta coll. Val. Rose, 1870].

ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

О СПРАВЕДЛИВОСТИ.

P. 1487, fragm. 72 (Athen. epit. I p. 6[d]): ἄλλοι δὲ φίλιχθυν τὸν Φιλόξενόν φασιν. Ἀριστοτέλης δὲ φιλόδειπνον ἁπλῶς, ὃς καὶ γράφει που ταῦτα· «δημηγοροῦντες ἐν τοῖς ὄχλοις κατατρίβουσιν ὅλην τὴν ἡμέραν ἐν τοῖς Θαύμασι καὶ πρὸς τοὺς ἐκ τοῦ Φάσιδος ἢ Βορυσθένους καταπλέοντας, ἀνεγνωκότες οὐδὲν πλὴν εἰ τὸ Φιλοξένου δεῖπνον οὐδ' ὅλον».

Другіе называютъ Филоксена любителемъ рыбы, а Аристотель вообще гастрономомъ; онъ гдѣ-то пишетъ такъ: «народные ораторы проводятъ цѣлый день на представленіяхъ фокусниковъ и *въ болтовнѣ* съ пріѣзжающими изъ Фасида или Борисѳена, не читая ничего, кромѣ обѣда Филоксена, да и то не цѣлаго».

ΠΕΡΙ ΤΩΝ ΠΥΘΑΓΟΡΕΙΩΝ, fr. 186 v. infra ap. Iambl. de vita Pythag. c. 28.

Digitized by Google

ΕΚ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΙΚΟΥ ΠΕΠΛΟΥ

ΕΙΣ ΤΟΥΣ ΗΡΩΑΣ ΕΠΙΤΑΦΙΑ.

5. Ἐπὶ Ἀχιλλέως, τιμωμένου ἐν Λεύκῃ τῇ νήσῳ.

Παῖδα θεᾶς Θέτιδος, Πηληϊάδην Ἀχιλῆα,
ἥδ' ἱερὰ νῆσος ποντιὰς ἀμφὶς ἔχει.

43. Ἐπὶ Αἰήτου, κειμένου ἐν Κολχίδι.

Αἰήτην Κόλχοισι πολυχρύσοισιν ἄνακτα
ἐνθάδε πανδαμάτωρ μοῖρα θεῶν κτέρισεν.

ИЗЪ АРИСТОТЕЛЕВА СОЧИНЕНІЯ «ПЕПЛОСЪ».

ЕПИТАФІИ ГЕРОЕВЪ.

[Текстъ: Bergk, PLG. II⁴ p. 345 sq.].

5. Надъ Ахилломъ, чтимымъ на островѣ Бѣломъ.

Сына богини Θетиды, Пелееву отрасль, Ахилла
Островъ сей Понта святой въ лонѣ своемъ бережетъ.

43. Надъ Ээтомъ, погребеннымъ въ Колхидѣ.

Златомъ богатыхъ Колхиды сыновъ владыку Ээта
Всепокоряющій здѣсь божескій рокъ схоронилъ.

ΣΧΟΛΙΑ ΕΙΣ ΑΡΙΣΤΟΤΕΛΗ.

СХОЛІИ КЪ АРИСТОТЕЛЮ.

[Текстъ: Scholia in Aristotelem collegit Chr. A. Brandis, ed. Academia regia Borussica. Berol. 1836 = т. IV полнаго собранія сочиненій Аристотеля, изд. Берлинской Академіи].

ΕΙΣ ΤΑ ΥΣΤΕΡΑ ΑΝΑΛΥΤΙΚΑ.

Εἰς τὸ β'. (P. 220 ed. Ac.)... τὴν τοιαύτην, φησίν [ὁ Θεμίστιος], αἰτίαν καὶ Ἀνάχαρσις ὁ Σκύθης ἀποδέδωκε τοῦ μὴ εἶναι ἐν Σκύθαις αὐλητρίδας· ἐρωτηθεὶς γὰρ εἰ οὐκ εἰσὶν ἐν Σκύθαις αὐλητρίδες, ἀπεκρίθη «οὐδαμῶς, ἐπειδὴ οὐδὲ ἄμπελοι». πόρρω γὰρ καὶ οὗτος ἀποδέδωκε τὸ αἴτιον τοῦ μὴ εἶναι ἐν Σκύθαις αὐλητρίδας· προσεχὲς μὲν γὰρ αἴτιον ἦν τοῦ μὴ εἶναι αὐλητρίδας τὸ μὴ μεθύσκεσθαι, τοῦ δὲ μὴ μεθύσκεσθαι τὸ μὴ εἶναι ἀμπέλους. φέρεται δὲ τοῦτο ἐν τοῖς ἀρχαίοις ἀπομνημονεύμασιν.

Io. Philoponus, f. 39.

(Ibid.)... τοιαύτην αἰτίαν καὶ Ἀνάχαρσις ἀπέδωκε τοῦ μὴ εἶναι παρὰ Σκύθαις αὐλητρίδας τῷ μὴ εἶναι ἀμπέλους.

Themist. f. 6 *b*.

КЪ ПОЗДНѢЙШЕЙ АНАЛИТИКѢ.

Къ кн. 2-й... [Θемистій] говоритъ, что подобною причиною и Скиѳъ Анахарсидъ объяснилъ отсутствіе флейтистокъ у Скиѳовъ: на вопросъ, нѣтъ ли въ Скиѳіи флейтистокъ, онъ отвѣчалъ: «вовсе нѣтъ, ибо нѣтъ и виноградныхъ лозъ». Онъ тоже привелъ отдаленную причину отсутствія флейтистокъ въ Скиѳіи: ближайшею причиною отсутствія флейтистокъ было отсутствіе пьянства, а *причиною* послѣдняго — отсутствіе лозъ. Это приводится въ старинныхъ достопамятныхъ изреченіяхъ.

Digitized by Google

ΕΙΣ ΤΑ ΠΕΡΙ ΟΥΡΑΝΟΥ.

Εἰς τὸ β′ (p. 492). Οἱ ἀρχαιότατοι τῶν μαθηματικῶν κατὰ πέντε κύκλους ἔτεμον τὸν οὐρανόν. τὸν μὲν πρῶτον ἀρκτικὸν ὠνόμαζον, διότι ὁ ἀστὴρ ἡ ἄρκτος ἐστὶν ἐκεῖ κατηστερισμένη... τὸν δὲ δεύτερον κύκλον θερινὸν ὠνόμασαν τροπικόν, τὸν δὲ τρίτον ἰσημερινόν, καὶ τὸν τέταρτον χειμερινὸν τροπικόν, τὸν δὲ πέμπτον ἀνταρκτικόν· πάλιν γὰρ κἀκεῖσε ἄρκτος ἐστὶ κατηστερισμένη. τοὺς μὲν οὖν τρεῖς κύκλους τοὺς μέσους ὁ ἥλιος δίεισιν, οὓς καὶ ἀοικήτους εἶναί φασι διὰ τὸ ἐν αὐτοῖς τὸν ἥλιον διέναι. ὁμοίως δὲ πάλιν ἀοικήτους εἶναι λέγουσι καὶ τοὺς ἑτέρους δύο κύκλους, τόν τε ἀρκτικὸν καὶ τὸν ἀνταρκτικόν... καθὸ τοῖς πόλοις πλησιάζουσιν. ἀοικήτους δὲ καὶ τούτους εἶναί φασι διὰ τὰς ὑπερβαλλούσας ψύξεις καὶ διὰ τὸ πάντῃ πόρρω τούτων ἀφεστηκέναι τὸν ἥλιον. μέσον δὲ ἡμᾶς λέγουσι κατοικεῖν τοῦ τε ἀρκτικοῦ κύκλου τοῦ τῷ βορείῳ πόλῳ ἐγγίζοντος καὶ τοῦ θερινοῦ τροπικοῦ, τοὺς μὲν Σκύθας τοὺς Ῥῶς καὶ τἆλλα ἔθνη τὰ ὑπερβόρεια τῷ κύκλῳ τῷ ἀρκτικῷ πλησιάζοντα, τοὺς δὲ Αἰθίοπας καὶ τοὺς Ἄραβας καὶ τοὺς ἄλλους τῷ θερινῷ τροπικῷ, ὅθεν οὐδὲ ψύχους αἰσθάνεσθαί φασι τούτους· τοὺς δὲ Ἕλληνας μέσους τῶν τε ὑπερβορείων ἐθνῶν καὶ τῶν τῇ ἀνατολῇ πλησιαζόντων οἰκεῖν, ὅθεν καὶ φρονιμωτάτους εἶναι τῶν ἄλλων καὶ τὰς μάχας ῥωμαλεωτέρους καὶ ἀνδρικωτέρους, ὡς τὸν εὐκρατότερον τόπον οἰκοῦντας...

Cod. Reg. 1853.

КЪ СОЧИНЕНІЮ «О НЕБѢ».

Къ кн. 2-й... Древнѣйшіе математики раздѣлили небо на пять поясовъ: первый *они* называли арктическимъ, потому что тамъ находится звѣзда ἄρκτος [т. е. Медвѣдица]... Второй поясъ *они* назвали лѣтнимъ тропическимъ, третій — равноденственнымъ, четвертый — зимнимъ тропическимъ и пятый — антарктическимъ; ибо и тамъ опять находится Медвѣдица. По тремъ среднимъ поясамъ проходитъ солнце, и говорятъ, что они необитаемы вслѣдствіе того, что по нимъ проходитъ солнце. Равнымъ образомъ опять необитаемы, говорятъ, и два другіе пояса, арктическій и антарктическій... ибо они близки къ полюсамъ. Они тоже необитаемы, говорятъ, по причинѣ чрезвычайныхъ холодовъ и того, что солнце повсюду далеко отстоитъ отъ нихъ. Мы, говорятъ, заселяемъ среднее пространство между арктическимъ поясомъ, близкимъ къ сѣверному полюсу, и лѣтнимъ тропическимъ, при чемъ Скиѳы-Русь и другіе иперборейскіе народы живутъ ближе къ арктическому поясу, а Эѳіопы, Арабы и др. къ лѣтнему тропическому, почему они, говорятъ, не терпятъ и холода; Эллины же живутъ между иперборейскими народами и близкими къ востоку, почему и являются самыми разумными среди прочихъ, болѣе сильными и мужественными въ битвахъ, ибо живутъ въ болѣе благорастворенномъ климатѣ...

ΘΕΟΦΡΑΣΤΟΣ. ΘΕΟΦΡАСТЪ.

[Θеофрастъ Ересскій, ученикъ Аристотеля, жилъ между 372 и 287 гг. до Р. Хр. — Текстъ: Theophrasti Eresii opera quae supersunt omnia. Ex recogn. Frid. Wimmer. Lipsiae ap. Teubnerum 1854—62, 3 voll.].

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑ.

Lib. IV c. V § 3. ...Ἐν τῷ Ὀλύμπῳ δάφνη μὲν πολλή, μύρρινος δὲ ὅλως οὐκ ἔστιν. ἐν δὲ τῷ Πόντῳ περὶ Παντικάπαιον οὐδ' ἕτερον καίπερ σπουδαζόντων καὶ πάντα μηχανωμένων πρὸς τὰς ἱεροσύνας· συκαῖ δὲ πολλαὶ καὶ εὐμεγέθεις καὶ ῥοιαὶ δὲ περισκε-

О РАСТЕНІЯХЪ.

На Олимпѣ много лавра, а мирта вовсе нѣтъ. Въ Понтѣ у Пантикапея *нѣтъ* ни того, ни другаго, хотя *жители* стараются *разводить ихъ* и принимаютъ *для этого* всякія мѣры ради священнодѣйствій. Смоковницы *тамъ растутъ* въ изобиліи и

Digitized by Google

παζόμεναι· ἄπιοι δὲ καὶ μηλέαι πλεῖσται καὶ παντοδαπώταται καὶ χρησταί· αὗται δ' ἐαρινοὶ πλὴν εἰ ἄρα ὄψιαι· τῆς δὲ ἀγρίας ὕλης ἐστὶ δρῦς πτελέα μελία καὶ ὅσα τοιαῦτα· πεύκη δὲ καὶ ἐλάτη καὶ πίτυς οὐκ ἔστιν οὐδὲ ὅλως οὐδὲν ἔνδαδον· ὑγρὰ δὲ αὕτη καὶ χείρων πολὺ τῆς σινωπικῆς, ὥστ' οὐδὲ πολὺ χρῶνται αὐτῇ πλὴν πρὸς τὰ ὑπαίθρια. ταῦτα μὲν οὖν περὶ τὸν Πόντον ἢ ἔν τισί γε τόποις αὐτοῦ...

достигаютъ значительной вышины, а также и гранаты, если ихъ покрывать *на зиму*; грушъ и яблонь очень много, всевозможныхъ сортовъ и хорошаго качества; онѣ весенняго за исключеніемъ позднихъ. Изъ дикорастущихъ деревьевъ *тамъ* есть дубъ, вязъ, ясень и т. под.; нѣтъ сосны, ели и пиніи и вообще никакихъ смолистыхъ деревьевъ; *мясъ* этотъ сыръ и значительно хуже синопскаго, такъ что даже мало идетъ въ дѣло, кромѣ *построекъ* подъ открытымъ небомъ. Вотъ что *растетъ* вокругъ Понта или, по крайней мѣрѣ, въ нѣкоторыхъ его мѣстностяхъ...

Lib. IV c. XIV § 13. Ἐν τῷ Πόντῳ περὶ Παντικάπαιον αἱ μὲν ἐκπήξεις γίνονται διχῶς, ὁτὲ μὲν ὑπὸ ψύχους ἐὰν χειμέριον ᾖ τὸ ἔτος, ὁτὲ δὲ ὑπὸ πάγων, ἐάν γε πολὺν χρόνον διαμένωσι. ἀμφότερα δὲ μάλιστα γίγνονται μετὰ τὰς τροπὰς μετὰ τὰς τετταράκοντα. γίνονται δὲ οἱ μὲν πάγοι ταῖς αἰθρίαις, τὰ δὲ ψύχη μάλιστα, ὑφ' ὧν ἡ ἔκπηξις, ὅταν αἰθρίας οὔσης αἱ λεπίδες καταφέρωνται. ταῦτα δ' ἐστὶν ὥσπερ τὰ ξύσματα πλὴν πλατύτερα, καὶ φερόμενα φανερά, πεσόντα δὲ οὐ διαμένει [1])...

Въ Понтѣ у Пантикапэя вымерзаніе *растеній* происходитъ двоякимъ образомъ: иногда отъ холода, если годъ суровъ, а иногда отъ морозовъ, если они стоятъ долгое время. И то и другое бываетъ преимущественно послѣ солноворотовъ, черезъ 40 *дней*. Морозы бываютъ въ ясную погоду, а холода, отъ которыхъ *происходитъ* вымерзаніе, преимущественно *тогда*, когда при ясной погодѣ падаютъ *снѣжныя* чешуйки; онѣ похожи на пылинки, но пошире, и во время паденія замѣтны, а когда упадутъ, то исчезаютъ...

Lib. VII c. XIII § 8. Τῶν δὲ βολβῶν ὅτι πλείω γένη φανερόν, καὶ γὰρ τῷ μεγέθει καὶ τῇ χρόᾳ καὶ τοῖς σχήμασι διαφέρουσι καὶ τοῖς χυλοῖς· ἐνιαχοῦ γὰρ οὕτω γλυκεῖς ὥστε καὶ ὠμοὺς ἐσθίεσθαι, καθάπερ ἐν Χερρονήσῳ τῇ Ταυρικῇ.

Очевидно, что есть довольно много видовъ луковицъ: онѣ различаются и величиной, и цвѣтомъ, и видомъ, и соками; въ нѣкоторыхъ мѣстностяхъ онѣ такъ сладки, что употребляются въ пищу сырыми, какъ напр. въ Херсонисѣ Таврическомъ.

Lib. IX c. XIII § 2. Γλυκεῖα δὲ καὶ ἡ σκυθικὴ [ῥίζα]· καὶ ἔνιοι δὲ καλοῦσιν εὐθὺς γλυκεῖαν αὐτήν· γίνεται δὲ περὶ τὴν Μαιῶτιν· χρησίμη δὲ πρός τε τὰ ἄσθματα καὶ πρὸς τὴν βῆχα ξηρὰν καὶ ὅλως τοὺς περὶ τὸν θώρακα πόνους· ἔτι δὲ πρὸς τὰ ἕλκη ἐν μέλιτι· δύναται δὲ καὶ τὴν δίψαν παύειν ἐάν τις ἐν τῷ στόματι ἔχῃ· δι' ὃ ταύτῃ τε καὶ τῇ ἱππάκῃ διάγειν φασὶ τοὺς Σκύθας ἡμέρας καὶ ἕνδεκα καὶ δώδεκα.

Сладокъ и «Скиѳскій корень»; нѣкоторые прямо называютъ его «сладкимъ». Онъ растетъ у Меотиды; полезенъ противъ удушья, противъ сухого кашля и вообще противъ грудныхъ болѣзней; кромѣ того въ медѣ *полезенъ* противъ ранъ; можетъ также утолять жажду, если держать *его* во рту; поэтому, какъ говорятъ, Скиѳы довольствуются имъ и иппакою по одиннадцати и двѣнадцати дней.

---

1) Eadem repetiit Theophrastus in libro Περὶ φυτῶν αἰτιῶν V, 12, 11: περὶ δὲ τὸν Πόντον ὑπὸ τῶν πνευμάτων ἔκπηξις γίνεται, ὅταν αἰθρίας οὔσης [λεπίδες] καταφέρωνται· ταῦτα δέ ἐστι πλατέα ἅττα φερόμενα μὲν φανερά, πεσόντα δ' οὐ διαμένει.

Digitized by Google

Lib. IX c. XV § 2. Ἐν Αἰθιοπίᾳ γὰρ ἡ τοὺς ὀϊστοὺς χρίουσι ῥίζα τίς ἐστι θανατηφόρος. ἐν δὲ Σκύθαις αὕτη τε καὶ ἕτεραι πλείους, αἱ μὲν παραχρῆμα ἀπαλλάττουσαι τοὺς προσενεγκαμένους, αἱ δ' ἐν χρόνοις αἱ μὲν ἐλάττοσιν αἱ δ' ἐν πλείοσιν, ὥστ' ἐνίους καταφθίνειν.

Lib. IX c. XVII § 4. ... τὸ ἀψίνθιον τὰ μὲν ἐνταῦθα πρόβατα οὔ φασί τινες νέμεσθαι, τὰ δ' ἐν τῷ Πόντῳ νέμεται καὶ γίνεται πιότερα καὶ καλλίω καὶ ὡς δή τινες λέγουσιν οὐκ ἔχοντα χολήν.

Въ Эѳіопіи есть нѣкій смертоносный корень, которымъ намазываютъ стрѣлы, а въ Скиѳіи — онъ же и многіе другіе, изъ коихъ одни сразу убиваютъ принявшихъ ихъ, а другіе — въ болѣе или менѣе продолжительное время, такъ что нѣкоторые умираютъ отъ истощенія.

...Нѣкоторые говорятъ, что здѣшнія овцы не ѣдятъ полыни, а Понтійскія ѣдятъ и становятся жирнѣе и красивѣе, при чемъ, какъ нѣкоторые говорятъ, не имѣютъ желчи [1]).

ΠΕΡΙ ΦΥΤΩΝ ΑΙΤΙΩΝ.

Lib. III c. XXIII § 4. ... Αἱ ψυχειναὶ χῶραι καὶ αἱ θερμαὶ σιτοφόροι, καθάπερ ἡ Θρᾴκη καὶ ὁ Πόντος καὶ ἡ Λιβύη καὶ ἡ Αἴγυπτος. πρὸς γὰρ τοῖς ἄλλοις ποιεῖ τι ὁ χειμὼν καὶ τὰ καύματα καθάπερ ἐν ταῖς ἐργασίαις ἐλέχθη τῆς γῆς.

О ПРИЧИНАХЪ РАСТИТЕЛЬНОСТИ.

...Холодныя и теплыя страны хлѣбородны, какъ напр. Ѳракія, Понтъ, Ливія и Эгиптъ: ибо сверхъ прочихъ *причинъ* производитъ нѣкоторое *дѣйствіе* холодъ и жаръ, какъ сказано въ *отдѣлѣ* объ обработкѣ земли.

ΠΕΡΙ ΛΙΘΩΝ.

Cap. VIII § 58. Γίνεται δὲ καὶ κιννάβαρι τὸ μὲν αὐτοφυές, τὸ δὲ κατ' ἐργασίαν. αὐτοφυὲς μὲν τὸ περὶ Ἰβηρίαν σκληρὸν σφόδρα καὶ λιθῶδες, καὶ τὸ ἐν Κόλχοις. τοῦτο δέ φασιν εἶναι (ἐπὶ) κρημνῶν, ὃ καταβάλλουσι τοξεύοντες...

О КАМНЯХЪ.

Киноварь бываетъ то самородная, то искусственная; самородная въ Иверіи, очень твердая и каменевидная, и въ Колхидѣ; говорятъ, что она находится на утесахъ и ее сбиваютъ стрѣлами...

[Далѣе говорится о приготовленіи киновари].

ΠΕΡΙ ΑΝΕΜΩΝ.

Cap. IX § 54. Ἐνιαχοῦ δὲ καὶ τοὺς νιφετοὺς δοκεῖ ποιεῖν [ὁ νότος], ὥσπερ καὶ περὶ τὸν Πόντον καὶ τὸν Ἑλλήσποντον, ὅταν ὁ βορέας οὕτω γένηται ψυχρὸς ὥστε πήξας κατέχειν.

О ВѢТРАХЪ.

Въ нѣкоторыхъ мѣстностяхъ Нотъ, кажется, производитъ и снѣжныя вьюги, какъ напр. на побережьяхъ Понта и Геллеспонта, когда Борей бываетъ такъ холоденъ, что сковываетъ *воду* *льдомъ* и не позволяетъ *ему* таять.

ΑΠΟΣΠΑΣΜΑΤΑ.

ОТРЫВКИ.

ΠΕΡΙ ΥΔΑΤΩΝ.

О ВОДАХЪ.

Fr. 159 (Vol. III p. 209 Wimmer, ex Athen. 2 p. 41).

... Τὸ τοῦ Βορυσθένους [ὕδωρ] κατά τινας χρόνους ἰοβαφές, καίπερ ὄντος καθ'

Вода Борисѳена по временамъ бываетъ темносиняго цвѣта, не смотря на чрезвы-

1) Haec e Theophrasto repetiit Apollonius, *Hist. mir.* XXXI (ed. Westermann): Θεόφραστος ἐν τῷ περὶ φυτῶν, τὰ πρόβατα, φησίν, τὰ ἐν τῷ Πόντῳ τὸ ἀψίνθιον νεμόμενα οὐ κέχει χολήν. Cf. Plin. *N.* h. 11, 37.

Digitized by Google

ὑπερβολὴν λεπτοῦ· σημεῖον δὲ τοῦ Ὑπάνιος ἐπάνω γίνεται διὰ κουφότητα τοῖς βορείοις.

чайную легкость. Доказательствомъ *служитъ то, что* вслѣдствіе легкости *она* при сѣверныхъ вѣтрахъ *течетъ* поверхъ *воды* Ипанида.

Fr. 172. (V. III p. 218 Wimm., ex Phot. Bibl. 278).

Ὅτι τὰς χρόας μεταβαλλόμενοι καὶ ἐξομοιούμενοι φυτοῖς καὶ τόποις καὶ λίθοις οἷς ἂν πλησιάσωσι πολύπους ἐστὶ καὶ χαμαιλέων καὶ τὸ θηρίον ὁ τάρανδος ὃ ἐν Σκύθαις φασὶν ἢ Σαρμάταις γίνεσθαι... (2) ὁ δὲ τάρανδος τὸ μὲν μέγεθός ἐστι κατὰ βοῦν, τὸ πρόσωπον δὲ ὅμοιος ἐλάφῳ πλὴν πλατύτερος ὡσανεὶ ἐκ δύο συγκείμενος ἐλαφείων προσώπων. δίχηλον δ' ἐστὶ καὶ κερασφόρον· ἔχει δὲ τὸ κέρας ἀποφυάδας ὥσπερ τὸ ἐλάφου, καὶ τριχωτόν ἐστι δι' ὅλου· περὶ γὰρ τὸ ὀστοῦν δέρματός ἐστιν ἐπίτασις ὅθεν ἡ ἔκφυσις. τὸ δὲ δέρμα τῷ πάχει δακτυλιαῖόν ἐστιν, ἰσχυρὸν δὲ σφόδρα, διὸ καὶ τοὺς θώρακας ἐξαυάζοντες αὐτὸ ποιοῦνται. σπάνιον δὲ τὸ ζῷον καὶ ὀλιγάκις φαινόμενον. (3) θαυμαστὴ δ' ἡ μεταβολὴ καὶ ἐγγὺς ἀπιστίας· τοῖς μὲν γὰρ ἄλλοις ἐν τῷ δέρματι γίνεται ἡ μεταβολὴ ἀλλοιουμένης τῆς ἐντὸς ὑγρότητος εἴτε αἱματώδους ἢ καί τινος ἄλλης τοιαύτης οὔσης, ὥστε φανερὰν εἶναι τὴν συμπάθειαν. ἡ δὲ τῶν τριχῶν μεταβολὴ ξηρῶν τε ὄντων καὶ ἀπηρτημένων καὶ ἀθρόον οὐ πεφυκότων ἀλλοιοῦσθαι παράδοξος ἀληθῶς καὶ ἀπίθανος, μάλιστα πρὸς πολλὰ ποικιλλομένη.

Мѣняютъ цвѣтъ и уподобляются растеніямъ, или мѣстностямъ, или камнямъ, къ которымъ приближатся, полипъ, хамелеонъ и животное тарандъ, которое, какъ говорятъ, водится въ Скиѳіи или Сарматіи... (2) Тарандъ величиною съ быка, а мордою похожъ на оленя, только шире, *такъ что она* какъ бы сложена изъ двухъ оленьихъ мордъ. *Животное это* двукопытное и рогатое. Рогъ имѣетъ отростки, какъ оленій, и весь покрытъ шерстью: кость его обтянута кожею, откуда и растетъ *шерсть*. Кожа толщиною въ палецъ и очень крѣпка, почему ее высушиваютъ и дѣлаютъ *изъ нея* панцыри. (3) Перемѣна *цвѣта у тарандa* удивительна и почти невѣроятна: у другихъ перемѣна происходитъ въ кожѣ вслѣдствіе измѣненія внутренней влажности или кровянистой, или какой нибудь другой подобной, такъ что патологическая причина очевидна; измѣненіе же волосъ, сухихъ, висящихъ и вовсе не обладающихъ свойствомъ измѣняться, по истинѣ удивительно и невѣроятно, въ особенности *если* разнообразится соотвѣтственно многимъ предметамъ.

ΠΑΛΑΙΦΑΤΟΣ. ПАЛЭФАТЪ.

[По словамъ Свиды историкъ Палэфатъ Авидскій, современникъ Александра Македонскаго и любимецъ Аристотеля, писалъ Κυπριακά, Δηλιακά, Ἀττικά, Ἀραβικά. Быть можетъ, ему же принадлежало сочиненіе Τρωικά, которое по словамъ Свиды нѣкоторые приписывали грамматику Палэфату Эгипетскому или Аѳинскому, а другіе Палэфату Парійскому или Пріинскому, жившему при Артаксерксѣ. Имъ приписываются Свидою и нѣкоторыя другія сочиненія. — Собраніе отрывковъ — Müller, FHG. v. II pp. 338—9].

ΤΡΩΙΚΑ. E libro 7 fr. 1 v. supra (p. 270) ap. Steph. Byz. s. v. Χαριμάται.

Fr. 2. Harpocration: Μακροκέφαλοι... Παλαίφατος ἐν ζ' Τρωικῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους.

Палэфатъ въ 7-й *книгѣ соч.* «Τρωικά» говоритъ, что Длинноголовые живутъ въ Ливіи выше Колховъ.

«Palaephati nomen fortasse excidit apud Stephan. Byz., ubi: Μακροκέφαλοι, πρὸς

Digitized by Google

Κόλχοις, ὡς (οἱ cod. Rhedig.) *γὰρ Ἡμίκυνες, Μακροκέφαλοι καὶ Πυγμαῖοι. [cf. supra p. 262].—ἐν τῇ Λιβύῃ] nescio an hoc nomen, modo recte se habeat, alias occurrat. Intelligenda regio Libystinorum, quos dicit Stephanus: Λιβυστῖνοι ἔθνος παρακείμενον Κόλχοις, ὡς Διόφαντος ἐν Πολιτικοῖς (scribe ἐν Ποντικοῖς)». Müller.

ΚΛΕΑΡΧΟΣ ΣΟΛΕΥΣ. КЛЕАРХЪ СОЛІЙСКІЙ.

[Плодовитый писатель Клеархъ, уроженецъ кипрскаго города Солъ, оставившій недошедшіе до насъ труды разныхъ литературныхъ видовъ, былъ ученикомъ Аристотеля. Его «Жизнеописанія» были однимъ изъ главныхъ источниковъ Аѳинея. Собраніе отрывковъ — Müller, FHG. v. II, pp. 302—327].

ΒΙΩΝ βιβλ. δ'. Fragm. 8 vide infra ap. Athen. XII, p. 524 *c*.

ΔΙΚΑΙΑΡΧΟΣ ΜΕΣΣΗΝΙΟΣ. ДИКЭАРХЪ МЕССИНСКІЙ.

[Дикэархъ, уроженецъ сицилійскаго г. Мессины, также былъ ученикомъ Аристотеля. Свѣдѣнія объ его жизни и произведеніяхъ и собраніе отрывковъ — Müller, FHG. v. II, pp. 225 — 268].

ΒΙΟΣ ΕΛΛΑΔΟΣ, βιβλ. α'. Fragm. 8 (Eust. ad Dion. *Perieg.* 767): ... Λέγονται μέντοι παρά τινων καὶ οἱ περὶ τὴν Κολχίδα Χάλδοι Χαλδαῖοι τρισυλλάβως κατὰ Δικαίαρχον. Cf. Steph. Byz. s. v. Χαλδαῖοι (supra p. 269).

... Однако по *словамъ* Дикэарха нѣкоторые называютъ и *живущихъ* около Колхиды Халдовъ Халдэями трехсложно.

ΕΚΑΤΑΙΟΣ ΑΒΔΗΡΙΤΗΣ. ЕКАТЕЙ АВДИРСКІЙ.

[Жилъ при Александрѣ Великомъ и діадохахъ (при дворѣ Птолемэя с. Лага). Упоминаются его сочиненія: Περὶ τῆς ποιήσεως Ὁμήρου καὶ Ἡσιόδου, Περὶ τῶν Ὑπερβορέων, Αἰγυπτιακά и др.— Собраніе отрывковъ — Müller, FHG. v. II, pp. 384—396].

ΠΕΡΙ ΤΩΝ ΥΠΕΡΒΟΡΕΩΝ.

Fr. 1 v. infra ap. schol. Apoll. Rhod. II, 675.

Fr. 2 v. infra ap. Diod. II, 47.

Fr. 4 v. infra ap. Aelian. *H. an.* XI, 1.

Fr. 5 v. supra (p. 111) ap. Strab. VII, p. 299. «Hecataeus inter Theopompum et Euemerum medius ex mea sententia est Abderita; de Milesio cogitavit Clausen». Müller.

Fr. 6 *a* (Plin. H. N. IV, 27): *Septembrionalis Oceanus: Amalchium eum Hecataeus appellat, a Paropamiso amne, qua Scythiam alluit, quod nomen eius gentis lingua significat congelatum...*

Сѣверный океанъ: Екатэй называетъ его Амалхійскимъ отъ рѣки Паропамиса, гдѣ онъ омываетъ Скиѳію; это названіе на языкѣ того народа значитъ Ледовитый...

«Eadem Solinus c. 22. Si Hecataeo Milesio haec tribueris, statuendum cum Clausenio (ad Hec. fr. 160) Amalchium mare sinum vel partem Oceani fluvii fuisse; quod parum probabile». Müller.

Digitized by Google

Fr. 11 v. infra ap. schol. Apoll. Rh. IV, 284. «Haec non esse Milesii apparet ex schol. ad II, 259... Potuit de his Abderita monere in Aegyptiacis, refellens eorum sententiam, qui Argonautas in Nilum ex oceano innavigasse dicebant. At melius etiam fragmentum cadit in Hecataeum Eretriensem, ex cuius geographicis quae comperta habemus (v. not. ad Onesicrit. fr. 5), omnia spectant ad regiones Ponticas. De re cf. Herodor. fr. 55, p. 38». Müller.

ΤΙΜΑΙΟΣ. ТИМЭЙ.

[Историкъ Тимэй, уроженецъ сицилійскаго г. Тавроменія, жилъ около 352—256 г. до Р. Хр. Главное его сочиненіе — исторія Сициліи съ древнѣйшихъ временъ до 129 Олимп. Собраніе отрывковъ — Müller, FHG. v. I, pp. 193—233].

ΙΤΑΛΙΚΑ ΚΑΙ ΣΙΚΕΛΙΚΑ. Fragm. 6 v. infra ap. Diod. IV, 56.
» » » Fragm. 7 v. infra ap. schol. Apoll. Rh. IV, 1217.
» » » Fragm. 9 v. ibid. ad II, 400.

ΔΟΥΡΙΣ ΣΑΜΙΟΣ. ДУРИДЪ САМОССКІЙ.

[Извѣстный историкъ, род. около 340, умеръ не раньше 275 г. до Р. Хр. Былъ ученикомъ философа Ѳеофраста и нѣкоторое время тиранномъ на своемъ родномъ островѣ. Извѣстно 8 его сочиненій, изъ коихъ главное — Ἱστορίαι (назыв. также Μακεδονικὰ и Ἑλληνικά), въ которомъ излагалась исторія Еллады отъ 370 и по меньшей мѣрѣ до 281 г. до Р. Хр. Оно было однимъ изъ главныхъ источниковъ Діодора. — Свѣдѣнія о жизни писателя и собраніе отрывковъ — Müller, FHG. v. II, pp. 466—488].

ΙΣΤΟΡΙΑΙ. Lib. IX, fr. 19 v. infra ap. schol. Apoll. Rh. II, 1249.

ΚΡΑΤΕΡΟΣ. КРАТЕРЪ.

[Сынъ Кратера, полководца Александра Великаго, единоутробный братъ Македонскаго царя Антигона Гонаты, род. 321 г., ум. между 270 и 265 г. до Р. Хр. Написалъ сочиненіе Ψηφισμάτων συναγωγὴ или περὶ ψηφισμάτων, изъ котораго сохранилось лишь нѣсколько отрывковъ. Собраніе отрывковъ: Müller, FHG. v. II, pp. 617—622; P. Krech, De Crateri ΨΗΦΙΣΜΑΤΩΝ ΣΥΝΑΓΩΓΗΙ et de locis aliquot Plutarchi ex ea petitis. Diss. Gryphisw. 1888].

Lib. IX, fragm. 12 Müll. (8 Krech) v. infra ap. Harpocrationem s. v. Νύμφαιον.

ΜΕΓΑΣΘΕΝΗΣ. МЕГАСѲЕНЪ.

[Современникъ сирійскаго царя Селевка Никатора (312—280 до Р. Хр.); состоялъ при правителѣ области Арахозіи, по порученію котораго неоднократно путешествовалъ къ индійскому царю Сандрокотту. Содержаніе его сочиненія Ἰνδικά въ 4-хъ книгахъ вкратцѣ излагаетъ Діодоръ II, 35—42, кромѣ того имъ пользовались Страбонъ и Аріанъ. — Собраніе отрывковъ: Schwanbeck, Megasthenis Indica, Bonn. 1846; Müller, FHG. v. II, pp. 397—439].

ΙΝΔΙΚΑ.

Lib. I fr. 13 v. supra (p. 163) ap. Strab. XV, p. 710.
Lib. II fr. 20 v. supra (p. 162) ap. Strab. XV, p. 687.
» fr. 21 v. infra ap. Arr. *Ind.* V, 4.
» fr. 23 v. infra ap. eundem, VII, 2.

Digitized by Google

ΠΑΤΡΟΚΛΗΣ. ПАТРОКЛЪ.

[«Patrocles sub Seleuco Nicatore eiusque filio Antiocho per tempus aliquod regionibus praefuit, quae sunt circa mare Hyrcanicum atque Caspium (fr. 7); eaque maria cum classe perlustravit, eo ut videtur consilio, ut utriusque coniunctionem quandam investigaret simulque quaereret, quomodo huc deflecti possint commercia cum septentrionalis Indiae populis iungenda... Ceterum Patrocles noster idem procul dubio est cum eo, qui an. 312 Babyloni a Seleuco praefectus erat (Diod. XIX, 100), deinde (an. 286) Seleuco persuasit, ne fideret Demetrio Poliorcetae supplices ad regem litteras e Cilicia mittenti (Plut. *Pyrrh.* c. 47); qui denique post mortem Seleuci (280) ab Antiocho in Asiam missus est minorem, ut pullulantes ibi seditiones restingueret... Fidem scriptoris et auctoritatem summis Strabo laudibus effert [II, p. 69 sq.]». Müller, FHG. v. II, pp. 442—444].

Fragm. 7 v. supra (p. 149) ap. Strab. XI, p. 508.

ΣΙΜΜΙΑΣ ΡΟΔΙΟΣ. СИММІЙ РОДОССКІЙ.

[Грамматикъ и эпическій поэтъ, жившій въ концѣ IV и нач. III в. до Р. Хр. Свида приписываетъ ему 3 книги глоссъ и 4 книги стихотвореній смѣшаннаго содержанія; извѣстны его carmina figurata и эпиграммы, кромѣ того эпическое произведеніе Ἀπόλλων, Γοργώ и Μῆνες. Собраніе отрывковъ: Die Fragmente der epischen Poesie der Griechen, gesammelt von H. Düntzer, Köln 1840 sq., fasc. II p. 4 sq.].

ΑΠΟΛΛΩΝ. АПОЛЛОНЪ.

Fragm. 1 (Tzetz. *Chil.* VII, 693 et inde a v. 9 Steph. Byz. s. v. Ἡμίκυνες, cf. supra p. 260):

Τηλυγέτων δ' ἀφνειὸν Ὑπερβορέων ἀνὰ δῆμον,
τοῖς δή καί ποτ' ἄναξ ἥρως παρεδαίσατο Περσεύς,
ἔνθα δὲ Μασσαγέται (γε) θοῶν ἐπιβήτορες ἵππων
ναίουσιν τόξοισι πεποιθότες ὠκυβόλοισιν·
θεσπέσιόν τε περὶ ῥόον ἦλυθον ἀενάοιο
Καμπάσου, ὃς (ῥ') ἅλα δ' ἂν ἐς ἀθανάτην φέρει ὕδωρ.
Ἐκ δ' ἱκόμην ἐλαίαισι περὶ χλωρῇσιν ἐρυμνὰς
νήσους ὑψικόμοισιν ἐπηρεφέας δονάκεσσιν.
Ἡμικύνων τ' ἐνόησα γένος περιώσιον ἀνδρῶν,
τῶν ὤμων ἐφύπερθεν ἐυστρεφέων κύνεον κρὰς
τέτραφε γαμφηλῇσι περικρατέεσσιν ἐρυμνόν,
τῶν μέν θ' ὥστε κυνῶν ὑλακὴ πέλει, οὐδέ τι τοίγε
ἄλλων ἀγνώσσουσι βροτῶν ὀνομάκλυτον αὐδήν.

1 Я прибылъ къ богатому народу отдаленныхъ Иперборeевъ, у которыхъ нѣкогда пировалъ и царь герой Персей; тамъ живутъ Массагеты, ѣздящіе на быстрыхъ коняхъ, вооруженные скорострѣльными луками; я пришелъ и къ дивному потоку вѣчнотекущаго Кампаса, который несетъ *свои* воды въ божественное, безсмертное море. Оттуда я прибылъ на заросшіе зелеными маслинами острова, осѣненные высокими тростниками. Я видѣлъ и странное племя мужей Имикиновъ [Полупсовъ], у коихъ на красивыхъ плечахъ собачья голова, снабженная крѣпкими челюстями; они лаютъ, какъ собаки и не понимаютъ славной рѣчи другихъ смертныхъ.

Fragm. 2. (Ἀντωνίνου Λιβεράλις Μεταμορφώσεων συναγωγή. κ'. Κλεῖνις· ἱστορεῖ Βοῖος β' καὶ Σιμμίας ὁ Ῥόδιος Ἀπόλλωνι):

Τῆς λεγομένης Μεσοποταμίας περὶ Βαβυλῶνα πόλιν ᾤκησεν ἀνὴρ θεοφιλὴς καὶ

1 Въ странѣ, называемой Месопотаміею, въ городѣ Вавилонѣ жилъ мужъ боголюби-

---

Ad Simm. Ap. «V. 1 Schneidewin coniect. crit. p. 28 ἀφίκανον (st. ἀφνειόν). Brunck Anal. II, 525 v. 3 ταχέων, v. 7 ἐλάτσι, v. 10 τοῖς ὤμων. Tzetz. v. 10 καθύπ. ἐυστρ. κύνιος κρ., v. 11 ἐρυμνός» Düntzer.

Digitized by Google

πλούσιος, ὄνομα Κλεῖνις, ἔχων πολλοὺς βοῦς καὶ ὄνους καὶ πρόβατα. τοῦτον ἐκτόπως ἐφίλησεν Ἀπόλλων καὶ Ἄρτεμις, καὶ πλειστάκις ὁμοῦ τοῖς θεοῖς τούτοις ἀφίκετο πρὸς τὸν ναὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Ὑπερβορέοις καὶ ἴδεν ἱερουργουμένας αὐτῷ τὰς θυσίας τῶν ὄνων· παραγενόμενος δὲ εἰς Βαβυλῶνα καὶ αὐτὸς ἐβούλετο καθάπερ ἐν Ὑπερβορέοις ἱερεύειν τῷ θεῷ καὶ τὴν ἑκατόμβην τῶν ὄνων ἔστησεν παρὰ τὸν βωμόν· Ἀπόλλων δὲ παραγενόμενος ἠπείλησεν ἀποκτενεῖν αὐτόν, εἰ μὴ παύσαιτο τῆς θυσίας ταύτης καὶ κατὰ τὸ σύνηθες αἴγας αὐτῷ καὶ πρόβατα καὶ βοῦς ἱερεύσει· τὴν γὰρ τῶν ὄνων θυσίαν ἐν Ὑπερβορέοις ἀγομένην αὐτῷ καθ' ἡδονὴν εἶναι· καὶ ὁ Κλεῖνις δείσας τὴν ἀπειλὴν ἀπῆγεν ἀπὸ τοῦ βωμοῦ τοὺς ὄνους...

вый и богатый, по имени Клинидъ, имѣвшій много быковъ, ословъ и овецъ. Его очень полюбили Аполлонъ и Артемида, и онъ много разъ вмѣстѣ съ этими богами приходилъ къ храму Аполлона у Ипербореевъ и видѣлъ совершавшіяся въ честь его жертвоприношенія ословъ. Возвратившись въ Вавилонъ, онъ и самъ захотѣлъ принести жертву богу по иперборейскому обычаю и поставилъ предъ алтаремъ гекатомбу ословъ. Но Аполлонъ, явившись ему, пригрозилъ убить его, если онъ не прекратитъ этого жертвоприношенія и не принесетъ ему, по обыкновенію, козъ, овецъ и быковъ: ибо жертва ословъ, совершаемая у Иперборееvъ, доставляетъ ему *особенное* удовольствіе [1]). И Клинидъ, испугавшись угрозы, отвелъ ословъ отъ алтаря...

ΚΑΛΛΙΜΑΧΟΣ.

КАЛЛИМАХЪ.

[Знаменитѣйшій ученый и поэтъ Александрійскаго времени, род. въ Киринѣ около 310, ум. около 235 г. до Р. Хр. Написалъ болѣе 800 книгъ, но до насъ дошли въ цѣлости только 6 гимновъ и 64 эпиграммы. — Текстъ: Callimachea edidit Otto Schneider. 2 voll. Lipsiae ap. Teubner. 1870—73].

ΥΜΝΟΙ.

ГИМНЫ.

III. ΕΙΣ ΑΡΤΕΜΙΝ.

III. КЪ АРТЕМИДѢ.

173. ἦϊνα, δαῖμον, Ἀλὰς Ἀραφηνίδας οἰκήσουσα
ἦλθες ἀπὸ Σκυθίης, ἀπὸ δ' εἶπαο τέθμια
Ταύρων...

...Или когда ты, богиня, пришла изъ Скиѳіи, чтобы поселиться въ Алахъ Арафинскихъ [2]), и отвергла уставы Тавровъ...

---

248. κεῖνο δέ τοι μετέπειτα περὶ βρέτας εὐρυθέμειλον
δῶμ' ἤρθη· τοῦ δ' οὔ τι θεώτερον ὄψεται
ἠώς,
250. οὐδ' ἀφνειότερον· ῥέα κεν Πυθῶνα παρέλθοι.
τῷ ῥα καὶ ἠλαίνων ἀλαπαξέμεν ἠπείλησε
Λύγδαμις ὑβριστής, ἐπὶ δὲ στρατὸν ἱππημολγῶν
ἦλασε Κιμμερίων ψαμάθῳ ἴσον, οἵ ῥα παρ' αὐτὸν

...Впослѣдствіи вокругъ твоего кумира [въ Ефесѣ] былъ воздвигнутъ обширный храмъ; заря не узритъ никакого *храма* ни святѣе, ни богаче его: онъ легко превзойдетъ и Пиѳонъ. Поэтому то пастецъ Лигдамидъ и пригрозилъ разрушить его и привелъ безчисленное [досл. равное песку] войско доителей кобылицъ Киммерійцевъ, которые живутъ отдѣльно *отъ другихъ* у самаго пролива Инаховой телицы. О жалкій царь, какъ онъ ошибся! Ни ему само-

---

Hymn. III v. 248: εὐρυθέμειλον δωμήθη libri: corr. Bergk. || V. 254 ἀχεχλιμένοι omnes, quod correxi». Schn. Vulgatam lectionem retinuit Wilamowitz-Moellendorff in editione hymn. et epigr., quae prodiit Berol. ap. Weidm. a. 1882.

1) Cf. Callimachi fragm. ap. Clem. *Cohort.* p. 18 *B.* 2) Домъ въ Аттикѣ. Поэтъ намекаетъ на извѣстное сказаніе о перенесеніи статуи Артемиды Ифигеніей и Орестомъ изъ Тавриды въ Аттику.

Digitized by Google

κεκριμένοι ναίουσι βοὸς πόρον Ἰναχιώνης.
ἃ δειλὸς βασιλέων ὅσον ἤλιτεν. οὐ γὰρ ἔμελλεν
οὔτ' αὐτὸς Σκυθίηνδε παλιμπετὲς οὔτε τις ἄλλος,
ὅσσων ἐν λειμῶνι Καϋστρίῳ ἔσταν ἅμαξαι,
νοστήσειν· Ἐφέσου γὰρ ἀεὶ τεὰ τόξα πρόκειται...

му, ни кому либо другому, чьи повозки стояли на Каистрійскомъ лугу, не суждено было вернуться въ Скиѳію: ибо твой лукъ всегда защищаетъ Ефесъ...

IV. ΕΙΣ ΔΗΛΟΝ.

IV. КЪ ДИЛОСУ.

Vv. 275—295.

τῷ καὶ νησάων ἁγιωτάτη ἐξέτι κείνου
κλῄζῃ, Ἀπόλλωνος κουροτρόφος· οὐδέ σ' Ἐνυώ,
οὐδ' Ἀΐδης, οὐδ' ἵπποι ἐπιστείβουσιν Ἄρηος,
ἀλλά τοι ἀμφιετεῖς δεκατηφόροι αἰὲν ἀπαρχαὶ
πέμπονται, πᾶσαι δὲ χοροὺς ἀνάγουσι πόληες,
αἵ τε πρὸς ἠοίην, αἵ θ' ἕσπερον, αἵ τ' ἀνὰ μέσσην
κλήρους ἐκτήσαντο, καὶ οἳ καθύπερθε βορείης
οἰκία θινὸς ἔχουσι, πολυχρονιώτατον αἷμα.
οἳ μέν τοι καλάμην τε καὶ ἱερὰ δράγματα πρῶτοι
ἀσταχύων φορέουσιν· ἃ Δωδώνηθι Πελασγοὶ
τηλόθεν ἐσβαίνοντα πολὺ πρώτιστα δέχονται
γηλεχέες θεράποντες ἀσιγήτοιο λέβητος.
δεύτερον ἱερὸν ἄστυ καὶ οὖρεα Μηλίδος αἴης
ἔρχονται· κεῖθεν δὲ διαπλώουσιν Ἀβάντων
εἰς ἀγαθὸν πεδίον Ληλάντιον· οὐδ' ἔτι μακρὸς
ὁ πλόος Εὐβοίηθεν, ἐπεί σεο γείτονες ὅρμοι.
πρῶταί τοι τάδ' ἔνεικαν ἀπὸ ξανθῶν Ἀριμασπῶν
Οὐπίς τε Λοξώ τε καὶ εὐαίων Ἑκαέργη,
θυγατέρες Βορέαο, καὶ ἄρσενες οἳ τότ' ἄριστοι
ἠθέων· οὐδ' οἵ γε παλιμπετὲς οἶκαδ' ἵκοντο,
εὖμοιροι δ' ἐγένοντο, καὶ ἀκλέες οὔ ποτ' ἐκεῖνοι.

... Поэтому съ тѣхъ поръ [1]) ты называешься священнѣйшимъ его [т. е. Аполлона] островомъ, кормилецъ Аполлона; тебя не посѣщаютъ ни Ениѳ, ни Андъ, ни кони Арея [2]), но всегда посылаются ежегодные десятинные начатки и приводятъ хоры всѣ города, которые получили участки *земли* на востокѣ, на западѣ и по срединѣ [т. е. на югѣ], а также и жители сѣвернаго берега, самое долговѣчное племя [3]). Они первые несутъ солому и священныя горсти колосьевъ; ихъ, приносимыхъ издалека, прежде всего принимаютъ въ Додонѣ Пеласги, спящіе на землѣ [4]) служители неумолкающаго таза [5]). Затѣмъ они прибываютъ въ святой городъ и въ предѣлы Милійской земли; оттуда переплываютъ на прекрасную Лилантскую равнину Авантовъ [6]), затѣмъ уже не далекъ морской путь изъ Эввіи, ибо близки къ тебѣ *ея* гавани. Первыя принесли тебѣ это Уписъ, Локсо и блаженная Екаерга, дочери Борея, и славнѣйшіе изъ тогдашнихъ юношей. Они не возвратились домой, достигли блаженства и никогда *не остаются* безславными.

Hymn. IV v. 276 «ἐννυώ F, ἐνυώ reliqui, quod primus ego correxi, postea etiam Mein., qui in ordinem recepit». Schn. Vulgatam lectionem retinui cum Wilamowitzio. || V. 281: ἐστήσαντο libri: corr. Dobree. || V. 284: Δωδώνηθι libri et Schn.; cum Mein. et Wilam. recepi correctionem anonymi ap. Graevium. || V. 285: ἐκβαίνοντα libri (et Wilam.), corr. Meineke.

1) Со времени рожденія Аполлона. 2) Намекъ на то, что Дилосъ, какъ священный островъ, не подвергался опустошительнымъ войнамъ и что на немъ запрещено было «рождаться и умирать». 3) Преданіе о принесеніи начатковъ отъ Ипербореевъ на о. Дилосъ см. у Ирод. IV, 33; свидѣтельство Каллимаха принято нами въ сборникъ потому, что по его словамъ три дѣвы, впервые принесшія начатки, происходили изъ племени Аримасповъ (ст. 291). 4) Ср. Ов. *Ил.* XVI, 235. 5) Разумѣется извѣстное гаданіе въ Додонѣ по мѣдному тазу. 6) На о. Эввіи.

Digitized by Google

ΑΠΟΣΠΑΣΜΑΤΑ. ОТРЫВКИ.

ΒΕΡΕΝΙΚΗΣ ΠΛΟΚΑΜΟΣ. КОСА ВЕРЕНИКИ.

Fragm. 35 *c* (v. II p. 159 Schn., cf. p. 146) v. infra ap. schol. Apoll. Rhod. I, 1323 et II, 373. Expressit haec Catullus v. 48 sq.

ΠΙΝΑΚΕΣ. ТАБЛИЦЫ.

Fragm. 100 *d*, 10 (v. II p. 317 Schn.) v. supra p. 2 Hecataei fr. 172 (ex Athen. II p. 70 B). Hoc fragmentum «ad παντοδαπῶν συγγραμμάτων πίνακα Bentleius retrahere malebat, quam vindicare πίνακι. τῶν ἱστορικῶν. Ceterum non video quo iure Meyerus in Opusc. I p. 88 not. 70 Athenaei verba ita interpretatus sit, quasi Ἀσίας περιήγησιν ascripserit Hecataeo *insulano*, non Hecataeo Milesio». Schneider.

ΠΑΡΑΔΟΞΑ. НЕОБЫКНОВЕННЫЯ ЯВЛЕНІЯ.

Fragm. 100 *f*, 26 (p. 341 Schn.) v. infra ap. Antig. Car. CLII. «Mirabilem hunc in Sarmatis locum ex Heraclide Pontico notavit etiam Sotion c. XXII... Sarmatas cum lacu suo memorat etiam Rufus apud Orib. p. 334». Schneider.

ΥΠΟΜΝΗΜΑΤΑ. ЗАПИСКИ.

Fragm. 104 (v. II p. 364 Schn.) v. supra p. 95 ap. Strab. I p. 46 (cf. p. 407 schol. Lycophr. *Alex.* 1022). Versu 2 pro ὄφιος Bentleius legendum coniecit τάφιον. Qua de coniectura v. quae dicit Schneiderus. Is fragmentum ex Aet. II 5 sumptum putat.

Fragm. 113 *b* (p. 382 Schn.) v. supra ap. Strab. l. c.

Fragm. 187, 188 (p. 442 Schn.) v. infra ap. Clem. Alex. *Protr.* c. II, 29 (p. 25 Pott.).

Fragm. 215 (p. 460 Schn.) v. infra ap. schol. Apoll. Rhod. IV, 284 (Ῥιπαίου πέμπουσιν κτλ.).

Fragm. 265 (p. 496 Schn.) v. supra p. 331 ap. schol. Pind. Pyth. IV, 376. Pro Σκύθαι Schneiderus coniecit Κόλχοι; qui Callimachi verba intelligit de φάρει facto Κολχίδος ἐκ καλάμης, quo indutum vellus aureum Iason ad Argonautas detulerit, ut est apud Apoll. Rhod. IV, 187. ita fragmentum ad Aet. II 1 pertinuerit.

Fragm. 365 (p. 566 Schn.) v. infra p. 397 ap. schol. Theocr. XIII, 56. «Fragmentum sine dubio locum habebat in Aet. I 9». Schneider.

Fragm. 377 (p. 571 Schn.) v. infra ap. schol. Apoll. Rhod. IV, 284 (ὅτι οἱ Ἀργοναῦται — οὐδὲ διὰ Τανάιδος ἔπλευσαν κτλ.). «Locum corruptissimum emendare conati sumus supra p. 80 sq. et Callimachi fragmentum ad Aet. I 6 pertinere coniecimus». Schn. De emendatione v. ad sch. Apoll. Rh. l. l.

Digitized by Google

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟΥΣ ΚΑΛΛΙΜΑΧΟΥ ΥΜΝΟΥΣ.

СХОЛІИ КЪ ГИМНАМЪ КАЛЛИМАХА.

[Текстъ: Callimachea ed. O. Schneider, vol. I p. 107 sq.].

Hymn. III, v. 174. Τέθμια] τὰ νόμιμα τῶν Ταυροσκυθῶν, τὸ θύειν τοὺς ξένους.

Уставы] обычаи Тавроскиѳовъ, *именно* приносить въ жертву чужеземцевъ.

v. 253. Κιμμερίων] Σκυθῶν.

Киммерійцевъ] Скиѳовъ.

v. 254. Βοὸς πόρον Ἰναχιώνης] Τῆς Ἰοῦς τῆς εἰς βοῦν μεταμορφωθείσης. Βόσποροι δέ εἰσι δύο, ὅ τε Βυζαντίου καὶ ὁ Κιμμέριος.

Проливъ Инаховой телицы] *т. е.* Іо, превращенной въ телицу. Есть два Воспора, Византійскій и Киммерійскій.

Hymn. IV, v. 281. Καὶ οἳ καθύπερθε] Οἱ Ὑπερβόρεοι.

И живущіе выше] Ипербореи.

v. 282. Οἰκία θοινός] Θοίνα νῦν τὴν Ὠκεανοῦ ζώνην λέγει.

Жилища берега]. *Поэтъ* называетъ теперь «берегомъ» поясъ Океана.

v. 283. Οἳ μέν τοι καλάμην τε]. Λέγεται ὅτι οἱ Ὑπερβορειοι δῶρα πέμπουσι τῷ Ἀπόλλωνι, ἅτινα δέχονται πρῶτοι Δωδωναῖοι.

Которое солому]. Говорятъ, что Ипербореи посылаютъ Аполлону дары, которые первыми принимаютъ *отъ нихъ* Додонцы.

v. 291. Ἀριμασπῶν] Ἔθνους τῶν Ὑπερβορέων.

Аримасповъ] племени Иперборееvъ.

v. 292. Οὐπίς τε] Αἱ τρεῖς κόραι τῶν Ὑπερβορέων Σκυθῶν.

Упись и] Три дѣвы Иперборееvъ Скиѳовъ.

ΘΕΟΚΡΙΤΟΣ.

ѲЕОКРИТЪ.

[Знаменитый буколическій поэтъ, уроженецъ г. Сиракусъ или о. Коса, жилъ въ 1-й пол. III в. до Р. Хр. — Текстъ: Theokrits Gedichte. Erkl. von H. Fritzsche. Dritte Aufl. besorgt von Ed. Hiller. Leipz., Teubner, 1881].

ΕΙΔ. II: ΦΑΡΜΑΚΕΥΤΡΙΑΙ [1]).

ИД. 2: ЧАРОДѢЙКИ.

Vv. 14—16.

Χαῖρ' Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπάδει
φάρμακα ταῦτ' ἔρδοισα χερείονα μήτε τι Κίρκης
μήτε τι Μηδείας μήτε ξανθᾶς Περιμήδας.

Здравствуй, грозная Еката, и сопутствуй намъ до конца, дѣлая эти зелья не слабѣйшими *зелій* ни Кирки, ни Медіи, ни бѣлокурой Перимиды [2]).

Въ ид. VII ст. 77 упоминается Καύκασος ἐσχατόων, т. е. находящійся на краю свѣта.

---

1) Содержаніе: молодая дѣвушка приготовляетъ волшебный напитокъ, чтобы возвратить къ себѣ измѣнившаго любовника, и разсказываетъ исторію своей любви. 2) О Перимидѣ см. *Ил.* II, 740, гдѣ она называется Агамидою.

Digitized by Google

ΕΙΔ. ΧΙΙΙ: ΥΛΑΣ [1])

ИД. 13: ИЛАСЪ.

Vv. 16—24.

ἀλλ' ὅτε τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων
Αἰσονίδας, οἱ δ' αὐτῷ ἀριστῆες συνέποντο
πασᾶν ἐκ πολίων προλελεγμένοι ὧν ὄφελός τι,
ἵκετο χὠ ταλαεργὸς ἀνὴρ ἐς ἀφνειὸν Ἰωλκόν,
Ἀλκμήνης υἱὸς Μιδεάτιδος ἡρώϊνης,
σὺν δ' αὐτῷ κατέβαινεν Ὕλας εὐέδρον ἐς Ἀργώ,
ἅτις Κυανεᾶν οὐχ ἧψατο συνδρομάδων ναῦς,
ἀλλὰ διεξάιξε, βαθὺν δ' εἰσέδραμε Φᾶσιν,
[ἀιετὸς ὡς μέγα λαῖτμα· ἀφ' οὗ τότε χοιράδες ἔσταν].

...Но когда Іасонъ Эсонидъ собрался за золотымъ руномъ и за нимъ послѣдовали витязи, набранные изъ всѣхъ городовъ, кто былъ чѣмъ либо полезенъ, — *тогда* прибылъ въ богатый Іолкъ и перенесшій много горя мужъ, сынъ Мидейской героини Алкмины, а вмѣстѣ съ нимъ сошелъ и Иласъ на снабженный прекрасными скамьями корабль Арго, который не коснулся сходящихся скалъ Кіанейскихъ, но проскользнулъ *между ними* и вбѣжалъ въ глубокій Фасидъ [словно орелъ чрезъ великую пучину морскую, и съ тѣхъ поръ скалы стали *недвижно*].

Vv. 55—57.

Ἀμφιτρυωνιάδας δὲ ταρασσόμενος περὶ παιδὶ
ᾤχετο, Μαιωτιστὶ λαβὼν εὐκαμπέα τόξα
καὶ ῥόπαλον...

...Сынъ Амфитріона, безпокоясь объ юношѣ, пошелъ *искать его*, взявъ по мэотійски [2]) красиво изогнутый лукъ и палицу...

V. 75.

...[Ἡρακλῆς]
πεζῇ δ' ἐς Κόλχους τε καὶ ἄξενον ἵκετο Φᾶσιν.

...[Иракъ] сухимъ путемъ прибылъ въ Колхиду и къ негостепріимному Фасиду.

Въ ид. XVI ст. 99 упоминается πόντος Σκυθικός (= Εὔξεινος).

ΕΙΔ. ΧΧΙΙ: ΔΙΟΣΚΟΥΡΟΙ.

ИД. 22: ДІОСКУРЫ.

Vv. 27—29.

Ἡ μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
Ἀργὼ καὶ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου,
Βέβρυκας εἰσαφίκανε...

...Арго, миновавъ сходящіяся воедино скалы и гибельное устье снѣжнаго Понта, прибылъ къ Вевриканъ...

ΣΧΟΛΙΑ ΕΙΣ ΘΕΟΚΡΙΤΟΝ.

СХОЛІИ КЪ ѲЕОКРИТУ.

[Текстъ: Bucolicorum Graecorum Theocriti Bionis Moschi reliquiae... ed. H. L. Ahrens. Tomus secundus scholia continens. Lips. ap. Teubnerum 1859].

Id. II, v. 87. *Vet.* Πολλάκι θάψῳ... θάψος γάρ ἐστι ξύλον τι, ὃ καλεῖται καὶ σκυθάριον ἢ Σκυθικὸν ξύλον, ὥς φησι καὶ

«*Часто ѳапсомъ*»... ѳапсъ есть нѣкое дерево, которое называется также скиѳаріемъ или скиѳскимъ деревомъ, какъ гово-

1) Содержаніемъ идиллія служитъ разсказъ о похищеніи Ираклова любимца Иласа Нимфами во время похода Аргонавтовъ. 2) См. ниже схоліи.

Digitized by Google

Σαπφώ· τούτῳ δὲ τὰ ἔρια βάπτουσι καὶ ποιοῦσι μάλινα, καὶ τὰς τρίχας ξανθίζουσιν. ἔστι δὲ τὸ παρ' ἡμῖν λεγόμενον χρυσόξυλον...

Id. IV, v. 62. *Vet.* Φιλοῖφα... ἄριστα χωλὸς οἰφεῖ, παροιμία, ἣν φασι διαδοθῆναι, ἐπεὶ οἱ χωλοὶ ἐν οἴκῳ καθεζόμενοι συνεχῶς ἀφροδισιάζουσιν. Οἱ δέ φασι τὴν παροιμίαν ἐντεῦθεν [ῥυῆναι ἤτοι] διαδοθῆναι· αἱ Ἀμαζόνες ἐπὰν ἄρρεν γεννήσωσι, χωλὸν αὐτὸ ποιοῦσι, ἵνα μὴ ἀνδρειότερον αὐτῶν γένηται, καὶ τούτοις ἀνδρωθεῖσι συνίασι. Σκυθῶν οὖν λεγόντων κάλλιον ἔχειν συνεῖναι αὐτὰς αὐτοῖς, ἐκεῖνά φασιν· ἄριστα χωλοὶ οἰφοῦσι.

Id. VII v. 77... Καύκασος ὄρος Σκυθίας. — Ἡ Καύκασον ἐσχατόεντα: τὸν ἐν ἐσχάτοις μέρεσι τῆς γῆς ὄντα. — Ἄλλως. (Ἡ Καύκασον ἐσχατόωντα: Gen. b) Ἀετόν φασιν εἶναι ποταμόν, περὶ [δὲ] τοὺς τόπους τοῦ Καυκάσου ὄρους λάβρως φερόμενον, τὴν χώραν Προμηθέως λυμαινόμενον, ὃν ἀπέστρεψεν Ἡρακλῆς, ἐξ οὗ φασιν ὁ μῦθος.

— *Glossae:* [Καύκασον] ὄρος Σκυθίας. M. P. — Τὸν εἰς τὰ ἔσχατα τῆς γῆς διήκοντα. K. [1]).

Id. X v. 34. *Rec.* (Ἀμύκλαι εἶδος ὑποδήματος Ἀμυκλαίων, ὥσπερ αἱ καρπατίναι Καρῶν καὶ αἱ σκυθικαὶ Σκυθῶν. N.).

Id. XIII v. 24. *Vet.* Βαθὺν δ' ἐσέδραμον Φᾶσιν: Φᾶσις ποταμὸς καὶ πόλις ὁμώνυμος ἐν Κόλχοις, παρ' ἣν Ἕλληνες, Μιλησίων ἄποικοι.

— V. 56. *Vet.* Ὤιχετο Μαιωτιστί: ἤτοι Σκυθιστί. (ἀπὸ μεταφορᾶς τῶν ὁπλιζομένων ἐν τόξοις Σκυθῶν. M. Gen. a). Μαιῶται γὰρ Σκύθαι οἱ περιοικοῦντες τὴν Μαιῶτιν λίμνην. ἐχρῆτο δὲ Ἡρακλῆς τοῖς Σκυθικοῖς τόξοις διδαχθεὶς παρά τινος Σκύθου Τευτάρου, ὡς ἱστορεῖ Ἡρόδωρος [2]) καὶ Καλλίμαχος.

— V. 75. *Vet.* Πεζᾷ δ' ἐς Κόλχως: ἰδίως πεζόν φησιν ὁ Θεόκριτος τὸν Ἡρακλέα εἰς Κόλχους ἐλθεῖν· ἡ γὰρ πολλὴ κατέχει δόξα, ὅτι βουλῇ Ἥρας ὑστέρησεν Ἡρακλῆς ὑπὲρ τοῦ τὸν Ἰάσονα κατορθῶσαι

рить и Сапфо; имъ красятъ шерсть въ яблочный цвѣтъ, а также волосы въ бѣлокурый. Это—такъ называемое у насъ золотое дерево...

«*Блудникъ*»... «прекрасно дѣйствуетъ хромой» — пословица, которая, говорятъ, распространилась потому, что хромые, сидя дома, отличаются постоянною похотливостью. Другіе говорятъ, что пословица распространилась вотъ откуда: Амазонки, родивъ *дитя* мужского пола, дѣлаютъ его хромымъ, чтобы оно не сдѣлалось мужественнѣе ихъ, и сходятся съ этими *хромыми* по достиженіи *ими* возмужалости. Итакъ, когда Скиѳы говорятъ, что лучше бы имъ жить съ ними, *Амазонки* отвѣчаютъ: «прекрасно дѣйствуютъ хромые».

...Кавказъ — гора въ Скиѳіи. — Καύκασον ἐσχατόεντα *значитъ* находящагося въ крайнихъ частяхъ земли. — Иначе:... есть, говорятъ, рѣка Орелъ, стремительно несущаяся въ мѣстностяхъ *около* Кавказскаго хребта и опустошающая область Промиѳея; ее отвелъ Иракъ, откуда, говорятъ, и *явилось извѣстное* сказаніе.

Кавказъ — гора въ Скиѳіи. — Доходящаго до крайнихъ *предѣловъ* земли.

Амиклы — родъ обуви Амиклейцевъ, какъ карпатины — Карійцевъ и скиѳики — Скиѳовъ.

«*И вбѣжали въ глубокій Фасидъ*»: Фасидъ — рѣка и сопменный *ей* городъ въ Колхидѣ, въ которомъ *живутъ* Еллины, переселенцы изъ Милита.

«*Ушелъ по-мэотійски*», т. е. по-скиѳски (съ метафорой отъ вооруженныхъ луками Скиѳовъ): ибо Мэоты *суть* Скиѳы, живущіе вокругъ Мэотійскаго озера. Иракъ употреблялъ скиѳскій лукъ, будучи обученъ нѣкіимъ Скиѳомъ Тевтаромъ, какъ разсказываютъ Иродоръ и Каллимахъ.

«*Сухимъ путемъ къ Колхамъ*»: Ѳеокритъ своеобразно говоритъ, что Иракъ сухимъ путемъ прибылъ въ Колхамъ; ибо широко распространенное преданіе *гласитъ*, что Иракъ опоздалъ по волѣ Иры

1) M. P. K. — tres codices Parisini (v. Ahrens II, p. XXI). 2) Codd. habent Ἡρόδοτος. Herodori nomen restitutum est ex Toupii et Hemsterhusii emendatione, qui de Teutaro Herculis in sagittandi arte magistro citant Lycophr. 56 cum Tzetzae notis ad Lycophr. 51 et 458 (O. Schneider, Callimachea, v. II p. 566 ad fr. 365).

Digitized by Google

μόνον δοκεῖν τὸν εἰς Κόλχους πλοῦν καὶ μὴ ἐξιδιοποιήσασθαι τὸν ἆθλον αὐτοῦ.

Rec. Ἄλλως. Πεζᾷ δ' ἐς Κόλχως: ὁ δὲ Ἡρακλῆς, τῶν Ἀργοναυτῶν ἀποπλευσάντων δηλονότι, πεζῇ ἀπῆλθεν εἰς τοὺς Κόλχους καὶ εἰς τὸν Φᾶσιν τὸν ἄξενον, τουτέστι τὸν κακόξενον.

Vet. Μνασέας δὲ Κόλχους φησὶ κληθῆναι ἀπὸ Κόλχου τοῦ Φάσιδος.

Id. XVI v. 99. *Vet.* Καὶ πόντου Σκυθικοῖο: τοῦ λεγομένου Εὐξείνου.

Glossa: Ἐπέκεινα τοῦ πόντου τῶν Σκυθῶν, ἤτοι τῆς Μαιώτιδος λίμνης. M.

для того, чтобы казалось, что Іасонъ одинъ совершилъ плаваніе въ Колхиду и чтобы *Иракъ* не присвоилъ себѣ его подвига.

Иначе «*Сухимъ путемъ къ Колхамъ*»: Иракъ, разумѣется, послѣ отплытія Аргонавтовъ сухимъ путемъ ушелъ къ Колхамъ и Фасиду негостепріимному, т. е. суровому для чужестранцевъ.

Мнасей говоритъ, что Колхи получили названіе отъ Колха, сына Фасида.

«*И понта Скиѳскаго*»: такъ называемаго Евксинскаго.

По ту сторону моря Скиѳовъ, т. е. Мэотійскаго озера.

ΛΥΚΟΦΡΩΝ. ЛИКОФРОНЪ.

[Ученый грамматикъ и поэтъ Ликофронъ, уроженецъ г. Халкиды, жилъ въ Александріи при Птолемеѣ Филадельфѣ (285—247 до Р. Хр.). Сохранившееся до насъ поэтическое произведеніе его «Ἀλεξάνδρα» въ 1474 ямбич. триметрахъ содержитъ въ себѣ предсказаніе Пріамовой дочери Кассандры о гибели Трои и позднѣйшей судьбѣ троянскихъ и ахейскихъ героевъ. Еще въ древности была отмѣчена темнота языка этого произведенія, за которую авторъ получилъ прозваніе ὁ σκοτεινός. — Текстъ: Lycophronis Alexandra, rec., scholia vetera codicis Marciani addidit God. Kinkel. Lips. ap. Teubn. 1880].

ΑΛΕΞΑΝΔΡΑ. АЛЕКСАНДРА.

Vv. 186—201. Объ Ахиллѣ и Ифигеніи [1]).

. . . . . .
ἣν ὁ σύνευνος Σαλμυδησίας ἁλὸς
ἐντὸς ματεύων Ἑλλάδος καρατόμον
δαρὸν φαληριῶσαν οἰκήσει σπίλον
Κέλτρου πρὸς ἐκβολαῖσι λιμναίων ποτῶν,
ποθῶν δάμαρτα, τήν ποτ' ἐν σφαγαῖς κεμὰς
λαιμὸν προθεῖσα φασγάνων ἓκ ῥύσεται.
βαθὺς δ' ἔσω ῥηγμῖνος αὐδηθήσεται
ἔρημος ἐν κρόκαισι νυμφίου δρόμος,
στένοντος ἄτας καὶ κενὴν ναυκληρίαν,
καὶ τὴν ἄφαντον εἶδος ἠλλοιωμένην
γραῖαν, σφαγείων ἠδὲ χερνίβων πέλας,
Ἅιδου τε παφλάζοντος ἐκ βυθῶν φλογὶ
κρατῆρος, ὃν μέλαινα ποιφύξει φθιτῶν
σάρκας λεβητίζουσα δαιταλουργίᾳ.
Χὠ μὲν πατήσει χῶρον αἰάζων Σκύθην,
εἰς πέντε που πλειῶνας ἰμείρων λέχους...

. . . Супругъ, ища ее, зарѣзанную Еллинами, въ предѣлахъ Салмидисскаго моря, долго будетъ жить на бѣлѣющемъ утесѣ вблизи устьевъ озерныхъ водъ Келтра, снѣдаемый страстью къ супругѣ, которую нѣкогда во время убіенія избавитъ отъ мечей лань, протянувъ *свою* шею. Будетъ оглашаться звуками внутри угесистаго берега глубокій, пустынный и песчаный Бѣгъ жениха, стенающаго о несчастіяхъ и напрасномъ плаваніи и о скрытой, измѣнившей видъ старицѣ среди жертвенныхъ сосудовъ, очистительной воды и клокочущей изъ бездны пламенемъ чаши Анда, которую будетъ раздувать черная *жрица*, варя въ котлѣ своимъ поварскимъ искусствомъ тѣла убитыхъ. И онъ съ воплями будетъ бродить по скиѳской землѣ, въ теченіи пяти лѣтъ страстно желая ложа...

Въ ст. 458 упоминается γωρυτὸς Σκύθης, въ ст. 915 — Μαιώτης πλόκος, въ ст. 917 — ῥαιβὸς Σκύθης.

---

1) Передъ ст. 186 пропускъ въ текстѣ. Для объясненія слѣдующихъ стиховъ см. схоліи.

Digitized by Google

Vv. 1021—1026. О переселеніи Колховъ [1]).

Κραθὶς δὲ γείτων ἠδὲ Μυλάκων ὅροις
χῶρος συνοίκους δέξεται Κόλχων Πόλαις,
μαστῆρας οὓς θυγατρὸς ἔστειλεν βαρὺς
Αἴας Κορίνθου τ' ἀρχός, Εἰδυίας πόσις,
τὴν νυμφαγωγὸν ἐκκυνηγετῶν τρόπιν,
οἳ πρὸς βαθεῖ νάσσαντο Διζηροῦ πόρῳ.

Краѣисъ и область, сосѣдняя съ предѣлами Миласовъ, приметъ сожителями въ Полахъ *тѣхъ изъ* Колховъ, которыхъ отправилъ на поиски за дочерью суровый властелинъ Эи и Коринѳа, супругъ Идіи, преслѣдуя везущій невѣсту корабль, *и* которые жили у глубокаго русла Дизира...

Vv. 1283—1290. О границахъ Азіи и Европы.

Τί γὰρ ταλαίνῃ μητρὶ τῇ Προμηθέως
ξυνὸν πέφυκε καὶ τροφῷ Σαρπηδόνος,
ἃς πόντος Ἕλλης καὶ πέτραι Συμπληγάδες
καὶ Σαλμυδησὸς καὶ κακόξεινος κλύδων,
Σκύθαισι γείτων, καρτεροῖς εἴργει πάγοις,
λίμνην τε τέμνων Τάναϊς ἀκραιφνὴς μέσην
ῥείθροις ὁρίζει, προσφιλεστάτην βροτοῖς
χίμετλα Μαιώταισι θρηνοῦσιν ποδῶν.

Что общаго у несчастной матери Промиѳея съ кормилицею Сарпидона, которыхъ море Геллы, Симплигадскія скалы, Салмидисъ и сосѣдняя съ Скиѳами негостепріимная пучина раздѣляютъ крѣпкими льдами и разграничиваетъ своимъ теченіемъ чистый Танаидъ, прорѣзывающій по срединѣ озеро, излюбленное смертными Меотами, оплакивающими отмороженіе ногъ...

Vv. 1309—1321. О походѣ Аргонавтовъ.

Καὶ δευτέρους ἔπεμψαν Ἀτρακας λύκους
ταγῷ μονοκρήπιδι κλέψοντας νάκην,
δρακοντοφρούροις ἐσκεπασμένην σκοπαῖς.
ὃς εἰς Κύταιαν τὴν Λιγυστικὴν μολών,
καὶ τὸν τετράπτυχον ὕδρον εὐνάσας θρόνοις,
καὶ γυρὰ ταύρων βαστάσας πυριπνόων
ἄροτρα, καὶ λέβητι δαιτρευθεὶς δέμας,
οὐκ ἀσμένως ἔμαρψεν ἐρράου σκύλος,
ἀλλ' αὐτόκλητον ἁρπάσας κεραΐδα,
τὴν γνωτοφόντιν καὶ τέκνων ἀλάστορα,
εἰς τὴν λάληθρον κίσσαν ἡρματίζατο,
φθογγὴν ἐδώλων Χαονιτικῶν ἄπο
βροτησίαν ἰεῖσαν, ἔμπαιον δρόμων.

И вторыми послали Атракскихъ волковъ съ обутымъ въ одну сандалію вождемъ, чтобы украсть руно, защищенное охраною дракона. Онъ, прибывъ въ Лигистійскую Китэю, усыпивъ на сѣдалищѣ четвероды́ханную гидру, поднявъ искривленный плугъ огнедышащихъ быковъ и сварившись въ котлѣ, не охотно досталъ руно барана, но, похитивъ по ея собственному желанію птицу, убійцу родныхъ и мучительницу *своихъ* дѣтей, посадилъ ее на болтливую сороку, издающую человѣческій голосъ отъ Хаонитскихъ скамей, знающую *морскіе* пути...

Vv. 1333—1338. О походахъ Амазонокъ.

... [αἱ Ἀμαζόνες]
Ἔριν λιποῦσαι, Λάγμον ἠδὲ Τῆλαμον
καὶ χεῦμα Θερμώδοντος Ἀκταῖόν τ' ὄρος,
ποινὰς ἀθέλκτους θ' ἁρπαγὰς διζήμεναι,
ὑπὲρ κελαινὸν Ἴστρον ἦλασαν Σκύθας
ἵππους, ὁμοκλήτειραν ἰεῖσαι βοὴν
Γραικοῖσιν ἀμνάμοις τε τοῖς Ἐρεχθέως.

...[Амазонки], покинувъ Ериду, Лагмъ, Тиламъ, потокъ Ѳермодонта и Актэйскую гору, стремясь къ возмездію и свирѣпымъ грабежамъ, погнали скиѳскихъ коней чрезъ черный Истръ, испуская бранный кличъ Грекамъ и потомкамъ Ерехѳея...

1) Для объясненія см. ниже схоліи.

Digitized by Google

ΙΣΑΑΚΙΟΥ ΜΑΛΛΟΝ ΔΕ ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΕΙΣ ΛΥΚΟΦΡΟΝΟΣ ΚΑΣΣΑΝΔΡΑΝ ΕΞΗΓΗΜΑ

ИСААКІЯ ИЛИ СКОРѢЕ ІОАННА ЦЕЦА ОБЪЯСНЕНІЕ КЪ КАССАНДРѢ ЛИКОФРОНА.

[Братья Исаакъ и Іоаннъ Цецы жили въ XII в. по Р. Хр. Первому принадлежитъ стихотворный трактатъ о метрахъ Пиндара, а второй извѣстенъ какъ плодовитый писатель и комментаторъ древнихъ авторовъ. Схоліи къ Ликофрону прежде приписывались Исааку Цецу, но принадлежатъ несомнѣнно Іоанну. Ср. Krumbacher, Geschichte der Byzant. Litteratur, München. 1891 (въ Iw. Müller's Handbuch d. class. Alterthumswiss. IX), p. 240.—Текстъ: Lycophronis Chalcid. Cassandra... cum Isaacii vel potius Iohannis Tzetzae commentario... studio et impensis Leop. Sebastiani. Romae MDCCCIII].

Ad v. 50—51... Τὰ τόξα ταῦτα, ὡς ὁ Λυκόφρων οὗτός φησι [v. 55], παρὰ Τευτάρου Σκύθου, τοῦ βουκόλου τοῦ Ἀμφιτρύωνος, ἔσχηκεν Ἡρακλῆς, ὅστις Τεύταρος καὶ τοξεύειν τοῦτον ἐδίδαξεν. ἄλλοι δὲ Εὐρυτόν φασι τοῦτον διδάξαι τὴν τοξικήν...

...Этотъ лукъ, какъ говоритъ Ликофронъ, Иракъ получилъ отъ Скиѳа Тевтара, пастуха Амфитріонова, каковой Тевтаръ научилъ его и стрѣлять изъ лука; другіе же говорятъ, что стрѣльбѣ изъ лука научилъ его [т. е. Иракла] Евритъ...

Ad v. 74—75. Πόρκος Ἰστριεύς] ζῷόν ἐστι περὶ τὸν Ἴστρον ποταμόν, τὸν καὶ Δάνουβιν καλούμενον, τετρασκελές, λεπτῷ περιεχόμενον δέρματι, ὃ φυσώμενον γίνεται ὡς ἀσκὸς καὶ νήχεται ἕως ἂν λεπτυνθῇ. ἐξέρχεται δ' ἐπὶ τὴν γῆν καὶ νέμεται, καὶ εὐθέως ψυχόμενον ἀποθνήσκει...

Истрійскій боровъ]. Въ рѣкѣ Истрѣ, называемой и Данувіемъ, водится четвероногое животное, покрытое тонкой кожей, которое, надуваясь, становится похожимъ на мѣхъ и плаваетъ, пока *кожа снова* не ссядется; *тогда* оно выходитъ на сушу и пасется, но вскорѣ высыхаетъ и умираетъ...

Ad v. 174. Κυταϊκῆς]. Κύταια, πόλις Κολχίδος, ὅθεν αὐτὴν τὴν Μήδειαν Κυταϊκὴν ἔφη. οἱ δὲ Κόλχοι Ἰνδικοὶ Σκύθαι εἰσίν, οἱ καὶ Λαζοὶ καλούμενοι, πλησίον οἰκοῦντες Ἀβασγῶν, τῶν πρὶν Μασσαγετῶν, ὧν Κόλχων τὰ φάρμακα αὐθήμερον ἀναιροῦσιν. εἰς δὲ Κόλχους Αἰήτης ἀφίκετο, ὡς μὴ ἀρεσθεὶς τῇ τῆς Κορίνθου βασιλείᾳ· Αἰήτης γὰρ καὶ Ἀλωεὺς Ἡλίου παῖδες καὶ Πέρσης τῆς Ὠκεανοῦ θυγατρός. διεῖλε δὲ Ἥλιος τοῖς παισὶ τὴν βασιλείαν, καὶ τὴν μὲν Ἀρκαδίαν Ἀλωεῖ δέδωκε, τὴν δὲ Κόρινθον Αἰήτῃ. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ Κορίνθῳ παρέθετο ταύτην φυλάττειν Βουνῷ, Ἑρμοῦ καὶ Νύμφης υἱῷ· αὐτὸς δ' εἰς Κόλχους ἀφίκετο, ἐντειλάμενος Βουνῷ φυλάττειν τὴν Κορίνθου βασιλείαν

Китэйской]. Китэя—городъ въ Колхидѣ, откуда *поэтъ* назвалъ саму Мидію Китэйскою. Колхи суть Индійскіе Скиѳы; они называются также Лазами и живутъ вблизи Авасговъ, прежнихъ Массагетовъ; яды этихъ Колховъ убиваютъ въ тотъ же день. Къ Колхамъ прибылъ Эитъ, недовольный царскою властью въ Коринѳѣ. Эитъ и Алоей *были* сыновья Илія и Персы, дочери Океана. Илій раздѣлилъ между сыновьями свое царство и далъ Аркадію Алоею, а Коринѳъ Эиту. Но Эитъ, недовольный Коринѳомъ, передалъ его подъ охрану Вуну, сыну Ермія и Нимфы, а самъ удалился въ Колхиду, поручивъ Вуну охранять Коринѳское царство, пока не прибудетъ онъ

Digitized by Google

ἕως οὗ ἢ αὐτὸς ἤ τις τῶν ἐξ αὐτοῦ ἵκοιτο. ἐν Κόλχοις δὲ αὐτὸς γήμας Εἰδυῖαν, τὴν Ὠκεανοῦ θυγατέρα, ἐν Κυταίᾳ πόλει, Μήδειαν καὶ Ἄψυρτον γεννᾷ. ἀδελφαὶ δὲ Αἰήτου καὶ Ἀλωέως ἤτοι Ἡλίου θυγατέρες, Κίρκη καὶ Πασιφάη, καθ' ἑτέρους καὶ Καλυψώ. Περὶ δὲ τῆς διαιρέσεως τῆς τοῦ Ἡλίου βασιλείας εἰς τοὺς αὐτοῦ παῖδας Αἰήτην καὶ Ἀλωέα Θεόπομπος ὁ Χῖος Εὐμήλου τοῦ Κορινθίου ἱστορικοῦ ποιητοῦ μέμνηται λέγοντος·

сам̈ или кто либо изъ его потомковъ. Въ Колхидѣ, женившись на Идіи, дочери Океана, въ городѣ Китэѣ, онъ производитъ Мидію и Апсирта. Сестры Эита и Алоея, т. е. дочери Илія, были Кирка и Пасифая, а по другимъ и Калипсо. О раздѣлѣ царства Илія между его сыновьями Эитомъ и Алоеемъ Θеопомпъ Хіосскій ссылается на историческаго поэта Евмила Коринѳскаго, который говоритъ [1]):

[versus v. supra p. 330 ap. schol. Pind. Ol. XIII, 74].

Σημείωσαι δὲ τοῦτο, ὅτι οἱ μὲν λοιποὶ τῶν ἱστορικῶν Πέρσης καὶ Ἡλίου παῖδάς φασι τὸν Αἰήτην καὶ Ἀλωέα, ὁ δὲ Εὔμηλος οὗτος Ἀντιόπτης καὶ Ἡλίου.

Замѣть, что прочіе историки называютъ Эита и Алоея сыновьями Персы и Илія, а этотъ Евмилъ—Антіопы и Илія.

Ad v. 175 ...Τὸ χρυσόμαλλον τοῦτο δέρας ἦν τοῦ κριοῦ ὃς τὸν Φρίξον εἰς Κολχίδα διεπόρθμευσεν· ἐκεῖ δὲ τοῦτον, ὥς φασιν, ἔθυσε Φυξίῳ Διί, καὶ ἐν Ἄρεος ἄλσει περί τινα δρῦν τὸ δέρμα αὐτοῦ ἀπεκρέμασεν· ἐφύλαττε δὲ τοῦτο δράκων,

ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει,

ὡς φησι Πίνδαρος [2]).

...Эта златорунная шкура принадлежала барану, который перевезъ Фрикса въ Колхиду; тамъ Фриксъ, какъ говорятъ, принесъ его въ жертву Зевсу Фиксію и повѣсилъ его шкуру въ Ареевой рощѣ на одномъ дубѣ; охранялъ ее драконъ, «который толщиною и длиною превосходилъ пятидесятивесельный корабль», какъ говоритъ Пиндаръ.

Κατὰ γοῦν τὴν αὐτοῦ κρίσιν ὁ Πελίας κελεύει αὐτὸν τὸν Ἰάσονα ἀπελθεῖν καὶ κομίσαι τὸ δέρας αὐτῷ· ὁ δὲ τῆς Ἀργοῦς ἐπιβὰς... καὶ σὺν αὐτῷ ἑτέρους ἄνδρας μθ' λαβών... ὡς εἶναι τοὺς πάντας πεντήκοντα, κατέπλευσεν εἰς τὴν Κολχίδα καὶ παρεκάλει Αἰήτην δοῦναι αὐτοῖς τὸ δέρας. ὁ δὲ ἔφη δοῦναι, ἂν τοὺς Ἡφαιστείους πυρπνόους χαλκόποδας ζεύξῃ ταύρους καὶ σπείρῃ τοὺς δράκοντος ὀδόντας, οὓς εἶχεν αὐτὸς ὁ Αἰήτης, τῆς Ἀθηνᾶς δούσης αὐτῷ μέρος ἐκ τῶν ἐν Θήβαις σπαρέντων τῷ Κάδμῳ. Μήδεια δέ, ἡ Αἰήτου θυγάτηρ, ἐρασθεῖσα Ἰάσονος, φαρμάκοις αὐτὸν χρίσασα καὶ τοῦ πυρὸς τῶν ταύρων διεφύλαξε καὶ νυκτὶ περὶ τὸ δέρας τοῦτον ἐπάγει καὶ γοητεύσασα τὸν δράκοντα τοῦτο τὸ χρυσόμαλλον ἀφείλετο καὶ τοῖς Ἀργοναύταις συναπέπλευσε, λαβοῦσα μεθ' ἑαυτῆς καὶ τὸν αὐτῆς ἀδελφὸν Ἄψυρτον. Διώκοντος δὲ Αἰήτου, μεληδὸν τὸν Ἄψυρτον τέμνουσα ἔρριπτεν εἰς τὴν θάλασσαν. συλλέγων δὲ ὁ Αἰήτης τὰ τοῦ παιδὸς μέλη τῆς διώξεως ὑστέριζεν,

Итакъ по его рѣшенію [3]) Пелій повелѣваетъ самому Іасону отплыть и привезти ему руно. Онъ, сѣвъ на *корабль* Арго... и взявъ съ собою 49 другихъ мужей... такъ что всѣхъ было 50, приплылъ въ Колхиду и просилъ Эита отдать имъ руно; послѣдній обѣщалъ отдать, если *Іасонъ* запряжетъ въ ярмо Ифэстовыхъ огнедышащихъ, мѣдноногихъ быковъ и посѣетъ зубы дракона, которые имѣлъ этотъ Эитъ, такъ какъ Аѳина дала ему часть изъ посѣянныхъ Кадмомъ въ Ѳивахъ. Медія, дочь Эита, влюбившись въ Іасона, намазала его зельями, сберегла отъ огня быковъ, ночью привела его къ руну и, усыпивъ чарами дракона, похитила золотое руно и отплыла вмѣстѣ съ Аргонавтами, взявъ съ собою и брата своего Апсирта. Когда Эитъ гнался за ними, она, разрубая на части Апсирта, бросала *куски* въ море [4]); Эитъ, собирая части тѣла сына, отсталъ въ преслѣдованіи и затѣмъ отправилъ Колховъ для ихъ преслѣдованія... Изъ

1) Eandem historiam repetit Tzetz. ad v. 1024. 2) Pyth. IV, 245 (v. supra p. 325). 3) Т. е. по рѣшенію самого Іасона. 4) Absyrtum a Medea necatum commemorat auctor etiam adv. 1318.

Digitized by Google

εἶτα Κόλχους ἀπέστειλεν εἰς δίωξιν αὐτῶν... Τῶν δὲ διωκόντων αὐτοὺς Κόλχων οἱ μὲν ἐν τοῖς Κεραυνίοις ὄρεσι κατῴκησαν, οἱ δὲ εἰς τὴν Ἰλλυρίδα καὶ τὰς Ἀψύρτιδας νήσους, τινὲς δὲ εἰς Φαιακίαν...

преслѣдовавшихъ Колховъ одни поселились въ Керавнскихъ горахъ, другіе въ Иллиріи и на Апсиртовыхъ островахъ, а нѣкоторые въ Фэакіи...

...Μήδεια δὲ ἄγνωστος εἰς Κόλχους ἦκε καὶ τῷ πατρὶ τὴν βασιλείαν δίδωσι πάλιν, Πέρσην ἀνελοῦσα, τὸν ἀδελφὸν ἐκείνου, τὸν αὐτὸν ἐκβαλόντα τῆς βασιλείας.

...Медія, *никѣмъ* не узнанная, прибыла въ Колхиду и возвратила царство *своему* отцу, убивъ его брата Перса, свергнувшаго его съ престола.

Ad v. 183... Παραστάσης Ἰφιγενείας τῇ θυσίᾳ καὶ μελλούσης θύεσθαι ἄρκτος ἢ ταῦρος ἢ γραῦς ἢ ἔλαφος διέδραμε μέσον τοῦ τῶν Ἑλλήνων στρατοῦ, καὶ προσταγαῖς τοῦ μάντεως τὸ διελθὸν ἐκεῖνο ἀναιρεῖται, ἡ δὲ Ἰφιγένεια σωθεῖσα φεύγει πρὸς Σκυθίαν καὶ νηοπόλος Ἀρτέμιδος γίνεται καὶ ἀνῄρει πάντας τοὺς ἐκεῖσε τῶν Ἑλλήνων ἀφικομένους. Τινὲς δὲ τὴν Ἰφιγένειαν ταύτην, ὥσπερ καὶ ὁ Δοῦρις, οὐκ Ἀγαμέμνονος θυγατέρα λέγουσιν, ἀλλὰ Θησέως ἐξ Ἑλένης γεννηθεῖσαν, ὑπὸ δὲ Κλυταιμνήστρας θυγατροθετηθεῖσαν... Ἕτεροι δὲ καὶ οὔτε Ἑλένης οὔτε Κλυταιμνήστρας λέγουσι τὴν Ἰφιγένειαν· φασὶ δὲ ὅτι ἐκ τῆς Χρυσηΐδος Ἀστυνόμης καὶ Ἀγαμέμνονος παῖδες γίνονται Χρύσης καὶ ἡ ῥηθεῖσα Ἰφιγένεια· μετὰ δὲ τὴν Ἰλίου πόρθησιν ἐν τῷ τῶν Ἑλλήνων ἀπόπλῳ Χρύσης μὲν ἐν τῇ λεγομένῃ Χρυσοπόλει τοῦ Εὐξείνου τελευτᾷ, τὴν δ' Ἰφιγένειαν, τὴν αὐτοῦ ἀδελφήν, Ταυροσκύθαι αἰχμαλωτίσαντες ἱέρειαν τῆς Ἀρτέμιδος, ἤτοι Σελήνης, ἐποίησαν...

...Когда Ифигенія предстала для жертвы и ее хотѣли зарѣзать, медвѣдь, или быкъ, или старуха, или олень пробѣжалъ посреди еллинскаго стана; по повелѣнію прорицателя это пробѣжавшее *существо* убивается, а Ифигенія, спасшись, бѣжитъ въ Скиѳію, становится жрицею Артемиды и убиваетъ всѣхъ прибывшихъ туда Елиновъ. Нѣкоторые *писатели*, какъ *напр.* Дуридъ, называютъ эту Ифигенію дочерью не Агамемнона, а Ѳисея, рожденною отъ Елены и удочеренною Клитэмнистрой... Другіе говорятъ, что Ифигенія *не была дочерью* ни Елены, ни Клитэмнистры, и утверждаютъ, что отъ Хрисовой дочери Астиномы и Агамемнона родились дѣти Хрисъ и названная Ифигенія. Послѣ разрушенія Иліона, во время обратнаго плаванія Елиновъ, Хрисъ умеръ въ такъ называемомъ Хрисополѣ на Евксинскомъ *Понтѣ*, а сестру его Ифигенію Тавроскиѳы взяли въ плѣнъ и сдѣлали жрицею Артемиды, т. е. Луны...

186. Ἦν ὁ ξύνευνος]. ὁ νοῦς οὗτος· ἦν ὁ σύγκοιτος ζητῶν Ἀχιλλεὺς ἔσωθε τοῦ Εὐξείνου πόντου (λέγω δὲ τὴν μαινομένην καρατόμον καὶ φονεύτριαν τῶν Ἑλλήνων) ἐπὶ πολὺν χρόνον κατοικήσει εἰς τὴν Λευκὴν νῆσον, τὴν καλουμένην καὶ Σπῖλον (αὕτη δὲ ἡ νῆσός ἐστι πρὸς ταῖς ἐκβολαῖς τῶν λιμναίων ποτῶν τῆς Κελτικῆς λίμνης) ποθῶν τὴν γαμετήν, ἣν ποτε ἔλαφος ἐκ τῶν ξιφῶν ῥύσεται. πολὺς δὲ δρόμος ἔρημος τοῦ νυμφίου κληθήσεται, ἤτοι τοῦ Ἀχιλλέως, ἐν τῷ τόπῳ ἐκείνῳ, ὃν διῆλθε τρέχων. ἔρημον δὲ λέγει, ἐπειδὴ μάτην ἔδραμε· φασὶ γάρ, ὅτι μετὰ τὸ ἁρπαγῆναι τὴν Ἰφιγένειαν ὑπ' Ἀρτέμιδος ἀκούσας Ἀχιλλεύς, ὅτι ἐν Σκυθίᾳ ἐστίν, ὥρμησε ζητῶν αὐτήν, καὶ μὴ εὑρὼν ᾤκησε περὶ τὴν Λευκὴν νῆσον, ἥτις ἐστὶν ἐν τῷ Εὐξείνῳ πόντῳ.

Которую супругъ]. Смыслъ таковъ: которую ища въ предѣлахъ Евксинскаго Понта (разумѣю неистовствующую головорѣзку и убійцу Елиновъ), супругъ Ахиллъ въ теченіи долгаго времени будетъ жить на Бѣломъ островѣ, называемомъ и Спѣлосъ (а лежитъ этотъ островъ у впаденія болотныхъ водъ Кельтскаго озера), страстно желая супругу, которую нѣкогда лань избавитъ отъ мечей. Длинный пустынный Бѣгъ будетъ названъ именемъ жениха, т. е. Ахилла, въ той мѣстности, которую онъ пробѣжалъ бѣгомъ. Пустыннымъ *поэтъ* называетъ *этотъ Бѣгъ* потому, что *Ахиллъ* напрасно пробѣжалъ его: говорятъ, что послѣ похищенія Ифигеніи Артемидою, Ахиллъ, услышавъ, что *она* находится въ Скиѳіи, устремился искать ее и, не нашедши, поселился на Бѣломъ островѣ, который находится на Евксинскомъ Понтѣ.

Digitized by Google

187... καράτομος Ἑλλάδος, ἡ ὑφ' Ἑλλήνων καρατομηθῆναι μέλλουσα. ἢ καρατόμος Ἑλλάδος, ἡ ἐν Σκυθίᾳ τοὺς Ἕλληνας ἀναιροῦσα, διὰ τὴν ἐν Ταύροις ὑπ' αὐτῆς γενομένην ξενοκτονίαν...

...καράτомосъ Ἑλλάδος *значитъ* долженствующая быть зарѣзанною Эллинами; или καράτомосъ Ἑλλάδος,—убивающая Эллиновъ въ Скиѳіи, вслѣдствіе производившагося ею убіенія чужеземцевъ въ землѣ Тавровъ...

188. Φαληριῶσαν]. τὴν Λευκήν, νῆσον τοῦ Εὐξείνου· ἢ τὴν λευκαινομένην ἐκ τοῦ ἀφροῦ τῶν κυμάτων· ἢ κατὰ Διονύσιον τὸν Περιηγητήν, ὅτι πολλὰ λευκὰ ζῶα ταύτην κατοικεῖ οἷον λάροι, κύκνοι καὶ πελαργοί.

Бѣлѣющійся]. Бѣлый островъ на Евксинѣ, *т. е.* или бѣлѣющійся отъ пѣны волнъ, или, по Діонисію Періигиту [1]), потому что на немъ живетъ много бѣлыхъ птицъ, каковы чайки, лебеди и аисты.

189. Κέλτρου]. Κέλτρος ὄνομα λίμνης εἰσβαλλούσης περὶ τὸν Εὔξεινον πόντον.

Келтра]. Келтръ — имя озера, изливающагося въ Евксинскій Понтъ.

192. Βαθὺς δ' ἔσω ῥηγμῖνος] ἐν Σκυθίᾳ ἐστὶν αἰγιαλός, εἰς μῆκος διήκων χιλίων σταδίων, ὃς Ἀχίλλειος Δρόμος καλεῖται, ἐπειδὴ μόνος Ἀχιλλεὺς τρέχων ἐκεῖνον διέβη.

Глубокій внутри берега]. Въ Скиѳіи есть берегъ, простирающійся въ длину на 1000 стадій, который называется Ахилловымъ Бѣгомъ, потому что одинъ Ахиллъ пробѣжалъ его бѣгомъ.

615... Ἀλούσης τῆς Τροίας Διομήδης... παρεγένετο εἰς Ἰταλίαν· εὑρὼν δὲ τηνικαῦτα τὸν Κολχικὸν δράκοντα λυμαινόμενον τὴν Φαιακίδα, ἔκτεινε, τὴν τοῦ Γλαύκου χρυσῆν ἀσπίδα κατέχων· ἐνόμισε γὰρ ὁ δράκων τὸ χρυσοῦν εἶναι δέρας τοῦ κριοῦ...

...Послѣ взятія Трои Діомидъ... прибылъ въ Италію; нашедши тамъ колхидскаго дракона, опустошавшаго землю Фэаковъ, *онъ* убилъ *его*, держа золотой щитъ Главка: ибо драконъ принялъ *щитъ* за золотое руно барана...

630. Θεὸς δὲ πολλοῖς] οἱ Φαίακες αἰνέσουσι καὶ σεβάσονται τὸν Διομήδην, οἵτινές εἰσι περὶ τὸ Ἰόνιον πέλαγος, ὅτι τὸν δράκοντα ἀνεῖλεν ἐκ Κόλχων ἐκεῖσε ἐλθόντα πρὸς ζήτησιν τοῦ χρυσοῦ δέρως. τινὲς δὲ λῃστὴν φασιν εἶναι τὸν δράκοντα...

Богъ многимъ]. Фэаки, живущіе на Іонійскомъ морѣ, будутъ восхвалять и чтить Діомида за то, что *онъ* убилъ дракона, явившагося туда изъ Колхиды для отысканія золотаго руна. Нѣкоторые говорятъ, что драконъ былъ разбойникъ...

---

695. Καὶ Κιμμέρων ἔπαυλα]. οἱ Κιμμέριοι κατὰ μὲν Ὅμηρον ἔθνος τὰς ἐπαύλεις ἔχον περὶ τὸν δυτικὸν Ὠκεανόν· φησὶ γάρ·

Ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,
ἠέρι καὶ νεφέλῃ κεκαλυμμένη...

κατὰ δὲ τὸν Περιηγητὴν Διονύσιον

Κιμμέριοι ναίουσιν ὑπὸ ψυχρῷ ποδὶ Ταύρου.

И Киммеровъ жилища]. Киммерійцы — по Омиру народъ, имѣющій жилища у западнаго Океана; онъ говоритъ: «Тамъ людей Киммерійскихъ народъ и городъ, окутанный мглою и тучами...» [2]). А по Діонисію Періигиту «Киммерійцы живутъ у холодной подошвы Тавра» [3]).

---

798. Ἀχιλλέως δάμαρτος]... Ἡ δὲ περὶ τοῦ Ἀχιλλέως δάμαρτος, ἤτοι γυναικός, ἱστορία ἐστὶ τοιαύτη· Ἀχιλλεὺς μετὰ θάνατον, ὡς λεγουσιν, ἔγημε Μήδειαν, τὴν Αἰήτου θυγατέρα. Αἰήτης δὲ καὶ Κίρκη καὶ Πασιφάη Ἡλίου παῖδες καὶ Πέρσης τῆς Ὠκεανοῦ· καὶ Αἰήτου μὲν παῖδες καὶ Εἰδυίας Μήδεια καὶ Ἄψυρτος...

Супруги Ахилла]... О супругѣ, т. е. женѣ Ахилла, разсказъ таковъ: Ахиллъ послѣ смерти, какъ говорятъ, женился на Эитовой дочери Мидіи. Эитъ, Кирка и Пасифая *были* дѣти Илія и Персы, дочери Океана; у Эита и Идіи дѣти Мидія и Апсиртъ...

---

1) V. 544 (v. supra p. 182). 2) Hom. *Od.* XI, 14 (v. supra p. 300). 3) V. 168 (v. supra p. 181).

Digitized by Google

886... Ὡς γοῦν ἐκ τῆς Κολχίδος διὰ τῆς ἔξω θαλάσσης καὶ τοῦ Ἀδρίου τὸν πλοῦν ἐποιήσαντο [οἱ Ἀργοναῦται], διὰ τοῦ Φάσιδος δὲ εἰς τὸν Ὠκεανὸν ἐνέβαλον, δώδεκα πρότερον ἡμέρας ἔξω τοῦ Ὠκεανοῦ φέροντες ἐν τοῖς νώτοις τὴν Ἀργὼ διὰ τῆς ἐρήμου τῆς Λιβύης...

...[Аргонавты] изъ Колхиды совершили плаваніе по внѣшнему морю и Адрію и чрезъ Фасидъ вступили въ Океанъ, раньше внѣ Океана въ 12 дней перенесши Арго на плечахъ чрезъ Ливійскую пустыню...

887. Κολχίς] ἡ Μήδεια. οἱ δὲ Κόλχοι, οἱ καὶ Λαζοὶ λεγόμενοι, Αἰγυπτίων ἄποικοί εἰσι, πλησίον οἰκοῦντες τῶν Ἀβασγῶν, τῶν καὶ Μασσαγετῶν καλουμένων. λέγονται δὲ οἱ Κόλχοι καὶ Σκύθαι Ἀσιανοὶ καὶ Λευκόσυροι· οἰκοῦσι δὲ ἐν τοῖς μέρεσι τῆς Ἀσίας περὶ Φᾶσιν ποταμόν· ἡ δὲ Εὐρωπαία Σκυθία ἐστὶ περὶ Μαιῶτιν καὶ Τάναϊν. Ἰώσηπος δὲ ὁ Ἑβραῖος καὶ τοὺς Ἀλανοὺς Εὐρωπαίων Σκυθῶν γένος φησίν, οἰκοῦντας περὶ τὴν αὐτὴν Μαιῶτιν καὶ τὸν Τάναϊν κατὰ τὴν τῶν Ὑρκανίων πάροδον καὶ Κασπίων, ἣν Ἀλέξανδρος ὁ βασιλεὺς σιδηραῖς πύλαις κλειστὴν ἐποίησεν.

Колхидянка] Мидія. Колхи, называемые и Лазами, — переселенцы изъ Египта, живущіе вблизи Авасговъ, называемыхъ также Массагетами; Колхи называются также азіатскими Скиѳами и Бѣлосирійцами; живутъ они въ предѣлахъ Азіи у рѣки Фасида; а европейская Скиѳія лежитъ у Мэотиды и Танаида. Еврей Іосифъ [1]) племенемъ европейскихъ Скиѳовъ называетъ и Алановъ, живущихъ у той же Мэотиды и Танаида около прохода Иркапцевъ и Каспійцевъ, который царь Александръ заперъ желѣзными воротами.

1022. Κόλχων Πόλαις]. Πόλαι πόλις εἰσὶν Ἠπείρου ὑπὸ Κόλχων κτισθεῖσα τῶν καταδιωξάντων τὴν Μήδειαν καὶ μὴ καταλαβόντων αὐτὴν καὶ διὰ φόβον Αἰήτου ἐνταῦθα κατοικησάντων καὶ κτισάντων τὴν πόλιν, ἥτις Κολχίδι φωνῇ Πόλαι καλεῖται. τὸ δὲ πόλαι Κολχικῶς φυγάδας σημαίνει, ὡς φησι Καλλίμαχος...

Полами Колховъ] Полы — городъ въ Ипирѣ, основанный Колхами, преслѣдовавшими Мидію, не захватившими ее и изъ страха предъ Эитомъ поселившимися здѣсь и основавшими городъ, который на колхійскомъ языкѣ называется Полами. Слово πόλαι по колхійски означаетъ бѣглецовъ, какъ говоритъ Каллимахъ...[2])

1024. Αἴας Κορίνθου τ' ἀρχός]. Αἴα πόλις Κολχίδος...[3])

Владѣтель Эи и Коринѳа]. Эя — городъ въ Колхидѣ...

1109. Χαλυβδικῷ]. Χάλυβες Σκυθικὸν ἔθνος, παρ' οἷς ἐστι σίδηρος ἄριστος...

Халибскимъ]. Халивы — скиѳскій народъ, въ землѣ котораго *добывается* лучшее желѣзо...

1287. Σκύθαισι γείτων] μετὰ γὰρ τὸ Στενὸν πέλαγος καὶ τὸ Ἱερὸν ἡ Σκυθία ἐστίν.

Сосѣдній Скиѳамъ]. Ибо за Узкимъ моремъ и Святымъ находится Скиѳія.

1288. Λίμνην τε τέμνων Τάναϊς]. ὁ Τάναϊς ποταμὸς τῆς Σκυθίας διαιρεῖ Ἀσίαν καὶ Εὐρώπην, εἰσβάλλων εἰς τὴν Μαιῶτιν λίμνην, ὡς φησι Διονύσιος·

И раздѣляющій озеро Танаидъ]. Танаидъ, рѣка въ Скиѳіи, раздѣляетъ Азію и Европу, впадая въ Мэотійское озеро, какъ говоритъ Діонисій:

[Sequuntur Dionysii Perieg. vv. 14—16, quos v. supra p. 178].

---

1) Ios. Flav. *de b. Iud.* VII, 7, 4. (v. infra). 2) Fragm. 104 (cf. supra p. 394). 3) Sequitur narratio, quomodo Aeetes in Colchidem migraverit. Quam cum (aliis licet verbis) iam supra exposuerit auctor ad v. 174, hic omittendam putamus.

Digitized by Google

1290. Χίμετλα] τὰ ἐκ χειμῶνος ἀποψύγματα τῶν χειρῶν καὶ τῶν ποδῶν· τοσοῦτον γὰρ ἐστι ψυχρὸν ἡ παρὰ Μαιῶτιν Σκυθία, ὡς χίμετλα, ἤτοι ἀποκαύματα, γίνεσθαι ἐν τοῖς ἐνοικοῦσι τὴν χώραν...

Μαιώταισι]. Μαιῶτις γὰρ λέγεται ἡ λίμνη, ἐν ᾗ πάντες οἱ ἰχθύες ἀπομαιοῦνται.

Χίметла называются отмороженія рукъ и ногъ отъ холода: ибо Скиѳія у Мэотиды настолько холодна, что у жителей дѣлаются χίметла, т. е. отмороженія...

Маіώταισι]. Ибо Маіῶτις называется озеро, въ которомъ всѣ рыбы ἀπομαιοῦνται [вылупляются].

1312. Εἰς Κύταιαν τὴν Λιγυστικήν]. ἡ Κύταια πόλις Κολχίδος ἐστίν· οἱ δὲ Κόλχοι ἔθνος ἐστὶ Λαζικόν, ὡς ἔφην ὄπισθεν πλατυτέρως, πλησίον Ἀβασγῶν κείμενον. Τὸ δὲ Λιβυστικὸν καὶ τὸ Λιγυστικὸν κλῖμα. (ὧν τὸ μὲν ἀπὸ Λιβύης τῆς Ἐπάφου θυγατρὸς ἐκλήθη, τὸ δὲ ἀπὸ Λίγυος τοῦ Ἀλεβίωνος ἀδελφοῦ) τῆς Κυρήνης καὶ Καρχηδόνος καὶ Ἀλεξανδρείας ταὐτό ἐστιν, ὡς ὄπισθεν εἶπον, περὶ τὴν Λιβύην. ὁ δὲ Λυκόφρων οὗτος, καινοτομῶν τὰ πολλὰ, καὶ τὴν Κολχικὴν Λιγυστικὴν καλεῖ. ὁ δὲ Λίγυς οὗτος κωλύων Ἡρακλῆ ἐπὶ τὰς Γηρυόνου βοῦς ἐλθεῖν ἀνῃρέθη. καὶ κατὰ μὲν τοὺς μὴ εἰδότας διαίρεσιν κλιμάτων, ἀλλὰ τὴν αὐτὴν δοκοῦντας Λιβυστικὴν καὶ Λιγυστικὴν, οὕτως, ὡς εἴπομεν, ἔχει· κατὰ δὲ τὴν ἀκρίβειαν Λιγυστικὰ μέρη εἰσὶ τὰ περὶ Τυρσηνίαν· οἱ γὰρ Λίγυες τὴν παραλίαν ἀπὸ Τυρσηνίδος μέχρι τῶν Ἄλπεων καὶ ἄχρι Γαλατῶν νέμονται, ὥς φησι Δίων καὶ ἕτεροι ἀκριβέστατοι ἱστορικοὶ συγγραφεῖς τε καὶ γεωγράφοι.

Въ Китэю Лигистійскую]. Китэя—городъ въ Колхидѣ; а Колхи, какъ я выше сказалъ подробнѣе,—племя Лазское, живущее вблизи Авасговъ. Ливистійская и Лигистійская область (изъ коихъ первая названа отъ *имени* Ливіи, дочери Епафа, а вторая — отъ Лигія, брата Алевіона) въ Киринѣ, Карѳагенѣ и Александріи, какъ я сказалъ выше, — одна и та же область въ Ливіи. Но нашъ Ликофронъ, вводящій много новшествъ, называетъ и землю Колховъ Лигистикой. Упомянутый Лигій, препятствуя Ираклу идти за быками Гиріона, былъ убитъ *имъ*. Итакъ, по мнѣнію незнающихъ раздѣленія областей, но считающихъ Ливистику и Лигистику за одну и ту же *область*, *дѣло* обстоитъ такъ, какъ мы сказали; на самомъ же дѣлѣ Лигистійскія области находятся около Этруріи: ибо Лигійцы занимаютъ побережье отъ Этруріи до Альпъ и до Галатовъ, какъ говоритъ Діонъ и другіе точнѣйшіе историческіе писатели и географы.

1332... Νεπτουνὶς ἡ Ἀμαζὼν αὕτη ἐκαλεῖτο, ἀφ' ἧς καὶ αἱ λοιπαὶ Ἀμαζόνες Νεπτουνίδες καλοῦνται. ἐπεστράτευσαν δὲ αὗται τῇ Ἀττικῇ, καὶ νικηθεῖσαι ὑπέστρεψαν εἰς Σκυθίαν. καὶ οὗτος μὲν διὰ τὸν ζωστῆρά φησιν αὐτὰς ἐπὶ τὰς Ἀθήνας στρατεῦσαι· Ἑλλάνικος δὲ ὁ Λέσβιός φησιν ὅτι παγέντος τοῦ Κιμμερικοῦ Βοσπόρου διέβησαν αὐτὸν καὶ ἦλθον εἰς τὴν Ἀττικὴν, καὶ τέτρασι μησὶ πολεμήσασαι ὑπεστράφησαν· οὐ λέγει δὲ τὴν αἰτίαν...

Нептунидою называлась эта Амазонка, отъ которой и остальныя Амазонки называются Нептунидами. Онѣ совершили походъ на Аттику и, потерпѣвъ пораженіе, возвратились въ Скиѳію. Нашъ *поэтъ* говоритъ, что онѣ совершили походъ на Аѳины изъ-за пояса; а Елланикъ Лесвійскій говоритъ, что когда замерзъ Киммерійскій Воспоръ, онѣ перешли чрезъ него, явились въ Аттику и послѣ четырехмѣсячной войны возвратились, но причины *похода* не объясняетъ...

1333... Ἔρις, Λάγμος, Τήλαμος καὶ Θερμώδων ποταμοὶ Σκυθίας. Ἀκταῖον δὲ ὄρος Σκυθίας.

Ерисъ, Лагмъ, Тиламъ и Ѳермодонтъ—рѣки въ Скиѳіи; Актэй—гора въ Скиѳіи.

1361... Ἄλπια ὄρη Εὐρωπαῖα μεγάλα τῆς Ἰταλίας, ἓν μὲν, ἀφ' οὗ ῥεῖ ὁ Ἴστρος· ἄλλο δὲ, ἀφ' οὗ ὁ Ῥῆνος...

... Альпы—большія европейскія горы въ Италіи; съ одной изъ нихъ течетъ Истръ, съ другой—Рейнъ...

Digitized by Google

1374... Ἔχρησε δὲ ὁ θεὸς τῆς μανίας αὐτὸν [sc. Ὀρέστην] ἀπαλλαγῆναι, εἰ τὸ ἐν Ταύροις ξόανον τῆς Ἀρτέμιδος μετακομίσει (οἱ δὲ Ταῦροι μοῖρα Σκυθῶν)· παραγενόμενος δὲ μετὰ Πυλάδου καὶ κρατηθεὶς παρὰ βουκόλων ἤχθη δέσμιος σὺν τῷ Πυλάδῃ πρὸς Θόαντα τὸν βασιλέα· ὁ δὲ αὐτοὺς πρὸς τὴν ἱέρειαν Ἰφιγένειαν ἔπεμψε, μεθ' ἧς καὶ τοῦ ἀγάλματος φεύγουσι...

...Оракулъ предсказалъ, что Орестъ избавится отъ безумія, если перенесетъ находящійся въ *землѣ* Тавровъ кумиръ Артемиды (а Тавры—часть Скиѳовъ); прибывъ *туда* съ Пиладомъ и будучи схваченъ пастухами, онъ вмѣстѣ съ Пиладомъ былъ отведенъ связаннымъ къ царю Ѳоанту. Послѣдній послалъ ихъ къ жрицѣ Ифигеніи, вмѣстѣ съ которою и со статуею они бѣжали...

1427. Κίμμερός θ' ὅπως]. Κιμμέριοι ἔθνος περὶ τὸν Ὠκεανὸν ζόφῳ κεκαλυμμένον. ὁ δὲ νοῦς· ὥσπερ ὁ σκοτισμὸς τῶν Κιμμερίων, ἀφανίζων τὸ φῶς, σκότος ποιεῖ, οὕτως καὶ τὰ Περσικὰ βέλη πεμπόμενα συγκρύψει τὸν ἥλιον.

И какъ Киммерская]. Киммеріцы — народъ у Океана, покрытый мракомъ. Смыслъ: какъ киммерійскій туманъ, затемняя свѣтъ, производитъ мракъ, такъ и спускаемыя *съ луковъ* персидскія стрѣлы закроютъ солнце.

ΣΧΟΛΙΑ ΕΙΣ ΛΥΚΟΦΡΟΝΟΣ ΑΛΕΞΑΝΔΡΑΝ.

СХОЛІИ КЪ ЛИКОФРОНОВОЙ „АЛЕКСАНДРѢ".

[E codice Marciano № 476 saec. XI. Editionem v. supra p. 389].

56. τοῖς Τευταρείοις] Τεύταρος Σκύθης βουκόλος Ἀμφιτρύωνος ἐδίδαξε τὸν Ἡρακλέα τοξεύειν, παρασχὼν αὐτῷ καὶ τὰ τόξα αὐτοῦ...

Тевтаровскими]. Скиѳъ Тевтаръ, пастухъ Амфитріона, научилъ Иракла стрѣлять изъ лука и даже отдалъ ему свой лукъ...

174[1]). Τὸν μελλόνυμφον· μυθεύονται γὰρ ὅτι μετὰ θάνατον Ἀχιλλεὺς ἠγάγετο Μήδειαν τὴν Αἰήτου ἐν μακάρων νήσοις. Κυταϊκὴ δὲ ἡ Μήδεια, Κύτη γὰρ πόλις Κολχίδος. ξεινοβάκχη δέ, διότι ξένῳ ὄντι τῷ Ἰάσονι συνεφιλιώθη κατ' ἔρωτα αὐτοῦ καὶ ἐξεβακχεύθη, καὶ δι' αὐτὸν ἀνεῖλε τὸν Ἄψυρτον τὸν ἴδιον ἀδελφόν.

Будущаго жениха: миѳологи разсказываютъ, что послѣ смерти Ахиллъ взялъ въ жены Мидію, дочь Эита, на островахъ блаженныхъ. *Китэйскою* называется Мидія, ибо Кита—городъ въ Колхидѣ; *она же называется* ξεινοβάκχη потому, что соединилась съ чужеземцемъ Іасономъ изъ любви къ нему, пришла въ неистовство и изъ за него [т. е. Іасона] убила роднаго брата Апсирта.

186 sqq. ἦν ὁ ξύνευνος] φασὶν ὅτι μετὰ τὸ ἁρπαγῆναι τὴν Ἰφιγένειαν ὑπὸ Ἀρτέμιδος, ἀκούσας Ἀχιλλεὺς ὅτι ἐν Σκυθίᾳ ἐστίν, ὥρμησε ζητῶν αὐτὴν, καὶ μὴ εὑρών, ᾤκησε περὶ τὴν Λευκὴν νῆσον, ἥ ἐστιν ἐν τῷ Εὐξείνῳ πόντῳ.

...τὸ δὲ Ἑλλάδος καράτομον τὴν ὑπὸ τῆς Ἑλλάδος φασὶ καρατομηθεῖσαν ἐν Αὐλίδι· ἢ ἐνεργητικῶς, τὴν τοὺς Ἕλληνας

Которую супругъ]. Говорятъ, что послѣ похищенія Ифигеніи Артемидою Ахиллъ, услышавъ, что она находится въ Скиѳіи, отправился искать ее и, не нашедши, поселился на Бѣломъ островѣ, находящемся въ Евксинскомъ понтѣ.

...Выраженіе Ἑλλάδος καράτομον, говорятъ, *обозначаетъ* зарѣзанную Еллинами въ Авлидѣ; или въ дѣйствительномъ сми-

1) V. 174: τὸν μελλόνυμφον εὐνέτην Κυταϊκῆς | τῆς ξεινοβάκχης.

Digitized by Google

καρατομοῦσαν, διὰ τὴν ἐν Ταύροις ὑπ' αὐτῆς ξενοκτονίαν.

Δαρὸν δὲ φαληριῶσαν οἰκήσει σπίλον ἐπὶ πολὺν χρόνον τὴν καλουμένην Λευκὴν νῆσον· σπίλος δὲ ἡ νῆσος εἴρηται. τὸ δὲ Κέλτρος ὄνομα λίμνης βαλλούσης εἰς τὸν Εὔξεινον πόντον.

192 sqq. βαθὺς ἔσω ῥηγμῖνος αὐδ.] ἐν Σκυθίᾳ ἐστιν αἰγιαλὸς εἰς μῆκος διήκων χιλίων σταδίων, ὃς καλεῖται Ἀχιλλέως δρόμος... γραῖαν δέ, τὴν γεγηρακυῖαν ἐν τοῖς σφαγίοις, ἢ τὴν μεταβληθεῖσαν εἰς γραῖαν διὰ τὸ μὴ γνωρισθῆναι ὑπὸ τῶν Ἑλλήνων... Ἅιδου δὲ κρατῆρα λέγει τὸν λέβητα διὰ τὸ εἰς αὐτὸν σφαζομένους τοὺς ξένους εἰσβάλλεσθαι. ἄλλοι δέ φασι χάσμα εἶναι ἐν Ταύροις, ἐξ οὗ φλόγα φέρεσθαί φασιν, εἰς ὃ τοὺς ἀναιρουμένους ἔρριπτεν ἡ Ἰφιγένεια· δαιταλουργίᾳ δέ, τῇ ἐν Ταύροις ξενοκτονίᾳ.

200 sq. χὠ μὲν πατήσει χῶρον] ὁ μὲν οὖν Ἀχιλλεύς, φησι, πέντε ἔτη εἰς Σκυθίαν θρηνῶν διατρίψει, ἱμείρων τοῦ λέχους τῆς Ἰφιγενείας...

798. Ἀχιλλέως δάμαρτος] φασὶν ὅτι ὁ Ἀχιλλεὺς μετὰ θάνατον ἔγημε Μήδειαν τὴν Αἰήτου παῖδα· Αἰήτης δὲ καὶ Κίρκη Ἡλίου παῖδες...

1021 sq. ...Πόλαι δέ, πόλις Ἠπείρου ὑπὸ Κόλχων κτισθεῖσα τῶν καταδιωξάντων τὴν Μήδειαν καὶ μὴ καταλαβόντων αὐτὴν καὶ διὰ φόβον ἐνταῦθα κατοικησάντων καὶ κτισάντων πόλιν, ἥτις τῇ Κολχίδι φωνῇ Πόλαι καλεῖται, σημαίνοντος τοῦ ὀνόματος τοὺς φυγάδας, ὥς φησι Καλλίμαχος.

Ἄλλως. ὁ δὲ γείτων χῶρος καὶ ποταμὸς ὁ Κρᾶθις ἐν τοῖς ὄροις τῶν Μυλάκων καὶ ἐν Πόλῃ οὕτως ὠνομασμένῃ πόλει τῇ ὑπὸ Κόλχων κτισθείσῃ συνοίκους δέξεται τοὺς ἰχνευτὰς καὶ διώκτας τῆς θυγατρὸς Αἰήτου Μηδείας.

1023 sq. ...ἄλλως. οὔστινας Κόλχους ὁ βαρὺς βασιλεὺς τῆς Αἴας πόλεως καὶ τῆς Κορίνθου Αἰήτης καὶ ἀνὴρ τῆς Εἰδυίας διώκτας τῆς θυγατρὸς αὐτῆς ἀπέστειλε, τὴν νυμφαγωγὸν πόρτιν ἥγουν τὴν Ἀργὼ ἀγρεῦσαι θέλων.

1024. Αἴας] Αἶα πόλις Κολχίδος...

1026. οἱ πρὸς βαθεῖ] οἵτινες Κόλχοι πρὸς τῷ βαθεῖ πόρῳ τοῦ Διζηροῦ ποταμοῦ κατῴκησαν.

слѣ—рѣжущую Еллиновъ, вслѣдствіе убіенія ею чужеземцевъ въ Тавридѣ.

Слова «δαρὸν φαληριῶσαν οἰκήσει σπίλον» *значатъ:* на долгое время *поселится* на такъ называемомъ Бѣломъ островѣ; σπίλος названъ островъ (νῆσος). Келтръ — названіе озера, впадающаго въ Евксинскій понтъ.

...Въ Скиѳіи есть берегъ, простирающійся въ длину на 1000 стадій и называемый Ахилловымъ Бѣгомъ... γραῖαν *значитъ* состарѣвшуюся въ убійствахъ, или обращенную въ старуху для того, чтобы не быть узнанною Еллинами... Чашей Аида *поэтъ* называетъ котелъ, потому что въ него бросались убиваемые чужеземцы; другіе говорятъ, что *это* — разсѣлина въ Тавридѣ, изъ которой, говорятъ, выходило пламя и въ которую Ифигенія бросала убиваемыхъ; δαιταλουργίᾳ *значитъ* убіеніемъ чужеземцевъ въ Тавридѣ.

...Итакъ Ахиллъ, говоритъ *поэтъ*, пять лѣтъ проведетъ въ печали въ Скиѳіи, страстно желая ложа Ифигеніи...

Супруги Ахилла]. Говорятъ, что Ахиллъ послѣ смерти женился на Мидіи, дочери Эита; а Эитъ и Кирка—дѣти Иліи (Солнца)...

...Полы — городъ въ Иллирѣ, основанный Колхами, преслѣдовавшими Мидію, не захватившими ея и изъ страха поселившимися здѣсь и построившими городъ, который на колхійскомъ языкѣ называется Пόлаι, каковое названіе обозначаетъ изгнанниковъ, какъ говоритъ Каллимахъ [1]).

Иначе: сосѣдняя область и рѣка Краѳисъ въ предѣлахъ Милаковъ и въ Полѣ, носящемъ такое названіе городѣ, основанномъ Колхами, приметъ сожителями развѣдчиковъ и преслѣдователей Эитовой дочери Мидіи.

...Иначе: каковыхъ Колховъ суровый царь города Эи и Коринѳа Эитъ, мужъ Идіи, отправилъ преслѣдовать ея дочь, желая поймать «везущую невѣсту юницу» [чит. τρόπιν, т. е. корабль], т. е. Арго.

Эи] Эя — городъ *въ* Колхидѣ...

Которые при глубокомъ]. Каковые Колхи поселились при глубокомъ руслѣ рѣки Днѣпра.

1) Fr. 104, v. supra p. 95 ap. Strab. I p. 46.

Digitized by Google

1108 sq. ...Χάλυβες, Σκυθικὸν ἔθνος, παρ' οἷς σίδηρος ἄριστος.

...Халивы — скиескій народъ, у котораго наилучшее желѣзо.

1109... πρῶτοι γὰρ Χάλυβες εὗρον τὸν σίδηρον.

...Халивы первые открыли желѣзо.

1283. τί γὰρ ταλαίνῃ μητρί] τῇ Ἀσίᾳ· Ἰαπετοῦ γὰρ καὶ Ἀσίας Προμηθεύς· ἀπὸ δὲ ταύτης τὴν χώραν ἀκουστέον.

Ибо что несчастной матери], т. е. Азіи, ибо Промееей *былъ сынъ* Іапета и Азіи; отъ нея слѣдуетъ разумѣть страну.

1284. καὶ τροφῷ Σαρπηδόνος] τῇ Εὐρώπῃ· ἐκ γὰρ Διὸς καὶ Εὐρώπης Σαρπηδών, Μίνως καὶ Ῥαδάμανθυς· ἐκ δὲ ταύτης ἡ χώρα τὸ ὄνομα εἴληφεν.

И кормилицъ Сарпидона], т. е. Европѣ, ибо отъ Зевса и Европы *родились* Сарпидонъ, Миносъ и Радаманѳій; а отъ нея получила названіе страна.

1288. λίμνην τε τέμνων] ὁ Τάναϊς ποταμὸς διαιρεῖ Ἀσίαν καὶ Εὐρώπην εἰσβάλλων εἰς τὴν Μαιῶτιν λίμνην· ἣν φασι τοσοῦτον εἶναι ψυχράν, ὡς τοὺς περὶ αὐτὴν οἰκοῦντας χίμετλαν ποιεῖν ἐν τοῖς ποσίν, ἅπερ εἰσὶ τὰ λεγόμενα ἀποκαύματα· καὶ Διονύσιος [sequuntur Dion. *Perieg.* vv. 14—16, v. supra p. 178].

И разсѣкая озеро]. Рѣка Танандъ раздѣляетъ Азію и Европу, впадая въ Меотійское озеро; послѣднее, говорятъ, такъ холодно, что у окрестныхъ жителей образуются на ногахъ отмороженія или такъ называемыя ἀποκαύματα. И Діонисій *говоритъ*...

1312. ὃς εἰς Κύταιαν] Κύταια πόλις Κολχίδος· οἱ δὲ Κόλχοι ἔθνος πλησίον Λιγυστίνων.

Который въ Китэю]. Китэя — городъ въ Колхидѣ; а Колхи — народъ вблизи Лигистиновъ.

1314. καὶ γυρὰ ταύρων βαστάσας] φασὶν ὅτι Αἰήτης ἔθηκεν ἆθλον τῷ Ἰάσονι ἐπὶ τῇ λήψει τοῦ δέρματος ἀροτριάσαι μετὰ τῶν πυριπνόων ταύρων ἐχόντων ἀδαμάντινον ἄροτρον καὶ σπείρειν ὀδόντας δράκοντος· ἐκ δὲ τῶν ὀδόντων αὐτίκα ἀνεδίδοντο ὁπλῖται ἄνδρες καὶ ἐμάχοντο αὐτῷ.

И поднявъ кривые быковъ]. Говорятъ, что Эитъ для полученія руна предложилъ Іасону подвигъ — вспахать *землю* при помощи огнедышащихъ быковъ, запряженныхъ въ стальной плугъ, и посѣять зубы дракона; а изъ зубовъ немедленно выростали вооруженные люди и сражались съ нимъ.

1315. καὶ λέβητι δαιτρευθείς] φασὶν ὅτι Ἰάσων ὑπὸ Μηδείας ἐν λέβητι ἑψηθεὶς πάλιν νέος γέγονεν.

И сваривши въ котлѣ]. Говорятъ, что Іасонъ, сваренный Мидіею въ котлѣ, снова сталъ молодымъ.

1316 sq. ...ἀλλ' αὐτόκλητος] ἠτιμόλησε γὰρ πρὸς τὸν Ἰάσονα. κεραὶς δὲ εἶδος ὀρνέου μικροῦ· λέγει δὲ τὴν Μήδειαν, παρ' ὅσον κατέτηξεν αὐτὴν διὰ τὴν λύπην τῆς ἑτερογαμίας Ἰάσονος· ἔγημε γὰρ Γλαύκην τοῦ Κρέοντος τῶν Κορινθίων παῖδα.

...Но самозванная], ибо она перебѣжала къ Іасону; керай — видъ небольшой птички; *поэтъ* называетъ *такъ* Мидію, потому что она измучила себя отъ печали по случаю втораго брака Іасона: онъ женился на Главкѣ, дочери коринѳскаго царя Креонта.

1318. τὴν γνωτοφόντιν] ἡ γὰρ Μήδεια τὸν ἀδελφὸν αὐτῆς Ἄψυρτον διώξαντα αὐτὴν καὶ καταλαβόντα φεύγουσαν λαβοῦσα αὐτὸν ἀνεῖλε, καὶ τοὺς παῖδας ἑαυτῆς ὁμοίως ἐν Κορίνθῳ διὰ τὴν πρὸς Ἰάσονα ζηλοτυπίαν ἀνεῖλεν αὐτόχειρ· καταλιπὼν δὲ αὐτὴν ὁ Ἰάσων ἔγημε Γλαύκην.

Убійцу родныхъ]. Ибо Мидія схватила и убила своего брата Апсирта, преслѣдовавшаго ее и захватившаго въ бѣгствѣ, а также собственноручно убила въ Коринѳѣ своихъ собственныхъ дѣтей изъ ревности къ Іасону, который, покинувъ ее, женился на Главкѣ.

1319. εἰς τὴν λάληθρον] τὴν Ἀργὼ λέγει· λάληθρον δέ, ἐπειδή, φασιν, ἐκ τῆς φηγοῦ τῆς ἐν Δωδώνῃ ξύλον εἶχε φωνῆεν. καὶ Καλλίμαχος φωνήεσσαν αὐτὴν ἐκάλεσε. κίσσα δέ, ἐπειδὴ τὸ ὄρνεον μιμητικόν ἐστι φωνῆς ἀνθρωπίνης, ὡς καὶ ἡ Ἀργώ.

На болтливую]. *Поэтъ* разумѣетъ Арго: «болтливую» потому, что она, какъ говорятъ, имѣла говорящее бревно отъ Додонскаго дуба; и Каллимахъ назвалъ ее «говорящею»; а «сорока» потому, что эта птица подражаетъ человѣческому голосу, какъ и Арго.

Digitized by Google

1320. φθογγὴν ἑδώλων] σανιδωμάτων, ἀπὸ τῶν Χαονιτικῶν· ἔστι δὲ ἔθνος Ἠπείρου, ἔνθα τὰ τῆς Ἀργοῦς ξύλα ἠνέχθη.

1327 sq. σὺν θηρὶ βλώξας] Θησεύς, φησι, σὺν τῷ Ἡρακλεῖ ἐλθὼν εἰς Σκυθίαν πρὸς τὰς Ἀμαζόνας, διπλοῦν παρεσκεύασε τὸ νεῖκος εἰς τοὺς Ἕλληνας...

1331 sqq. ...Ἔρις καὶ Λάγμος καὶ Τήλαμος καὶ Θερμώδων ποταμοὶ περὶ Σκυθίαν· Ἀκταῖον δέ, ὄρος Σκυθίας.

Звукъ сѣдалищъ], *т. е.* палубныхъ скамей, отъ Хаонитскихъ; это народъ въ Иллирѣ, откуда доставлены бревна для Арго.

Со звѣремъ придя]. Ѳисей, говоритъ *поэтъ*, придя съ Иракломъ въ Скиѳію къ Амазонкамъ, подготовилъ двойную вражду къ Эллинамъ...

...Эридъ, Лагмъ, Тиламъ и Ѳермодонтъ—рѣки въ Скиѳіи, а Актэй—гора въ Скиѳіи.

ΝΥΜΦΟΔΩΡΟΣ. НИМФОДОРЪ.

[«Nymphodoros vulgo distinguunt duos, Syracusanum et Amphipolitam: illi tribuunt libros περὶ τῶν ἐν Σικελίᾳ θαυμαζομένων et περίπλουν, ad hunc referunt opus περὶ νομίμων βαρβαρικῶν. Id num recte fiat dubito. Argumenta librorum quos modo dixi, ut inter se simillima, sic ab uno eodemque Nymphodoro tractata esse suspicor. Statui itaque possit Nymphodorum Syracusis natum diutius degisse Amphipoli... Auctor Institutorum Barbaricorum sub Ptolemaeo Philadelpho [285—247 a. Chr.] scripsisse mihi videtur». Müller, FHG. v. II p. 375. Собраніе отрывковъ — pp. 375—381].

ΠΕΡΙΠΛΟΥΣ, fr. 9 v. supra p. 253 ap. Steph. Byz. s. v. Ἀθύρας. (Cf. Eberti adnotationem ap. Müllerum).

ΝΟΜΙΜΑ ΒΑΡΒΑΡΙΚΑ.

Fr. 14 v. infra ap. Clem. Alex. *Protr.* I c. 5, p. 19 Sylb.
Fr. 15 v. infra ap. schol. Apoll. Rh. II, 1010.
Fr. 16 v. ap. eundem, ad II, 1029.
Fr. 17 v. ap. eundem, ad III, 202.

ΕΥΔΟΞΟΣ. ЕВДОКСЪ.

[Цитируемое древними писателями сочиненіе «Γῆς περίοδος» въ 9 книгахъ, объ авторѣ котораго существовало разногласіе въ новой литературѣ, по мнѣнію Г. Ф. Унгера (Philologus т. 50, 1891 г., стр. 191—229) принадлежитъ Евдоксу Родосскому и написано въ срединѣ III в. до Р. Хр. Имъ же вкратцѣ намѣчено содержаніе всѣхъ 9 книгъ и распредѣлены сохранившіеся отрывки].

ΓΗΣ ΠΕΡΙΟΔΟΣ.

Fragmenta libri I: 1) v. supra p. 266 ap. Steph. Byz. s. v. Συρμάται.
2) v. supra p. 263 ap. eundem s. v. Μοσσύνοικοι.
3) v. supra p. 269 ap. eundem s. v. Χάλυβες.
4) v. ibid. s. v. Χαβαρηνοί
5) v. supra p. 255 ap. eundem s. v. Ἀρμενία.
6) v. infra ap. Diog. Laert. IX, 83.

Fragm. l. II [1]) v. infra ap. Clem. Alex. *Protr.* c. V, 64 (p. 56 Pott.).

1) Cf. tamen Unger op. l. p. 228: «Verdorben (aus δ' ?) scheint die Zahl ἐν δευτέρᾳ τῆς περιόδου bei Clemens Alex. protr. p. 42 [leg. 56] Potter: die hier besprochene Schwertanbetung der Skythen meldet Herodot 4, 62 von den europäischen».

Digitized by Google

ΑΝΤΙΓΟΝΟΣ ΚΑΡΥΣΤΙΟΣ. АНТИГОНЪ КАРИСТСКІЙ.

[Уроженецъ г. Кариста на о. Эввіи, жилъ въ Аѳинахъ и Пергамѣ въ III в. до Р. Хр. (умеръ позднѣе 226 г.). Главныя его сочиненія — Βίοι φιλοσόφων и Ἱστορικὰ ὑπομνήματα до насъ не дошли; сохранился небольшой сборникъ, изъ котораго ниже приводятся отрывки. — Текстъ: Rerum naturalium scriptores Graeci minores rec. O. Keller, Lips. 1877, v. I p. 1—42. Cp. U. von Wilamowitz-Möllendorff, Antigonos von Karystos, Berl. 1881].

ΙΣΤΟΡΙΩΝ ΠΑΡΑΔΟΞΩΝ ΣΥΝΑΓΩΓΗ. СВОДЪ НЕВѢРОЯТНЫХЪ РАЗСКАЗОВЪ.

Переводъ П. И. Прозорова.

XIII. Οὐδὲ κατὰ τὴν Σκυθῶν χώραν, ὁμοίως δὲ οὐδὲ κατὰ τὴν Ἠλείαν ἡμίονος οὐ γεννᾶται.

Въ Скиѳской землѣ, подобно тому какъ и въ Илійской, не родятся мулы [1]).

XXV (31). Ἀριστοτέλης δέ φησι καὶ τὸν καλούμενον τάρανδον τοῦτο πάσχειν, ὄντα τετράπουν καὶ σχεδὸν ἴσον ὄνῳ καὶ παχύδερμον καὶ τετριχωμένον, καὶ θαυμαστὸν εἶναι πῶς αἱ τρίχες οὕτως ὀξέως ἀλλοιοῦνται.

Аристотель говоритъ [2]), что этимъ *качествомъ* [т. е. возможностью перемѣнять цвѣтъ шерсти] обладаетъ и такъ называемый тарандъ, животное четвероногое, *по величинѣ* почти равное ослу, толстокожее и волосатое, и что удивительно, какъ можетъ такъ рѣзко мѣняться *его* шерсть.

XXVII (33). [Ἀριστοτέλης] φησὶν περὶ Κωνώπιον τῆς Μαιώτιδος λίμνης τοὺς λύκους παρὰ τῶν ἁλιέων λαμβάνοντας τροφὴν φυλάττειν τὴν θήραν· ἂν δ' ὑπολάβωσίν τι ἀδικεῖσθαι, λυμαίνεσθαι τὰ λίνα καὶ τοὺς ἰχθύας αὐτῶν.

[Аристотель] разсказываетъ [3]), что у Конопія при Меотійскомъ озерѣ волки, получая пищу отъ рыбаковъ, стерегутъ *ихъ* добычу, а если сочтутъ себя въ чемъ нибудь обиженными, то портятъ у нихъ сѣти и рыбу.

LIV (59)... τῷ δὲ Σκυθῶν βασιλεῖ ἵππον φασὶ γενναίαν γενέσθαι· ταύτῃ τὸν ἐξ αὐτῆς γεννηθέντα πῶλον προσάγειν, ἵνα ὀχεύσῃ, τὸν δ' οὐ θέλειν· ὡς δὲ περικαλύψαντες προσήγαγον τὴν ἵππον, ἀναβῆναι, ἀποκαλυφθείσης δὲ ἰδόντα τὸ πρόσωπον φεύγειν καὶ κατακρημνίσαι ἑαυτόν.

Разсказываютъ, что у скиѳскаго царя была породистая кобылица; къ ней подвели для случки отъ нея же родившагося жеребца, но тотъ не хотѣлъ; когда закрыли кобылу и подвели къ нему, онъ совокупился, но когда ее открыли и онъ увидѣлъ ея голову, то убѣжалъ и бросился съ утеса [4]).

LXXXV (92). Περὶ δὲ τὸν Ὕπανιν ποταμὸν τὸν περὶ Βόσπορον τὸν Κιμμέριον περὶ τροπὰς χειμερινὰς καταφέρεσθαί φησιν [Ἀριστοτέλης] οἷον φυλάκους μείζους ῥαγῶν, ἐξ ὧν ῥηγνυμένων ἐξέρχεσθαι ζῶον πτερωτὸν τετράπουν, ζῆν δὲ μίαν ἡμέραν· ἴδιον δὲ καὶ τὸ πτερωτὸν τετράπουν εἶναι.

[Аристотель] говоритъ, что у рѣки Иванида близъ Воспора Киммерійскаго около зимняго солнцеворота приносятся *имъ* какъ бы мѣшечки величиною больше виноградной ягоды; когда они лопнутъ, изъ нихъ выходитъ четвероногое крылатое животное, живущее одинъ день. Необыкновенно и то, что крылатое животное имѣетъ четыре ноги [5]).

CXXII (134). Ἱστορεῖται δὲ καὶ περὶ τὴν Λευκὴν νῆσον μηδὲν ὑπεραίρειν δύνα-

Разсказываютъ, что и на Бѣломъ островѣ ни одна птица не можетъ при

1) Cf. Herod. IV, 28 (supra, p. 19) et 30. Arist. *Hist. an.* 8, 25 (supra, p. 377). Ael. V, 8. 2) *Mir. ausc.* c. 30 (v. supra p. 379). 3) *Hist. anim.* 9, 36 (v. supra p. 378). 4) Cf. Arist. *Hist. an.* 9, 47 (supra, p. 378). 5) Cf. Arist. *Hist. an.* 5, 19 (v. supra p. 376). Ael. V, 43. Plin. *N. h.* XI, 36.

Digitized by Google

σθαι τῶν ὀρνέων τῇ πτήσει τὸν τοῦ Ἀχιλλέως ναόν.

CLII (167). Τὴν δὲ ἐν τοῖς Σαρμάταις λίμνην Ἡρακλείδην γράφειν [λέγει Καλλίμαχος;], ὅτι οὐδὲν τῶν ὀρνίθων ὑπεραίρειν, τὸ δὲ προσελθὸν ὑπὸ τῆς ὀσμῆς τελευτᾶν...

1 полетѣ подняться выше Ахиллова храма [1]).

[Каллимахъ говоритъ, что] Ираклидъ пишетъ объ *одномъ* озерѣ въ Сарматіи, 5 будто ни одна птица не перелетаетъ его, а если какая приблизится, то умираетъ отъ запаха... [2]).

ΕΡΑΤΟΣΘΕΝΗΣ. ЕРАТОСѲЕНЪ.

[Важнѣйшій изъ ученыхъ Александрійскаго времени, уроженецъ г. Кирины, род. около 276, ум. около 194 г. до Р. Хр. Главное его сочиненіе — Γεωγραφικά въ 3 книгахъ, извѣстное намъ главнымъ образомъ по полемикѣ Страбона; кромѣ того онъ писалъ стихотворенія ученаго содержанія: Ἑρμῆς, Ἠριγόνη, Καταστερισμοί (сохранилось до насъ) и др.—Собранія отрывковъ: Die geographischen Fragmente des Eratosthenes neu gesammelt, geordnet und besprochen von Dr. Hugo Berger. Leipz., Teubner, 1880. Cf. E. Maass, Analecta Eratosthenica въ Philol. Untersuchungen herausg. von A. Kiessling und U. von Wilamowitz-Möllendorff, 6 Heft, 1881].

ΓΕΩΓΡΑΦΙΚΑ.

Lib. I., fr. I A, 6 (p. 29 Berg.) v. supra p. 111 ap. Strab. VII p. 298 sq.
» fr. I B, 4 (p. 41) v. supra p. 112 ap. eundem VII p. 300.
» fr. I B, 8 (p. 49) v. supra p. 96 ap. eundem I p. 48.
» fr. I B 10 (p. 52) v. supra p. 92 ap. eundem I p. 14.
» fr. I B, 14 et 15 (p. 59) v. supra p. 96 ap. eundem I p. 49 sq.
» fr. I B, 24 (p. 78) v. infra ap. Arr. *Anab. Alex.* V, 3, 1.
Lib. II, fr. II B, 14 (p. 103) v. supra p. 98 ap. Strab. I p. 62.
» fr. II C, 5 (p. 143) v. supra p. 105 ap. eundem II p. 135.
» fr. II C, 22 (p. 163) v. supra p. 99 ap. eundem I p. 65.
» fr. II C, 23 (p. 167) v. supra p. 150 ap. eundem XI p. 510.
Lib. III, fr. III A, 11 (p. 183) v. supra p. 99 ap. eundem II p. 71.
» fr. III A, 13 (ibid.) v. supra p. 99 ap. eundem II p. 74.
» fr. III A, 34 (p. 204) v. supra p. 100 ap. eundem II p. 91.
» fr. III B, 67 (p. 323) v. supra p. 150 ap. eundem XI p. 509.
» fr. III B, 68 (ibid.) v. supra p. 148 ap. eundem XI p. 507.
» fr. III B, 72 (p. 325) v. infra ap. schol. Apoll. Rh. II, 1247.
» fr. III B, 73 (p. 327) v. supra p. 136 ap. Strab. XI p. 497.
» fr. III B, 74 (ibid.) v. infra ap. schol. Apoll. Rh. IV, 259.
» fr. III B, 75 (ibid.) v. ap. eundem, ad II, 399.
» fr. III B, 76 (ibid.) v. ap. eundem, ad IV, 131.

Lib. III, fr. III B, 77 (Plin. *N. h.* V § 47): ab ore Ponti ad os Maeotis Eratosthenes (tradit) $\overline{\text{XV}}$XL M pass.

Отъ устья Понта до устья Меотиды по свидѣтельству Ератосѳена 1545000 шаговъ.

Lib. III, fr. III B, 78 (Plin. VI § 3): Mensuram Ponti a Bosporo ad Maeotium lacum quidam fecere $\overline{\text{XIV}}$XXXVIII M passuum, Eratosthenes C minorem...

Нѣкоторые опредѣлили длину Понта отъ Воспора до Меотійскаго озера въ 1438000 шаговъ, а Ератосѳенъ на 100 т. ш. меньше.

Lib. III, fr. III B, 79 (Amm. Marc. XXII, 8, 10)=Hecat. Mil. fr. 163, v. supra p. 1.
» fr. III B, 84 (p. 335 Berg.) v. supra p. 156 ap. Strab. XI p. 529.

---

1) Cf. Plin. *N. h.* X, 29. Solin. c. 19. 2) Cf. Sotion. c. 22. Tzetz. ad *Lyc.* v. 704.

Digitized by Google

Lib. III, fr. III B, 93 (p. 339 Berg.) v. supra p. 104 ap. eundem II p. 126.
» fr. III B, 98 (p. 344) v. infra ap. schol. Apoll. Rh. IV, 310 (cf. supra p. 87, [Scymni] v. 785 sq.).
» fr. III B. 99 (p. 345) v. ap. eundem, ad IV, 284.

Fragm. ap. schol. Arati Phaen. 225: Κριοῖο· τοῦτον τὸν Κριὸν Ἐρατοσθένης εἶναί φησιν Ἕλλης καὶ Φρίξου, ὃν θύσας τῷ φυξίῳ Διὶ Φρίξος τὴν δορὰν δέδωκε τῷ Αἰήτῃ...

Барана: Ератосѳенъ говоритъ, что это баранъ Геллы и Фрикса, котораго Фриксъ принесъ въ жертву Зевсу Фиксію и шкуру отдалъ Эету...

ΑΠΟΛΛΩΝΙΟΣ ΡΟΔΙΟΣ. АПОЛЛОНІЙ РОДОССКІЙ.

43. Περὶ δὲ τῶν Σκυθῶν τῶν οἰκούντων τὴν ὅμορον χώραν ἐν μέρει διέξιμεν. οὗτοι γὰρ τὸ μὲν ἐξ ἀρχῆς ὀλίγην ἐνέμοντο χώραν, ὕστερον δὲ κατ' ὀλίγον αὐξηθέντες διὰ τὰς ἀλκὰς καὶ τὴν ἀνδρείαν πολλὴν μὲν κατεκτήσαντο χώραν, τὸ δὲ ἔθνος εἰς μεγάλην ἡγεμονίαν καὶ δόξαν προήγαγον. (2) τὸ μὲν οὖν πρῶτον παρὰ τὸν Ἀράξην ποταμὸν ὀλίγοι κατῴκουν παντελῶς καὶ διὰ τὴν ἀδοξίαν καταφρονούμενοι· ἕνα δὲ τῶν ἀρχαίων ἔχοντες βασιλέα φιλοπόλεμον καὶ διαφέροντα στρατηγίᾳ προσεκτήσαντο χώραν, τῆς μὲν ὀρεινῆς ἕως πρὸς τὸν Καύκασον, τῆς δὲ πεδινῆς τὰ παρὰ τὸν ὠκεανὸν καὶ τὴν Μαιῶτιν λίμνην καὶ τὴν ἄλλην χώραν ἕως Τανάιδος ποταμοῦ· (3) ὕστερον δὲ μυθολογοῦσι Σκύθαι παρ' αὐτοῖς γενέσθαι γηγενῆ παρθένον· ταύτην δ' ἔχειν τὰ μὲν ἄνω μέρη τοῦ σώματος μέχρι τῆς ζώνης γυναικεῖα, τὰ δὲ κατώτερα ἐχίδνης. ταύτῃ δὲ Δία μιγέντα γεννῆσαι παῖδα Σκύθην ὄνομα. τοῦτον δὲ γενόμενον ἐπιφανέστατον τῶν πρὸ αὐτοῦ τοὺς λαοὺς ἀφ' ἑαυτοῦ Σκύθας προσαγορεῦσαι. τῶν δὲ ἀπογόνων τούτου τοῦ βασιλέως ἀδελφοὺς δύο γενέσθαι διαφόρους ἀρετῇ, καὶ τὸν μὲν Πάλον, τὸν δὲ Νάπην ὠνομάσθαι. (4) τούτων δ' ἐπιφανεῖς πράξεις κατεργασαμένων καὶ διελομένων τὴν βασιλείαν, ἀφ' ἑκατέρου τοὺς λαοὺς τοὺς μὲν Πάλους, τοὺς δὲ Νάπας προσαγορευθῆναι. μετὰ δέ τινας χρόνους τοὺς ἀπογόνους τούτων τῶν βασιλέων ἀνδρείᾳ καὶ στρατηγίᾳ διενεγκόντας πολλὴν μὲν πέραν τοῦ Τανάιδος ποταμοῦ χώ-

43. Теперь перейдемъ къ Скиѳамъ, населяющимъ сосѣднюю [съ Индійцами] страну. Они сначала занимали незначительную область, но впослѣдствіи, понемногу усилившись благодаря своей храбрости и военнымъ силамъ, завоевали обширную территорію и снискали своему племени большую славу и господство. (2) Сначала они жили въ очень незначительномъ количествѣ у рѣки Аракса [1]) и были презираемы за свое безславіе; но еще въ древности подъ управленіемъ одного воинственнаго и отличавшагося стратегическими способностями царя они пріобрѣли себѣ страну въ горахъ до Кавказа, а въ низменностяхъ прибрежья Океана и Меотійскаго озера и прочія области до рѣки Тананда. (3) Впослѣдствіи, по скиѳскимъ преданіямъ, появилась у нихъ рожденная землею дѣва, у которой верхняя часть тѣла до пояса была женская, а нижняя — змѣиная [2]). Зевсъ, совокупившись съ нею, произвелъ сына, по имени Скиѳа, который, превзойдя славою всѣхъ своихъ предшественниковъ, назвалъ народъ по своему имени Скиѳами. Въ числѣ потомковъ этого царя были два брата, отличавшіеся доблестью; одинъ изъ нихъ назывался Палъ, а другой — Напъ. (4) Когда они совершили славные подвиги и раздѣлили между собою царство, по имени каждаго изъ нихъ назвались народы, одинъ Палами, а другой Напами [3]). Спустя нѣсколько времени потомки этихъ царей, отличавшіеся

V. 34: Πάλον] Πλοῦτον FG, Plutonem Poggius.|| Ibid. Νάπην] Νάπιν. AD, Napim Poggius. || V. 37: Πάλους] Πλούτους FG. Plutones Poggius, Νάπας D. || Ibid. Νάπας] Νάπους FG, Πάλους D.

1) De Araxe cf. Wesselingii notam (in ed. Dindorfiana v. IV p. 208). 2) «Μιξοπάρθενόν τινα ἐχίδνην διφυέα Herodot. IV. 8 [supra, p. 13] appellat, in ceteris a Diodoro plurimum dissentiens... quam eius opinionem Stephanus in Ἀγάθυρσοι atque alibi sequitur». Wess. 3) «*Palos*, Scythicam gentem, nusquam legere memini, neque etiam *Napas*: fortasse tamen *Pali* latent in Plinii VI N. H. 7. *Spaleis*, et *Napae* in eiusdem *Napaeis*, atque ab his Νάπις, κώμη Σκυθίκς, de qua Ethnicographus [supra, p. 263], nomen sortita est». Wess.

Digitized by Google

ραν καταστρέψασθαι μέχρι τῆς Θρᾴκης, ἐπὶ δὲ θάτερα μέρη στρατεύσαντας διατεῖναι τῇ δυνάμει μέχρι τοῦ κατ' Αἴγυπτον Νείλου. (5) πολλὰ δὲ καὶ μεγάλα τῶν ἀνὰ μέσον τούτων ἐθνῶν καταδουλωσαμένους προβιβάσαι τὴν ἡγεμονίαν τῶν Σκυθῶν τῇ μὲν ἐπὶ τὸν πρὸς ἀνατολὰς ὠκεανόν, τῇ δ' ἐπὶ τὴν Κασπίαν θάλατταν καὶ Μαιῶτιν λίμνην· ηὐξήθη γὰρ ἐπὶ πολὺ τοῦτο τὸ ἔθνος καὶ βασιλεῖς ἔσχεν ἀξιολόγους, ἀφ' ὧν τοὺς μὲν Σάκας προσαγορευθῆναι, τοὺς δὲ Μασσαγέτας, τινὰς δ' Ἀριμασπούς, καὶ τούτοις ὁμοίως ἄλλους πλείονας. (6) ὑπὸ δὲ τούτων τῶν βασιλέων πολλὰ μὲν καὶ τῶν ἄλλων τῶν καταπολεμηθέντων ἐθνῶν μετῳκίσθαι, δύο δὲ μεγίστας ἀποικίας γενέσθαι, τὴν μὲν ἐκ τῶν Ἀσσυρίων μεταστᾶσαν εἰς τὴν μεταξὺ χώραν τῆς τε Παφλαγονίας καὶ τοῦ Πόντου, τὴν δ' ἐκ τῆς Μηδίας παρὰ τὸν Τάναϊν καθιδρυθεῖσαν, ἧς τοὺς λαοὺς Σαυρομάτας ὀνομασθῆναι. (7) τούτους δ' ὕστερον πολλοῖς ἔτεσιν αὐξηθέντας πορθῆσαι πολλὴν τῆς Σκυθίας, καὶ τοὺς καταπολεμηθέντας ἄρδην ἀναιροῦντας ἔρημον ποιῆσαι τὸ πλεῖστον μέρος τῆς χώρας.

воинственностью и стратегическими талантами, подчинили себѣ обширную страну за рѣкою Танаидомъ до Ѳракіи и, направивъ военныя дѣйствія въ другую сторону, распространили свое владычество до египетской *рѣки* Нила [1]). (5) Поработивъ себѣ многія значительныя племена, жившія между этими предѣлами, они распространили господство Скиѳовъ съ одной стороны до Восточнаго океана, съ другой до Каспійскаго моря и Мэотійскаго озера; ибо это племя широко разрослось и имѣло замѣчательныхъ царей, по имени которыхъ одни были названы Саками, другіе Массагетами, нѣкоторые Аримаспами и подобно имъ многіе другіе. (6) Этими царями были переселены и многія другія покоренныя племена, а самыхъ важныхъ выселеній было два: одно изъ Ассиріи въ землю между Пафлагоніей и Понтомъ, другое изъ Мидіи, основавшееся у рѣки Танаида; эти переселенцы назвались Савроматами. (7) Эти послѣдніе много лѣтъ спустя, сдѣлавшись сильнѣе, опустошили значительную часть Скиѳіи и, поголовно истребляя побѣжденныхъ, превратили большую часть страны въ пустыню.

44 Μετὰ δὲ ταῦτα ἀναρχίας γενομένης κατὰ τὴν Σκυθίαν, ἐβασίλευσαν γυναῖκες ἀλκῇ διαφέρουσαι. ἐν τούτοις γὰρ τοῖς ἔθνεσιν αἱ γυναῖκες γυμνάζονται πρὸς πόλεμον παραπλησίως τοῖς ἀνδράσι καὶ ταῖς ἀνδρείαις οὐδὲν λείπονται τῶν ἀνδρῶν. διὸ καὶ γυναικῶν ἐπιφανῶν πολλαὶ καὶ μεγάλαι πράξεις ἐπετελέσθησαν οὐ μόνον κατὰ τὴν Σκυθίαν, ἀλλὰ καὶ κατὰ τὴν ὅμορον ταύτης χώραν. (2) Κύρου μὲν γὰρ τοῦ Περσῶν βασιλέως πλεῖστον ἰσχύσαντος τῶν καθ' αὑτὸν καὶ στρατεύσαντος ἀξιολόγοις δυνάμεσιν εἰς τὴν Σκυθίαν, ἡ βασίλισσα τῶν Σκυθῶν τό τε στρατόπεδον τῶν Περσῶν κατέκοψε καὶ τὸν Κῦρον αἰχμάλωτον γενόμενον ἀνεσταύρωσε· τό τε συσταθὲν ἔθνος τῶν Ἀμαζόνων τοσοῦτον ἀνδρείᾳ διήνεγκεν, ὥστε μὴ μόνον πολλὴν χώραν ὅμορον καταδραμεῖν, ἀλλὰ καὶ πολλὴν τῆς Εὐρώπης καὶ τῆς Ἀσίας καταστρέψασθαι. (3) Ἡμεῖς δ' ἐπειδὴ περὶ τῶν Ἀμαζονίδων ἐμνήσθημεν, οὐκ ἀνοίκειον εἶναι νομίζομεν διελθεῖν περὶ αὐτῶν, εἰ καὶ διὰ τὴν παρα-

44. Послѣ этого, когда въ Скиѳіи случилось *однажды* междуцарствіе, воцарились *въ ней* женщины, отличавшіяся силою. У этихъ народовъ женщины подобно мужчинамъ пріучаются къ войнѣ и нисколько не уступаютъ имъ въ храбрости; поэтому много великихъ подвиговъ было совершено славными женщинами не только въ Скиѳіи, но и въ сосѣднихъ съ нею земляхъ [2]). (2) Напримѣръ, когда Персидскій царь Киръ, могущественнѣйшій царь своего времени, съ значительными силами двинулся походомъ въ Скиѳію, то скиѳская царица перебила персидское войско и самого Кира захватила въ плѣнъ и распяла. Составившееся *такимъ образомъ* племя Амазонокъ отличалось такою храбростію, что не только опустошило много сосѣднихъ странъ, но и покорило даже значительную часть Европы и Азіи. (3) Такъ какъ мы упомянули здѣсь объ Амазонкахъ, то считаемъ не лишнимъ разсказать и о нихъ, хотя нашъ разсказъ, быть можетъ,

1) «Scytharum in Aegyptum usque excursum Iustin. II, 3. alium Herod. I. 105. memorant; uter intelligendus sit, non decerno». Wess. 2) Cf. Hippocr. *Aer. aq. et loc.* c. 24 (supra, p. 59).

Digitized by Google

δοξολογίαν μύθοις ὅμοια φανήσεται τὰ ῥηθέντα.

45. Παρὰ τὸν Θερμώδοντα τοίνυν ποταμὸν ἔθνους κρατοῦντος γυναικοκρατουμένου, καὶ τῶν γυναικῶν ὁμοίως τοῖς ἀνδράσι τὰς πολεμικὰς χρείας μεταχειριζομένων, φασὶ μίαν ἐξ αὐτῶν βασιλικὴν ἐξουσίαν ἔχουσαν ἀλκῇ καὶ ῥώμῃ διενεγκεῖν· (2) συστησαμένην δὲ γυναικῶν στρατόπεδον γυμνάσαι τε τοῦτο καί τινας τῶν ὁμόρων καταπολεμῆσαι. αὐξομένης δὲ τῆς περὶ αὐτὴν ἀρετῆς τε καὶ δόξης συνεχῶς ἐπὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν στρατεύειν, καὶ τῆς τύχης εὐροούσης φρονήματος ἐμπίμπλασθαι, καὶ θυγατέρα μὲν Ἄρεος αὐτὴν προσαγορεῦσαι, τοῖς δ' ἀνδράσι προσνεῖμαι τὰς ταλασιουργίας καὶ τὰς τῶν γυναικῶν κατ' οἶκους ἐργασίας. νόμους τε καταδεῖξαι, δι' ὧν τὰς μὲν γυναῖκας ἐπὶ τοὺς πολεμικοὺς ἀγῶνας προάγειν, τοῖς δ' ἀνδράσι ταπείνωσιν καὶ δουλείαν περιάπτειν. (3) τῶν δὲ γεννωμένων τοὺς μὲν ἄρρενας ἐπήρουν τά τε σκέλη καὶ τοὺς βραχίονας, ἀχρήστους κατασκευάζοντες πρὸς τὰς πολεμικὰς χρείας, τῶν δὲ θηλυτερῶν τὸν δεξιὸν μαστὸν ἐπέκαον, ἵνα μὴ κατὰ τὰς ἀκμὰς τῶν σωμάτων ἐπαιρόμενος ἐνοχλῇ· ἀφ' ἧς αἰτίας συμβῆναι τὸ ἔθνος τῶν Ἀμαζόνων ταύτης τυχεῖν τῆς προσηγορίας. (4) καθόλου δὲ διαφέρουσαν αὐτὴν συνέσει καὶ στρατηγίᾳ πόλιν μὲν κτίσαι μεγάλην παρὰ τὰς ἐκβολὰς τοῦ Θερμώδοντος ποταμοῦ, τοὔνομα Θεμίσκυραν, καὶ βασίλεια κατασκευάσαι περιβόητα, κατὰ δὲ τὰς στρατείας ἐπιμελομένην πολὺ τῆς εὐταξίας τὸ μὲν πρῶτον καταπολεμῆσαι πάντας τοὺς ὁμόρους μέχρι τοῦ Τανάιδος ποταμοῦ. (5) καὶ ταύτην μέν φασι ταύτας τὰς πράξεις ἐπιτελεσαμένην καὶ κατά τινα μάχην λαμπρῶς ἀγωνισαμένην ἡρωικῶς τελευτῆσαι τὸν βίον.

46. διαδεξαμένην δὲ τὴν ταύτης θυγατέρα τὴν βασιλείαν ζηλῶσαι μὲν τὴν ἀρετὴν τῆς μητρός, ὑπερβαλέσθαι δὲ ταῖς κατὰ μέρος πράξεσι. τὰς μὲν γὰρ παρθένους ἀπὸ τῆς πρώτης ἡλικίας ἔν τε ταῖς θήραις γυμνάζειν καὶ καθ' ἡμέραν ἀσκεῖν τὰ πρὸς πόλεμον ἀνήκοντα, (2) καταδεῖξαι δὲ καὶ θυσίας μεγαλοπρεπεῖς Ἄρει τε καὶ

вслѣдствіе своей невѣроятности, покажется похожимъ на сказку.

45. Жилъ у рѣки Θермодонта народъ подъ управленіемъ женщинъ, которыя наравнѣ съ мужчинами занимались военными дѣлами. Говорятъ, что одна изъ нихъ, имѣвшая царскую власть, отличалась мужествомъ и силою; (2) составивъ войско изъ женщинъ, она стала обучать его военному искусству и покорила кое-кого изъ сосѣдей. Пріобрѣтая все болѣе и болѣе доблести и славы, она постоянно дѣлала набѣги на сосѣднія племена и, возгордившись вслѣдствіе удачъ, провозгласила себя дочерью Арея, а мужчинамъ предоставила пряжу шерсти и домашнія женскія работы; затѣмъ она издала законы, которыми женщинъ вызывала на воинственныя состязанія, а мужчинамъ предоставила смиреніе и рабство. (3) У дѣтей мужескаго пола онѣ калѣчили ноги и руки, чтобы сдѣлать ихъ непригодными къ военной службѣ, а у дѣвочекъ выжигали правую грудь, чтобы въ пору тѣлесной зрѣлости она не выдавалась и не мѣшала имъ; по этой причинѣ племя Амазонокъ и получило это названіе [1]). (4) Отличаясь вообще умомъ и военными талантами, царица построила большой городъ при устьѣ р. Θермодонта, по имени Θемискиру, выстроила славный дворецъ и, во время походовъ обращая большое вниманіе на дисциплину, сначала покорила всѣхъ сосѣдей до рѣки Танаида. (5) Совершивъ эти подвиги, она, какъ говорятъ, геройски окончила свою жизнь, мужественно сражаясь въ одной битвѣ.

46. Дочь ея, унаслѣдовавшая царство, въ доблести подражала своей матери и въ отдѣльныхъ подвигахъ даже превзошла ее; дѣвицъ она съ самаго юнаго возраста пріучала къ охотѣ, каждый день обучала военному искусству (2) и установила пышныя жертвоприношенія Арею и Артемидѣ, по прозванію Таврополѣ. Отправившись

V. 4: κατοικοῦντος Rhodomanus || V. 27: «τῶν σωμάτων] τοῦ σώματος M., cum ἐπαιρόμενος omisit Poggius, neque iam aut cum μάχας aut cum ἐπαιρόμενος bene coit, ut ἀκμὰς scribendum videatur pro μάχας». Dind.

1) Cf. Hippocr. *De artic.* § 101 (supra, p. 349).

Digitized by Google

Ἀρτέμιδι τῇ προσαγορευομένῃ Ταυροπόλῳ· στρατεύσασαν δὲ εἰς τὴν πέραν τοῦ Τανάιδος ποταμοῦ χώραν καταπολεμῆσαι πάντα τὰ ἔθνη τὰ συνεχῆ μέχρι τῆς Θράκης· ἀνακάμψασαν δὲ μετὰ πολλῶν λαφύρων εἰς τὴν οἰκείαν ναοὺς μεγαλοπρεπεῖς κατασκευάσαι τῶν προειρημένων θεῶν, καὶ τῶν ὑποτεταγμένων ἐπιεικῶς ἄρχουσαν ἀποδοχῆς τυγχάνειν τῆς μεγίστης. στρατεῦσαι δὲ καὶ ἐπὶ θάτερα μέρη, καὶ πολλὴν τῆς Ἀσίας κατακτήσασθαι, καὶ διατεῖναι τῇ δυνάμει μέχρι τῆς Συρίας. (3) μετὰ δὲ τὴν ταύτης τελευτὴν ἀεὶ τὰς προσηκούσας τῷ γένει διαδεχομένας τὴν βασιλείαν ἄρξαι μὲν ἐπιφανῶς, αὐξῆσαι δὲ τὸ ἔθνος τῶν Ἀμαζονίδων δυνάμει τε καὶ δόξῃ...

47. Ἡμεῖς δ' ἐπεὶ τὰ πρὸς ἄρκτους κεκλιμένα μέρη τῆς Ἀσίας ἠξιώσαμεν ἀναγραφῆς, οὐκ ἀνοίκειον εἶναι νομίζομεν τὰ περὶ τῶν Ὑπερβορέων μυθολογούμενα διελθεῖν. τῶν γὰρ τὰς παλαιὰς μυθολογίας ἀναγεγραφότων Ἑκαταῖος καί τινες ἕτεροί φασιν ἐν τοῖς ἀντιπέρας τῆς Κελτικῆς τόποις κατὰ τὸν ὠκεανὸν εἶναι νῆσον οὐκ ἐλάττω τῆς Σικελίας. ταύτην ὑπάρχειν μὲν κατὰ τὰς ἄρκτους, κατοικεῖσθαι δὲ ὑπὸ τῶν ὀνομαζομένων Ὑπερβορέων ἀπὸ τοῦ πορρωτέρω κεῖσθαι τῆς βορείου πνοῆς· οὖσαν δ' αὐτὴν εὔγειόν τε καὶ πάμφορον, ἔτι δ' εὐκρασίᾳ διαφέρουσαν, δὶττοὺς κατ' ἔτος ἐκφέρειν καρπούς. (2) μυθολογοῦσι δ' ἐν αὐτῇ τὴν Λητὼ γεγονέναι· διὸ καὶ τὸν Ἀπόλλω μάλιστα τῶν ἄλλων θεῶν παρ' αὐτοῖς τιμᾶσθαι· εἶναι δ' αὐτοὺς ὥσπερ ἱερεῖς τινας Ἀπόλλωνος διὰ τὸ τὸν θεὸν τοῦτον καθ' ἡμέραν ὑπ' αὐτῶν ὑμνεῖσθαι μετ' ᾠδῆς συνεχῶς καὶ τιμᾶσθαι διαφερόντως. ὑπάρχειν δὲ καὶ κατὰ τὴν νῆσον τέμενός τε Ἀπόλλωνος μεγαλοπρεπὲς καὶ ναὸν ἀξιόλογον ἀναθήμασι πολλοῖς κεκοσμημένον, σφαιροειδῆ τῷ σχήματι. (3) καὶ πόλιν μὲν ὑπάρχειν ἱερὰν τοῦ θεοῦ τούτου, τῶν δὲ κατοικούντων αὐτὴν τοὺς πλείστους εἶναι κιθαριστάς, καὶ συνεχῶς ἐν τῷ ναῷ κιθαρίζοντας ὕμνους λέγειν τῷ θεῷ μετ' ᾠδῆς, ἀποσεμνύνοντας αὐτοῦ τὰς πράξεις. (4) ἔχειν δὲ τοὺς Ὑπερβορέους ἰδίαν τινὰ διάλεκτον, καὶ πρὸς τοὺς Ἕλληνας οἰκειότατα διακεῖσθαι, καὶ μάλιστα πρὸς τοὺς Ἀθηναίους καὶ Δηλίους, ἐκ παλαιῶν χρόνων παρειληφότας τὴν

войною въ страну за рѣкою Танаидомъ, она покорила всѣ сосѣднія племена вплоть до Ѳракіи и, возвратившись домой съ богатою добычею, построила великолѣпные храмы упомянутымъ богамъ и своимъ кроткимъ управленіемъ снискала себѣ величайшую любовь своихъ подданныхъ. Затѣмъ она отправилась войною въ другую страну, пріобрѣла большую часть Азіи и распространила свое владычество до Сиріи. (3) Послѣ ея кончины родственницы, наслѣдуя царскую власть, властвовали со славою и возвысили силу и славу племени Амазоновъ...

47. Такъ какъ мы представили описаніе обращенныхъ къ сѣверу частей Азіи, то считаемъ не лишнимъ привести здѣсь и преданія объ Инербореяхъ. Изъ числа писателей, сообщающихъ древнія преданія, Екатэй [1]) и нѣкоторые другіе говорятъ, что на Океанѣ противъ страны Кельтовъ находится островъ величиною не меньше Сициліи. Этотъ островъ лежитъ на сѣверѣ и населенъ Инербореями, названными такъ потому, что живутъ они дальше дуновенія борея; островъ имѣетъ прекрасную, плодородную почву, отличается благорастворе-ніемъ воздуха и дважды въ годъ производитъ плоды. (2) Разсказываютъ, что на немъ родилась Латона, вслѣдствіе чего изъ всѣхъ боговъ наиболѣе почитается тамъ Аполлонъ. Жители его являются какъ бы жрецами Аполлона, потому что каждый день безпрерывно воспѣваютъ его въ гимнахъ и оказываютъ ему высочайшія почести. Есть на островѣ прекрасная роща, посвященная Аполлону, и достопримѣчательный храмъ шарообразной формы, украшенный множествомъ приношеній; (3) есть также городъ, посвященный этому богу; большинство его обитателей—кіоаристы и постоянно въ храмѣ играютъ на кіоарѣ и поютъ гимны въ честь Аполлона, прославляя его дѣянія. (4) Говорятъ Инербореи на какомъ-то особомъ языкѣ и очень дружелюбно относятся къ Эллинамъ, а въ особенности къ Аѳинянамъ и Дилосцамъ; начало этой дружбы восходитъ къ очень

1) «Hecataeus, domo Abderites, περὶ τῶν Ὑπερβορέων commentarios reliquerat in schol. Apoll. Rhod. II. 677 [supra, p. 148]; quos et Aelian. designat XI. H. A. I... et Plinius VI. N. H. 17». Wess.

Digitized by Google

εὔνοιαν ταύτην· καὶ τῶν Ἑλλήνων τινὰς μυθολογοῦσι παραβαλεῖν εἰς Ὑπερβορέους, καὶ ἀναθήματα πολυτελῆ καταλιπεῖν γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένα. (5) ὡσαύτως δὲ καὶ ἐκ τῶν Ὑπερβορέων Ἄβαριν εἰς τὴν Ἑλλάδα καταντήσαντα τὸ παλαιὸν ἀνασῶσαι τὴν πρὸς Δηλίους εὔνοιάν τε καὶ συγγένειαν. φασὶ δὲ καὶ τὴν σελήνην ἐκ ταύτης τῆς νήσου φαίνεσθαι παντελῶς ὀλίγον ἀπέχουσαν τῆς γῆς καί τινας ἐξοχὰς γεώδεις ἔχουσαν ἐν αὐτῇ φανερὰς. (6) λέγεται δὲ καὶ τὸν θεὸν δι' ἐτῶν ἐννεακαίδεκα καταντᾶν εἰς τὴν νῆσον, ἐν οἷς αἱ τῶν ἄστρων ἀποκαταστάσεις ἐπὶ τέλος ἄγονται· καὶ διὰ τοῦτο τὸν ἐννεακαιδεκαετῆ χρόνον ὑπὸ τῶν Ἑλλήνων Μέτωνος ἐνιαυτὸν ὀνομάζεσθαι. (7) κατὰ δὲ τὴν ἐπιφάνειαν ταύτην τὸν θεὸν κιθαρίζειν τε καὶ χορεύειν συνεχῶς τὰς νύκτας ἀπὸ ἰσημερίας ἐαρινῆς ἕως πλειάδος ἀνατολῆς ἐπὶ τοῖς ἰδίοις εὐημερήμασι τερπόμενον. βασιλεύειν δὲ τῆς πόλεως ταύτης καὶ τοῦ τεμένους ἐπάρχειν τοὺς ὀνομαζομένους Βορεάδας, ἀπογόνους ὄντας Βορέου, καὶ κατὰ γένος ἀεὶ διαδέχεσθαι τὰς ἀρχάς.

давнимъ временамъ. Говорятъ, что нѣкоторые изъ Эллиновъ пріѣзжали къ Гипербореямъ и пожертвовали въ храмъ богатыя приношенія съ надписями на греческомъ языкѣ. (5) Точно также и Гиперборей Аваридъ, прибывши въ древнія времена въ Элладу, возобновилъ дружбу и родство съ Делосцами. Говорятъ, что съ этого острова луна кажется отстоящей отъ земли на весьма незначительное разстояніе и имѣющею на себѣ нѣсколько замѣтныхъ земляныхъ возвышенностей. (6) Разсказываютъ также, что богъ является на островъ черезъ каждыя 19 лѣтъ, въ теченіе которыхъ оканчиваются орбиты движенія созвѣздій; поэтому то 19-лѣтній періодъ времени называется у Эллиновъ Метоновымъ годомъ. (7) Во время своего пребыванія на островѣ богъ играетъ на кіеарѣ, устраиваетъ хороводы по цѣлымъ ночамъ отъ весеннаго равноденствія до восхода Плеядъ и радуется своимъ успѣхамъ. Царствуютъ въ этомъ городѣ и завѣдываютъ священнымъ участкомъ такъ называемые Бореады, потомки Борея, у которыхъ власть переходитъ изъ рода въ родъ.

3. Мины, относящіеся къ Скиѳіи и Кавказу.

Lib. IV c. 28—56.

28. Τοῦ δ' Ἡρακλέους περὶ ταῦτ' ὄντος φασὶ τὰς ὑπολειφθείσας Ἀμαζόνας περὶ τὸν Θερμώδοντα ποταμὸν ἀθροισθείσας πανδημεὶ σπεῦσαι τοὺς Ἕλληνας ἀμύνασθαι περὶ ὧν Ἡρακλῆς στρατεύσας διειργάσατο. διαφορώτατα δὲ τοὺς Ἀθηναίους ἐφιλοτιμοῦντο διὰ τὸ τὸν Θησέα καταδεδουλῶσθαι τὴν ἡγεμόνα τῶν Ἀμαζόνων Ἀντιόπην, ὡς δ' ἔνιοι γράφουσιν, Ἱππολύτην. (2) συστρατευσάντων δὲ τῶν Σκυθῶν ταῖς Ἀμαζόσι συνέβη δύναμιν ἀξιόλογον ἀθροισθῆναι, μεθ' ἧς αἱ προηγούμεναι τῶν Ἀμαζονίδων περαιωθεῖσαι τὸν Κιμμέριον Βόσπορον προῆγον διὰ τῆς Θράκης. τέλος δὲ πολλὴν τῆς Εὐρώπης ἐπελθοῦσαι κατήντησαν εἰς τὴν Ἀττικήν...

28. Пока Иракъ занятъ былъ этимъ [т. е. освобожденіемъ Атланта], оставшіяся Амазонки, какъ говорятъ, собравшись у рѣки Термодонта, немедленно двинулись поголовно съ цѣлью отомстить Еллинамъ за все, что совершилъ Иракъ въ своемъ походѣ. Особенно же негодовали онѣ на Аѳинянъ за то, что Ѳисей увезъ въ рабство ихъ царицу Антіопу или, какъ нѣкоторые пишутъ, Ипполиту. (2) Такъ какъ въ походѣ Амазонокъ приняли участіе Скиѳы, то собрались значительныя силы, съ которыми предводительницы Амазонокъ, переправившись черезъ Киммерійскій Боспоръ, двинулись черезъ Ѳракію; пройдя значительную часть Европы, онѣ пришли наконецъ въ Аттику [1])...

(4)... αἱ δ' ὑπολειφθεῖσαι τῶν Ἀμαζόνων ἀπογνοῦσαι τὴν πατρῴαν γῆν, ἐπ-

(4)... Оставшіяся въ живыхъ Амазонки, не пожелавъ возвратиться на родину, уда-

1) Въ происшедшей битвѣ Аѳиняне одержали верхъ; часть Амазонокъ была перебита, а остальныя изгнаны изъ Аттики.

Digitized by Google

ἀνῆλθον μετὰ τῶν Σκυθῶν εἰς τὴν Σκυθίαν καὶ μετ' ἐκείνων κατῴκησαν...

лились вмѣстѣ со Скиѳами въ Скиѳію и поселились вмѣстѣ съ ними...

40,3 [Λέγουσι τὸν Πελίαν] ...παρακαλεῖν ἄθλον τελέσαι στειλάμενον τὸν πλοῦν εἰς Κόλχους ἐπὶ τὸ διαβεβοημένον τοῦ κριοῦ δέρος χρυσόμαλλον. (4) τὸν δὲ Πόντον κατ' ἐκείνους τοὺς χρόνους περιοικούμενον ὑπὸ ἐθνῶν βαρβάρων καὶ παντελῶς ἀγρίων ἄξενον προσαγορεύεσθαι, ξενοκτονούντων τῶν ἐγχωρίων τοὺς καταπλέοντας. (5) Ἰάσονα δὲ δόξης ὀρεγόμενον καὶ τὸν ἆθλον δυσέφικτον μέν, οὐ κατὰ πᾶν δ' ἀδύνατον κρίνοντα, καὶ διὰ τοῦτο μᾶλλον αὐτὸν ἐπιφανέστερον ἔσεσθαι διαλαμβάνοντα, παρασκευάσασθαι τὰ πρὸς τὴν ἐπιβολήν...

Гл. 40, § 3... [Говорятъ, что Пелій...] предложилъ Іасону совершить подвигъ, снаряднвъ экспедицію въ Колхиду за знаменитымъ золотымъ бараньимъ руномъ. (4) Въ тѣ времена Понтъ, окруженный варварскими и совершенно дикими народами, носилъ названіе «Негостепріимнаго» вслѣдствіе обычая туземцевъ убивать пристающихъ къ ихъ берегамъ иностранцевъ. (5) Іасонъ, стремясь къ славѣ и считая подвигъ труднымъ, но не вполнѣ невозможнымъ, и понимая, что совершеніемъ его онъ достигнетъ большой извѣстности, сталъ готовить экспедицію...

43,3... ἀποβῆναι μὲν τοὺς ἀριστεῖς τῆς Θρᾴκης εἰς τὴν ὑπὸ Φινέως βασιλευομένην χώραν, περιπεσεῖν δὲ δυσὶ νεανίσκοις ἐπὶ τιμωρίᾳ διωρυγμένοις καὶ μάστιξι πληγὰς συνεχεῖς λαμβάνουσι· τούτους δ' ὑπάρχειν Φινέως υἱοὺς καὶ Κλεοπάτρας... διὰ [δὲ] μητρυιᾶς τόλμαν καὶ διαβολὰς ψευδεῖς τυγχάνοντας ὑπὸ τοῦ πατρὸς ἀδίκως τῆς προειρημένης τιμωρίας· (4) τὸν γὰρ Φινέα γεγαμηκότα Ἰδαίαν τὴν Δαρδάνου τοῦ Σκυθῶν βασιλέως θυγατέρα, καὶ διὰ τὸν πρὸς αὐτὴν ἔρωτα πάντα χαριζόμενον, πιστεῦσαι διότι τῇ μητρυιᾷ βίαν ἐφ' ὕβρει προσήγαγον οἱ πρόγονοι, βουλόμενοι τῇ μητρὶ χαρίζεσθαι...

Гл. 43 § 3... Герои прибыли во Ѳракію въ царство Финея и наткнулись тамъ на двухъ юношей, которые въ видѣ наказанія были закопаны и подвергались безпрестанному биченію; это были сыновья Финея и Клеопатры... и были несправедливо подвергнуты отцемъ вышесказанному наказанію изъ-за дерзости и ложныхъ наговоровъ ихъ мачихи. (4) Финей, женившись на Идѣ, дочери скиѳскаго царя Дардана, и изъ любви къ ней во всемъ ей угождая, повѣрилъ, что его сыновья причинили мачихѣ насиліе и безчестіе, побуждаемые желаніемъ угодить родной матери...

44... (3) βουλομένων δ' αὐτῶν τὴν μητρυιὰν μετ' αἰκίας ἀποκτεῖναι, πεῖσαι τῆς μὲν τιμωρίας ταύτης ἀποστῆναι, πρὸς δὲ τὸν πατέρα πέμψαντας εἰς τὴν Σκυθίαν ἐκεῖνον παρακαλέσαι τῶν εἰς αὐτοὺς ἀνομημάτων λαβεῖν κόλασιν. (4) οὗ γενηθέντος τὸν μὲν Σκύθην τῆς θυγατρὸς καταγνῶναι θάνατον, τοὺς δ' ἐκ τῆς Κλεοπάτρας υἱοὺς ἀπενέγκασθαι παρὰ τοῖς Θρᾳξὶ δόξαν ἐπιεικείας...

44. [Аргонавты освобождаютъ сыновей Финея, убиваютъ его самого и ставятъ на царство сыновей]... (3) Когда же они [Финеиды] хотѣли подвергнуть мачиху позорной казни, Аргонавты убѣдили ихъ отказаться отъ такой мести, а отослать мачиху въ Скиѳію къ ея отцу и попросить его наказать ее за беззаконный съ ними поступокъ. (4) Когда это было сдѣлано, Скиѳъ присудилъ свою дочь къ смерти, а сыновья Клеопатры прославились между Ѳракійцами своей сыновней любовью...

(7) ἀναχθέντας δ' αὐτοὺς ἐκ τῆς Θρᾴκης καὶ κομισθέντας εἰς τὸν Πόντον προσχεῖν τῇ Ταυρικῇ, τὴν ἀγριότητα τῶν ἐγχωρίων ἀγνοοῦντας· νόμιμον γὰρ εἶναι τοῖς τὴν χώραν ταύτην οἰκοῦσι βαρβάροις θύειν

§ 7. [Говорятъ, что сыновья Финея, передавши управленіе государствомъ матери своей Клеопатрѣ, приняли участіе въ походѣ героевъ]... Отправившись на кораблихъ изъ Ѳракіи и приплывъ въ Понтъ,

---

V. 19: κατωρυγμένοις Reiske et Van Herwerden (Herm. 23 p. 554).

Digitized by Google

Ἀρτέμιδι Ταυροπόλῳ τοὺς καταπλέοντας ξένους· παρ' οἷς φασι τὴν Ἰφιγένειαν ἐν τοῖς ὕστερον χρόνοις ἱέρειαν τῆς εἰρημένης θεοῦ κατασταθεῖσαν θύειν τοὺς ἁλισκομένους.

они пристали къ Таврической землѣ, не зная о суровости ея жителей. У варваровъ, населяющихъ эту страну, былъ обычай приносить въ жертву Артемидѣ Таврополѣ чужестранцевъ, которые приставали къ ихъ берегамъ. Говорятъ, что именно у нихъ впослѣдствіи Ифигенія, поставленная жрицей упомянутой богини, приносила въ жертву плѣнныхъ [1]).

45. Ἐπιζητούσης δὲ τῆς ἱστορίας τὰς τῆς ξενοκτονίας αἰτίας, ἀναγκαῖον βραχέα διελθεῖν, ἄλλως τε καὶ τῆς παρεκβάσεως οἰκείας ἐσομένης ταῖς τῶν Ἀργοναυτῶν πράξεσι. φασὶ γὰρ Ἡλίου δύο γενέσθαι παῖδας, Αἰήτην τε καὶ Πέρσην· τούτων δὲ τὸν μὲν Αἰήτην βασιλεῦσαι τῆς Κολχίδος, τὸν δ' ἕτερον τῆς Ταυρικῆς, ἀμφοτέρους δὲ διενεγκεῖν ὠμότητι· (2) καὶ Πέρσου μὲν Ἑκάτην γενέσθαι θυγατέρα, τόλμῃ καὶ παρανομίᾳ προέχουσαν τοῦ πατρός· φιλοκύνηγον δ' οὖσαν ἐν ταῖς ἀποτυχίαις ἀνθρώπους ἀντὶ τῶν θηρίων κατατοξεύειν. φιλότεχνον δ' εἰς φαρμάκων θανασίμων συνθέσεις γενομένην τὸ καλούμενον ἀκόνιτον ἐξευρεῖν, καὶ τῆς ἑκάστου δυνάμεως πεῖραν λαμβάνειν μίσγουσαν ταῖς διδομέναις τοῖς ξένοις τροφαῖς. ἐμπειρίαν δὲ μεγάλην ἐν τούτοις ἔχουσαν πρῶτον μὲν τὸν πατέρα φαρμάκῳ διαφθεῖραι καὶ διαδέξασθαι τὴν βασιλείαν, ἔπειτ' Ἀρτέμιδος ἱερὸν ἱδρυσαμένην καὶ τοὺς καταπλέοντας ξένους θύεσθαι τῇ θεῷ καταδείξασαν ἐπ' ὠμότητι διονομασθῆναι. (3) μετὰ δὲ ταῦτα συνοικήσασαν Αἰήτῃ γεννῆσαι δύο θυγατέρας, Κίρκην τε καὶ Μήδειαν, ἔτι δ' υἱὸν Ἀπσυρτον. καὶ τὴν μὲν Κίρκην εἰς φαρμάκων παντοδαπῶν ἐπίνοιαν ἐκτραπεῖσαν ἐξευρεῖν ῥιζῶν παντοίας φύσεις καὶ δυνάμεις ἀπιστουμένας·

45. Такъ какъ изслѣдователи старались опредѣлить причины этого обычая убивать чужестранцевъ, то необходимо вкратцѣ разсказать объ этомъ, особенно въ виду того, что это отступленіе будетъ имѣть связь съ дѣяніями Аргонавтовъ. Разсказываютъ, что у Илія было два сына: Эитъ и Персъ; изъ нихъ Эитъ сдѣлался царемъ въ Колхидѣ [2]), а братъ его въ Таврикѣ, и оба отличались жестокостью. (2) У Перса была дочь Еката, которая отвагою и противозаконными поступками превосходила своего отца; она очень любила охоту и въ случаѣ неудачъ вмѣсто звѣрей убивала людей; затѣмъ, пріобрѣтя опытность въ составленіи смертныхъ ядовъ, она открыла такъ называемый аконитъ [3]) и испытывала силу каждаго яда, примѣшивая его въ пищу, даваемую чужестранцамъ. Обладая большой опытностью въ такихъ дѣлахъ, она прежде всего отравила своего отца и наслѣдовала его власть, затѣмъ построила храмъ Артемидѣ, установила обычай приносить въ жертву богинѣ пристающихъ къ берегамъ чужестранцевъ и *такимъ образомъ* прославилась своею жестокостью. (3) Послѣ этого она вступила въ сожительство съ Эптомъ и родила двухъ дочерей—Кирку и Мидію, а также сына Эгіалея [4]). Кирка,

---

1) «Ipsa Iphigenia apud Eurip. in cognomine fabula v. 39 [supra, p. 344] barbarum sacrificii morem exponit et Noster l. II, 46. Praeterque Orpheum Argon. v. 1073. Ovidius II. ex Pont. Ep. 2. 57». Wess. — Taurorum atrocitatem auctor etiam l. III c. 43 commemoravit hisce verbis:

[Ἄραβες οἱ προσαγορευόμενοι Ναβαταῖοι]. . . τῶν ἀπὸ τῆς Ἀλεξανδρείας βασιλέων πλωτὸν τοῖς ἐμπόροις ποιησάντων τὸν πόρον τοῖς τε ναυαγοῦσιν ἐπετίθεντο καὶ λῃστρικὰ σκάφη κατασκευάζοντες ἐλῄστευον τοὺς πλέοντας, μιμούμενοι τὰς ἀγριότητας καὶ παρανομίας τῶν ἐν τῷ Πόντῳ Ταύρων.

[Арабы, называемые Навателями]. . . послѣ того какъ александрійскіе цари сдѣлали проливъ доступнымъ для плаванія купцамъ, стали нападать на потерпѣвшихъ кораблекрушеніе и, строя пиратскія ладьи, грабили мореплавателей, подражая дикимъ и беззаконнымъ поступкамъ Понтійскихъ Тавровъ.

2) Cf. schol. Apoll. Rhod. III. 200. 242 (supra, p. 431). 3) De aconito cf. Ovid. *Met.* VII, 407. Plin. *N. h.* XXVII, 2. 4) «*Apsyrtum* alii vocant, aut Metapontium, ut Dicaeogenes in Schol. ad Medeam v. 167. Euripidis. Noster Dionysium auctorem habuisse videtur». Wess.

Digitized by Google

οὐκ ὀλίγα μὲν γὰρ ὑπὸ τῆς μητρὸς Ἑκάτης διδαχθῆναι, πολὺ δὲ πλείω διὰ τῆς ἰδίας ἐπιμελείας ἐξευροῦσαν μηδεμίαν ὑπερβολὴν ἀπολιπεῖν ἑτέρᾳ πρὸς ἐπίνοιαν φαρμακείας. (4) δοθῆναι δ' αὐτὴν εἰς γάμον τῷ βασιλεῖ τῶν Σαρματῶν, οὓς ἔνιοι Σκύθας προσαγορεύουσι. καὶ τὸ μὲν πρῶτον τὸν ἄνδρα φαρμάκοις ἀνελεῖν, μετὰ δὲ ταῦτα τὴν βασιλείαν διαδεξαμένην πολλὰ κατὰ τῶν ἀρχομένων ὠμὰ πρᾶξαι καὶ βίαια. (5) διόπερ ἐκπεσοῦσαν τῆς βασιλείας κατὰ μέν τινας τῶν μυθογράφων φυγεῖν ἐπὶ τὸν ὠκεανόν, καὶ νῆσον ἔρημον καταλαβομένην ἐνταῦθα μετὰ τῶν συμφυγουσῶν γυναικῶν καθιδρυθῆναι, κατὰ δέ τινας τῶν ἱστορικῶν ἐκλιποῦσαν τὸν Πόντον κατοικῆσαι τῆς Ἰταλίας ἀκρωτήριον τὸ μέχρι τοῦ νῦν ἀπ' ἐκείνης Κίρκαιον ὀνομαζόμενον.

посвятивъ себя изученію всевозможныхъ лѣкарственныхъ зелій, открыла всякаго рода свойства и невѣроятныя силы кореньевъ. Не мало, конечно, она заимствовала у своей матери Екаты, но еще больше открыла сама, благодаря своимъ ревностнымъ изслѣдованіямъ, такъ что не оставила другимъ *женщинамъ* возможности превзойти ее въ знаніи лѣкарственныхъ зелій. (4) Будучи отдана въ замужество царю Сарматовъ (которыхъ нѣкоторые называютъ Скиѳами), она прежде всего умертвила своего мужа, а затѣмъ, наслѣдовавъ ему, совершила много жестокостей и насилій надъ своими подданными. (5) За это она была изгнана изъ своего царства, бѣжала по свидѣтельству нѣкоторыхъ миѳографовъ къ Океану и, занявъ пустынный островъ, поселилась здѣсь съ сопутствовавшими ей женщинами; по словамъ же нѣкоторыхъ историковъ, она, покинувъ Понтъ, поселилась въ Италіи на мысѣ, который и донынѣ называется по ея имени Киркейскимъ.

46. τὴν δὲ Μήδειαν ἱστοροῦσι μαθεῖν παρά τε τῆς μητρὸς καὶ τῆς ἀδελφῆς ἁπάσας τὰς τῶν φαρμάκων δυνάμεις, προαιρέσει δ' ἐναντιωτάτῃ χρῆσθαι· διατελεῖν γὰρ τοὺς καταπλέοντας τῶν ξένων ἐξαιρουμένην ἐκ τῶν κινδύνων, καὶ ποτὲ μὲν παρὰ τοῦ πατρὸς αἰτεῖσθαι δεήσει καὶ χάριτι τὴν τῶν μελλόντων ἀπόλλυσθαι σωτηρίαν, ποτὲ δ' αὐτὴν ἐκ τῆς φυλακῆς ἀφιεῖσαν προνοεῖσθαι τῆς τῶν ἀτυχούντων ἀσφαλείας· τὸν γὰρ Αἰήτην τὰ μὲν διὰ τὴν ἰδίαν ὠμότητα, τὰ δ' ὑπὸ τῆς γυναικὸς Ἑκάτης πεισθέντα, προσδέξασθαι τὸ τῆς ξενοκτονίας νόμιμον. (2) ἀντιπραττούσης δὲ τῆς Μηδείας ἀεὶ μᾶλλον τῇ προαιρέσει τῶν γονέων, φασὶ τὸν Αἰήτην ὑποπτεύσαντα τὴν ἐκ τῆς θυγατρὸς ἐπιβουλὴν εἰς ἐλευθέραν αὐτὴν ἀποθέσθαι φυλακήν· τὴν δὲ Μήδειαν διαδρᾶσαν καταφυγεῖν εἴς τι τέμενος Ἡλίου κείμενον παρὰ θάλατταν. (3) καθ' ὃν δὴ χρόνον τοὺς Ἀργοναύτας ἀπὸ τῆς Ταυρικῆς κομισθέντας νυκτὸς καταπλεῦσαι τῆς Κολχίδος εἰς τὸ προειρημένον τέμενος. ἔνθα δὴ περιτυχόντας τῇ Μηδείᾳ πλανωμένῃ περὶ τὸν αἰγιαλόν, καὶ μαθόντας παρ' αὐτῆς τὸ τῆς ξενοκτονίας

46. Про Мидію разсказываютъ, что она узнала отъ матери и сестры всѣ свойства зелій, но отличалась совершенно противоположнымъ характеромъ: она постоянно спасала изъ опасностей приплывавшихъ къ ихъ странѣ чужеземцевъ; то просьбами и ласками испрашивала она у отца пощаду обреченнымъ на смерть, то сама, выпуская ихъ изъ-подъ стражи, заботилась о безопасности несчастныхъ, такъ какъ Эитъ, отчасти по своей собственной жестокости, отчасти по внушеніямъ жены своей Екаты, сохранилъ въ силѣ обычай убивать чужестранцевъ. (2) Такъ какъ Мидія все болѣе и болѣе противодѣйствовала *жестокимъ* намѣреніямъ своихъ родителей, то Эитъ, какъ говорятъ, опасаясь злыхъ умысловъ со стороны дочери, отдалъ ее подъ свободный надзоръ; но Мидіи удалось убѣжать въ священный участокъ Илія, лежавшій на берегу моря [1]). (3) Какъ разъ въ это время Аргонавты на пути изъ Таврики ночью приплыли къ вышеупомянутому участку въ Колхидѣ. Здѣсь они встрѣтили Мидію, блуждавшую по морскому берегу, и, узнавъ отъ нея

V. 35: ἐπιβολὴν Van Herw. (Herm. 23 p. 554).

1) «In Hecates luco Medeam, sacris operantem, describit Apoll. Rhod. III. 250 et Val. Flacc. VI. 73. Verum uterque in fabulae ordine a Dionysio Milesio, quem Diodorus sequi solet, dissentit». Wess.

Digitized by Google

νόμιμον, ἀποδέξασθαι μὲν τὴν ἡμερότητα τῆς παρθένου, δηλώσαντας δὲ αὐτῇ τὴν ἑαυτῶν ἐπιβολὴν πάλιν παρ' ἐκείνης μαθεῖν τὸν ὑπάρχοντα αὐτῇ κίνδυνον ἀπὸ τοῦ πατρὸς διὰ τὴν πρὸς τοὺς ξένους εὐσέβειαν. (4) κοινοῦ δὲ τοῦ συμφέροντος φανέντος, τὴν μὲν Μήδειαν ἐπαγγείλασθαι συνεργήσειν αὐτοῖς μέχρι ἂν συντελέσωσι τὸν προκείμενον ἆθλον, τὸν δὲ Ἰάσονα διὰ τῶν ὅρκων δοῦναι πίστεις ὅτι γήμας αὐτὴν ἕξει σύμβιον ἅπαντα τὸν τοῦ ζῆν χρόνον. (5) μετὰ δὲ ταῦτα τοὺς Ἀργοναύτας ἀπολιπόντας φυλακὰς τῆς νεώς, νυκτὸς ὁρμῆσαι μετὰ τῆς Μηδείας ἐπὶ τὸ χρυσόμαλλον δέρος· περὶ οὗ τὰ κατὰ μέρος οἰκεῖον ἂν εἴη διελθεῖν, ἵνα μηδὲν τῶν ἀνηκόντων εἰς τὴν ὑποκειμένην ἱστορίαν ἀγνοῆται.

47. Φρίξον τὸν Ἀθάμαντος μυθολογοῦσι διὰ τὰς ὑπὸ τῆς μητρυιᾶς ἐπιβουλὰς ἀναλαβόντα τὴν ἀδελφὴν Ἕλλην φυγεῖν ἐκ τῆς Ἑλλάδος. περαιουμένων δ' αὐτῶν κατά τινα θεῶν πρόνοιαν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν ἐπὶ κριοῦ χρυσομάλλου, τὴν μὲν παρθένον ἀποπεσεῖν εἰς τὴν θάλατταν, ἣν ἀπ' ἐκείνης Ἑλλήσποντον ὀνομασθῆναι, τὸν δὲ Φρίξον εἰς τὸν Πόντον πορευθέντα καταχθῆναι μὲν πρὸς τὴν Κολχίδα, κατὰ δέ τι λόγιον θύσαντα τὸν κριὸν ἀναθεῖναι τὸ δέρος εἰς τὸ τοῦ Ἄρεος ἱερόν. (2) μετὰ δὲ ταῦτα βασιλεύοντος τῆς Κολχίδος Αἰήτου χρησμὸν ἐκπεσεῖν ὅτι τότε καταστρέψει τὸν βίον ὅταν ξένοι καταπλεύσαντες τὸ χρυσόμαλλον δέρος ἀπενέγκωσι. διὰ δὴ ταύτας τὰς αἰτίας καὶ [διὰ] τὴν ἰδίαν ὠμότητα καταδεῖξαι θύειν τοὺς ξένους, ἵνα διαδοθείσης τῆς φήμης εἰς ἅπαντα τόπον περὶ τῆς Κόλχων ἀγριότητος μηδεὶς τῶν ξένων ἐπιβῆναι τολμήσῃ τῆς χώρας. περιβαλεῖν δὲ καὶ τῷ τεμένει τεῖχος καὶ φύλακας πολλοὺς ἐπιστῆσαι τῶν ἐκ τῆς Ταυρικῆς· ἀφ' ὧν καὶ τερατώδεις παρὰ τοῖς Ἕλλησι πλασθῆναι μύθους. (3) διαβεβοῆσθαι γὰρ ὅτι πυρίπνοοι ταῦροι περὶ τὸ τέμενος ὑπῆρχον, δράκων δ' ἄυπνος ἐτήρει τὸ δέρος, ἀπὸ μὲν τῶν Ταύρων μετενεχθείσης τῆς ὁμωνυμίας ἐπὶ τὴν τῶν βοῶν ἰσχύν, ἀπὸ δὲ τῆς κατὰ ξενοκτονίαν ὠμότητος πυρπνεῖν τοὺς ταύρους μυθολογηθέντος· παραπλησίως δὲ τοῦ τηροῦντος τὸ τέμενος Δράκοντος ὀνομαζομένου μετενηνοχέναι

об обычаѣ убивать чужестранцевъ, похвалили кротость дѣвицы; затѣмъ, открывъ ей свой планъ, въ свою очередь узнали отъ нея, какой опасности подвергается она со стороны отца за свое сострадание къ чужестранцамъ. (4) Когда *такимъ образомъ* ихъ интересы оказались общими, Медія обѣщала содѣйствовать имъ, пока они не приведутъ въ исполненіе предпринятый подвигъ, а Іасонъ далъ ей клятвенное обѣщаніе жениться на ней и имѣть своею сожительницею до конца жизни. (5) Послѣ этого Аргонавты, оставивъ стражу при кораблѣ, ночью вмѣстѣ съ Медіей отправились за золотымъ руномъ. Теперь слѣдуетъ подробно разсказать и о немъ, чтобы извѣстно было все, что относится къ настоящему разсказу.

47. Разсказываютъ, что Фриксъ, сынъ Аѳаманта, спасаясь отъ козней мачихи, бѣжалъ со своею сестрою Геллою изъ Эллады. Когда они по нѣкоему божественному провидѣнію переправлялись изъ Европы въ Азію на златорунномъ баранѣ, дѣвушка упала въ море, которое по ней было названо Геллеспонтомъ, а Фриксъ, отправившись въ Понтъ, присталъ къ Колхидѣ и согласно приказанію оракула принесъ барана въ жертву, а шкуру его посвятилъ въ святилище Арея. (2) Послѣ этого колхидскому царю Эиту дано было предсказаніе, что онъ тогда окончитъ свою жизнь, когда пріѣзжіе чужестранцы увезутъ золотое руно. По этой-то причинѣ, а вмѣстѣ съ тѣмъ и по природной жестокости, онъ приказалъ убивать чужестранцевъ съ тою цѣлью, чтобы ни одинъ чужестранецъ не осмѣлился вступить въ его страну, когда повсюду разнесется молва о дикости Колховъ. Кромѣ того онъ окружилъ священный участокъ стѣною и поставилъ тамъ многочисленную стражу изъ жителей Таврики. Поэтому-то и сложились у Эллиновъ чудесныя сказанія: (3) ходили слухи, что около святилища были огнедышащіе быки, а руно охранялъ драконъ; съ Тавровъ одноименное названіе было перенесено на силу быковъ, а жестокость, проявлявшаяся въ убіеніи чужестранцевъ, дала поводъ къ разсказамъ, будто быки эти дышали огнемъ; подобнымъ же обра-

V. 8: συντελῶσι D. || V. 30: βασιλεύοντι—Αἰήτῃ CE. || V. 34: διὰ delet Vogel. || V. 44: ἄυπνος scripsit Vog., αὐτοῖς libri.

Digitized by Google

ὺς ποιητὰς ἐπὶ τὸ τερατῶδες καὶ κα-
λληκτικὸν τοῦ ζῴου. (4) τῆς ὁμοίας
μυθολογίας ἔχεσθαι καὶ τὰ περὶ τοῦ
ξου λεγόμενα. διαπλεῦσαι γὰρ αὐτόν
σιν οἱ μὲν ἐπὶ νεὼς προτομὴν ἐπὶ τῆς
ρας ἐχούσης κριοῦ, καὶ τὴν Ἕλλην
σφοροῦσαν ἐπὶ τῇ ναυτίᾳ, καὶ διὰ
τοῦτο ἐπὶ τοῦ τοίχου τῆς νεὼς ἐκκύπ-
σαν, εἰς τὴν θάλατταν προπεσεῖν. (5)
οἱ δέ φασι τὸν βασιλέα τῶν Σκυθῶν,
ὄντα γαμβρὸν Αἰήτου, παρὰ τοῖς Κόλχοις
ἐπιδημῆσαι καθ' ὃν καιρὸν ἁλῶναι συνέβη
τὸν Φρίξον μετὰ τοῦ παιδαγωγοῦ, ἐρωτι-
κῶς δὲ σχόντα τοῦ παιδὸς λαβεῖν αὐτὸν ἐν
δωρεᾷ παρ' Αἰήτου, καὶ καθάπερ υἱὸν γνή-
σιον ἀγαπήσαντα καταλιπεῖν αὐτῷ τὴν
βασιλείαν. τὸν δὲ παιδαγωγὸν ὀνομαζόμε-
νον Κριὸν τυθῆναι τοῖς θεοῖς, καὶ τοῦ σώ-
ματος ἐκδαρέντος προσηλωθῆναι τῷ νεῷ
τὸ δέρμα κατά τι νόμιμον. (6) μετὰ δὲ
ταῦτα Αἰήτῃ γενομένου χρησμοῦ, καθ' ὃν
ἐσημαίνετο τότε τελευτήσειν αὐτὸν ὅταν
ξένοι καταπλεύσαντες τὸ τοῦ Κριοῦ δέρος
ἀπενέγκωσι, τὸν βασιλέα φασὶ τειχίσαι τὸ
τέμενος καὶ φρουρὰν ἐγκαταστῆσαι, πρὸς
δὲ τούτοις χρυσῶσαι τὸ δέρος, ἵνα διὰ τὴν
ἐπιφάνειαν ὑπὸ τῶν στρατιωτῶν ἐπιμελε-
στάτης ἀξιωθῇ φυλακῆς. ταῦτα μὲν οὖν
ἐξέστω τοὺς ἀναγινώσκοντας κρίνειν πρὸς
τὰς ἰδίας ἑκάστου προαιρέσεις.

зомъ охранитель святилища назывался Драконтомъ, а поэты перенесли это имя на чудесное и страшное животное. (4) Къ подобнымъ же выдумкамъ относятся и разсказы о Фриксѣ. Одни говорятъ, что онъ переплылъ чрезъ море на кораблѣ, имѣвшемъ на носу изображеніе бараньей головы [1]), и что Гелла, страдая отъ морской болѣзни, перевѣсилась черезъ бортъ корабля и упала въ море. (5) Другіе разсказываютъ, что въ то время, когда былъ захваченъ Фриксъ съ своимъ воспитателемъ, гостилъ у Колховъ зять Эита, царь скиескій, который, влюбившись въ мальчика, получилъ его въ подарокъ отъ Эита, полюбилъ какъ роднаго сына и оставилъ ему царство; воспитатель же его, котораго звали Кріемъ [Бараномъ], былъ принесенъ въ жертву богамъ, а содранная съ его тѣла кожа по мѣстному обычаю была прибита къ храму [2]). (6) Послѣ, когда Эиту дано было предсказаніе, что онъ тогда умретъ, когда приплывутъ въ его страну чужестранцы и увезутъ кожу Барана, царь, какъ разсказываютъ, окружилъ стѣною святилище, поставилъ тамъ стражу и кромѣ того позолотилъ кожу для того, чтобы она благодаря своему блеску была какъ можно тщательнѣе охраняема воинами. Каждому читателю предоставляется судить объ этихъ сказаніяхъ по собственному вкусу.

48. Τὴν δὲ Μήδειαν ἱστοροῦσι καθηγή-
σασθαι τοῖς Ἀργοναύταις πρὸς τὸ τοῦ Ἄρεος
τέμενος, ἀπέχον ἑβδομήκοντα σταδίους
ἀπὸ τῆς πόλεως, ἣν καλεῖσθαι μὲν Σύβα-
ριν, ἔχειν δὲ τὰ βασίλεια τῶν Κόλχων.
προσελθοῦσαν δὲ ταῖς πύλαις κεκλειμέναις
νυκτὸς τῇ Ταυρικῇ διαλέκτῳ προσφωνῆσαι
τοὺς φρουρούς. (2) τῶν δὲ στρατιωτῶν ἀνοι-
ξάντων προθύμως ὡς ἂν βασιλέως θυγατρί,
φασὶ τοὺς Ἀργοναύτας εἰσπεσόντας ἐσπα-
μένοις τοῖς ξίφεσι πολλοὺς μὲν φονεῦσαι
τῶν βαρβάρων, τοὺς δ' ἄλλους διὰ τὸ παρά-
δοξον καταπληξαμένους ἐκβαλεῖν ἐκ τοῦ
τεμένους, καὶ τὸ δέρος ἀναλαβόντας πρὸς
τὴν ναῦν ἐπείγεσθαι κατὰ σπουδήν. (3)
παραπλησίως δὲ τούτοις καὶ τὴν Μήδειαν
ἐν τῷ τεμένει τὸν μυθολογούμενον ἄυπνον
δράκοντα περιεσπειραμένον τὸ δέρος τοῖς
φαρμάκοις ἀποκτεῖναι, καὶ μετὰ Ἰάσονος

48. Мидія, какъ разсказываютъ, провела Аргонавтовъ къ святилищу Арея, отстоявшему на 70 стадій отъ города, который носилъ имя Сибариса и былъ столицею Колховъ; подойдя ночью къ запертымъ воротамъ, она окликнула стражей на таврическомъ нарѣчіи. (2) Когда же воины съ готовностью отворили ей ворота, какъ царской дочери, Аргонавты, говорятъ, напавши съ обнаженными мечами, убили многихъ варваровъ, а остальныхъ, испуганныхъ неожиданностью, выгнали изъ священнаго участка и, захвативши руно, поспѣшили съ нимъ къ кораблю. (3) Точно также Мидія ядомъ умертвила въ священномъ участкѣ баснословнаго неусыпнаго дракона, обвившаго руно, и вмѣстѣ съ Іасономъ направилась къ морю. (4) Когда разбѣжавшіеся Тавры донесли царю о слу-

1) Cf. Schol. Apoll. Rhod. I, 256 (supra, p. 424) et Wesselingii adnotationem. 2) «Dionysii Milesii haec fuit sententia in schol. Apoll. Rhod. I. 256. II. 1147. IV. 119». Wess.

Digitized by Google

τὴν ἐπὶ θάλατταν κατάβασιν ποιήσασθαι. (4) τῶν δὲ διαφυγόντων Ταύρων ἀπαγγειλάντων τῷ βασιλεῖ τὴν γενομένην ἐπίθεσιν, φασὶ τὸν Αἰήτην μετὰ τῶν περὶ αὐτὸν στρατιωτῶν διώξαντα τοὺς Ἕλληνας καταλαβεῖν πλησίον τῆς θαλάττης· ἐξ ἐφόδου δὲ συνάψαντα μάχην ἀνελεῖν ἕνα τῶν Ἀργοναυτῶν Ἴφιτον τὸν Εὐρυσθέως ἀδελφὸν τοῦ τοὺς ἄθλους Ἡρακλεῖ προστάξαντος, ἔπειτα τοῖς ἄλλοις τῷ πλήθει τῶν συναγωνιζομένων περιχυθέντα καὶ βιαιότερον ἐγκείμενον ὑπὸ Μελεάγρου φονευθῆναι. (5) ἔνθα δὴ πεσόντος τοῦ βασιλέως καὶ τῶν Ἑλλήνων ἐπαρθέντων, τραπῆναι πρὸς φυγὴν τοὺς Κόλχους, καὶ κατὰ τὸν διωγμὸν τοὺς πλείστους αὐτῶν ἀναιρεθῆναι. γενέσθαι δὲ καὶ τῶν ἀριστέων τραυματίαν Ἰάσονα καὶ Λαέρτην, ἔτι δ' Ἀταλάντην καὶ τοὺς Θεσπιάδας προσαγορευομένους. τούτους μὲν οὖν φασιν ὑπὸ τῆς Μηδείας ἐν ὀλίγαις ἡμέραις ῥίζαις καὶ βοτάναις τισὶ θεραπευθῆναι, τοὺς δ' Ἀργοναύτας ἐπισιτισαμένους ἐκπλεῦσαι...

56. Καθόλου δὲ διὰ τὴν τῶν τραγῳδῶν τερατείαν ποικίλη τις [διάθεσις] καὶ διάφορος ἱστορία περὶ Μηδείας ἐξενήνεκται, καί τινες χαρίζεσθαι βουλόμενοι τοῖς Ἀθηναίοις φασὶν αὐτὴν ἀναλαβοῦσαν τὸν ἐξ Αἰγέως Μῆδον εἰς Κόλχους διασωθῆναι· κατὰ δὲ τοῦτον τὸν χρόνον Αἰήτην ἐκ τῆς βασιλείας ὑπὸ τἀδελφοῦ Πέρσου βιαίως ἐκπεπτωκότα τὴν ἀρχὴν ἀνακτήσασθαι, Μήδου τοῦ Μηδείας ἀνελόντος τὸν Πέρσην· μετὰ δὲ ταῦτα δυνάμεως ἐγκρατῆ γενόμενον τὸν Μῆδον πολλὴν ἐπελθεῖν τῆς ὑπὲρ τὸν Πόντον Ἀσίας, καὶ κατασχεῖν τὴν ἀπ' ἐκείνου Μηδίαν προσαγορευθεῖσαν. (2) ἀλλὰ γὰρ τὸ πάσας τὰς ἀποφάσεις τῶν περὶ τῆς Μηδείας μυθολογησάντων ἀναγράφειν οὐκ ἀναγκαῖον ἅμα καὶ μακρὸν εἶναι κρίνοντες τὰ καταλειπόμενα τῆς περὶ τῶν Ἀργοναυτῶν ἱστορίας προσθήσομεν. (3) οὐκ ὀλίγοι γὰρ τῶν τε ἀρχαίων συγγραφέων καὶ τῶν μεταγενεστέρων, ὧν ἐστι καὶ Τίμαιος, φασὶ τοὺς Ἀργοναύτας μετὰ τὴν τοῦ δέρους ἁρπαγὴν πυθομένους ὑπ' Αἰήτου προκατειλῆφθαι ναυσὶ τὸ στόμα τοῦ Πόντου, πρᾶξιν ἐπιτελέσασθαι παράδοξον καὶ μνήμης ἀξίαν. ἀναπλεύσαντας γὰρ αὐτοὺς διὰ τοῦ Τανάιδος ποταμοῦ ἐπὶ τὰς πηγάς, καὶ κατὰ τόπον τινὰ τὴν ναῦν διελκύσαντας, καθ' ἑτέρου πάλιν ποταμοῦ τὴν ῥύσιν

чившемся нападеніи, то, говорятъ, Эитъ, отправившись со своими тѣлохранителями въ погоню за Еллинами, догналъ ихъ близъ моря. Прямо съ дороги вступивши въ сраженіе, онъ убилъ одного изъ Аргонавтовъ — Ифита, брата Еврисѳея (того самаго, который давалъ порученія Иракду), но затѣмъ, когда онъ съ толпою сподвижниковъ напалъ на другихъ и сталъ слишкомъ сильно тѣснить, то былъ убитъ Мелеагромъ. (5) Когда царь палъ и Еллины ободрились духомъ, Колхи обратились въ бѣгство и большая часть ихъ была перебита во время преслѣдованія; изъ числа же героевъ оказались ранеными Іасонъ и Лаертъ, затѣмъ Аталанта и такъ называемые Ѳеспіады; говорятъ, что Мидія въ нѣсколько дней исцѣлила ихъ корнями и травами и Аргонавты, запасшись провіантомъ, отплыли обратно...

56. Вообще, благодаря выдумкамъ трагическихъ поэтовъ, относительно Мидіи существуетъ цѣлый рядъ разнообразныхъ и несогласимыхъ между собою сказаній; нѣкоторые изъ желанія угодить Аѳинянамъ разсказываютъ также, что она, захвативъ Мида, своего сына отъ Эгея, спаслась съ нимъ въ Колхиду. Въ то же время Эитъ, насильственно изгнанный изъ государства своимъ братомъ Персомъ, возвратилъ себѣ престолъ послѣ того, какъ Мидъ, сынъ Мидіи, умертвилъ Перса. Послѣ этого Мидъ, сдѣлавшись могущественнымъ, прошелъ значительную часть лежащей выше Понта Азіи и занялъ названную впослѣдствіи по его имени Мидію. (2) Однако мы считаемъ излишнимъ и слишкомъ долгимъ описывать всѣ подробности, приводимыя разсказчиками преданій о Мидіи, и потому прибавимъ *лишь* конецъ разсказа объ Аргонавтахъ. (3) Не малое число какъ древнихъ, такъ и позднѣйшихъ писателей (между ними и Тимэй) разсказываютъ, что когда Аргонавты послѣ похищенія руна узнали, что Эитъ своими кораблями занялъ устье Понта, то совершили удивительный и достопамятный подвигъ: проплывши вверхъ по рѣкѣ Танаиду до его истоковъ и перетащивши въ одномъ мѣстѣ корабль по

V. 21: καὶ βοτάναις del. Dind.; τισὶ ῥίζαις vulg.

Digitized by Google

ἔχοντος εἰς τὸν ὠκεανὸν καταπλεῦσαι πρὸς τὴν θάλατταν, ἀπὸ δὲ τῶν ἄρκτων ἐπὶ τὴν δύσιν κομισθῆναι τὴν γῆν ἔχοντας ἐξ εὐωνύμων, καὶ πλησίον γενομένους Γαδείρων εἰς τὴν καθ' ἡμᾶς θάλατταν εἰσπλεῦσαι..

сушѣ, они уже по другой рѣкѣ, впадающей въ Океанъ, спустились къ морю и проплыли отъ сѣвера къ западу, имѣя сушу по лѣвую руку; очутившись недалеко отъ Гадиръ, они вступили въ наше море...

4. Изъ разсказа объ отступленіи наемниковъ Кира Младшаго.

(ПОХОДЪ ОТЪ Р. КЕНТРИТА ДО Г. КОТІОРЪ [1]).

Lib. XIV c. 27—30.

27, 7... Διελθόντες οὖν τὴν προειρημένην χώραν [οἱ Ἕλληνες] ἐπιπόνως παρεγενήθησαν πρὸς τὸν Κεντρίτην ποταμόν. ὃν διαβάντες εἰσέβαλον εἰς τὴν Ἀρμενίαν. ταύτης δ' ἦν σατράπης Τιρίβαζος, πρὸς ὃν σπεισάμενοι διεπορεύοντο τὴν χώραν ὡς φίλοι.

27, 7. ...Съ трудомъ пройдя вышеупомянутую страну, [Эллины] прибыли къ рѣкѣ Кентриту и, переправившись чрезъ нее, вступили въ Арменію; сатрапомъ ея былъ Тирибазъ, съ которымъ они заключили договоръ и пошли чрезъ его область какъ друзья.

28. Ὁδοιποροῦντες δὲ διὰ τῶν Ἀρμενίων ὀρῶν ἐλήφθησαν ὑπὸ χιόνος πολλῆς, καὶ παρεκινδύνευσαν ἀπολέσθαι πάντες. τοῦ γὰρ ἀέρος τεταραγμένου τὸ μὲν πρῶτον κατ' ὀλίγον ἤρξατο χιὼν πίπτειν ἐκ τοῦ περιέχοντος, ὥστε τοὺς ὁδοιποροῦντας μηδὲν ἐμποδίζεσθαι τῆς εἰς τοὔμπροσθεν πορείας· μετὰ δὲ ταῦτα πνεύματος ἐπιγενομένου μᾶλλον ἀεὶ κατερρίπτετο καὶ τὴν χώραν ἐπεκάλυπτεν, ὥστε μηκέτι δύνασθαι μήτε τὰς ὁδοὺς μήτε ὁλοσχερῶς τὰς ἰδιότητας τῶν τόπων θεωρεῖσθαι. (2) διόπερ θυμία τὸ στρατόπεδον ὑπεδύετο καὶ δέος, ἀναχάμπτειν μὲν εἰς ἀπώλειαν οὐ βουλόμενοι, προάγειν δὲ διὰ τὸ πλῆθος τῶν χιόνων οὐ δυναμένων. τοῦ δὲ χειμῶνος πίτασιν λαμβάνοντος ἐπεγενήθη πνευμάτων μέγεθος μετὰ πολλῆς χαλάζης, ὥστε οὔ συρμοῦ κατὰ πρόσωπον ὄντος ἀναγκασθῆναι καθίσαι τὴν δύναμιν ἅπασαν· ἕκαστος γὰρ τὴν ἐκ τῆς ὁδοιπορίας κακοπάθειαν ὑπομένειν ἀδυνατῶν, οὐ ποτε τύχοι, ἔμενειν ἠναγκάζετο. (3) ἀποροῦντες δὲ πάντων τῶν ἀναγκαίων ἐκείνην μὲν τὴν ἡμέραν καὶ τὴν νύκτα διεκαρτέρουν ὑπαίθριοι, ἄλλοις συνεχόμενοι κακοῖς· διὰ γὰρ τὸ πλῆθος τῆς κατὰ τὸ συνεχὲς ἐκχεομένης νιφάδος τά τε ὅπλα πάντα συνεκαλύφθη καὶ τὰ σώματα διὰ τὸν ἀπὸ τῆς αἰθρίας κρύον περιεψύχετο. διὰ δὲ τὴν ὑπερβολὴν τῶν κακῶν ὅλην τὴν νύκτα διηγρύπνουν· καί τινες μὲν πῦρ ἐκκαύσαντες τῆς ἀπὸ

28. Проходя чрезъ Арменійскія горы, они были засыпаны массою снѣга и едва всѣ не погибли. Вслѣдствіе движенія воздуха сперва снѣгъ понемногу началъ падать изъ атмосферы, такъ что путники не встрѣчали никакого препятствія къ движенію впередъ; но потомъ, когда подулъ вѣтеръ, *снѣгъ* повалилъ сильнѣе и покрылъ собою землю, такъ что уже нельзя было разглядѣть ни дороги, ни вообще признаковъ мѣстностей. (2) Поэтому войскомъ овладѣли уныніе и страхъ, такъ какъ *воины* не хотѣли возвращаться на погибель и не могли идти впередъ вслѣдствіе массы снѣговъ. При усиленіи бури поднялся ужасный вѣтеръ съ сильнымъ градомъ и дулъ прямо въ лицо, такъ что вся рать принуждена была остановиться: каждый, не будучи въ состояніи выдерживать мукъ при движеніи, принужденъ былъ останавливаться, гдѣ случится. (3) Лишенные всѣхъ необходимыхъ *припасовъ*, *воины* провели этотъ день и *слѣдующую* ночь подъ открытымъ небомъ въ самомъ бѣдственномъ положеніи: вслѣдствіе массы непрерывно падавшаго снѣга всѣ доспѣхи были имъ засыпаны и тѣла мерзли отъ *чувствительнаго* на открытомъ воздухѣ мороза. Вслѣдствіе столь бѣдственнаго положенія они всю ночь провели безъ сна; нѣкоторые, разведя огонь, получали отъ него помощь, а нѣкоторые, перезяб-

1) Cf. Xenoph. *Anab.* l. IV c. 4 sq. (supra, pp. 65—83).

Digitized by Google

τούτου βοηθείας ἐτύγχανον, τινὲς δὲ περικαταληφθέντες ὑπὸ τοῦ πάγου τὰ σώματα πᾶσαν ἀπεγίνωσκον ἐπικουρίαν, τῶν ἀκρωτηρίων αὐτοῖς σχεδὸν ἁπάντων ἀπονεκρουμένων. (4) διόπερ ὡς ἡ νὺξ διῆλθε, τῶν δ' ὑποζυγίων τὰ πλεῖστα εὑρέθη διεφθαρμένα καὶ τῶν ἀνδρῶν πολλοὶ μὲν τετελευτηκότες, οὐκ ὀλίγοι δὲ τὴν μὲν ψυχὴν ἔχοντες ἔμφρονα, τὸ δὲ σῶμα διὰ τὸν πάγον ἀκίνητον· ἔνιοι δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐτυφλώθησαν διά τε τὸ ψῦχος καὶ τὴν ἀνταύγειαν τῆς χιόνος. (5) καὶ τελέως ἂν ἅπαντες διεφθάρησαν, εἰ μὴ βραχὺ διελθόντες εὗρον κώμας γεμούσας τῶν ἐπιτηδείων. αὗται δὲ τὰς μὲν τοῖς ὑποζυγίοις καταβάσεις εἶχον ὀρυκτάς, τὰς δὲ τοῖς ἀνδράσι κατὰ κλιμάκων... ταῖς οἰκίαις τά τε βοσκήματα τρεφόμενα χόρτῳ, τοῖς δ' ἀνδράσι πολλὴν ἀφθονίαν πάντων τῶν πρὸς τὸ ζῆν ἀναγκαίων.

29. Ἐμμείναντες δὲ ταῖς κώμαις ἡμέρας ὀκτὼ παρεγενήθησαν πρὸς τὸν Φᾶσιν ποταμόν. ἐκεῖ δὲ τέτταρας ἡμέρας διανύσαντες διεπορεύοντο τὴν Χάων καὶ Φασιανῶν χώραν. ἐπιθεμένων δ' αὐτοῖς τῶν ἐγχωρίων, τούτους μὲν τῇ μάχῃ νικήσαντες πολλοὺς ἀνεῖλον, αὐτοὶ δὲ καταλαμβάνοντες τὰς τῶν ἐγχωρίων κτήσεις γεμούσας ἀγαθῶν ἐνδιέτριψαν ἐν αὐταῖς ἡμέρας πεντεκαίδεκα. (2) ἀναζεύξαντες δ' ἐκεῖθεν διῆλθον τὴν Χαλδαίων καλουμένων χώραν ἐν ἡμέραις ἑπτά, καὶ παρεγενήθησαν πρὸς τὸν Ἅρπαγον ὀνομαζόμενον ποταμόν, ὄντα τὸ πλάτος πλέθρων τεττάρων. ἐντεῦθεν δὲ διὰ Σκυτίνων πορευόμενοι διῆλθον ὁδὸν πεδινήν, ἐν ᾗ τρεῖς ἡμέρας αὐτοὺς ἀνέλαβον, εὐπορουῦντες ἁπάντων τῶν ἀναγκαίων. μετὰ δὲ ταῦτ' ἀναζεύξαντες τεταρταῖοι παρεγενήθησαν πρὸς πόλιν μεγάλην Γυμνασίαν ὀνομαζομένην. (3) ἐκ δὲ ταύτης ὁ τῶν τόπων τούτων ἀφηγούμενος ἐσπείσατο πρὸς αὐτοὺς καὶ τοὺς ὁδηγήσοντας ἐπὶ θάλατταν συνέστησεν. Ἐν ἡμέραις δὲ πεντεκαίδεκα παραγενόμενοι ἐπὶ τὸ Χήνιον ὄρος, ὡς εἶδον πορευόμενοι οἱ πρῶτοι τὴν θάλατ-

нувши отъ мороза, потеряли всякую надежду на помощь, такъ какъ отморозили себѣ почти всѣ конечности. (4) Поэтому, когда прошла ночь, большинство вьючныхъ животныхъ оказалось погибшимъ и изъ людей многіе умершими, и не малое количество—не потерявшими еще сознанія, но не могшими двинуться *съ мѣста* вслѣдствіе отмороженія *членовъ*; а нѣкоторые и ослѣпли вслѣдствіе холода и отблеска снѣга. (5) Они всѣ погибли бы окончательно, если бы, пройдя немного, не встрѣтили деревень, изобиловавшихъ продовольствіемъ. Въ нихъ для скота были вырытые сходы, а люди входили по лѣстницамъ,... скотъ кормился сѣномъ, а для людей было большое изобиліе всего необходимаго для жизни.

29. Пробывши въ *этихъ* деревняхъ 8 дней, Еллины прибыли къ рѣкѣ Фасиду[1]); проведя тамъ 4 дня, пошли чрезъ область Хаевъ и Фасіановъ[2]). При нападеніи туземцевъ они побѣдили ихъ въ стычкѣ и многихъ перебили, а сами, захватывая хутора туземцевъ, наполненные добромъ, провели въ нихъ 15 дней. (2) Поднявшись оттуда, въ теченіе 7 дней прошли такъ называемую Халдейскую область и прибыли къ рѣкѣ, по имени Арпагу[3]), шириною въ 4 плеѳра. Оттуда, двигаясь по области Скитиновъ[4]), они прошли по ровной дорогѣ, на которой въ теченіе трехъ дней оправились, имѣя въ изобиліи все необходимое. Послѣ этого, двинувшись *впередъ*, на четвертый день пришли къ большому городу, называемому Гимнасіей[5]). (3) Изъ него начальникъ этихъ мѣстностей заключилъ съ ними договоръ и представилъ проводниковъ къ морю. Чрезъ 15 дней, придя на гору Хиній[6]), когда шедшіе впереди увидѣли море, то чрезвычайно обрадовались и подняли такой крикъ, что бывшіе въ хвостѣ, предполагая нападеніе

V. 2: περιχαυθέντες Reiske. || Ad. v. 17 v. quae adnotavit Vogel. || V. 19: πολλὴ ἦν ἀφθονία Reiske. || V. 23: «διανύσαντες] διαμείναντες P: neutrum convenit cum Xen. An. IV, 7, 1.» Vog. || V. 29: πεντεκαίδεκα] πέντε Xen. An. IV, 7, 20.

1) De Phaside cf. Wesselingii adnotationem. 2) «Prioris populi nomen vitiosum est. Xenophonti Τάοχοι sunt et dicuntur. Alii Τάους vocabant, Sophaeneto apud Stephan. in v. Τάοχοι teste [supra, p. 266]. Scribendum ergo τὴν Ταόχων, aut certe, quod a vulgato recedit propius, τὴν Τάων cum clarissimo Hutchinsonio ad Ἀναβ. L. IV p. 421 ed. Oxon. Videor etiam posse suspicari Diodorum in illis, ubi a Xenophonte dissentit, Sophaenetum istum ducem sibi legisse»... Wess. 3) Ἅρπασος dicitur hoc flumen ap. Xenoph. *Anab.* IV, 7, 18 (supra, p. 73). 4) Σκυθηνοί ap. Xenoph. l. l. 5) Γυμνιάς ap. Xenoph. l. l. § 19. 6) Θήχης ap. Xen. l. l. § 21.

Digitized by Google

ταν, περιχαρεῖς ἦσαν καὶ τοιαύτην ἐποίουν κραυγήν, ὥστε τοὺς ἐπὶ τῆς οὐραγίας ὄντας ὑπολαμβάνοντας πολεμίων ἔφοδον εἶναι χωρεῖν εἰς ὅπλα. (4) ὡς δ' ἅπαντες ἀνέβησαν ἐπὶ τὸν τόπον, ἐξ οὗ τὴν θάλατταν ἦν ὁρᾶν, τοῖς θεοῖς ἀνατείναντες τὰς χεῖρας ηὐχαρίστουν ὡς ἤδη διασεσωσμένοι· συνενέγκαντες δ' εἰς ἕνα τόπον λίθους παμπληθεῖς καὶ ποιήσαντες ἐξ αὐτῶν ἀναστήματα μεγάλα, σκῦλα τῶν βαρβάρων ἀνέθεσαν, βουλόμενοι τῆς στρατείας ἀθάνατον ὑπόμνημα καταλιπεῖν. Καὶ τῷ μὲν ὁδηγήσαντι φιάλην ἀργυρᾶν καὶ στολὴν Περσικὴν ἐδωρήσαντο. ὃς δείξας αὐτοῖς τὴν ἐπὶ Μάκρωνας ὁδὸν ἀπηλλάγη. (5) Οἱ δ' Ἕλληνες εἰσβαλόντες εἰς τὴν τῶν Μακρώνων χώραν ἐσπείσαντο, καὶ πρὸς πίστιν παρὰ μὲν ἐκείνων λόγχην ἔλαβον βαρβαρικήν, αὐτοὶ δ' Ἑλληνικὴν ἔδωκαν· ταῦτα γὰρ ἔφασαν αὐτοῖς οἱ βάρβαροι διὰ προγόνων παραδεδόσθαι πρὸς πίστιν βεβαιότατα. ὡς δὲ τοὺς τούτων ὅρους διῆλθον, παρεγενήθησαν εἰς τὴν τῶν Κόλχων χώραν. (6) εἰς ἣν ἀθροισθέντων τῶν ἐγχωρίων ἐπ' αὐτούς, τούτους μὲν κρατήσαντες μάχῃ πολλοὺς ἀνεῖλον, αὐτοὶ δὲ λόφον ὀχυρὸν καταλαβόμενοι τὴν χώραν ἐπόρθουν, καὶ τὰς ὠφελείας εἰς τοῦτον ἀθροίσαντες ἀφθόνως ἐαυτοὺς ἀνελάμβανον.

непріятелей, взялись за оружіе. (4) Когда же всѣ взошли на мѣсто, откуда видно было море, то, воздѣвъ руки, благодарили боговъ, считая себя уже спасенными; снеся въ одно мѣсто множество камней и сдѣлавъ изъ нихъ большія кучи, они посвятили варварскіе доспѣхи, желая оставить вѣчный памятникъ своего похода. Проводнику они подарили серебряную чашу и персидскую одежду; онъ показалъ имъ дорогу къ Макронамъ и удалился. (5) Эллины же, вступивъ въ область Макроновъ, заключили договоръ и въ *подтвержденіе его* вѣрности получили отъ нихъ варварское копье, а сами дали эллинское: варвары сказали *имъ*, что этотъ *обычай* переданъ имъ отъ предковъ, *какъ* величайшій залогъ вѣрности. Пройдя чрезъ ихъ предѣлы, *Эллины* вступили въ страну Колховъ. (6) Въ нее собрались противъ нихъ туземцы, но они одолѣли ихъ въ битвѣ и многихъ убили, а сами, занявъ укрѣпленный холмъ, стали опустошать страну и, собравъ на него добычу, оправлялись среди изобилія.

30. Εὑρίσκετο δὲ καὶ σμήνη παμπληθῆ περὶ τοὺς τόπους, ἐξ ὧν πολυτελῆ προσεφέρετο κηρία. τούτων δ' οἱ γευσάμενοι παραλόγῳ περιέπιπτον συμπτώματι· οἱ γὰρ μεταλαβόντες αὐτῶν ἄφρονες ἐγίνοντο καὶ πίπτοντες ἐπὶ τὴν γῆν ὅμοιοι τοῖς τετελευτηκόσιν ὑπῆρχον. (2) πολλῶν δὲ φαγόντων διὰ τὴν γλυκύτητα τῆς ἀπολαύσεως, ταχὺ τὸ πλῆθος ἐγεγόνει τῶν πεπτωκότων οἱονεὶ τροπῆς ἐν πολέμῳ γεγενημένης. ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἠθύμησεν ἡ δύναμις, καταπεπληγμένη τό τε παράδοξον καὶ τὸ πλῆθος τῶν ἠτυχηκότων· τῇ δ' ὑστεραίᾳ περὶ τὴν αὐτὴν ὥραν ἅπαντες ἑαυτοὺς ἀνελάμβανον καὶ κατ' ὀλίγον ἀνακτώμενοι τὸ φρονεῖν ἀνέστησαν, καὶ τὸ σῶμα διετέθησαν ὁμοίως τοῖς ἐκ φαρμακοποσίας διασωθεῖσιν. (3) ὡς δ' ἀνέλαβον ἑαυτοὺς ἐν τρισὶν ἡμέραις, ἐπορεύθησαν εἰς Τραπεζοῦντα πόλιν Ἑλληνίδα, Σινωπέων μὲν ἄποικον, κειμένην δ' ἐν τῇ Κόλχων χώρᾳ. ἐνταῦθα δὲ διατρίψαντες

30. Въ этихъ мѣстахъ встрѣчались во множествѣ борти, изъ конхъ добывались превосходные соты; но попробовавшіе ихъ подвергались страннымъ припадкамъ: поѣвшіе ихъ теряли сознаніе и, падая на землю, уподоблялись мертвымъ. (2) А такъ какъ многіе поѣли *этого меда* вслѣдствіе сладкаго его вкуса, то скоро оказалось множество упавшихъ, какъ бы послѣ пораженія на войнѣ [1]). Поэтому рать провела этотъ день въ унынін, пораженная странностью *случая* и множествомъ пострадавшихъ; но на слѣдующій день около того же часа всѣ стали оправляться и, понемногу приходя въ сознаніе, встали и чувствовали себя подобно выздоровѣвшимъ отъ принятаго яда. (3) Оправившись въ теченіи 3-хъ дней, они двинулись въ эллинскій городъ Трапезунтъ, колонію Синопейцевъ, лежащую въ области Колховъ. Проведя здѣсь 30 дней, они нашли широкое гостепріимство у мѣстныхъ *жи-*

1) Cf. Xen. *An.* IV, 3, 2 (supra, p. 76). Strab. XII, 3, 18 (supra, p. 158). Aelian. *De anim.* V, 42. Proc. *Bell. Goth.* IV, 2. Plin. *N. h.* XXI, 13.

Digitized by Google

ἡμέρας τριάκοντα, παρὰ μὲν τοῖς ἐγχωρίοις λαμπρῶς ἐξενίσθησαν, αὐτοὶ δὲ τῷ τε Ἡρακλεῖ καὶ Διὶ σωτηρίῳ θυσίαν ἐποίησαν καὶ γυμνικὸν ἀγῶνα καθ' ὃν τόπον φασὶ προσπλεῦσαι τὴν Ἀργὼ καὶ τοὺς περὶ Ἰάσονα. (4) ἐκεῖθεν δὲ Χειρίσοφον μὲν τὸν ἀφηγούμενον ἀπέστειλαν εἰς Βυζάντιον ἐπὶ πλοῖα καὶ τριήρεις· ἔλεγε γὰρ εἶναι φίλος Ἀναξιβίῳ τῷ Βυζαντίων ναυάρχῳ. τοῦτον μὲν οὖν ἐπὶ κέλητος ἐξέπεμψαν· λαβόντες δὲ τῶν ἐπικώπων δύο πλοιάρια παρὰ τῶν Τραπεζουντίων, ἐλῄστευον τοὺς περιοικοῦντας βαρβάρους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. (5) ἐφ' ἡμέρας μὲν οὖν τριάκοντα περιέμειναν τὸν Χειρίσοφον· ὡς δ' ἐκεῖνος ἐβράδυνεν, αἱ δὲ τροφαὶ τοῖς ἀνθρώποις ἐσπάνιζον, ἀνέζευξαν ἐκ Τραπεζοῦντος, καὶ τριταῖοι παρεγενήθησαν εἰς Κερασοῦντα πόλιν Ἑλληνίδα, Σινωπέων ἄποικον. ἐν ταύτῃ δὲ ἡμέρας διατρίψαντές τινας παρεγενήθησαν εἰς τὸ τῶν Μοσσυνοίκων ἔθνος. (6) τῶν δὲ βαρβάρων συστραφέντων ἐπ' αὐτοὺς ἐκράτησαν μάχῃ καὶ πολλοὺς ἀνεῖλον. συμφυγόντων δ' εἴς τι χωρίον, ἐν ᾧ κατῴκουν ἑπτορόφους ἔχοντες ξυλίνους πύργους, συνεχεῖς προσβολὰς ποιησάμενοι κατὰ κράτος εἷλον. ἦν δὲ τὸ χωρίον τοῦτο μητρόπολις τῶν ἄλλων ἐρυμάτων, ἐν ᾧ καὶ ὁ βασιλεὺς αὐτῶν κατῴκει τὸν ὑψηλότατον τόπον ἔχων. (7) ἔθος δ' ἔχει πάτριον μένειν ἐν αὐτῷ τὸν πάντα βίον, κἀκεῖθεν διαδιδόναι τοῖς ὄχλοις τὰ προστάγματα. βαρβαρώτατον δ' ἔφασαν οἱ στρατιῶται τοῦτο διεληλυθέναι τὸ ἔθνος, καὶ ταῖς μὲν γυναιξὶν αὐτοὺς πλησιάζειν ἁπάντων ὁρώντων, τοὺς δὲ παῖδας τῶν πλουσιωτάτων τρέφεσθαι καρύοις ἑφθοῖς, ἅπαντας δ' ἐκ παιδὸς στίγμασι τόν τε νῶτον καὶ τὰ στήθη καταπεποικίλθαι. ταύτην μὲν οὖν τὴν χώραν ἐν ἡμέραις ὀκτὼ διεπορεύθησαν, τὴν δ' ἐχομένην ἐν τρισίν, ἣν ἐκάλουν Τιβαρηνήν. κἀκεῖθεν εἰς Κοτύωρα πόλιν παρεγενήθησαν Ἑλληνίδα, Σινωπέων ἄποικον...

телей, а сами совершили Иракду и Зевсу-Спасителю жертвоприношеніе и гимническое состязаніе на томъ мѣстѣ, гдѣ по преданію присталъ *корабль* Арго и Іасонъ съ своими спутниками. (4) Оттуда они послали своего предводителя Хирисофа въ Византію за судами и тріирами: онъ говорилъ, что онъ друженъ съ византійскимъ наварховъ Анаксивіемъ. Итакъ они послали его на лодкѣ, а *сами*, взявъ у Трапезунтцевъ два гребныхъ судншка, стали грабить окрестныхъ варваровъ на сушѣ и на морѣ. (5) Тридцать дней поджидали они Хирисофа; но такъ какъ онъ не являлся, а продовольствіе у людей истощалось, то они двинулись изъ Трапезунта и на третій день прибыли въ еллинскій городъ Керасунтъ, колонію Синопейцевъ; проведя въ немъ нѣсколько дней, пришли къ племени Моссинниковъ. (6) Варвары собрались *было* противъ нихъ, но они одолѣли ихъ въ битвѣ и многихъ перебили; когда же *варвары* сбѣжались въ одно мѣстечко, въ которомъ жили они въ семиэтажныхъ деревянныхъ башняхъ, *Еллины*, сдѣлавъ безпрерывные приступы, взяли *его* силою. Это мѣстечко было главою прочихъ укрѣпленій и въ немъ жилъ царь ихъ въ самомъ высокомъ мѣстѣ. (7) По исконному обычаю онъ остается въ немъ всю жизнь и оттуда раздаетъ приказанія подданнымъ. Воины говорили, что этотъ народъ самый варварскій изъ пройденныхъ ими, что они совокупляются съ женщинами у всѣхъ на виду, что дѣти самыхъ богатыхъ *родителей* кормятся вареными каштанами и что всѣ съ дѣтства татуированы на спинѣ и на груди. Эту область *Еллины* прошли въ 8 дней, а слѣдующую, называемую Тиварпинскою — въ три. Оттуда прибыли въ еллинскій городъ Котіоры, колонію Синопейцевъ...

5. Изъ исторіи походовъ Александра Великаго.

а) замѣтка о каспійскомъ морѣ (XVII, 75, 3).

Ὁ δ' Ἀλέξανδρος μετὰ τῆς δυνάμεως ἐμβαλὼν εἰς τὴν τῶν Ὑρκανῶν χώραν, πάσας τὰς ἐν αὐτῇ πόλεις ἐχειρώσατο μέχρι

Александръ, вступивъ съ войскомъ въ землю Ирхановъ, покорилъ въ ней всѣ города до такъ называемаго Каспійскаго

V. 25: αἐπτωρόφους L, ἑπταφόρους A, ἑπτοφόρους P (cf. Strab. XII, 3, 18)». Vog. (L est cod. Parisinus 1663 saec. XV, P — Patmius saec. X vel XI a Rich. Bergmann a. 1866 conlatus, de quo v. Vogelii praefationem v. II p. XI sq.).

Digitized by Google

τῆς Κασπίας καλουμένης θαλάττης, ἣν Ὑρκανίαν τινὲς ὀνομάζουσιν. ἐν ταύτῃ δὲ φασι πολλοὺς μὲν καὶ μεγάλους ὄφεις γεννᾶσθαι, ἰχθῦς δὲ παντοδαποὺς πολὺ τῇ χρόᾳ τῶν παρ' ἡμῖν διαλλάττοντας...

моря, которое иные зовутъ Ирканскимъ. Въ немъ, говорятъ, водится множество большихъ змѣй и всякаго рода рыбъ, очень отличающихся по цвѣту кожи отъ нашихъ...

б) Разсказъ о встрѣчѣ царицы Амазонокъ Θалистріи съ Александромъ (XVII, 77).

Ἐπανελθόντος δ' αὐτοῦ [sc. Ἀλεξάνδρου] πάλιν εἰς τὴν Ὑρκανίαν, ἦκε πρὸς αὐτὸν ἡ βασίλισσα τῶν Ἀμαζόνων, ὄνομα μὲν Θάληστρις, βασιλεύουσα δὲ τῆς μεταξὺ τοῦ Φάσιδος καὶ Θερμώδοντος χώρας. ἦν δὲ τῷ τε κάλλει καὶ τῇ τοῦ σώματος ῥώμῃ διαφέρουσα καὶ παρὰ τοῖς ὁμοεθνέσι θαυμαζομένη κατ' ἀνδρείαν, καὶ τὸ μὲν πλῆθος τῆς στρατιᾶς ἐπὶ τῶν ὅρων τῆς Ὑρκανίας ἀπολελοιπυῖα, μετὰ δὲ τριακοσίων Ἀμαζονίδων κεκοσμημένων πολεμικοῖς ὅπλοις παραγενομένη. (2) τοῦ δὲ βασιλέως θαυμάζοντος τό τε παράδοξον τῆς παρουσίας καὶ τὸ ἀξίωμα τῶν γυναικῶν καὶ τὴν Θάληστριν ἐρομένου τίνα χρείαν ἔχουσα πάρεστιν, ἀπεφαίνετο παιδοποιίας ἕνεκεν ἥκειν. (3) ἐκεῖνον μὲν γὰρ τῶν ἁπάντων ἀνδρῶν διὰ τὰς πράξεις ἄριστον ὑπάρχειν, αὐτὴν δὲ τῶν γυναικῶν ἀλκῇ τε καὶ ἀνδρείᾳ διαφέρειν· εἰκὸς οὖν τὸ γεννηθὲν ἐκ δυοῖν γονέων πρωτευόντων ὑπερέξειν ἀρετῇ τῶν ἄλλων ἀνθρώπων. καὶ πέρας ἡσθεὶς ὁ βασιλεὺς καὶ προσδεξάμενος τὴν ἔντευξιν αὐτῆς, καὶ συμπεριενεχθεὶς ἡμέρας τρισκαίδεκα, τιμήσας τε ἀξιολόγοις δώροις, ἐξαπέστειλεν εἰς τὴν οἰκείαν.

Когда Александръ возвратился въ Ирканію, къ нему прибыла царица Амазонокъ, по имени Θалистрія, властвовавшая надъ страною между Фасидомъ и Θермодонтомъ. Она отличалась красотою и тѣлесною силою и своею храбростью возбуждала удивленіе соплеменниковъ. Оставивъ свое войско на границахъ Иркаиіи, она прибыла съ тремя стами Амазонокъ, облеченныхъ въ боевые доспѣхи. (2) Когда царь, удивляясь неожиданному появленію и красотѣ *этихъ* женщинъ, спросилъ Θалистрію, по какой надобности она прибыла *къ нему*, *Θалистрія* заявила, что явилась съ цѣлью имѣть *отъ него* ребенка: (3) онъ-де превзошелъ своими подвигами всѣхъ мужчинъ, а она сама выдается изъ *среды* женщинъ силою и храбростью; поэтому можно ожидать, что *дитя*, рожденное отъ двухъ первенствующихъ родителей, превзойдетъ доблестями прочихъ людей. Царь, очень обрадовавшись и принявъ ея предложеніе, провелъ *съ нею* тринадцать дней и *затѣмъ* отпустилъ ее на родину, почтивъ достойными дарами [1]).

6. Изъ исторіи Воспорскаго царства.

XII, 31, 1. Ἐπ' ἄρχοντος Ἀθήνησι Θεοδώρου... οἱ τοῦ Κιμμερίου Βοσπόρου βασιλεύσαντες, ὀνομασθέντες δὲ Ἀρχαιαναξίδαι, ἦρξαν ἔτη δύο πρὸς τοῖς τετταράκοντα· διεδέξατο δὲ τὴν ἀρχὴν Σπάρτακος καὶ ἦρξεν ἔτη ἑπτά.

При архонтѣ Θеодорѣ въ Аѳинахъ [2])... исполнилось сорокъ два года царствованія на Киммерійскомъ Воспорѣ царей, называемыхъ Археанактидами; царскую власть получилъ Спартакъ и царствовалъ 7 лѣтъ.

XII, 36, 1. Ἐπ' ἄρχοντος Ἀθήνησιν Ἀψεύδους... Σπάρτακος μὲν ὁ Βοσπόρου

При архонтѣ Апсевдѣ въ Аѳинахъ [3])... умеръ царь Воспорскій Спартакъ послѣ

V. 34: Ἀρχεαναξίδαι AL. || V. 39: verum regis nomen fuit Σπάρτοκος.

1) «Solens Clitarchum sequitur [Diodorus]. Ego vero mallem, Thalestrim et Amazonas abesse hinc iussisset. Sunt enim illepidum Macedonum quorundam, omnia ad regis sui gloriam referentium, commentum, sicuti dudum viri prudentes, Strabo Geograph. l. XI p. 771 [v. supra p. 146], Plutarchus Alex. 691 A [c. 46, v. infra p. 486] et Arrian. Ἀναβ. l. VII. 13. p. 291 agnoverunt». Wess. 2) Ol. 85,3; 438—7 a. Chr. n. 3) Ol. 86,4; 433—2 a. Chr.

Digitized by Google

βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη ἑπτά, διεδέξατο δὲ τὴν ἀρχὴν Σέλευκος καὶ ἐβασίλευσεν ἔτη τετταράκοντα.

7-лѣтняго царствованія; ему наслѣдовалъ Селевкъ и царствовалъ 40 лѣтъ.

XIV, 93, 1 [Ἐπ' ἄρχοντος Ἀθήνησι Δημοστράτου, v. cap. 90] ...Σάτυρος ὁ Σπαρτάκου μὲν υἱός, βασιλεὺς δὲ Βοσπόρου, ἐτελεύτησεν ἄρξας ἔτη τετταράκοντα [τέτταρα]· τὴν ἡγεμονίαν δὲ διεδέξατο ὁ υἱὸς Λεύκων ἐπ' ἔτη τετταράκοντα.

[При архонтѣ Димостратѣ [1]) въ Аѳинахъ]... умеръ Воспорскій царь Сатиръ, сынъ Спартака, властвовавшій 40 лѣтъ; власть его наслѣдовалъ сынъ *его* Левконъ на 40 лѣтъ.

XVI, 31, 6 [Ἐπ' ἄρχοντος Ἀθήνησι Διοτίμου, v. cap. 28] ...κατὰ τὸν Πόντον Λεύκων ὁ τοῦ Βοσπόρου βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη τετταράκοντα, τὴν δὲ ἀρχὴν διαδεξάμενος Σπάρτακος ὁ υἱὸς ἐβασίλευσεν ἔτη πέντε.

[При архонтѣ Діотимѣ [2]) въ Аѳинахъ]... умеръ въ Понтѣ Воспорскій царь Левконъ послѣ 40-лѣтняго царствованія; наслѣдовавшій ему сынъ *его* Спартакъ царствовалъ 5 лѣтъ.

XVI, 52, 10 [Ἐπ' ἄρχοντος Ἀθήνησι Καλλιμάχου, v. § 1]... ἐν τῷ Πόντῳ Σπάρτακος ὁ τοῦ Πόντου βασιλεὺς ἐτελεύτησεν ἄρξας ἔτη πέντε, τὴν δ' ἡγεμονίαν διαδεξάμενος ὁ ἀδελφὸς Παρυσάδης ἐβασίλευσεν ἔτη τριάκοντα ὀκτώ.

[При архонтѣ Каллимахѣ [3]) въ Аѳинахъ]... умеръ Понтійскій царь Спартакъ, царствовавшій 5 лѣтъ; наслѣдовавшій ему братъ его Парисадъ царствовалъ 38 лѣтъ.

XX, 22 [Ἐπ' ἄρχοντος Ἀθήνησιν Ἱερομνήμονος, v. cap. 3]... ἐν τῷ Πόντῳ μετὰ τὴν Παρυσάδου τελευτήν, ὃς ἦν βασιλεὺς τοῦ Κιμμερικοῦ Βοσπόρου, διετέλουν οἱ παῖδες αὐτοῦ διαπολεμοῦντες πρὸς ἀλλήλους ὑπὲρ τῆς ἡγεμονίας, Εὔμηλός τε καὶ Σάτυρος καὶ Πρύτανις. τούτων δὲ ὁ μὲν Σάτυρος ὢν πρεσβύτατος παρὰ τοῦ πατρὸς παρειλήφει τὴν ἀρχήν, βεβασιλευκότος ἔτη τριάκοντα ὀκτώ. ὁ δ' Εὔμηλος φιλίαν συντεθειμένος πρός τινας τῶν πλησιοχώρων βαρβάρων καὶ δύναμιν ἀδρὰν ἠθροικὼς ἠμφισβήτει τῆς βασιλείας. ἃ δὴ πυθόμενος ὁ Σάτυρος ἀνέζευξεν ἐπ' αὐτὸν μετὰ δυνάμεως ἀδρᾶς, καὶ διαβὰς τὸν Θάτην ποταμόν, ἐπειδὴ πλησίον ἐγένετο τῶν πολεμίων, τὴν μὲν παρεμβολὴν ταῖς ἁμάξαις περιλαβὼν αἷς ἦν κεκομικὼς τὰς ἀγορὰς οὔσας παμπληθεῖς, τὴν δὲ δύναμιν ἐκτάξας, αὐ-

[При архонтѣ Іеромнимонѣ [4]) въ Аѳинахъ]... въ Понтѣ по смерти Парисада, царя Киммерійскаго Воспора, сыновья его Евмилъ, Сатиръ и Пританъ подняли между собою войну изъ за власти. Старшій изъ нихъ, Сатиръ, получилъ власть отъ отца, царствовавшаго 38 лѣтъ; но Евмилъ, вступивъ въ дружескія отношенія съ нѣкоторыми изъ сосѣднихъ варварскихъ народовъ и собравъ значительныя военныя силы, сталъ оспаривать у брата власть. Сатиръ, узнавъ объ этомъ, двинулся противъ него съ значительнымъ войскомъ; перейдя черезъ рѣку Θатъ и приблизившись къ непріятелямъ, онъ окружилъ свой лагерь телѣгами, на которыхъ привезъ огромное количество провіанта, затѣмъ выстроилъ войско и самъ по скиѳскому обычаю сталъ въ центрѣ боеваго строя.

V. 3: τεσσαράκοντα P, τέσσαρα vulg. || V. 7: τετταράκοντα τέτταρα P, corr. Vogel et XII, 36, 1; δεκατέσσαρα vulg. Cf. quae de his dixi *act. min. inst. publ.* m. Iunio a. 1894. || V. 20: in titulis Παιρισάδης. || V. 36: Θάτην QXY Bas., F. «Διαβὰς τὸν Θάψιν ποταμὸν] Nec hoc fluvii nomen, neque Θάτην, prout in quibusdam dicitur membranis, iustum videtur. Mutemus literarum ordinem refingamusque Ψάθιν, quod flumen, in Maeotidem sese evolvens, ex Palat. et Coislin. schedis dabit Ptolemaeus l. V. 9. p. 149 [supra, p. 237]. Mecum sentit consultissimus Barbeyracius Hist. Foed. Part. I, p. 256». Wess.

1) Ol. 94,4; 393—2 a. Chr. 2) Ol. 106,3; 354—3 a. Chr. 3) Ol. 107,4; 349—8 a. Chr. 4) Ol. 117,3; 310—9 a. Chr. Годы царствованія Сатира I, Левкона I и Спартока II невѣрно показаны Діодоромъ, какъ выяснилось изъ найденнаго въ 1877 г. въ Пирэѣ декрета въ честь сыновей Левкона. См. объ этомъ *Inscr. ant. orae septentr. Ponti Euxini* v. II, praef. pag. XXII. По исправленному разсчету Сатиръ I царствовалъ, вѣроятно, отъ 407 до 387 г., Левконъ I въ 387—347, Спартокъ II и Пэрисадъ I (вмѣстѣ) въ 347—342 и Пэрисадъ I одинъ въ 342—309.

Digitized by Google

τὸς κατὰ μέσην ὑπῆρχε τὴν φάλαγγα, καθάπερ ἐστὶ Σκύθαις νόμιμον. συνεστρατεύοντο δ' αὐτῷ μισθοφόροι μὲν Ἕλληνες οὐ πλείους δισχιλίων, καὶ Θρᾷκες ἴσοι τούτοις, οἱ δὲ λοιποὶ πάντες ὑπῆρχον σύμμαχοι Σκύθαι, πλείους τῶν δισμυρίων, ἱππεῖς δ' οὐκ ἐλάττους μυρίων. τῷ δ' Εὐμήλῳ συνεμάχει Ἀριφάρνης ὁ τῶν Θατέων βασιλεύς, ἱππεῖς μὲν ἔχων δισμυρίους, πεζοὺς δὲ δισχιλίους πρὸς τοῖς δισμυρίοις. γενομένης δὲ μάχης ἰσχυρᾶς, Σάτυρος μὲν ἔχων περὶ ἑαυτὸν ἐπιλέκτους ἄνδρας ἱππομαχίαν συνεστήσατο πρὸς τοὺς περὶ Ἀριφάρνην ἀνθεστηκότας κατὰ μέσην τὴν τάξιν, καὶ πολλῶν παρ' ἀμφοτέροις πεσόντων τέλος ἐκβιασάμενος ἐτρέψατο τὸν βασιλέα τῶν βαρβάρων. καὶ τὸ μὲν πρῶτον ἐπέκειτο φονεύων τοὺς ἀεὶ καταλαμβανομένους· μετ' ὀλίγον δὲ πυθόμενος τὸν ἀδελφὸν Εὔμηλον προτερεῖν περὶ τὸ δεξιὸν κέρας καὶ τοὺς παρ' αὐτῷ μισθοφόρους τετράφθαι, τοῦ μὲν διώκειν ἀπέστη, παραβοηθήσας δὲ τοῖς ἡττημένοις, καὶ τὸ δεύτερον αἴτιος γενόμενος τῆς νίκης, ἅπαν ἐτρέψατο τῶν πολεμίων τὸ στρατόπεδον, ὥστε πᾶσι γενέσθαι φανερὸν ὅτι καὶ κατὰ γένος καὶ κατ' ἀρετὴν προσῆκον ἦν αὐτῷ διαδέχεσθαι τὴν πατρῴαν βασιλείαν.

23. οἱ δὲ περὶ τὸν Ἀριφάρνην καὶ τὸν Εὔμηλον λειφθέντες ἐν τῇ μάχῃ συνέφυγον εἰς τὰ βασίλεια. ταῦτα δ' ἔκειτο μὲν παρὰ τὸν Θάτην ποταμόν, ὃς περιῤῥέων αὐτὰ καὶ βάθος ἔχων ἱκανὸν ἐποίει δυσπρόσιτα, περιείχετο δὲ κρημνοῖς μεγάλοις, ἔτι δ' ὕλης πλήθει, τὰς πάσας εἰσβολὰς δύο ἔχοντα χειροποιήτους, ὧν ἡ μὲν ἦν ἐν αὐτοῖς τοῖς βασιλείοις, ὠχυρωμένη πύργοις ὑψηλοῖς καὶ προτειχίσμασιν, ἡ δ' ἐκ θατέρου μέρους ἐν ἕλεσιν ὑπῆρχε, φρουρουμένη ξυλίνοις ἐρύμασι· διεστύλωτο δ' εὐ κίοσιν, ὑπεράνω δὲ τῶν ὑδάτων εἶχε τὰς οἰκήσεις. τοιαύτης δ' οὔσης τῆς περὶ τὸν τόπον ὀχυρότητος, τὸ μὲν πρῶτον ὁ Σάτυρος τήν τε χώραν τῶν πολεμίων ἐδήωσε καὶ τὰς κώμας ἐνεπύρισεν, ἐξ ὧν αἰχμάλωτα σώματα καὶ λείας πλῆθος ἤθροισε. μετὰ δὲ ταῦτα ἐγχειρήσας διὰ τῶν παρόδων βιάζεσθαι, κατὰ μὲν τὸ προτείχισμα καὶ τοὺς πύργους πολλοὺς ἀποβαλὼν τῶν στρατιωτῶν ἀπεχώρησε, κατὰ δὲ τὰ ἕλη βιασάμενος ἐκράτησε τῶν ξυλί-

1 Союзниками Сатира въ этомъ походѣ были греческіе наемники въ числѣ не болѣе двухъ тысячъ и столько же Ѳракійцевъ, а все остальное войско состояло изъ союзниковъ-Скиѳовъ въ количествѣ 20 слишкомъ тысячъ пѣхоты и не менѣе 10000 всадниковъ. На сторонѣ Евмила былъ царь Ѳатейскій Арифарнъ съ 20000 конницы и 22000 пѣхоты. Когда произошло упорное сраженіе, Сатиръ, окруженный отборными воинами, завязалъ конную стычку со свитою Арифарна, стоявшею противъ него въ центрѣ боеваго строя, и послѣ значительныхъ потерь съ той и другой стороны принудилъ, наконецъ, варварскаго царя обратиться въ бѣгство. Сначала Сатиръ бросился его преслѣдовать, убивая всѣхъ попадавшихся на пути, но немного спустя, услышавъ, что братъ его Евмилъ одолѣваетъ на правомъ флангѣ и обратилъ въ бѣгство его наемниковъ, онъ прекратилъ преслѣдованіе и поспѣшилъ на помощь побѣжденнымъ; сдѣлавшись вторично виновникомъ побѣды, онъ разбилъ все непріятельское войско, такъ что для всѣхъ стало ясно, что и по старшинству происхожденія и по храбрости онъ былъ достоинъ наслѣдовать отцовскую власть.

23. Тѣ изъ воиновъ Арифарна и Евмила, которые уцѣлѣли въ сраженіи, бѣжали въ царскій замокъ; онъ стоялъ у рѣки Ѳата, которая обтекала его и вслѣдствіе своей значительной глубины дѣлала неприступнымъ; кромѣ того онъ былъ окруженъ высокими утесами и огромнымъ лѣсомъ, такъ что имѣлъ всего два искусственныхъ доступа, изъ коихъ одинъ, ведшій къ самому замку, былъ защищенъ высокими башнями и наружными укрѣпленіями, а другой былъ съ противоположной стороны въ болотахъ и охранялся деревянными палисадами; притомъ зданіе было снабжено прочными колоннами и жилыя помѣщенія находились надъ водою. Въ виду того, что замокъ былъ такъ хорошо укрѣпленъ, Сатиръ сначала опустошилъ непріятельскую страну и предалъ огню селенія, въ которыхъ набралъ плѣнныхъ и множество добычи; затѣмъ онъ сдѣлалъ попытку вторгнуться силою черезъ проходы, при

V. 4: δισχιλίων] χιλίων FQW. || V. 8: Θρᾳκῶν libri: corr. Boeckh. C. I. Gr. II p. 102 (cf. *Inscr. ant. orae sept. P. Eux.* v. II praef. p. XIV). || V. 40: «δ' εὖ κίοσι Wesselingius, δ' εὐκίοσι T, om. FW, caeteri δ' οἴκοις: sed εὖ vel corruptum vel cum Reiskio delendum censeo». Dind.

Digitized by Google

νων φρουρίων. ταῦτα δὲ διαρπάσας καὶ διαβὰς τὸν ποταμόν, ἤρξατο κόπτειν τὴν ὕλην, δι' ἧς ἀναγκαῖον ἦν ἐλθεῖν ἐπὶ τὰ βασίλεια. τούτων δ' ἐνεργῶς συντελουμένων Ἀριφάρνης ὁ βασιλεὺς ἀγωνιάσας μὴ κατὰ κράτος ἁλῶναι συμβῇ τὴν ἀκρόπολιν, διηγωνίζετο τολμηρότερον, ὡς ἐν μόνῳ τῷ νικᾶν κειμένης τῆς σωτηρίας. διείλετο δὲ καὶ τοὺς τοξότας ἐπ' ἀμφότερα τὰ μέρη τῆς παρόδου, δι' ὧν ῥᾳδίως κατετίτρωσκε τοὺς τὴν ὕλην κόπτοντας, μὴ δυναμένους μήτε προορᾶσθαι τὰ βέλη μητ' ἀμύνεσθαι τοὺς βάλλοντας διὰ τὴν πυκνότητα τῶν δένδρων. οἱ δὲ περὶ τὸν Σάτυρον ἐπὶ τρεῖς μὲν ἡμέρας ἔτεμνον τὴν ὕλην, ὁδοποιούμενοι καὶ διακαρτεροῦντες ἐπιπόνως· τῇ δὲ τετάρτῃ συνήγγισαν μὲν τῷ τείχει, νικώμενοι δὲ τῷ πλήθει τῶν βελῶν καὶ τῇ τῶν τόπων στενοχωρίᾳ μεγάλοις ἐλαττώμασι περιέπιπτον. Μενίσκος μὲν γὰρ ὁ τῶν μισθοφόρων ἡγεμών, ἀνὴρ καὶ συνέσει καὶ τόλμῃ διαφέρων, προσπεσὼν διὰ τῆς διόδου πρὸς τὸ τεῖχος, καὶ μετὰ τῶν περὶ αὐτὸν λαμπρῶς ἀγωνισάμενος, ἐξεβιάσθη, πολλαπλασίων ἐπ' αὐτὸν ἐπεξελθόντων. ὃν ἰδὼν ὁ Σάτυρος κινδυνεύοντα ταχέως παρεβοήθει, καὶ τὴν ἐπιφορὰν τῶν πολεμίων ὑποστὰς ἐτρώθη λόγχῃ διὰ τοῦ βραχίονος. κακῶς δ' ἀπαλλάττων ὑπὸ τοῦ τραύματος ἐπανῆλθεν εἰς τὴν παρεμβολήν, καὶ νυκτὸς ἐπιγενομένης ἐξέλιπε τὸν βίον, ἐννέα μόνον μῆνας βασιλεύσας μετὰ τὴν τοῦ πατρὸς τελευτὴν Παρυσάδου. Μενίσκος δ' ὁ τῶν μισθοφόρων ἡγεμὼν λύσας τὴν πολιορκίαν ἀπήγαγε τὴν δύναμιν εἰς Γάργαζαν πόλιν, κἀκεῖθεν τὸ τοῦ βασιλέως σῶμα διὰ τοῦ ποταμοῦ διεκόμισεν εἰς Παντικάπαιον πρὸς τὸν ἀδελφὸν Πρύτανιν.

24. ὃς ταφὴν συντελέσας μεγαλοπρεπῆ καὶ καταθέμενος εἰς τὰς βασιλικὰς θήκας τὸ σῶμα, ταχέως ἦκεν εἰς Γάργαζαν, καὶ τὴν δύναμιν ἅμα καὶ τὴν δυναστείαν παρέλαβεν. Εὐμήλου δὲ διαπρεσβευομένου περὶ μέρους τῆς βασιλείας, τούτῳ μὲν οὐ προσεῖχεν, ἐν δὲ Γαργάζῃ φρουρὰν ἀπολιπὼν ἐπανῆλθεν εἰς Παντικάπαιον, ἀσφαλῶς δὲ τὴν ἐπιτροπὴν τῶν παίδων καὶ τῆς γυναικὸς τοῦ τελευτήσαντος ἐποιήσατο, καὶ τὰ πράγματα διῴκει μέχρι τῶν τοῦ παιδὸς ἡλικιῶν.

чемъ со стороны передовыхъ укрѣпленій и башенъ принужденъ былъ съ потерею многихъ солдатъ отступить, но съ луговой стороны ему удалось овладѣть деревянными укрѣпленіями. Разгромивъ ихъ и перейдя черезъ рѣку, онъ началъ вырубать лѣсъ, черезъ который нужно было пройти къ замку. Когда эта работа быстро подвигалась впередъ, царь Арифарнъ, опасаясь, что крѣпость будетъ взята приступомъ, сталъ обороняться мужественнѣе, такъ какъ все спасеніе заключалось въ побѣдѣ. Онъ разставилъ по обѣ стороны прохода стрѣлковъ, которые и стали безъ труда поражать воиновъ, вырубавшихъ лѣсъ, такъ какъ послѣдніе вслѣдствіе густоты деревьевъ не могли ни предохранять себя отъ стрѣлъ, ни защищаться противъ стрѣлковъ.

Три дня воины Сатира рубили лѣсъ, съ трудомъ и опасностями пролагая себѣ дорогу; на четвертый день они приблизились къ стѣнѣ, но, осыпаемые тучею стрѣлъ въ тѣсной позиціи, потерпѣли огромный уронъ. Предводитель наемниковъ Менискъ, отличавшійся и умомъ и храбростью, бросился черезъ проходъ къ стѣнѣ и вмѣстѣ съ своими товарищами сталъ храбро атаковать *укрѣпленія*, но былъ отраженъ превосходными силами непріятеля. Сатиръ, увидѣвъ его въ опасности, поспѣшилъ на помощь и, выдержавъ натискъ непріятелей, былъ раненъ копьемъ въ руку. Почувствовавъ себя дурно вслѣдствіе раны, онъ возвратился въ лагерь и при наступленіи ночи скончался, пробывъ царемъ всего 9 мѣсяцевъ послѣ смерти отца своего Парисада. Начальникъ наемниковъ Менискъ, снявъ осаду, отвелъ войско въ городъ Гаргазу [1]) и оттуда по рѣкѣ перевезъ останки царя въ Пантикапэй къ брату его Притану.

24. Послѣдній, устроивъ великолѣпныя похороны и положивъ тѣло въ царскую гробницу, затѣмъ быстро явился въ Гаргазу и здѣсь принялъ начальство надъ войскомъ и царскую власть. Евмилъ завелъ было черезъ пословъ переговоры относительно части государства, но Пританъ не обратилъ на нихъ вниманія и,

V. 36: διὰ τοῦ ποταμοῦ om. F.

1) «Nusquam legere hanc urbem memini. Abr. Ortelius situe *Gerusa* Ptolemaei rogat. Non dixero»... Wess.

Digitized by Google

λιούμενος τὰ κατὰ τὴν βασιλείαν. καθ' ὃν δὴ χρόνον Εὔμηλος, συναγωνισαμένων αὐτῷ τῶν βαρβάρων, τήν τε Γάργαζαν κατελάβετο καὶ τῶν ἄλλων πολισμάτων καὶ χωρίων οὐκ ὀλίγα. ἐπιστρατεύσαντος δὲ τοῦ Πρυτάνιδος μάχῃ τε ἐνίκησε τὸν ἀδελφὸν καὶ συγκλείσας εἰς τὸν ἰσθμὸν τὸν πλησίον τῆς Μαιώτιδος λίμνης συνηνάγκασεν ὁμολογίας θέσθαι, καθ' ἃς τούς τε στρατιώτας παρέδωκε καὶ τῆς βασιλείας ἐχωρεῖν ὡμολόγησεν. ὡς δὲ παρεγένετο εἰς Παντικάπαιον, ἐν ᾧ τὸ βασίλειον ἦν ἀεὶ τῶν ἐν Βοσπόρῳ βασιλευσάντων, ἐπεχείρησε μὲν πάλιν ἀνακτᾶσθαι τὴν βασιλείαν, κατισχυθεὶς δὲ καὶ φυγὼν εἰς τοὺς καλουμένους Κήπους ἀνῃρέθη. Εὔμηλος δὲ μετὰ τὸν τῶν ἀδελφῶν θάνατον βουλόμενος ἀσφαλῶς θέσθαι τὰ κατὰ τὴν ἀρχήν, ἀνεῖλε τούς τε φίλους τῶν περὶ τὸν Σάτυρον καὶ Πρύτανιν, ἔτι δὲ τὰς γυναῖκας καὶ τὰ τέκνα. μόνος δὲ διέφυγεν αὐτὸν ὁ παῖς ὁ Σατύρου Παρυσάδης, νέος ὢν παντελῶς τὴν ἡλικίαν· ἐξιππεύσας γὰρ ἐκ τῆς πόλεως κατέφυγε πρὸς Ἄγαρον τὸν βασιλέα τῶν Σκυθῶν. ἀγανακτούντων δὲ τῶν πολιτῶν ἐπὶ τῷ φόνῳ τῶν οἰκείων, συναγαγὼν εἰς ἐκκλησίαν τὰ πλήθη περί τε τούτων ἀπελογήσατο καὶ τὴν πάτριον πολιτείαν ἀποκατέστησε. συνεχώρησε δὲ καὶ τὴν ἀτέλειαν ἔχειν τὴν ἐπὶ τῶν προγόνων οὖσαν τοῖς Παντικάπαιον οἰκοῦσι. προσεπηγγείλατο δὲ καὶ τῶν εἰσφορῶν ἅπαντας ἀφήσειν, καὶ πολλὰ διελέχθη δημαγωγῶν τὰ πλήθη. ταχὺ δὲ πάντων εἰς τὴν προϋπάρχουσαν εὔνοιαν ἀποκαταστάντων διὰ τὰς εὐεργεσίας, τὸ λοιπὸν ἐβασίλευεν ἄρχων νομίμως τῶν ὑποτεταγμένων καὶ διὰ τὴν ἀρετὴν οὐ μετρίως θαυμαζόμενος.

оставивъ въ Гаргазѣ гарнизонъ, возвратился въ Пантикапэй, чтобы упрочить свою власть. Въ это самое время Евмилъ при помощи варваровъ захватилъ Гаргазу и не мало другихъ городовъ и укрѣпленій. Пританъ выступилъ противъ него съ войскомъ, но Евмилъ одержалъ побѣду надъ братомъ и, оттѣснивъ его къ перешейку близъ Меотійскаго озера, принудилъ сдаться на капитуляцію, въ силу которой Пританъ передалъ ему войско и отказался отъ царской власти. Прибывъ затѣмъ въ Пантикапэй, гдѣ была постоянная резиденція Воспорскихъ царей, Пританъ попытался было вернуть себѣ власть, но потерпѣлъ неудачу и бѣжалъ въ такъ называемые Сады, гдѣ и былъ умерщвленъ. Послѣ смерти братьевъ Евмилъ, желая упрочить свою власть, приказалъ умертвить друзей Сатира и Притана, а также ихъ женъ и дѣтей. Удалось спастись отъ него одному только Парисаду, сыну Сатира, очень молодому человѣку: бѣжавъ изъ города верхомъ на конѣ, онъ нашелъ убѣжище у скиѳскаго царя Агара. Такъ какъ граждане выражали негодованіе по поводу убіенія *царемъ своихъ* родственниковъ, то *Евмилъ*, созвалъ народъ въ собраніе, произнесъ рѣчь въ свою защиту и возстановилъ прежній образъ правленія; кромѣ того, онъ согласился на сохраненіе безпошлинности, которою пользовались жители Пантикапэя при его предкахъ, обѣщалъ освободить всѣхъ отъ податей и говорилъ еще о многомъ другомъ, желая расположить къ себѣ народъ. Скоро возвративъ благодѣяніями прежнее расположеніе всѣхъ *гражданъ*, онъ во *все* остальное *время* царствованія правилъ своими подданными согласно съ законами и возбуждалъ къ *себѣ* не малое удивленіе своими достоинствами.

25. Βυζαντίους μὲν γὰρ καὶ Σινωπεῖς καὶ τῶν ἄλλων Ἑλλήνων τῶν τὸν Πόντον οἰκούντων τοὺς πλείστους διετέλεσεν εὐεργετῶν· Καλλατιανῶν δὲ πολιορκουμένων ὑπὸ Λυσιμάχου καὶ πιεζομένων τῇ σπάνει τῶν ἀναγκαίων, χιλίους ὑπεδέξατο τοὺς διὰ τὴν σιτοδείαν ἐκχωρήσαντας. οἷς οὐ μόνον τῆς καταφυγῆς παρέσχετο τὴν ἀσ-

25. Онъ постоянно оказывалъ услуги Византійцамъ, Синопейцамъ и большинству другихъ Эллиновъ, жившихъ по *берегамъ* Понта. Такъ, когда Каллатійцы, осажденные Лисимахомъ, очутились въ бѣдственномъ положеніи вслѣдствіе недостатка продовольствія, онъ принялъ къ себѣ тысячу человѣкъ, удали-

V. 42: Καλλαντιανῶν libri. «Lege Καλλατιανῶν, de quorum obsidione, a Lysimacho instituta, dixit obiter l. XIX. 88, sed haec serius contigit. *Psoam* invenient alii». Wess.

Digitized by Google

φάλειαν, ἀλλὰ καὶ πόλιν ἔδωκε κατοικεῖν, ἐπὶ δὲ τούτοις τὴν ὀνομαζομένην Ψόαν καὶ τὴν χώραν κατεκληρούχησεν. ὑπὲρ δὲ τῶν πλεόντων τὸν Πόντον πόλεμον ἐξενέγκας πρὸς τοὺς λῃστεύειν εἰωθότας βαρβάρους Ἡνιόχους καὶ Ταύρους, ἔτι δ' Ἀχαιούς, καθαρὰν λῃστῶν ἀπέδειξε τὴν θάλατταν, ὥστε μὴ μόνον κατὰ τὴν βασιλείαν, ἀλλὰ καὶ κατὰ πᾶσαν σχεδὸν τὴν οἰκουμένην, διαγγελλόντων τῶν ἐμπόρων τὴν μεγαλοψυχίαν, ἀπολαμβάνειν τῆς εὐεργεσίας καρπὸν κάλλιστον τὸν ἔπαινον. προσεκτήσατο δὲ καὶ τῆς συνοριζούσης βαρβάρου πολλήν, καὶ τὴν βασιλείαν ἐπιφανεστέραν ἐπὶ πολὺ κατεσκεύασε. καθόλου δ' ἐπεχείρησε πάντα τὰ περὶ τὸν Πόντον ἔθνη καταστρέφεσθαι, καὶ τάχ' ἂν ἐκράτησε τῆς ἐπιβολῆς, εἰ μὴ σύντομον ἔσχε τὴν τοῦ βίου τελευτήν. πέντε γὰρ ἔτη καὶ τοὺς ἴσους μῆνας βασιλεύσας κατέστρεψε τὸν βίον, παραδόξῳ συμπτώματι χρησάμενος. ἐκ γὰρ τῆς Σινδικῆς ἐπανιὼν εἰς τὴν οἰκείαν, καὶ σπεύδων πρός τινα θυσίαν, ἤλαυνε μὲν ἐπί τινος τεθρίππου πρὸς τὰ βασίλεια, τοῦ δ' ἅρματος ὄντος τετρακύκλου καὶ σκηνὴν ἔχοντος συνέβη τοὺς ἵππους διαταραχθέντας ἐξενεγκεῖν αὐτόν. τοῦ γὰρ ἡνιόχου μὴ δυναμένου κρατῆσαι τῶν ἡνιῶν, φοβηθεὶς μὴ κατενεχθῇ πρὸς τὰς φάραγγας, ἐπεχείρησεν ἀφάλλεσθαι· ἐμπλακέντος δὲ τοῦ ξίφους εἰς τὸν τροχόν, συνεφειλκύσθη τῇ φορᾷ καὶ παραχρῆμ' ἐτελεύτησε.

шихся вслѣдствіе недостатка въ пищѣ, и не только далъ имъ безопасное убѣжище, но даже городъ для поселенія, а кромѣ того раздѣлилъ на участки такъ называемую Псою и область. Для защиты плавающихъ по Понту онъ вступилъ въ войну съ варварскими народами, обыкновенно занимавшимися пиратствомъ, — Иніохами, Таврами и Ахэйцами, и очистилъ море отъ пиратовъ, за что и получилъ самый лучшій плодъ благодѣянія — похвалу не только въ своемъ царствѣ, но почти по всей вселенной, такъ какъ торговые люди *повсюду* разнесли молву объ его великодушіи. Онъ присоединилъ значительную часть сосѣднихъ варварскихъ земель и доставилъ своему царству гораздо большую (чѣмъ прежде) извѣстность. Онъ задумалъ было вообще покорить всѣ племена, окружающія Понтъ, и скоро привелъ бы въ исполненіе свой замыселъ, если бы скоропостижная смерть не пресѣкла его жизни. Пробывъ на престолѣ пять лѣтъ и столько же мѣсяцевъ, онъ скончался отъ несчастнаго случая: возвращаясь изъ Синдики въ свою землю и спѣша къ какому-то жертвоприношенію, онъ ѣхалъ къ дворцу на четверкѣ лошадей; экипажъ былъ четырехколесный и съ крытымъ верхомъ; лошади чего-то испугались и понесли, а такъ какъ возница не смогъ удержать возжей, то *Евмилъ*, опасаясь быть сброшеннымъ въ обрывъ, попытался спрыгнуть *съ колесницы*, но при этомъ мечъ его попалъ въ колесо, онъ былъ увлеченъ движеніемъ и тутъ-же испустилъ духъ.

26. Περὶ δὲ τῆς τῶν ἀδελφῶν τελευτῆς Εὐμήλου τε καὶ Σατύρου παραδέδονται χρησμοί, μικρὸν μὲν ἠλιθιώτεροι, πιστευόμενοι δὲ παρὰ τοῖς ἐγχωρίοις. τῷ μὲν γὰρ Σατύρῳ λέγουσι χρῆσαι τὸν θεὸν φυλάξασθαι τὸν μῦν μηποτ' αὐτὸν ἀνέλῃ. διόπερ οὔτε δοῦλον οὔτ' ἐλεύθερον τῶν τεταγμένων ὑφ' ἑαυτὸν εἶα τοῦτ' ἔχειν τοὔνομα· ἔπειτα δὲ καὶ τοὺς ἐν ταῖς οἰκίαις καὶ ταῖς ἀρούραις ἐφοβεῖτο μῦς, καὶ τοῖς παισὶν ἀεὶ συνέταττε τούτους ἀποκτείνειν καὶ τὰς κοίτας ἐμπλάττειν. πάντα δ' ἐνδεχομένως

26. Относительно смерти братьевъ Евмила и Сатира существуютъ пророчества, правда, нѣсколько наивныя, но тѣмъ не менѣе принимаемыя на вѣру туземцами. Именно разсказываютъ, что оракулъ посовѣтовалъ Сатиру остерегаться мыши, чтобы она его когда-нибудь не убила. Поэтому Сатиръ никому изъ своихъ подданныхъ, ни рабу, ни свободному, не позволялъ носить такое имя [1]); кромѣ того онъ боялся и домашнихъ и полевыхъ мышей, постоянно приказывалъ своимъ отрокамъ

V. 2: Verba Ψόαν καὶ τὴν videntur corrupta: desideratur adiect. pertinens ad χώραν. Cf. quae de his scripsi *act. min. inst. publ.* m. aprili 1894. || V. 21: Ἰνδικῆς Γ Bas., caeteri Σκυθικῆς: emend. Wesseling.

1) «Frequens olim nomen Μῦς. Plures in unum conduxit Aegid. Menagius ad Diogenem L. X. 3, eo insignes»... Wess.

Digitized by Google

αὐτοῦ ποιοῦντος οἷς ὤφετο κατισχύσειν τὸ πεπρωμένον, κατέστρεψε τὸν βίον πληγεὶς τοῦ βραχίονος εἰς τὸν μῦν. τῷ δ' Εὐμήλῳ χρησμὸς ἦν τὴν φερομένην οἰκίαν φυλάξασθαι. ὅθεν πάλιν οὗτος εἰς οἰκίαν οὐκ εἰσῄει προχείρως μὴ προδιερευνησαμένων τῶν παίδων τὴν ὀροφὴν καὶ τὰ θεμέλια. τελευτήσαντος δ' αὐτοῦ διὰ τὴν ὀχουμένην ἐπὶ τοῦ τεθρίππου σκηνήν, ἕκαστος ὑπελάμβανε τετελέσθαι τὸν χρησμόν.

убивать ихъ и замазывать ихъ норы. Такимъ образомъ, принимая по возможности всѣ *мѣры*, которыми онъ думалъ предотвратить свой рокъ, онъ погибъ отъ раны, нанесенной въ мышцу руки. А Евмилу было предсказано остерегаться несущагося дома; поэтому онъ никогда не входилъ въ домъ сразу, пока его отроки не изслѣдовали *прочности* крыши и фундамента. А когда онъ погибъ отъ крытаго экипажа, везомаго четверкою, то каждый сталъ думать, что предсказаніе сбылось.

Καὶ περὶ μὲν τῶν ἐν τῷ Βοσπόρῳ πραχθέντων ἄλις ἡμῖν ἐχέτω.

Сказаннаго о событіяхъ на Воспорѣ будетъ достаточно.

XX, 100,7. ἅμα δὲ τούτοις πραττομένοις Εὔμηλος μὲν ὁ Βοσπόρου βασιλεὺς βασιλεύων ἕκτον ἔτος ἐτελεύτησε, τὴν δὲ βασιλείαν διαδεξάμενος Σπάρταχος ὁ υἱὸς ἦρξεν ἔτη εἴκοσιν.

Одновременно съ этими событіями [1]) умеръ Воспорскій царь Евмилъ на шестомъ году царствованія; наслѣдовавшій *его* власть сынъ *его* Спартакъ властвовалъ двадцать лѣтъ.

ΔΙΟΝΥΣΙΟΣ ΑΛΙΚΑΡΝΑΣΣΕΥΣ. ДІОНИСІЙ АЛИКАРНАССКІЙ.

[Риторъ и историкъ, жившій при Августѣ; въ 30 г. до Р. Хр. онъ прибылъ въ Римъ и прожилъ здѣсь не менѣе 22 лѣтъ; въ 8 г. до Р. Хр. онъ окончилъ главное свое сочиненіе — Ῥωμαϊκὴ Ἀρχαιολογία, но долго ли прожилъ послѣ этого, неизвѣстно. Кромѣ названнаго труда до насъ дошло нѣсколько риторическихъ сочиненій Діонисія. — Текстъ: Dionysii Halicarnassensis Romanarum antiquitatum quae supersunt. Graece et latine, ex rec. Ad. Kiessling et Vict. Prou. Paris. Didot. 1886].

ΡΩΜΑΪΚΗ ΑΡΧΑΙΟΛΟΓΙΑ. РИМСКІЯ ДРЕВНОСТІ.

Переводъ **А. І. Малеина.**

Lib. I c. 26... [Μοσσύνοικοι] οἰκοῦσιν... ἐπὶ ξυλίνοις ὡσπερὰν πύργοις ὑψηλοῖς σταυρώμασι, μοσσύνας αὐτὰ καλοῦντες...

[Моссинки]... живутъ въ деревянныхъ оградахъ, высокихъ, какъ башни, называя ихъ моссинами...

I, 89. ...Ἀχαιῶν οἱ περὶ τὸν Πόντον... φῦλον μὲν ἐκ τοῦ Ἑλληνικωτάτου γενόμενοι, βαρβάρων δὲ συμπάντων νῦν ὄντες ἀγριώτατοι.

...Племя Ахэйцевъ, *живущихъ* вокругъ Понта, будучи вполнѣ греческаго происхожденія, теперь самое жестокое изъ всѣхъ варваровъ.

Dion. V. 6: ὄντων ap. Reiskium.

1) Рѣчь идетъ о событіяхъ года арх. Ферекла въ Аѳинахъ (см. гл. 91), т. е. Ол. 119,1= 304—3 до Р. Хр.

Digitized by Google

VII. 70... Μάλιστα δὲ τοῦτο [sc. τὸ μηδὲν καινοτομεῖν εἰς τοὺς πατρίους σεβασμοὺς] πεπόνθασιν οἱ βάρβαροι διὰ πολλὰς αἰτίας, ἃς οὐ καιρὸς ἐν τῷ παρόντι λέγειν, καὶ χρόνος οὐδεὶς μέχρι τοῦ παρόντος ἀπομαθεῖν ἢ παρακινῆσαί τι περὶ τοὺς ὀργιασμοὺς τῶν θεῶν ἔπεισεν οὔτε Αἰγυπτίους οὔτε Λίβυας οὔτε Κελτοὺς οὔτε Σκύθας οὔτ' ἄλλο βάρβαρον ἔθνος οὐδὲν ἁπλῶς...

...Это [т. е. неизмѣняемость отеческихъ культовъ] въ особенности замѣтно у варваровъ по многимъ причинамъ, которыя теперь не время перечислять; долгій рядъ вѣковъ до настоящаго времени не могъ достигнуть, чтобы или Кельты, или Ливійцы, или Скиѳы, или Индійцы, или вообще какой-нибудь варварскій народъ или пересталъ исполнять, или измѣнилъ что-нибудь въ культѣ *предковъ* богамъ...

XIV, 1. Ἡ Κελτικὴ... συνάπτει... τῷ Σκυθικῷ τε καὶ Θρᾳκίῳ γένει κατὰ βορέαν ἄνεμον καὶ ποταμὸν Ἴστρον, ὃς ἀπὸ τῶν Ἀλπείων καταβαίνων ὀρῶν, μέγιστος τῶν τῇδε ποταμῶν, καὶ πᾶσαν τὴν ὑπὸ τοῖς ἄρκτοις ἤπειρον διελθὼν εἰς τὸ Ποντικὸν ἐξερεύγεται πέλαγος.

2. [Ἡ Κελτικὴ]... σχίζεται μέση ποταμῷ Ῥήνῳ, μεγίστῳ μετὰ τὸν Ἴστρον εἶναι δοκοῦντι τῶν κατὰ τὴν Εὐρώπην ποταμῶν. καλεῖται δ' ἡ μὲν ἐπὶ τάδε τοῦ Ῥήνου Σκύθαις καὶ Θρᾳξὶν ὁμοροῦσα Γερμανία, μέχρι δρυμοῦ Ἑρκυνίου καὶ τῶν Ῥιπαίων ὀρῶν καθήκουσα...

Кельтійская страна... соприкасается... съ Скиѳскимъ и Ѳракійскимъ племенемъ со стороны Борея и рѣки Истра, который, вытекая съ Альпійскихъ горъ и *будучи* величайшею изъ тамошнихъ рѣкъ, протекаетъ чрезъ весь сѣверный материкъ и изливается въ Понтійское море.

[Кельтика]... раздѣляется по срединѣ рѣкою Рейномъ, повидимому величайшею послѣ Истра изъ европейскихъ рѣкъ. *Часть* по ту сторону Рейна, пограничная съ Скиѳами и Ѳракійцами, называется Германіей; *она* простирается до Еркинскаго лѣса и Рипэйскихъ горъ...

Въ соч. «Τῶν ἀρχαίων κρίσις. Ἰσοκράτης» (de Isocrate iudicium) с. XIX приводится цѣликомъ начало (§§ 1—7) «Банкирской рѣчи» Исократа (ср. выше стр. 356).

ΦΙΛΩΝ ΙΟΥΔΑΙΟΣ. ФИЛОНЪ ІУДЕЙ.

[Уроженецъ г. Александріи, жилъ въ 1-й половинѣ I в. по Р. Хр. (въ 39 г. по Р. Хр. стоялъ во главѣ посольства въ Римѣ отъ іудейской общины г. Александріи) и былъ главнымъ представителемъ іудейско-эллинской философіи. До насъ сохранилась значительная часть изъ его многочисленныхъ сочиненій.—Текстъ: Philonis opera omnia. Textus editus ad fidem optim. editionum (a *M. Car. E. Richtero*), Lips. 1828—30, 8 voll.].

Извлеченія и переводъ **А. І. Малеина.**

ΠΕΡΙ ΜΕΘΗΣ. О ПЬЯНСТВѢ.

§ 42 (Richt. v. II, p. 219). Φασὶ μέντοι καὶ ἐν Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς θαυμασιώτατόν τι γίνεσθαι σπανίως μέν, γίνεσθαι δὲ ὅμως, θηρίον ὃ καλεῖται τάρανδος, μέγεθος μὲν βοὸς οὐκ ἀποδέον, ἐλάφου δὲ τὸν τοῦ προσώπου τύπον ἐμφερέστα-

Говорятъ, что въ *странѣ* Скиѳовъ, называемыхъ Гелонами, встрѣчается, хотя и рѣдко, весьма удивительное животное, называемое тарандомъ, величиною не уступающее быку, а по формѣ головы весьма похожее на оленя. По слухамъ, оно всегда

Digitized by Google

τον. λόγος ἔχει τοῦτο μεταβάλλειν ἀεὶ τὰς τρίχας πρός τε τὰ χωρία καὶ τὰ δένδρα καὶ πάνθ' ἁπλῶς, οἷς ἂν ἐγγὺς ἱστῆται, ὡς διὰ τὴν τῆς χρόας ὁμοιότητα λανθάνειν τοὺς ἐντυγχάνοντας καὶ ταύτῃ μᾶλλον ἢ τῇ περὶ σῶμα ἀλκῇ δυσθήρατον εἶναι.

мѣняетъ *цвѣтъ своей* шерсти соотвѣтственно мѣстностямъ, деревьямъ и вообще всему, къ чему приближается, такъ что вслѣдствіе сходства цвѣта укрывается отъ встрѣчныхъ и болѣе благодаря этой *особенности*, чѣмъ тѣлесной силѣ недоступно для охотниковъ.

ΠΕΡΙ ΤΟΥ ΘΕΟΠΕΜΠΤΟΥΣ ΕΙΝΑΙ ΤΟΥΣ ΟΝΕΙΡΟΥΣ.

Lib. II, § 8 (Richt. III, p. 279)... Σκύθαι, παρ' οἷς αἱ τῶν ἀρωμάτων γενέσεις ...

О ТОМЪ, ЧТО СНОВИДѢНІЯ ПОСЫЛАЮТСЯ БОГАМИ.

...Скиѳы, въ странѣ которыхъ мѣсторожденіе благовоній...

ΠΕΡΙ ΒΙΟΥ ΜΩΥΣΕΩΣ.

II, 4 (Richt. IV, p. 189)... οὐδὲ κατὰ τὴν βάρβαρον Αἰγύπτιοι τοὺς Σκυθῶν νόμους φυλάττουσιν ἢ Σκύθαι τῶν Αἰγυπτίων...

О ЖИЗНИ МОИСЕЯ.

...И въ варварскихъ странахъ Египтяне не слѣдуютъ обычаямъ Скиѳовъ или Скиѳы — Египтянъ...

ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΠΡΕΣΒΕΙΑΣ ΠΡΟΣ ΓΑΙΟΝ.

Richt. VI, p. 79: ...καὶ τὰ Σαρματῶν γένη καὶ Σκυθῶν, ἅπερ οὐχ ἧττον ἐξηγρίωται τῶν Γερμανικῶν...

О ДОБЛЕСТИ И ПОСОЛЬСТВѢ КЪ ГАЮ.

...И племена Сарматовъ и Скиѳовъ, которыя дики не менѣе Германскихъ *племенъ*...

DE PROVIDENTIA

LIBRI TRES EX ARMENIA LINGUA AB AUCHERO CONVERSI.

I. § 85 (Richt. VIII, p. 41). Quum Scytharum gentes praeter mores Judaeorum propria sibi lege disciplinaque utantur turpemque commixtionem cum matre adoptaverint, idque filiis suis ac posteris Scythae tradiderint, ita ut processu temporis consuetudo illa vim legis obtinuerit; ubi est iam circulus zodiaci, ubi astrorum cursus? Quum enim non simile omnium sit natalitium, unam tamen vitae rationem omnes sibi adscivere.

О ПРОВИДѢНІИ

ТРИ КНИГИ, ПЕРЕВЕДЕННЫЯ СЪ АРМЯНСКАГО ЯЗЫКА AUCHER'ОМЪ.

Если племена Скиѳовъ, помимо обычаевъ Іудеевъ, живутъ по своимъ особымъ законамъ и правиламъ, допустили постыдное кровосмѣшеніе съ матерью и Скиѳы передали это своимъ дѣтямъ и потомкамъ, такъ что съ теченіемъ времени этотъ обычай принялъ силу закона, — то гдѣ уже кругъ зодіака, гдѣ теченіе звѣздъ? Вѣдь хотя происхожденіе всѣхъ не одинаково, однако всѣ приняли одинъ и *тотъ-же* образъ жизни.

Digitized by Google

ΦΛΑΟΥΙΟΣ ΙΩΣΗΠΟΣ. ФЛАВІЙ ІОСИФЪ.

[Родился около 37 г. по Р. Хр. и принадлежалъ къ видному іудейскому жреческому роду, приходясь по матери родственникомъ Маккавеямъ. Въ 63 г. впервые прибылъ въ Римъ и затѣмъ долго жилъ тамъ при Веспасіанѣ, Титѣ и Домиціанѣ. Главныя его сочиненія: Περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου въ 7 кн., Ἰουδαϊκὴ ἀρχαιολογία въ 20 кн. (нап. въ 93 г.), κατὰ Ἀπίωνος 2 кн. (94 — 5 г.) и др.—Текстъ: Flavii Iosephi opera omnia. Post Imm. Bekkerum recogn. Sam. Adr. Naber. Voll. I—IV. Lips. ap. Teubn. 1888—93 (въ вышедшихъ 4-хъ томахъ содержится Ἰουδ. ἀρχαιολογία и автобіографія Іосифа). Для остальныхъ сочиненій: Fl. Iosephi opera omnia ab Imm. Bekkero recognita. Voll. V et VI. Lips. 1853].

Извлеченія и переводъ А. І. Малеина.

ΙΟΥΔΑΙΚΗ ΑΡΧΑΙΟΛΟΓΙΑ. ІУДЕЙСКІЯ ДРЕВНОСТИ.

I. 6. § 122... Ἰαφέθου μὲν οὖν τοῦ Νωέου παιδὸς ἦσαν ἑπτὰ υἱοί. κατοικοῦσι δὲ οὗτοι ἀπὸ Ταύρου καὶ Ἀμάνου τῶν ὀρῶν ἀρξάμενοι, καὶ προῆλθον ἐπὶ μὲν τῆς Ἀσίας ἄχρι ποταμοῦ Τανάιδος, ἐπὶ δὲ τῆς Εὐρώπης ἕως Γαδείρων... (123)... Μαγώγης δὲ τοὺς ἀπ' αὐτοῦ Μαγώγας ὀνομασθέντας ᾤκισε, Σκύθας δ' ὑπ' αὐτῶν [sc. τῶν Ἑλλήνων] προσαγορευομένους.

1 У Ноева сына Іафета было семь сыновей; они заселили Азію, начиная отъ горъ Тавра и Амана, и распространились въ Азіи до рѣки Танаида и въ Европѣ до 5 Гадировъ... (123)... Магогъ поселилъ названныхъ по его *имени* Магоговъ, которыхъ Эллины называютъ Скиѳами.

XVIII. 4. §§ 96 — 100. Πέμπει δὲ καὶ Τιβέριος ὡς Οὐιτέλλιον γράμματα, κελεύων αὐτῷ πράττειν φιλίαν πρὸς Ἀρτάβανον τὸν Πάρθων βασιλέα· ἐφόβει γὰρ αὐτὸν ἐχθρὸς ὢν καὶ Ἀρμενίαν παρεσπασμένος, μὴ ἐπὶ πλέον κακουργῇ· πιστεύειν δὲ τῇ φιλίᾳ μόνως ὁμήρων αὐτῷ δεδομένων, μάλιστα δὲ τοῦ Ἀρταβάνου υἱέως. (97) ταῦτα δὲ γράφων Τιβέριος πρὸς τὸν Οὐιτέλλιον μεγάλων δόσεσι χρημάτων πείθει καὶ τὸν Ἰβήρων καὶ τῶν Ἀλβανῶν βασιλέα πολεμεῖν Ἀρταβάνῳ μηδὲν ἐνδοιάσαι. οἱ δ' αὐτοὶ μὲν ἀντεῖχον, Σκύθας δέ, δίοδον αὐτοῖς διδόντες διὰ τὴν αὑτῶν καὶ τὰς θύρας τὰς Κασπίας ἀνοίξαντες, ἐπάγουσι τῷ Ἀρταβάνῳ. (98) καὶ ἡ τ' Ἀρμενία ἁφῄρητο αὖθις, καὶ πλησθείσης πολέμων τῆς Παρθυαίων γῆς οἵ τε πρῶτοι τῶν τῇδε ἐκτείνοντο ἀνδρῶν, ἀνάστατά τ' ἦν αὐτοῖς τὰ πάντα, καὶ τοῦ βασιλέως ὁ υἱὸς ἐν τούτων τινὶ τῶν μαχῶν ἔπεσε μετὰ πολλῶν στρατοῦ μυριάδων...

10 И Тиберій отправляетъ письмо къ Вителлію съ порученіемъ заключить дружбу съ царемъ Парѳянъ Артаваномъ (ибо его пугало, что тотъ принесетъ больше вреда, такъ какъ онъ былъ уже врагомъ и занялъ 15 Арменію), но вѣрить дружбѣ только *подъ тѣмъ условіемъ*, если будутъ даны ему заложники и преимущественно сынъ Артавана. (97) Тиберій, пиша это къ Вителлію, большими суммами денегъ склонялъ царей Иверскаго и Албанскаго не задумываться воевать съ Артаваномъ. Но тѣ сами не согласились *воевать*, а направляютъ на Артавана Скиѳовъ, давъ имъ проходъ чрезъ свои *земли* и открывъ Каспійскія ворота. (98) *Такимъ образомъ* и Арменія была снова отнята *у Артавана* и, такъ какъ земля Парѳянъ служила театромъ войны, лучшіе изъ мѣстныхъ жителей были перебиты, все у нихъ было опустошено, и сынъ царя палъ въ одномъ изъ этихъ сраженій со многими міріадами войска...

Digitized by Google

(100)... καὶ πολλὴν μετὰ ταῦτα στρατιὰν ἀθροίσας Δαῶν τε καὶ Σακῶν, καὶ πολεμήσας τοὺς ἀνθεστηκότας κατέσχε τὴν ἀρχήν.

(100)... И *Вителлій*, собравъ послѣ этого большое войско Даевъ и Скиѳовъ и побѣдивъ противящихся, занялъ область [1]).

XX. 4. § 91. Ὁ μὲν [Ἰζάτης] ταῦτ' ἐποτνιᾶτο δακρύων καὶ ὀδυρόμενος, ἐπήκοος δ' ὁ θεὸς ἐγένετο, καὶ κατ' ἐκείνην εὐθὺς τὴν νύκτα ἐν ᾗ ταῦτ' ἐκεῖνος ἐδεῖτο, δεξάμενος Οὐολογέσης ἐπιστολὰς ἐν αἷς ἐγέγραπτο Δαῶν καὶ Σακῶν χεῖρα μεγάλην, καταφρονήσασαν αὐτοῦ τῇ ἀποδημίᾳ, ἐπιστρατευσαμένην διαρπάζειν τὴν Παρθυηνήν, ἄπρακτος ἀνέζευξεν εἰς τοὐπίσω. καὶ ὁ Ἰζάτης οὕτω κατὰ θεοῦ πρόνοιαν τὰς ἀπειλὰς τοῦ Πάρθου διαφεύγει.

...Изатъ [2]) такимъ образомъ со слезами и рыданіями молился Богу, и Богъ услышалъ его: въ ту самую ночь, въ которую онъ такъ молился, Вологесъ, не добившись успѣха, удалился вспять, получивъ письмо, въ которомъ было написано, что большой отрядъ Даевъ и Скиѳовъ, воспользовавшись его отсутствіемъ, вторгнулся въ Парѳію и грабитъ ее. Такимъ образомъ Изатъ по промыслу Божію избѣгаетъ угрозъ Парѳянскаго царя.

ΠΕΡΙ ΤΟΥ ΙΟΥΔΑΙΚΟΥ ΠΟΛΕΜΟΥ.

О ВОЙНѢ ІУДЕЙСКОЙ.

II. 16. 4[3]) Τί δεῖ λέγειν Ἠνιόχους τε καὶ Κόλχους καὶ τὸ τῶν Ταύρων φῦλον, Βοσπορανούς τε καὶ τὰ περίοικα τοῦ Πόντου καὶ τῆς Μαιώτιδος ἔθνη, παρ' οἷς πρὶν μὲν οὐδὲ οἰκεῖος ἐγινώσκετο δεσπότης, νῦν δὲ τρισχιλίοις ὁπλίταις ὑποτάσσεται, καὶ τεσσαράκοντα νῆες μακραὶ τὴν πρὶν ἄπλωτον καὶ ἀγρίαν εἰρηνεύουσι θάλασσαν...

Зачѣмъ говорить объ Иніохахъ и Колхахъ, о племени Тавровъ, Воспоранцахъ и живущихъ вокругъ Понта и Меотиды народахъ, которые раньше не признавали даже и собственнаго владыки, а теперь держатся въ подчиненіи тремя тысячами оплитовъ, и сорокъ военныхъ кораблей поддерживаютъ миръ на несудоходномъ прежде и суровомъ морѣ...

VII. 4. 3. Τῇ δὲ προειρημένῃ Γερμανῶν ἀποστάσει κατὰ τὰς αὐτὰς ἡμέρας καὶ Σκυθικὸν τόλμημα πρὸς Ῥωμαίους συνέδραμεν. οἱ γὰρ καλούμενοι Σκυθῶν Σαρμάται, πολὺ πλῆθος ὄντες, ἄδηλοι μὲν τὸν Ἴστρον ἐπεραιώθησαν εἰς τὴν Μυσίαν, ἔπειτα δὲ πολλῇ βίᾳ καὶ χαλεποὶ διὰ τὸ παντάπασιν ἀνέλπιστον τῆς ἐφόδου προσπεσόντες πολλοὺς μὲν τῶν ἐπὶ τῆς φρουρᾶς Ῥωμαίων ἀναιροῦσι, καὶ τὸν πρεσβευτὴν τὸν ὑπατικὸν Φοντήιον Ἀγρίππαν ὑπαντιάσαντα καρτερῶς μαχόμενον κτείνουσι, τὴν δ' ὑποκειμένην χώραν ἅπασαν κατέτρεχον, ἄγοντες καὶ φέροντες ὅτῳ περιπέσοιεν. Οὐεσπασιανὸς δὲ τὰ γεγενημένα καὶ τὴν πόρθησιν τῆς Μυσίας πυθόμενος Ῥούβριον Γάλλον ἐκπέμπει δίκην ἐπιθήσοντα τοῖς Σαρμάταις, ὑφ' οὗ πολλοὶ μὲν αὐτῶν ἐν ταῖς μάχαις ἀπέθανον, τὸ δὲ περισωθὲν μετὰ δέους εἰς τὴν οἰκείαν διέφυγε. τούτῳ δὲ τῷ πολέμῳ τέλος ἐπιθεὶς ὁ στρατηγὸς καὶ τῆς

Одновременно съ упомянутымъ выше возстаніемъ Германцевъ [4]) до Римлянъ дошло *извѣстіе* о Скиѳской дерзости. Тѣ изъ Скиѳовъ, которые зовутся Сарматами, въ большомъ числѣ тайно переправились черезъ Истръ въ Мисію и потомъ, обрушившись съ большой силой, вслѣдствіе совершенной неожиданности нападенія, убиваютъ многихъ изъ Римлянъ, стоявшихъ гарнизономъ, и умерщвляютъ выступившаго *имъ* на встрѣчу и храбро сражавшагося консульскаго легата Фонтея Агриппу; *они* пронеслись по всей побѣжденной странѣ, уводя и унося все, съ чѣмъ ни встрѣчались. Веспасіанъ, узнавъ о случившемся и разграбленіи Мисіи, отправляетъ Рубрія Галла наказать Сарматовъ; при его нападеніи многіе изъ нихъ были убиты въ сраженіяхъ, а оставшіеся со страхомъ убѣжали въ свою *страну*. Положивъ конецъ этой вой-

1) Въ 36 г. по Р. Хр. Объ этихъ событіяхъ ср. Моммзенъ, Римская ист. т. V, стр. 367 (русск. пер.) 2) Царь Адіабинскій, сынъ Моноваза. 3) Изъ рѣчи Агриппы къ Іудеямъ. 4) Въ началѣ царствованія Веспасіана. См. Моммзенъ, Рим. ист. V, стр. 193 (р. пер.).

Digitized by Google

εἰς τὸ μέλλον ἀσφαλείας προυνόησε· πλείοσι γὰρ καὶ μείζοσι φυλακαῖς τὸν τόπον διέλαβεν, ὡς εἶναι τοῖς βαρβάροις τὴν διάβασιν τελέως ἀδύνατον.

нѣ, полководецъ позаботился и о безопасности на будущее время: именно, окружилъ мѣсто большими численностью и составомъ гарнизонами, чтобы для варваровъ переходъ былъ совершенно невозможенъ.

VII. 7. 4. Τὸ δὲ τῶν Ἀλανῶν ἔθνος ὅτι μέν εἰσι Σκύθαι περὶ τὸν Τάναϊν καὶ τὴν Μαιῶτιν λίμνην κατοικοῦντες, πρότερόν που δεδηλώκαμεν, κατὰ τούτους δὲ τοὺς χρόνους διανοηθέντες εἰς τὴν Μηδίαν καὶ προσωτέρω ταύτης ἔτι καθ' ἁρπαγὴν ἐμβαλεῖν, τῷ βασιλεῖ τῶν Ὑρκανῶν διαλέγονται· τῆς παρόδου γὰρ οὗτος δεσπότης ἐστίν, ἣν ὁ βασιλεὺς Ἀλέξανδρος πύλαις σιδηραῖς κλειστὴν ἐποίησε. κἀκείνου τὴν εἴσοδον αὐτοῖς παρασχόντος, ἀθρόοι καὶ μηδὲν προϋποπτεύσασι τοῖς Μήδοις ἐπιπεσόντες χώραν πολυάνθρωπον καὶ παντοίων ἀνάμεστον βοσκημάτων διήρπαζον, μηδενὸς αὐτοῖς τολμῶντος ἀνθίστασθαι· καὶ γὰρ ὁ βασιλεύων τῆς χώρας Πάκορος ὑπὸ δέους εἰς τὰς δυσχωρίας ἀναφυγὼν τῶν μὲν ἄλλων ἁπάντων παρακεχωρήκει, μόλις δὲ παρ' αὐτῶν ἐρρύσατο τήν τε γυναῖκα καὶ τὰς παλλακὰς αἰχμαλώτους γενομένας, ἑκατὸν δοὺς τάλαντα. μετὰ πολλῆς οὖν ῥᾳστώνης ἀμαχεὶ ποιούμενοι τὰς ἁρπαγάς, μέχρι τῆς Ἀρμενίας προῆλθον πάντα λεηλατοῦντες. Τιριδάτης δ' αὐτῆς ἐβασίλευεν, ὃς ὑπαντιάσας αὐτοῖς καὶ ποιησάμενος μάχην παρὰ μικρὸν ἦλθεν ἐπ' αὐτῆς ζωὸς ἁλῶναι τῆς παρατάξεως· βρόχον γὰρ αὐτῷ τις πόρρωθεν περιβαλὼν ἔμελλεν ἐπισπᾶσειν, εἰ μὴ τῷ ξίφει θᾶττον ἐκεῖνος τὸν τόνον κόψας ἔφθη διαφυγεῖν. οἱ δὲ καὶ διὰ τὴν μάχην ἔτι μᾶλλον ἀγριωθέντες τὴν μὲν χώραν ἐλυμήναντο, πολὺ δὲ πλῆθος ἀνθρώπων καὶ τῆς ἄλλης λείας ἄγοντες ἐξ ἀμφοῖν τῶν βασιλειῶν πάλιν εἰς τὴν οἰκείαν ἐκομίσθησαν.

Мы раньше объяснили [1]), что племя Алановъ есть *часть* Скиѳовъ, живущая вокругъ Танаида и Мэотійскаго озера. Въ это время, замысливъ вторгнуться съ цѣлью грабежа въ Мидію и еще дальше ея, они вступили въ переговоры съ царемъ Иркапцевъ, ибо онъ владѣлъ проходомъ, который царь Александръ заперъ желѣзными воротами. И когда тотъ открылъ имъ доступъ, *Аланы*, напавъ огромной массой на ничего не подозрѣвавшихъ Мидянъ, стали опустошать многолюдную и наполненную всякимъ скотомъ страну, при чемъ никто не осмѣливался имъ противиться, ибо и царствующій въ этой странѣ Пакоръ, убѣжавъ отъ страха въ неприступныя мѣста, отступился отъ всего остального и лишь съ трудомъ выкупилъ сотнею талантовъ жену и наложницъ, попавшихъ въ плѣнъ. И такъ, производя грабежъ съ большою легкостью и безъ сопротивленія, *они* дошли до Арменіи, все опустошая. Царемъ Арменіи былъ Тиридатъ, который, выйдя къ нимъ навстрѣчу и давъ битву, едва не попался живымъ въ плѣнъ во время самаго боя; именно, нѣкто издали забросилъ ему на шею арканъ и готовился *уже* притянуть его, если бы онъ не успѣлъ убѣжать, перерубивъ мечомъ веревку. Аланы, еще болѣе разсвирѣпѣвшіе вслѣдствіе битвы, опустошили страну и возвратились домой съ большимъ количествомъ плѣнныхъ и другой добычи изъ обоихъ царствъ.

КАТА АПІѠНОΣ.

II, 37... Σκύθαι δὲ φόνοις χαίροντες ἀνθρώπων καὶ βραχὺ τῶν θηρίων διαφέροντες ὅμως τὰ παρ' αὐτοῖς οἴονται δεῖν περιστέλλειν, καὶ τὸν ὑπὸ τῶν Ἑλλήνων ἐπὶ σοφίᾳ θαυμασθέντα, τὸν Ἀνάχαρσιν, ἐπ-

ПРОТИВЪ АПІОНА.

... Скиѳы, находящіе удовольствіе въ человѣческихъ убійствахъ и немногимъ отличающіеся отъ звѣрей, все же считаютъ нужнымъ хранить свои *обычаи* и *поэтому* убили возвратившагося къ

1) Другихъ упоминаній объ Аланахъ въ этомъ сочиненіи Іосифа не имѣется. Описываемыя событія относятся къ 68 г. См. Моммзена Рим. ист. V, p. 84 (р. пер.).

Digitized by Google

ανελθόντα πρὸς αὐτοὺς ἀνεῖλον, ἐπεὶ τῶν Ἑλληνικῶν ἐθῶν ἔδοξεν ἥκειν ἀνάπλεως [1]).

нимъ Анахарсида, мудрости котораго удивлялись Еллины, такъ какъ онъ показался по возвращеніи вполнѣ преданнымъ еллинскимъ обычаямъ.

Λ. ΑΝΝΑΙΟΣ ΚΟΡΝΟΥΤΟΣ.

Л. АННЭЙ КОРНУТЪ.

[Философъ стоической школы, учитель и другъ римскаго сатирика Персія, жилъ въ Римѣ до временъ Нерона, которымъ былъ изгнанъ подъ предлогомъ участія въ заговорѣ Пизона. Сохранилось его сочиненіе на греческомъ языкѣ подъ приводимымъ ниже заглавіемъ.—Текстъ: Cornuti Theologiae Graecae compendium. Rec. et emend. Car. Lang. Lips. ap. Teubn. 1881].

Переводъ **В. Л.**

ΕΠΙΔΡΟΜΗ ΤΩΝ ΚΑΤΑ ΤΗΝ ΕΛΛΗΝΙΚΗΝ ΘΕΟΛΟΓΙΑΝ ΠΑΡΑΔΕΔΟΜΕΝΩΝ.

Cap. 21 (p. 41 L.)... τιμᾶσθαι δ' ὑπὸ Θρᾳκῶν μάλιστα καὶ Σκυθῶν καὶ τῶν τοιούτων ἐθνῶν λέγεται [ὁ Ἄρης], παρ' οἷς ἡ τῶν πολεμικῶν ἄσκησις εὐδοκιμεῖ καὶ τὸ ἀνεπιστρεφὲς τῆς δίκης...

ОБЗОРЪ ПРЕДАНІЙ, ОТНОСЯЩИХСЯ КЪ ЕЛЛИНСКОМУ БОГОСЛОВІЮ.

...Говорятъ, что Арей въ особенности почитается Ѳракійцами, Скиѳами и подобными имъ народами, у которыхъ пользуется почетомъ упражненіе въ военномъ дѣлѣ и неуклонная справедливость...

ΠΛΟΥΤΑΡΧΟΣ.

ПЛУТАРХЪ.

[Извѣстный историкъ и философъ, уроженецъ віотійскаго г. Хэронеи, род. около 46 г. по Р. Хр., ум. послѣ 120 г., авторъ «Сравнительныхъ жизнеописаній» и сочиненій разнороднаго содержанія, сборникъ которыхъ извѣстенъ подъ общимъ именемъ Ἠθικά.—Текстъ: 1) Plutarchi vitae parallelae, iterum recogn. Car. Sintenis, Lips. ap. Teubn., 5 voll.; 2) Plutarchi Chaeronensis Moralia recogn. Greg. N. Bernardakis, Lips. ap. Teubn. 1888 sq., 6 voll.].

I. ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

СРАВНИТЕЛЬНЫЯ ЖИЗНЕОПИСАНІЯ.

ΠΕΡΙΚΛΗΣ.

ПЕРИКЛЪ.

XX... [Περικλῆς] εἰς τὸν Πόντον εἰσπλεύσας στόλῳ μεγάλῳ καὶ κεκοσμημένῳ λαμπρῶς ταῖς μὲν Ἑλληνίσι πόλεσιν ὧν ἐδέοντο διαπράξατο καὶ προσηνέχθη φιλανθρώπως, τοῖς δὲ περιοικοῦσι βαρβάροις ἔθνεσι καὶ βασιλεῦσιν αὐτῶν καὶ δυνάσταις ἐπεδείξατο

...Периклъ, вступивъ въ Понтъ съ большимъ и прекрасно снаряженнымъ флотомъ, еллинскимъ городамъ исполнилъ *все*, о чемъ они просили, и *вообще* отнесся благосклонно, а окружающимъ варварскимъ племенамъ и ихъ царямъ и волосте-

1) Praeterea in libro contra Apionem I c. 22 Herodoti verba (II. 103) citantur de Colchorum circumcisione (cf. supra pp. 8—9).

Digitized by Google

μὲν τῆς δυνάμεως τὸ μέγεθος καὶ τὴν ἀδειαν καὶ τὸ θάρσος ᾗ βούλοιντο πλεόντων καὶ πᾶσαν ὑφ' αὑτοῖς πεποιημένων τὴν θάλασσαν...

лишь показалъ величину могущества *Двинянъ* и безстрашіе и смѣлость, *съ которыми они* плавали, куда хотѣли, и подчинили себѣ всѣ моря[1])...

ΑΛΕΞΑΝΔΡΟΣ.

XLIV. [Μετὰ τὴν Δαρείου τελευτὴν Ἀλέξανδρος] μετὰ τῆς ἀκμαιοτάτης δυνάμεως εἰς Ὑρκανίαν κατέβαινε· καὶ πελάγους ἰδὼν κόλπον οὐκ ἐλάττονα μὲν τοῦ Πόντου φανέντα, γλυκύτερον δὲ τῆς ἄλλης θαλάττης, σαφὲς μὲν οὐδὲν ἔσχε πυθέσθαι περὶ αὐτοῦ, μάλιστα δὲ εἴκασε τῆς Μαιώτιδος λίμνης ἀνακοπὴν εἶναι. Καίτοι τούς γε φυσικοὺς ἄνδρας οὐκ ἔλαθε τἀληθές, ἀλλὰ πολλοῖς ἔτεσιν ἔμπροσθεν τῆς Ἀλεξάνδρου στρατείας ἱστορήκασιν, ὅτι τεσσάρων κόλπων εἰσεχόντων ἀπὸ τῆς ἔξω θαλάσσης βορειότατος οὗτός ἐστι, τὸ Ὑρκάνιον πέλαγος καὶ Κάσπιον ὁμοῦ προσαγορευόμενον...

АЛЕКСАНДРЪ [ВЕЛИКІЙ].

[Послѣ смерти Дарія Александръ] съ отборнѣйшими силами вступилъ въ Ирканію; увидѣвъ морской заливъ, показавшійся не меньше Понта, но имѣвшій болѣе прѣсную воду, чѣмъ въ другихъ моряхъ, *Александръ* не могъ узнать о немъ ничего опредѣленнаго и предположилъ, что это скорѣе всего разливъ Меотійскаго озера. Однако, естествоиспытатели знали правду и уже за много лѣтъ до похода Александра объяснили, что это такъ называемое Иркапское или Каспійское море есть самый сѣверный заливъ изъ числа четырехъ, вдающихся *въ сушу* отъ внѣшняго моря...

XLV. Ἐντεῦθεν εἰς τὴν Παρθικὴν ἀναζεύξας... καὶ τὸν Ὀρεξάρτην διαβὰς ποταμόν, ὃν αὐτὸς ᾤετο Τάναϊν εἶναι, καὶ τοὺς Σκύθας τρεψάμενος ἐδίωξεν ἐπὶ σταδίους ἑκατὸν ἐνοχλούμενος ὑπὸ διαρροίας...

Оттуда двинувшись въ Парѳію... и переправившись черезъ рѣку Орексартъ, которую онъ принялъ за Танаидъ, онъ разбилъ Скиѳовъ и преслѣдовалъ ихъ на разстояніи 100 стадій, несмотря на страданія отъ поноса...

XLVI. Ἐνταῦθα δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστι καὶ Πολύκλειτος καὶ Ὀνησίκριτος καὶ Ἀντιγένης καὶ Ἴστρος· Ἀριστόβουλος δὲ καὶ Χάρης ὁ εἰσαγγελεὺς καὶ Πτολεμαῖος καὶ Ἀντικλείδης καὶ Φίλων ὁ Θηβαῖος καὶ Φίλιππος ὁ Θεαγγελεύς, πρὸς δὲ τούτοις Ἑκαταῖος ὁ Ἐρετριεὺς καὶ Φίλιππος ὁ Χαλκιδεὺς καὶ Δοῦρις ὁ Σάμιος πλάσμα φασὶ γεγονέναι τοῦτο. καὶ μαρτυρεῖν αὐτοῖς ἔοικεν Ἀλέξανδρος. Ἀντιπάτρῳ γὰρ ἅπαντα γράφων ἀκριβῶς τὸν μὲν Σκύθην αὐτῷ φησι διδόναι τὴν θυγατέρα πρὸς γάμον, Ἀμαζόνος δὲ οὐ μνημονεύει. Λέγεται δὲ πολλοῖς χρόνοις Ὀνησίκριτος ὕστερον ἤδη βασιλεύοντι Λυσιμάχῳ τῶν βι-

Здѣсь прибыла къ нему царица Амазонокъ, какъ говоритъ большинство *писателей*, въ томъ числѣ Клитархъ, Поликлитъ, Онисикритъ, Антигенъ и Истръ; а Аристовулъ, докладчикъ Харитъ, Птолемэй, Антикидъ, Филонъ Ѳиванскій и Филиппъ Ѳеангелійскій и вмѣстѣ съ ними Екатэй Еретрійскій, Филиппъ Халкидскій и Дуридъ Самосскій называютъ это вымысломъ. Ихъ мнѣніе подтверждаетъ, повидимому, и *самъ* Александръ: все подробно описывая Антипатру, онъ говоритъ, что Скиѳскій царь предлагалъ ему въ замужество свою дочь, а объ Амазонкѣ не упоминаетъ. Говорятъ, что много лѣтъ спустя, уже въ царствованіе Лисимаха, Онисп-

---

1) По мнѣнію Дункера эта экспедиція была совершена весною или лѣтомъ 444 г. до Р. Хр. См. M. Duncker, Des Perikles Fahrt in den Pontus въ *Sitzungsberichte d. Berl. Akad.* 1885, т. II стр. 553 сл. Ср. его же Geschichte des Alterthums т. IX (1886), стр. 95 сл. и Латышевъ, Изслѣд. объ ист. и госуд. строѣ Ольвіи (Спб. 1887), стр. 45 сл.

Digitized by Google

βλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ᾧ γέγραπται περὶ τῆς Ἀμαζόνος· τὸν οὖν Λυσίμαχον ἀτρέμα μειδιάσαντα «Καὶ ποῦ» φάναι «τότε ἤμην ἐγώ»; ταῦτα μὲν οὖν ἄν τις οὔτε ἀπιστῶν ἧττον οὔτε πιστεύων μᾶλλον Ἀλέξανδρον θαυμάσειε.

критъ читалъ ему свою четвертую книгу, въ которой было написано объ Амазонкѣ; Лисимахъ, тихо улыбнувшись, сказалъ: «А гдѣ тогда былъ я?» Впрочемъ, ни тотъ, кто не вѣритъ этому, не будетъ меньше удивляться Александру, ни вѣрящій — больше [1]).

ΔΗΜΗΤΡΙΟΣ.

XIX. Οἱ... Σκύθαι πίνοντες καὶ μεθυσκόμενοι παραψάλλουσι τὰς νευρὰς τῶν τόξων, οἷον ἐκλυόμενον ὑπὸ τῆς ἡδονῆς ἀνακαλούμενοι τὸν θυμόν... [2])

ДИМИТРІЙ [ПОЛІОРКИТЪ].

...Скиѳы во время попоекъ и опьяненія щиплютъ тетивы луковъ, какъ бы призывая ослабляемое удовольствіемъ мужество...

ΚΛΕΟΜΕΝΗΣ.

II. Λέγεται δὲ καὶ λόγων φιλοσόφων τὸν Κλεομένη μετασχεῖν ἔτι μειράκιον ὄντα, Σφαίρου τοῦ Βορυσθενίτου παραβαλόντος εἰς τὴν Λακεδαίμονα καὶ περὶ τοὺς νέους καὶ τοὺς ἐφήβους οὐκ ἀμελῶς διατρίβοντος. Ὁ δὲ Σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει τῶν Ζήνωνος τοῦ Κιτιέως μαθητῶν καὶ τοῦ Κλεομένους ἔοικε τῆς φύσεως τὸ ἀνδρῶδες ἀγαπῆσαί τε καὶ προσεκκαῦσαι τὴν φιλοτιμίαν...

КЛЕОМЕНЪ [III].

Говорятъ, что Клеоменъ участвовалъ и въ философскихъ разсужденіяхъ еще въ юности, когда Сферъ Борисѳенитъ прибылъ въ Лакедэмонъ и заботливо поучалъ молодежь и ефивовъ. Сферъ былъ въ числѣ первыхъ учениковъ Зинона Китійскаго и, какъ кажется, полюбилъ мужественную натуру Клеомена и воспламенилъ его честолюбіе...

XI. Ἀναπληρώσας δὲ τὸ πολίτευμα τοῖς χαριεστάτοις τῶν περιοίκων... ἐπὶ τὴν παιδείαν τῶν νέων ἐτράπη [Κλεομένης] καὶ τὴν λεγομένην ἀγωγήν, ἧς τὰ πλεῖστα παρὼν ὁ Σφαῖρος αὐτῷ συγκαθίστη...

Пополнивъ ряды гражданъ лучшими изъ періэковъ,... [Клеоменъ] обратилъ вниманіе на воспитаніе юношества и такъ называемое «руководство», бо́льшую часть котораго составилъ ему находившійся *еще въ Спартѣ* Сферъ...

ΜΑΡΙΟΣ.

XI. Εἰσὶ δὲ οἳ τὴν Κελτικὴν διὰ βάθος χώρας καὶ μέγεθος ἀπὸ τῆς ἔξω θαλάττης καὶ τῶν ὑπαρκτίων κλιμάτων πρὸς ἥλιον ἀνίσχοντα κατὰ τὴν Μαιῶτιν ἐπιστρέφουσαν ἅπτεσθαι τῆς Ποντικῆς Σκυθίας λέγουσι, κἀκεῖθεν τὰ γένη μεμῖχθαι. Τούτους ἐξαναστάντας οὐκ ἐκ μιᾶς ὁρμῆς οὐδὲ συνεχῶς, ἀλλὰ ἔτους ὥρᾳ καθ' ἕκαστον ἐνιαυ-

МАРІЙ.

Нѣкоторые говорятъ, что Кельтика вслѣдствіе глубины и величины страны отъ внѣшняго моря и сѣверныхъ широтъ поворачиваетъ къ востоку у Мэотиды и соприкасается съ Понтійской Скиѳіей, и что тамъ произошло смѣшеніе народовъ. Поднявшись *оттуда*, *впрочемъ*, не сразу и не безпрерывно, а ежегодно въ удобное

---

1) De hac narratione cf. supra p. 473 Wesselingii notam ad Diod. XVII, 77. 2) Cf. *De tuenda san. praec.* c. 20: ...Ὁ Σκύθης, ὅταν πίνῃ, πολλάκις ἐφάπτεται τοῦ τόξου καὶ παραψάλλει τὴν νευράν, ἐκλυόμενον ὑπὸ τῆς μέθης ἀνακαλούμενος τὸν θυμόν.

Digitized by Google

τὸν εἰς τοὔμπροσθεν ἀεὶ χωροῦντας πολέμῳ χρόνοις πολλοῖς ἐπελθεῖν τὴν ἤπειρον. Διὸ καὶ πολλὰς κατὰ μέρος ἐπικλήσεις ἐχόντων κοινῇ Κελτοσκύθας τὸν στρατὸν ὠνόμαζον. Ἄλλοι δέ φασι Κιμμερίων τὸ μὲν πρῶτον ὑφ' Ἑλλήνων τῶν πάλαι γνωσθὲν οὐ μέγα γενέσθαι τοῦ παντὸς μόριον, ἀλλὰ φυγὴν ἢ στάσιν τινὰ βιασθεῖσαν ὑπὸ Σκυθῶν εἰς Ἀσίαν ἀπὸ τῆς Μαιώτιδος διαπερᾶσαι Λυγδάμιος ἡγουμένου, τὸ δὲ πλεῖστον αὐτῶν καὶ μαχιμώτατον ἐπ' ἐσχάτοις οἰκοῦν παρὰ τὴν ἔξω θάλασσαν γῆν μὲν νέμεσθαι σύσκιον καὶ ὑλώδη καὶ δυσήλιον πάντη διὰ βάθος καὶ πυκνότητα δρυμῶν, οὓς μέχρι τῶν Ἑρκυνίων εἴσω διήκειν, οὐρανοῦ δὲ εἰληχέναι, καθ' ὃ δοκεῖ μέγα λαμβάνων ὁ πόλος ἔξαρμα διὰ τὴν ἔγκλισιν τῶν παραλλήλων ὀλίγον ἀπολείπειν τοῦ κατὰ κορυφὴν ἱσταμένου σημείου πρὸς τὴν οἴκησιν, αἵ τε ἡμέραι βραχύτητι καὶ μήκει πρὸς τὰς νύκτας ἴσαι κατανέμεσθαι τὸν χρόνον· διὸ καὶ τὴν εὐπορίαν τοῦ μυθεύματος Ὁμήρῳ γενέσθαι πρὸς τὴν νεκυίαν. Ἔνθεν οὖν τὴν ἔφοδον εἶναι τῶν βαρβάρων τούτων ἐπὶ τὴν Ἰταλίαν, Κιμμερίων μὲν ἐξ ἀρχῆς, τότε δὲ Κίμβρων οὐκ ἀπὸ τρόπου προσαγορευομένων. Ἀλλὰ ταῦτα μὲν εἰκασμῷ μᾶλλον ἢ κατὰ βέβαιον ἱστορίαν λέγεται.

время подвигаясь все впередъ, они въ теченіе многихъ лѣтъ прошли войною *весь* материкъ. Поэтому-то независимо отъ многихъ частныхъ названій они называли свои полчища общимъ именемъ Кельтоскиѳовъ. Другіе говорятъ, что Киммерійцы, сдѣлавшіеся извѣстными впервые древнимъ Эллинамъ, представляли собою незначительную часть цѣлаго, которая въ качествѣ изгнанниковъ или вслѣдствіе возмущенія, тѣснимая Скиѳами, перешла отъ Меотиды въ Азію подъ предводительствомъ Лигдамія, но что наибольшая и самая воинственная часть ихъ, живущая у внѣшняго моря, занимаетъ землю тѣнистую, лѣсистую и туманную повсюду вслѣдствіе глубины и густоты дубравъ, тянущихся до Еркинскаго лѣса, и живетъ подъ такимъ небомъ, гдѣ полюсъ повидимому достигаетъ большой высоты вслѣдствіе наклоненія параллелей и отдѣляется лишь небольшимъ пространствомъ отъ зенита, а дни, равные по величинѣ ночамъ, дѣлятъ время *на равные промежутки;* это дало Омиру богатый матеріалъ для вымысла при описаніи «Некіи» [1]). Отсюда и произошло нападеніе на Италію этихъ варваровъ, называвшихся сначала Киммерійцами, а въ то время Кимврами. Впрочемъ, эти свѣдѣнія основаны скорѣе на предположеніяхъ, чѣмъ на прочныхъ историческихъ данныхъ.

ΣΥΛΛΑΣ.

XI. Λέγεται δὲ ὑπὸ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ὁ Σύλλας ἀπὸ τῆς Ἰταλίας ἐκίνει τὸν στόλον, ...πολλὰ Μιθριδάτῃ διατρίβοντι περὶ τὸ Πέργαμον ἐπισκῆψαι δαιμόνια... ὥστε φρίκην μὲν τῷ δήμῳ, ἀθυμίαν δὲ πολλὴν Μιθριδάτῃ παρασχεῖν, καίπερ αὐτῷ τότε τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων. Αὐτὸς μὲν γὰρ Ἀσίαν τε Ῥωμαίων καὶ Βιθυνίαν καὶ Καππαδοκίαν τῶν βασιλέων ἀφῃρημένος ἐν Περγάμῳ καθῆστο, πλούτους καὶ δυναστείας καὶ τυραννίδας διανέμων τοῖς φίλοις, τῶν δὲ παίδων ὁ μὲν ἐν Πόντῳ καὶ Βοσπόρῳ τὴν παλαιὰν ἄχρι τῶν ὑπὲρ τὴν Μαιῶτιν ἀοικήτων ἀρχὴν κατεῖχεν οὐδενὸς παρενοχλοῦντος...

СУЛЛА.

Говорятъ, что въ тѣ самые дни, когда Сулла хотѣлъ двинуться съ флотомъ отъ береговъ Италіи [2]),... Миридату, находившемуся въ Пергамѣ, явилось много божественныхъ знаменій,... такъ что народъ пришелъ въ трепетъ, а *самъ* Миридатъ очень упалъ духомъ, хотя его дѣла шли тогда лучше всякаго ожиданія. Самъ онъ, отнявъ Малую Азію у Римлянъ, а Виѳинію и Каппадокію у *мѣстныхъ* царей, сидѣлъ въ Пергамѣ, раздавая друзьямъ богатства, волости и тиранніи, а изъ сыновей его одинъ въ Понтѣ и Воспорѣ безъ всякой помѣхи удерживалъ въ *своихъ руках*ъ старинную власть до необитаемыхъ *странъ* выше Меотиды...

---

1) *Odyss.* XI. 2) Въ началѣ 87 г. до Р. Хр.

Digitized by Google

ΛΟΥΚΟΥΛΛΟΣ.

ЛУКУЛЛЪ.

[Изъ рѣчи Лукулла къ войску во время осады Амиса въ 71 г. до Р. Хр.]:

XIV... «Αὐτὸ γὰρ» ἔφη [ὁ Λούκουλλος] «τοῦτο καὶ βούλομαι καὶ κάθημαι τεχνάζων, μέγαν αὖθις γενέσθαι τὸν ἄνδρα καὶ συναγαγεῖν αὐτὸν ἀξιόμαχον δύναμιν, ἵνα μείνῃ καὶ μὴ φύγῃ προσιόντας ἡμᾶς. Ἢ οὐχ ὁρᾶτε πολλὴν μὲν αὐτῷ καὶ ἀτέκμαρτον ἐρημίαν ὀπίσω παροῦσαν; ἐγγὺς δὲ ὁ Καύκασος καὶ ὄρη πολλὰ καὶ βαθέα καὶ μυρίους βασιλεῖς φυγομαχοῦντας ἀρκοῦντα κατακρύψαι καὶ περισχεῖν...»

XIV... «Я именно того и желаю, сказалъ [Лукуллъ], о томъ и стараюсь, оставаясь здѣсь, — чтобы Митридатъ снова усилился и собралъ могущественное войско для того, чтобы могъ противостать намъ и не бѣжать при нашемъ приближеніи. Развѣ вы не видите, что въ тылу у него разстилается огромная, безпредѣльная пустыня, а вблизи *высится* Кавказъ и множество глубоко изрѣзанныхъ горъ, которыя могутъ скрыть и защитить десятокъ тысячъ избѣгающихъ сраженія царей...»

XVI. Ἦν δέ τις ἐν τῷ Μιθριδάτου στρατοπέδῳ Δανδαρίων δυνάστης Ὀλθακός (γένος δ' εἰσὶν οἱ Δανδάριοι βαρβάρων τῶν περὶ τὴν Μαιῶτιν οἰκούντων), ἀνὴρ ὅσα χειρὸς ἔργα καὶ τόλμης ἐν πολέμῳ διαπρεπὴς ἅπαντα, καὶ γνώμην ἱκανὸς ἐν τοῖς μεγίστοις, ἔτι δ' ἐμμελὴς ὁμιλῆσαι καὶ θεραπευτικός. Οὗτος ἔχων ἀεὶ πρός τινα τῶν ὁμοφύλων δυναστῶν ἅμιλλαν ὑπὲρ πρωτείων καὶ ζηλοτυπίαν ὑπέσχετο τῷ Μιθριδάτῃ μέγα ἔργον, ἀποκτενεῖν Λούκουλλον...

XVI. Въ войскѣ Митридата былъ нѣкій Олѳакъ, властитель Дандаріевъ (Дандаріи — варварское племя изъ числа живущихъ по побережью Меотиды), отличавшійся на войнѣ во всѣхъ случаяхъ, гдѣ нужна сила и отвага, обладавшій замѣчательнымъ умомъ и, кромѣ того, приличный въ обращеніи и услужливый. Постоянно споря съ однимъ изъ соплеменныхъ ему властителей о первенствѣ и завидуя ему, онъ обѣщалъ *оказать* Митридату важную услугу,—убить Лукулла...

[Слѣдуетъ разсказъ о неудачномъ покушеніи Олфака].

XXIV... Μαχάρης ὁ Μιθριδάτου παῖς ἔχων τὸν Βόσπορον ἔπεμψεν αὐτῷ στέφανον ἀπὸ χρυσῶν χιλίων, δεόμενος Ῥωμαίων ἀναγραφῆναι φίλος καὶ σύμμαχος...

XXIV... Махаръ, сынъ Митридата, владѣтель Воспора, послалъ ему [Лукуллу] вѣнокъ цѣною въ тысячу золотыхъ съ просьбою о включеніи его въ число друзей и союзниковъ Римлянъ [1])...

XXVI... [Τῷ Τιγράνῃ] πανστρατιᾷ... συνῆλθον Ἀρμένιοι καὶ Γορδυηνοί, πανστρατιᾷ δὲ Μήδους καὶ Ἀδιαβηνοὺς ἄγοντες οἱ βασιλεῖς παρῆσαν, ἦκον δὲ πολλοὶ μὲν ἀπὸ τῆς ἐν Βαβυλῶνι θαλάσσης Ἄραβες, πολλοὶ δὲ ἀπὸ τῆς Κασπίας Ἀλβανοὶ καὶ Ἴβηρες Ἀλβανοῖς προσοικοῦντες, οὐκ ὀλίγοι δὲ τῶν περὶ τὸν Ἀράξην νεμομένων ἀβασίλευτοι χάριτι καὶ δώροις πεισθέντες ἀπήντησαν...

XXVI... [Во время осады Лукулломъ Тигранокертъ [2]) къ Тиграну] собрались поголовнымъ ополченіемъ Арменцы и Гордіины, явились цари съ поголовнымъ ополченіемъ Мидянъ и Адіавиновъ, пришло отъ моря, что при Вавилонѣ, много Арабовъ, а отъ Каспійскаго моря—множество Албанцевъ и ихъ сосѣдей Иверовъ, прибыло также не малое количество изъ независимыхъ племенъ, живущихъ по Араксу, изъ расположенія или изъ-за даровъ...

1) Во время осады Лукулломъ Синопы въ 70 г. 2) Въ 69 г. до Р. Хр.

Digitized by Google

XXXI... [Ἐν τῇ ἐν Ἀρταξάτοις μάχῃ ἐν τῇ Τιγράνου στρατιᾷ] πολλοὶ ἦσαν ἱππεῖς καὶ λογάδες ἀντιπαρατεταγμένοι, πρὸ δ' αὐτῶν ἱπποτοξόται Μάρδοι καὶ λογχοφόροι Ἴβηρες, οἷς μάλιστα τῶν ξένων ὁ Τιγράνης ἐπίστευεν ὡς μαχιμωτάτοις. Οὐ μὴν ἐπράχθη τι λαμπρὸν ἀπ' αὐτῶν, μικρὰ δὲ τοῖς ἱππεῦσι τῶν Ῥωμαίων διαπληκτισάμενοι τοὺς πεζοὺς ἐπιόντας οὐχ ὑπέμειναν, ἀλλ' ἑκατέρωσε τῆς φυγῆς σχισθέντες ἐπεσπάσαντο τοὺς ἱππεῖς πρὸς τὴν δίωξιν...

XXXI... [Въ сраженіи близъ Артаксатъ [1]), въ войскѣ Тиграна] было выстроено противъ *Лукулла* множество всадниковъ и отборныхъ отрядовъ, а передъ ними — Мардскіе конные стрѣлки и Иверскіе копьеносцы, на которыхъ Тиранъ полагался больше, чѣмъ на всѣхъ другихъ наемниковъ, вслѣдствіе ихъ воинственности. Однако они не совершили ничего особеннаго: послѣ непродолжительной перестрѣлки съ Римскими всадниками, они не выдержали наступленія пѣхоты и въ бѣгствѣ раздѣлившись на двѣ части, увлекли конницу къ преслѣдованію...

ΚΙΜΩΝΟΣ ΚΑΙ ΛΟΥΚΟΥΛΛΟΥ ΣΥΓΚΡΙΣΙΣ.

III. Πολὺ δ' ὁ Λούκουλλος προῆλθε τῷ πολέμῳ τόν τε Ταῦρον ὑπερβαλὼν στρατοπέδῳ Ῥωμαίων πρῶτος... καὶ τὰ μὲν βόρεια μέχρι Φάσιδος... οἰκειωσάμενος..., Τεκμήριον δὲ μέγα... Τιγράνου καὶ Μιθριδάτου μετὰ Λούκουλλον οὐδὲν ἄλλο ἔργον ἐγένετο, ἀλλ' ὁ μὲν ἀσθενὴς ἤδη καὶ συγκεκομμένος ὑπὸ τῶν πρώτων ἀγώνων οὐδ' ἅπαξ ἐτόλμησε δεῖξαι Πομπηίῳ τὴν δύναμιν ἔξω τοῦ χάρακος, ἀλλὰ φυγὼν εἰς Βόσπορον κατέβη κἀκεῖ κατέστρεψε...

СРАВНЕНІЕ КИМОНА СЪ ЛУКУЛЛОМЪ.

III. Лукуллъ совершилъ важные военные подвиги: онъ первый перешелъ съ Римскимъ войскомъ чрезъ Тавръ... и подчинилъ... сѣверныя страны до Фасида... Важнымъ свидѣтельствомъ *этого служит то, что*... Тиранъ и Миеридатъ послѣ Лукулла ничего другого не совершили; послѣдній, уже ослабленный и изнуренный предшествовавшей борьбою, ни разу не осмѣлился показать Помпею свою силу въ открытомъ бою, но бѣжалъ въ Воспоръ и тамъ окончилъ свою жизнь...

ΠΟΜΠΗΙΟΣ.

XXX. Ἀπαγγελθέντος δὲ εἰς Ῥώμην πέρας ἔχειν τὸν πειρατικὸν πόλεμον καὶ σχολὴν ἄγοντα τὸν Πομπήιον ἐπέρχεσθαι τὰς πόλεις, γράφει νόμον εἷς τῶν δημάρχων Μάλλιος, ὅσης Λεύκολλος ἄρχει χώρας καὶ δυνάμεως Πομπήιον παραλαβόντα πᾶσαν, προσλαβόντα δὲ καὶ Βιθυνίαν, ἣν ἔχει Γλαβρίων, πολεμεῖν Μιθριδάτῃ καὶ Τιγράνῃ τοῖς βασιλεῦσιν...

XXXII... Πομπήιος τῷ στόλῳ παντὶ τὴν μεταξὺ Φοινίκης καὶ Βοσπόρου θάλασσαν ἐπὶ φρουρᾷ διαλαβὼν αὐτὸς ἐβάδιζεν ἐπὶ Μιθριδάτην, ἔχοντα τρισμυρίους πεζοὺς

ПОМПЕЙ.

XXX. Когда въ Римѣ было получено извѣстіе, что война съ пиратами окончена и что Помпей на досугѣ объѣзжаетъ города, народный трибунъ Манлій внесъ предложеніе, чтобы Помпей, принявъ подъ свое начальство всѣ земли и военныя силы, которыми начальствовалъ Лукуллъ, и присоединивъ еще Виѳинію отъ Глабріона, продолжалъ войну съ царями Миеридатомъ и Тиграномъ [2])...

XXXII... Помпей, занявъ всѣмъ флотомъ море между Финикіею и Босфоромъ съ цѣлью его охраны, двинулся лично противъ Миеридата, который не рѣшался

---

1) Въ сентябрѣ 68 г. 2) Lex Manilia de imperio Cn. Pompei—въ январѣ 66 г.

Digitized by Google

ἐν φάλαγγι καὶ δισχιλίους ἱππεῖς, μάχεσθαι δὲ μὴ θαρροῦντα...

вступить въ битву, хотя имѣлъ 30000 пѣхоты въ фалангѣ и 2000 всадниковъ...

(Слѣдуетъ описаніе сраженія при Дастирѣ на Евфратѣ).

...Ἐντεῦθεν ὥρμητο μὲν [ὁ Μιθριδάτης] ἐπ' Ἀρμενίας πρὸς Τιγράνην, ἐκείνου δὲ ἀπαγορεύοντος καὶ τάλαντα ἑκατὸν ἐπικηρύξαντος αὐτῷ παραμειψάμενος τὰς πηγὰς τοῦ Εὐφράτου διὰ τῆς Κολχίδος ἔφευγε.

...Оттуда [Митридатъ] двинулся въ Арменію къ Тиграну, но когда тотъ воспретилъ *ему въѣздъ* и обѣщалъ сто талантовъ *за его голову*, то, миновавъ истоки Евфрата, бѣжалъ въ Колхиду.

XXXIII. Πομπήιος δὲ εἰς Ἀρμενίαν ἐνέβαλε τοῦ νέου Τιγράνου καλοῦντος αὐτόν· ἤδη γὰρ ἀφειστήκει τοῦ πατρὸς καὶ συνήντησε τῷ Πομπηίῳ περὶ τὸν Ἀράξην ποταμόν, ὃς ἀνίσχει μὲν ἐκ τῶν αὐτῶν τῷ Εὐφράτῃ τόπων, ἀποτρεπόμενος δὲ πρὸς τὰς ἀνατολὰς εἰς τὸ Κάσπιον ἐμβάλλει πέλαγος...

XXXIII. *Между тѣмъ* Помпей вступилъ въ Арменію по приглашенію младшаго Тиграна, который уже ранѣе отложился отъ отца и *теперь* встрѣтилъ Помпея у рѣки Аракса, которая беретъ начало изъ одной мѣстности съ Евфратомъ, но впадаетъ, повернувъ къ востоку, въ Каспійское море...

(Слѣдуетъ описаніе сдачи Тиграна-отца и взятія подъ стражу сына).

XXXIV. Καταλιπὼν δὲ φρουρὸν Ἀρμενίας Ἀφράνιον αὐτὸς ἐβάδιζε διὰ τῶν περιοικούντων τὸν Καύκασον ἐθνῶν ἀναγκαίως ἐπὶ Μιθριδάτην. Μέγιστα δὲ αὐτῶν ἐστιν [ἔθνη] Ἀλβανοὶ καὶ Ἴβηρες, Ἴβηρες μὲν ἐπὶ τὰ Μοσχικὰ ὄρη καὶ τὸν Πόντον καθήκοντες, Ἀλβανοὶ δὲ ἐπὶ τὴν ἕω καὶ τὴν Κασπίαν κεκλιμένοι θάλασσαν. Οὗτοι πρῶτον μὲν αἰτοῦντι Πομπηίῳ δίοδον ἔδοσαν· χειμῶνος δὲ τὴν στρατιὰν ἐν τῇ χώρᾳ καταλαβόντος καὶ τῆς Κρονικῆς ἑορτῆς τοῖς Ῥωμαίοις καθηκούσης γενόμενοι τετρακισμυρίων οὐκ ἐλάττους ἐπεχείρησαν αὐτοῖς διαβάντες τὸν Κύρνον ποταμόν, ὃς ἐκ τῶν Ἰβηρικῶν ὀρῶν ἀνιστάμενος καὶ δεχόμενος κατιόντα τὸν Ἀράξην ἀπ' Ἀρμενίας ἐξίησι δώδεκα στόμασιν εἰς τὸ Κάσπιον. Οἱ δὲ οὔ φασι τούτῳ συμφέρεσθαι τὸν Ἀράξην, ἀλλὰ καθ' ἑαυτόν, ἐγγὺς δὲ ποιεῖσθαι τὴν ἐκβολὴν εἰς ταὐτὸ πέλαγος. Πομπήιος δέ, καίπερ ἐνστῆναι δυνάμενος πρὸς τὴν διάβασιν τοῖς πολεμίοις, περιεῖδε διαβάντας καθ' ἡσυχίαν· εἶτα ἐπαγαγὼν ἐτρέψατο καὶ διέφθειρε παμπληθεῖς. Τῷ δὲ βασιλεῖ δεηθέντι καὶ πέμψαντι πρέσβεις ἀφεὶς τὴν ἀδικίαν καὶ σπεισάμενος ἐπὶ τοὺς Ἴβηρας ἐβάδιζε, πλήθει μὲν οὐκ ἐλάττονας, μαχιμωτέρους δὲ τῶν ἑτέρων ὄντας, ἰσχυρῶς δὲ βουλομέ-

XXXIV. Поручивъ Афранію охрану Арменіи, самъ *Помпей* долженъ былъ продолжать походъ противъ Митридата чрезъ земли племенъ, живущихъ кругомъ Кавказа[1]). Главнѣйшія между ними—Албанцы и Иверы: послѣдніе живутъ на *западномъ* склонѣ къ Мосхійскимъ горамъ и Понту, а Албанцы — на восточномъ склонѣ къ Каспійскому морю. Эти *послѣдніе* сначала согласились на просьбу Помпея пропустить его *чрезъ свои владѣнія;* но когда зима застигла войско въ *ихъ* странѣ и у Римлянъ наступалъ Крововскій праздникъ, *то Албанцы* въ числѣ не менѣе 40000 человѣкъ напали на нихъ, перейдя чрезъ рѣку Киръ. Рѣка эта беретъ начало въ Иверскихъ горахъ, принимаетъ текущій изъ Арменіи Араксъ и впадаетъ двѣнадцатью устьями въ Каспій; впрочемъ, нѣкоторые утверждаютъ, что Араксъ не сливается съ Киромъ, а впадаетъ отдѣльно отъ него, хотя и неподалеку, въ то же море. Помпей хотя и могъ воспрепятствовать переправѣ враговъ *чрезъ Киръ*, но спокойно допустилъ ихъ переправиться, а потомъ напалъ на нихъ и обратилъ въ бѣгство съ огромнымъ урономъ; но когда царь ихъ прислалъ пословъ съ просьбою

1) Въ 65 г.

Digitized by Google

νους τῷ Μιθριδάτῃ χαρίζεσθαι καὶ διωθεῖσθαι τὸν Πομπήιον. Οὔτε γὰρ Μήδοις οὔτε Πέρσαις ὑπήκουσαν Ἴβηρες, διέφυγον δὲ καὶ τὴν Μακεδόνων ἀρχήν, Ἀλεξάνδρου διὰ ταχέων ἐκ τῆς Ὑρκανίας ἀπάραντος. Οὐ μὴν ἀλλὰ καὶ τούτους μάχῃ μεγάλῃ τρεψάμενος ὁ Πομπήιος, ὥστε ἀποθανεῖν μὲν ἐνακισχιλίους, ἁλῶναι δὲ πλείους μυρίων, εἰς τὴν Κολχικὴν ἐνέβαλε· καὶ πρὸς τὸν Φᾶσιν αὐτῷ Σερουΐλιος ἀπήντησε τὰς ναῦς ἔχων, αἷς ἐφρούρει τὸν Πόντον.

XXXV. Ἡ μὲν οὖν Μιθριδάτου δίωξις ἐνδεδυκότος εἰς τὰ περὶ Βόσπορον ἔθνη καὶ τὴν Μαιῶτιν ἀπορίας εἶχε μεγάλας· Ἀλβανοὶ δὲ αὖθις ἀφεστῶτες αὐτῷ προσηγγέλθησαν. Πρὸς οὓς ὑπ' ὀργῆς καὶ φιλονεικίας ἐπιστρέψας τόν τε Κύρνον μόλις καὶ παραβόλως πάλιν διεπέρασεν ἐπὶ πολὺ σταυροῖς ὑπὸ τῶν βαρβάρων ἀποκεχαρακωμένον, καὶ μακρᾶς αὐτὸν ἐκδεχομένης ἀνύδρου καὶ ἀργαλέας ὁδοῦ μυρίους ἀσκοὺς ὕδατος ἐμπλησάμενος ἤλαυνεν ἐπὶ τοὺς πολεμίους, καὶ κατέλαβε πρὸς Ἄβαντι ποταμῷ παρατεταγμένους ἑξακισμυρίους πεζοὺς καὶ δισχιλίους ἱππεῖς ἐπὶ μυρίοις, ὡπλισμένους δὲ φαύλως καὶ δέρμασι θηρίων τοὺς πολλούς. Ἡγεῖτο δὲ αὐτῶν βασιλέως ἀδελφὸς ὄνομα Κῶσις. Οὗτος ἐν χερσὶ τῆς μάχης γενομένης ἐπὶ τὸν Πομπήιον ὁρμήσας αὐτὸν ἔβαλεν ἐπὶ τὴν τοῦ θώρακος ἐπιπτυχὴν ἀκοντίσματι, Πομπήιος δὲ ἐκεῖνον ἐκ χειρὸς διελάσας ἀνεῖλεν. Ἐν ταύτῃ τῇ μάχῃ λέγονται καὶ Ἀμαζόνες συναγωνίσασθαι τοῖς βαρβάροις ἀπὸ τῶν περὶ τὸν Θερμώδοντα ποταμὸν ὀρῶν καταβᾶσαι. Μετὰ γὰρ τὴν μάχην σκυλεύοντες οἱ Ῥωμαῖοι τοὺς βαρβάρους πέλταις Ἀμαζονικαῖς καὶ κοθόρνοις ἐνετύγχανον, σῶμα δὲ οὐδὲν ὤφθη γυναικεῖον. Νέμονται δὲ τοῦ Καυκάσου τὰ καθήκοντα πρὸς τὴν Ὑρκανίαν θάλασσαν οὐχ ὁμοροῦσαι τοῖς Ἀλβανοῖς, ἀλλὰ Γέλαι καὶ Λῆγες οἰκοῦσι διὰ μέσου. καὶ τούτοις ἔτους ἑκάστου δύο μῆνας εἰς ταὐτὸ φοιτῶσαι περὶ τὸν Θερμώδοντα ποταμὸν ὁμιλοῦσιν, εἶτα καθ' αὑτὰς ἀπαλλαγεῖσαι βιοτεύουσιν.

о помиловании, онъ простилъ эту обиду, возобновилъ миръ и пошелъ противъ Иверовъ, которые, не уступая первымъ численностью и будучи еще болѣе воинственными, сильно желали угодить Митридату и отразить Помпея. Иверы не покорялись ни Мидянамъ, ни Персамъ, избѣжали даже и Македонскаго владычества вслѣдствіе поспѣшнаго удаленія Александра изъ Иркаиіи. Однако, Помпею удалось въ большой битвѣ нанести и имъ такое пораженіе, что 9000 было убито и болѣе 10000 взято въ плѣнъ. *Такимъ образомъ* Помпей открылъ себѣ путь въ Колхиду; у Фасида встрѣтилъ его Сервилій съ эскадрой, охранявшей Понтъ.

XXXV. Преслѣдованіе Митридата, удалившагося къ народамъ, жившимъ по Боспору и Меотидѣ, *само по себѣ* сопряжено было съ большими затрудненіями; а *сверхъ того* было донесено Помпею, что Албавцы снова возстали. Съ гнѣвомъ и жаждой мести обратившись противъ нихъ, онъ съ трудомъ и опасностью переправился назадъ черезъ Киръ, который варвары на большомъ пространствѣ оградили частоколомъ; имѣя въ виду предстоявшій ему длинный и затруднительный путь по безводной мѣстности, онъ приказалъ наполнить водою 10000 бурдюковъ и двинулся на непріятелей; у рѣки Аванта онъ встрѣтилъ 60000 пѣхоты и 12000 конницы въ боевомъ порядкѣ, но съ плохимъ вооруженіемъ и большею частью въ звѣриныхъ шкурахъ. Ими предводительствовалъ братъ *ихъ* царя, по имени Косидъ. Когда дѣло дошло до рукопашной схватки, онъ бросился на Помпея и ударилъ его копьемъ по складкѣ панцыря; но Помпей нанесъ ему смертельный ударъ копьемъ. Разсказываютъ, что въ этомъ сраженіи помогали варварамъ и Амазонки, спустившіяся съ горъ у рѣки Термодонта, такъ какъ послѣ сраженія Римляне, снимая доспѣхи съ *убитыхъ* варваровъ, находили Амазонскія пелты и полусапожки; однако, женскаго трупа не видали ни одного. Амазонки занимаютъ *полосу* Кавказа, прилегающую къ Иркапскому морю, но не рядомъ съ Албанцами, ибо между ними живутъ *еще* Гелы и Лиги. *Амазонки* проводятъ съ ними ежегодно по два мѣсяца, сходясь вмѣстѣ у рѣки Термодонта, а затѣмъ удаляются и живутъ *сами* по себѣ.

Digitized by Google

XXXVI. Ὁρμήσας δὲ μετὰ τὴν μάχην ὁ Πομπήιος ἐλαύνειν ἐπὶ τὴν Ὑρκανίαν καὶ Κασπίαν θάλασσαν, ὑπὸ πλήθους ἑρπετῶν θανασίμων ἀπετράπη τριῶν ὁδὸν ἡμερῶν ἀποσχών, εἰς δὲ τὴν μικρὰν Ἀρμενίαν ἀνεχώρησε...

(**Extr.**)... τοῦ βασιλέως τῶν Ἰβήρων κλίνην τε καὶ τράπεζαν καὶ θρόνον, ἅπαντα χρυσᾶ, πέμψαντος αὐτῷ καὶ δεηθέντος λαβεῖν, καὶ ταῦτα τοῖς ταμίαις παρέδωκεν εἰς τὸ δημόσιον.

XXXVIII. Ἐντεῦθεν εἰς Ἀμισὸν ἐλθὼν ὁ Πομπήιος... αὐτὸς ἐν Βοσπόρῳ Μιθριδάτου κρατοῦντος καὶ συνειλοχότος ἀξιόμαχον δύναμιν, ὡς δὴ συντετελεσμένων ἁπάντων, ἔπραττε ταὐτὰ, διακοσμῶν τὰς ἐπαρχίας καὶ διανέμων δωρεάς, πολλῶν μὲν ἡγεμόνων καὶ δυναστῶν, βασιλέων δὲ δώδεκα βαρβάρων ἀφιγμένων πρὸς αὐτόν...

...Καὶ γὰρ ἄλλως τὸν Μιθριδάτην ἑώρα δυσθήρατον ὄντα τοῖς ὅπλοις καὶ φεύγοντα χαλεπώτερον ἢ μαχόμενον.

XXXIX. Διὸ τούτῳ μὲν εἰπὼν ἰσχυρότερον ἑαυτοῦ πολέμιον τὸν λιμὸν ἀπολείψειν ἐπέστησε φυλακὰς τῶν νεῶν ἐπὶ τοὺς πλέοντας εἰς Βόσπορον ἐμπόρους· καὶ θάνατος ἦν ζημία τοῖς ἁλισκομένοις. Ἀναλαβὼν δὲ τῆς στρατιᾶς τὴν πληθὺν συχνὴν προῆγε...

XLI extr. ...ὁ Πομπήιος ἀπήγγειλεν αὐτοῖς [τ. ἐ. τοῖς στρατιώταις], ὅτι Μιθριδάτης τέθνηκε στασιάσαντος Φαρνάκου τοῦ υἱοῦ διαχρησάμενος αὐτὸν, τὰ δὲ ἐκεῖ πάντα πράγματα Φαρνάκης κατεκληρώσατο καὶ ἑαυτῷ καὶ Ῥωμαίοις γέγραφε ποιούμενος.

XLII. [Μετὰ δὲ ταῦτα] Πομπήιος... εὐθὺς ἀνέζευξεν ἐκ τῆς Ἀραβίας καὶ ταχὺ τὰς ἐν μέσῳ διεξελθὼν ἐπαρχίας εἰς Ἀμισὸν ἀφίκετο καὶ κατέλαβε πολλὰ μὲν δῶρα παρὰ Φαρνάκου κεκομισμένα, πολλὰ δὲ σώματα τῶν βασιλικῶν, αὐτὸν δὲ τὸν Μιθριδάτου νεκρόν...

---

1) Весною 64 г.

XXXVI. Послѣ этого сраженія Помпей двинулся было къ Иркапскому и Каспійскому морю, но вслѣдствіе множества ядовитыхъ пресмыкающихся отказался *отъ этого намѣренія*, не дойдя трехъ переходовъ *до моря*, и возвратился въ Малую Арменію...

(*Кон.*)... Когда Иверскій царь прислалъ ему ложе, столъ и тронъ, все изъ золота, съ просьбою принять *въ даръ*, онъ передалъ эти вещи квесторамъ *для пріобщенія* къ государственной собственности.

XXXVIII. Оттуда Помпей прибылъ въ Амисъ [1]),... Несмотря на то, что Митридатъ владѣлъ еще Воспоромъ и собралъ тамъ значительныя силы, Помпей, какъ будто бы все уже было кончено, дѣлалъ то же [что Лукуллъ], *т. е.* распоряжался областями и распредѣлялъ дары, такъ какъ къ нему явилось много предводителей и властителей и 12 варварскихъ царей...

...Онъ видѣлъ, что Митридата не легко поймать военной силой и что онъ доставляетъ больше затрудненій въ бѣгствѣ, нежели въ бою.

XXXIX. Поэтому онъ сказалъ, что оставитъ ему болѣе сильнаго врага, нежели самъ онъ, именно голодъ, и поставилъ наблюдательную эскадру для *того, чтобы ловить* плывшихъ въ Воспоръ купцовъ, приказавъ казнить смертью всякаго, кто попадется. Самъ же онъ съ значительными силами удалился [на югъ, къ Красному морю]...

XLI кон... [Во время Аравійскаго похода, по полученіи извѣстія о смерти Митридата] Помпей объявилъ солдатамъ, что Митридатъ вслѣдствіе измѣны своего сына Фарнака покончилъ жизнь самоубійствомъ, а Фарнакъ наслѣдовалъ всѣ его владѣнія и писалъ, что принялъ *все* себѣ и Римлянамъ.

XLII [Послѣ этого] Помпей... немедленно двинулся изъ Аравіи и, быстро пройдя лежавшія на его пути области, прибылъ въ Амисъ и получилъ множество даровъ, привезенныхъ отъ Фарнака, множество труповъ царедворцевъ и трупъ самого Митридата...

Digitized by Google

XLV. [Ἐν τῷ Πομπηίου θριάμβῳ] γράμμασι προηγουμένοις ἐδηλοῦτο τὰ γένη, καθ' ὧν ἐθριάμβευεν. Ἦν δὲ τάδε· Πόντος, Ἀρμενία, Καππαδοκία, Παφλαγονία, Μηδία, Κολχίς, Ἴβηρες, Ἀλβανοί... Αἰχμάλωτοι δ' ἐπομπεύθησαν... υἱὸς Τιγράνου τοῦ Ἀρμενίου μετὰ γυναικὸς καὶ θυγατρός, αὐτοῦ τε Τιγράνου τοῦ βασιλέως γυνὴ Ζωσίμη..., Μιθριδάτου δὲ ἀδελφὴ καὶ πέντε τέκνα καὶ Σκυθίδες γυναῖκες, Ἀλβανῶν δὲ καὶ Ἰβήρων ὅμηροι...

[Въ тріумфѣ Помпея] надписями на несомыхъ впереди *доскахъ* были обозначены *земли и* народы, надъ которыми онъ имѣлъ тріумфъ. То были: Понтъ, Арменія, Каппадокія, Пафлагонія, Мидія, Колхида, Иверы, Албанцы... Въ шествіи были ведены плѣнные:... сынъ Тиграна Армянскаго съ женою и дочерью, самого царя Тиграна супруга Зосима.., сестра, пятеро дѣтей и скиѳскія жены Митридата, заложники Албанцевъ и Иверовъ...

Г. ΚΑΙΣΑΡ.

LVIII. ...Παρασκευὴ καὶ γνώμη [Καίσαρι ἦν] στρατεύειν μὲν ἐπὶ Πάρθους, καταστρεψαμένῳ δὲ τούτους καὶ δι' Ὑρκανίας παρὰ τὴν Κασπίαν θάλασσαν καὶ τὸν Καύκασον ἐκπεριελθόντι τὸν Πόντον εἰς τὴν Σκυθικὴν ἐμβαλεῖν,—καὶ τὰ περίχωρα Γερμανοῖς καὶ Γερμανίαν αὐτὴν ἐπιδραμόντι διὰ Κελτῶν ἐπανελθεῖν εἰς Ἰταλίαν καὶ συνάψαι τὸν κύκλον τοῦτον τῆς ἡγεμονίας τῷ πανταχόθεν Ὠκεανῷ περιορισθείσης.

Г. КЕСАРЬ.

...Кесарь готовился и намѣревался идти походомъ на Парѳовъ, а покоривъ ихъ и чрезъ Ирканію вдоль Каспійскаго моря и по Кавказу обойдя Понтъ, вторгнуться въ Скиѳію, *затѣмъ*, пройдя сосѣднія съ Германцами страны и самую Германію, чрезъ землю Кельтовъ возвратиться въ Италію и *такимъ образомъ* связать этотъ кругъ господства, ограниченнаго отовсюду *окружающимъ землю* Океаномъ.

ΑΝΤΩΝΙΟΣ.

XXXIV. ...Σόσσιος Ἀντωνίου στρατηγὸς ἐν Συρίᾳ πολλὰ διεπράττετο, καὶ Κανίδιος ἀπολειφθεὶς ὑπ' αὐτοῦ περὶ Ἀρμενίαν τούτους τε νικῶν καὶ τοὺς Ἰβήρων καὶ Ἀλβανῶν βασιλέας ἄχρι τοῦ Καυκάσου προῆλθεν...

АНТОНІЙ.

...Антоніевъ воевода Соссій совершилъ много подвиговъ въ Сиріи, а Канидій, оставленный имъ въ Арменіи, побѣдивъ Армянъ и царей Иверовъ и Албанцевъ, дошелъ до Кавказа [1])...

ΔΗΜΗΤΡΙΟΥ ΚΑΙ ΑΝΤΩΝΙΟΥ ΣΥΓΚΡΙΣΙΣ.

I. ...Τοσοῦτον ἴσχυσεν [Ἀντώνιος] ἐκ μόνων τῶν περὶ αὐτὸν ὑπαρχόντων ὁρμώμενος, ὥστε... ἀπὼν αὐτὸς ὑπηρέταις τε καὶ ὑποστρατήγοις Πάρθους τε νικῆσαι πολλάκις καὶ τὰ περὶ Καύκασον ἔθνη βάρβαρα μέχρι τῆς Κασπίας ὥσασθαι θαλάσσης.

СРАВНЕНІЕ ДИМИТРІЯ СЪ АНТОНІЕМЪ.

...Антоній достигъ такой степени могущества, благодаря исключительно своимъ личнымъ качествамъ, что... даже отсутствуя самъ, черезъ своихъ слугъ и подчиненныхъ офицеровъ не разъ побѣждалъ Парѳовъ и живущія на Кавказѣ варварскія племена оттѣснилъ до Каспійскаго моря.

---

1) Въ 36 г. до Р. Хр.

Digitized by Google

II. ΗΘΙΚΑ.

ΤΟΝ ΕΠΤΑ ΣΟΦΩΝ ΣΥΜΠΟΣΙΟΝ.

5... Προσαγορεύσας τὸν Ἀνάχαρσιν ὁ Ἀρδαλος ἠρώτησεν εἰ παρὰ Σκύθαις αὐλητρίδες εἰσίν· ὁ δ' ἐκ τοῦ προστυχόντος, 'οὐδ' ἄμπελοι' εἶπε. τοῦ δ' Ἀρδάλου πάλιν εἰπόντος 'ἀλλὰ θεοί γε Σκύθαις εἰσί', 'πάνυ μὲν οὖν' ἔφη 'γλώσσης ἀνθρωπίνης συνιέντες, οὐχ ὥσπερ δ' οἱ Ἕλληνες οἰόμενοι Σκυθῶν διαλέγεσθαι βέλτιον ὅμως τοὺς θεοὺς ὀστέων καὶ ξύλων ἥδιον ἀκροᾶσθαι νομίζουσιν'...

12. Τέλος δὲ καὶ τούτου τοῦ λόγου λαβόντος ἠξίουν ἐγὼ καὶ περὶ οἴκου ἢ χρηστέον εἰπεῖν τοὺς ἄνδρας ἡμῖν. 'βασιλείας μὲν γὰρ καὶ πόλεις ὀλίγοι κυβερνῶσιν, ἑστίας δὲ πᾶσιν ἡμῖν καὶ οἴκου μέτεστι'. γελάσας οὖν ὁ Αἴσωπος 'Οὔκ, εἴγε τῶν πάντων' ἔφη 'καὶ Ἀνάχαρσιν ἀριθμεῖς· τούτῳ γὰρ οἶκος οὐκ ἔστιν, ἀλλὰ καὶ σεμνύνεται τῷ ἄοικος εἶναι, χρῆσθαι δ' ἁμάξῃ, καθάπερ τὸν ἥλιον ἐν ἅρματι λέγουσι περιπολεῖν, ἄλλοτ' ἄλλην ἐπινεμόμενον τοῦ οὐρανοῦ χώραν'. καὶ ὁ Ἀνάχαρσις 'διὰ τοῦτο τοι' εἶπεν 'ἡ μόνος ἢ μάλιστα τῶν θεῶν ἐλεύθερός ἐστι καὶ αὐτόνομος, καὶ κρατεῖ πάντων, κρατεῖται δ' ὑπ' οὐδενός, ἀλλὰ βασιλεύει καὶ ἡνιοχεύει. πλὴν σέ γε τὸ ἅρμα λέληθεν αὐτοῦ, ὡς ὑπερφυὲς κάλλει καὶ μεγέθει θαυμάσιόν ἐστιν· οὐ γὰρ ἂν παίζων ἐπὶ γέλωτι παρέβαλες ἐκεῖνο τοῖς ἡμετέροις...

ΠΕΡΙ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ.

13. Οὐκ ἄμεινον οὖν ἦν Γαλάταις ἐκείνοις καὶ Σκύθαις τὸ παράπαν μήτ' ἔννοιαν ἔχειν θεῶν μήτε φαντασίαν μήθ' ἱστορίαν ἢ θεοὺς εἶναι νομίζειν χαίροντας ἀνθρώπων σφαττομένων αἵματι καὶ τελεωτάτην θυσίαν καὶ ἱερουργίαν ταύτην νομίζοντας;...

II. НРАВСТВЕННЫЯ РАЗСУЖДЕНІЯ.

ПИРЪ СЕМИ МУДРЕЦОВЪ.

5... Ардалъ, обратившись къ Анахарсиду, спросилъ, есть ли у Скиѳовъ флейтистки? Тотъ сразу сказалъ, что нѣтъ даже лозъ. Ардалъ снова спросилъ: «Но боги вѣдь есть у Скиѳовъ?» — «Конечно, отвѣтилъ онъ, *но* понимающіе человѣческій языкъ: не такъ, какъ Эллины, думающіе, что они говорятъ лучше Скиѳовъ, и все-таки полагающіе, что боги съ бо́льшимъ удовольствіемъ слушаютъ костяные и деревянные *инструменты*»...

12. По окончаніи и этого разговора я предложилъ мужамъ сказать намъ и о томъ, какъ слѣдуетъ вести домъ; «вѣдь царствами и городами управляютъ немногіе, а очагъ и домъ есть у всѣхъ насъ». Эсопъ, засмѣявшись, сказалъ на это: «Нѣтъ, если ты въ число всѣхъ включаешь и Анахарсида: у него нѣтъ дома и онъ даже гордится тѣмъ, что онъ бездомный и живетъ на повозкѣ, подобно тому, какъ о солнцѣ говорятъ, что оно странствуетъ на колесницѣ, посѣщая то ту, то другую сторону неба».—«Поэтому то, возразилъ Анахарсидъ, оно или единственное изъ боговъ, или преимущественно предъ другими свободно, самостоятельно и властвуетъ всѣмъ, а само никому не подвластно, но царствуетъ и правитъ. Только ты забылъ, какъ превосходна по красотѣ и удивительна по величинѣ его колесница: иначе ты не сравнилъ бы ее съ нашими въ шутку и на смѣхъ»...

О СУЕВѢРІИ.

13. ...Развѣ не лучше было бы, чтобы Галаты и Скиѳы совершенно не имѣли ни понятія, ни представленія, ни разсказовъ о богахъ, чѣмъ признавали боговъ, находящихъ наслажденіе въ крови убиваемыхъ людей и считающихъ это совершеннѣйшею жертвою и священнослуженіемъ?...

Digitized by Google

ΑΠΟΦΘΕΓΜΑΤΑ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΣΤΡΑΤΗΓΩΝ.

ИЗРЕЧЕНІЯ ЦАРЕЙ И ВОЕВОДЪ.

ΙΔΑΝΘΥΡΣΟΥ.

Ἰδάνθυρσος ὁ Σκυθῶν βασιλεὺς, ἐφ' ὃν διέβη Δαρεῖος, ἔπειθε τοὺς Ἰώνων τυράννους τὸ τοῦ Ἴστρου ζεῦγμα λύσαντας ἀπαλλάττεσθαι· μὴ βουληθέντας δὲ διὰ τὴν πρὸς Δαρεῖον πίστιν, ἀνδράποδα χρηστὰ καὶ ἄδραστα ἐκάλει.

ИДАНѲИРСЪ.

Скиѳскій царь Иданѳирсъ, противъ котораго переправился [въ Европу] Дарій, убѣждалъ Іонійскихъ тирановъ разрушить мостъ на Истрѣ и удалиться; когда же они не захотѣли *сдѣлать это* вслѣдствіе вѣрности Дарію, онъ назвалъ ихъ хорошими и неубѣгающими рабами.

ΑΤΕΟΥ.

Ἀτέας ἔγραφε πρὸς τὸν Φίλιππον 'σὺ μὲν ἄρχεις Μακεδόνων ἀνθρώποις μεμαθηκότων πολεμεῖν· ἐγὼ δὲ Σκυθῶν, οἳ καὶ λιμῷ καὶ δίψει μάχεσθαι δύνανται'. τοὺς δὲ πρέσβεις τοῦ Φιλίππου ψήχων τὸν ἵππον ἠρώτησεν 'εἰ τοῦτο ποιεῖ Φίλιππος'. Ἰσμηνίαν δὲ τὸν ἄριστον αὐλητὴν λαβὼν αἰχμάλωτον ἐκέλευσεν αὐλῆσαι· θαυμαζόντων δὲ τῶν ἄλλων, αὐτὸς ὥμοσεν ἥδιον ἀκούειν τοῦ ἵππου χρεμετίζοντος [1]).

АТЕЙ.

Атей писалъ Филиппу: «Ты властвуешь надъ Македонянами, обученными воевать съ людьми, а я — надъ Скиѳами, которые могутъ бороться и съ голодомъ и съ жаждою». Пословъ Филиппа онъ спросилъ, чистя коня: «дѣлаетъ ли это Филиппъ?» Захвативъ въ плѣнъ превосходнаго флейтиста Исминія, *онъ* приказалъ *ему* сыграть на флейтѣ; между тѣмъ какъ прочіе выражали удивленіе *его игрѣ*, онъ съ клятвою сказалъ, что съ бо́льшимъ удовольствіемъ слушаетъ ржаніе коня.

ΣΚΙΛΟΥΡΟΥ.

Σκίλουρος ὀγδοήκοντα παῖδας ἄρρενας ἀπολιπών, ἐπεὶ τελευτᾶν ἔμελλε, δέσμην ἀκοντίων ἑκάστῳ προτείνων ἐκέλευε καταθραῦσαι· πάντων δὲ ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς ἐξελὼν ἀκόντιον ἅπαντα ῥᾳδίως συνέκλασε· διδάσκων ἐκείνους, ὅτι συνεστῶτες ἰσχυροὶ διαμενοῦσιν, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες καὶ στασιάσαντες.

СКИЛУРЪ.

Скилуръ, оставившій восемьдесятъ сыновей, передъ кончиною предлагалъ каждому связку дротиковъ, приказывая переломить ее; когда же всѣ отказались, онъ самъ, вынимая дротики по одиночкѣ, легко переломилъ всѣ, объясняя сыновьямъ, что, дѣйствуя заодно, они останутся сильными, а раздѣлившись и враждуя другъ съ другомъ, будутъ слабы.

ΠΕΡΙ ΤΟΥ ΠΡΩΤΩΣ ΨΥΧΡΟΥ.

16. Ἔπειτα πανταχοῦ μέν ἐστιν ἀὴρ ἴσος, οὐ πανταχοῦ δὲ χειμὼν ὅμοιος οὐδὲ ψῦχος. ἀλλὰ ταῦτα μὲν τὰ μέρη ψυχρὰ

О ПЕРВОНАЧАЛЬНОМЪ ХОЛОДѢ.

Воздухъ повсюду одинъ и тотъ же, но зима и холодъ не вездѣ одинаковы: однѣ страны свѣта холодны и сыры, другія —

1) Cf. *Non posse suav. vivi sec. Epicurum*, c. 13:... εἶτ' οὐχ ἐμμελέστερον ἀποφαίνουσι τὸν Σκύθην Ἀτέαν ὃς, Ἰσμηνίου τοῦ αὐλητοῦ ληφθέντος αἰχμαλώτου καὶ παρὰ πότον αὐλήσαντος, ὤμοσεν ἥδιον ἀκούειν τοῦ ἵππου χρεμετίζοντος;

Digitized by Google

καὶ κάθυγρα, ταῦτα δὲ ξηρὰ καὶ θερμὰ τῆς οἰκουμένης οὐ κατὰ τύχην, ἀλλὰ τῷ μίαν οὐσίαν ψυχρότητος καὶ ὑγρότητος εἶναι. Λιβύης μὲν γὰρ ἔνθερμος ἡ πολλὴ καὶ ἄνυδρος, Σκυθίαν δὲ καὶ Θρᾴκην καὶ Πόντον οἱ πεπλανημένοι λίμνας τε μεγάλας ἔχειν καὶ ποταμοῖς διαρρεῖσθαι βαθέσι καὶ πολλοῖς ἱστοροῦσιν...

сухи и жарки, не случайно, а вслѣдствіе того, что сущность холода и сырости одна и та же. Такъ, большая часть Ливіи тепла и безводна, относительно же Скиѳіи, Ѳракіи и Понта путешественники разсказываютъ, что тамъ есть большія озера и протекаютъ многія глубокія рѣки...

ΠΟΤΕΡΑ ΤΩΝ ΖΩΙΩΝ ΦΡΟΝΙΜΩΤΕΡΑ ΤΑ ΧΕΡΣΑΙΑ Η ΤΑ ΕΝΥΔΡΑ [1]).

32... Οἱ λίμναις παρήκουσαν ἢ ποταμοὺς ὑποδεχομένην νεμόμενοι θάλασσαν ἰχθύες, ὅταν μέλλωσι τίκτειν, ἀνατρέχουσι, τῶν ποτίμων ὑδάτων τὴν πραότητα καὶ τὸ ἄσαλον διώκοντες· ἀγαθὴ γὰρ ἡ γαλήνη λοχεῦσαι· καὶ τὸ ἄθηρον ἅμα ταῖς λίμναις ἔνεστι καὶ ποταμοῖς, ὥστε σῴζεσθαι τὰ τικτόμενα. διὸ καὶ πλεῖστα καὶ μάλιστα γονεύεται περὶ τὸν Εὔξεινον Πόντον· οὐ γὰρ τρέφει κήτη ἀλλ' ἢ φώκην ἀραιὰν καὶ δελφῖνα μικρόν. ἔτι δ' ἡ τῶν ποταμῶν ἐπιμιξία, πλείστων καὶ μεγίστων ἐκδιδόντων εἰς τὸν Πόντον, ἥπιον παρέχει καὶ πρόσφορον τοῖς λοχευομένοις κρᾶσιν.

КОТОРЫЯ ЖИВОТНЫЯ УМНѢЕ, СУХОПУТНЫЯ ИЛИ ВОДЯНЫЯ.

...Рыбы, живущія въ морѣ, соприкасающемся съ озерами или принимающемъ *въ себя* рѣки, во время переста поднимаются *въ рѣки*, стремясь къ спокойствію и тишинѣ прѣсныхъ водъ; ибо тишь удобна для рожденія, и вмѣстѣ съ тѣмъ въ озерахъ и рѣкахъ имъ обезпечена свобода отъ преслѣдованія, такъ что мальки остаются въ живыхъ. Поэтому огромное большинство *рыбъ* нерестится преимущественно въ Евксинскомъ Понтѣ, такъ какъ въ немъ пѣтъ морскихъ животныхъ, кромѣ рѣдко встрѣчающагося тюленя и маленькаго дельфина, а кромѣ того, доступность рѣкъ, которыхъ очень много и притомъ огромныхъ впадаетъ въ Понтъ, представляетъ нерестящимся рыбамъ *возможность* спокойнаго и удобнаго соединенія.

ΠΕΡΙ ΣΑΡΚΟΦΑΓΙΑΣ

ΛΟΓΟΣ Β'.

ОБЪ УПОТРЕБЛЕНІИ ВЪ ПИЩУ МЯСА

РѢЧЬ 2-Я.

Въ § 3 упоминаются «Σκύθαι καὶ Σογδιανοὶ καὶ Μελάγχλαινοι, περὶ ὧν Ἡρόδοτος ἱστορῶν ἀπιστεῖται», т. е. «Скиѳы, Согдіаны и Меланхлэны, Иродотовымъ разсказамъ о которыхъ не вѣрятъ».

ΠΕΡΙ ΣΤΩΙΚΩΝ ΕΝΑΝΤΙΩΜΑΤΩΝ.

20... ἀλλ' αὐτὸς ὁ Χρύσιππος ἐν τῷ πρώτῳ περὶ Βίων βασιλείαν τε τὸν σοφὸν

О ПРОТИВОРѢЧІЯХЪ СТОИКОВЪ.

...Но самъ Хризиппъ [2]) въ первой *книгѣ* «Жизнеописаній» говоритъ, что

V. 16: «καὶ μάλιστα] suspecta» Bern. || V. 18: «κήτη γ?» idem. Fortasse κήτη ἀλλ' ἢ.

1) Латинское заглавіе—De sollertia animalium.

2) Извѣстный представитель стоической школы, жившій въ III в. до Р. Хр.

Digitized by Google

ἑκουσίως ἀναδέχεσθαι λέγει, χρηματιζόμενον ἀπ' αὐτῆς. κἂν αὐτὸς βασιλεύειν μὴ δύνηται, συμβιώσεται βασιλεῖ καὶ στρατεύσεται μετὰ βασιλέως, οἷος ἦν Ἰδάνθυρσος ὁ Σκύθης ἢ Λεύκων ὁ Ποντικός. παραθήσομαι δὲ καὶ ταύτην αὐτοῦ τὴν διάλεκτον, ὅπως εἰδῶμεν εἰ, καθάπερ ἐκ νήτης καὶ ὑπάτης γίγνεταί τι σύμφωνον, οὕτως ὁμολογεῖ βίος ἀνδρὸς καὶ ἀπραγμοσύνην αἱρουμένου καὶ ὀλιγοπραγμοσύνην, εἶτα συνιππαζομένου Σκύθαις καὶ τὰ τῶν ἐν Βοσπόρῳ τυράννων πράττοντος ἐξ οἱασδήτινος ἀνάγκης· ὅτι γάρ φησι καὶ στρατεύσεται μετὰ δυναστῶν καὶ βιώσεται, πάλιν ἐπισκεψώμεθα... καὶ μετὰ μικρόν οὐ μόνον δὲ μετὰ τῶν προκαθημένων ἐπὶ ποσὸν καὶ ἐν ἀγωγαῖς καὶ ἐν ἔθεσι ποιοῖς γεγονότων, οἷον παρὰ Λεύκωνι καὶ Ἰδανθύρσῳ. Καλλισθένει τινὲς ἐγκαλοῦσιν, ὅτι πρὸς Ἀλέξανδρον ἔπλευσεν ἐλπίζων ἀναστήσειν Ὄλυνθον, ὡς Στάγειρα Ἀριστοτέλης· Ἔφορον δὲ καὶ Ξενοκράτην καὶ Μενέδημον ἐπαινοῦσι παραιτησαμένους τὸν Ἀλέξανδρον· ὁ δὲ Χρύσιππος ἕνεκα χρηματισμοῦ τὸν σοφὸν ἐπὶ κεφαλὴν ἐς Παντικάπαιον ὠθεῖ καὶ τὴν Σκυθῶν ἐρημίαν. ὅτι γὰρ ἐργασίας ἕνεκα καὶ χρηματισμοῦ ταῦτα ποιεῖ, καὶ προδεδήλωκε τρεῖς ὑποθέμενος ἁρμόζοντας μάλιστα τῷ σοφῷ χρηματισμούς, τὸν ἀπὸ βασιλείας καὶ τὸν ἀπὸ φίλων καὶ τρίτον ἐπὶ τούτοις τὸν ἀπὸ σοφιστείας'...

1 «мудрецъ *можетъ* охотно принимать царскую власть, извлекая изъ нея выгоду; а если онъ самъ не можетъ царствовать, то будетъ жить съ царемъ и выступать въ походы съ царемъ, каковъ былъ Иданѳирсъ Скѳескій или Левконъ Понтійскій». Я приведу и слѣдующее его разсужденіе, чтобы узнать, будетъ ли, подобно тому, какъ отъ самой нижней и самой верхней *струны* получается созвучіе, такъ же согласна жизнь мужа, избирающаго *своей цѣлью* бездѣйствіе или малую дѣятельность, а затѣмъ ѣздящаго верхомъ со Скѳами и занимающагося дѣлами Воспорскихъ тирановъ по какой бы то ни было причинѣ; онъ говоритъ: «что онъ будетъ и выступать въ походы съ властителями и жить *съ ними*, мы разсмотримъ впослѣдствіи» и немного спустя: «и не только съ имѣющими нѣкоторое развитіе и получившими воспитаніе и нѣкоторыя нравственныя начала, какъ у Левкона и Иданѳирса». Нѣкоторые ставятъ въ вину Каллисѳену, что онъ отплылъ къ Александру въ надеждѣ возстановить Олинѳъ, какъ Аристотель *возстановилъ* Стагиры, и хвалятъ Ефора, Ксенократа и Менедима, отклонившихъ приглашеніе Александра; а Хрисиппъ ради обогащенія стремглавъ посылаетъ мудреца въ Пантикапэй и въ Скѳескую пустыню. Ибо онъ ясно показалъ, что дѣлаетъ это ради заработка и обогащенія, «предполагая, что мудрецу особенно приличествуютъ три *способа* обогащенія, — отъ царской власти, отъ друзей и третій затѣмъ отъ занятій софиста».

ΠΕΡΙ ΤΩΝ ΚΟΙΝΩΝ ΕΝΝΟΙΩΝ ΠΡΟΣ ΤΟΥΣ ΣΤΩΙΚΟΥΣ [1]).

7... νοσῶν μὲν ἰατροῖς τελεῖ μισθοὺς [sc. ὁ σοφός], χρημάτων δ' ἕνεκα πρὸς Λεύκωνα πλεῖ τὸν ἐν Βοσπόρῳ δυνάστην καὶ πρὸς Ἰδάνθυρσον ἀποδημεῖ τὸν Σκύθην· ὡς φησι Χρύσιππος...

ОБЪ ОБЩИХЪ ПОНЯТІЯХЪ ПРОТИВЪ СТОИКОВЪ.

...«Будучи боленъ, *мудрецъ* платитъ жалованье врачамъ, а изъ-за денегъ плыветъ къ Воспорскому властителю Левкону и отправляется къ Скѳескому *царю* Иданѳирсу», какъ говоритъ Хрисиппъ...

---

1) Латинское заглавіе — De communibus notitiis.

Digitized by Google

ΠΕΡΙ ΜΟΥΣΙΚΗΣ.

14... τὰ ἐξ Ὑπερβορέων ἱερὰ μετ' αὐλῶν καὶ συρίγγων καὶ κιθάρας εἰς τὴν Δῆλόν φασι τὸ παλαιὸν στέλλεσθαι...

О МУЗЫКѢ.

...Говорятъ, что въ древности святыни изъ *страны* Ипербореевъ посылались на Делосъ съ флейтами, свирѣлями и киварой...

ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ΑΛΕΞΑΝΔΡΕΥΣΙ ΠΑΡΟΙΜΙΩΝ.

[Текстъ: **Plutarchi de proverbiis Alexandrinorum libellus inedituS.** Recensuit et praefatus est **Otto Crusius.** Lips. ap. Teubn. 1887. 4°].

I, 10. νόμος καὶ χώρα: ἡ παροιμία αὕτη λέγεται διὰ τὸ ἕκαστον ἔθνος ἰδίοις νόμοις χρῆσθαι...

Στάφυλοι τιμῶσι γυναῖκα τὴν πλείοσιν ἀνδράσι γαμηθεῖσαν. Ὄρειοι Μασσαγέται ἐν ταῖς ὁδοῖς πλησίαζουσι. Σαυρομάται παρὰ πότον τὰς θυγατέρας πιπράσκουσι. παρ' Ἀμαζόσιν οὐδεμία γαμεῖται, ἐὰν μὴ πολέμιον ἀνέλῃ.

Τιβαρηνοὶ τῶν γυναικῶν τεκουσῶν αὐτοὶ τὰς κεφαλὰς δέονται καὶ κατακλίνονται.

παρὰ τοῖς Κερκεταίοις οἱ ἐργάται τὰ φορτία βαστάζουσιν, ἄχρις οὗ τις αὐτὰ ὠνήσεται.

Ἐσσηδόνες τοὺς γονεῖς ἐσθίουσι χωρὶς τῆς κεφαλῆς· τὴν δὲ κεφαλὴν χρυσοῦσιν. Καυσιανοὶ ἐπὶ μὲν τοῖς γεννωμένοις δακρύουσιν, ἐπὶ δὲ ἀποθνήσκουσι χαίρουσιν.

Βακχείριοι ἐὰν ἀπὸ νόσου ⟨μὴ⟩ σωθῶσι, κυσὶν ἑαυτοὺς παραβάλλουσιν.

Ὀργεμπαῖοι οἰκίας οὐκ ἔχουσιν, οὐδ' ἔμψυχόν τι σιτοῦνται· εἰσὶ δὲ καὶ σὺν γυναιξὶ φαλακροὶ διὰ τὴν φύσιν τοῦ ὕδατος, οὗ πίνουσιν.

Θυσσαγέται τὰ ὀστᾶ τοῖς θεοῖς ἐπιθύουσιν, αὐτοὶ τὰς σάρκας ἐσθίοντες. Ταυροσκύθαι ἀνθρωποθυτοῦσιν.

I, 10. «Въ каждой странѣ свой законъ»: эта пословица говорится вслѣдствіе того, что каждый народъ имѣетъ свои особые обычаи...

Стафилы почитаютъ женщину, бывшую женою многихъ мужей. Горные Массагеты вступаютъ въ половыя сношенія на дорогахъ. Савроматы на попойкахъ продаютъ дочерей. У Амазонокъ ни одна *дѣвица* не вступаетъ въ бракъ, если не убьетъ врага.

Тиварины послѣ родовъ своихъ женъ сами повязываютъ себѣ головы и ложатся въ постель.

У Керкетэевъ работники носятъ товары, пока кто-нибудь не купитъ ихъ.

Ессидоны съѣдаютъ *трупы* своихъ родителей кромѣ головы, а голову золотятъ. Кавсіаны при рожденіи *дѣтей* плачутъ, а при смерти *кого-либо* радуются.

Вакхирія, если не выздоровѣютъ отъ болѣзни, отдаютъ себя *на съѣденіе* собакамъ.

Оргемпэи не имѣютъ домовъ и не употребляютъ въ пищу ничего одушевленнаго. У нихъ и мужчины и женщины плѣшивы вслѣдствіе свойства воды, употребляемой для питья.

Оиссагеты жертвуютъ богамъ кости, а мясо съѣдаютъ сами. Таврискиѳы совершаютъ человѣческія жертвоприношенія.

V. 4: Στάφυλοι: στάφυλοι b, σταφύλαι LV: στυμφαλαὶ p. || V. 13: «π. τ. Κερκεταίοις Valckenaer: π. τ. κεκερταίοις p, παραδεδορκότες καὶ b» || V. 18: «καυσίαι LV p, καυσιάκαι b, corr. ex Nicol. Dam.» || V. 20: «Βακχείριοι p: Βοκχόριοι b (Βακχόριοι v)». An Βέχειρες s. Βεχείριοι? || Ibid. «μὴ hiatus ut vitaretur adieci post νόσου: post ἐὰν inseruit Leutschius». Cr. || V. 22: «ὀργεμπαῖοι Lb: ὀργομπαῖοι V, ὀργεμπέοι p». Cf. Ἀργιππαῖοι ap. Herod. IV, 23 (supra, p. 17).

Digitized by Google

ΠΕΡΙ ΠΟΤΑΜΩΝ ΚΑΙ ΟΡΩΝ ΕΠΩΝΥΜΙΑΣ ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΟΙΣ ΕΥΡΙΣΚΟΜΕΝΩΝ.

О НАЗВАНІЯХЪ РѢКЪ И ГОРЪ И ОБЪ ИХЪ ПРОИЗВЕДЕНІЯХЪ.

[Эта компиляція навѣрное не принадлежитъ Плутарху Хэронейскому. По мнѣнію Герхера (въ предисл. къ изд.) она написана другимъ, неизвѣстнымъ Плутархомъ, происходившимъ, вѣроятно, изъ Александріи и жившимъ при Траянѣ и Адріанѣ. Текстъ: Plutarchi libellus de fluviis. Recensuit et notis instruxit Rud. Hercher. Lips. ap. Weidmannos. 1851].

Переводъ П. И. Прозорова.

V. ΦΑΣΙΣ.

I. Φᾶσις ποταμός ἐστι τῆς Σκυθίας παραρρέων πόλιν· ἐκαλεῖτο δὲ τὸ πρότερον Ἀρκτοῦρος τὴν προσηγορίαν εἰληφὼς διὰ τὴν χωροθεσίαν τῶν κατεψυγμένων τόπων· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Φᾶσις Ἡλίου καὶ Ὠκυρρόης τῆς Ὠκεανοῦ παῖς τὴν μητέρα μοιχευομένην ἐπ' αὐτοφώρῳ καταλαβὼν ἀνεῖλεν· κατὰ δὲ ἐπιφάνειαν Ἐρινύων οἰστροπλὴξ γενόμενος ἑαυτὸν ἔρριψεν εἰς τὸν Ἀρκτοῦρον, ἀπ' αὐτοῦ δὲ Φᾶσιν μετωνομασμένον.

II. Γεννᾶται δ' ἐν τῷ ποταμῷ ῥάβδος ὀνομαζομένη Λευκόφυλλος· εὑρίσκεται δὲ τοῖς μυστηρίοις τῆς Ἑκάτης περὶ τὸν ὄρθρον πρὸς παιανισμὸν ἔνθεον αὐτοῦ περὶ τὴν ἀρχὴν τοῦ ἔαρος· ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον καὶ ἀνόθευτον τηροῦσιν τὸν γάμον. ἐάν τις προπετέστερον ἀποστραφῇ τῶν ἀσεβεστέρων διὰ μέθην καὶ εἰς τὸν τόπον εἰσέλθῃ, τῶν σωφρονούντων ἁφαρπάζεται λογισμῶν καὶ εὐθὺς ὁμολογεῖ πᾶσιν, ὅσα παρανόμως ἢ ἔπραξεν ἢ μέλλει πράττειν. οἱ δὲ παρατυγχάνοντες συλλαμβάνοντες ῥίπτουσιν ἐμβεβυρσωμένον εἰς τὸ καλούμενον Στόμιον τῶν ἀσεβῶν. Ἔστι δὲ στρογγυλοειδὲς, φρέατι παραπλήσιον. ἐκδίδωσι δὲ τὸ βληθὲν μετὰ λ' ἡμέρας εἰς τὴν Μαιῶτιν λίμνην σκωλήκων γέμον. Γῦπες δ' αἰφνιδίως ἐπιφανέντες ἀόρατοι τὸ μὲν κείμενον διαρ-

V. ФАСИДЪ.

1. Фасидъ — рѣка въ Скиѳіи, протекающая мимо города; прежде она называлась Арктуромъ, получивъ *это* названіе отъ того, что течетъ по холоднымъ мѣстностямъ, а переименована по слѣдующей причинѣ. Фасидъ, сынъ Иліи и Окиррои, дочери Океана, убилъ свою мать, заставъ ее на мѣстѣ прелюбодѣянія; но послѣ этого онъ вслѣдствіе появленія Эринній впалъ въ бѣшенство и бросился въ Арктуръ, который отъ него и получилъ названіе Фасида.

2. Въ этой рѣкѣ растетъ лоза, называемая бѣлолистникомъ; ее пщутъ во время мистерій Екаты въ самомъ началѣ весны, на разсвѣтѣ при боговдохновенномъ пѣніи пэана. Ревнивые мужья срываютъ эту лозу и разбрасываютъ вокругъ брачнаго покоя, охраняя такимъ образомъ чистоту своего брака [1]). *Дѣло въ томъ, что* если какой-нибудь нечестивецъ въ пьяномъ видѣ слишкомъ далеко зайдетъ въ своей дерзости и войдетъ въ *такое* мѣсто [гдѣ разбросанъ бѣлолистникъ], то лишается здраваго разсудка и тотчасъ же передъ всѣми признается во всемъ, что онъ беззаконно совершилъ или намѣренъ совершить. Присутствующіе схватываютъ его, зашиваютъ въ кожу и бросаютъ въ такъ называемыя «Уста нечестивыхъ»: это отверстіе круглой формы, похожее на коло-

V. 2: Probabiliter Maussacus coniecit post πόλιν excidisse Φᾶσιν. || V. 10: «εἰς τὸν Ἀρκτοῦρον. fortasse εἰς ποταμὸν Ἀρκτοῦρον. Hoc enim ex similibus huius libelli locis suspicari licet.» H. || V. 30: ἐπιφανέντες ἀθρόοι coniecit H. || Ibid. «Nisi quid excidit corrigendum videtur τὸ ἐγκείμενον». Wyttenbach.

1) Cf. Pseudoaristot. *de mir. ausc.* 158 (supra, p. 381).

Digitized by Google

πάζουσι, καθὼς ἱστορεῖ Κτήσιππος ἐν β' Σκυθικῶν.

III. Παράκειται δὲ τὸ Καυκάσιον ὄρος· ἐκαλεῖτο δὲ τὸ πρότερον Βορέου κοίτη δι' αἰτίαν τοιαύτην· Βορέας δι' ἐρωτικὴν ἐπιθυμίαν Χλῶριν ἁρπάσας τὴν Ἀρκτούρου θυγατέρα κατήνεγκεν εἴς τινα λόφον Νιφάντην καλούμενον καὶ ἐγέννησεν ἐκ τῆς προειρημένης υἱὸν Ὕρπακα τὸν διαδεξάμενον Ἠνιόχου τὴν βασιλείαν. μετωνομάσθη δὲ τὸ ὄρος Κοίτη Βορέου. προσηγορεύθη δὲ Καύκασος διὰ περίστασιν τοιαύτην. Μετὰ τὴν γιγαντομαχίαν Κρόνος ἐκκλίνων τὰς Διὸς ἀπειλὰς ἔφυγεν εἰς τὴν ἀκρώρειαν Βορέου Κοίτης· καὶ εἰς κροκόδειλον μεταμορφωθεὶς ἕνα τῶν ἐγχωρίων ποιμένα Καύκασον ἀναπαύων καὶ κατανοήσας αὐτοῦ τὴν διάθεσιν τῶν σπλάγχνων εἶπεν οὐ μακρὰν εἶναι τοὺς πολεμίους. ὁ δὲ Ζεὺς ἐπιφανεὶς τὸν μὲν πατέρα δήσας πλεκτῷ ἐρίῳ κατεταρτάρωσεν. τὸ δὲ ὄρος εἰς τιμὴν τοῦ ποιμένος Καύκασον μετονομάσας, προσέδησεν αὐτῷ τὸν Προμηθέα καὶ ἠνάγκασεν αὐτὸν ὑπὸ σπλαγχνοφάγου ἀετοῦ βασανίζεσθαι, ὅτι παρηνόμησεν εἰς τὰ σπλάγχνα, καθὼς ἱστορεῖ Κλεάνθης ἐν γ' Θεομαχίας [γεγραφώς].

IV. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη Προμήθειος καλουμένη, ἣν Μήδεια συλλέγουσα καὶ λειοτριβοῦσα πρὸς ἀντιπαθείας τοῦ πατρὸς ἐχρήσατο, καθὼς ἱστορεῖ ὁ αὐτός.

дезь; спустя 30 дней оно выбрасываетъ брошенное въ него *тѣло*, полное червей, въ Мэотійское озеро; тутъ вдругъ налетаютъ во множествѣ коршуны и растерзываютъ лежащій трупъ; такъ разсказываетъ Ктисиппъ во 2-ой *книгѣ* «Описанія Скиѳіи».

3. [Къ Фасиду] прилегаетъ Кавказская гора, которая прежде называлась «Ложемъ Борея» по слѣдующей причинѣ. Борей, страстно влюбившись въ Хлориду, дочь Арктура, похитилъ ее, принесъ на одинъ холмъ, называемый Нифантомъ, и прижилъ съ нею сына Ирпака, *впослѣдствіи* наслѣдовавшаго престолъ Иніоха. *Поэтому* гора стала называться «Ложемъ Борея», а Кавказомъ была названа по слѣдующему поводу. Послѣ борьбы гигантовъ Кронъ, избѣгая угрозъ Зевса, убѣжалъ на вершину «Бореева Ложа» и [скрылся] тамъ, превратившись въ крокодила; [но Прометей], зарѣзавъ одного изъ туземцевъ, пастуха Кавказа, и изслѣдовавъ расположеніе его внутренностей, сказалъ, что враги недалеко. Зевсъ, явившись *сюда*, отца связалъ плетеною шерстью и низвергнулъ въ Тартаръ, а гору въ честь пастуха переименовалъ въ Кавказъ, приковавъ къ ней Прометея и заставивъ его терпѣть мученія отъ терзавшаго его печень орла за беззаконный поступокъ съ внутренностями *пастуха*; такъ разсказываетъ Клеанѳъ въ въ 3-й *книгѣ* Ѳеомахій.

4. На Кавказѣ растетъ трава, называемая Прометеевой; по разсказу того же *Клеанѳа* Мидія, собирая и растирая ее, употребляла для отвращенія ненависти отца.

XIV. ΤΑΝΑΙΣ.

I. Τάναϊς ποταμός ἐστιν τῆς Σκυθίας· ἐκαλεῖτο δὲ πρότερον Ἀμαζόνιος διὰ τὸ τὰς Ἀμαζόνας λούεσθαι ἐν αὐτῷ· μετωνομάσθη δὲ δι' αἰτίαν τοιαύτην. Τάναϊς Βηρωσσοῦ καὶ Λυσίππης μιᾶς τῶν Ἀμαζόνων παῖς, σωφρονέστατος ὑπάρχων, τὸ γυναι-

XIV. ТАНАИДЪ.

Танаидъ—рѣка въ Скиѳіи; она прежде называлась Амазонской, потому что въ ней купались Амазонки, а переименована была по слѣдующей причинѣ. Танаидъ, сынъ Вироссы и одной изъ Амазонокъ, Лисиппы, будучи очень скроменъ, ненави-

V. 15: «Sequentia ostendunt nonnulla hic excidisse: quod non animadversum Maussaco neque ipsi adeo Th. Reinesio, huiusmodi esse egregie aperuit T. Hemsterhusius ad Luciani Prometh. p. 202, ut locus sic suppleatur: καὶ εἰς κροκόδειλον ὁ Κρόνος μεταμορφωθεὶς ἔλαθεν· ὁ δὲ Προμηθεὺς ἕνα τὸν ἐγχωρίων ποιμένα Καύκασον ἀναταμὼν καὶ κατανοήσας αὐτοῦ τὴν διάθεσιν τῶν σπλάγχνων εἶπε (an potius εἶδεν) οὐ μακρὰν ἐ. τ. π.» Wyttenb. Pro ἀναταμὼν Reinesius Varr. Lectt. I, 1 p. 4: ἀναρπάζων, Dodwellus ἀνασπῶν coniecerunt». H. || V. 26: «[γεγραφώς]. Hanc vocem iam Wyttenbachio suspectam uncinis seclusimus». H.

Digitized by Google

κεῖον γένος ἐμίσει μόνον Ἄρη σεβόμενος· ἐν ἀτιμίᾳ δὲ εἶχεν καὶ τὸ γαμεῖν. ἡ δ' Ἀφροδίτη ἐπιθυμίαν αὐτῷ τῆς μητρὸς ἐνέσκηψεν. ὁ δὲ κατ' ἀρχὰς μὲν ἀντεμάχετο τῷ πάθει· νικώμενος δὲ ὑπὸ τῆς ἀνάγκης τῶν οἴστρων καὶ εὐσεβὴς διαμεῖναι βουλόμενος, ἑαυτὸν ἔρριψεν εἰς τὸν Ἀμαζόνιον ποταμόν· ὃς ἀπ' αὐτοῦ Τάναϊς μετωνομάσθη.

II. Γεννᾶται δὲ ἐν αὐτῷ φυτόν Ἀλίνδα καλούμενον· παρόμοια δὲ ἔχει τὰ φύλλα κράμβης. τοῦτο λειοτριβοῦντες οἱ τὴν χώραν κατοικοῦντες ἀλείφονται τῷ χυλῷ καὶ θερμαινόμενοι τὸ ψῦχος εὐρώστως καρτεροῦσιν. καλοῦσι δὲ τῇ σφῶν διαλέκτῳ Βηρωσσοῦ ἔλαιον.

III. Γεννᾶται δ' ἐν αὐτῷ καὶ λίθος κρυστάλλῳ παραπλήσιος, ὧν ἀνθρωπόμιμος, ἐστεμμένος. ὅταν δὲ ἀποθάνῃ βασιλεύς, ἀρχαιρεσίας παρὰ τὸν ποταμὸν τελοῦσιν· καὶ ὃς ἂν εὕρῃ τὸν λίθον ἐκεῖνον [ἔχων], παραχρῆμα βασιλεὺς γίνεται, καὶ τὰ σκῆπτρα παραλαμβάνει τοῦ τελευτήσαντος, καθὼς ἱστορεῖ Κτησιφῶν ἐν γ' περὶ Φυτῶν· μέμνηται δὲ τούτων καὶ Ἀριστόβουλος ἐν α' περὶ Λίθων.

IV. Παράκειται δ' αὐτῷ ὄρος, τῇ διαλέκτῳ τῶν ἐνοικούντων προσαγορευόμενον Βριξάβα· ὅπερ μεθερμηνευόμενον Κριοῦ μέτωπον· ὠνομάσθη δὲ διὰ τοιαύτην αἰτίαν. Φρίξος ἀποβαλὼν παρὰ τὸν Εὔξεινον πόντον Ἕλλην τὴν ἀδελφήν, καὶ διὰ τὰ δίκαια τῆς φύσεως συγκεχυμένος, ἐν ταῖς ἀκρωρείαις λόφου τινὸς κατέλυσεν. βαρβάρων δέ τινων θεασαμένων αὐτὸν καὶ μεθ' ὅπλων ἀναβαινόντων, ὁ χρυσόμαλλος κριὸς προκύψας καὶ ἰδὼν τὸ πλῆθος τῶν ἐπερχομένων, ἀνθρωπίνῃ φωνῇ χρησάμενος διεγείρει τὸν Φρίξον ἀναπαυόμενον, καὶ ἀναλαβὼν τὸν προειρημένον μέχρι Κόλχων εἰσήνεγκεν. ὁ δὲ λόφος ἀπὸ τοῦ συγκυρήματος Κριοῦ μέτωπον προσηγορεύθη.

V. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη, τῇ διαλέκτῳ τῶν βαρβάρων Φρίξα καλουμένη, ὅπερ μεθερμηνευομενόν ἐστιν μισοπόνηρος· πηγάνῳ δέ ἐστι παρόμοιος· ἣν οἱ πρόγονοι κρατοῦντες οὐδὲν ὑπὸ μητρυιῶν ἀδικοῦνται·

дѣлъ женскій полъ, чтилъ только Арея и съ презрѣніемъ относился къ браку. Но Афродита вселила въ него страстную любовь къ *его собственной* матери; онъ сначала боролся со своей страстью, но затѣмъ, одолѣваемый роковымъ мученіемъ и желая остаться непорочнымъ, бросился въ Амазонскую рѣку, которая по его имени была переименована въ Танаидъ.

2. Въ этой *рѣкѣ* встрѣчается растеніе, называемое алинда; листья его отчасти похожи на капустные; туземцы растираютъ его, намазываются его сокомъ и, согрѣваясь *отъ этого*, легко переносятъ холодъ; на ихъ языкѣ *этотъ сокъ* называется масломъ Виросса.

3. Въ ней находятъ также камень, похожій на хрусталь и увѣнчанный *короной* на подобіе человѣка. Когда умретъ царь, *туземцы* пропзводятъ выборъ *новаго* у рѣки; кто найдетъ такой камень, тотъ сейчасъ-же избирается въ цари и получаетъ скипетръ покойнаго. Такъ разсказываетъ Ктесифонтъ въ третьей *книгѣ сочиненія* «О растеніяхъ»; упоминаетъ объ этомъ и Аристовулъ въ первой *книгѣ сочиненія* «О камняхъ».

4. Къ Танаиду прилегаетъ гора, на языкѣ туземцевъ называемая Врпксава, что въ переводѣ *значитъ* «Баранiй лобъ». Названа она *такъ* по слѣдующей причинѣ: Фриксъ, лишившись въ Евксинскомъ Понтѣ своей сестры Геллы и этимъ, естественно, опечалившись, остановился на вершинѣ одного холма. Когда же замѣтили его какіе-то варвары и стали взбираться *туда* съ оружіемъ *въ рукахъ*, то златорунный баранъ, взглянувъ впередъ и увидѣвъ приближающуюся толпу, человѣческимъ голосомъ разбудилъ спавшаго Фрикса и, взявъ его *на свою спину*, привезъ къ Колхамъ. По этому-то случаю холмъ и названъ былъ «Бараньимъ лбомъ».

5. Въ Танаидѣ растетъ трава, называемая на языкѣ варваровъ Фрикса, что въ переводѣ значитъ «злоненавистникъ». Она похожа на руту и *обладаетъ тѣмъ свойствомъ*, *что* мачехамъ, владѣющимъ

V. 14: «Malim: καλοῦσι δὲ τῇ σφῶν διαλέκτῳ...., ὅπερ μεθερμηνευόμενόν ἐστι Βηρωσσοῦ ἔλαιον. Excidit vox Scythica». H. || V. 16 sq. «an λίθος κρυστάλλῳ παραπλήσιος, ἀνθρωπομίμως ἐστεμμένος?.... Videtur lapis ille per transversum linea media praecingi». H. || V. 20: «εὑρῃ (sic) P. εὑρεθῇ quod editiones obsidebat Gelenii coniectura est. Vid. Bast. Ep. Cr. p. 50. Equidem Palatini lectionem restitui et ἔχων uncis inclusi». H. || V. 28: «Ante Κριοῦ ἐστὶ excidisse videtur». H.

Digitized by Google

μάλιστα δὲ φύεται παρὰ Βορέου προσαγορευόμενον ἄντρον. συλλεγομένη δ' ἐστὶν ψυχροτέρα χιόνος· ὅταν δέ τινι ἐκ μητρυιᾶς ἐπιβουλὴ γένηται, φλόγας ἀναδίδωσιν. καὶ τοῦτο σύσσημον ἔχοντες οἱ φοβούμενοι τὰς ἐπιγεγαμημένας ἐκκλίνουσι τῶν φόβων τὰς ἀνάγκας· καθὼς ἱστορεῖ Ἀγάθων ὁ Σάμιος ἐν β' Σκυθικῶν.

ею, мачехи не могутъ нанести никакого вреда. Она растетъ преимущественно у такъ называемой «Бореевой пещеры». Когда ее собираютъ, она холоднѣе снѣга, а когда на кого-нибудь злоумышляетъ мачеха, то трава вспыхиваетъ пламенемъ; пользуясь этимъ признакомъ, люди, опасающіеся вторыхъ женъ, избѣгаютъ грозящихъ имъ бѣдствій; такъ разсказываетъ Агаѳонъ Самійскій во 2-й *книгѣ сочиненія* «О Скиѳіи».

XXIII. ΑΡΑΞΗΣ.

I. Ἀράξης ποταμός ἐστι τῆς Ἀρμενίας, τὴν προσηγορίαν εἰληφὼς ἀπὸ Ἀράξου τοῦ Πύλου. οὗτος γὰρ πρὸς Ἄρβηλον τὸν πάππον ὑπὲρ σκήπτρων ἀμιλλώμενος, αὐτὸν κατετόξευσεν· ποινηλατούμενος δὲ ὑπὸ Ἐρινύων, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Βάκτρον· ὃς ἀπ' αὐτοῦ Ἀράξης μετωνομάσθη, καθὼς ἱστορεῖ Κτησιφῶν ἐν α' Περσικῶν. Ἀράξης, Ἀρμενίων βασιλεύς, πρὸς τοὺς πλησιοχώρους Πέρσας πόλεμον ἔχων, καὶ τῆς παρατάξεως παρελκομένης, χρησμὸν ἔλαβεν αὐτὸν ἔσεσθαι τῆς νίκης ἐγκρατῆ, ἐὰν θεοῖς ἀποτροπαίοις θύσῃ δύο τὰς εὐγενεστάτας παρθένους. Ὁ δὲ διὰ φιλότεκνον εὔνοιαν τῶν ἰδίων θυγατέρων φεισάμενος, ἑνὸς τῶν ὑποτεταγμένων κόρας περιβλέπτους τοῖς βωμοῖς προσάγων ἀνεῖλεν. Μνησάλκης δὲ, ὁ τῶν φονευθεισῶν πατήρ, βαρέως ἤνεγκεν τὴν πρᾶξιν, πρὸς καιρὸν στέξας τὴν ὕβριν· ἀφορμῆς δὲ δραξάμενος ἐξ ἐνέδρας τὰς τοῦ τυράννου θυγατέρας ἀπέκτεινεν· καὶ καταλιπὼν τὸ πατρῷον ἔδαφος εἰς Σκυθίαν ἔπλευσεν. Ἀράξης δὲ περὶ τῶν συμβεβηκότων κατηχηθεὶς καὶ ἀθυμίᾳ συσχεθείς, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Ἅλμον· ὃς ἀπ' αὐτοῦ Ἀράξης μετωνομάσθη.

II. Γεννᾶται δ' ἐν αὐτῷ βοτάνη Ἀράξα καλουμένη τῇ διαλέκτῳ τῶν ἐγχωρίων, ἥτις μεθερμηνευομένη λέγεται μισοπάρθενος. ἅμα γὰρ εὑρεθῆναι τὴν προειρημένην ὑπὸ παρθένων, αἵματος ποιησαμένη καταφορὰν μαραίνεται.

III. Καὶ λίθος δὲ γεννᾶται Σκύωνος καλούμενος μελάγχρους. οὗτος ὅταν τις

XXIII. АРАКСЪ.

1. Аракъ — рѣка въ Арменіи, получившая названіе отъ Аракса, сына Пила. Аракъ, вступивъ въ борьбу изъ-за власти съ своимъ дѣдомъ Арвиломъ, поразилъ его стрѣлою, но *потомъ*, преслѣдуемый Эриніями, бросился въ рѣку Бактръ, которая отъ него и переименована въ Араксъ, какъ разсказываетъ Ктисифонтъ въ 1-й *книгѣ сочиненія* «О Персіи». Арменійскій царь Араксъ во время войны съ своими сосѣдями Персами, когда бой слишкомъ затянулся, получилъ предсказаніе, что онъ одержитъ побѣду, если принесетъ въ жертву богамъ-отвратителямъ двухъ знатнѣйшихъ дѣвицъ. Араксъ, пощадивъ собственныхъ дочерей изъ-за любви къ нимъ, подвелъ къ алтарю и принесъ въ жертву красавицъ-дочерей одного изъ своихъ подданныхъ. Мнисалкъ, отецъ убитыхъ *дѣвицъ*, былъ глубоко пораженъ этимъ, но затаилъ на время обиду, а затѣмъ, воспользовавшись случаемъ, убилъ изъ засады дочерей тирана, самъ же, покинувъ родную землю, уѣхалъ въ Скиѳію. Араксъ, узнавъ о случившемся, бросился съ горя въ рѣку Алмъ, которая по немъ была переименована въ Араксъ.

2. Въ этой рѣкѣ растетъ трава, называемая на туземномъ языкѣ араксою, что въ переводѣ значитъ «дѣвоненавистникъ», потому что, какъ только ее найдутъ дѣвицы, она причиняетъ имъ кровотеченіе и высыхаетъ.

3. Встрѣчается *въ ней* также чернаго цвѣта камень, называемый Скіономъ.

V. 16—17: «Περσικῶν. Ἀράξης. Inter has voces excidit nomen alterius auctoris cum hac solemni formula—δὲ μέμνηται τοιαύτης ἱστορίας'. Wyttenb. Imo—δὲ—ἱστορίας μέμνηται τοιαύτης.» H. ‖ V. 24: «περιβλέπτους. ante hanc vocem κάλλει excidisse credibile est». H. Idem articulum desiderat ante κόρας.

Digitized by Google

χρησμὸς ἀνθρωποκτόνος ἐκπέσῃ, τοῖς βωμοῖς τῶν ἀποτροπαίων θεῶν ὑπὸ δυεῖν ἐπιτίθεται παρθένων. τοῦ δὲ ἱερέως αὐτοῦ τῇ μαχαίρᾳ διγόντος, αἵματος ἔκρυσις γίνεται δαψιλής. καὶ τούτῳ τῷ τρόπῳ τὴν δεισιδαιμονίαν τελέσαντες μετ' ὀλολυγμῶν ἀναχωροῦσιν, τὸν λίθον πρὸς τὸν ναὸν προσενέγκαντες· καθὼς ἱστορεῖ Δωρόθεος ὁ Χαλδαῖος ἐν β' περὶ Λίθων.

1 Этотъ *камень*, когда получится человѣкоубійственный оракулъ, двѣ дѣвицы кладутъ на алтари боговъ-отвратителей и, когда жрецъ коснется его ножомъ, *изъ него* въ изобилін истекаетъ кровь. Совершивъ такимъ образомъ суевѣрный обрядъ, они съ громкими воплями идутъ назадъ, принеся камень къ храму, какъ разсказываетъ Дороѳей Халдейскій во 2-ой *книгѣ сочиненія* «О камняхъ».

IV. Παράκειται δὲ αὐτῷ ὄρος Δίορφον καλούμενον ἀπὸ Διόρφου τοῦ γηγενοῦς, περὶ οὗ φέρεται ἱστορία τοιαύτη. Μίθρας υἱὸν ἔχειν βουλόμενος καὶ τὸ τῶν γυναικῶν γένος μισῶν πέτρᾳ τινὶ προσεξέθορεν. ἔγκυος δὲ ὁ λίθος γενόμενος μετὰ τοὺς ὡρισμένους χρόνους ἀνέδωκε νέον τοὔνομα Δίορφον· ὃς ἀκμάσας καὶ εἰς ἅμιλλαν ἀρετῆς τὸν Ἄρη προκαλεσάμενος ἀνῃρέθη· οὗτος κατὰ πρόνοιαν θεῶν εἰς ὁμώνυμον ὄρος μετεμορφώθη.

4. Къ Араксу прилегаетъ гора Діорфъ, названная такъ по имени рожденнаго землею Діорфа, о которомъ существуетъ слѣдующее преданіе. Мифра, желая имѣть сына и питая ненависть къ женскому полу, оплодотворилъ какую-то скалу, которая, сдѣлавшись беременною, въ опредѣленный срокъ произвела мальчика, по имени Діорфа. Возмужавъ, Діорфъ вызвалъ Арея на состязаніе въ доблести, но былъ убитъ имъ и по опредѣленію боговъ былъ превращенъ въ сопменную гору.

V. Γεννᾶται δ' ἐν αὐτῷ δένδρον ροιᾷ παραπλήσιον, καρπὸν δ' ἄφθονον τρέφει μήλων τὴν γεῦσιν ἔχοντα σταφυλῇ παρόμοιον. ἐκ ταύτης τῆς ὁπώρας πέπειρον ἐάν τις καθελὼν ὀνομάσῃ τὸν Ἄρη, γίνεται κρατούμενος χλωρός, καθὼς ἱστορεῖ Κτησιφῶν ἐν ιγ' περὶ Δένδρων.

5. Растетъ у этой рѣки дерево, похожее на гранатовое; оно въ изобилін производитъ плоды, имѣющіе вкусъ яблокъ, а *видомъ* похожіе на виноградные гроздья. Если кто сорветъ зрѣлый плодъ этого дерева и призоветъ Арея, то *плодъ* зеленѣетъ въ рукахъ, какъ разсказываетъ Ктисифонтъ въ 13-ой *книгѣ сочиненія* «О деревьяхъ».

ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΟΓΟΙ.

РѢЧИ ДІОНА ХРИСОСТОМА.

[Cf. supra p. 171.—Текстъ: Dionis Prusaensis quem vocant Chrysostomum quae exstant omnia ed. J. de Arnim. Vol. I. Berol. ap. Weidm. 1893].

Переводъ В. Л.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ Β'.

О ЦАРСКОЙ ВЛАСТИ (рѣчь 2-я).

§§ 75—77 (p. 35 M.)... Ὁ μέγας βασιλεὺς βασιλέων, ἅτε κηδεμὼν καὶ πατὴρ κοινὸς ἀνθρώπων καὶ θεῶν, [Ζεύς]... τὸν... ἀνδρεῖον καὶ φιλάνθρωπον καὶ τοῖς ὑπηκόοις εὔνουν καὶ τιμῶντα μὲν τὴν ἀρετὴν καὶ συναγωνιῶντα μή τινος τῶν ἀγαθῶν δόξῃ φαυλότερος, τοὺς δὲ ἀδίκους μετανοεῖν

1 ...Великій царь царей Зевсъ, какъ общій попечитель и отецъ людей и боговъ... (царя) мужественнаго, человѣколюбиваго, благосклоннаго къ подданнымъ, уважающаго добродѣтель и старающагося о томъ, чтобы не показаться хуже кого-нибудь изъ хорошихъ людей, а несправедли-

V. 4: ἔκρυσις Reinesius. ἔκλυσις *P.* ἔκχυσις Wyttenbachius. || V. 5: τρόπῳ Wyttenb., χρόνῳ *Pal.*

Digitized by Google

ἀναγκάζοντα, τοῖς δὲ ἀσθενέσιν ἀρήγοντα, τῆς ἀρετῆς ἀγάμενος ὡς τὸ πολὺ μὲν ἄγει πρὸς γῆρας, καθάπερ ἀκούομεν Κῦρόν τε καὶ Δηιόκην τὸν Μῆδον καὶ Ἰδάνθυρσον τὸν Σκύθην καὶ Λεύκωνα καὶ πολλοὺς τῶν Λακωνικῶν βασιλέων καὶ τῶν ἐν Αἰγύπτῳ πρότερόν τινας.

выхъ заставляющаго раскаиваться и помогающаго слабымъ, изъ уваженія къ его доблести по большей части доводитъ до старости, какъ это мы знаемъ о Кирѣ, Дійокѣ Мидійскомъ, Иданѳирсѣ Скиѳскомъ, Левконѣ, многихъ царяхъ Лакедэмонскихъ и нѣкоторыхъ изъ прежнихъ Эгипетскихъ.

ΔΙΟΓΕΝΗΣ Η ΙΣΘΜΙΚΟΣ (Θ΄).

§ 6 (p. 139 M.)... ὥσπερ... τοῦ Ποντικοῦ μέλιτος γεύεσθαι ἐπιχειροῦσιν οἱ ἄπειροι, γευσάμενοι δὲ παραχρῆμα ἐξέπτυσαν δυσχεράναντες, ὅτι πικρόν ἐστι καὶ ἀηδές, οὕτως καὶ τοῦ Διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον διὰ πολυπραγμοσύνην, ἐλεγχόμενοι δὲ ἀπεστρέφοντο καὶ ἔφευγον.

ДІОГЕНЪ ИЛИ ИСѲМІЙСКАЯ РѢЧЬ (9-я).

...Какъ неопытные рѣшаются попробовать Понтійскаго меда, но, попробовавъ, сейчасъ же съ неудовольствіемъ выплевываютъ, потому что онъ горекъ и непріятенъ, такъ [пріѣзжавшіе въ Коринѳъ] изъ любопытства желали познакомиться съ Діогеномъ, но вслѣдствіе его обличеній отвращались и убѣгали.

ΕΝ ΑΘΗΝΑΙΣ ΠΕΡΙ ΦΥΓΗΣ (ΙΓ΄).

§ 1 (p. 219 M.) ...Ἔθος γάρ τι τοῦτό ἐστι τῶν τυράννων, ὥσπερ ἐν Σκύθαις τοῖς βασιλεῦσι συνθάπτειν οἰνοχόους καὶ μαγείρους καὶ παλλακάς, οὕτως τοῖς ὑπ' αὐτῶν ἀποθνήσκουσιν ἑταίρους προστιθέναι πλείους ἀπ' οὐδεμιᾶς αἰτίας.

РѢЧЬ ВЪ АѲИНАХЪ ОБЪ ИЗГНАНІИ (13-я).

...Какъ у Скиѳовъ есть обычай вмѣстѣ съ царями погребать виночерпіевъ, поваровъ и наложницъ, такъ у тирановъ въ обычаѣ къ тѣмъ, кого они предаютъ смерти, прибавлять безъ всякой вины нѣсколькихъ ихъ друзей.

ΟΤΙ ΕΥΔΑΙΜΩΝ Ο ΣΟΦΟΣ (ΚΓ΄).

(p. 277 M.)... Κινδυνεύουσι κατὰ τὸν λόγον τοῦτον μόνοι φρόνιμοι γενέσθαι οἱ γενόμενοι ἐν Κόλχοις ἐκ τῶν τοῦ δράκοντος ὀδόντων, οὓς ἔσπειρεν Ἰάσων. οὗτοι γάρ, ὅτε πρῶτον ἤσθοντο γεγονότες, εὐθὺς ἀλλήλους ἀνῄρουν, ἕως οὐδένα ἔλιπον...

МУДРЕЦЪ СЧАСТЛИВЪ (рѣчь 23-я).

...По такому разсужденію единственно разумными окажутся тѣ, которые произошли въ Колхидѣ изъ зубовъ дракона, посѣянныхъ Іасономъ: они, какъ только почувствовали себя живыми, тотчасъ стали убивать другъ друга, пока не оставили ни одного...

ΠΕΡΙ ΤΟΥ ΔΑΙΜΟΝΟΣ (ΚΕ΄).

(p. 282 M.)... [Δαρεῖος ἠνάγκαζε] πολέμους ...πολεμεῖν χαλεποὺς καὶ ἐπικινδύνους, καθάπερ οἶμαι τὸν πρὸς Σκύθας καὶ τὸν πρὸς Ἀθηναίους.

О ГЕНІИ (рѣчь 25-я).

...[Дарій заставлялъ своихъ подданныхъ] вести трудныя и опасныя войны, какъ напр. противъ Скиѳовъ и противъ Аѳинянъ.

V. 4: Ἀγάθυρσον plerique, ἄν θυρσον V corr. Geel.

Digitized by Google

ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΕΙΣ (ΑΒ΄).

§ 44 (p. 374 M.). Σκοπεῖτε δὲ μὴ περὶ ὑμῶν ἀληθέστερον οὗτοι λέγωσιν ἢ περὶ τῶν Ἑλλήνων Ἀνάχαρσιν τὸν Σκύθην φασὶν εἰπεῖν· ἐδόκει μὲν γὰρ εἶναι τῶν σοφῶν· ἦκε δὲ εἰς τὴν Ἑλλάδα θεασόμενος οἶμαι τά τε ἤθη καὶ τοὺς ἀνθρώπους· ἔλεγεν οὖν ὡς ἔστιν ἐν ἑκάστῃ πόλει τῶν Ἑλλήνων ἀποδεδειγμένον χωρίον, ἐν ᾧ μαίνονται καθ' ἡμέραν, τὸ γυμνάσιον λέγων· ἐπειδὰν γὰρ ἐλθόντες ἀποδύσωνται, χρίονται φαρμάκῳ· τοῦτο δὲ ἔφη κινεῖν αὐτοῖς τὴν μανίαν. εὐθὺς γὰρ οἱ μὲν τρέχουσιν, οἱ δὲ καταβάλλουσιν ἀλλήλους, οἱ δὲ τῷ χεῖρε ἀνατείναντες μάχονται πρὸς οὐδένα ἀνθρώπων, οἱ δὲ παίονται. ταῦτα δὲ ποιήσαντες, ἀποξυσάμενοι τὸ φάρμακον αὐτίκα σωφρονοῦσι, καὶ φιλικῶς αὐτοῖς ἤδη ἔχοντες βαδίζουσι κάτω ὁρῶντες, αἰσχυνόμενοι τοῖς πεπραγμένοις...

КЪ АЛЕКСАНДРІЙЦАМЪ (рѣчь 32-я).

Смотрите, чтобы ихъ отзывы о васъ не были справедливѣе того, который, какъ говорятъ, сдѣлалъ Скиѳъ Анахарсидъ объ Еллинахъ. Онъ считался въ числѣ мудрецовъ и прибылъ въ Елладу, какъ кажется, съ цѣлью ознакомленія съ ея нравами и людьми. Итакъ, онъ говорилъ, что въ каждомъ еллинскомъ городѣ есть опредѣленное мѣсто, въ которомъ люди ежедневно сумасшествуютъ (разумѣя подъ этимъ гимнасій): прійдя туда и раздѣвшись, они намазываются зельемъ; оно-то, по его словамъ, и приводитъ ихъ въ исступленіе: немедленно послѣ этого одинъ изъ нихъ начинаютъ бѣгать, другіе сваливаютъ другъ друга *съ ногъ*, третьи, вытянувши руки, борются съ воображаемымъ противникомъ, иные дерутся; продѣлавъ это, они, соскобливъ съ себя зелье, сейчасъ же приходятъ въ здравый умъ и, уже дружелюбно относясь другъ къ другу, идутъ съ опущенными глазами, стыдясь того, что они надѣлали...

ΔΗΜΗΓΟΡΙΑ ΕΝ ΤΗΙ ΠΑΤΡΙΔΙ (ΜΖ΄).

(p. 523 M.) ...τὸν Ἡρακλέα αὐτὸν ἀκούομεν τῆς μὲν Αἰγύπτου κρατῆσαι καὶ τῆς Λιβύης, ἔτι δὲ τῶν περὶ τὸν Εὔξεινον Πόντον οἰκούντων καὶ Θρᾳκῶν καὶ Σκυθῶν...

ПУБЛИЧНАЯ РѢЧЬ НА РОДИНѢ (47-я).

...Мы знаемъ, что самъ Иракъ овладѣлъ Египтомъ и Ливіей, а кромѣ того живущими окрестъ Евксинскаго Понта Ѳракійцами и Скиѳами...

ΠΕΡΙ ΑΡΕΤΗΣ (ΞΘ΄).

(p. 619 M.)... Σκύθαι γοῦν οὐδὲν κωλύονται... οἱ νομάδες μήτε οἰκίας ἔχοντες μήτε γῆν σπείροντες ἢ φυτεύοντες δικαίως καὶ κατὰ νόμους πολιτεύεσθαι...

О ДОВРОДѢТЕЛИ (рѣчь 69-я).

...Напр. кочующіе Скиѳы не имѣютъ домовъ и не занимаются ни земледѣліемъ, ни садоводствомъ, но это ничуть не препятствуетъ имъ управляться справедливо и по законамъ...

Digitized by Google

ΔΙΟΣΚΟΡΙΔΗΣ.

ДІОСКОРИДЪ.

[Врачъ Педаній Діоскоридъ, уроженецъ г. Аназарба въ Киликіи, жилъ въ I в. по Р. Хр. До насъ дошло главное его сочиненіе — Περὶ ὕλης ἰατρικῆς въ 5 книгахъ. — Текстъ: Medicorum Graecorum opera quae exstant ed. Kühn, voll. 25 et 26, 1829, гдѣ соч. Діоскорида издано Шпренгелемъ].

ΠΕΡΙ ΥΛΗΣ ΙΑΤΡΙΚΗΣ.

О ЛѢКАРСТВЕННЫХЪ РАСТЕНІЯХЪ.

Извлеченія и переводъ А. І. Малеина.

I, 2 (Kühn v. 25 p. 11)... Διαφέρει δὲ [ἄκορον] τὸ πυκνὸν καὶ λευκόν, ἄβρωτόν τε καὶ πλῆρες εὐωδίας. τοιοῦτον δ' ἐστὶ τὸ ἐν Κολχίδι καὶ ἐν Γαλατίᾳ σπληνίον λεγόμενον.

...Различается *акоръ* густой и бѣлый, не съѣдобный, съ сильнымъ пріятнымъ запахомъ. Таковъ *видъ его*, называемый въ Колхидѣ и въ Галатіи спленіемъ.

I, 14. Κάλλιστόν ἐστι τὸ ἁρμένιον [ἄμωμον], χρυσίζον τῇ χρόᾳ, ἔχον τε τὸ ξύλον ὑπόκιρρον, εὐῶδες ἱκανῶς... τὸ δὲ Ποντικὸν ὑπόκιρρον, οὐ μακρὸν οὐδὲ δύσθραυστον, βοτρυῶδες, πλῆρες καρποῦ καὶ τῇ ὀσμῇ πληκτικόν.

Самый лучшій *амомъ* — армянскій, золотистаго цвѣта, съ желтоватой древесиной и довольно пріятнымъ запахомъ... А Понтійскій *амомъ* — желтоватый, не длинный и не крѣпкій на изломъ, гроздовидный, полный плодовъ и съ одурящимъ запахомъ [1]).

III, 1 (Kühn v. 25 p. 338). Ἀγαρικὸν ῥίζα φέρεται σιλφίῳ ἐμφερής, οὐ πυκνὴ τὴν ἐπιφάνειαν, ὥσπερ τὸ σίλφιον, ἀραιὰ δέ ἐστιν ὅλη... γεννᾶται δὲ ἐν τῇ Ἀγαρίᾳ τῆς Σαρματικῆς.

Агарикъ — корень, похожій на сильфій (гладышъ), но не густой на поверхности, какъ сильфій, а весь рѣдкій... родится въ Агаріи въ Сарматіи.

IV, 84 (K. p. 581). Κολχικόν, οἱ δὲ ἐφήμερον, οἱ δὲ βολβὸν ἄγριον... γεννᾶται δὲ πλεῖστον ἐν τῇ Μεσσηνίᾳ καὶ Κόλχοις.

Колхикъ: одни называютъ его поденкою, другіе — дикимъ лукомъ... родится въ наибольшемъ количествѣ въ Мессиніи и Колхидѣ.

V. 4: Sic cod. C... Ald. καὶ τῇ Γαλατίᾳ ἀσπλήτιον. Asul., Cornar., Goupyl. ἀσπλήτιον. Sarac. ἀσπλήνιον. || V. 15: «ἀγρίᾳ vulgo. Goupylus primus Ἀγαρίαν posuit propter Ἄγαρον ποταμὸν καὶ ἄκραν in finibus Sarmatiae ad paludem Maeoticam» Spr.|| V. 19: Sprengelius cum Salmasio suspicatur Μυσίᾳ; ego praetulerim Μοσσυνίᾳ s. Μοσσυνικῇ. Lat.

1) ἄμωμον Σκυθικόν commemorat Servilius Damocrates medicus. Vide Servilii Damocratis poetae medici fragmenta ed. Studemund (Vratisl. 1888), p. 28=Poetae bucolici et didactici, ed. Köchly (Par. 1862) p. 108.

Digitized by Google

ΚΛΕΟΜΗΔΗΣ.

КЛЕОМИДЪ.

[Математикъ I в. по Р. Хр., отъ котораго сохранилось сочиненіе Κυκλικῆς θεωρίας μετεώρων βιβλία δύο.—Текстъ: Cleomedis de motu circulari corporum caelestium libri duo, ed. H. Ziegler. Lips. ap. Teubner. 1891].

Извлеченія и переводъ А. І. Малеина.

ΚΥΚΛΙΚΗ ΘΕΩΡΙΑ ΜΕΤΕΩΡΩΝ.

Lib. II c. 1 § 84—85 (Ziegl. p. 154)... καὶ καθόλου σχεδὸν ἁπάσης τῆς περὶ τὰ ἐπίγαια διαφορᾶς αὐτός ἐστιν αἴτιος [sc. ὁ ἥλιος] πολλὴν τὴν παραλλαγὴν κατ' ἔνια τῶν κλιμάτων τῆς γῆς ἐχούσης. Πάρεστι γοῦν καταμανθάνειν τὴν διαφορὰν τῶν περὶ τὴν Λιβύην ἱστορουμένων καὶ τὴν Σκυθικὴν χώραν καὶ τὴν Μαιῶτιν λίμνην καὶ ζῴων καὶ καρπῶν καὶ πάντων ἁπλῶς πάμπολυ ἐξηλλαγμένων καὶ τῶν κατὰ τὸν ἀέρα κράσεων καὶ διαφορῶν...

§ 88 (Z. p. 160)... Κατὰ μὲν Μερόην τῆς Αἰθιοπίας ἔνδεκα ὡρῶν ἡ θερινὴ νὺξ ἱστορεῖται... κατὰ δὲ τὸν Ἑλλήσποντον ἐννέα... κατὰ δὲ τὴν Μαιῶτιν ἑπτά.

КРУГОВОЕ ДВИЖЕНІЕ НЕБЕСНЫХЪ ТѢЛЪ.

...И вообще само *солнце* служитъ причиною почти всего разнообразія на землѣ, такъ какъ земля въ нѣкоторыхъ поясахъ имѣетъ большое различіе. Можно, напр., замѣтить разницу свѣдѣній о Ливіи, Скиѳской землѣ и Меотійскомъ озерѣ, ибо и животныя, и плоды, и всѣ вообще произведенія и особенности климата весьма различествуютъ *въ этихъ странахъ*...

...По существующимъ свѣдѣніямъ лѣтняя ночь въ Мероѣ въ Эѳіопіи длится 11 часовъ,... на Геллеспонтѣ—девять,... а на Меотидѣ—семь.

ΞΕΝΟΚΡΑΤΗΣ.

КСЕНОКРАТЪ.

[Врачъ, уроженецъ г. Афродисіады, жилъ, вѣроятно, въ I в. по Р. Хр. Отъ него сохранилось небольшое сочиненіе Περὶ τῆς ἀπὸ τῶν ἐνύδρων τροφῆς. Изд. I. Lud. Ideler, Physici et medici Graeci minores, v. I (Berol. 1841) p. 121—133].

ΠΕΡΙ ΤΗΣ ΑΠΟ ΤΩΝ ΕΝΥΔΡΩΝ ΤΡΟΦΗΣ.

О ПИЩѢ ИЗЪ ВОДЯНЫХЪ ЖИВОТНЫХЪ.

Переводъ В. Л.

XIX. μδ'. Κτένες κράτιστοι οἱ εὐμεγέθεις, κοῖλοι, τὴν χρόαν μελάντεροι... Ὁ δὲ Πόντος φέρει μὲν πολλούς, βραχεῖς δὲ καὶ δυσαυξεῖς.

Самые лучшіе *морскіе* гребни—большіе, полые, черноватаго цвѣта... Въ Понтѣ они водятся въ изобиліи, но короткіе и плохо растущіе.

XXIV. ξε'. Πηλαμὺς μικρὰ γίνεται ἐν Μαιώταις· εὔστομος, εὔφθαρτος, εὐέκκριτος.

Мелкая пеламида водится въ Меотидѣ; она вкусна, удобоварима и удобовыдѣляема.

ξς'. Κύβιον, πηλαμὺς μετὰ τεσσαράκοντα ἡμέρας ἀπὸ Πόντου ἐπὶ Μαιῶτιν λίμνην ὑποστρέφουσα, εὔστομος, εὔχυλος.

Кубикомъ *называется* пеламида, черезъ 40 дней возвращающаяся изъ Понта въ Меотиду; она вкусна и сочна.

Digitized by Google

ΑΝΤΩΝΙΟΣ ΔΙΟΓΕΝΗΣ.

АНТОНІЙ ДІОГЕНЪ.

[Жилъ, вѣроятно, въ I в. по Р. Хр. Его романическій разсказъ сохранился въ извлеченіи Фотія, Bibl. Cod. 166. — Текстъ: Erotici scriptores Graeci, rec. R. Hercher, t. I].

ΤΩΝ ΥΠΕΡ ΘΟΥΛΗΝ ΑΠΙΣΤΩΝ ΛΟΓΟΙ ΚΔ΄.

2. Εἰσάγεται τοίνυν ὄνομα Δεινίας κατὰ ζήτησιν ἱστορίας ἅμα τῷ παιδὶ Δημοχάρῃ ἀποπλανηθεὶς τῆς πατρίδος, καὶ διὰ τοῦ Πόντου καὶ ἀπὸ τῆς κατὰ Κασπίαν καὶ Ὑρκανίαν θαλάσσης πρὸς τὰ Ῥιπαῖα καλούμενα ὄρη καὶ τοῦ Τανάϊδος ποταμοῦ τὰς ἐκβολὰς ἀφιγμένοι, εἶτα διὰ τὸ πολὺ τοῦ ψύχους ἐπὶ τὸν Σκυθικὸν ἐπιστραφέντες Ὠκεανόν, καὶ δὴ καὶ εἰς τὸν ἑῷον ἐμβαλόντες καὶ πρὸς ταῖς τοῦ ἡλίου ἀνατολαῖς γεγονότες, ἐντεῦθέν τε κύκλῳ τὴν ἐκτὸς περιελθόντες θάλασσαν ἐν χρόνοις μακροῖς καὶ ποικίλαις πλάναις... Γίνονται δὲ καὶ ἐν Θούλῃ τῇ νήσῳ, ἐνταῦθα τέως καὶ σταθμὸν ὥσπερ τῆς πλάνης τινὰ ποιούμενοι.

О ЧУДЕСАХЪ ЗА ѲУЛОЙ 24 КНИГИ.

2. *Въ разсказѣ* вводится *нѣкто* по имени Диній, изъ любознательности отправившійся путешествовать изъ отечества вмѣстѣ съ сыномъ *своимъ* Димохаромъ. Черезъ Понтъ и *затѣмъ* отъ Каспійскаго и Ирканскаго моря они прибыли къ *такъ* называемымъ Рипэйскимъ горамъ и устью рѣки Танаида, затѣмъ вслѣдствіе сильной стужи повернули къ Скиѳскому океану, достигли даже Восточнаго *океана* и очутились у восхода солнца, а оттуда объѣхали кругомъ внѣшнее море въ теченіе долгаго времени и среди разнообразныхъ приключеній... Они прибыли и на островъ Ѳулу и здѣсь на время остановились въ своихъ странствіяхъ.

[Въ § 6 извлеченія Фотія упоминается о Гетахъ и Замолксидѣ].

ΜΕΜΝΩΝ.

МЕМНОНЪ.

[Уроженецъ г. Иракліи Понтійской, жившій, вѣроятно, въ концѣ I и началѣ II в. по Р. Хр., написалъ исторію своего роднаго города, заключавшую въ себѣ болѣе 16 книгъ. Она извѣстна намъ только по извлеченію изъ IX—XVI книгъ, сдѣланному Фотіемъ (Bibl. Cod. 224) Оно перепечатано Müller'омъ въ FHG. v. III pp. 525—558].

ΠΕΡΙ ΗΡΑΚΛΕΙΑΣ. Ἐκ τοῦ ιε΄ βιβλίου.

ОБЪ ИРАКЛІИ. Изъ 15-й книги.

XXX (p. 541 M.). Μετὰ ταῦτα δὲ ὁ πρὸς Ῥωμαίους βαρὺς Μιθριδάτῃ τῷ Πόντου βασιλεῖ συνέστη πόλεμος, φαινομένην λαβὼν αἰτίαν τὴν τῆς Καππαδοκίας κατά-

30. Послѣ этого у Понтійскаго царя Миѳридата завязалась тяжкая война съ Римлянами [1]), видимой причиной которой послужилъ захватъ Каппадокіи... (2) Ми-

1) Зимою 89—88 г. до Р. Хр.

Digitized by Google

ληψιν... (2) Κατεστρέψατο δὲ [ὁ Μιθριδάτης] πολέμῳ καὶ τοὺς περὶ τὸν Φᾶσιν βασιλεῖς ἕως τῶν κλιμάτων τῶν ὑπὲρ τὸν Καύκασον, καὶ τὴν ἀρχὴν ηὔξησε καὶ ἐπὶ μέγα ἀλαζονείας ἐξώγκωτο. Διʼ ἃ μᾶλλον Ῥωμαῖοι τὴν αὐτοῦ διάνοιαν ὕποπτον ποιούμενοι, τοῖς Σκυθῶν βασιλεῦσιν ἐψηφίσαντο τὰς πατρῴας αὐτὸν ἀρχὰς ἀποκαταστῆσαι. Ὁ δὲ μετρίως μὲν τοῖς προστεταγμένοις ὑπήκουε, συμμάχους δὲ Πάρθους καὶ Μήδους καὶ Τιγράνην Ἀρμένιον καὶ τοὺς Σκυθικοὺς βασιλεῖς καὶ τὸν Ἴβηρα προσηταιρίζετο...

1 ордатъ подчинилъ войною и царей *народовъ, живущихъ* по Фасиду до областей за Кавказомъ, возвысилъ *свое* могущество и сдѣлался въ высшей степени надменнымъ. Римляне, вслѣдствіе этихъ причинъ еще болѣе подозрѣвая его намѣренія, порѣшили, чтобы онъ возвратилъ Скиѳскимъ царямъ [1]) ихъ родовыя владѣнія. Онъ не охотно повиновался этому приказанію и привлекъ на свою сторону Парѳовъ, Мидянъ, Арменскаго *царя* Тиграна, царей Скиѳскихъ и Иверскаго...

Ἐκ τοῦ ις′ βιβλίου.

XLIX... (4) Διεπρεσβεύετο γοῦν [Κόττα παρὰ τὴν Ἡράκλειαν στρατοπεδεύοντος] πάλιν πρός τε τοὺς ἐν Σκυθίᾳ Χερρονησίτας καὶ Θεοδοσιανοὺς καὶ τοὺς περὶ τὸν Βόσπορον δυνάστας ὑπὲρ συμμαχίας· καὶ ἡ πρεσβεία ἀνέστρεφεν ἔμπρακτος...

Изъ 16-й книги.

...[Во время осады Иракліи Коттою [2])] снова отправлено было *Ираклійцамъ* посольство *съ просьбою* о помощи къ Херсонисцамъ Скиѳскимъ, къ Ѳеодосійцамъ и властителямъ Воспора; и это посольство возвратилось не безъ результатовъ...

LIV. Ἐν τούτῳ δὲ Λεύκολλος ὁ τῶν Ῥωμαίων αὐτοκράτωρ παραγίνεται τῇ πόλει [Σινώπῃ] καὶ κραταιῶς ἐπολιόρκει. Ἐπρεσβεύετο δὲ καὶ Μαχάρης ὁ τοῦ Μιθριδάτου πρὸς Λεύκολλον περὶ φιλίας τε καὶ συμμαχίας. Ὁ δὲ ἀσμένως ἐδέχετο, εἰπὼν βεβαίως νομιεῖν τὰς συμβάσεις, εἰ μὴ καὶ τοῖς Σινωπεῦσιν ἀγορὰν διαπέμποι. Ὁ δὲ οὐ μόνον τὸ κελευόμενον ἔπραττεν, ἀλλὰ καὶ ἃ παρεσκεύαστο πέμπειν τοῖς Μιθριδατείοις, ἐξαπέστειλε Λευκόλλῳ. (2) Ταῦτα οἱ περὶ Κλεοχάρην θεασάμενοι καὶ τέλεον ἀπογνόντες πλοῦτον πολὺν ταῖς ναυσὶν ἐνθέμενοι καὶ τὴν πόλιν διαρπάσαι τοῖς στρατιώταις ἐφέντες (ὑπὸ νύκτα δὲ ταῦτα ἐπράττετο) διὰ τῶν πλοίων ἔφευγον εἰς τὰ ἐσώτερα τοῦ Πόντου (Σάνηγας δὲ καὶ Λαζοὺς ἐποίκους εἶχον τὰ χωρία), ταῖς ὑπολειφθείσαις τῶν νεῶν πῦρ ἐνέντες. (3) Αἰρομένης δὲ τῆς φλογὸς ἤσθετο Λεύκολλος τοῦ ἔργου καὶ κλίμακας κελεύει προσάγειν τῷ τείχει. Οἱ δὲ ὑπερέβαινον· καὶ φθόρος ἦν κατ᾽ ἀρχὰς οὐκ ὀλίγος· ἀλλὰ τὸ πάθος Λεύκολλος οἰκτείρας τὴν σφαγὴν ἐπέσχεν. Οὕτω μὲν οὖν ἥλω καὶ ἡ Σινώπη...

Между тѣмъ [3]) римскій главнокомандующій Лукуллъ приступилъ къ городу [Синопѣ] и энергично повелъ осаду. Миѳридатовъ *сынъ* Махаръ [4]) прислалъ къ нему посольство съ *предложеніемъ* дружбы и союза. Лукуллъ принялъ его благосклонно и отвѣтилъ, что онъ будетъ считать договоръ исполненнымъ, если *Махаръ* не будетъ посылать продовольствія Синопейцамъ. Послѣдній не только исполнилъ это требованіе, но даже переслалъ къ Лукуллу и то, что заготовилъ для отсылки войскамъ Миѳридата. (2) Клеохаровцы [5]), увидѣвъ это и совершенно отчаявшись, собрали на суда множество сокровищъ, предоставили городъ на разграбленіе солдатамъ (а дѣло было къ ночи), а *сами* бѣжали на судахъ во внутреннія области Понта (заселенныя Санигами и Лазами), поджегши *предварительно* оставшіяся суда. (3) Когда пламя занялось, Лукуллъ понялъ, *въ чемъ* дѣло, и приказалъ придвинуть къ стѣнамъ лѣстницы; *воины его* перебрались *чрезъ стѣны*, и сначала произошло не малое кровопролитіе, но Лукуллъ изъ сожалѣнія къ несчастію *жителей* прекратилъ рѣзню. Такимъ образомъ взята была и Синопа...

1) «Φρυγῶν βασιλεῦσι emend. Orelli ex App. *Mithrid.* c. 11 et 13». Müller. 2) Въ 72 г. до Р. Хр. 3) Весною 70 г. до Р. Хр. 4) По словамъ Мемнона находившійся въ то время въ Колхидѣ (cap. LIII extr.: ...πρὸς Μαχάρην τὸν Μιθριδάτου υἱόν, ὃς κατ᾽ ἐκεῖνο καιροῦ ἦν περὶ τὴν Κολχίδα, ἐξέπεμπον). 5) Приверженцы Клеохара, во время осады захватившаго тиранію въ Синопѣ (см. Memn. c. LIII).

Digitized by Google

ΦΙΛΩΝ ΒΥΒΛΙΟΣ.

ФИЛОНЪ БИБЛІЙСКІЙ.

[Грамматикъ Еревній Филонъ, уроженецъ финикійскаго города Библа, по словамъ Свиды жившій отъ временъ Нерона до Адріана (по изслѣдованію Niese, *De fontibus Stephani* p. 28, между 64 и 141 г. по Р. Хр.), оставилъ сочиненія Περὶ κτήσεως καὶ ἐκλογῆς βιβλίων βιβλία ιβ', Περὶ πόλεων καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε βιβλία λ', Περὶ τῆς βασιλείας Ἀδριανοῦ и др. числомъ до 12. Отрывки изъ историческихъ сочиненій собраны у Müller'a, FHG. v. III pp. 561—576].

ΠΕΡΙ ΠΟΛΕΩΝ, fr. 15*a* v. supra (p. 256) ap. Steph. Byz. s. v. Βόσπορος.

ΣΩΡΑΝΟΣ.

СОРАНЪ.

[Знаменитый врачъ, уроженецъ г. Ефеса, жилъ въ Римѣ и Александріи при Траянѣ и Адріанѣ. Отъ него сохранились сочиненія: Περὶ σημείων καταγμάτων, Περὶ μήτρας καὶ αἰδοίου γυναικείου, Περὶ γυναικείων παθῶν.—Текстъ: Sorani gynaeciorum vetus translatio Latina nunc primum edita cum additis Graeci textus reliquiis. . . rec. a Val. Rose. Lips. ap. Teubn. 1882].

ΕΚ ΤΩΝ ΣΩΡΑΝΟΥ ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΩΝ.

§ 81 (p. 251 R.). Μετὰ δὲ τὴν ὀμφαλοτομίαν οἱ πολλοὶ τῶν βαρβάρων, ὡς οἱ Γερμανοὶ καὶ Σκύθαι, τινὲς δὲ καὶ τῶν Ἑλλήνων, εἰς ψυχρὸν ὕδωρ καθιᾶσι τὸ βρέφος στερεοποιήσεως χάριν καὶ τοῦ τὸ μὴ φέρον τὴν ψῦξιν ἀλλὰ πελιούμενον ἢ σπώμενον ὡς οὐκ ἄξιον ἐκτροφῆς ὂν ἀπολέσθαι...

ИЗЪ СОЧИНЕНІЯ СОРАНА О ЖЕНСКИХЪ БОЛѢЗНЯХЪ.

Послѣ отрѣзанія пуповины большинство варваровъ, какъ *напр.* Германцы и Скиѳы, а также и нѣкоторые изъ Эллиновъ опускаютъ младенца въ холодную воду ради укрѣпленія и ради того, чтобы *младенецъ*, не выносящій охлажденія, но блѣднѣющій или подвергающійся спазмамъ, погибъ какъ нестоющій выкормленія...

ΦΛΕΓΩΝ ΤΡΑΛΛΙΑΝΟΣ.

ФЛЕГОНТЪ ТРАЛЛІЙСКІЙ.

[Вольноотпущенникъ Императора Адріана, написалъ пользовавшееся большою извѣстностью хронологическое сочиненіе Ὀλυμπιάδες въ 16 кн. (отъ 1 до 229 Олимпіады), изъ котораго сохранились отрывки у Фотія и Синкелла, и дошедшія до насъ небольшія сочиненія Περὶ θαυμασίων и Περὶ Μακροβίων.—Изд. Westermann, Scriptores rerum mirabilium Graeci, Brunsw. 1839, p. 139 sq.; Müller, FHG. v. III pp. 602—624; Rerum naturalium scriptores Graeci minores, rec. O. Keller, v. I (Lips. 1877, pp. 57—105), которому слѣдуемъ и мы].

ΠΕΡΙ ΘΑΥΜΑΣΙΩΝ.

XIX. (48 Müll.). Θεόπομπος δέ φησιν ὁ Σινωπεὺς ἐν τῷ περὶ σεισμῶν ἐν τῷ Κιμμερικῷ Βοσπόρῳ αἰφνιδίως σεισμοῦ γενομένου τῶν παρ' αὐτοῖς τινα ἀναρραγῆναι λόφον καὶ ἀναβαλεῖν ὀστᾶ ὑπερμεγέθη, ὥστε τὴν σύνθεσιν τοῦ σκελετοῦ πηχῶν εὑρεθῆναι εἰκοσιτεσσάρων. ταῦτα δέ φησιν τὰ ὀστᾶ τοὺς περιοικοῦντας βαρβάρους εἰς τὴν Μαιῶτιν ῥῖψαι λίμνην.

ОБЪ УДИВИТЕЛЬНЫХЪ ЯВЛЕНІЯХЪ.

Ѳеопомпъ Синопскій въ *соч.* «О землетрасеніяхъ» говоритъ, что въ Киммерійскомъ Воспорѣ при внезапномъ землетрясеніи разсѣлся одинъ холмъ и выбросилъ кости огромныхъ размѣровъ, такъ что сложенный скелетъ оказался 24 локтей. Онъ говоритъ, что окрестные варвары бросили эти кости въ Мэотійское озеро.

Digitized by Google

ΟΛΥΜΠΙΑΔΕΣ Η ΧΡΟΝΙΚΑ.

E libro VIII fr. XI (9 Müll.) v. ap. Steph. Byz. s. v. Κρέμη (supra, p. 262).

E libro XV fr. XXII (20 Müll.=Const. Porphyrog. *De them.* 2, 12): Μαρτυρεῖ δὲ καὶ Φλέγων ἐν Ὀλυμπιάδων ιε, ὅτε ἐβασιλεύετο ὁ Βόσπορος Κότυϊ τῷ Βοσποριανῷ βασιλεῖ, ᾧ καὶ διάδημα ἐκέλευσε φορεῖν ὁ Καῖσαρ, καὶ τὰς πόλεις αὐτῷ καθυπέταξεν, ἐν αἷς συναριθμεῖ καὶ αὐτὴν Χερσῶνα.

ОЛИМПІАДЫ ИЛИ ХРОНИКИ.

...Свидѣтельствуетъ и Флегонтъ въ 15-й *книгѣ* Олимпіадъ, когда Воспоръ находился подъ властью Воспорскаго царя Котиса, которому Кесарь повелѣлъ носить діадиму и подчинилъ ему города, въ числѣ которыхъ *Флегонтъ* считаетъ и самый Херсонъ.

ΑΡΤΕΜΙΔΩΡΟΣ ΔΑΛΔΙΑΝΟΣ.

АРТЕМИДОРЪ ДАЛДІАНСКІЙ.

[Артемидоръ происходилъ изъ г. Ефеса, но назывался Δαλδιανός отъ Лидійскаго города Δάλδις, въ которомъ жилъ; онъ былъ современникомъ Императора Адріана. Отъ него сохранилось соч. Ὀνειροκριτικά въ 5 книгахъ. — Текстъ: Artemidori Daldiani Onirocriticon libri V ex rec. R. Hercheri. Lipsiae ap. Teubner. 1864].

ΟΝΕΙΡΟΚΡΙΤΙΚΑ.

Lib. I c. 8... Τὰ δὲ ἴδια καὶ ἐθνικὰ [ἔθη] καλοῦμεν· οἷον στίζονται παρὰ Θρᾳξὶν οἱ εὐγενεῖς παῖδες καὶ παρὰ Γέταις οἱ δοῦλοι· ὧν οἱ μὲν πρὸς ἄρκτον, οἱ δ' ἐπὶ μεσημβρίαν οἰκοῦσι. καὶ Μόσσυνες οἱ ἐν Ποντικῇ συνουσιάζουσι δημοσίᾳ καὶ γυναιξὶ μίσγονται ὥσπερ οἱ κύνες, τοῖς δὲ ἄλλοις ἀνθρώποις ἄτιμα ταῦτα νενόμισται.

О ТОЛКОВАНІИ СНОВИДѢНІЙ.

...Нѣкоторые обычаи мы называемъ частными и народными. Такъ, напр., у Ѳракійцевъ клеймятся благородныя дѣти, а у Гетовъ рабы; первые живутъ къ сѣверу, вторые къ югу. Моссины, живущіе въ Понтійской странѣ, открыто сходятся и вступаютъ въ сношенія съ женщинами, какъ собаки, а у другихъ людей это считается постыднымъ.

ΚΕΦΑΛΙΩΝ.

КЕФАЛІОНЪ.

[По словамъ Свиды «Кефаліонъ или Кефалонъ Гергиескій, риторъ и историкъ, жилъ при Адріанѣ; бѣжавъ изъ отечества изъ за ненависти къ властителямъ, жилъ въ Сициліи. Написалъ всеобщую исторію въ 9 книгахъ подъ заглавіемъ Μοῦσαι, на іоническомъ діалектѣ, Μελέται ῥητορικαί и нѣк. др.». По словамъ Фотія (*Bibl.* cod. 68) исторія Кефаліона начиналась царствованіемъ Нина и Семирамиды и доходила до временъ Александра Великаго и каждая книга называлась именемъ одной изъ Музъ; авторъ, подобно Омиру, нарочно скрывалъ свое происхожденіе и родину. На основаніи послѣдняго замѣчанія Мюллеръ предполагаетъ, что Свида, называющій Кефаліона Гергиескимъ, смѣшалъ его съ другимъ, болѣе древнимъ одноименнымъ историкомъ.—Собраніе отрывковъ: Müller, FHG. III, pp. 625—631].

ΙΣΤΟΡΙΑΙ. Lib. 1 (Κλειώ) fragm. 1 (Syncell. p. 167, A):

...Ὑστέρῃ δὲ γενεᾷ κατὰ Πανύαν ἄρχοντα ὁ τῶν Ἀργοναυτῶν στόλος ἔπλευσεν ἐπί τε Φᾶσιν καὶ Μηδείην τὴν Κολχίδα...

...Въ слѣдующемъ поколѣніи [1]), во время власти Панія, флотъ Аргонавтовъ отплылъ къ Фасиду и Колхидской Мидіи...

Euseb. *Chron.* p. 41 Mai: ...Deinde... ait [Cephalio], sequiore aetate, imperante apud Assyrios Panya, classem Argonautarum venisse ad Phasim amnem et ad Colchidem Medeam...

1) Послѣ Персея.

Digitized by Google

ΝΙΚΑΝΩΡ ΑΛΕΞΑΝΔΡΕΥΣ. НИКАНОРЪ АЛЕКСАНДРІЙСКІЙ.

[По словамъ Свиды грамматикъ Никаноръ, сынъ Ермія, Александріецъ, жилъ при Императорѣ Адріанѣ; онъ занимался преимущественно ученіемъ о знакахъ препинанія, за что и получилъ шуточное прозваніе Στιγματίας. Ему же Мюллеръ приписываетъ, хотя и съ сомнѣніемъ, историческое сочиненіе Περὶ Ἀλεξανδρείας и Μετονομασίαι. Отрывки изъ этихъ сочиненій собраны въ FHG. v. III pp. 632—634].

ΜΕΤΟΝΟΜΑΣΙΑΙ. Fragm. 10 v. supra (p. 266) ap. Steph. Byz. s. v. Τάναϊς.
» Fragm. 12 v. ap. eundem s. v. Διοσκουριάς (p. 259).

ΙΟΥΣΤΙΝΟΣ. ЮСТИНЪ.

Уроженецъ самарійскаго города Flavia Neapolis, въ юности занимался греческою философіею, затѣмъ принялъ христіанскую вѣру и сдѣлался извѣстенъ своими сочиненіями, какъ апологетъ христіанства противъ язычниковъ и іудеевъ. Скончался мученическою смертію въ 166 г. по Р. Хр. и причтенъ къ лику святыхъ. — Текстъ: Iustini opera omnia, ed. Maury. Venet. 1747].

ΙΡΟΣ ΤΡΥΦΩΝΑ ΤΟΝ ΙΟΥΔΑΙΟΝ ΔΙΑΛΟΓΟΣ. РАЗГОВОРЪ СЪ ТРИФОНОМЪ ІУДЕЕМЪ.

M. p. 222... Οὐδὲ ἓν γὰρ ὅλως ἐστὶ
ὸ γένος ἀνθρώπων, εἴτε βαρβάρων, εἴτε
Ἑλλήνων, εἴτε ᾠτινιοῦν ὀνόματι προσαγο-
ευομένων, ἢ ἀμαξοβίων ἢ ἀοίκων καλουμέ-
ων ἢ ἐν σκηναῖς κτηνοτρόφων οἰκούντων,
οἷς μὴ διὰ τοῦ ὀνόματος τοῦ σταυρω-
έντος Ἰησοῦ εὐχαὶ καὶ εὐχαριστίαι τῷ
ατρὶ καὶ ποιητῇ τῶν ὅλων γίνονται...

1 ...Ибо нѣтъ вообще ни одного племени людей, ни варваровъ, ни Эллиновъ, ни какимъ бы то ни было именемъ называемыхъ, или носящихъ имя «живущихъ на телѣгахъ» или «бездомныхъ», или живущихъ въ палаткахъ и занимающихся скотоводствомъ, — у которыхъ не приносились бы моленія и благодаренія во имя распятаго Іисуса Отцу и Творцу всего *міра*...

ΑΡΡΙΑΝΟΣ. АРРІАНЪ.

[V. supra p. 217].

ΑΝΑΒΑΣΙΣ ΑΛΕΞΑΝΔΡΟΥ. ПОХОДЪ АЛЕКСАНДРА [ВЕЛИКАГО] [1]).

[Текстъ: Arriani Anabasis. Recogn. Carolus Abicht. Lips. ap. Teubn. 1882].

I, 3, 1—2. Ἀπὸ δὲ τῆς μάχης τριταῖος
ικνεῖται Ἀλέξανδρος ἐπὶ τὸν ποταμὸν

На третій день послѣ битвы [2]) Александръ прибылъ къ рѣкѣ Истру, величай-

1) Написанъ около 166—168 г. по Р. Хр. по мнѣнію H. Nissen'a (Rhein. Mus. 1888, стр. 6 сл.), а по мнѣнію C. E. Gleye (Philol. 1894, стр. 442 сл.)—раньше 165 г. 2) Съ Триваллами при р. Лигинѣ, въ 335 г. до Р. Хр.

Digitized by Google

τὸν Ἴστρον, ποταμῶν τῶν κατὰ τὴν Εὐρώπην μέγιστον ὄντα καὶ πλείστην γῆν ἐπερχόμενον καὶ ἔθνη μαχιμώτατα ἀπείργοντα, τὰ μὲν πολλὰ Κελτικά, ὅθεν γε καὶ αἱ πηγαὶ αὐτῷ ἀνίσχουσιν... (2) ἐπὶ δὲ Σαυροματῶν μοῖραν, Ἰάζυγας· ἐπὶ δὲ Γέτας τοὺς ἀπαθανατίζοντας· ἐπὶ δὲ Σαυρομάτας τοὺς πολλούς· ἐπὶ δὲ Σκύθας ἔστε ἐπὶ τὰς ἐκβολάς, ἵνα ἐκδιδοῖ κατὰ πέντε στόματα ἐς τὸν Εὔξεινον Πόντον.

шей изъ всѣхъ Европейскихъ рѣкъ, протекающей огромное пространство земли и раздѣляющей воинственнѣйшіе народы, по большей части Кельтическіе, изъ владѣній которыхъ и беретъ свое начало... (2) затѣмъ Язиговъ, вѣтвь Савроматовъ, потомъ Гетовъ, вѣрующихъ въ безсмертіе души, далѣе большинство Савроматовъ, наконецъ Скиѳовъ вплоть до устья, гдѣ она впадаетъ пятью рукавами въ Понтъ Евксинскій.

III, 19, 3. [Ἀλέξανδρος] ὡς ἠγγέλθη κατὰ τὴν ὁδὸν ὅτι ἐγνωκὼς εἴη Δαρεῖος ἁπανταῖν τε αὐτῷ ὡς ἐς μάχην καὶ αὖθις διακινδυνεύειν (Σκύθας τε γὰρ αὐτῷ ἥκειν καὶ Καδουσίους συμμάχους),... τὴν στρατιὰν... ἀναλαβὼν ἦγεν ἐσταλμένους ὡς ἐς μάχην. Καὶ ἀφικνεῖται δωδεκάτῃ ἡμέρᾳ ἐς Μηδίαν· (4) ἔνθα ἔμαθεν οὐκ οὖσαν ἀξιόμαχον δύναμιν Δαρείῳ οὐδὲ Καδουσίους ἢ Σκύθας αὐτῷ συμμάχους ἥκοντας, ἀλλ' ὅτι φεύγειν ἐγνωκὼς εἴη Δαρεῖος...

Александръ, получивъ на дорогѣ [1]) извѣстіе, что Дарій рѣшился встрѣтиться съ нимъ въ *открытомъ* бою и снова испытать счастья (такъ какъ къ нему пришли на помощь Скиѳы и Кадусіи),... двинулся впередъ съ войскомъ, готовымъ къ битвѣ. На двѣнадцатый день онъ прибылъ въ Мидію; здѣсь онъ узналъ, что у Дарія нѣтъ достаточныхъ силъ, что Кадусіи или Скиѳы не явились къ нему на помощь и что Дарій рѣшилъ искать спасенія въ бѣгствѣ...

III, 30, 6. Ἀλέξανδρος... ὡς ἐπὶ Μαράκανδα ἦγε· τὰ δέ ἐστι βασίλεια τῆς Σογδιανῶν χώρας. (7) ἔνθεν δὲ ἐπὶ τὸν Τάναϊν ποταμὸν προήει. τῷ δὲ Τανάϊδι τούτῳ, ὃν δὴ καὶ Ἰαξάρτην ἄλλῳ ὀνόματι πρὸς τῶν ἐπιχωρίων βαρβάρων καλεῖσθαι λέγει Ἀριστόβουλος, αἱ πηγαὶ μὲν ἐκ τοῦ Καυκάσου ὄρους καὶ αὐτῷ εἰσιν· ἐξίησι δὲ καὶ οὗτος ὁ ποταμὸς ἐς τὴν Ὑρκανίαν θάλασσαν. (8) ἄλλος δ' ἂν εἴη Τάναϊς ὑπὲρ ὅτου λέγει Ἡρόδοτος ὁ λογοποιὸς ὄγδοον εἶναι τῶν ποταμῶν τῶν Σκυθικῶν Τάναϊν, καὶ ῥέειν μὲν ἐκ λίμνης μεγάλης ἀνίσχοντα, ἐκδιδόναι δὲ ἐς μείζω ἔτι λίμνην, τὴν καλουμένην Μαιῶτιν· καὶ τὸν Τάναϊν τοῦτον εἰσὶν οἳ ὅρον ποιοῦσι τῆς Ἀσίας καὶ τῆς Εὐρώπης, (9) οἷς δὴ ἀπὸ τοῦ μυχοῦ τοῦ πόντου τοῦ Εὐξείνου ἡ λίμνη τε ἡ Μαιῶτις καὶ ὁ ἐς ταύτην ἐξιεὶς ποταμὸς ὁ Τάναϊς οὗτος διείργει τήν τε Ἀσίαν καὶ τὴν Εὐρώπην...

Александръ... двинулся въ Мараканду, столицу Согдіанской страны [2]), а отсюда пошелъ къ рѣкѣ Танаиду. Этотъ Танаидъ, который по словамъ Аристовула туземные варвары называютъ и другимъ именемъ Яксарта, беретъ свое начало также изъ Кавказскихъ горъ и впадаетъ также въ Ирканское море. Отъ него отличенъ, должно быть, тотъ Танаидъ, о которомъ историкъ Иродотъ говоритъ [3]), что Танаидъ — восьмая изъ Скиѳскихъ рѣкъ и беретъ начало изъ большаго озера, а впадаетъ въ большее еще озеро, называемое Меотійскимъ; этотъ послѣдній Танаидъ нѣкоторые считаютъ границею Азіи и Европы: по ихъ мнѣнію, значитъ, отъ отдаленнѣйшаго угла Евксинскаго Понта Меотійское озеро и впадающая въ него эта рѣка Танаидъ отдѣляетъ Азію отъ Европы...

IV, I, 1. Οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον ἀφικνοῦνται παρ' Ἀλέξανδρον πρέσβεις παρά τε Σκυθῶν τῶν Ἀβίων καλουμένων (οὓς καὶ Ὅμηρος δικαιοτάτους ἀνθρώπους

Нѣсколько дней спустя [4]) явились къ Александру послы отъ Скиѳовъ по прозванію Авіевъ (которыхъ похвалилъ и Омиръ въ своей поэмѣ [5]), назвавъ спра-

1) Изъ Персиды въ Мидію, весною 330 г. 2) 329 г. 3) Herod. IV, 57 (supra, p. 25). 4) Во время пребыванія Александра на Яксартѣ. 5) Hom. *Il.* XIII, 5 (supra, p. 299).

Digitized by Google

εἰπὼν ἐν τῇ ποιήσει ἐπήνεσεν· οἰκοῦσι δὲ ἐν τῇ Ἀσίᾳ καὶ οὗτοι αὐτόνομοι, οὐχ ἥκιστα διὰ πενίαν τε καὶ δικαιότητα) καὶ παρὰ τῶν ἐκ τῆς Εὐρώπης Σκυθῶν, οἳ δὴ τὸ μέγιστον ἔθνος ἐν τῇ Εὐρώπῃ ἐποικοῦσι. (2) καὶ τούτοις ξυμπέμπει Ἀλέξανδρος τῶν ἑταίρων, πρόφασιν μὲν κατὰ πρεσβείαν φιλίαν ξυνθησομένους, ὁ δὲ νοῦς τῆς πομπῆς ἐς κατασκοπήν τι μᾶλλον ἔφερε φύσεώς τε τῆς χώρας τῆς Σκυθικῆς καὶ πλήθους αὐτῶν καὶ νομαίων καὶ ὁπλίσεως ἥντινα ἔχοντες στέλλονται ἐς τὰς μάχας...

1 воинственнѣйшими изъ людей; живутъ они въ Азіи и никому не подчинены главнымъ образомъ вслѣдствіе своей бѣдности и справедливости) и отъ Скиѳовъ Европейскихъ, которые живутъ въ Европѣ, *составляя* огромнѣйшій народъ. Александръ послалъ съ ними нѣкоторыхъ изъ своихъ «товарищей» подъ предлогомъ заключенія дружественнаго союза посредствомъ посольства, но *дѣйствительною* цѣлью этой посылки было скорѣе ознакомленіе съ природою страны Скиѳовъ, съ ихъ численностью, обычаями и вооруженіемъ, съ какимъ они выступаютъ на битвы...

IV, 11, 9. Εἰ δὲ ὑπὲρ Κύρου τοῦ Καμβύσου λέγεται τὸν πρῶτον προσκυνηθῆναι ἀνθρώπων Κῦρον καὶ ἐπὶ τῷδε ἐμμεῖναι Πέρσαις τε καὶ Μήδοις τήνδε τὴν ταπεινότητα, χρὴ ἐνθυμεῖσθαι ὅτι τὸν Κῦρον ἐκεῖνον Σκύθαι ἐσωφρόνισαν, πένητες ἄνδρες καὶ αὐτόνομοι, καὶ Δαρεῖον ἄλλοι αὖ Σκύθαι...

Если про Кира, сына Камбиса, говорятъ, что ему первому стали воздавать поклоненіе и что отъ него остался у Персовъ и Мидянъ этотъ унизительный обычай, то нужно помнить, что этого Кира образумили Скиѳы, люди бѣдные и самостоятельные, а Дарія—другіе Скиѳы...

IV, 15, 1. Παρ' Ἀλέξανδρον δὲ ἦκεν αὖθις Σκυθῶν τῶν ἐκ τῆς Εὐρώπης πρεσβεία ξὺν τοῖς πρέσβεσιν οἷς αὐτὸς ἐς Σκύθας ἔστειλεν. Ὁ μὲν δὴ τότε βασιλεὺς τῶν Σκυθῶν ὅτε οὗτοι ὑπ' Ἀλεξάνδρου ἐπέμποντο τετελευτηκὼς ἐτύγχανεν· ἀδελφὸς δὲ ἐκείνου ἐβασίλευεν. (2) ἦν δὲ ὁ νοῦς τῆς πρεσβείας ἐθέλειν ποιεῖν πᾶν τὸ ἐξ Ἀλεξάνδρου ἐπαγγελλόμενον Σκύθας· καὶ δῶρα ἔφερον Ἀλεξάνδρῳ παρὰ τοῦ βασιλέως τῶν Σκυθῶν ὅσα μέγιστα νομίζεται ἐν Σκύθαις· καὶ τὴν θυγατέρα ὅτι ἐθέλει Ἀλεξάνδρῳ δοῦναι γυναῖκα βεβαιότητος οὕνεκα τῆς πρὸς Ἀλέξανδρον φιλίας τε καὶ ξυμμαχίας. (3) εἰ δὲ ἀπαξιοῖ τὴν Σκυθῶν βασίλισσαν γῆμαι Ἀλέξανδρος, ἀλλὰ τῶν γε σατραπῶν τῶν τῆς Σκυθικῆς χώρας καὶ ὅσοι ἄλλοι δυνάσται κατὰ τὴν γῆν τὴν Σκυθίδα, τούτων τὰς παῖδας ἐθέλειν δοῦναι τοῖς πιστοτάτοις τῶν ἀμφ' Ἀλέξανδρον. ἤξειν δὲ καὶ αὐτὸς ἔφασκεν, εἰ κελεύοιτο, ὡς παρ' αὐτοῦ Ἀλεξάνδρου ἀκοῦσαι ὅσα ἐπαγγέλλοι. (4) ἀφίκετο δ' ἐν τούτῳ παρ' Ἀλέξανδρον καὶ Φαρασμάνης ὁ Χωρασμίων βασιλεὺς ξὺν ἱππεῦσι χιλίοις καὶ πεντακοσίοις. ἔφασκε δὲ ὁ Φαρασμάνης ὅμορος οἰκεῖν τῷ τε

Къ Александру снова прибыло [1]) посольство отъ Европейскихъ Скиѳовъ вмѣстѣ съ послами, которыхъ самъ онъ отправлялъ въ Скиѳію. Скиѳскій царь, царствовавшій въ то время, когда Александръ посылалъ ихъ, между тѣмъ скончался и престолъ перешелъ къ его брату. Цѣлью посольства было *заявленіе*, что Скиѳы согласны исполнять всѣ требованія Александра; послы принесли ему отъ Скиѳскаго царя дары, какіе у Скиѳовъ считаются самыми драгоцѣнными, и *заявили*, что онъ желаетъ выдать за Александра свою дочь съ цѣлью скрѣпленія узъ дружбы и союза съ Александромъ; если же ему самому не угодно будетъ жениться на Скиѳской царевнѣ, то царь желаетъ по крайней мѣрѣ выдать за вѣрнѣйшихъ сподвижниковъ Александра дочерей сатраповъ Скиѳской земли и другихъ властителей, какіе тамъ есть; при этомъ царь обѣщалъ прибыть и самъ, если ему прикажутъ, чтобы лично выслушать приказанія Александра. Въ то же время прибылъ къ Александру и Хорасмійскій царь Фарасманъ съ 1500 всадниковъ; онъ говорилъ, что живетъ рядомъ съ племе-

1) Зимою 329—328 г.

Digitized by Google

Κόλχων γένει καὶ ταῖς γυναιξὶ ταῖς Ἀμαζόσι, καὶ εἰ ἐθέλοι Ἀλέξανδρος ἐπὶ Κόλχους τε καὶ Ἀμαζόνας ἐλάσας καταστρέψασθαι τὰ ἐπὶ τὸν πόντον τὸν Εὔξεινον ταύτῃ καθήκοντα γένη, ὁδῶν τε ἡγεμὼν ἔσεσθαι ἐπηγγέλλετο καὶ τὰ ἐπιτήδεια τῇ στρατιᾷ παρασκευάσειν.

немъ Колховъ и женщинами Амазонками, и на случай, если бы Александръ захотѣлъ двинуться противъ Колховъ и Амазонокъ и подчинить себѣ сосѣднія съ Понтомъ Евксинскимъ племена, обѣщалъ быть путеводителемъ и приготовить продовольствіе для войска.

(5) Τοῖς τε οὖν παρὰ τῶν Σκυθῶν ἥκουσι φιλάνθρωπα ἀποκρίνεται Ἀλέξανδρος καὶ ἐς τὸν τότε καιρὸν ξύμφορα, γάμου δὲ οὐδὲν δεῖσθαι Σκυθικοῦ· καὶ Φαρασμάνην ἐπαινέσας τε καὶ φιλίαν καὶ ξυμμαχίαν πρὸς αὐτὸν ξυνθέμενος αὐτῷ μὲν τότε οὐκ ἔφη ἐν καιρῷ εἶναι ἐλαύνειν ἐπὶ τὸν Πόντον· Ἀρταβάζῳ δὲ τῷ Πέρσῃ, ὅτῳ τὰ Βακτρίων ἐξ Ἀλεξάνδρου ἐπετέτραπτο, καὶ ὅσοι ἄλλοι πρόσχωροι τούτῳ σατράπαι ξυστήσας Φαρασμάνην ἀποπέμπει ἐς τὰ ἤθη τὰ αὐτοῦ.

Прибывшимъ отъ Скиѳовъ посламъ Александръ далъ благосклонный и соотвѣтствовавшій тогдашнимъ обстоятельствамъ отвѣтъ, отказавшись, *однако*, отъ брака съ Скиѳской царевной; Фарасмана онъ похвалилъ, заключилъ съ нимъ дружественный союзъ и сказалъ, что ему самому некогда теперь идти походомъ къ Понту, но рекомендовалъ его Персу Артавазу, которому было поручено управленіе Бактріей, и другимъ сосѣднимъ съ нимъ сатрапамъ, а затѣмъ отпустилъ восвояси.

V, 3, 1... Οὐκ ἔγωγε Ἐρατοσθένει τῷ Κυρηναίῳ πάντη ξυμφέρομαι, ὃς λέγει πάντα ὅσα ἐς τὸ θεῖον ἀναφέρεται ἐκ Μακεδόνων πρὸς χάριν τὴν Ἀλεξάνδρου ἐς τὸ ὑπέρογκον ἐπιφημισθῆναι. (2) καὶ γὰρ καὶ σπήλαιον λέγει ἰδόντας ἐν Παραπαμισάδαις τοὺς Μακεδόνας καί τινα μῦθον ἐπιχώριον ἀκούσαντας ἢ καὶ αὐτοὺς ξυνθέντας φημίσαι ὅτι τοῦτο ἄρα ἦν τοῦ Προμηθέως τὸ ἄντρον, ἵνα ἐδέδετο, καὶ ὁ ἀετὸς ὅτι ἐκεῖσε ἐφοίτα δαισόμενος τῶν σπλάγχνων τοῦ Προμηθέως, καὶ ὁ Ἡρακλῆς ὅτι ἐκεῖσε ἀφικόμενος τόν τε ἀετὸν ἀπέκτεινε καὶ τὸν Προμηθέα τῶν δεσμῶν ἀπέλυσε. (3) τὸν δὲ Καύκασον τὸ ὄρος ἐκ τοῦ Πόντου ἐς τὰ πρὸς ἕω μέρη τῆς γῆς καὶ τὴν Παραπαμισαδῶν χώραν ὡς ἐπὶ Ἰνδοὺς μετάγειν τῷ λόγῳ τοὺς Μακεδόνας, Παραπάμισον ὄντα τὸ ὄρος αὐτοὺς καλοῦντας Καύκασον τῆς Ἀλεξάνδρου ἕνεκα δόξης, ὡς ὑπὲρ τὸν Καύκασον ἄρα ἐλθόντα Ἀλέξανδρον...

...Я не вполнѣ согласенъ съ Ератосѳеномъ Киринейскимъ, по словамъ котораго все, что отнесено Македонянами къ божеству [Діонису], черезчуръ преувеличено въ угоду Александру. Онъ говоритъ вѣдь и то, что Македоняне, увидѣвши въ Парапамисадахъ одну пещеру и услышавши какое то мѣстное преданіе, или даже сами сложивъ его, распространили слухъ, что это та самая пещера, въ которой былъ прикованъ Прометей, что туда прилеталъ орелъ терзать внутренности Прометея и что Иракъ, явившись туда, убилъ орла и освободилъ Прометея отъ оковъ. Кавказскія горы *по словамъ Ератосѳена* Македоняне въ своихъ сказаніяхъ переносятъ отъ Понта въ восточныя страны и въ землю Парапамисадовъ, т. е. къ Индійцамъ, называя Кавказомъ гору Парапамисъ для *вящаго* прославленія Александра, — что, дескать, Александръ перешелъ черезъ Кавказъ...

V. 5, 2. Νῦν δὲ... τοσόνδε μοι ἀναγεγράφθω· τὸν Ταῦρον τὸ ὄρος ἀπείργειν τὴν Ἀσίαν, ἀρχόμενον μὲν ἀπὸ Μυκάλης... (3) κατὰ δὲ Βακτρίους ξυμβάλλειν τῷ Παραπαμίσῳ ὄρει, ὃ δὴ Καύκασον ἐκάλουν οἱ Ἀλεξάνδρῳ ξυστρατεύσαντες Μακεδόνες, ὡς μὲν λέγεται τὰ Ἀλεξάνδρου αὔξοντες,

Теперь... достаточно замѣтить слѣдующее: гора Тавръ прорѣзываетъ Азію, начинаясь отъ Микалы... и въ Бактріи соединяется съ горою Парапамисомъ, которую участвовавшіе въ походѣ Александра Македоняне называли Кавказомъ, какъ говорятъ, съ цѣлью возвеличенія

Digitized by Google

ὅτι δὴ καὶ ἐπ' ἐκεῖνα ἄρα τοῦ Καυκάσου κρατῶν τοῖς ὅπλοις ἦλθεν Ἀλέξανδρος· τυχὸν δὲ καὶ ξυνεχὲς τυγχάνει ὂν τοῦτο τὸ ὄρος τῷ ἄλλῳ τῷ Σκυθικῷ Καυκάσῳ, καθάπερ οὖν αὐτῷ τούτῳ ὁ Ταῦρος... (4)... Τοὺς οὖν ποταμοὺς ὅσοι κατὰ τὴν Ἀσίαν λόγου ἄξιοι ἐκ τοῦ Ταύρου τε καὶ τοῦ Καυκάσου ἀνίσχοντας τοὺς μὲν ὡς ἐπ' ἄρκτον τετραμμένον ἔχειν τὸ ὕδωρ, καὶ τούτων τοὺς μὲν ἐς τὴν λίμνην ἐνδιδόναι τὴν Μαιῶτιν, τοὺς δὲ ἐς τὴν Ὑρκανίαν καλουμένην θάλασσαν, καὶ ταύτην κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης...

дѣяній Александра, — что, дескать, Александръ побѣдоносно перешелъ на ту сторону Кавказа; а можетъ статься, что этотъ горный хребетъ соединяется съ другимъ Кавказомъ, Скиѳскимъ, подобно тому, какъ съ нимъ самымъ *соединяется* и Тавръ... Нѣкоторыя замѣчательныя рѣки въ Азіи, берущія начало съ Тавра и Кавказа, текутъ на сѣверъ и изъ нихъ опять однѣ впадаютъ въ Мэотійское озеро, а другія — въ такъ называемое Ирканское море, представляющее собою заливъ великаго моря...

V, 25, 5. [Александръ въ рѣчи къ военачальникамъ на берегу рѣки Ифасида въ числѣ покоренныхъ имъ странъ называетъ]:

...καὶ Πέρσαι καὶ Μῆδοι καὶ ὅσων Πέρσαι καὶ Μῆδοι ἐπῆρχον καὶ ὅσων δὲ οὐκ ἦρχον, τὰ ὑπὲρ τὰς Κασπίας πύλας, τὰ ἐπ' ἐκεῖνα τοῦ Καυκάσου, ὅτι ἂν ἐς τὰ πρόσω ἔτι τοῦ Τανάϊδος, Βακτριανοί, Ὑρκάνιοι, ἡ θάλασσα ἡ Ὑρκανία, Σκύθας τε ἀνεστείλαμεν ἔστε ἐπὶ τὴν ἔρημον...

...Персы, Мидяне, племена подвластныя Персамъ и Мидянамъ и не бывшія подъ ихъ властью, области за Каспійскими воротами и по ту сторону Кавказа, *все* что лежитъ еще впереди Танаида, Бактрійцы, Ирканцы, Ирканское море; мы прогнали Скиѳовъ до самой пустыни...

VII, 1, 2. Οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ὅτι ἐπενόει Ἀλέξανδρος περιπλεῦσαι τήν τε Ἀραβίαν τὴν πολλὴν καὶ τὴν Αἰθιόπων γῆν καὶ τὴν Λιβύην τε καὶ τοὺς Νομάδας ὑπὲρ τὸν Ἄτλαντα τὸ ὄρος ὡς ἐπὶ Γάδειρα εἴσω ἐς τὴν ἡμετέραν θάλασσαν... (3)... ἔνθεν δὲ οἱ μὲν [λέγουσιν] ὅτι ἐς τὸν πόντον τὸν Εὔξεινον ἐσπλεῖν ἐπενόει ἐς Σκύθας τε καὶ τὴν Μαιῶτιν λίμνην, οἱ δέ, ὅτι ἐς Σικελίαν τε καὶ τὴν Μαιῶτιν λίμνην...

Нѣкоторые *писатели* сообщаютъ также, что Александръ задумывалъ объѣхать моремъ большую часть Аравіи, землю Эѳіоповъ, Ливію и Номадовъ за горою Атлантомъ до Гадиръ *и затѣмъ возвратиться* въ наше море... (3)... Затѣмъ по словамъ однихъ онъ задумывалъ плыть въ Понтъ Евксинскій, въ Скиѳію и Мэотійское озеро, а *по словамъ* другихъ — въ Сицилію и Мэотійское озеро...

VII, 13, 2. Ἐνταῦθα [ἐν τῷ Νυσαίῳ πεδίῳ] λέγουσιν ὅτι Ἀτροπάτης ὁ τῆς Μηδίας σατράπης γυναῖκας ἑκατὸν αὐτῷ [Ἀλεξάνδρῳ] ἔδωκε, ταύτας φάσκων εἶναι τῶν Ἀμαζόνων... (3)... ταῦτα δὲ οὔτε Ἀριστόβουλος οὔτε Πτολεμαῖος οὔτε τις ἄλλος ἀνέγραψεν ὅστις ἱκανὸς ὑπὲρ τῶν τοιούτων τεκμηριῶσαι. (4) οὐδὲ δοκεῖ μοι ἐν τῷ τότε σῴζεσθαι τὸ γένος τῶν Ἀμαζόνων, οὐδ' ἔτι πρὸ Ἀλεξάνδρου, ἢ Ξενοφῶν ἂν ἐμνήσθη αὐτῶν, Φασιανῶν τε μνησθεὶς καὶ Κόλχων καὶ ὅσα ἄλλα ἀπὸ Τραπεζοῦν-

Говорятъ, что Мидійскій сатрапъ Атропатъ здѣсь [въ Нисэйской равнинѣ] подарилъ Александру сотню женщинъ, которыхъ онъ называлъ Амазонками... Однако объ этомъ не писалъ ни Аристовулъ, ни Птолемэй, ни какой либо другой *писатель*, котораго свидѣтельство объ этомъ заслуживало бы довѣрія. Я не думаю, чтобы тогда существовало еще племя Амазонокъ, и даже еще раньше Александра, ибо иначе объ нихъ упомянулъ бы Ксенофонтъ, упомянувшій о Фасіанахъ, Колхахъ [1]) и дру-

---

1) Хен. *Anab.* IV, 8, 8 (supra, p. 75), V, 2, 1 (p. 77), V, 7, 18. Впрочемъ, Ксенофонтъ упоминаетъ объ Амазонкахъ въ *Anab.* IV, 4, 16.

Digitized by Google

τος ὁρμώμενοι ἢ πρὶν ἐς Τραπεζοῦντα κατελθεῖν οἱ Ἕλληνες ἐπῆλθον ἔθνη βαρβαρικά, ἵναπερ καὶ ταῖς Ἀμαζόσιν ἐντετυχήκεσαν ἄν, εἴπερ οὖν ἔτι ἦσαν Ἀμαζόνες. (5) μὴ γενέσθαι μὲν γὰρ παντελῶς τὸ γένος τούτων τῶν γυναικῶν οὐ πιστὸν δοκεῖ ἔμοιγε, πρὸς τοσούτων καὶ τοιούτων ὑμνηθέν...

гихъ варварскихъ народахъ, чрезъ владѣнія которыхъ проходили Еллины на пути отъ Трапезунта или раньше прибытія въ Трапезунтъ, гдѣ они встрѣтились бы и съ Амазонками, если бы только послѣднія еще существовали. Однако мнѣ не представляется вѣроятнымъ, чтобы совершенно не существовало это женское племя, прославленное столь многими и столь славными писателями...

VII, 15, 4. Κατιόντι δὲ αὐτῷ εἰς Βαβυλῶνα... καὶ Καρχηδονίους τότε πρεσβεῦσαι λέγεται καὶ ἀπὸ Αἰθιόπων πρέσβεις ἐλθεῖν καὶ Σκυθῶν τῶν ἐκ τῆς Εὐρώπης...

При возвращеніи Александра въ Вавилонъ... тогда же, говорятъ, прислали посольство Карѳагеняне, пришли послы отъ Эѳіоповъ и Европейскихъ Скиѳовъ...

VII, 16, 1. Ἐκ τούτου δὴ Ἡρακλείδην τὸν Ἀργαίου ἐκπέμπει [Ἀλέξανδρος] ἐς Ὑρκανίαν ναυπηγοὺς ἅμα οἱ ἔχοντα, κελεύσας ὕλην τεμόντα ἐκ τῶν ὀρῶν τῶν Ὑρκανίων ναυπηγεῖσθαι ναῦς μακρὰς ἀφράκτους τε καὶ πεφραγμένας ἐς τὸν κόσμον τὸν Ἑλληνικόν. (2) Πόθος γὰρ εἶχεν αὐτὸν καὶ ταύτην ἐκμαθεῖν τὴν θάλασσαν τὴν Κασπίαν τε καὶ Ὑρκανίαν καλουμένην ποίᾳ τινὶ ξυμβάλλει θαλάσσῃ, πότερα τῇ τοῦ πόντου τοῦ Εὐξείνου ἢ ἀπὸ τῆς ἑῴας τῆς κατ' Ἰνδοὺς ἐκπεριερχομένη ἡ μεγάλη θάλασσα ἀναχεῖται ἐς κόλπον τὸν Ὑρκάνιον... (3) Οὐ γάρ πω ἐξεύρηντο αἱ ἀρχαὶ τῆς Κασπίας θαλάσσης, καίτοι ἐθνῶν τε αὐτὴν περιοικούντων οὐκ ὀλίγων καὶ ποταμῶν πλοίμων ἐμβαλλόντων ἐς αὐτήν· ἐκ Βάκτρων μὲν Ὦξος, μέγιστος τῶν Ἀσιανῶν ποταμῶν πλήν γε δὴ τῶν Ἰνδῶν ἐξίησιν ἐς ταύτην τὴν θάλασσαν, διὰ Σκυθῶν δὲ Ἰαξάρτης· καὶ τὸν Ἀράξην δὲ τὸν ἐξ Ἀρμενίων ῥέοντα ἐς ταύτην ἐσβάλλειν ὁ πλείων λόγος κατέχει. (4) μέγιστοι μὲν οὗτοι· πολλοὶ δὲ δὴ καὶ ἄλλοι ἐς τε τούτους ἐμβάλλοντες καὶ αὐτοὶ ἐπὶ σφῶν ἐς τὴν θάλασσαν ταύτην ἐξιᾶσιν, οἱ μὲν καὶ γινωσκόμενοι πρὸς τῶν ἀμφ' Ἀλέξανδρον ἐπελθόντων τὰ ἔθνη ταῦτα, οἱ δὲ κατὰ τὰ ἐπ' ἐκεῖνα τοῦ κόλπου, ὡς εἰκός, [ἐς τοὺς Σκύθας τοὺς Νομάδας] ὃ δὴ ἄγνωστον πάντη ἐστίν.

Затѣмъ [Александръ] послалъ въ Иркванію Иракліда сына Аргэева съ кораблестроителями, приказавъ ему нарубить лѣса на Иркванскихъ горахъ и настроить длинныхъ кораблей крытыхъ и некрытыхъ по еллинскому образцу: ему хотѣлось изслѣдовать, съ какимъ моремъ соединяется и это море, такъ называемое Каспійское или Иркванское, — съ Понтомъ-ли Евксинскимъ, или же большое море, обходя кругомъ отъ восточнаго Индійскаго *океана*, изливается въ Иркванскій заливъ:... вѣдь до тѣхъ поръ еще не было найдено начало Каспійскаго моря, хотя кругомъ его жило не мало народовъ и въ него впадаютъ судоходныя рѣки: именно изъ Бактріи изливается въ это море Оксъ, величайшая изъ Азіатскихъ рѣкъ, кромѣ Индійскихъ, а изъ Скиѳіи—Яксартъ; въ него же впадаетъ, по свидѣтельству большинства *писателей*, и текущій изъ Арменіи Араксъ. Это самыя большія рѣки; но кромѣ того есть много и другихъ ихъ притоковъ или *такихъ рѣкъ*, *которыя* сами впадаютъ въ это море, однѣ уже извѣстныя сподвижникамъ Александра, обошедшимъ эти страны, а другія, по всей вѣроятности, на той сторонѣ залива [въ земляхъ кочевыхъ Скиѳовъ], которая совершенно неизвѣстна.

Digitized by Google

ΙΝΔΙΚΗ.

ОПИСАНІЕ ИНДІИ.

[Текстъ: Arriani Nicomediensis scripta minora Rud. Hercher iterum recognovit, edenda cur. A. Eberhard. Lips. ap. Teubn. 1885].

2, 1... Οὗροι δὲ τῆς Ἰνδῶν γῆς πρὸς μὲν βορέεω ἀνέμου ὁ Ταῦρος τὸ οὖρος. (2) καλέεται δὲ οὐ Ταῦρος ἔτι ἐν τῇ γῇ ταύτῃ, ἀλλὰ ἄρχεται μὲν ἀπὸ θαλάσσης ὁ Ταῦρος τῆς κατὰ Παμφύλους τε καὶ Λυκίην καὶ Κίλικας, παρατείνει δὲ ἔστε ἐπὶ τὴν πρὸς ἕω θάλασσαν, τέμνων τὴν Ἀσίην πᾶσαν. (3) ἄλλο δὲ ἄλλῃ καλέεται τὸ οὖρος, τῇ μὲν Παραπάμισος τῇ δὲ Ἠμωδός· ἄλλῃ δὲ Ἴμαον κληίζεται, καὶ τυχὸν ἄλλα ἔχει οὐνόματα. (4) Μακεδόνες δὲ οἱ σὺν Ἀλεξάνδρῳ στρατεύσαντες Καύκασον αὐτὸ ἐκάλεον, ἄλλον τοῦτον Καύκασον, οὐ τὸν Σκυθικόν, ὡς καὶ τὰ ἐπέκεινα τοῦ Καυκάσου λόγον κατέχειν ὅτι ἐπῆλθεν Ἀλέξανδρος...

...Границею Индійской земли съ сѣвера служитъ гора Тавръ. Она называется уже не Тавромъ въ этой землѣ, но Тавръ начинается отъ моря, что у Памфиліи, Ликіи и Киликіи, и простирается до восточнаго моря, перерѣзывая всю Азію. Гора эта въ разныхъ мѣстахъ носитъ разныя названія: гдѣ Парапамисъ, гдѣ Имодъ, въ иномъ мѣстѣ зовется Имаемъ, а можетъ быть имѣетъ и другія названія. Македоняне, участвовавшіе въ походѣ Александра, называли ее Кавказомъ, т. е. другимъ Кавказомъ, не Скиѳскимъ, такъ что существуетъ преданіе, что Александръ побылъ и по ту сторону Кавказа...

3, 9. Ποταμοὶ δὲ τοσοίδε εἰσὶν ἐν τῇ Ἰνδῶν γῇ, ὅσοι οὐδὲ ἐν τῇ πάσῃ Ἀσίᾳ. μέγιστοι μὲν ὁ Γάγγης τε καὶ ὁ Ἰνδός, ὅτου καὶ ἡ γῆ ἐπώνυμος, ἄμφω τοῦ τε Νείλου τοῦ Αἰγυπτίου καὶ τοῦ Ἴστρου τοῦ Σκυθικοῦ, καὶ εἰ ἐς τωὐτὸ συνέλθοι αὐτοῖσι τὸ ὕδωρ, μέζονες. (10) δοκέειν δὲ ἔμοιγε, καὶ ὁ Ἀκεσίνης μέζων ἐστὶ τοῦ τε Ἴστρου καὶ τοῦ Νείλου...

Въ Индійской землѣ находится столько рѣкъ, сколькихъ нѣтъ во всей *остальной* Азіи. Самыя большія—Гангъ и Индъ, по которому названа и страна, оба больше Эгипетскаго Нила и Скиѳскаго Истра, даже если ихъ воды сольются во едино. Мнѣ кажется, что и Акесинъ больше Истра и Нила...

4, 13. Ὁ δὲ Ἴστρος ὀλίγος μὲν ἀνίσχει ἀπὸ τῶν πηγέων, δέκεται δὲ πολλοὺς, ἀλλὰ οὐδὲ πλήθει ἴσους τοῖσιν Ἰνδῶν ποταμοῖσιν, οἳ ἐς τὸν Ἰνδὸν καὶ τὸν Γάγγεα ἐκδιδοῦσι, πλωτοὺς δὲ δὴ κάρτα ὀλίγους...

Истръ начинается отъ истоковъ незначительной *ръкой* и принимаетъ *въ себя* много рѣкъ, но неравныхъ по величинѣ Индійскимъ рѣкамъ, которыя впадаютъ въ Индъ и Гангъ, а судоходныхъ даже очень немного...

5, 4... Μεγασθένης λέγει... (6) Ἰδάνθυρσον δὲ τὸν Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν κρατέοντα...

...Мегасѳенъ говоритъ... что Скиѳскій царь Иданѳирсъ, устремившись изъ Скиѳіи, подчинилъ себѣ много народовъ *въ* Азіи и совершилъ побѣдоносное нашествіе даже на землю Эгиптянъ...

5, 10... τὸν Παραπάμισον Καύκασον ἐκάλεον Μακεδόνες, οὐδέν τι προσήκοντα τοῦτον τῷ Καυκάσῳ· (11) καὶ τι καὶ ἀν-

...Македоняне называли Парапамисъ Кавказомъ, хотя онъ не имѣетъ никакого отношенія къ *настоящему* Кавказу, и даже

Digitized by Google

τρον ἐπιφρασθέντες ἐν Παραπαμισάδῃσι, τοῦτο ἔφασαν ἐκεῖνο εἶναι τοῦ Προμηθέος τοῦ Τιτῆνος τὸ ἄντρον, ἐν ὅτῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τοῦ πυρός.

найдя какую-то пещеру въ Парапамисадахъ, приняли ее за ту пещеру Титана Промиѳея, въ которой онъ былъ повѣшенъ за похищеніе огня.

7, 2. [Μεγασθένης λέγει] πάλαι μὲν δὴ νομάδας εἶναι Ἰνδούς, κατάπερ Σκυθέων τοὺς οὐκ ἀροτῆρας, οἳ ἐν τῇσιν ἁμάξῃσι πλανεύμενοι ἄλλοτε ἄλλην τῆς Σκυθίης ἀμείβουσιν, οὔτε πόλιας οἰκέοντες οὔτε ἱρὰ θεῶν σέβοντες.

[Мегасѳенъ говоритъ], что въ старину Индійцы были кочевниками, подобно Скиѳамъ не-пахарямъ, которые, блуждая въ повозкахъ, переѣзжаютъ то въ одну, то въ другую *область* Скиѳіи, не населяя городовъ и не почитая святилищъ боговъ.

ΚΥΝΗΓΕΤΙΚΟΣ.

23, 2... τὰς ἐλάφους, ἔνθα τὰ πεδία εὐήλατα, ἐν μὲν Μυσοῖς καὶ ἐν Γέταις καὶ ἐν Σκυθίᾳ καὶ ἀνὰ τὴν Ἰλλυρίδα, ἀφ' ἵππων τῶν Σκυθικῶν καὶ Ἰλλυρικῶν διώκουσιν· οὗτοι γὰρ ἐλαύνεσθαι μὲν τὰ πρῶτα οὐκ ἀγαθοί, ἀλλὰ κἂν πάνυ καταφρονήσειας ἰδὼν παραβάλλοντας ἵππῳ Θεσσαλῷ ἢ Σικελῷ ἢ Πελοποννησίῳ· διαπονούμενοι δὲ ἐπίπαν ἀντέχουσιν. καὶ τότε ἂν ἴδοις τὸν μὲν ὠκὺν ἐκεῖνον ἵππον καὶ μέγαν καὶ σοβαρὸν ἀπαγορεύοντα, τὸν δὲ λεπτὸν καὶ ψωραλέον πρῶτα μὲν παραμείβοντα, ἔπειτα ἀπολείποντα, ἔπειτα ἐλαύνοντα τὸ θηρίον· ὃ δὲ ἐς τοσοῦτον ἄρα ἀντέχει, ἔστε ἀπαγορεῦσαι τὴν ἔλαφον...

ОБЪ ОХОТѢ.

...*Тамъ*, гдѣ равнины удобны для скачки, *напр.* въ Мисіи, въ землѣ Геговъ и по Иллиріи, охотятся на оленей на Скиѳскихъ и Иллирійскихъ лошадяхъ. Ихъ вначалѣ трудно разогнать, такъ что можно отнестись къ нимъ съ полнымъ презрѣніемъ, если увидишь, какъ ихъ сравниваютъ съ конемъ Ѳессалійскимъ, Сицилійскимъ или Пелопоннисскимъ, но за то они выдерживаютъ какіе угодно труды; и тогда можно видѣть, какъ тотъ борзый, рослый и горячій конь выбивается изъ силъ, а *эта* малорослая и шелудивая *лошаденка* сначала перегоняетъ *того*, затѣмъ оставляетъ *далеко за собою* и гоннтся за звѣремъ; она выдерживаетъ *скачку* до тѣхъ поръ, пока олень не выбьется изъ силъ...

ΕΚΤΑΞΙΣ ΚΑΤ' ΑΛΑΝΩΝ.

[Отрывокъ изъ несохранившагося сочиненія Ἀλανιχὴ ἱστορία, содержавшаго въ себѣ описаніе войны, которую самъ авторъ въ качествѣ правителя Каппадокіи съ успѣхомъ велъ противъ Алановъ въ 136 г. по Р. Хр.].

3. ...Βοσπορανοὶ δὲ ἐπὶ τούτοις πεζοὶ ἰόντων, ἡγεμόνα παρεχόμενοι Λαμπροκλέα...

...За этими [т. е. Италійцами и Карнэйцами] пусть идутъ пѣшіе Воспоранцы, имѣя предводителемъ Лампрокла...

---

7. Ἐπὶ δὲ τῷ ὁπλιτικῷ τετάχθω τὸ συμμαχικόν, οἵ τε ἀπὸ τῆς σμικρᾶς Ἀρμενίας καὶ Τραπεζουντίων οἱ ὁπλῖται καὶ οἱ Κόλχοι καὶ Ῥιζιανοὶ οἱ λογχοφόροι...

За тяжелой пѣхотой пусть станутъ союзныя войска, тѣ что изъ малой Арменіи, Трапезунтскіе оплиты, Колхи и копьеносцы Ризіаны...

Digitized by Google

18. Ἐνάτη δὲ ἐπὶ τούτοις ἔστω τάξις οἱ πεζοὶ τοξόται οἱ τῶν Νομάδων καὶ Κυρηναίων καὶ Βοσπορανῶν τε καὶ Ἰτουραίων...

За ними девятый отрядъ должны составлять пѣшіе стрѣлки Номадовъ, Киринэйцевъ, Воспорянъ и Итурэевъ...

---

31 extr. Οἱ δὲ Σκύθαι γυμνοί τε ὄντες καὶ τοὺς ἵππους γυμνοὺς ἔχοντες...

Скиѳы, не имѣя доспѣховъ и имѣя лошадей безъ доспѣховъ...

ΤΕΧΝΗ ΤΑΚΤΙΚΗ. ТАКТИКА.

[Написано въ 20-мъ году царствованія Адріана, 137 по Р. Хр., см. гл. 44].

4, 7. Ῥωμαίοις δὲ οἱ ἱππῆς οἱ μὲν κοντοὺς φέρουσιν καὶ ἐπελαύνουσιν ἐς τὸν τρόπον τὸν Ἀλανικὸν καὶ τῶν Σαυροματῶν, οἱ δὲ λόγχας ἔχουσι.

У Римлянъ одни изъ всадниковъ носятъ дротики и атакуютъ на Аланскій и Савроматскій манеръ, другіе же имѣютъ копья.

11, 1. Τάσσεται δὲ ἡ φάλαγξ ἐπὶ μῆκος μὲν ὅπου ἀραιοτέρα, εἰ ἥ τε χώρα παρέχοι καὶ ὠφελιμώτερον εἴη, κατὰ βάθος δὲ ὅπου πυκνοτέρα, εἰ αὐτῇ τῇ πυκνότητι καὶ τῇ ῥύμῃ τοὺς πολεμίους ἐξῶσαι δέοι... (2)... ἢ αὖ εἰ δέοι τοὺς ἐπελαύνοντας ἀποκρούσασθαι, καθάπερ πρὸς τοὺς Σαυρομάτας τε καὶ τοὺς Σκύθας χρὴ τάσσειν.

Фаланга строится въ длину иногда рѣже, если позволяетъ мѣстность и будетъ *признано* полезнѣе, а въ глубину иногда гуще, если нужно будетъ самою густотой и напоромъ отразить враговъ... (2) или опять если нужно будетъ отбить атакующихъ, какъ и слѣдуетъ строить противъ Савроматовъ и Скиѳовъ.

16, 6. Ταῖς δὲ δὴ ἐμβολοειδέσι τάξεσι Σκύθας κεχρῆσθαι μάλιστα ἀκούομεν, καὶ Θρᾷκας, ἀπὸ Σκυθῶν μαθόντας...

Клиновидный строй больше всего, какъ слышно, употребляютъ Скиѳы и Ѳракійцы, перенявшіе у Скиѳовъ...

35, 3. Τὰ Σκυθικὰ δὲ σημεῖά ἐστιν ἐπὶ κοντῶν ἐν μήκει συμμέτρῳ δράκοντες ἀπαιωρούμενοι. ποιοῦνται δὲ ξυρραπτοὶ ἐκ ῥακῶν βεβαμμένων, τάς τε κεφαλὰς καὶ τὸ σῶμα πᾶν ἔστε ἐπὶ τὰς οὐρὰς εἰκασμένοι ὄφεσιν, ὡς φοβερώτατα οἷόν τε εἰκασθῆναι. καὶ τὰ σοφίσματα ταῦτα. (4) ἀτρεμούντων μὲν τῶν ἵππων οὐδὲν πλέον ἢ ῥάκη ἂν ἴδοις πεποικιλμένα ἐς τὸ κάτω ἀποχρεμάμενα, ἐλαυνομένων δὲ ἐμπνεόμενα ἐξογκοῦται, ὥστε ὡς μάλιστα τοῖς θηρίοις ἐπεοικέναι. καί τι καὶ ἐπισυρίζειν πρὸς τὴν ἄγαν κίνησιν ὑπὸ τῇ πνοῇ βιαίᾳ διερχομένῃ. (5) καὶ ταῦτα τὰ σημεῖα οὐ τῇ ὄψει μόνον ἡδονὴν ἢ ἔκπληξιν παρέχει, ἀλλὰ καὶ ἐς διάκρισιν τῆς ἐπελάσεως καὶ τὸ μὴ ἐμπίπτειν ἀλλήλαις τὰς τάξεις ὠφέλιμα γίγνεται.

Скиѳскіе военные значки представляютъ собою драконовъ, развѣвающихся на шестахъ соразмѣрной длины. Они сшиваются изъ цвѣтныхъ лоскутьевъ, при чемъ головы и все тѣло вплоть до хвостовъ дѣлаются по подобію змѣиныхъ, какъ только можно представить страшнѣе. Выдумка состоитъ въ слѣдующемъ. (4) Когда кони стоятъ смирно, видишь только разноцвѣтные лоскутья, свѣшивающіеся внизъ, но при движеніи они отъ вѣтра надуваются такъ, что дѣлаются очень похожими на *названныхъ* животныхъ и при быстромъ движеніи даже издаютъ свистъ отъ сильнаго дуновенія, проходящаго *сквозь нихъ*. (5) Эти значки не только своимъ видомъ причиняютъ удовольствіе или ужасъ, но полезны и для различенія атаки и для того, чтобы *разные* отряды не нападали одинъ на другой.

C. 44, 1 commemorantur οἱ Σαυροματῶν ἢ Κελτῶν κοντοφόροι.

Digitized by Google

ΑΠΟΣΠΑΣΜΑΤΑ.

ОТРЫВКИ.

ΠΑΡΘΙΚΑ.

ИСТОРІЯ ПАРѲІИ.

Fragm. 1. (Phot. Bibl. cod. 58)... Πάρθους δέ φησιν [Ἀρριανὸς] ἐπὶ Σεσώστριδος τοῦ Αἰγυπτίων βασιλέως καὶ Ἰανδύσου τοῦ Σκυθῶν ἀπὸ τῆς σφῶν χώρας Σκυθίας εἰς τὴν νῦν μετοικῆσαι...

...[Арріанъ] говоритъ, что Парѳы при египетскомъ царѣ Сесостридѣ и скиѳскомъ Іандисѣ переселились изъ своей страны Скиѳіи въ *занимаемую ими* нынѣ *область*...

Cf. Malala p. 26 Bonn.; Cyrill. p. 35, A; Cedren. p. 36 Bonn.; Suid. v. Σῶστρις; Iustin. XLI, 1.

ΒΙΘΥΝΙΚΑ.

ИСТОРІЯ ВИѲИНІИ.

E libris incertis fragm. 30 v. supra p. 307 ap. Eust. ad Hom. *Π.* V, 408.
— Fragm. 52 v. supra p. 201 ap. Eust. ad Dion. v. 669.
— Fragm. 53 v. supra p. 309 ap. Eust. ad Hom. *Π.* XIII, 1 sq.

Fragm. 54 (Eust. ad Dion. 783, de Iride fluvio): Περὶ τούτου ὁ Ἀρριανὸς ταῦτά φησιν· Αἷμος βασιλεὺς Σκυθῶν, οὗ υἱὸς Ἐρίδιος, ἀφ' οὗ ὁ Ποντικὸς ποταμὸς κληθεὶς Ἐρίδιος ὕστερον εἰς τὸ δεξιώτερον μετωνομάσθη Ἶρις.

Объ этой рѣкѣ [т. е. Иридѣ] Арріанъ говоритъ слѣдующее: у скиѳскаго царя Эма былъ сынъ Еридій, по имени котораго была названа Еридіемъ Понтійская рѣка, впослѣдствіи переименованная въ болѣе удобное названіе Ирида.

— Fragm. 60 v. supra p. 198 ap. Eust. ad Dion. v. 549.

ΑΙΛΙΟΣ ΑΡΙΣΤΕΙΔΗΣ.

ЭЛІЙ АРИСТИДЪ.

[Знаменитый риторъ, род. въ 117 г. по Р. Хр. въ мизійскомъ городѣ Адріанахъ, получилъ весьма тщательное образованіе, очень много путешествовалъ, но преимущественно жилъ въ Смирнѣ и умеръ около 185 г. Главное изданіе его многочисленныхъ сочиненій — Aristides ex rec. Guil. Dindorfii, Lips. 1829, въ 3-хъ томахъ, изъ коихъ послѣдній заключаетъ въ себѣ схоліи].

Извлеченія и переводъ А. І. Малеина.

XIII. ΠΑΝΑΘΗΝΑΙΚΟΣ.

13. ПАНАѲИНЕЙСКАЯ РѢЧЬ.

Dind. I p. 183... καὶ νῦν ἐπ' ἀμφοτέροις τοῖς πέρασι τῆς γῆς ὑμετέρων παίδων παῖδες, οἱ μὲν ἄχρι Γαδείρων ἀπὸ Μασσαλίας παρήκοντες, οἱ δ' ἐπὶ τῷ Τανάϊδι καὶ τῇ λίμνῃ [1]) μεμερισμένοι...

...И теперь дѣти вашихъ дѣтей *живутъ* у обоихъ предѣловъ земли, одни занимая пространство отъ Массаліи до Гадиръ, другіе — отдѣленные у Танаида и *Меотійскаго* озера...

1) «Paludem Maeoticam significat aut Pontum Euxinum». Reiske.

Digitized by Google

XIV. ΡΩΜΗΣ ΕΓΚΩΜΙΟΝ.

Dind. I p. 330. ...μετανάσται τινὲς βασιλεῖς καὶ Σκυθῶν τῶν νομάδων τοσοῦτον διέφερον, ὅσον οὐκ ἐφ' ἁμαξῶν περιήεσαν, ἀλλ' ἐφ' ἁρμαμαξῶν...

— p. 334... Ἐρυθρά τε θάλαττα καὶ Νείλου καταρράκται καὶ λίμνη Μαιῶτις, ἃ τοῖς πρότερον ἐν πέρασι γῆς ἠκούετο...

14. ХВАЛЕБНАЯ РѢЧЬ РИМУ [1]).

...Нѣкоторые цари переселялись *съ мѣста на мѣсто* и разнились отъ Скиѳовъ кочевниковъ лишь тѣмъ, что ѣздили не въ кибиткахъ, а на колесницахъ...

...Красное море, катарракты Нила и Меотійское озеро, представлявшіяся прежнимъ *людямъ* на краю свѣта...

XXXVIII. ΣΥΜΜΑΧΙΚΟΣ. Α'.

Dind. I p. 713. [Φίλιππος]... δύο καὶ τριάκοντα πόλεις ἐπιλαβὼν καὶ τὴν Σκυθῶν ἐρημίαν τοῖς ἐπὶ Θράκης Ἕλλησι ποιήσας...

38. ПЕРВАЯ СОЮЗНИЧЕСКАЯ РѢЧЬ.

[Филиппъ]... взявшій тридцать два города и устроившій ѳракійскимъ Эллинамъ «Скиѳскую пустыню»...

XLV. ΠΕΡΙ ΡΗΤΟΡΙΚΗΣ.

Dind. II p. 74... Κῦρος τὸν Ἀράξην διαβὰς Μασσαγέταις συνέβαλε, Δαρεῖος δὲ τὸν Βόσπορον ζεύξας ἐπὶ Σκύθας διέβη...

45. О РИТОРИКѢ.

...Киръ, перешедши Араксъ, сразился съ Массагетами, а Дарій, наведя мостъ на Воспорѣ, переправился *въ Европу* противъ Скиѳовъ...

XLVI. ΥΠΕΡ ΤΩΝ ΤΕΤΤΑΡΩΝ.

Dind. II, 225... [οἱ Πέρσαι] ἐπὶ Σκύθας ἐλθόντες ἔδοξαν δυστυχῆσαι, ὅτι οὐκ ἐδυνήθησαν εὑρεῖν αὐτούς...

— II, p. 278... ἐῶ γὰρ Σκύθας, ὅσα γε φεύγοντες νενικήκασιν [sc. τοὺς Πέρσας]...

46. ЗА ЧЕТЫРЕХЪ МУЖЕЙ.

...*Персы* въ походѣ на Скиѳовъ, какъ казалось, потерпѣли неудачу, потому что не могли найти ихъ...

...Не говорю о Скиѳахъ, какъ они побѣдили бѣгствомъ [Персовъ]...

XLVIII. ΑΙΓΥΠΤΙΟΣ.

Dind. II p. 439... εἰ οἱ ἐτησίαι πρὸς μεσημβρίαν πνέοντες ἀνέστελλον τὸν τοῦ Νείλου ῥοῦν, χρῆν δή που καὶ τοὺς πρὸς ἄρκτον πνέοντας ἀνέμους τὸ αὐτὸ τοῦτο ποιεῖν περὶ τοὺς ἐπέκεινα ποταμούς, Τάναϊν λέγω καὶ Φᾶσιν καὶ ὅσοι τούτοις ἑξῆς εἰσι...

— II, p. 454... περὶ τὴν Σκυθικὴν γῆν καὶ τὸν Πόντον οὐδὲν κωλύει τὸ θέρος ψυχρότερον τοῦ θέρους τοῦ παρ' ἡμῖν εἶναι πολλῷ γε...

— II, p. 472... εἰσὶ γὰρ δή που τέτταρές τοῦ τῆς ἔξω θαλάσσης ἀπόρροι. ὧν ὁ

48. ЭГИПЕТСКАЯ РѢЧЬ.

...Если бы пассатные вѣтры, дующіе къ югу, отгоняли назадъ теченіе Нила, то конечно, и вѣтры, дующіе къ сѣверу должны были бы производить такое же дѣйствіе на находящіяся тамъ рѣки, т. е. Танаидъ, Фасидъ и текущія за ними...

...Ничто не препятствуетъ лѣту въ Скиѳской землѣ и на Понтѣ быть гораздо холоднѣе нашего лѣта...

...Есть приблизительно четыре отдѣленія внѣшняго моря. Одно изъ нихъ

1) Написана въ 160 г. по Р. Х.

Digitized by Google

μὲν ἐξ ἑσπέρας εἰς Φᾶσιν διὰ Γαδείρων εἰσέχει καὶ τῆς πλησίον Λιβύης, καὶ ἔστιν ὁ κόλπος οὗτος ἡ καθ' ἡμᾶς αὕτη θάλαττα, ἣ σχίζει δίχα τὴν γῆν, προσλαβοῦσα τὴν Μαιῶτιν λίμνην καὶ τὸν ὑπὲρ αὐτῆς ποταμὸν Τάναϊν, καὶ ποιεῖ νῆσον τὸ τμῆμα ἑκάτερον τῇ κύκλῳ θαλάττῃ, πλὴν εἰ βούλει Φᾶσιν καὶ δὴ Τάναϊν φάσκειν εἶναι τῶν ἠπείρων ὅρον... (p. 473)... τετάρτη δ' ἐκ Βορέου καὶ Κασπίας πύλης εἰς τοὺς παρ' ἡμῖν τόπους εἰσέχει θάλαττα, ἣ καλεῖται Κασπία, εἰ δὲ βούλει, Ὑρκανία.

вдается съ запада въ Фасидъ чрезъ Гадиры и ближнюю Ливію; этотъ заливъ и есть наше море, которое дѣлитъ на двое землю, присоединивъ къ себѣ Мэотійское озеро и находящуюся выше его рѣку Танаидъ, и дѣлаетъ изъ того и другого отрѣзка островъ, окруженный моремъ, если только не захочешь сказать, что Фасидъ и вотъ Танаидъ суть границы материковъ... (p. 473)... Четвертое море вдается въ наши страны отъ Борея и Каспійскихъ воротъ и называется Каспійскимъ или, если хочешь, Ирканскимъ.

ΣΧΟΛΙΑ ΕΙΣ ΑΡΙΣΤΕΔΗΝ.

СХОЛІИ КЪ АРИСТИДУ.

Dind. III p. 92 (ad Panath. I, p. 183): Οἱ δ' ἐπὶ τῷ Τανάιδι καὶ τῇ λίμνῃ μεμερισμένοι]. Τάναϊς ποταμὸς Σκυθίας. λίμνην δὲ λέγει τὴν Μαιῶτιν καὶ αὐτὴν οὖσαν τῆς Σκυθίας καὶ γινομένην ἐξ αὐτοῦ τοῦ ποταμοῦ. ἔστι δὲ μεθόριον Τάναϊς Εὐρώπης καὶ Ἀσίας, ὡς φησιν Διονύσιος «Εὐρώπην δ' Ἀσίης Τάναϊς διὰ μέσον ὁρίζει». ἐνταῦθα δὲ ἀπῴκισαν οἱ Μιλήσιοι. CD.

Другіе — отдѣленные у Танаида и озера]. Танаидъ — рѣка *въ* Скиѳіи, а подъ озеромъ *авторъ* разумѣетъ Мэотиду, также находящуюся въ Скиѳіи и образующуюся изъ этой рѣки. Танаидъ есть граница Европы и Азіи, какъ говоритъ Діонисій[1]): «Европу отъ Азіи отдѣляетъ по срединѣ Танаидъ». Здѣсь поселились Милетяне.

Vol. I p. 190 Dind. commemorantur Ἀμαζόνες. Ad hunc locum pertinet scholion (vol. III p. 107 Dind.): Ἀμαζόσι μὲν γὰρ] Ἡρακλῆς ὑπ' Εὐρυσθέως πεμφθεὶς τὸν ζωστῆρα Ἱππολύτης, τῆς τῶν Ἀμαζόνων στρατηγοῦ, εἵληφεν. ἀγαναχτήσασαι οὖν αὗται τῆς Ἑλλάδος καταστρατεύονται, καὶ πολλὰς καταστρέψασαι πόλεις, ἐπεὶ μέχρι τῆς Ἀττικῆς ἦλθον, ὑπὸ τοῦ Θησέως βασιλεύοντος Ἀθηναίων κατεπολεμήθησαν. καὶ ὃς Ἱππολύτην λαβὼν καὶ συγγενόμενος ἔτεκε τὸν Ἱππόλυτον. οἰκοῦσι δὲ Ἀμαζόνες ἐν Σκυθίᾳ παρὰ τὸν Θερμώδοντα ποταμόν. AC. (Eadem, quamquam non semper eisdem verbis, narrat schol. D.).

Амазонкамъ]. Иракъ, посланный Еврисѳеемъ, овладѣлъ поясомъ Ипполиты, предводительницы Амазонокъ. Послѣднія, придя въ негодованіе, отправились походомъ на Элладу и, разрушивъ много городовъ, дошли до Аттики, но здѣсь были разбиты Аѳинскимъ царемъ Ѳисеемъ. Онъ, взявъ въ *плѣнъ* Ипполиту и сойдясь съ нею, родилъ Ипполита. Амазонки живутъ въ Скиѳіи у рѣки Ѳермодонта.

Dind. III p. 145. Φᾶσις δὲ ποταμὸς Σκυθίας. Фасидъ—рѣка *въ* Скиѳіи.

Dind. III p. 302 (ad Pan. I p. 294): οὐδ' αὖ Βοσπόρῳ ὁποτέρῳ βούλει] δύο γάρ εἰσι Βόσποροι, Κιμμέριος καὶ Σκυθικός, δι' οὗ μίγνυται ἡ Μαιῶτις λίμνη τῷ Πόντῳ, καὶ Θρᾴκιος ὁ ἐν Ἑλλησπόντῳ, ἔνθα ὁ Λεύκων. BD.

И не къ Воспору, которому хочешь]. Ибо есть два Воспора, Киммерійскій *или* Скиѳскій, посредствомъ котораго Мэотійское озеро соединяется съ Понтомъ, и Ѳракійскій на Геллеспонтѣ, гдѣ Левконъ.

---

1) Dion. *Perieg.* v. 14 (v. supra p. 178).

Digitized by Google

Dind. III p. 553 (ad II p. 225, v. supra): ὅτι οὐκ ἐδυνήθησαν εὑρεῖν αὐτούς]... ἀμαξόβιοι γὰρ ὄντες καὶ πόλεις οὐκ ἔχοντες μετήγοντο εὐκόλως. *Oxon.* (item. *BD*).

Ибо не могли ихъ найти]... потому что *Скиѳы*, живя въ кибиткахъ и не имѣя городовъ, легко переѣзжали *съ мѣста на мѣсто*.

Dind. III p. 642 (ad II p. 278, v. supra): ἐῶ γὰρ Σκύθας, ὅσα δὴ φεύγοντες νενικήκασιν] παράδοξον εὗρε παράδειγμα, τὸ τῶν Σκυθῶν, ὅτι καὶ φεύγοντες νικῶσιν· ὃ ἐστι φυγὴ τρόπος νίκης. λέγεται δὲ περὶ τῶν Σκυθῶν ὅτι φεύγοντες ἐνίκων τοὺς πολεμίους. ἢ ὡς λέγει ἐν τῇ τετάρτῃ Ἡρόδοτος, ὅτι ἐνταῦθα ἑώρων ἐπικρατεστέρους τοὺς πολεμίους λαμβάνοντες ἐκ τῆς χώρας ὅσων ἐδέοντο, τὰ δὲ λοιπὰ ἔκαιον, ἵνα ἄχρηστα γένωνται τοῖς ἐχθροῖς. ἐπολέμει δέ ποτε ὁ Δαρεῖος τοῖς Σκύθαις. ἀμαξόβιοι ὄντες οὗτοι καὶ καταδιωκόμενοι ὑπ' αὐτοῦ εἰς τὰ ἐντὸς τῆς χώρας ἔφευγον· διώκων οὖν ἐπὶ πολὺ ὁ Δαρεῖος ὤκνησεν. ἦσαν δὲ οἱ Σκύθαι πέμποντες ὀπίσω αὐτοῦ, ἐπὶ τῷ κατακαίειν τὸν σίτον καὶ τὰ δένδρα. τοῦτο ἐπὶ καλῷ καὶ κακῷ ἐγένετο Δαρείῳ· ἐπὶ καλῷ μέν, ὅτι κεκαυμένων τῶν ἐν τῇ ὁδῷ καὶ ἀκολουθῶν τούτοις εὗρε τὸν τόπον, ἔνθα αὐτοῦ ἦσαν αἱ τριήρεις· ἐπὶ κακῷ δέ, ὅτι ἀναχωρῶν ἀπὸ τῆς διώξεως τῶν Σκυθῶν οὐκ εἶχε τὰ πρὸς τροφὴν ἐπιτήδεια, ἢ ποῦ δεῖ αὐτὸν καταλῦσαι. πάντα γὰρ ἦσαν ἐμπρήσαντες οἱ Σκύθαι. BD.

Не говорю о Скиѳахъ, какъ они побѣдили бѣгствомъ]. *Авторъ* нашелъ у Скиѳовъ неожиданный примѣръ того, что и убѣгающіе побѣждаютъ, т. е. *что* бѣгство *является* способомъ побѣды. О Скиѳахъ говорится, что они бѣгствомъ побѣждали непріятелей; или, какъ говоритъ Иродотъ въ четвертой *книгѣ*[1]), что тутъ они видѣли болѣе сильныхъ непріятелей, забирая изъ страны все необходимое, а остальное сожигали, чтобы оно было не пригодно врагамъ. Дарій нѣкогда воевалъ со Скиѳами. Живя въ кибиткахъ и будучи преслѣдуемы имъ, они убѣгали внутрь страны; далеко преслѣдуя ихъ, Дарій пришелъ въ смущеніе. Скиѳы посылали ему въ тылъ *людей*, чтобы сожигать хлѣбъ и деревья. Это послужило Дарію и къ добру и къ худу: къ добру потому, что, когда все было сожжено на дорогѣ, онъ, слѣдуя по этимъ *признакамъ*, нашелъ мѣсто, гдѣ были его корабли; а къ худу потому, что, возвращаясь изъ погони за Скиѳами, онъ не имѣлъ съѣстныхъ припасовъ или *мѣста*, гдѣ могъ бы остановиться, ибо Скиѳы все выжгли.

Eadem a verbis ἐπολέμει δέ ποτε usque ad verba τὰ πρὸς τροφὴν ἐπιτήδεια narrat schol. Oxon.

Praeter ea quae exscripsimus apud Aristidem et in scholiis memorantur: Ὑπερβόρεοι D. I p. 82; Φᾶσις et Ὑρκανία (Θάλαττα) I p. 208; Φᾶσις solus I pp. 83, 356, 385, (ὁ μεταξὺ τόπος Γαδείρων καὶ Φάσιδος); Ἴστρος ἢ Φᾶσις II p. 485; Σάκαι I p. 334; Εὔξεινος πόντος I p. 384; Πόντος I p. 562, II pp. 12, 45, 227; Καυκάσου περίοδος et Κάσπιαι πύλαι I p. 393; Τάναϊς et λίμνη Μαιῶτις I p. 395; Σκύθαι II p. 306, 383; *schol.* III, 404; Ἀνάχαρσις ὁ Σκύθης II p. 432; ἡ Κασπία Θάλαττα *schol.* III p. 145.

---

1) Cap. 120 (v. supra p. 47).

Digitized by Google

ΑΠΠΙΑΝΟΣ. АППІАНЪ.

[Уроженецъ г. Александріи, современникъ императоровъ Адріана и Антонина Кроткаго, занималъ видныя мѣста въ римской администраціи. Около 160 г. по Р. Хр. написалъ свой извѣстный историческій трудъ Ῥωμαικὰ въ 24 книгахъ, изъ коихъ до насъ дошли кн. 6—9 и 11—18, кромѣ отрывковъ. Въ 12 книгѣ, носящей названіе Μιθριδάτειος, описаны войны Римлянъ съ Миѳридатомъ Евпаторомъ, а въ 13—18 междоусобія (ἐμφύλια). — Текстъ: Appiani Historia Romana, edidit Lud. Mendelssohn. 2 voll. Lips. ap. Teubn. 1879—81].

Переводъ П. И. Прозорова.

ΜΙΘΡΙΔΑΤΕΙΟΣ. ВОЙНЫ СЪ МИѲРИДАТОМЪ.

15 [Изъ рѣчи Миѳридатова посла Пелоппда къ Римскимъ полководцамъ въ 89 г. до Р. Хр., предъ началомъ 1-й войны съ Римлянами]:

...Μιθριδάτης βασιλεύει μὲν τῆς πατρῴας ἀρχῆς, ἣ δισμυρίων ἐστὶ σταδίων τὸ μῆκος, προσκέκτηται δὲ πολλὰ περίχωρα, καὶ Κόλχους, ἔθνος ἀρειμανές, Ἑλλήνων τε τοὺς ἐπὶ τοῦ Πόντου κατῳκισμένους, καὶ βαρβάρων τοὺς ὄντας ὑπὲρ αὐτούς. φίλους δ' ἐς πᾶν τὸ κελευόμενον ἑτοίμους χρῆται Σκύθαις τε καὶ Ταύροις καὶ Βαστέρναις καὶ Θραξὶ καὶ Σαρμάταις καὶ πᾶσι τοῖς ἀμφὶ Τάναϊν τε καὶ Ἴστρον καὶ τὴν λίμνην ἔτι τὴν Μαιώτιδα...

...Миѳридатъ владѣетъ отцовскимъ царствомъ, простирающимся въ длину на двадцать тысячъ стадій, и подчинилъ себѣ много окрестныхъ *племенъ, въ томъ числѣ* воинственное племя Колховъ, обитающихъ у Понта Евксинова и живущихъ выше ихъ варваровъ. У него есть друзья, готовые исполнять всѣ его приказанія: Скиѳы, Тавры, Вастерны, Ѳракійцы, Сарматы и всѣ *племена, живущія* отъ Танаида до Истра и вокругъ Меотійскаго озера...

---

41. [Во время военныхъ дѣйствій въ Греціи противъ Миѳридатова полководца Архелая въ 86 г. до Р. Хр. Сулла сжегъ Пирей].

...Μετὰ τοῦτ' ἐπὶ τὸν Ἀρχέλαον ᾔει διὰ τῆς Βοιωτίας καὶ ὁδε. ὡς δ' ἐπλησίασαν ἀλλήλοις, οἱ μὲν ἐκ Θερμοπυλῶν ἅρτι μετεχώρουν ἐς τὴν Φωκίδα, Θρᾷκές τε ὄντες καὶ ἀπὸ τοῦ Πόντου καὶ Σκύθαι καὶ Καππαδόκαι Βιθυνοί τε καὶ Γαλάται καὶ Φρύγες, καὶ ὅσα ἄλλα τῷ Μιθριδάτῃ νεόκτητα γένοιτο, πάντες ἐς δώδεκα μυριάδας ἀνδρῶν· καὶ στρατηγοὶ αὐτῶν ἦσαν μὲν καὶ κατὰ μέρος ἑκάστῳ, αὐτοκράτωρ δ' Ἀρχέλαος ἐπὶ πᾶσιν...

...Послѣ этого и самъ [Сулла] направился черезъ Віотію противъ Архелая. Когда они были уже не далеко другъ отъ друга, то войска [Архелая] изъ Ѳермопилъ перешли въ Фокиду; это были Ѳракійцы, жители побережья Понта, Скиѳы, Каппадокійцы, Виѳинцы, Галаты, Фригійцы и всѣ другія племена, недавно покоренныя Миѳридатомъ, всего до 120,000 человѣкъ. У каждаго *изъ этихъ племенъ* были и отдѣльные полководцы, но главное начальство надъ всѣми принадлежало Архелаю..

---

57. [Изъ рѣчи Суллы къ Миѳридату при личномъ свиданіи въ М. Азіи при Дарданѣ лѣтомъ 85 г.].

...καὶ τούτου τεκμήριον, ὅτι καὶ Θρᾷκας καὶ Σκύθας καὶ Σαυρομάτας, οὔπω τινὶ πολε-

...Доказательствомъ этого [т. е. того, что Миѳридатъ самъ желалъ войны съ

Digitized by Google

μῶν, ἐς συμμαχίαν ὑπήγου, καὶ ἐς τοὺς ἀγχοῦ βασιλέας περιέπεμπες, ναῦς τε ἐποιοῦ, καὶ πρῳρέας καὶ κυβερνήτας συνεκάλεις...

Римлянами и искалъ поводовъ] *служитъ* то, что ты, еще ни съ кѣмъ не воюя, заключилъ союзъ съ Ѳракійцами, Савроматами и Скиѳами, разсылалъ *посольства* къ сосѣднимъ царямъ, строилъ корабли, набиралъ штурмановъ и кормчихъ...

64... Μιθριδάτης δ' ἐς τὸν Πόντον ἐσπλεύσας Κόλχοις καὶ Βοσποριανοῖς ἀφισταμένοις ἐπολέμει. ὧν Κόλχοι τὸν υἱὸν παρ' αὐτοῦ, Μιθριδάτην, βασιλέα σφίσιν ᾑτοῦντο δοθῆναι, καὶ λαβόντες αὐτίκα ὑπήκουσαν. ὑποπτεύσας δ' ὁ βασιλεὺς τόδε πρὸς τοῦ παιδὸς αὐτοῦ βασιλείας ἐπιθυμοῦντος γενέσθαι, καλέσας αὐτὸν ἔδησεν ἐν πέδαις χρυσαῖς καὶ μετ' οὐ πολὺ ἀπέκτεινε, πολλὰ χρήσιμόν οἱ περὶ τὴν Ἀσίαν ἐν τοῖς πρὸς Φιμβρίαν ἀγῶσι γενόμενον. ἐπὶ δὲ Βοσποριανοὺς ναῦς τε συνεπήγνυτο καὶ στρατὸν ἡτοιμάζετο πολύν, ὡς τὸ μέγεθος αὐτοῦ τῆς παρασκευῆς δόξαν ἐγεῖραι ταχεῖαν, οὐκ ἐπὶ Βοσποριανοῖς ἀλλ' ἐπὶ Ῥωμαίοις τάδε συλλέγεσθαι...

...Миѳридатъ, вернувшись въ Понтъ [1]), воевалъ съ отпавшими Колхами и Воспорянами. Колхи просили себѣ въ цари сына его Миѳридата II, получивъ *его*, тотчасъ подчинились *его* власти. Но царь, заподозривъ, что это было сдѣлано по проискамъ его сына, желавшаго получить престолъ, призвалъ его *къ себѣ* и заключилъ въ золотыя оковы, а немного спустя приказалъ его казнить, несмотря на многія услуги, оказанныя имъ въ Азіи во время борьбы съ Фимбріею. Для борьбы же съ Воспорянами онъ сталъ строить суда и готовить большое войско; вслѣдствіе значительности его приготовленій быстро распространилась молва, что эти *силы* собираются не противъ Воспорянъ, а противъ Римлянъ...

67... Σχολὴν ἄγων ὁ Μιθριδάτης Βόσπορον ἐχειροῦτο, καὶ βασιλέα αὐτοῖς τῶν υἱέων ἕνα ἀπεδείκνυ Μαχάρην. ἐς δ' Ἀχαιοὺς τοὺς ὑπὲρ Κόλχους ἐσβαλών, οἳ δοκοῦσιν εἶναι τῶν ἐκ Τροίας κατὰ τὴν ἐπάνοδον πλανηθέντων, δύο μέρη τοῦ στρατοῦ πολέμῳ τε καὶ κρύει καὶ ἐνέδραις ἀποβαλὼν ἐπανῆλθε, καὶ ἐς Ῥώμην ἔπεμπε τοὺς συγγραψομένους τὰ συγκείμενα...

...Миѳридатъ, воспользовавшись досугомъ [2]), подчинилъ себѣ Боспоръ и далъ Воспорянамъ въ цари одного изъ своихъ сыновей, Махара. Напавши затѣмъ на Ахейцевъ, *живущихъ* выше Колховъ (думаютъ, что они происходятъ отъ *Еллиновъ*, заблудившихся при возвращеніи изъ подъ Трои), онъ потерялъ частью въ *открытыхъ* бояхъ, частью отъ холода и засадъ двѣ трети своего войска, послѣ чего возвратился *домой* и послалъ въ Римъ пословъ для изложенія на письмѣ условій договора [3])...

---

69. Μιθριδάτης μὲν οὖν, οἷα Ῥωμαίων πολλάκις ἐς πεῖραν ἐλθών, καὶ τόνδε μάλιστα τὸν πόλεμον ἡγούμενος, ἀπροφασίστως δὴ καὶ ὀξέως γενόμενον, ἄσπειστον ἔξειν, πᾶσαν ἐπενόει παρασκευὴν ὡς ἄρτι δὴ κριθησόμενος περὶ ἁπάντων... σύμμα-

Миѳридатъ, не разъ уже испытавшій *силы* Римлянъ и увѣренный, что эта именно война [4]), возгорѣвшаяся такъ быстро и съ такимъ ожесточеніемъ, будетъ непримиримою, занялся всевозможными приготовленіями, такъ какъ все его будущее стави-

---

1) Предъ началомъ 2-й войны съ Римлянами, 83 г. до Р. Хр. См. Th. Reinach, Mithridate Eupator roi de Pont (Par. 1890), p. 301. 2) По окончаніи 2-й войны съ Римлянами, 80 г. до Р. Хр. Reinach, l. l. p. 304. 3) 79 г. до Р. Хр. 4) Третья война съ Римлянами, 74 г. до Р. Хр. Reinach, p. 318 sq.

Digitized by Google

χοί τε αὐτῷ προσεγίγνοντο, χωρὶς τῆς προτέρας δυνάμεως, Χάλυβες Ἀρμένιοι Σκύθαι Ταῦροι Ἀχαιοὶ Ἡνίοχοι Λευκόσυροι, καὶ ὅσοι περὶ Θερμώδοντα ποταμὸν γῆν ἔχουσι τὴν Ἀμαζόνων λεγομένην. τοσαῦτα μὲν ἐπὶ τοῖς προτέροις αὐτῷ περὶ τὴν Ἀσίαν προσεγίγνετο, περάσαντι δ' ἐς τὴν Εὐρώπην Σαυροματῶν οἵ τε βασίλειοι καὶ Ἰάζυγες καὶ Κοραλλοί, καὶ Θρᾳκῶν ὅσα γένη παρὰ τὸν Ἴστρον ἢ Ῥοδόπην ἢ τὸν Αἷμον οἰκοῦσι, καὶ ἐπὶ τοῖσδε Βαστέρναι, τὸ ἀλκιμώτατον αὐτῶν γένος...

лось на карту... Кромѣ прежнихъ *военныхъ* силъ, къ нему присоединились въ *качествѣ* союзниковъ Халивы, Арменійцы, Скиѳы, Тавры, Ахэйцы, Иніохи, Левкосиры и *всѣ народы*, живущіе у рѣки Ѳермодонта *въ* такъ называемой Амазонской землѣ. Эти племена были на его сторонѣ въ Азіи еще со времени прежнихъ *войнъ*, а когда онъ переправился въ Европу, къ нему присоединились изъ числа Савроматовъ Царскіе, Язиги и Коралы, изъ Ѳракійцевъ — всѣ племена, живущія у Истра, Родопы и Эма, а сверхъ того Вастерны, самое воинственное изъ ихъ племенъ...

78... [Μιθριδάτης ἐκ Σινώπης] ἐς Ἀμισὸν διαπλέων, πρός τε τὸν κηδεστὴν Τιγράνην τὸν Ἀρμένιον καὶ ἐς Μαχάρην τὸν υἱόν, ἄρχοντα Βοσπόρου, περιέπεμπεν, ἐπικουρεῖν ἐπείγων ἑκάτερον. ἔς τε Σκύθας τοὺς ὁμόρους χρυσὸν καὶ δῶρα πολλὰ Διοκλέα φέρειν ἐκέλευεν. ἀλλ' ὁ μὲν αὐτοῖς τε δώροις καὶ αὐτῷ χρυσίῳ πρὸς Λεύκολλον ηὐτομόλησε...

...Плывя [изъ Синопы] въ Амисъ [1]), [Миѳридатъ] послалъ просьбы о поспѣшной помощи къ зятю своему, арменскому *царю* Тиграну, и къ сыну Махару, правителю Воспора, а къ сосѣднимъ Скиѳамъ послалъ Діокла съ золотомъ и множествомъ даровъ; но тотъ вмѣстѣ съ дарами и золотомъ перебѣжалъ къ Лукуллу...

83... ὧδε μὲν δὴ Σινώπην καὶ Ἀμισὸν Λεύκολλος ἐπόρθει τε καὶ συνῴκιζε, καὶ Μαχάρῃ τῷ παιδὶ τῷ Μιθριδάτου, Βοσπόρου τε βασιλεύοντι καὶ στέφανον οἱ πέμψαντι ἀπὸ χρυσοῦ, φιλίαν συνέθετο, Μιθριδάτην δ' ἐξῄτει παρὰ Τιγράνους...

...Такимъ образомъ Лукуллъ опустошалъ и соединялъ Синопу и Амисъ [2]), заключилъ дружбу съ Миѳридатовымъ сыномъ Махаромъ, царствовавшимъ въ Воспорѣ и прислалшимъ ему золотой вѣнецъ, а у Тиграна потребовалъ выдачи Миѳридата...

---

88 ...Μιθριδάτην μὲν οὖν ἐθεράπευον Ἄγαροι, Σκυθικὸν ἔθνος, ἰοῖς ὄφεων ἐς τὰς θεραπείας χρώμενοι καὶ ἐπὶ τῷδε ἀεὶ βασιλεῖ συνόντες...

Миѳридата лѣчили Агары, скиѳское племя, употребляя для лѣченія змѣиный ядъ [3]); для этой *цѣли* они постоянно находились при царѣ...

[Послѣднія дѣянія и смерть Миѳридата Евпатора].

101. Μιθριδάτης δὲ μετὰ τῶν ὑπασπιστῶν μόνων ὡσάμενος ἐς τὰ κατάκρημνα καὶ διαφυγὼν ἐνέτυχέ τισιν ἱππεῦσι μισθοφόροις καὶ πεζοῖς ὡς τρισχιλίοις, οἱ εὐθὺς

Миѳридатъ, ускользнувшій съ одними тѣлохранителями на обрывистыя скалы [4]), во время бѣгства встрѣтился съ нѣсколькими наемными всадниками и пѣхотин-

---

1) Послѣ потери Виѳиніи въ 72 г. Ср. Reinach, p. 334 sq. 2) 70 г. до Р. Хр. 3) Миѳридатъ былъ раненъ стрѣлою подъ глазъ и камнемъ въ колѣно въ стычкѣ съ М. Фабіемъ, офицеромъ Лукулла, осенью 68 г. Reinach, p. 370. 4) Послѣ пораженія Помпеемъ при Дастирѣ въ 66 г. Ср. Reinach, p. 387 sq.

Digitized by Google

αὐτῷ συνείποντο ἐς Σινόρηγα φρούριον, ἔνθα αὐτῷ χρήματα πολλὰ ἐσεσώρευτο· καὶ δωρεὰν καὶ μισθὸν ἐνιαυτοῦ τοῖς συμφυγοῦσι διέδωκεν. φέρων δ' ἐς ἑξακισχίλια τάλαντα ἐπὶ τὰς τοῦ Εὐφράτου πηγὰς ἠπείγετο ὡς ἐκεῖθεν ἐς Κόλχους περάσων. ὁρμῷ δ' ἀπαύστῳ χρώμενος τὸν μὲν Εὐφράτην ὑπερῆλθεν ἡμέρᾳ μάλιστα τεταρτῃ, τρισὶ δ' ἄλλαις καθιστάμενος καὶ ὁπλίζων τοὺς συνόντας ἢ προσιόντας ἐς τὴν Χωτηνὴν Ἀρμενίαν ἐνέβαλεν, ἔνθα Χωτηνοὺς μὲν καὶ Ἰβηρας, κωλύοντας αὐτὸν βέλεσι καὶ σφενδόναις, ἐλαύνων διῆλθεν ἐπὶ τὸν Ἄψαρον ποταμόν. Ἰβηρας δὲ τοὺς ἐν Ἀσίᾳ οἱ μὲν προγόνους οἱ δ' ἀποίκους ἡγοῦνται τῶν Εὐρωπαίων Ἰβήρων, οἱ δὲ μόνον ὁμωνύμους. ἔθος γὰρ οὐδὲν ἦν ὅμοιον ἢ γλῶσσα. Μιθριδάτης δ' ἐν Διοσκούροις χειμάζων, ἣν πινα πόλιν οἱ Κόλχοι σύμβολον ἡγοῦνται τῆς Διοσκούρων σὺν Ἀργοναύταις ἐπιδημίας, οὐδὲν σμικρόν, οὐδ' οἷον ἐν φυγῇ, διενοεῖτο, ἀλλὰ τὸν Πόντον ὅλον ἐν κύκλῳ καὶ Σκύθας ἐπὶ τῷ Πόντῳ καὶ τὴν Μαιῶτιδα λίμνην ὑπερελθὼν ἐς Βόσπορον ἐμβαλεῖν, τήν τε Μαχάρους τοῦ παιδὸς ἀρχήν, ἀχαρίστου περὶ αὐτὸν γενομένου, παραλαβὼν αὐθις ἐκ μετώπου Ῥωμαίοις γενέσθαι, καὶ πολεμεῖν ἐκ τῆς Εὐρώπης οὖσιν ἐν τῇ Ἀσίᾳ, τὸν πόρον ἐν μέσῳ θέμενος, ὃν κληθῆναι νομίζουσι Βόσπορον Ἰοῦς διανηξαμένης, ὅτε βοῦς γενομένη κατὰ ζηλοτυπίαν Ἥρας ἔφευγεν.

102. ἐς τοσοῦτο παραδοξολογίας ἐπειγόμενος ὁ Μιθριδάτης ἐφικέσθαι ὅμως ἐπενόει, καὶ διώδευεν ἔθνη Σκυθικὰ καὶ πολεμικὰ καὶ ἀλλότρια πείθων ἢ βιαζόμενος. οὕτω καὶ φεύγων καὶ ἀτυχῶν αἰδέσιμος ἔτι καὶ φοβερὸς ἦν. Ἡνιόχους μὲν οὖν δεχομένους αὐτὸν παρώδευεν, Ἀχαιοὺς δ' ἐτρέψατο διώκων· οὓς ἀπὸ Τροίας ἐπανιόντας φασὶν ἐς τὸν Πόντον ὑπὸ χειμῶνος ἐκπεσεῖν, καὶ πολλὰ παθεῖν ὡς Ἕλληνας ὑπὸ βαρβάρων, πέμψαντας δ' ἐπὶ ναῦς ἐς τὰς πατρίδας καὶ ὑπεροφθέντας μηνῖσαι τῷ Ἑλληνικῷ γένει, καὶ Σκυθικῶς ὅσους ἕλοιεν Ἑλλήνων καταθύειν, πρῶτα μὲν ἅπαντας ὑπ' ὀργῆς, σὺν χρόνῳ δὲ τοὺς καλλίστους αὐτῶν μόνους, μετὰ δὲ τοὺς κληρουμένους.

цами въ *количествѣ* до трехъ тысячъ; они тотчасъ послѣдовали за нимъ въ крѣпость Синориги, гдѣ у него было запасено много денегъ; *тутъ* онъ роздалъ своимъ спутникамъ подарки и жалованье за годъ. Захвативъ до 6000 талантовъ, онъ поспѣшно направился къ истокамъ Евфрата, чтобы оттуда переправиться въ Колхиду; двигаясь безостановочно, онъ на 4-й день переправился черезъ Евфратъ, а въ слѣдующіе три дня устроивъ и вооруживъ своихъ спутниковъ и присоединившихся *позже*, вторгнулся въ Хотпинскую Арменію и, прогнавши Хотпицевъ и Иверовъ, пытавшихся задержать его стрѣлами и камнями, прибылъ къ рѣкѣ Апсару. Азіатскихъ Иверовъ одни считаютъ предками, другіе — колонистами Европейскихъ Иверовъ, третьи — только одноименнымъ *народомъ*, потому что они не сходны ни по обычаямъ, ни по языку. Миѳридатъ, зимуя въ Діоскурахъ (каковой городъ Колхи считаютъ доказательствомъ путешествія Діоскуровъ съ Аргонавтами), строилъ планы не маловажные или приличные бѣглецу: онъ задумывалъ обойти кругомъ весь Понтъ, живущихъ у Понта Скиѳовъ и Меотійское озеро и вторгнуться въ Воспоръ; затѣмъ, занявши владѣнія своего неблагодарнаго сына Махара, снова обратить фронтъ противъ Римлянъ и изъ Европы воевать съ *ихъ войсками*, находившимися въ Азіи, такъ чтобы между ними оказался проливъ, который, какъ думаютъ, названъ Воспоромъ потому, что черезъ него переплыла Іо во время своего бѣгства послѣ превращенія въ корову вслѣдствіе ревности Иры.

102. Задавшись столь невѣроятными планами, Миѳридатъ всетаки рѣшилъ привести ихъ въ исполненіе; просьбами или силою проложилъ онъ себѣ путь чрезъ воинственныя и враждебныя ему Скиѳскія племена: до такой степени, несмотря на свое жалкое положеніе бѣглеца, онъ внушалъ еще къ себѣ уваженіе и страхъ. Такъ онъ прошелъ чрезъ землю Иніоховъ, принятый ими *дружелюбно*, а Ахейцевъ обратилъ въ бѣгство. *Ахейцы* эти, по преданію, возвращаясь изъ-подъ Трои, бурею были занесены въ Понтъ и, какъ Еллины, много потерпѣли отъ варваровъ. Когда же они послали въ родные города за кораблями и встрѣтили отказъ,

Digitized by Google

καὶ τάδε μὲν περὶ Ἀχαιῶν τῶν Σκυθικῶν· ὁ δὲ Μιθριδάτης ἐς τὴν Μαιῶτιν ἐμβαλών, ἧς εἰσὶ πολλοὶ δυνάσται, πάντων αὐτὸν κατὰ κλέος ἔργων τε καὶ ἀρχῆς, καὶ δυνάμεως ἔτι οἱ παρούσης ἀξιολόγου, δεχομένων τε καὶ παραπεμπόντων, καὶ δῶρα πολλὰ φερόντων καὶ κομιζομένων ἕτερα, ὃ δὲ καὶ συμμαχίαν αὐτοῖς ἐτίθετο, ἐπινοῶν ἕτερα καινότερα, διὰ Θρᾴκης ἐς Μακεδονίαν καὶ διὰ Μακεδόνων ἐς Παίονας ἐμβαλὼν ὑπερελθεῖν ἐς τὴν Ἰταλίαν τὰ Ἄλπεια ὄρη· γάμους τε θυγατέρων ἐπὶ τῇδε τῇ συμμαχίᾳ τοῖς δυνατωτέροις αὐτῶν ἠγγύα. Μαχάρης δ' αὐτὸν ὁ παῖς πυνθανόμενος ὁδόν τε τοσαύτην ὀλίγῳ χρόνῳ καὶ ἄγρια ἔθνη καὶ τὰ καλούμενα κλεῖθρα Σκυθῶν, οὐδενί πω γεγονότα περατά, διοδεῦσαι, πρέσβεις μέν τινας ἐς αὐτὸν ἔπεμπεν ἀπολογησομένους ὡς ἀνάγκῃ θεραπεύσειε Ῥωμαίους, ὀργὴν δὲ ἄκρον εἰδὼς ἔφευγεν ἐς τὴν ἐν τῷ Πόντῳ χερρόνησον, τὰς ναῦς διαπρήσας, ἵνα μὴ διώξειεν αὐτὸν ὁ πατήρ. ἑτέρας δ' ἐπιπέμψαντος ἐκείνου, προλαβὼν ἑαυτὸν ἔκτεινεν. ὁ δὲ Μιθριδάτης αὐτοῦ τῶν φίλων οὓς μὲν αὐτὸς ἐς τὴν ἀρχὴν ἀπιόντι ἐδεδώκει, πάντας ἔκτεινε, τοὺς δὲ τοῦ παιδὸς ἀπαθεῖς ὡς ὑπηρέτας ἰδίου φίλου γενομένους ἀφῆκεν.

103. καὶ τάδε μὲν ἦν ἀμφὶ τὸν Μιθριδάτην, ὁ δὲ Πομπήιος αὐτὸν εὐθὺς μὲν ἐπὶ τῇ φυγῇ μέχρι Κόλχων ἐδίωξε, μετὰ δὲ, οὐδαμὰ δόξας αὐτὸν οὔτε τὸν Πόντον οὔτε τὴν Μαιώτιδα λίμνην περιελεύσεσθαι, οὐδὲ μεγάλοις ἔτι πράγμασιν ἐγχειρήσειν ἐκπεσόντα, τοὺς Κόλχους ἐπῄει καθ' ἱστορίαν τῆς Ἀργοναυτῶν καὶ Διοσκούρων καὶ Ἡρακλέους ἐπιδημίας, τὸ πάθος μάλιστα ἰδεῖν ἐθέλων ὃ Προμηθεῖ φασι γενέσθαι περὶ τὸ Καύκασον ὄρος. χρυσοφοροῦσι δ' ἐκ

то разгнѣвались на весь еллинскій родъ и стали по скиѳскому обычаю приносить въ жертву Еллиновъ, попадавшихъ въ ихъ руки, сначала подъ вліяніемъ гнѣва — всѣхъ безъ разбора, потомъ только красивѣйшихъ и, наконецъ, избранныхъ по жребію. Вотъ что извѣстно о скиѳскихъ Ахейцахъ.

Миѳридатъ, вступивъ въ Меотійскую область, находившуюся подъ властью многихъ властителей, вслѣдствіе славы своихъ дѣяній, царства и могущества, которое и тогда еще было значительно, всѣми былъ радушно принимаемъ и провожаемъ даже съ богатыми дарами. Онъ заключилъ съ ними союзъ, замышляя еще болѣе смѣлые *планы* — вторгнуться черезъ Ѳракію въ Македонію и чрезъ Македонію въ Пеонію, а отсюда перейти черезъ Альпійскія горы въ Италію. Для *укрѣпленія* союза онъ обручилъ *своихъ* дочерей съ могущественнѣйшими изъ правителей. Сынъ его Махаръ, узнавъ, что онъ въ короткое время совершилъ столь длинный путь чрезъ дикія племена и чрезъ такъ называемые «Скиѳскіе Запоры», за которые никому еще не удавалось проникнуть, отправилъ *было* къ немуословъ, извиняя необходимостью свою угодливость къ Римлянамъ; но *затѣмъ*, узнавъ о сильномъ гнѣвѣ отца, онъ убѣжалъ въ Понтійскій Херсонесъ, *предварительно* предавъ сожженію корабли, чтобы отецъ не могъ его преслѣдовать; когда же послѣдній послалъ въ погоню другіе *корабли*, то *Махаръ* успѣлъ покончить съ собою самоубійствомъ [1]). Миѳридатъ изъ числа его друзей предалъ казни всѣхъ тѣхъ, которыхъ самъ далъ *сыну въ спутники* при отправленіи *его* на царство, а его личныхъ друзей отпустилъ невредимыми, какъ служившихъ своему другу.

103. Вотъ что дѣлалъ Миѳридатъ. Между тѣмъ Помпей тотчасъ послѣ его бѣгства преслѣдовалъ его до Колхиды; затѣмъ, будучи увѣренъ, что за Колхидою Миѳридату нигдѣ не удастся обойти моремъ ни Понтъ, ни Меотійское озеро, и что даже ускользнувши онъ не осмѣлится уже предпринять что либо важное, Помпей двинулся въ Колхиду, прославленную сказаніями о пребываніи въ ней Аргонавтовъ, Діоскуровъ и Иракла; онъ особенно

1) 65 г. до Р. Хр. Reinach, p. 397.

Digitized by Google

τοῦ Καυκάσου πηγαὶ πολλαὶ ψῆγμα ἀφανὲς· καὶ οἱ περίοικοι κώδια τιθέντες ἐς τὸ ῥεῦμα βαθύμαλλα, τὸ ψῆγμα ἐνισχόμενον αὐτοῖς ἐκλέγουσιν. καὶ τοιοῦτον ἦν ἴσως καὶ τὸ χρυσόμαλλον Αἰήτου δέρος. τὸν οὖν Πομπήιον ἐπὶ τῇ ἱστορίᾳ ἀνιόντα οἱ μὲν ἄλλοι παρέπεμπον, ὅσα ἔθνη γείτονα· Ὀροίζης δ' ὁ τῶν Ἀλβανῶν βασιλεὺς καὶ Ἀρτώκης ὁ Ἰβήρων ἑπτὰ μυριάσιν ἐλόχων ἀμφὶ τὸν Κύρνον ποταμόν, ὃς δώδεκα στόμασι πλωτοῖς ἐς τὴν Κασπίαν θάλασσαν ἐρεύγεται, πολλῶν ἐς αὐτὸν ἐμβαλόντων ποταμῶν, καὶ μεγίστου πάντων Ἀράξου. αἰσθόμενος δὲ τῆς ἐνέδρας ὁ Πομπήιος τὸν ποταμὸν ἐζεύγνυ, καὶ τοὺς βαρβάρους συνελάσας ἐς λόχμην βαθεῖαν (ὑλομαχῆσαι δ' εἰσὶ δεινοί, κρυπτόμενοί τε καὶ ἐπιόντες ἀφανῶς) αὐτῇ λόχμῃ τὸν στρατὸν περιστήσας ἐνέπρησε, καὶ τοὺς ἐκφεύγοντας ἐδίωκεν, ἕως ἅπαντες ὁμηρά τε καὶ δῶρα ἤνεγκαν. καὶ ἐθριάμβευσεν ἐς Ῥώμην καὶ ἀπὸ τῶνδε. πολλαὶ δ' ἐν τοῖς ὁμήροις καὶ τοῖς αἰχμαλώτοις ηὑρέθησαν γυναῖκες, οὐ μείονα τῶν ἀνδρῶν τραύματα ἔχουσαι· καὶ ἐδόκουν Ἀμαζόνες εἶναι, εἴτε τι ἔθνος ἐστὶν αὐτοῖς γειτονεῦον αἱ Ἀμαζόνες, ἐπίκλητοι τότε ἐς συμμαχίαν γενόμεναι, εἴτε τινὰς πολεμικὰς ὅλως γυναῖκας οἱ τῇδε βάρβαροι καλοῦσιν Ἀμαζόνας.

желалъ взглянуть на мѣсто мученій Прометея, находившееся по преданію въ Кавказскихъ горахъ. Многіе источники, текущіе съ Кавказа, несутъ съ собою незамѣтный золотой песокъ; окрестные *жители*, погружая въ воду густошерстныя овечьи шкуры, собираютъ пристающій къ нимъ золотой песокъ; быть можетъ, такого рода было и золотое руно Энта. Итакъ, когда Помпей двинулся для обозрѣнія *этихъ мѣстностей*, прочіе сосѣднія племена пропустили его дружелюбно, но Албанскій царь Оризъ и Иверскій Артокъ съ 70 тысячами полчищъ устроили ему засаду у рѣки Кирна, которая двѣнадцатью судоходными устьями изливается въ Каспійское море и принимаетъ много притоковъ, изъ коихъ самый значительный — Араксъ. Узнавши *о готовившейся* засадѣ, Помпей построилъ мостъ чрезъ рѣку и, загнавши варваровъ въ густую чащу (а они искусно сражаются въ лѣсахъ, скрываясь и незамѣтно нападая *на враговъ*), окружилъ ее войскомъ и поджегъ; за выбѣгавшими оттуда онъ посылалъ погоню, пока всѣ они не дали даровъ и заложниковъ. *Впослѣдствіи* онъ получилъ въ Римѣ тріумфъ, *между прочимъ*, и за эту борьбу. Въ числѣ заложниковъ и плѣнныхъ оказалось много женщинъ, которыя имѣли не меньше ранъ, чѣмъ мужчины; думали, что это были Амазонки, потому-ли, что по сосѣдству живетъ нѣкое племя Амазонокъ, которыя были тогда приглашены *туземцами* на помощь, или потому, что тамошніе варвары вообще называютъ Амазонками воинственныхъ женщинъ.

---

107. καὶ ὁ μὲν ἀμφὶ ταῦτα ἦν, Μιθριδάτῃ δὲ ἡ περίοδος ἤνυστο τοῦ Πόντου. καὶ Παντικάπαιον, ἐμπόριον Εὐρωπαίων τι τῆς ἐκβολῆς τοῦ Πόντου, καταλαβὼν τείνει τῶν υἱέων Ξιφάρην ἐπὶ τοῦ πόρου ἃ μητρὸς ἁμάρτημα τοιόνδε. φρούριον ἦν Μιθριδάτῃ, ἔνθα λανθάνοντες ὑπόγειοι ησαυροὶ πολλῶν σιδηροδέτων χαλκέων λλὰ χρήματα ἔκρυπτον. Στρατονίκη δέ, α τῶν Μιθριδάτου παλλακῶν ἢ γυναικῶν, τοῦδε τοῦ φρουρίου τὴν ἐπιστήμην καὶ λακὴν ἐπετέτραπτο, περιόντος ἔτι τὸν όντον τοῦ Μιθριδάτου τὸ φρούριον ἐνεχείτε τῷ Πομπηίῳ καὶ τοὺς θησαυροὺς γνοουμένους ἐμήνυσεν, ἐπὶ συνθήκῃ μόνῃ ἥδε, ὅτι οἱ τὸν υἱὸν Ξιφάρην ὁ Πομπήιος,

107. Такъ дѣйствовалъ Помпей. Между тѣмъ Митридатъ объѣхалъ уже весь Понтъ и, захвативъ Пантикапей, Европейскій торговый портъ при устьѣ Понта, убилъ у пролива одного изъ своихъ сыновей, Ксифара, за слѣдующую вину его матери: было у Митридата одно укрѣпленіе, гдѣ въ подземныхъ тайникахъ спрятано было много денегъ въ мѣдныхъ обитыхъ желѣзомъ сосудахъ. Стратоника, одна изъ наложницъ или женъ Митридата, которой ввѣрена была тайна и охрана этого укрѣпленія, передала его Помпею, пока Митридатъ еще объѣзжалъ Понтъ, и указала спрятанныя сокровища, выговоривъ одно только условіе—чтобы Помпей пощадилъ ея сына

Digitized by Google

εἰ λάβοι, περισώσει. καὶ ὁ μὲν τοῖς χρήμασιν ἐπιτυχὼν ὑπέσχητο αὐτῇ τὸν Ξιφάρην καὶ ἐδεδώκει φέρεσθαι καὶ τὰ ἴδια· αἰσθόμενος δὲ τῶν γεγονότων ὁ Μιθριδάτης κτείνει τὸν Ξιφάρην ἐπὶ τοῦ πόρου, ἐφορώσης τῆς μητρὸς πέραθεν, καὶ ἐξέρριψεν ἄταφον. καὶ ὁ μὲν υἱοῦ κατεφρόνησεν ἐς ἀνίαν τῆς ἁμαρτούσης, καὶ πρέσβεις ἐς τὸν Πομπήιον, ἔτι περὶ Συρίαν ὄντα καὶ οὐκ αἰσθανόμενον αὐτοῦ περιόντος, ἔπεμπεν, οἳ τῆς πατρῴας ἀρχῆς αὐτὸν Ῥωμαίοις τελέσειν φόρους ὑπισχνοῦντο· Πομπηίου δ' αὐτὸν ἐλθόντα δεῖσθαι τὸν Μιθριδάτην κελεύοντος, καθὰ καὶ Τιγράνης ἀφίκετο, τοῦτο μὲν οὐκ ἔφη ποτὲ ὑποστήσεσθαι, Μιθριδάτης γε ὤν, πέμψειν δὲ τῶν παίδων τινὰς καὶ φίλους. ἅμα δὲ ταῦτ' ἔλεγε, καὶ στρατιὰν ἀθρόως κατέλεγεν ἐλευθέρων τε καὶ δούλων, ὅπλα τε πολλὰ καὶ βέλη καὶ μηχανὰς ἐπήγνυ, φειδόμενος οὔτε τινὸς ὕλης οὔτε βοῶν ἀροτήρων ἐς τὰ νεῦρα, ἐσφοράς τε πᾶσιν ἐς τὰ βραχύτατα τῆς περιουσίας ἐπέγραφεν. οἱ δὲ ὑπηρέται τούτου πολλοὺς ἐνύβριζον, οὐκ αἰσθανομένου τοῦ Μιθριδάτου· νόσον γάρ τινα ἑλκώδη τοῦ προσώπου νοσῶν ὑπὸ τριῶν εὐνούχων ἐθεραπεύετο καὶ ἐωρᾶτο.

Ксифара, если послѣдній попадетъ въ его руки. Тотъ, овладѣвъ сокровищами, обѣщалъ ей *безопасность* Ксифара и позволилъ взять съ собою ея собственныя *вещи*. Узнавъ объ этомъ, Миѳридатъ убилъ Ксифара у пролива *на глазахъ* матери, смотрѣвшей съ противоположнаго берега, и бросилъ *трупъ* безъ погребенія; *такъ* надругался онъ надъ сыномъ, чтобы огорчить виновную *мать*. *Послѣ этого онъ* отправилъ къ Помпею, находившемуся еще въ Сиріи и не знавшему, что онъ *еще* живъ, пословъ съ обѣщаніемъ платить дань Римлянамъ за наслѣдственное царство. Когда же Помпей потребовалъ, чтобы Миѳридатъ самъ явился къ нему съ просьбою, подобно Тиграну, *Миѳридатъ* отвѣтилъ, что онъ никогда не согласится на это, пока онъ Миѳридатъ, но что согласенъ прислать кого нибудь изъ своихъ сыновей и друзей. Давъ такой отвѣтъ, онъ неустанно продолжалъ набирать войско изъ свободныхъ и рабовъ и готовилъ массы оружія, стрѣлъ и военныхъ машинъ, не щадя ни лѣсного матеріала, ни рабочихъ быковъ для *изготовленія* тетивъ; на всѣхъ своихъ *подданныхъ*, не исключая самыхъ бѣдныхъ, онъ наложилъ подати. *При этомъ* сборщики ихъ многихъ обижали безъ вѣдома Миѳридата: онъ *въ это время* страдалъ какою-то болѣзнью, покрывшей лицо его язвами, и допускалъ къ себѣ только трехъ лѣчившихъ его евнуховъ.

108. ὡς δ' ἔληγε τὸ πάθος, καὶ ὁ στρατὸς αὐτῷ ἀνήγερτο ἤδη, ἐπίλεκτοι μὲν ἑξήκοντα σπεῖραι, ἀνὰ ἑξακοσίους ἄνδρας, πολὺς δὲ καὶ ἄλλος ὅμιλος καὶ νῆες, καὶ χωρία ὅσα οἱ στρατηγοὶ παρὰ τὴν νόσον ἠρήκεσαν, ἑπέρα τοῦ στρατοῦ μέρος ἐς Φαναγόρειαν, ἕτερον ἐμπόριον ἐπὶ τοῦ στόματος, ὡς ἑκατέρωθεν ἔξων τὰς ἐσβολάς, ἔτι Πομπηίου περὶ Συρίαν ὄντος. Κάστωρ δὲ Φαναγορεὺς ἠκισμένος ποτὲ ὑπὸ Τρύφωνος εὐνούχου βασιλικοῦ, τὸν Τρύφωνα ἐσιόντα κτείνει προσπεσών, καὶ τὸ πλῆθος ἐς ἐλευθερίαν συνεκάλει. οἱ δέ, καίπερ ἤδη τῆς ἀκροπόλεως ἐχομένης ὑπὸ Ἀρταφέρνους τε καὶ ἑτέρων υἱέων τοῦ Μιθριδάτου, ξύλα περιθέντες τὴν ἄκραν ἐνεπίμπρασαν, ἕως ὁ μὲν Ἀρταφέρνης καὶ Δαρεῖος καὶ Ξέρξης καὶ Ὀξάθρης καὶ Εὐπάτρα, παῖδες τοῦ Μιθριδάτου, δείσαντες ἐπὶ τῷ πυρὶ παρέδοσαν ἑαυτοὺς ἄγεσθαι. καὶ ἦν αὐτῶν Ἀρταφέρνης ἀμφὶ τεσσαράκοντα ἔτη μόνος, οἱ

108. Когда болѣзнь прекратилась и войско было уже въ сборѣ (у него было 60 отборныхъ отрядовъ, по 600 человѣкъ въ каждомъ, *кромѣ того* много другого войска, кораблей и укрѣпленій, взятыхъ его полководцами во время его болѣзни), Миѳридатъ переправилъ часть войска въ Фанагорію, другой портъ при устьѣ, чтобы овладѣть обоими берегами пролива, пока Помпей былъ еще въ Сиріи. Но Фанагоріецъ Касторъ, оскорбленный нѣкогда царскимъ евнухомъ Трифономъ, напалъ на послѣдняго при *самомъ его* вступленіи *въ Фанагорію* и убилъ, затѣмъ сталъ призывать жителей къ свободѣ. Послѣдніе, несмотря на то, что акрополь былъ уже занятъ Артаферномъ и другими сыновьями Миѳридата, обложили его дровами и подожгли; тогда сыновья Миѳридата, Артафернъ, Дарій, Ксеркс и Оксаѳръ и *дочь* Евпатра, испугавшись пожара, сдались въ

Digitized by Google

δὲ λοιποὶ παῖδες εὔμορφοι. Κλεοπάτρα δὲ ἀντεῖχεν, ἑτέρα παῖς τοῦ Μιθριδάτου· καὶ αὐτὴν ὁ πατὴρ ἀγάμενος τῆς εὐψυχίας, δίκροτα πολλὰ ἐπιπέμψας ἐξήρπασεν. ὅσα δὲ ἐγγὺς ἦν φρούρια, ἀρτίληπτα τῷ Μιθριδάτῃ γενόμενα, πρὸς τὴν θερμουργίαν τῶν Φαναγορέων ἀφίστατο τοῦ Μιθριδάτου, Χερρόνησός τε καὶ Θευδοσία καὶ Νύμφαιον, καὶ ὅσα ἄλλα περὶ τὸν Πόντον ἐστὶν εὐκαιρα ἐς πόλεμον. ὃ δὲ τὰς ἀποστάσεις ὁρῶν πυκνάς, καὶ τὸν στρατὸν ἐν ὑποψίᾳ ἔχων μὴ οὐ βέβαιος ᾖ διὰ τὴν ἀνάγκην τῆς στρατείας καὶ δι' ἐσφορῶν βαρύτητα καὶ τὴν ἀεὶ τοῖς στρατοῖς ἐς ἡγεμόνας ἀτυχοῦντας ἀπιστίαν, ἔπεμπεν ἐς τοὺς Σκύθας δι' εὐνούχων τοῖς δυνάσταις τὰς θυγατέρας ἐς γάμους, αἰτῶν στρατιὰν κατὰ τάχος ἤδη οἱ παρεῖναι. πεντακόσιοι δ' αὐτὰς ἀπὸ τοῦ στρατοῦ παρέπεμπον ἄνδρες· οἱ Μιθριδάτου βραχὺ διασχόντες ἐκτεινάν τε τοὺς ἄγοντας εὐνούχους, ἀεὶ πρὸς εὐνούχους κρατοῦντας τοῦ Μιθριδάτου πεπολεμωμένοι, καὶ τὰς κόρας ἐς τὸν Πομπήιον ἀπήγαγον.

109. ὃ δὲ καὶ τέκνων τοσῶνδε καὶ φρουρίων καὶ τῆς ἀρχῆς ὅλης ἀφῃρημένος, καὶ ἐς οὐδὲν ἀξιόμαχος ἔτι ὤν, οὐδὲ τῆς Σκυθῶν συμμαχίας ἡγούμενος ἂν τυχεῖν, ὅμως οὐδὲν οὐδὲ τότε ἢ ταπεινὸν ἢ συμφορῶν ἄξιον ἐνεθυμεῖτο, ἀλλ' ἐς Κελτούς, ἐκ πολλοῦ φίλους ἐπὶ τῷδέ οἱ γεγονότας, ἐπενόει διελθὼν ἐς τὴν Ἰταλίαν σὺν ἐκείνοις ἐμβαλεῖν, ἐλπίζων οἱ πολλὰ καὶ τῆς Ἰταλίας αὐτῆς ἔχθει Ῥωμαίων προσέσεσθαι, πυνθανόμενος ὧδε καὶ Ἀννίβαν πρᾶξαι πολεμούμενον ἐν Ἰβηρίᾳ, καὶ ἐπιφοβώτατον ἐκ τοῦδε Ῥωμαίοις γενέσθαι. ἤδει δὲ καὶ ξυναγχος τὴν Ἰταλίαν σχεδὸν ἅπασαν ἀπὸ Ῥωμαίων ἀποστᾶσαν ὑπὸ ἔχθους, καὶ ἐπὶ πλεῖστον αὐτοῖς πεπολεμηκυῖαν, Σπαρτάκῳ τε μονομάχῳ συστᾶσαν ἐπ' οὐδεμιᾶς ἀξιώσεως ὄντι. ταῦτα ἐνθυμούμενος ἐς Κελτοὺς ἠπείγετο. τοῦ δὲ τολμήματος ἂν αὐτῷ λαμπροτάτου γενομένου, ὁ στρατὸς ὤκνει δι' αὐτὸ μάλιστα τῆς τόλμης τὸ μέγεθος, ἐπί τε χρόνιον στρατείαν καὶ ἐς ἀλλοτρίαν γῆν ἀγόμενοι, καὶ ἐπὶ ἄνδρας ὧν οὐδ' ἐν τῇ σφετέρᾳ κρατοῦσιν. αὐτόν τε τὸν Μιθριδάτην ἡγούμενοι, πάντων ἀπογιγνώσκοντα βούλεσθαί τι δρῶντα καὶ βασιλιζόμενον μᾶλλον ἢ δι' ἀργίας ἀποθανεῖν, ὅμως ἐνεκαρτέρουν καὶ ἡσύχαζον· οὐ γάρ τοι σμικρὸν ἦν. Изъ нихъ одинъ только Артафернъ имѣлъ около 40 лѣтъ, а прочіе были красивые мальчики. Клеопатра, другая дочь Миѳридата, рѣшилась сопротивляться; отецъ, удивившись ея мужеству, послалъ много двухъэтажныхъ кораблей и выручилъ ее. Всѣ ближайшія укрѣпленія, недавно захваченныя Миѳридатомъ, подражая смѣлому поступку Фанагорійцевъ, отпали отъ него, *именно* Херсонисъ, Ѳевдосія, Нимфэй и всѣ прочія удобныя для *веденія* войны укрѣпленія вокругъ Понта. Миѳридатъ, видя частыя отпаденія и подозрѣвая свое войско въ недостаткѣ вѣрности къ нему вслѣдствіе принужденія къ походу, тягости податей и обычнаго недовѣрія войскъ къ потерпѣвшимъ неудачу предводителямъ, послалъ съ евнухами своихъ дочерей въ замужество скиѳскимъ властителямъ, прося ихъ какъ можно скорѣе прислать ему войска. Дочерей *Миѳридата* сопровождали 500 человѣкъ изъ войска; немного удалившись отъ Миѳридата, они перебили ведшихъ ихъ евнуховъ (къ евнухамъ войско всегда питало ненависть за ихъ вліяніе на Миѳридата), а царевенъ отвели къ Помпею.

109. Лишившись столькихъ дѣтей, укрѣпленій и всей власти, не имѣя болѣе никакихъ средствъ для борьбы и не надѣясь получить помощь отъ Скиѳовъ, Миѳридатъ всетаки не палъ духомъ подъ бременемъ своихъ несчастій: онъ задумалъ пробраться къ Кельтамъ, съ которыми давно уже заключилъ дружбу въ этихъ видахъ, и вмѣстѣ съ ними вторгнуться въ Италію, надѣясь, что бо́льшая часть самой Италіи изъ ненависти къ Римлянамъ перейдетъ на его сторону. Онъ слышалъ, что такъ поступилъ и Ганнибалъ, когда *Римляне* объявили ему войну въ Иверіи, и вслѣдствіе этого сдѣлался чрезвычайно опасенъ для Римлянъ. Зналъ онъ также, что еще недавно почти вся Италія отпала отъ Римлянъ вслѣдствіе ненависти и вела съ ними упорную борьбу, *затѣмъ* стала противъ нихъ на сторону гладіатора Спартака, человѣка не пользовавшагося никакимъ значеніемъ. Съ такими планами двинулся онъ къ Кельтамъ; но, несмотря на то, что этотъ смѣлый планъ обѣщалъ доставить ему величайшую славу, войско неохотно слѣдовало за нимъ, главнымъ образомъ именно вслѣдствіе грандіозности его отваги, а затѣмъ потому, что *царь*

Digitized by Google

κρὸς οὐδ' εὐκαταφρόνητος ἦν ⟨ὁ⟩ βασιλεὺς οὐδ' ἐν ταῖς συμφοραῖς.

110. ὧδε δ' ἐχόντων ἁπάντων, Φαρνάκης ὁ τῶν παίδων αὐτῷ τιμιώτατός τε καὶ πολλάκις ὑπ' αὐτοῦ τῆς ἀρχῆς ἀποδεδειγμένος ἔσεσθαι διάδοχος, εἴτε δείσας περὶ τοῦδε τοῦ στόλου καὶ τῆς ἀρχῆς, ὡς νῦν μὲν ἔτι συγγνωσομένων τι Ῥωμαίων, ἀπολουμένης δὲ πάμπαν ὁλοκλήρως εἰ ἐπὶ τὴν Ἰταλίαν ὁ πατὴρ στρατεύσειεν, εἴθ' ἑτέραις αἰτίαις καὶ λογισμῶν ἐπιθυμίαις, ἐπεβούλευε τῷ πατρί. ληφθέντων δὲ τῶν συνεγνωκότων αὐτῷ καὶ ἐς βασάνους ἀγομένων, Μηνοφάνης μετέπεισε τὸν Μιθριδάτην ὡς οὐ δέον, ἀποπλέοντα ἤδη, τὸν ἔτι οἱ τιμιώτατον υἱὸν ἀνελεῖν· εἶναι δ' ἔφη τὰς τοιαύτας τροπὰς ἔργα πολέμων, ὧν παυσαμένων καὶ τάδε καθίστασθαι. ὁ μὲν δὴ πεισθεὶς προύτεινε τῷ παιδὶ συγγνώμην· ὁ δὲ δείσας τι μήνιμα, καὶ τὸν στρατὸν εἰδὼς κατοκνοῦντα τὴν στρατείαν, νυκτὸς ἐς πρώτους τοὺς Ῥωμαίων αὐτομόλους, ἀγχοτάτω τοῦ Μιθριδάτου στρατοπεδεύοντας, ἐσῆλθε, καὶ τὸν κίνδυνον αὐτοῖς ἰοῦσιν ἐπὶ τὴν Ἰταλίαν, ὅσος εἴη, σαφῶς εἰδόσιν ὑπερεπαίρων, πολλὰ δὲ μένουσιν ἐπελπίσας ἔσεσθαι παρ' ἑαυτοῦ, προήγαγεν ἐς ἀπόστασιν ἀπὸ τοῦ πατρός. ὡς δ' ἐπείσθησαν οἵδε, τῆς αὐτῆς νυκτὸς ἐς τὰ ἐγγὺς ἄλλα στρατόπεδα ἔπεμπεν ὁ Φαρνάκης. συνθεμένων δὲ κἀκείνων, πρῶτοι μὲν ἅμα ἕῳ ἠλάλαξαν οἱ αὐτόμολοι, ἐπὶ δ' ἐκείνοις οἱ ἀεὶ πλησίον τὴν βοὴν μετελάμβανον. καὶ τὸ ναυτικὸν αὐτοῖς ἐπήχησεν, οὐ προαιδότες μέν ἅπαντες ἴσως, ὀξύῤῥοποι δ' ὄντες ἐς μεταβολὰς καὶ τὸ δυστυχοῦν ὑπερορῶντες, ἐν δὲ τῷ καινῷ τὸ εὔελπι ἀεὶ τιθέμενοι. οἱ δὲ καὶ ἀγνοίᾳ τῶν συνεγνωκότων, ἡγούμενοι πάντας διεφθάρθαι καὶ μόνοι ἔτι ὄντες ἔσεσθαι τοῖς πλείοσιν εὐκαταφρόνητοι, φόβῳ καὶ ἀνάγκῃ μᾶλλον ἢ ἑκουσίῳ γνώμῃ συνεπήχουν. Μιθριδάτης δ' ἐγρόμενος ὑπὸ τῆς βοῆς ἔπεμπέ τινας ἐρησομένους ὅ τι χρῄζοιεν οἱ βοῶντες. οἱ δ' οὐκ ἐγκαλυψάμενοι «τὸν υἱόν» ἔφασαν «βασιλεύ-

велъ его въ продолжительный походъ, въ чужую землю и противъ такихъ враговъ, которыхъ они не могли одолѣть даже въ своей собственной землѣ; *при этомъ* они думали, что Миѳридатъ, во всемъ отчаявшись, предпочитаетъ скорѣе умереть мужественно и по-царски, чѣмъ въ бездѣйствіи. Тѣмъ не менѣе *воины* пока сдерживались и вели себя спокойно, ибо Миѳридатъ даже и въ несчастіяхъ былъ великимъ царемъ и внушалъ къ себѣ уваженіе.

110. При такомъ положеніи дѣлъ Фарнакъ, любимѣйшій сынъ Миѳридата, не разъ объявленный будущимъ преемникомъ его власти, составилъ заговоръ противъ отца; быть можетъ, онъ боялся этого похода изъ-за царской власти, думая, что при настоящемъ положеніи дѣлъ Римляне еще могутъ оказать снисхожденіе, но что всякая надежда на *удержаніе имъ царской* власти навѣрное исчезнетъ, если отецъ двинется противъ Италіи, а можетъ быть онъ руководился и другими причинами и желаніями. Когда его соучастники были схвачены и подвергнуты пыткамъ, Мисофанъ убѣдилъ Миѳридата, что не слѣдуетъ ему предъ самымъ отплытіемъ подвергать казни все еще любимаго имъ сына; такія перемѣны, говорилъ онъ, являются результатомъ войнъ и прекращаются съ ихъ окончаніемъ. Миѳридатъ, поддавшись *этимъ увѣщаніямъ*, готовъ былъ простить сына; но тотъ, опасаясь *затаеннаго* гнѣва *отца* и зная, что войско неохотно идетъ въ походъ, ночью пришелъ прежде всего къ римскимъ перебѣжчикамъ, которые помѣщались въ лагерѣ очень близко къ Миѳридату; представивъ въ преувеличенномъ видѣ грозившую имъ отъ похода въ Италію опасность, которую они и сами хорошо сознавали, и обнадеживъ ихъ многими отъ себя милостями, если они останутся, *Фарнакъ* склонилъ ихъ отпасть отъ отца; затѣмъ, когда они обѣщали ему повиноваться, онъ въ ту же ночь разослалъ *своихъ* агентовъ и въ другіе ближайшіе лагери. Когда и эти перешли на его сторону, на зарѣ перебѣжчики первые подняли воинскій крикъ, а за ними постепенно подхватывали его ближайшія войска; закричали съ ними и матросы, быть можетъ и всѣ заранѣе подготовленные къ этому, но вообще склонные къ перемѣнамъ, свысока смотрѣвшіе на несчастныхъ и при

Digitized by Google

ειν, νέον ἀντὶ γέροντος εὐνούχοις τε ἐκδεδομένου καὶ κτείναντος ἤδη πολλοὺς υἱέας τε καὶ ἡγεμόνας καὶ φίλους».

всякомъ переворотѣ надѣявшіеся на что нибудь хорошее. Другіе, не зная участниковъ заговора, думали, что всѣ подкуплены, и, опасаясь подвергнуться презрѣнію *со стороны* большинства, если останутся одни *вѣрными Миѳридату*, скорѣе изъ страха и по принужденію, чѣмъ по добровольному рѣшенію присоединились къ кричавшимъ. Миѳридатъ, пробужденный этимъ крикомъ, послалъ спросить, чего хотятъ кричащіе. Тѣ открыто объявили, что *хотятъ* имѣть царемъ его молодого сына вмѣсто старика, отдавшагося во власть евнуховъ и убившаго уже многихъ сыновей, воеводъ и друзей.

111. ὧν ὁ Μιθριδάτης πυθόμενος, ἐξῄει διαλεξόμενος αὐτοῖς. καί τι πλῆθος ἐκ φρουρίου τοῖς αὐτομόλοις συνέτρεχεν. οἱ δ' οὐκ ἔφασαν αὐτοὺς προσήσεσθαι πρίν τι ἀνήμεστον ἐς πίστιν ἐργάσασθαι, δεικνύντες ὁμοῦ τὸν Μιθριδάτην. οἱ μὲν τὸν ἵππον ἔφθασαν αὐτοῦ κτείναι φυγόντος, καὶ τὸν Φαρνάκην ὡς ἤδη κρατοῦντες ἀνεῖπον βασιλέα· καί βύβλον τις πλατεῖαν φέρων ἐξ ἱεροῦ ἐστεφάνωσεν αὐτὸν ἀντὶ διαδήματος. ἄπερ ἄνωθεν ἐκ περιπάτου θεώμενος ἔπεμπεν ἐς τὸν Φαρνάκην ἄλλον ἐπ' ἄλλῳ, φυγὴν αἰτῶν ἀσφαλῆ. οὐδενὸς δὲ τῶν πεμπομένων ἐπανιόντος, δείσας μὴ Ῥωμαίοις ἐκδοθείη, τοὺς μὲν σωματοφύλακας αὐτοῦ καὶ φίλους ἔτι οἱ παραμένοντας ἐπαινέσας ἔπεμψεν ἐς τὸν νέον βασιλέα, καὶ αὐτῶν τινὰς προσιόντας ἔκτεινεν ἡ στρατιὰ παράλογος, αὐτὸς δὲ παραλύσας ὃ περὶ τῷ μηρῷ φάρμακον ἀεὶ περιέκειτο ἐκίρνη. δύο δ' αὐτῷ θυγατέρες ἔτι κόραι συντρεφόμεναι, Μιθριδάτίς τε καὶ Νύσσα, τοῖς Αἰγύπτου καὶ Κύπρου βασιλεῦσιν ἠγγυημέναι, προαβεῖν τοῦ φαρμάκου παρεκάλουν, καὶ φόβρα εἶχοντο, καὶ πίνοντα κατεκώλυον ὡς ἔπιον λαβοῦσαι· καὶ τῶν μὲν αὐτίκα ὁ φάρμακον ἥπτετο, τοῦ δὲ Μιθριδάτου, καίπερ συντόνως ἐξεπίτηδες βαδίζοντος, οὐκ ἐφικνεῖτο δι' ἔθος καὶ συντροφίαν ἐτέων φαμάκσων, οἷς ἐς ἄμυναν δηλητηρίων ῥᾳῆτο συνεχῶς· καὶ νῦν ἔτι φάρμακα Μιθριδάτεια λέγεται. Βίτοιτον οὖν τινὰ ἰδών, ἡγεμόνα Κελτῶν, «πολλὰ μὲν ἐκ τῆς σῆς» ῥῃ «δεξιᾶς ἐς πολεμίους ὠνάμην, ὀνήσομαι δὲ μέγιστον εἰ νῦν με κατεργάσαιο, κινδυνεύοντα ἐς πομπὴν ἀπαχθῆναι θριάμβου ὃν μέχρι πολλοῦ τοσῆσδε ἀρχῆς αὐτοκράτορα καὶ βασιλέα, ἀδυνατοῦντα ἐκ φαρμάκων ἀποθανεῖν δι' εὐήθη προφυλακὴν ἐτέ-

111. Услышавъ это, Миѳридатъ вышелъ, чтобы переговорить съ ними. *Вмѣстѣ съ тѣмъ* къ перебѣжчикамъ присоединилось нѣкоторое количество гарнизонныхъ; но тѣ объявили, что не допустятъ ихъ къ себѣ, пока они въ *доказательство своей* вѣрности не совершатъ какого-нибудь рѣшительнаго поступка, и при этомъ указывали на Миѳридата. Тѣ, дѣйствительно, успѣли убить лошадь Миѳридата, обратившагося въ бѣгство, и провозгласили царемъ Фарнака, какъ будто побѣда была уже на ихъ сторонѣ; *при этомъ* кто-то вынесъ изъ храма широкій листъ папируса и возложилъ его на голову вмѣсто діадемы. Миѳридатъ, который смотрѣлъ на это съ верхней террасы, посылалъ къ Фарнаку одного *посланца* за другимъ, требуя свободнаго пропуска. Но такъ какъ ни одинъ изъ посланцевъ не возвращался, то *Миѳридатъ*, опасаясь быть выданнымъ Римлянамъ, обратился съ одобрительными словами къ своимъ тѣлохранителямъ и друзьямъ, оставшимся еще вѣрными ему, и послалъ ихъ къ новому царю; но нѣкоторые изъ нихъ, приближаясь, были неожиданно убиты солдатами. Тогда *Миѳридатъ*, доставъ ядъ, который онъ всегда носилъ съ собою при мечѣ, сталъ готовить его *для питья*. Двѣ воспитывавшіяся при немъ дочери дѣвицы, по имени Миѳридатида и Нисса, обрученныя съ Эгипетскимъ и Кипрскимъ царями, настойчиво просили *у отца позволенія* принять ядъ прежде его и не давали ему пить, пока не получили и не выпили *яда*. На нихъ онъ тотчасъ-же подѣйствовалъ, но на Миѳридата, несмотря на то, что онъ нарочно сталъ быстро ходить, не оказывалъ никакого дѣйствія

Digitized by Google

ρων φαρμάκων· τὸ γὰρ δὴ χαλεπώτατον καὶ σύνοικον ἀεὶ βασιλεῦσι φάρμακον, ἀπιστίαν στρατοῦ καὶ παίδων καὶ φίλων, οὐ προειδόμην ὁ τὰ ἐπὶ τῇ διαίτῃ πάντα προϊδὼν καὶ φυλαξάμενος». ὁ μὲν δὴ Βίτοιτος ἐπικλασθεὶς ἐπεκούρησε χρῄζοντι τῷ βασιλεῖ, (112) καὶ ὁ Μιθριδάτης ἀπέθνησκεν, ἐκκαιδέκατος ὢν ἐκ Δαρείου τοῦ Ὑστάσπου Περσῶν βασιλέως, ὄγδοος δ' ἀπὸ Μιθριδάτου τοῦ Μακεδόνων ἀποστάντος τε καὶ κτησαμένου τὴν Ποντικὴν ἀρχήν. ἐβίω δ' ὀκτὼ ἢ ἐννέα ἐπὶ τοῖς ἑξήκοντα ἔτεσι, καὶ τούτων ἑπτὰ καὶ πεντήκοντα ἔτεσιν ἐβασίλευσεν· ἐς γὰρ ὀρφανὸν ὄντα περιῆλθεν ἡ ἀρχή. ἐχειρώσατο δὲ τὰ περίοικα τῶν βαρβάρων, καὶ Σκυθῶν ὑπηγάγετο πολλούς...

вслѣдствіе его привычки къ другимъ ядамъ, которые онъ постоянно принималъ для защиты себя отъ отравленія; они до сихъ поръ еще называются «Миѳридатовскими» ядами. Тогда, увидѣвъ нѣкоего Витита, предводителя Кельтовъ, онъ сказалъ ему: «твоя рука оказала мнѣ много услугъ противъ враговъ; но теперь окажетъ наибольшую, если ты сейчасъ же умертвишь меня: мнѣ, который столько времени былъ неограниченнымъ повелителемъ огромнаго государства, предстоитъ опасность быть веденнымъ въ торжественной процессіи тріумфа; я не могу умереть отъ яда, потому что по глупости обезопасилъ себя пріемомъ другихъ ядовъ; я не предусмотрѣлъ самаго тяжелаго и обычнаго для царей яда—вѣроломства воиновъ, сыновей и друзей, между тѣмъ какъ предусмотрѣлъ и принялъ предосторожности противъ всего вреднаго для жизни». Вититъ, тронутый этими словами, оказалъ царю требуемую услугу. (112). Такъ умеръ Миѳридатъ [1]); онъ былъ шестнадцатымъ царемъ послѣ Дарія, сына Истаспова, царя Персидскаго, и восьмымъ послѣ *того* Миѳридата, который отложился отъ Македонянъ и овладѣлъ Понтійскимъ царствомъ. Онъ жилъ 68 или 69 лѣтъ и царствовалъ 57 лѣтъ, вступивъ на престолъ сиротою. Онъ покорилъ сосѣднихъ варваровъ и подчинилъ себѣ многихъ Скиѳовъ...

---

113. ὁ μὲν δὴ εὐπάτωρ τε καὶ Διόνυσος ἐπικληθεὶς Μιθριδάτης ὧδε ἐτελεύτα, καὶ Ῥωμαῖοι μαθόντες ἐώρταζον ὡς ἐχθροῦ δυσχεροῦς ἀπηλλαγμένοι· Φαρνάκης δὲ Πομπηίῳ τὸν νέκυν τοῦ πατρὸς ἐς Σινώπην ἐπὶ τριήρους ἔπεμπε καὶ τοὺς Μάνιον ἑλόντας, ὁμηρά τε πολλὰ ὅσα ἦν Ἑλληνικά τε καὶ βαρβαρικά, δεόμενος ἢ τῆς πατρῴας ἀρχῆς ἢ Βοσπόρου γε βασιλεύειν μόνου, ἥν τινα καὶ Μαχάρης ὁ ἀδελφὸς αὐτοῦ βασιλείαν παρὰ Μιθριδάτου παρειλήφει. Πομπήιος δ' ἐς μὲν τὸ σῶμα τοῦ Μιθριδάτου χορηγίαν ἔδωκε, καὶ θάψαι βασιλείῳ ταφῇ τοῖς θεραπευτῆρσιν αὐτοῦ προσέταξε, καὶ ἐν Σινώπῃ τοῖς βασιλείοις ἐνθέσθαι τάφοις, ἀγάμενος αὐτὸν τῆς μεγαλουργίας ὡς τῶν καθ' αὑτὸν βασιλέων ἄριστον· Φαρνάκην

113. Такъ погибъ Миѳридатъ, прозванный Евпаторомъ и Діонисомъ; Римляне, узнавъ объ его смерти, устроили празднество, такъ какъ освободились отъ опаснѣйшаго врага. Фарнакъ отправилъ къ Помпею въ Синопу на тріирѣ трупъ отца и *воиновъ*, захватившихъ Манія, кромѣ того множество заложниковъ еллинскаго и варварскаго происхожденія, прося *при этомъ* предоставить ему или отцовское царство или, по крайней мѣрѣ, власть надъ однимъ Воспоромъ, которую получилъ отъ отца и братъ его Махаръ. Помпей выдалъ деньги на погребеніе тѣла Миѳридата и велѣлъ его прислужникамъ совершить обрядъ погребенія по-царски и положить тѣло въ Синопѣ въ царскихъ гробницахъ: онъ

1) Весною 63 г. Reinach, p. 406 sq.

Digitized by Google

δὲ ἀπαλλάξαντα πόνου πολλοῦ τὴν Ἰταλίαν φίλον καὶ σύμμαχον Ῥωμαίοις ἐποιήσατο, καὶ βασιλεύειν ἔδωκεν αὐτῷ Βοσπόρου, χωρὶς Φαναγορέων, οὓς ἐλευθέρους καὶ αὐτονόμους ἀφῆκεν, ὅτι πρῶτοι μάλιστα οἵδε ἀναρρωνυμένῳ τῷ Μιθριδάτῃ, καὶ νεῶς καὶ στρατὸν ἄλλον καὶ ὁρμητήρια ἔχοντι, ἐπεχείρησαν, ἡγεμόνες τε τοῖς ἄλλοις ἀποστάσεως ἐγένοντο, καὶ Μιθριδάτῃ καταλύσεως αἴτιοι.

удивлялся его величію и признавалъ его лучшимъ изъ современныхъ царей. Фарнака, освободившаго Италію отъ многихъ затрудненій, онъ провозгласилъ другомъ и союзникомъ Римлянъ, предоставивъ ему власть надъ Воспоромъ, исключая Фанагорійцевъ, которымъ онъ далъ свободу и автономію за то, что они первые возстали противъ Миѳридата, когда онъ снова сталъ собираться съ силами и имѣлъ уже корабли, войско и операціонные пункты, подали остальнымъ примѣръ отпаденія и *сдѣлались* виновниками гибели Миѳридата.

114. αὐτὸς δὲ ἐνὶ τῷδε πολέμῳ τά τε λῃστήρια καθήρας καὶ βασιλέα καθελὼν μέγιστον, καὶ συνενεχθεὶς ἐς μάχας, ἄνευ τοῦ Ποντικοῦ πολέμου, Κόλχοις τε καὶ Ἀλβανοῖς καὶ Ἴβηρσι καὶ Ἀρμενίοις καὶ Μήδοις καὶ Ἄραψι καὶ Ἰουδαίοις καὶ ἑτέροις ἔθνεσιν ἑῴοις, τὴν ἀρχὴν ὡρίσατο Ῥωμαίοις μέχρι Αἰγύπτου... τῶν δὲ εἰλημμένων ἐθνῶν τὰ μὲν αὐτόνομα ἠφίει συμμαχίας οὕνεκα, τὰ δὲ ὑπὸ Ῥωμαίοις εὐθὺς ἐγίγνετο, τὰ δ' ἐς βασίλεια διεδίδου, Τιγράνει μὲν Ἀρμενίαν καὶ Φαρνάκῃ Βόσπορον καὶ Ἀριοβαρζάνῃ Καππαδοκίαν, καὶ ὅσα προεῖπον ἕτερα...

114. Помпей, одной этой войной уничтоживъ шайки разбойниковъ, низложивъ могущественнаго царя, вступивъ въ борьбу, независимо отъ Понтійской войны, съ Колхами, Албанцами, Иверами, Арменійцами, Мидянами, Арабами, Іудеями и другими восточными народами, распространилъ власть Римлянъ до Эгипта... Однимъ изъ покоренныхъ племенъ онъ оставилъ автономію и сдѣлалъ ихъ союзниками *Римлянъ*, другія немедленно подчинилъ власти Римлянъ, иныя роздалъ царямъ: *такъ*, Тиграну *онъ далъ* Арменію, Фарнаку—Воспоръ, Аріоварзану — Каппадокію и другія *области*, указанныя мною раньше...

116. ...ὁ δὲ ἐθριάμβευσεν ἐπὶ λαμπροτάτης καὶ ἧς οὔτις πρὸ τοῦ δόξης, ἔτη ἔχων πέντε καὶ τριάκοντα, δύο ἐφεξῆς ἡμέρας, ἐπὶ πολλοῖς ἔθνεσιν, ἀπό τε τοῦ Πόντου καὶ Ἀρμενίας καὶ Καππαδοκίας καὶ Κιλικίας καὶ Συρίας ὅλης καὶ Ἀλβανῶν καὶ Ἠνιόχων καὶ Ἀχαιῶν τῶν ἐν Σκύθαις καὶ Ἰβηρίας τῆς ἑῴας...

116. ...Помпей, имѣя *отъ роду* 35 лѣтъ, тріумфировалъ съ блестящей славой, какой не имѣлъ еще никто до того времени; два дня сряду *продолжалось торжество побѣды* надъ многими племенами съ Понта, изъ Арменіи, Каппадокіи, Киликіи, всей Сиріи, Албанцами, Иніохами, живущими въ Скиѳіи Ахейцами и восточной Иверіей...

117. αὐτοῦ δὲ τοῦ Πομπηίου προῆγον ὅσοι τῶν πεπολεμημένων βασιλέων ἡγεμόνες ἢ παῖδες ἢ στρατηγοὶ ἦσαν, οἱ μὲν αἰχμάλωτοι ὄντες οἱ δὲ ἐς ὁμηρείαν δεδομένοι, τριακόσιοι μάλιστα καὶ εἴκοσι καὶ τέσσαρες. ἔνθα δὴ καὶ ὁ Τιγράνους ἦν παῖς Τιγράνης, καὶ πέντε Μιθριδάτου, Ἀρταφέρνης τε καὶ Κῦρος καὶ Ὀξάθρης καὶ Δαρεῖος καὶ Ξέρξης, καὶ θυγατέρες Ὀρσάβαρίς τε καὶ Εὐπάτρα. παρῆγετο δὲ καὶ ὁ Κόλχων σκηπτοῦχος Ὀλθάκης... καὶ Σκυθῶν βασίλειοι γυναῖκες, καὶ ἡγεμόνες τρεῖς Ἰβήρων καὶ Ἀλβανῶν δύο, καὶ Μένανδρος ὁ Λαοδικεύς, ἵππαρχος τοῦ Μιθριδάτου γενόμενος... παρεφέρετο δὲ καὶ πίναξ ἐγγεγραμμένων τῶνδε νεῶν ἑάλωσαν χαλκέμβολοι ὀκτακόσιαι. πόλεις ἐκτίσθησαν Καππαδοκῶν ὀκτώ, Κιλίκων δὲ καὶ κοίλης Συρίας εἴκοσι, Παλαι-

117. Передъ *тріумфальной колесницей* самого Помпея шли бывшіе намѣстники, дѣти и полководцы побѣжденныхъ царей, одни въ качествѣ военноплѣнныхъ, другіе — заложниковъ, *числомъ* до 324 *человѣкъ*. Здѣсь былъ Тигранъ, сынъ Тиграна, пять *сыновей* Миѳридата: Артафернъ, Киръ, Оксаеръ, Дарій и Ксеркс и дочери Орсаварида и Евпатра. Были также ведены *въ тріумфѣ* царь Колховъ Олѳакъ..., скиѳскія женщины царскаго рода, три Иверскихъ предводителя, два Албанскихъ и Лаодикіецъ Менандръ, бывшій у Миѳридата начальникомъ конницы... Несли также доску съ слѣдующею надписью: «кораблей мѣдноносыхъ захвачено 800; городовъ основано: въ Каппадокіи 8, въ Киликіи и Келесиріи 20, въ Пале-

Digitized by Google

στίνης δὲ ἡ νῦν Σελευκίς. βασιλεῖς ἐνικήθησαν Τιγράνης Ἀρμένιος, Ἀρτώκης Ἴβηρ, Ὀροίζης Ἀλβανός, Δαρεῖος Μῆδος, Ἀρέτας Ναβαταῖος, Ἀντίοχος Κομμαγηνός». τοσαῦτα μὲν ἐδήλου τὸ διάγραμμα...

стинѣ — нынѣшняя Селевкида; побѣждены цари: Тигранъ Армянскій, Артокъ Иверскій, Оризъ Албанскій, Дарій Мидійскій, Аретъ Наватейскій, Антіохъ Коммагинскій». Такъ гласила надпись...

119. [Μιθριδάτης] νῆες μὲν ἦσαν οἰκεῖαι πολλάκις πλείους τετρακοσίων, ἱππεῖς δ' ἔστιν ὅτε πεντακισμύριοι καὶ πεζῶν μυριάδες πέντε καὶ εἴκοσι καὶ μηχαναὶ καὶ βέλη κατὰ λόγον, συνεμάχουν δὲ βασιλεῖς καὶ δυνάσται ὅ τε Ἀρμένιος καὶ Σκυθῶν τῶν περὶ τὸν Πόντον, ἐπί τε Μαιώτιδα λίμνην καὶ ἀπ' ἐκείνης ἐπὶ τὸν Θρᾴκιον Βόσπορον περιπλέοντι...

119. У Миѳридата было собственныхъ кораблей нерѣдко болѣе четырехсотъ, конницы иногда до 50000, пѣхоты 250000 и соразмѣрное количество снарядовъ и оружія. Союзниками его были цари и правители, въ томъ числѣ *царь* Арменскій и цари Скиѳовъ, живущихъ вокругъ Понта, по Меотійскому озеру и далѣе отъ него по направленію къ Ѳракійскому Босфору...

120. Φαρνάκης δ' ἐπολιόρκει Φαναγορέας καὶ τὰ περίοικα τοῦ Βοσπόρου, μέχρι τῶν Φαναγορέων διὰ λιμὸν ἐς μάχην προελθόντων ἐκράτει τῇ μάχῃ, καὶ βλάψας οὐδέν, ἀλλὰ φίλους ποιησάμενος καὶ λαβὼν ὅμηρα, ἀνεχώρει. μετ' οὐ πολὺ δὲ καὶ Σινώπην εἶλε καὶ Ἀμισὸν ἐνθυμιζόμενος καὶ Καλουίνῳ στρατηγοῦντι ἐπολέμησεν, ᾧ χρόνῳ Πομπήιος καὶ Καῖσαρ ἐς ἀλλήλους ἦσαν, ἕως αὐτὸν Ἄσανδρος ἐχθρὸς ἴδιος, Ῥωμαίων οὐ σχολαζόντων, ἐξήλασε τῆς Ἀσίας. ἐπολέμησε δὲ καὶ αὐτῷ Καίσαρι καθελόντι Πομπήιον, ἐπανιόντι ἀπ' Αἰγύπτου, περὶ τὸ Σκότιον ὄρος, ἔνθα ὁ πατὴρ αὐτοῦ Ῥωμαίων τῶν ἀμφὶ Τριάριον ἐκεκρατήκει· καὶ ἡττηθεὶς ἔφευγε σὺν χιλίοις ἱππεῦσιν ἐς Σινώπην. Καίσαρος δ' αὐτὸν ὑπ' ἀσχολίας οὐ διώξαντος, ἀλλ' ἐπιπέμψαντος αὐτῷ Δομίτιον, παραδοὺς τὴν Σινώπην Δομιτίῳ ὑπόσπονδος ἀφείθη μετὰ τῶν ἱππέων. καὶ τοὺς ἵππους ἔκτεινε πολλὰ δυσχεραινόντων τῶν ἱππέων, ναυσὶ δ' ἐπιβὰς ἐς τὸν Πόντον ἔφυγε, καὶ Σκυθῶν τινας καὶ Σαυροματῶν συναγαγὼν Θευδοσίαν καὶ Παντικάπαιον κατέλαβεν. ἐπιθεμένου δ' αὖθις αὐτῷ κατὰ τὸ ἔχθος Ἀσάνδρου, οἱ μὲν ἱππεῖς ἀπορίᾳ τε ἵππων καὶ ἀμαθίᾳ πεζομαχίας ἐνικῶντο, αὐτὸς δὲ ὁ Φαρνάκης μόνος ἠγωνίζετο καλῶς, μέχρι κατατρωθεὶς ἀπέθανε, πεντηκοντούτης ὢν καὶ βασιλεύσας Βοσπόρου πεντεκαίδεκα ἔτεσιν.

120. *Между тѣмъ* Фарнакъ осаждалъ Фанагорійцевъ и сосѣдей Босфора, пока не побѣдилъ въ бою Фанагорійцевъ, вступившихъ въ битву вслѣдствіе голода; не причинивъ имъ никакого вреда, онъ сдѣлалъ ихъ своими друзьями и удалился, взявъ заложниковъ. Немного спустя онъ взялъ Синопу и, простирая свои виды на Амисъ, вступилъ въ борьбу съ *Римскимъ* полководцемъ Кальвиномъ во время междоусобной войны Помпея съ Цезаремъ; наконецъ его личный врагъ Асандръ выгналъ его изъ Азіи за недоступомъ Римлянъ. Съ самимъ Цезаремъ, при его возвращеніи изъ Египта послѣ побѣды надъ Помпеемъ, *Фарнакъ* вступилъ въ сраженіе у горы Скотія, гдѣ отецъ его побѣдилъ Римлянъ подъ начальствомъ Тріарія. Потерпѣвъ пораженіе, *Фарнакъ* бѣжалъ съ тысячью всадниковъ въ Синопу, и такъ какъ Цезарь, не имѣя времени *лично* преслѣдовать его, отправилъ противъ него Домиція, то *Фарнакъ*, передавъ Домицію Синопу, по договору былъ отпущенъ вмѣстѣ съ всадниками. Несмотря на сильное неудовольствіе всадниковъ, онъ приказалъ перебить лошадей и на кораблях бѣжалъ въ Понтъ; собравши *тамъ* нѣсколько *отрядовъ* Скиѳовъ и Сарматовъ, онъ захватилъ Ѳевдосію и Пантикапэй. Когда же Асандръ изъ ненависти опять напалъ на него, то всадники, вслѣдствіе недостатка въ лошадяхъ и неумѣнья сражаться пѣшими, потерпѣли пораженіе; самъ Фарнакъ одинъ дрался мужественно, пока не получилъ раны, *отъ которой* и умеръ 50-ти лѣтъ отъ роду, послѣ 15-лѣтняго царствованія на Босфорѣ [1]).

1) 47 г. до Р. Хр.

Digitized by Google

121. ὧδε μὲν δὴ καὶ Φαρνάκης ἐξέπεσε τῆς ἀρχῆς, καὶ αὐτοῦ τὴν βασιλείαν Γάιος μὲν Καῖσαρ ἔδωκε Μιθριδάτῃ τῷ Περγαμηνῷ συμμαχήσαντί οἱ προθύμως ἐν Αἰγύπτῳ· νῦν δ' εἰσὶν οἰκεῖοι, Πόντου δὲ καὶ Βιθυνίας πέμπεταί τις ἀπὸ τῆς βουλῆς στρατηγὸς ἐτήσιος...

121. Такъ лишился власти и Фарнакъ; царство его Гай Цезарь передалъ Миѳридату Пергамскому, ревностно помогавшему ему въ Эгиптѣ [1]); нынѣ же [у жителей Воспора] *свои* туземные *цари*, а въ Понтъ и Виѳинію ежегодно посылается сенатомъ преторъ...

ΕΜΦΥΛΙΩΝ Β.

О МЕЖДОУСОБНЫХЪ ВОЙНАХЪ кн. 2.

92. μετὰ δὲ τοῦτο Φαρνάκης μὲν ἀγαπῶν ἐς τὴν ἀρχὴν Βοσπόρου, τὴν δεδομένην οἱ παρὰ Πομπηίου, συνέφυγεν· ὁ δὲ Καῖσαρ οὐ σχολὴν ἄγων περὶ μικρὰ τρίβεσθαι τοσῶνδε πολέμων αὐτὸν περιμενόντων, ἐς τὴν Ἀσίαν μετῆλθε...

92. Послѣ этого [2]) Фарнакъ, не дѣлая дальнѣйшихъ попытокъ, бѣжалъ въ Воспорское царство, переданное ему Помпеемъ, а Цезарь, не имѣя времени заниматься пустяками въ виду стольких ожидавшихъ его войнъ, пошелъ въ Азію...

ΛΟΥΚΙΑΝΟΣ ΣΑΜΟΣΑΤΕΥΣ.

ЛУКІАНЪ САМОСАТСКІЙ.

[Знаменитый сатирикъ, род. около 125 г. по Р. Хр. въ Самосатахъ, главномъ городѣ сирійской области Коммагины на Евфратѣ, много путешествовалъ, долго жилъ въ Аѳинахъ и умеръ въ глубокой старости въ Эгиптѣ. Наибольшій расцвѣтъ его таланта приходится на время Антониновъ. Подъ его именемъ сохранилось 82 сочиненія, но между ними есть не мало подложныхъ или сомнительныхъ. — Текстъ: Luciani Samosatensis opera ex rec. Car. Iacobitz. Lips. ap. Teubn., 3 voll.; Lucianus. Rec. Iulius Sommerbrodt. Berol. ap. Weidm. 1886 sq.].

Переводъ **В. Л.**

ΝΙΓΡΙΝΟΣ.

НИГРИНЪ.

§ 79. ... τὰ Σκυθῶν [βέλη ἰῷ] χρίεται...

...Скиѳскія [стрѣлы] намазываются [ядомъ]...

ΠΡΟΜΗΘΕΥΣ Η ΚΑΥΚΑΣΟΣ.

ПРОМИѲЕЙ ИЛИ КАВКАЗЪ.

1. ΕΡΜΗΣ. Ὁ μὲν Καύκασος, ὦ Ἥφαιστε, οὗτος, ᾧ τὸν ἄθλιον Τιτᾶνα τουτονὶ προσηλῶσθαι δεήσει· περισκοπῶμεν δὲ ἤδη κρημνόν τινα ἐπιτήδειον, εἴ που τῆς χιόνος γυμνός ἐστιν, ὡς βεβαιότερον καταπαγῇ τὰ δεσμὰ καὶ οὗτος ἅπασι περιφανὴς ᾖ κρεμάμενος.

ΗΦ. Περισκοπῶμεν, ὦ Ἑρμῆ· οὔτε γὰρ ταπεινὸν καὶ πρόσγειον ἀνεσταυρῶσθαι χρή, ὡς μὴ ἐπαμύνοιεν αὐτῷ τὰ πλάσματα αὐτοῦ οἱ ἄνθρωποι, οὔτε μὴ κατὰ τὸ ἄκ-

1. ЕРМІЙ. Вотъ, Ифестъ, и Кавказъ, къ которому придется пригвоздить этого несчастнаго Титана. Поищемъ же какого нибудь подходящаго утеса, — нѣтъ-ли гдѣ не покрытаго снѣгомъ, чтобы крѣпче прибились цѣпи и *самъ* онъ, вися *на нихъ*, былъ на виду у всѣхъ.

ИФ. Поищемъ, Ермій: его не слѣдуетъ распинать низко и близко къ землѣ, чтобы не помогли ему его созданія, люди, но и не на вершинѣ, потому что онъ не бу-

1) Cf. Strab. XII p. 625 (supra, p. 161); A. Hirt. *b. Alex.* 26 et 78. 2) Т. е. послѣ пораженія при Зелѣ.

Digitized by Google

ρον, — ἀφανὴς γὰρ ἂν εἴη τοῖς κάτω — ἀλλ' εἰ δοκεῖ κατὰ μέσον ἐνταῦθά που ὑπὲρ τῆς φάραγγος ἀνεσταυρώσθω ἐκπετασθεὶς τὼ χεῖρε ἀπὸ τουτουὶ τοῦ κρημνοῦ πρὸς τὸν ἐναντίον.

детъ виденъ снизу. Если хочешь, распнемъ его гдѣ нибудь здѣсь, по срединѣ, надъ этимъ ущельемъ, растянувъ руки отъ этого утеса до противоположнаго.

ΕΡΜ. Εὖ λέγεις· ἀπόξυροί τε γὰρ αἱ πέτραι καὶ ἀπρόσβατοι πανταχόθεν, ἠρέμα ἐπινενευκυῖαι, καὶ τῷ ποδὶ στενὴν ταύτην ὁ κρημνὸς ἔχει τὴν ἐπίβασιν, ὡς ἀκροποδητὶ μόγις ἑστάναι, καὶ ὅλως ἐπικαιρότατος ἂν ὁ σταυρὸς γένοιτο. μὴ μέλλε οὖν, ὦ Προμηθεῦ, ἀλλ' ἀνάβαινε καὶ πάρεχε σεαυτὸν καταπαγησόμενον πρὸς τὸ ὄρος.

ЕРМ. Правда твоя,—скалы здѣсь круты, отовсюду неприступны и слегка наклонны. На утесѣ есть *лишь* этотъ узенькій выступъ для ноги, такъ что едва можно стоять на цыпочкахъ, однимъ словомъ, самое удобное мѣсто для распятія. Не мѣшкай-же, Прометей, всходи и дай приковать себя къ горѣ!

2. ΠΡΟΜ. Ἀλλὰ κἂν ὑμεῖς γε, ὦ Ἥφαιστε καὶ Ἑρμῆ, κατελεήσατέ με παρὰ τὴν ἀξίαν δυστυχοῦντα.

2. ПРОМ. Но хоть вы-то, Ифестъ и Ермій, сжальтесь надо мною, невиннымъ страдальцемъ!

ΕΡΜ. Τοῦτο φής, ὦ Προμηθεῦ, τὸ κατελεήσατε ἀντὶ τοῦ ἀνασκολοπίσθητε ἅμ' αὐτίκα παρακούσαντες τοῦ ἐπιτάγματος; ἢ οὐχ ἱκανὸς εἶναί σοι δοκεῖ ὁ Καύκασος καὶ ἄλλους χωρῆσαι δύο προσπατταλευθέντας; ἀλλ' ὄρεγε τὴν δεξιάν· σὺ δέ, ὦ Ἥφαιστε, κατάκλειε καὶ προσήλου καὶ τὴν σφῦραν ἐρρωμένως κατάφερε. δὸς καὶ τὴν ἑτέραν· κατειλήφθω εὖ μάλα καὶ αὕτη. εὖ ἔχει. καταπτήσεται δὲ ἤδη καὶ ὁ ἀετὸς ἀποκερῶν τὸ ἧπαρ, ὡς πάντα ἔχοις ἀντὶ τῆς καλῆς καὶ εὐμηχάνου πλαστικῆς.

ЕРМ. Ты говоришь, Прометей, «сжальтесь» вмѣсто «будьте распяты сейчасъ-же, за неисполненіе приказа»? Или Кавказъ, по твоему, недостаточенъ и для двухъ другихъ приговоренныхъ? Протягивай правую руку! А ты, Ифестъ, прибей ее, вколачивай гвозди и покрѣпче ударяй молоткомъ! Давай и другую! Захвати и ее хорошенько! Отлично. *Скоро* уже прилетитъ и орелъ клевать твою печень, чтобы ты получилъ все за свою прекрасную и искусную пластику.

3. ΠΡΟΜ. Ὦ Κρόνε καὶ Ἰαπετὲ καὶ σὺ ὦ μῆτερ, οἷα πέπονθα ὁ κακοδαίμων οὐδὲν δεινὸν ἐργασάμενος.

3. ПРОМ. О Кронъ, Іапетъ, и ты, мать, что я терплю, несчастный, не совершивъ никакого преступленія!

ΕΡΜ. Οὐδέν, ὦ Προμηθεῦ, δεινὸν εἰργάσω, ὃς πρῶτα μὲν τὴν νομὴν τῶν κρεῶν ἐγχειρισθεὶς οὕτως ἄδικον ἐποιήσω καὶ ἀπατηλήν, ὡς σαυτῷ μὲν τὰ κάλλιστα ὑπεξελέσθαι, τὸν Δία δὲ παραλογίσασθαι ὀστᾶ «καλύψας ἀργέτι δημῷ»; μέμνημαι γὰρ Ἡσιόδου νὴ Δί' οὕτως εἰπόντος· ἔπειτα δὲ τοὺς ἀνθρώπους ἀνέπλασας, πανουργότατα ζῷα, [καὶ] μάλιστά γε τὰς γυναῖκας· ἐπὶ πᾶσι δὲ καὶ τὸ τιμιώτατον κτῆμα τῶν θεῶν κλέψας τὸ πῦρ τοῦτο ἔδωκας τοῖς ἀνθρώποις· τοσαῦτα δεινὰ εἰργασμένος φὴς μηδὲν ἀδικήσας δεδέσθαι;

ЕРМ. Правда твоя, Прометей, что ты не совершилъ никакого преступленія? Вопервыхъ ты, получивъ порученіе раздѣлить мясо, сдѣлалъ столь несправедливый и мошенническій *дележъ*, что себѣ отобралъ лучшіе куски, а Зевса надулъ, «прикрывъ кости блестящимъ тукомъ»; я помню, что Исіодъ сказалъ именно такъ [1]). Затѣмъ ты создалъ людей, гнуснѣйшихъ тварей, и особенно женщинъ. Наконецъ ты укралъ драгоцѣннѣйшее сокровище боговъ — огонь и далъ его людямъ. И, совершивъ столь страшныя дѣянія, ты *еще* говоришь, что приковавъ безъ всякой вины!

4. ΠΡΟΜ. Ἔοικας, ὦ Ἑρμῆ, καὶ σὺ κατὰ τὸν Ὅμηρον «ἀναίτιον αἰτιάασθαι», ὃς τὰ τοιαῦτά μοι προφέρεις, ἐφ' οἷς ἔγωγε τῆς ἐν πρυτανείῳ σιτήσεως, εἰ τὰ δίκαια ἐγίγνετο, ἐτιμησάμην ἂν ἐμαυτῷ. εἰ γοῦν

4. ПРОМ. Кажется, и ты, Ермій, «обвиняешь безвиннаго», какъ говоритъ Омиръ [2]): ты ставишь мнѣ въ вину то, за что я потребовалъ бы себѣ содержанія въ пританеѣ [3]), если бы *на самомъ* была правда.

1) Hes. *Theog.* 541. 2) *Il.* XIII, 565. 3) Вѣроятно намекъ на слова Сократа въ Plat. *Apol.* p. 37 *A*.

Digitized by Google

σχολή σοι, ἡδέως ἂν καὶ δικαιολογησαίμην ὑπὲρ τῶν ἐγκλημάτων, ὡς δείξαιμι ἄδικα ἐγνωκότα περὶ ἡμῶν τὸν Δία· σὺ δὲ — στωμύλος γὰρ εἶ καὶ δικανικός — ἀπολόγησαι ὑπὲρ αὐτοῦ ὡς δικαίαν τὴν ψῆφον ἔθετο, ἀνεσταυρῶσθαί με πλησίον τῶν Κασπίων τούτων πυλῶν ἐπὶ τοῦ Καυκάσου οἰκτιστον θέαμα πᾶσι Σκύθαις.

ΕΡΜ. Ἐκπρόθεσμον μὲν, ὦ Προμηθεῦ, τὴν ἔφεσιν ἀγωνιῇ καὶ ἐς οὐδὲν δέον. ὅμως δ' οὖν λέγε· καὶ γὰρ ἄλλως περιμένειν ἀναγκαῖον, ἕστ' ἂν ὁ ἀετὸς καταπτῇ ἐπιμελησόμενός σου τοῦ ἥπατος...

1 Если есть у тебя досугъ, я съ удовольствіемъ высказался бы въ защиту противъ *взводимыхъ на меня* обвиненій, чтобы доказать, что Зевсъ неправильно рѣшилъ мое дѣло; ты-же, какъ адвокатъ-краснобай, защищай его, что онъ правильно присудилъ распять меня вблизи этихъ Каспійскихъ воротъ на Кавказѣ [1]), на печальное зрѣлище всѣмъ Скиѳамъ.

ЕРМ. Твоя апелляція, Промиѳей, просрочена и ни къ чему не поведетъ. Впрочемъ всетаки говори: вѣдь все равно надо ждать, пока прилетитъ орелъ позаботиться о твоей печени...

ΘΕΩΝ ΔΙΑΛΟΓΟΙ.

1. ΠΡΟΜΗΘΕΩΣ ΚΑΙ ΔΙΟΣ.

1. ΠΡΟΜ. Λῦσόν με, ὦ Ζεῦ. δεινὰ γὰρ ἤδη πέπονθα.

ΖΕΥΣ. Λύσω σε, φής, ὃν ἐχρῆν βαρυτέρας πέδας ἔχοντα καὶ τὸν Καύκασον ὅλον ὑπὲρ κεφαλῆς ἐπικείμενον ὑπὸ ἑκκαίδεκα γυπῶν μὴ μόνον κείρεσθαι τὸ ἧπαρ, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐξορύττεσθαι, ἀνθ' ὧν τοιαῦθ' ἡμῖν ζῷα τοὺς ἀνθρώπους ἔπλασας καὶ τὸ πῦρ ἔκλεψας καὶ γυναῖκας ἐδημιούργησας; ὃ μὲν γὰρ ἐμὲ ἐξηπάτησας ἐν τῇ νομῇ τῶν κρεῶν ὀστᾶ πιμελῇ κεκαλυμμένα παραθεὶς καὶ τὴν ἀμείνω τῶν μοιρῶν σεαυτῷ φυλάττων, τί χρὴ λέγειν;

ΠΡΟΜ. Οὔκουν ἱκανὴν ἤδη τὴν δίκην ἐκτέτικα τοσοῦτον χρόνον τῷ Καυκάσῳ προσηλωμένος τὸν κάκιστα ὀρνέων ἀπολούμενον αἰετὸν τρέφων τῷ ἥπατι;...

РАЗГОВОРЫ БОГОВЪ.

1. ПРОМИѲЕЙ И ЗЕВСЪ.

ПРОМ. Освободи меня, Зевсъ! Я уже вытерпѣлъ страшныя *муки*.

ЗЕВСЪ. Мнѣ тебя освободить, говоришь? Да тебя надо бы заковать въ болѣе тяжкія цѣпи, цѣлый Кавказъ навалить на голову и *повелѣть* шестнадцати коршунамъ не только терзать твою печень, но выклевывать и глаза за то, что ты сотворилъ намъ такихъ тварей — людей, похитилъ огонь и создалъ женщинъ. А что сказать о томъ, какъ ты меня надулъ при дѣлежѣ мяса, предложивъ *мнѣ* прикрытыя жиромъ кости и оставивъ себѣ лучшую часть?

ПРОМ. Да развѣ я не достаточное понесъ уже наказаніе, будучи столько времени прикованъ къ Кавказу и кормя своею печенью *этого* орла,—чтобъ ему погибнуть хуже всѣхъ птицъ!...

XVI. ΗΡΑΣ ΚΑΙ ΛΗΤΟΥΣ.

ΗΡΑ... Οἱ δὲ σοὶ παῖδες ἡ μὲν αὐτῶν ἀρρενικὴ πέρα τοῦ μετρίου καὶ ὄρειος, καὶ τὸ τελευταῖον ἐς τὴν Σκυθίαν ἀπελθοῦσα πάντες ἴσασιν οἷα ἐσθίει ξενοκτονοῦσα καὶ μιμουμένη τοὺς Σκύθας αὐτοὺς ἀνθρωποφάγους ὄντας...

16. ИРА И ЛАТОНА.

ИРА (Латонѣ)... А изъ твоихъ дѣтей одна [2]) ведетъ себя хуже мужчины, носится по горамъ, а наконецъ удалилась въ Скиѳію, и всѣ знаютъ, что она тамъ ѣстъ, убивая иностранцевъ и подражая самимъ Скиѳамъ—людоѣдамъ...

1) Отмѣтимъ географическую неточность: Каспійскія ворота находятся далеко отъ Кавказа. 2) Т. е. Артемида.

Digitized by Google

XXIII. ΑΠΟΛΛΩΝΟΣ ΚΑΙ ΔΙΟΝΥΣΟΥ.

1. ΑΠ. ...ἀλλ' ἡμεῖς ὅμοιοί ἐσμεν καὶ ταὐτὰ ἐπιτηδεύομεν. τοξόται γὰρ ἄμφω.

ΔΙΟ. Μέχρι μὲν τόξου τὰ αὐτά, ὦ Ἄπολλον, ἐκεῖνα δὲ οὐχ ὅμοια, ὅτι ἡ μὲν Ἄρτεμις ξενοκτονεῖ ἐν Σκύθαις, σὺ δὲ μαντεύῃ καὶ ἰᾷ τοὺς κάμνοντας.

ΑΠ. Οἴει γὰρ τὴν ἀδελφὴν χαίρειν τοῖς Σκύθαις, ἥ γε καὶ παρεσκεύασται, ἢν τις Ἕλλην ἀφίκηταί ποτε ἐς τὴν Ταυρικήν, συνεκπλεῦσαι μετ' αὐτοῦ μυσαττομένη τὰς σφαγάς;

ΔΙΟ. Εὖ γε ἐκείνη ποιοῦσα...

23. АПОЛЛОНЪ И ДІОНИСЪ.

АП. ...Мы [1]) похожи другъ на друга и занимаемся однимъ и тѣмъ же: мы оба стрѣляемъ изъ лука.

ДІОН. Насчетъ лука дѣйствительно одно и то же, Аполлонъ; но разница въ томъ, что Артемида убиваетъ иностранцевъ въ Скиѳіи, а ты предсказываешь и лѣчишь больныхъ.

АП. Значитъ, ты думаешь, что сестрѣ нравится *пребываніе* у Скиѳовъ? Да она уже готова, если только когда нибудь пріѣдетъ въ Таврику какой-нибудь Еллинъ, отплыть съ нимъ, — *до того* ей отвратительна эта рѣзня.

ДІОН. Вотъ это хорошо съ ея стороны...

ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.

РАЗГОВОРЫ МЕРТВЫХЪ.

XII. ΑΛΕΞΑΝΔΡΟΥ, ΑΝΝΙΒΟΥ, ΜΙΝΩΟΣ ΚΑΙ ΣΚΗΠΙΩΝΟΣ.

§ 5 (ΑΛΕΞ.) ...καὶ μέχρι Ἰνδῶν ἦλθον καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς... καὶ Σκύθας δὲ οὐκ εὐκαταφρονήτους ἄνδρας ὑπερβὰς τὸν Τάναϊν ἐνίκησα μεγάλῃ ἱππομαχίᾳ...

12. АЛЕКСАНДРЪ, АННИБАЛЪ, МИНОСЪ И СЦИПІОНЪ.

(Слова Александра:) ...я дошелъ до Индіи, сдѣлалъ Океанъ границею своихъ владѣній... и, перейдя чрезъ Танаидъ, побѣдилъ въ большой конной битвѣ Скиѳовъ, далеко не ничтожныхъ противниковъ...

XIV. ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ.

§ 3. ΑΛΕΞ. Ἀλλ' οἱ Σκύθαι γε, ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες οὐκ εὐκαταφρόνητόν τι ἔργον, καὶ ὅμως οὐ διαστήσας αὐτοὺς οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας ἐκράτουν αὐτῶν...

14. ФИЛИППЪ И АЛЕКСАНДРЪ.

АЛЕКС. Но Скиѳы, батюшка, и Индійскіе слоны не совсѣмъ-то пустое дѣло, однако я одолѣлъ ихъ, не раздѣливъ ихъ и не покупая побѣды измѣною...[2]).

ΠΕΡΙ ΘΥΣΙΩΝ.

§ 6 extr. ...τὸν δὲ Προμηθέα τίς οὐκ οἶδεν οἷα ἔπαθε, διότι καθ' ὑπερβολὴν φιλάνθρωπος ἦν; καὶ γὰρ αὖ καὶ τοῦτον ἐς τὴν Σκυθίαν ἀγαγὼν ὁ Ζεὺς ἀνεσταύρωσεν ἐπὶ τοῦ Καυκάσου καὶ τὸν ἀετὸν αὐτῷ παρακαταστήσας τὸ ἧπαρ ὀσημέραι κολάψοντα.

О ЖЕРТВОПРИНОШЕНІЯХЪ.

...Кто не знаетъ, какому наказанію подвергся Промѳеей за то, что былъ чрезчуръ человѣколюбивъ? Вѣдь и его Зевсъ, отведя въ Скиѳію, распялъ на Кавказѣ, приставивъ къ нему вдобавокъ орла ежедневно рвать его печень.

---

1) Аполлонъ говоритъ про себя и Артемиду.

2) Намекъ на способы дѣяній Филиппа.

Digitized by Google

§ 13. ... ὁ μέν γε Σκύθης πάσας τὰς θυσίας ἀφεὶς καὶ ἡγησάμενος ταπεινὰς αὐτοὺς τοὺς ἀνθρώπους τῇ Ἀρτέμιδι παρίστησι καὶ οὕτως ποιῶν ἀρέσκει τὴν θεόν.

... Скиѳъ, отмѣнивъ всѣ *другія* жертвы, какъ слишкомъ ничтожныя, представляетъ Артемидѣ самихъ людей и такимъ способомъ ублажаетъ богиню.

ΣΚΥΘΗΣ Η ΠΡΟΞΕΝΟΣ.

1. Οὐ πρῶτος Ἀνάχαρσις ἀφίκετο ἐκ Σκυθίας Ἀθήναζε παιδείας ἐπιθυμίᾳ τῆς Ἑλληνικῆς, ἀλλὰ καὶ Τόξαρις πρὸ αὐτοῦ, σοφὸς μὲν καὶ φιλόκαλος ἀνὴρ καὶ ἐπιτηδευμάτων φιλομαθὴς τῶν ἀρίστων, οἶκοι δὲ οὐ τοῦ βασιλείου γένους ὢν οὐδὲ τῶν πλοφορικῶν, ἀλλὰ Σκυθῶν τῶν πολλῶν καὶ δημοτικῶν, οἱοί εἰσι παρ' αὐτοῖς οἱ ὀκτάποδες καλούμενοι, τοῦτο δέ ἐστι, δύο βοῶν δεσπότην εἶναι καὶ ἁμάξης μιᾶς. οὗτος ὁ Τόξαρις οὐδ' ἀπῆλθεν ἔτι ὀπίσω ἐς Σκύθας, ἀλλ' Ἀθήνησιν ἀπέθανε καὶ μετ' οὐ πολὺ καὶ ἥρως ἔδοξε καὶ ἐντέμνουσιν αὐτῷ Ξένῳ Ἰατρῷ οἱ Ἀθηναῖοι· τοῦτο γὰρ τοὔνομα ἥρως γενόμενος ἐπεκτήσατο. τὴν δὲ αἰτίαν τῆς ἐπωνυμίας καὶ ἀνθ' ὅτου ἐς τοὺς ἥρωας κατελέγη καὶ τῶν Ἀσκληπιαδῶν εἷς ἔδοξεν, οὐ χεῖρον ἴσως διηγήσασθαι, ὡς μάθητε οὐ Σκύθαις μόνον ἐπιχώριον ὂν ἀποθανατίζειν καὶ πέμπειν παρὰ τὸν Ζάμολξιν, ἀλλὰ καὶ Ἀθηναίοις ἐξεῖναι θεοποιεῖν τοὺς Σκύθας ἐπὶ τῆς Ἑλλάδος...

СКИѲЪ ИЛИ ГОСТЬ.

Анахарсидъ не первый прибылъ изъ Скиѳіи въ Аѳины, руководимый желаніемъ познакомиться съ эллинской образованностью: раньше его *прибылъ* Токсаридъ, мужъ мудрый, отличавшійся любовью къ прекрасному и стремленіемъ къ благороднѣйшимъ знаніямъ, но происходившій не изъ царскаго рода и не изъ «шляпоносцевъ», а изъ толпы простыхъ Скиѳовъ, каковы у нихъ такъ называемые «восьминогіе», т. е. владѣльцы пары быковъ и одной повозки. Этотъ Токсаридъ даже не возвратился въ Скиѳію, а умеръ въ Аѳинахъ и немного спустя даже былъ признанъ героемъ; Аѳиняне приносятъ ему жертвы какъ Иноземному Врачу: это имя получилъ онъ, будучи признанъ героемъ. Быть можетъ, не лишнимъ будетъ объяснить причину этого наименованія, а также включенія въ число героевъ и признанія его за одного изъ Асклипіадовъ, чтобы вы узнали, что не однимъ Скиѳамъ свойственно признавать людей безсмертными и посылать къ Замолксиду, но что и Аѳинянамъ можно обоготворять Скиѳовъ въ Элладѣ...

3. Ἀλλὰ γὰρ οὐπερ ἕνεκα ἐμνήσθην αὐτοῦ, ἔζη μὲν ἔτι ὁ Τόξαρις, ὁ Ἀνάχαρσις δὲ ἄρτι καταπεπλευκὼς ἀνῄει ἐκ Πειραιῶς, οἷα δὴ ξένος καὶ βάρβαρος οὐ μετρίως τεταραγμένος ἔτι τὴν γνώμην, πάντα ἀγνοῶν, ψοροειδὴς πρὸς τὰ πολλά, οὐκ ἔχων ὅτι χρήσαιτο ἑαυτῷ· καὶ γὰρ συνίει καταγελώμενος ὑπὸ τῶν ὁρώντων ἐπὶ τῇ σκευῇ, καὶ ὁμόγλωσσον οὐδένα εὗρισκε, καὶ ὅλως ἐμέλεν αὐτῷ ἤδη τῆς ὁδοῦ καὶ ἐδέδοκτο δόντα μόνον τὰς Ἀθήνας ἐπὶ πόδα εὐθὺς ὀπίσω χωρεῖν καὶ πλοίῳ ἐπιβάντα πλεῖν εὐθὺς ἐπὶ Βοσπόρου, ὅθεν οὐ πολλὴ ἔμελλεν αὐτῷ ὁδὸς ἔσεσθαι οἴκαδε ἐς Σκύθας. οὕτως ἐντυγχάνει δαίμων τις ἀγαθὸς ὡς ἀληθῶς ὁ Τόξαris ἤδη ἐν τῷ Κεραμεικῷ· καὶ τὸ μὲν πρῶτον ἡ στολὴ αὐτὸν ἐπεσπάσατο πατριῶτις οὖσα, εἶτα ἔντοι οὐ χαλεπῶς ἔμελλε καὶ αὐτὸν γνώσεσθαι τὸν Ἀνάχαρσιν ἅτε γένους τοῦ δο-

Вспомнилъ я о немъ вотъ почему. Токсаридъ былъ еще живъ, когда Анахарсидъ, только что высадившись, шелъ (въ Аѳины) изъ Пирея; какъ иностранецъ и варваръ, онъ испытывалъ еще сильное смущеніе, ничего не зная, пугаясь малѣйшаго шума и не зная, что съ собою дѣлать; онъ понималъ, что всѣ видѣвшіе его смѣются надъ его убранствомъ, не находилъ никого, кто-бы зналъ его языкъ, и вообще уже раскаивался въ своемъ путешествіи и рѣшилъ, только взглянувъ на Аѳины, немедленно отправиться назадъ, сѣсть на корабль и ѣхать обратно въ Боспоръ, откуда для него уже не великъ былъ путь домой въ Скиѳію. При такомъ настроеніи Анахарсида встрѣчается съ нимъ, по истинѣ какъ добрый геній, Токсаридъ уже въ Керамикѣ. Сначала его вниманіе привлекла одежда его родины, а затѣмъ ему

Digitized by Google

κιμωτάτου ὄντα καὶ ἐν τοῖς πρώτοις Σκυθῶν. ὁ Ἀνάχαρσις δὲ πόθεν ἂν ἐκεῖνον ἔγνω ὁμοεθνῆ ὄντα, Ἑλληνιστὶ ἐσταλμένον, ὑπεξυρημένον τὸ γένειον, ἄζωστον, ἀσίδηρον, ἤδη στωμύλον, αὐτῶν τῶν Ἀττικῶν ἕνα τῶν αὐτοχθόνων; οὕτω μετεπεποίητο ὑπὸ τοῦ χρόνου. (4) ἀλλὰ Τόξαρις Σκυθιστὶ προσειπὼν αὐτόν, Οὐ σύ, ἔφη, Ἀνάχαρσις ὢν τυγχάνεις ὁ Δαυκέτου; ἐδάκρυσεν ὑφ' ἡδονῆς ὁ Ἀνάχαρσις, ὅτι καὶ ὁμόφωνον εὑρήκει τινὰ καὶ τοῦτον εἰδότα ὅστις ἦν ἐν Σκύθαις, καὶ ἤρετο, Σὺ δὲ πόθεν οἶσθα ἡμᾶς ξένε; Καὶ αὐτός, ἔφη, ἐκεῖθέν εἰμι παρ' ὑμῶν, Τόξαρις τοὔνομα, οὐ τῶν ἐπιφανῶν, ὥστε καὶ ἐγνῶσθαι ἄν σοι κατ' αὐτό. Μῶν, ἔφη, σὺ ὁ Τόξαρις εἶ, περὶ οὗ ἐγὼ ἤκουσα ὡς τις Τόξαρις ἔρωτι τῆς Ἑλλάδος ἀπολιπὼν καὶ γυναῖκα ἐν Σκυθίᾳ καὶ παιδία νεογνὰ οἴχοιτο ἐς Ἀθήνας καὶ νῦν διατρίβοι κεῖθι τιμώμενος ὑπὸ τῶν ἀρίστων; Ἐγώ, ἔφη, ἐκεῖνός εἰμι, εἴ τις κἀμοῦ λόγος ἔτι παρ' ὑμῖν. Οὐκοῦν, ἦ δ' ὅς ὁ Ἀνάχαρσις, μαθητήν σου ἴσθι με γεγενημένον καὶ ζηλωτὴν τοῦ ἔρωτος ὃν ἐράσθης, ἰδεῖν τὴν Ἑλλάδα... ἀλλὰ πρὸς Ἀκινάκου καὶ Ζαμόλξιδος, τῶν πατρῴων ἡμῖν θεῶν, σύ με, ὦ Τόξαρι, παραλαβὼν ξενάγησον καὶ δεῖξον τὰ κάλλιστα τῶν Ἀθήνησιν...

уже не трудно было узнать и самого Анахарсида, происходившаго изъ знатнѣйшаго рода, одного изъ первыхъ въ Скиѳіи. А Анахарсиду откуда можно было-бы признать въ немъ земляка, когда онъ былъ одѣтъ по-эллински, съ выбритою бородою, безъ пояса и безъ оружія, уже владѣлъ языкомъ и вообще казался однимъ изъ туземныхъ жителей Аттики? Такъ преобразило его время. (4) Но Токсаридъ, обратившись къ нему по-скиѳски, спросилъ: «Не ты-ли Анахарсидъ, сынъ Давкета?» Анахарсидъ прослезился отъ радости, что встрѣтилъ *человѣка*, говорящаго на его языкѣ и притомъ знавшаго, кто онъ былъ въ Скиѳіи, и спросилъ: «А ты, другъ, откуда знаешь насъ?» — «Да вѣдь и самъ я, отвѣчалъ Токсаридъ, происхожу оттуда, изъ вашей земли, а имя мое — Токсаридъ, но я не *настолько* знатнаго рода, чтобы могъ быть тебѣ извѣстенъ». — «Неужели ты, сказалъ *Анахарсидъ*, тотъ самый Токсаридъ, о которомъ я слышалъ, что нѣкто Токсаридъ изъ любви къ Элладѣ покинулъ въ Скиѳіи жену и маленькихъ дѣтей, уѣхалъ въ Аѳины и теперь живетъ тамъ, уважаемый лучшими *людьми*?» — «Да, сказалъ *Токсаридъ*, я тотъ самый, если обо мнѣ еще говорятъ у васъ». — «Итакъ, сказалъ Анахарсидъ, знай, что я сдѣлался твоимъ ученикомъ и соревнователемъ овладѣвшей тобою страсти — видѣть Элладу... Но ради Меча и Замолксида, нашихъ отеческихъ боговъ, возьми меня, Токсаридъ, будь моимъ руководителемъ и покажи все лучшее въ Аѳинахъ...

ΑΛΕΞΑΝΔΡΟΣ Η ΨΕΥΔΟΜΑΝΤΙΣ.

57. Καταθέμενος δὲ ἡμᾶς ἐν Αἰγιαλοῖς ...[ὁ κυβερνήτης] ὀπίσω ἀπήλαυνεν. ἔνθα ἐγὼ παραπλέοντας εὑρὼν Βοσποριανούς τινας πρέσβεις παρ' Εὐπάτορος τοῦ βασιλέως ἐς τὴν Βιθυνίαν ἀπιόντας ἐπὶ κομιδῇ τῆς ἐπετείου συντάξεως καὶ διηγησάμενος αὐτοῖς τὸν περιστάντα ἡμᾶς κίνδυνον καὶ δεξιῶν αὐτῶν τυχὼν ἀναληφθεὶς ἐς τὸ πλοῖον διασώζομαι ἐς τὴν Ἀμαστριν...

АЛЕКСАНДРЪ ИЛИ ЛЖЕПРОРОКЪ.

Высадивъ насъ въ Эгіалахъ [1]),... *кормчій* отправился въ обратный путь. Здѣсь я встрѣтилъ проѣзжавшихъ Воспорскихъ пословъ, отправлявшихся отъ царя Евпатора [2]) въ Виѳинію съ установленной ежегодной данью, объяснилъ имъ угрожавшую намъ опасность и, благодаря ихъ любезности, былъ принятъ на корабль и благополучно пріѣхалъ въ Амастриду...

---

1) Мѣстечко въ Пафлагоніи.

2) Царствовалъ отъ 154 до 170 г. по Р. Хр. Сочиненіе Лукіана написано уже послѣ 180 г.

Digitized by Google

ΖΕΥΣ ΤΡΑΓΩΙΔΟΣ.

42... ἄλλοι ἄλλα νομίζουσι, Σκύθαι μὲν ἀκινάκῃ θύοντες καὶ Θρᾷκες Ζαμόλξιδι...

ЗЕВСЪ-ТРАГИКЪ.

...Разные *народы* имѣютъ разныя вѣрованія: Скиѳы приносятъ жертвы мечу, Ѳракійцы—Замолксиду...

ΙΚΑΡΟΜΕΝΙΠΠΟΣ Η ΥΠΕΡΝΕΦΕΛΟΣ.

16. ...Καὶ ὅτε μὲν ἐς τὴν Γετικὴν ἀποβλέψαιμι, πολεμοῦντας ἂν ἑώρων τοὺς Γέτας· ὅτε δὲ μεταβαίην ἐπὶ τοὺς Σκύθας, πλανωμένους ἐπὶ τῶν ἁμαξῶν ἦν ἰδεῖν...

ИКАРОМЕНИППЪ ИЛИ ЗАОБЛАЧНЫЙ.

...Обращая взоры на Гетскую землю, а[1]) всякій разъ видѣлъ Гетовъ воюющими, переходя же отъ нихъ къ Скиѳамъ, можно было видѣть ихъ переѣзжающими на повозкахъ...

ΑΝΑΧΑΡΣΙΣ Η ΠΕΡΙ ΓΥΜΝΑΣΙΩΝ.

6. ΣΟΛΩΝ. Καὶ εἰκότως, ὦ Ἀνάχαρσι, τοιαῦτά σοι τὰ γιγνόμενα φαίνεται ξένα γε ὄντα καὶ πάμπολυ τῶν Σκυθικῶν ἐθῶν ἀπᾴδοντα, καθάπερ καὶ ὑμῖν πολλὰ εἰκὸς εἶναι μαθήματα καὶ ἐπιτηδεύματα τοῖς Ἕλλησιν ἡμῖν ἀλλόκοτα εἶναι δόξαντα ἄν, εἴ τις ἡμῶν ὥσπερ σὺ νῦν ἐπισταίη αὐτοῖς.

АНАХАРСИДЪ ИЛИ О ГИМНАСІЯХЪ.

СОЛОНЪ. Совершенно естественно, Анахарсидъ, что такого рода занятія [т. е. гимнастическія] кажутся тебѣ чуждыми и далеко не похожими на скиѳскіе обычаи, все равно какъ и у васъ, должно быть, есть много предметовъ обученія и занятій, которыя показались бы странными намъ, Эллинамъ, если бы кто нибудь изъ насъ присутствовалъ при нихъ, какъ ты теперь *присутствуешь при нашихъ занятіяхъ*.

---

11. ΑΝΑΧ. ...παρ' ἡμῖν δὲ τοῖς Σκύθαις ἤν τις, ὦ Σόλων, ἢ πατάξῃ τινὰ τῶν πολιτῶν ἢ ἀνατρέψῃ προσπεσὼν ἢ θαἰμάτια περιρρήξῃ, μεγάλας οἱ πρεσβῦται τὰς ζημίας ἐπάγουσι κἂν ἐπ' ὀλίγων τῶν μαρτύρων τοῦτο πάθῃ τις, οὔτι γε ἐν τηλικούτοις θεάτροις, οἷα σὺ διηγῇ τὸ Ἰσθμοῖ καὶ τὸ ἐν Ὀλυμπίᾳ.

АНАХ. ...А у насъ, Скиѳовъ, если кто ударитъ кого-либо изъ равныхъ или, напавши, повалитъ на землю или разорветъ платье, то старѣйшины налагаютъ за это большія наказанія, даже если обида будетъ нанесена при немногихъ свидѣтеляхъ, а не при такомъ множествѣ зрителей, какое, по твоимъ словамъ, бываетъ на Исѳмѣ и въ Олимпіи.

---

14. ...ΑΝΑΧ. Καὶ μήν, ὦ Σόλων, κατ' οὐδὲν ἄλλο ἀπὸ τῆς Σκυθίας ἥκω παρ' ὑμᾶς τοσαύτην μὲν γῆν διοδεύσας, μέγαν δὲ τὸν Εὔξεινον καὶ δυσχείμερον περαιωθείς, ἢ ὅπως νόμους τε τῶν Ἑλλήνων ἐκμάθοιμι καὶ ἔθη τὰ παρ' ὑμῖν κατανοήσαιμι...

...АНАХ. Однако, Солонъ, я прибылъ къ вамъ изъ Скиѳіи, проѣхавъ такое пространство суши и переправившись чрезъ обширный и бурный Евксинскій *Понтъ*, именно съ тою цѣлью, чтобы изучить эллинскіе законы и познакомиться съ вашими обычаями...

---

1) Менипп разсказываетъ о томъ, что онъ видѣлъ на землѣ во время своего воздушнаго путешествія.

Digitized by Google

16. ΑΝΑΧ. ...Ἄλλως τε... οὐδὲ τὸν ἥλιον ἔτι ῥᾳδίως ἀνέχομαι ὀξὺν καὶ φλογώδη ἐμπίπτοντα γυμνῇ τῇ κεφαλῇ· τὸν γὰρ πῖλόν μοι ἀφελεῖν οἴκοθεν ἔδοξεν, ὡς μὴ μόνος ἐν ὑμῖν ξενίζοιμι τῷ σχήματι.

АНАХ. ...Кромѣ того, я не могу уже выносить знойныхъ и пламенныхъ лучей солнца, падающихъ на обнаженную голову: свою шляпу я рѣшилъ снять дома, чтобы не казаться одному среди васъ иностранцемъ по внѣшнему виду.

---

18. ΑΝΑΧ. ...Πόθεν ἂν ἐγὼ νομὰς καὶ πλάνης ἄνθρωπος, ἐφ' ἁμάξης βεβιωκώς, ἄλλοτε ἄλλην γῆν ἀμείβων, πόλιν δὲ οὔτε οἰκήσας πώποτε οὔτε ἄλλοτε ἢ νῦν ἑωρακώς, περὶ πολιτείας διεξίοιμι καὶ διδάσκοιμι αὐτόχθονας ἄνδρας πόλιν ταύτην ἀρχαιοτάτην τοσούτοις ἤδη χρόνοις ἐν εὐνομίᾳ κατῳκηκότας;...

АНАХ....Откуда бы мнѣ, блуждающему кочевнику, жившему на повозкѣ и переѣзжавшему изъ одной земли въ другую, а въ городѣ никогда не жившему и даже донынѣ его не видавшему, разсуждать о государственномъ устройствѣ и учить осѣдлыхъ жителей, уже столько времени благоустроенно живущихъ въ этомъ древнѣйшемъ городѣ?...

---

34. ΣΟΛ. ...ὑμεῖς δὲ συγγνωστοὶ ἐν ὅπλοις ἀεὶ βιοῦντες· τό τε γὰρ ἐν ἀφράκτῳ οἰκεῖν ῥᾴδιον ἐς ἐπιβουλήν, καὶ οἱ πολέμιοι μάλα πολλοί, καὶ ἄδηλον ὁπότε τις ἐπιστὰς κοιμώμενον κατασπάσας ἀπὸ τῆς ἁμάξης φονεύσειεν· ἥ τε πρὸς ἀλλήλους ἀπιστία, αὐθαιρέτως καὶ μὴ ἐν νόμῳ ξυμπολιτευομένων, ἀναγκαῖον ἀεὶ τὸν σίδηρον ποιεῖ, ὡς πλησίον εἶναι ἀμυνοῦντα, εἴ τις βιάζοιτο...

СОЛ. ...Вамъ простительно жить постоянно съ оружіемъ: жизнь въ открытыхъ мѣстахъ легко допускаетъ злоумышленія, а враговъ у васъ очень много, и неизвѣстно, когда кто нибудь, напавши, стащитъ спящаго съ повозки и убьетъ; затѣмъ недовѣріе другъ къ другу людей, живущихъ по своему произволу, а не по законамъ, также дѣлаетъ постоянно необходимымъ оружіе, чтобы близокъ былъ защитникъ въ случаѣ насилія...

ΠΕΡΙ ΠΕΝΘΟΥΣ.

21. ...ὁ μὲν Ἕλλην ἔκαυσε [τοὺς νεκρούς]... ὁ δὲ Σκύθης κατεσθίει...

О ПЕЧАЛИ ПО УМЕРШИМЪ.

...Эллинъ сожигаетъ своихъ покойниковъ, ...а Скиѳъ съѣдаетъ *ихъ*...

ΜΑΚΡΟΒΙΟΙ.

10. ...Ἀτέας δὲ Σκυθῶν βασιλεὺς μαχόμενος πρὸς Φίλιππον περὶ τὸν Ἴστρον ποταμὸν ἔπεσεν ὑπὲρ τὰ ἐνενήκοντα ἔτη γεγονώς.

17... Ἀσανδρος δὲ ὁ ὑπὸ τοῦ θεοῦ σεβαστοῦ ἀντὶ ἐθνάρχου βασιλεὺς ἀναγορευθεὶς Βοσπόρου περὶ ἔτη ὧν ἐνενήκοντα ἱππομάχων καὶ πεζομάχων οὐδενὸς ἥττων ἐφάνη· ὡς δὲ ἑώρα τοὺς ὑπὸ τῇ μάχῃ Σκριβωνίῳ προστιθεμένους, ἀποσχόμενος σιτίων ἐτελεύτησε βιοὺς ἔτη τρία καὶ ἐνενήκοντα.

ДОЛГОВѢЧНЫЕ.

...Скиѳскій царь Атей, сражаясь съ Филиппомъ у рѣки Истра, палъ, имѣя болѣе 90 лѣтъ отъ роду.

...Асандръ, получившій отъ бога Августа вмѣсто титула народоначальника титулъ царя Воспорскаго, въ 90-лѣтнемъ возрастѣ никому не уступалъ въ конной и пѣшей битвѣ; когда же увидѣлъ переходившихъ во время битвы на сторону Скрибонія, то, воздержавшись отъ пищи, умеръ, проживъ 93 года [1]).

---

1) De Asandro cf. Inscr. ant. orae sept. Ponti Euxini ed. *Latyschev*, vol. II praef. p. XXXV sq.; *V. Voigtius*, De Asandro Bospori rege. Кіевъ 1894.

Digitized by Google

ΣΥΜΠΟΣΙΟΝ Η ΛΑΠΙΘΑΙ.

13... Καὶ τὸ ἀπὸ τούτου περιιὼν ἐν κύκλῳ ὁ Ἀλκιδάμας ἐδείπνει ὥσπερ οἱ Σκύθαι πρὸς τὴν ἀφθονωτέραν νομὴν μετεξανιστάμενος καὶ τοῖς περιφέρουσι τὰ ὄψα συμπερινοστῶν...

ПИРЪ ИЛИ ЛАПИѲЫ.

...И послѣ этого Алкидамантъ [1]), обходя вокругъ *стола*, обѣдалъ, подобно Скиѳамъ переселяясь на болѣе обильныя пастбища и путешествуя вмѣстѣ со *слугами*, обносившими кушанья...

ΘΕΩΝ ΕΚΚΛΗΣΙΑ.

9 ... τοιγαροῦν οἱ Σκύθαι καὶ οἱ Γέται... μακρὰ ἡμῖν χαίρειν εἰπόντες αὐτοὶ ἀπαθανατίζουσι καὶ θεοὺς χειροτονοῦσιν οὓς ἂν ἐθελήσωσι, τὸν αὐτὸν τρόπον ὅνπερ καὶ Ζάμολξις δοῦλος ὢν παρενεγράφη οὐκ οἶδ' ὅπως διαλαθών.

ВѢЧЕ БОГОВЪ.

...Поэтому-то Скиѳы и Геты,... не обращая на насъ никакого вниманія, сами раздаютъ безсмертіе и выбираютъ въ боги, кого захотятъ, тѣмъ же самымъ способомъ, какимъ и рабъ Замолксидъ какъ-то тайкомъ приписался къ числу боговъ.

ΤΟΞΑΡΙΣ Η ΦΙΛΙΑ.

ТОКСАРИДЪ ИЛИ ДРУЖБА.

Переводъ П. И. Прозорова.

1. ΜΝΗΣΙΠΠΟΣ. Τί φής, ὦ Τόξαρι; θύετε Ὀρέστῃ καὶ Πυλάδῃ ὑμεῖς οἱ Σκύθαι καὶ θεοὺς εἶναι πεπιστεύκατε αὐτούς;

ΤΟΞΑΡΙΣ. Θύομεν, ὦ Μνήσιππε, θύομεν, οὐ μὴν θεούς γε οἰόμενοι εἶναι, ἀλλὰ ἄνδρας ἀγαθούς.

ΜΝΗΣ. Νόμος δὲ ὑμῖν καὶ ἀνδράσιν ἀγαθοῖς ἀποθανοῦσι θύειν ὥσπερ θεοῖς;

ΤΟΞ. Οὐ μόνον, ἀλλὰ καὶ ἑορταῖς καὶ πανηγύρεσι τιμῶμεν αὐτούς.

ΜΝΗΣ. Τί θηρώμενοι παρ' αὐτῶν; οὐ γὰρ δὴ ἐπ' εὐμενείᾳ θύετε αὐτοῖς, νεκροῖς γε οὖσιν.

ΤΟΞ. Οὐ χεῖρον μὲν ἴσως, εἰ καὶ οἱ νεκροὶ ἡμῖν εὐμενεῖς εἶεν· οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς ζῶντας ἄμεινον οἰόμεθα πράξειν μεμνημένοι τῶν ἀρίστων καὶ τιμῶμεν ἀποθανόντας· ἡγούμεθα γὰρ οὕτως ἂν ἡμῖν πολλοὺς ὁμοίους αὐτοῖς ἐθελῆσαι γενέσθαι.

1. МНИСИППЪ. Что говоришь ты, Токсаридъ? Вы, Скиѳы, приносите жертвы Оресту и Пиладу и считаете ихъ богами?

ТОКСАРИДЪ. Приносимъ, Мнисиппъ, приносимъ, но вовсе не считаемъ ихъ богами, а *просто* хорошими людьми.

МН. *Значитъ*, у васъ есть обычай и хорошимъ людямъ послѣ ихъ смерти приносить жертвы, какъ богамъ?

ТОКС. Не только *это*, но мы даже чтимъ ихъ праздниками и торжественными собраніями.

МН. Чего же вы ищете отъ нихъ? Вѣдь, конечно, вы приносите имъ жертвы не ради *снисканія* ихъ благосклонности, разъ они мертвы?

ТОКС. Быть можетъ, не худо *было бы*, если бы и покойники были къ намъ благосклонны. Но мы полагаемъ, что и для живыхъ полезнѣе будетъ, если мы будемъ помнить о лучшихъ людяхъ, и *потому* чтимъ умершихъ: мы думаемъ, что въ такомъ случаѣ многіе захотятъ у насъ сравняться съ ними.

---

1) Циникъ, явившійся безъ зова на описываемый пиръ.

Digitized by Google

2. ΜΝΗΣ. Ἀλλὰ ταῦτα μὲν ὀρθῶς γιγνώσκετε. Ὀρέστην δὲ καὶ Πυλάδην τίνος μάλιστα θαυμάσαντες ἰσοθέους ἐποιήσασθε, καὶ ταῦτα ἐπήλυδας ὑμῖν ὄντας, καὶ τὸ μέγιστον πολεμίους; οἵ γε, ἐπεὶ σφᾶς ναυαγίᾳ περιπεσόντας οἱ τότε Σκύθαι συλλαβόντες ἀπήγαγον ὡς τῇ Ἀρτέμιδι καταθύσοντες, ἐπιθέμενοι τοῖς δεσμοφύλαξι καὶ τῆς φρουρᾶς ἐπικρατήσαντες τόν τε βασιλέα κτείνουσι καὶ τὴν ἱέρειαν παραλαβόντες, ἀλλὰ καὶ τὴν Ἄρτεμιν αὐτὴν ἀποσυλήσαντες ᾤχοντο ἀποπλέοντες, καταγελάσαντες τοῦ κοινοῦ τῶν Σκυθῶν. ὥστε εἰ διὰ ταῦτα τιμᾶτε τοὺς ἄνδρας, οὐκ ἂν φθάνοιτε πολλοὺς ὁμοίους αὐτοῖς ἐξεργασάμενοι. καὶ τοὐντεῦθεν αὐτοὶ ἤδη πρὸς τὰ παλαιὰ σκοπεῖτε, εἰ καλῶς ἔχει ὑμῖν πολλοὺς εἰς τὴν Σκυθίαν Ὀρέστας καὶ Πυλάδας καταίρειν. ἐμοὶ μὲν γὰρ δοκεῖτε τάχιστα ἂν οὕτως ἀσεβεῖς αὐτοὶ καὶ ἄθεοι γενέσθαι τῶν περιλοίπων θεῶν τὸν αὐτὸν τρόπον ὑμῖν ἐκ τῆς χώρας ἀποξενωθέντων· εἶτ', οἶμαι, ἀντὶ τῶν θεῶν ἁπάντων τοὺς ἐπ' ἐξαγωγῇ αὐτῶν ἥκοντας ἄνδρας ἐκθειάσετε καὶ ἱεροσύλοις ὑμῶν θύσετε ὡς θεοῖς. 3. εἰ γὰρ μὴ ἀντὶ τούτων Ὀρέστην καὶ Πυλάδην τιμᾶτε, ἀλλ' εἰπέ, τί ἄλλο, ὦ Τόξαρι, ἀγαθὸν ὑμᾶς εἰργάσαντο, ἀνθ' ὅτου, πάλαι οὐ θεοὺς εἶναι δικαιώσαντες αὐτούς, νῦν τὸ ἔμπαλιν θύσαντες αὐτοῖς θεοὺς νενομίκατε καὶ ἱερείοις ὀλίγου δεῖν τότε γενομένοις ἱερεῖα νῦν προσάγετε; γελοῖα γὰρ ἂν ταῦτα δόξειε καὶ ὑπεναντία τοῖς πάλαι.

2. МН. Этотъ взглядъ совершенно правиленъ. Но за что же именно вы приравняли къ богамъ Ореста и Пилада, тѣмъ болѣе, что для васъ они пришельцы и, что всего важнѣе, *даже* враги? Вѣдь когда тогдашніе Скиѳы послѣ крушенія корабля схватили ихъ и отвели для принесенія въ жертву Артемидѣ, они, напавъ на тюремщиковъ и одолѣвъ стражу, убили царя, захватили жрицу и, похитивъ даже самую Артеміду, отплыли назадъ, насмѣявшись надъ скиѳскою общиною; если вы за это почитаете ихъ, то, пожалуй, многихъ заставите подражать имъ. Обратитесь теперь сами къ древнему времени и разсудите, хорошо ли будетъ для васъ, если въ Скиѳію придетъ много Орестовъ и Пиладовъ? Мнѣ кажется, что такимъ образомъ вы сами очень скоро можете сдѣлаться нечестивцами и безбожниками, если и остальные боги такимъ же способомъ удалятся изъ вашей страны. Затѣмъ, вѣроятно, вмѣсто всѣхъ боговъ вы обоготворите людей, являющихся съ тѣмъ, чтобы ихъ вывезти, и святотатцевъ будете чтить жертвами, какъ боговъ. (3) Если же вы не за это чтите Ореста и Пилада, то скажи-же, Токсаридъ, какое другое добро сдѣлали они вамъ, за которое вы, прежде не считавшіе ихъ богами, теперь, напротивъ, принесеніемъ жертвъ признали богами и приводите жертвенныхъ животныхъ къ тѣмъ, которые тогда сами чуть не были принесены въ жертву? Вѣдь это можетъ показаться смѣшнымъ и противнымъ старинѣ.

ΤΟΞ. Καὶ ταῦτα μέν, ὦ Μνήσιππε, γενναῖα τῶν ἀνδρῶν ἐκείνων, ἃ κατέλεξας. τὸ γὰρ δύο ὄντας οὕτω μέγα τόλμημα τολμῆσαι καὶ τοσοῦτον ἀπὸ τῆς αὑτῶν ἀπάραντας ἐκπλεῦσαι εἰς τὸν Πόντον ἀπείρατον ἔτι τοῖς Ἕλλησιν ὄντα πλὴν μόνων τῶν ἐπὶ τῆς Ἀργοῦς ἐς τὴν Κολχίδα στρατευσάντων, μὴ καταπλαγέντας μήτε τοὺς μύθους τοὺς ἐπ' αὐτῷ μήτε τὴν προσηγορίαν καταδείσαντας, ὅτι ἄξενος ἐκαλεῖτο, οἷα, οἶμαι, ἀγρίων ἐθνῶν περιοικούντων, καὶ ἐπειδὴ ἐάλωσαν, οὕτως ἀνδρείως χρήσασθαι τῷ πράγματι καὶ μὴ ἀγαπῆσαι εἰ διαφεύξονται μόνον, ἀλλὰ τιμωρησαμένους τὸν βασιλέα τῆς ὕβρεως καὶ τὴν Ἄρτεμιν ἀναλαβόντας ἀποπλεῦσαι, πῶς ταῦτα οὐ θαυμαστὰ καὶ θείας τινὸς τιμῆς ἄξια παρὰ πάντων, ὁπόσοι ἀρετὴν ἐπαινοῦσιν; ἀτὰρ οὐ

ТОКС. Даже и тѣ *дѣянія* этихъ мужей, которыя ты привелъ, Мнисиппъ, заслуживаютъ похвалы. Въ самомъ дѣлѣ, они вдвоемъ рѣшились на такое смѣлое предпріятіе и, удалившись на такое разстояніе отъ своей *страны*, приплыли въ Понтъ, который тогда былъ еще неизвѣстенъ Елинамъ, кромѣ тѣхъ, которые на *кораблѣ* Арго совершили походъ въ Колхиду; они не были поражены страшными разсказами о немъ, не испугались его прозванія — онъ назывался «Негостепріимнымъ» вѣроятно потому, что кругомъ его жили дикія племена — и, будучи захвачены, оказались столь мужественными и не удовольствовались только своимъ спасеніемъ, но сначала отмстили царю за оскорбленіе и захватили Артеміду, а затѣмъ уже поплыли назадъ.

Digitized by Google

ταῦτα ἡμεῖς Ὀρέστῃ καὶ Πυλάδῃ ἐνιδόντες ὕρωσιν αὐτοῖς χρώμεθα.

4. ΜΝΗΣ. Λέγοις ἂν ἤδη ὅ τι τὸ σεμνὸν καὶ θεῖον ἄλλο ἐξειργάσαντο. ἐπεὶ ὅσον ἐπὶ τῷ πλῷ καὶ τῇ ἀποδημίᾳ πολλοὺς ἂν σοι θειοτέρους ἐκείνων ἀποδείξαιμι τοὺς ἐμπόρους, καὶ μάλιστα τοὺς Φοίνικας αὐτῶν, οὐκ ἐς τὸν Πόντον οὐδὲ ἄχρι τῆς Μαιώτιδος καὶ τοῦ Βοσπόρου μόνον ἐσπλέοντας, ἀλλὰ πανταχοῦ τῆς Ἑλληνικῆς καὶ βαρβαρικῆς θαλάττης ναυτιλλομένους· ἅπασαν γὰρ οὗτοι ἀκτὴν καὶ πάντα αἰγιαλόν, ὡς εἰπεῖν, διερευνησάμενοι καθ' ἕκαστον ἔτος ὀψὲ τοῦ μετοπώρου εἰς τὴν αὐτῶν ἐπανίασιν. οὓς κατὰ τὸν αὐτὸν λόγον θεοὺς νόμιζε, καὶ ταῦτα καπήλους καὶ ταριχοπώλας, εἰ τύχοι, τοὺς πολλοὺς αὐτῶν ὄντας.

5. ΤΟΞ. Ἄκουε δή, ὦ θαυμάσιε, καὶ σκόπει καθ' ὅσον ἡμεῖς οἱ βάρβαροι εὐγνωμονέστερον ὑμῶν περὶ τῶν ἀγαθῶν ἀνδρῶν κρίνομεν, εἴ γε ἐν Ἄργει μὲν καὶ Μυκήναις οὐδὲ τάφον ἔνδοξόν ἐστιν ἰδεῖν Ὀρέστου ἢ Πυλάδου, παρ' ἡμῖν δὲ καὶ νεὼς ἀποδέδεικται αὐτοῖς ἅμα ἀμφοτέροις, ὥσπερ εἰκὸς ἦν, ἑταίροις γε οὖσι, καὶ θυσίαι προσάγονται καὶ ἡ ἄλλη τιμὴ ἅπασα· κωλύει τε οὐδέν, ὅτι ξένοι ἦσαν, ἀλλὰ μὴ Σκύθαι, ἀγαθοὺς κεκρίσθαι· οὐ γὰρ ἐξετάζομεν ὅθεν οἱ καλοὶ καὶ ἀγαθοί εἰσιν, οὐδὲ φθονοῦμεν, εἰ μὴ φίλοι ὄντες ἀγαθὰ εἰργάσαντο, ἐπαινοῦντες δὲ ἃ ἔπραξαν, οἰκείους αὐτοὺς ἀπὸ τῶν ἔργων ποιούμεθα. ὃ δὲ δὴ μάλιστα καταπλαγέντες τῶν ἀνδρῶν ἐκείνων ἐπαινοῦμεν, τοῦτό ἐστιν, ὅτι ἡμῖν ἔδοξαν φίλοι οὗτοι δὴ ἄριστοι ἁπάντων γεγενῆσθαι καὶ τοῖς ἄλλοις νομοθέται καταστῆναι, ὡς χρὴ τοῖς φίλοις ἁπάσης τῆς τύχης κοινωνεῖν καὶ ὑπὸ Σκυθῶν τῶν ἀρίστων θεραπεύεσθαι. 6. καὶ ἃ γε μετ' ἀλλήλων ἢ ὑπὲρ ἀλλήλων ἔπαθον, ἀναγράψαντες οἱ πρόγονοι ἡμῶν ἐπὶ στήλης χαλκῆς ἀνέθεσαν εἰς τὸ Ὀρέστειον καὶ νόμον ἐποιήσαντο, πρῶτον τοῦτο μάθημα καὶ παίδευμα τοῖς παισὶ τοῖς σφετέροις εἶναι τὴν στήλην ταύτην καὶ τὰ ἐπ' αὐτῆς γεγραμμένα διαμνημονεῦσαι. θᾶττον γοῦν τοὔνομα ἕκαστος ἂν αὐτῶν ἐπιλάθοιτο τοῦ πατρὸς ἢ τὰς Ὀρέστου καὶ Πυλάδου πράξεις ἀγνοήσειεν· ἀλλὰ καὶ ἐν τῷ περιβόλῳ τοῦ νεὼ τὰ αὐτὰ

1 Развѣ все это не заслуживаетъ удивленія и божескихъ почестей у всѣхъ, кто только прославляетъ доблесть? Однако мы не эти подвиги Ореста и Пилада имѣемъ въ виду, почитая ихъ какъ героевъ.

4. МН. Такъ скажи же, пожалуйста, какой другой славный и божественный подвигъ совершили они? Что *касается* плаванія и путешествія, то я могъ бы указать тебѣ многихъ торговыхъ людей, имѣющихъ больше права на божескія почести, чѣмъ они, и главнымъ образомъ Финикіянъ, которые ѣздятъ не только въ Понтъ или до Меотиды и Воспора, но плаваютъ по всѣмъ мѣстамъ эллинскаго и варварскаго моря. Вѣдь они ежегодно позднею осенью возвращаются домой, обрыскавши, такъ сказать, всѣ берега и всѣ побережья. Считай же и ихъ богами на томъ же основаніи, несмотря на то, что большая часть ихъ — торгаши и, при случаѣ, продавцы соленой рыбы.

5. ТОКС. Выслушай же, чудакъ, и посмотри, насколько мы, варвары, умнѣе судимъ о хорошихъ людяхъ: *у васъ* въ Аргосѣ и въ Микинахъ нельзя увидѣть даже славной гробницы Ореста или Пилада, а у насъ построенъ даже храмъ имъ обоимъ вмѣстѣ, какъ это и слѣдовало, потому что они были товарищи; *у насъ* приносятся имъ жертвы и воздаются всѣ прочія почести. А *то обстоятельство*, что они были чужеземцы, а не Скиѳы, нисколько не мѣшаетъ имъ считаться славными; вѣдь мы не изслѣдуемъ, откуда происходятъ доблестные люди, и не завидуемъ, если они сдѣлали добро, не будучи *нашими* друзьями; воздавая хвалу ихъ дѣяніямъ, мы считаемъ ихъ своими по дѣламъ. А всего болѣе поразило насъ и считается достохвальнымъ въ этихъ мужахъ именно то, что, по нашему мнѣнію, они были самыми лучшими въ мірѣ друзьями и какъ бы установили прочимъ *людямъ* законы о томъ, какъ слѣдуетъ дѣлить съ друзьями всякую участь и пользоваться почетомъ со стороны лучшихъ изъ Скиѳовъ. (6) Наши предки записали на мѣдной доскѣ все, что они совершили вмѣстѣ или одинъ ради другого, поставили ее въ храмѣ Ореста и установили законъ, чтобы эта доска была первымъ предметомъ изученія для ихъ дѣтей и чтобы они выучивали на память написанное на ней. Такимъ образомъ каж-

Digitized by Google

ὁπόσα ἡ στήλη δηλοῖ, γραφαῖς ὑπὸ τῶν παλαιῶν εἰκασμένα δείκνυται, πλέων Ὀρέστης ἅμα τῷ φίλῳ, εἶτα ἐν τοῖς κρημνοῖς διαφθαρείσης αὐτῷ τῆς νεὼς συνειλημμένος καὶ πρὸς τὴν θυσίαν παρεσκευασμένος, καὶ ἡ Ἰφιγένεια ἤδη κατάρχεται αὐτῶν· καταντικρὺ δὲ ἐπὶ τοῦ ἑτέρου τοίχου ἤδη ἐκδεδυκὼς τὰ δεσμὰ γέγραπται καὶ φονεύων τὸν Θόαντα καὶ πολλοὺς ἄλλους τῶν Σκυθῶν, καὶ τέλος ἀποπλέοντες, ἔχοντες τὴν Ἰφιγένειαν καὶ τὴν θεόν· οἱ Σκύθαι δὲ ἄλλως ἐπιλαμβάνονται τοῦ σκάφους ἤδη πλέοντος ἐκκρεμαννύμενοι τῶν πηδαλίων καὶ ἐπαναβαίνειν πειρώμενοι, εἶτ' οὐδὲν ἀνύσαντες οἱ μὲν αὐτῶν τραυματίαι, οἱ δὲ καὶ δέει τούτου ἀπονήχονται πρὸς τὴν γῆν. ἔνθα δὴ καὶ μάλιστα ἴδοι τις ἂν ὁπόσην ὑπὲρ ἀλλήλων εὔνοιαν ἐπεδείκνυντο, ἐν τῇ πρὸς τοὺς Σκύθας συμπλοκῇ. πεποίηκε γὰρ ὁ γραφεὺς ἑκάτερον ἀμελοῦντα μὲν τῶν καθ' ἑαυτὸν πολεμίων, ἀμυνόμενον δὲ τοὺς ἐπιφερομένους θατέρῳ καὶ πρὸ ἐκείνου ἀπαντᾶν πειρώμενον τοῖς τοξεύμασι καὶ παρ' οὐδὲν τιθέμενον, εἰ ἀποθανεῖται σώσας τὸν φίλον, καὶ τὴν ἐπ' ἐκεῖνον φερομένην πληγὴν προαρπάσας τῷ ἑαυτοῦ σώματι. 7... καὶ γὰρ οὖν καὶ τόδε ὅπως εἰδῇς, οὐδὲν Σκύθαι φιλίας μεῖζον οἴονται εἶναι, οὐδὲ ἔστιν ἐφ' ὅτῳ ἄν τις Σκύθης μᾶλλον σεμνύναιτο ἢ ἐπὶ τῷ συμπονῆσαι φίλῳ ἀνδρὶ καὶ κοινωνῆσαι τῶν δεινῶν, ὥσπερ οὐδὲν ὄνειδος μεῖζον παρ' ἡμῖν τοῦ προδότην φιλίας γεγενῆσθαι δοκεῖν. διὰ ταῦτα Ὀρέστην καὶ Πυλάδην τιμῶμεν, ἀρίστους γενομένους τὰ Σκυθῶν ἀγαθὰ καὶ ἐν φιλίᾳ διενεγκόντας, ὃ πρῶτον ἡμεῖς ἁπάντων θαυμάζομεν, καὶ τοὔνομα ἐπὶ τούτοις αὐτοῖν ἐθέμεθα, Κοράκους καλεῖσθαι, τοῦτο δέ ἐστιν ἐν τῇ ἡμετέρᾳ φωνῇ ὥσπερ ἂν εἴ τις λέγοι, φίλιοι δαίμονες.

8. ΜΝΗΣ. Ὦ Τόξαρι, οὐ μόνον ἄρα τοξεύειν ἀγαθοὶ ἦσαν Σκύθαι καὶ τὰ πολεμικὰ τῶν ἄλλων ἀμείνους, ἀλλὰ καὶ ῥῆσιν εἰπεῖν ἁπάντων πιθανώτατοι. ἐμοὶ γοῦν τέως ἄλλως γιγνώσκοντι ἤδη καὶ αὐτῷ δίκαια ποιεῖν δοκεῖτε οὗτως Ὀρέστην καὶ Πυλάδην ἐκθειάσαντες. ἐλελήθεις δέ με, ὦ γενναῖε, καὶ γραφεὺς ἀγαθὸς ὤν. πάνυ γοῦν

дый изъ нихъ скорѣе могъ бы забыть имя своего отца, чѣмъ не знать дѣянія Ореста и Пилада. Кромѣ того, въ оградѣ храма можно видѣть нарисованныя древними картины, изображающія тоже самое, что написано на доскѣ: какъ Орестъ плыветъ со своимъ другомъ; какъ затѣмъ, когда его корабль разбился о скалы, онъ схваченъ и приготовленъ къ жертвоприношенію, и какъ Ифигенія приступаетъ уже къ священнодѣйствію; напротивъ, на другой стѣнѣ нарисовано, какъ *Орестъ*, освободившись уже отъ оковъ, убиваетъ Ѳоанта и многихъ другихъ Скиѳовъ и, наконецъ, какъ они отплываютъ съ Ифигеніею и богинею; Скиѳы тщетно хватаются за находящійся уже въ движеніи корабль, цѣпляются за руль и пытаются взобраться *на палубу*; но послѣ напрасныхъ усилій одни изъ нихъ израненные, другіе изъ боязни ранъ вплавь направляются къ землѣ. Здѣсь то именно лучше всего можно видѣть, какую великую любовь обнаружили они другъ къ другу при столкновеніи съ Скиѳами: живописецъ изобразилъ, что ни тотъ ни другой не обращаетъ вниманія на враговъ, нападающихъ на него самого, а отражаетъ устремляющихся на друга, старается подставить себя подъ стрѣлы впереди его и пренебрегаетъ опасностью умереть, лишь бы спасти друга и собственнымъ тѣломъ принять предназначаемые другу удары. (7)... Итакъ знай, что Скиѳы не знаютъ ничего выше дружбы, что Скиѳъ ничѣмъ такъ не гордится, какъ участіемъ въ трудахъ и опасностяхъ друга, а равно и нѣтъ у насъ бо́льшаго позора, какъ показаться измѣнникомъ въ дружбѣ. Поэтому-то мы и чтимъ Ореста и Пилада, оказавшихся лучшими въ *томъ*, *что* у Скиѳовъ *считается* благомъ, и отличившихся дружбою, *т. е.* тѣмъ, что мы ставимъ выше всего; за это мы дали имъ названіе Кораковъ, что въ переводѣ на вашъ языкъ приблизительно значитъ «божества—покровители дружбы».

8. МН. Слѣдовательно, Токсаридъ, Скиѳы были не только искусными стрѣлками и превосходили другихъ въ военномъ дѣлѣ, но кромѣ того отличаются наибольшимъ умѣніемъ говорить убѣдительно: по крайней мѣрѣ и мнѣ, до сихъ поръ думавшему иначе, самому теперь кажется, что вы вполнѣ справедливо воздаете Оресту и

Digitized by Google

ἐναργῶς ἐπέδειξας ἡμῖν τὰς ἐν τῷ Ὀρεστείῳ εἰκόνας καὶ τὴν μάχην τῶν ἀνδρῶν καὶ τὰ ὑπὲρ ἀλλήλων τραύματα. πλὴν ἀλλ' οὐκ ἠήθην ἄν ποτε οὕτω περισπούδαστον εἶναι φιλίαν ἐν Σκύθαις· ἅτε γὰρ ἀξένους καὶ ἀγρίους ὄντας αὐτοὺς ἔχθρᾳ μὲν ἀεὶ συνεῖναι καὶ ὀργῇ καὶ θυμῷ, φιλίαν δὲ μηδὲ πρὸς τοὺς οἰκειοτάτους ἐπαναιρεῖσθαι, τεκμαιρόμενος τοῖς τε ἄλλοις ἃ περὶ αὐτῶν ἀκούομεν, καὶ ὅτι κατεσθίουσι τοὺς πατέρας ἀποθανόντας.

Пиладу божескія почести. Не зналъ я также, другъ мой, что ты прекрасный художникъ: ты очень живо изобразилъ намъ находящіяся въ храмѣ Ореста картины, борьбу и раны, полученныя однимъ ради другого. Я только никогда не думалъ, что у Скиѳовъ такъ высоко цѣнится дружба, потому что на основаніи какъ остальныхъ слуховъ о нихъ, такъ и того, что они поѣдаютъ своихъ умершихъ родителей, я предполагалъ, что они, какъ люди негостепріимные и дикіе, постоянно пребываютъ во враждѣ, гнѣвѣ и распряхъ, а дружбы у нихъ не бываетъ даже между самыми близкими людьми.

9. ΤΟΞ. Εἰ μὲν καὶ τὰ ἄλλα ἡμεῖς τῶν Ἑλλήνων καὶ δικαιότεροι τὰ πρὸς τοὺς γονέας καὶ ὁσιώτεροι ἐσμέν, οὐκ ἂν ἐν τῷ παρόντι φιλοτιμηθείην πρὸς σέ· ὅτι δὲ οἱ φίλοι Σκύθαι πολὺ πιστότεροι τῶν Ἑλλήνων φίλων εἰσὶ καὶ ὅτι πλείων φιλίας λόγος παρ' ὑμῖν, ῥᾴδιον ἐπιδεῖξαι... ὅσῳ γὰρ δὴ λειπόμεθα ἐν τοῖς περὶ φιλίας λόγοις, τοσούτῳ ἐν τοῖς ἔργοις αὐτῆς πλεονεκτοῦμεν. 10. εἴ γ' οὖν δοκεῖ, οὕτω νῦν ποιῶμεν, τοὺς μὲν παλαιοὺς φίλους ἀτρεμεῖν ἐάσωμεν, εἴ τινας ἢ ἡμεῖς ἢ ὑμεῖς τῶν πάλαι καταριθμεῖν ἔχομεν—ἐπεὶ κατά γε τοῦτο πλεονεκτοῖτε ἂν πολλοὺς καὶ ἀξιοπίστους μάρτυρας τοὺς ποιητὰς παρεχόμενοι,... ὀλίγους δέ τινας προχειρισάμενοι τῶν καθ' ἡμᾶς αὐτοὺς καὶ τὰ ἔργα αὐτῶν διηγησάμενοι... ἐγὼ μὲν τὰ Σκυθικά, σὺ δὲ τὰ Ἑλληνικά, καὶ ὁπότερος ἂν ἐν τούτοις κρατῇ καὶ ἀμείνους παράσχηται τοὺς φίλους, αὐτός τε νενικηκὼς ἔσται καὶ τὴν αὐτοῦ ἀνακηρύξει κάλλιστον ἀγῶνα καὶ σεμνότατον ἀγωνισάμενος· ὡς ἔγωγε πολὺ ἥδιον ἄν μοι δοκῶ μονομαχῶν ἡττηθεὶς ἀποτμηθῆναι τὴν δεξιάν, ὅπερ τῆς Σκυθικῆς ἐπιτίμιόν ἐστιν, ἢ χείρων ἄλλου κατὰ φιλίαν κεκρίσθαι, καὶ ταῦτα Ἕλληνος Σκύθης αὐτὸς ὤν.

9. ТОКС. Я не стану спорить теперь съ тобою о томъ, превосходимъ ли мы Эллиновъ справедливостью и почтеніемъ къ родителямъ; но что скиѳскіе друзья гораздо вѣрнѣе эллинскихъ и что дружба имѣетъ больше почета у насъ, чѣмъ у васъ, — это легко доказать... Насколько мы уступаемъ *вамъ* въ разсужденіяхъ о дружбѣ, настолько превосходимъ въ требуемыхъ ею обязанностяхъ. (10) Поэтому, если *тебѣ* угодно, сдѣлаемъ теперь такимъ образомъ: древнихъ друзей, какихъ намъ или вамъ можно было бы указать въ старыя *времена*, оставимъ въ покоѣ, такъ какъ въ этомъ отношеніи вы, пожалуй, одержите верхъ, выставивъ много достойныхъ довѣрія свидѣтелей въ лицѣ поэтовъ,... а выберемъ на удачу по нѣсколько человѣкъ изъ нашихъ современниковъ, разскажемъ ихъ дѣянія, я — скиѳскія, а ты — эллинскія, и кто изъ насъ одержитъ въ этомъ верхъ и укажетъ лучшихъ друзей, тотъ и самъ будетъ побѣдителемъ и свою *страну* провозгласитъ *побѣдительницею* по окончаніи прекраснѣйшаго и почетнѣйшаго состязанія; я, кажется, гораздо охотнѣе согласился бы потерпѣть пораженіе на поединкѣ и дать на отсѣченіе правую руку (что служитъ у Скиѳовъ наказаніемъ), чѣмъ быть признаннымъ относительно дружбы ниже другого, а тѣмъ болѣе Эллина, будучи самъ Скиѳомъ.

[11 — 34. Собесѣдники рѣшаютъ, чтобы каждый разсказалъ по пяти подвиговъ дружбы. Первымъ разсказываетъ Мнисиппъ подвиги Эллиновъ].

35. ΤΟΞ. ...πλὴν ἄρξομαί γε ἤδη μηδὲν ὥσπερ σὺ καλλιλογησάμενος· οὐ γὰρ Σκυ-

35. ТОКСАРИДЪ... Итакъ я начну сейчасъ же, нисколько не заботясь подобно

Digitized by Google

θικὸν τοῦτο, καὶ μάλιστα ἐπειδὰν τὰ ἔργα ὑπερφθέγγηται τοὺς λόγους...

36. ἐγὼ δέ σοι διηγήσομαι φόνους πολλοὺς καὶ πολέμους καὶ θανάτους ὑπὲρ τῶν φίλων, ἵν' εἰδῇς ὡς παιδιὰ τὰ ὑμέτερά ἐστι παρὰ τὰ Σκυθικὰ ἐξετάζεσθαι... παρ' ἡμῖν δὲ συνεχεῖς οἱ πόλεμοι, καὶ ἢ ἐπελαύνομεν ἄλλοις ἢ ὑποχωροῦμεν ἐπιόντας ἢ συμπεσόντες ὑπὲρ νομῆς ἢ λείας μαχόμεθα, ἔνθα μάλιστα δεῖ φίλων ἀγαθῶν· καὶ διὰ τοῦτο ὡς βεβαιότατα συντιθέμεθα τὰς φιλίας, μόνον τοῦτο ὅπλον ἄμαχον καὶ δυσπολέμητον εἶναι νομίζοντες.

тебѣ объ изяществѣ выраженій: это не въ обычаѣ Скиѳовъ, особенно когда дѣла говорятъ громче рѣчей...

36. Я разскажу тебѣ о многихъ убійствахъ, войнахъ и *смучаяхъ* смерти за друзей, чтобы ты зналъ, какъ ничтожны ваши подвиги въ сравненіи съ скиѳскими... У насъ ведутся постоянныя войны, мы или сами нападаемъ на другихъ, или выдерживаемъ нападенія, или вступаемъ въ схватки изъ-за пастбищъ и добычи; а тутъ-то именно и нужны хорошіе друзья. Поэтому мы заключаемъ самую крѣпкую дружбу, считая ее единственнымъ непобѣдимымъ и несокрушимымъ оружіемъ.

37. Πρότερον δέ σοι εἰπεῖν βούλομαι ὃν τρόπον ποιούμεθα τοὺς φίλους, οὐκ ἐκ τῶν πότων, ὥσπερ ὑμεῖς, οὐδ' εἰ συνέφηβός τις ἢ γείτων ἦν, ἀλλ' ἐπειδάν τινα ἴδωμεν ἀγαθὸν ἄνδρα καὶ μεγάλα ἐργάσασθαι δυνάμενον, ἐπὶ τοῦτον ἅπαντες σπεύδομεν, καὶ ὅπερ ὑμεῖς ἐν τοῖς γάμοις, τοῦτο ἡμεῖς ἐπὶ τῶν φίλων ποιεῖν ἀξιοῦμεν, ἐπὶ πολὺ μνηστευόμενοι καὶ πάντα ὁμοῦ πράττοντες, ὡς μὴ διαμαρτάνοιμεν τῆς φιλίας μηδὲ ἀπόβλητοι δόξωμεν εἶναι. κἀπειδὰν προκριθείς τις ἤδη φίλος ᾖ, συνθῆκαι τὸ ἀπὸ τούτου καὶ ὅρκος ὁ μέγιστος, ἢ μὴν καὶ βιώσεσθαι μετ' ἀλλήλων καὶ ἀποθανεῖσθαι, ἢν δέῃ, ὑπὲρ τοῦ ἑτέρου τὸν ἕτερον· καὶ οὕτω ποιοῦμεν. ἀφ' οὗ γὰρ ἂν ἐντεμόντες ἅπαξ τοὺς δακτύλους ἐνσταλάξωμεν τὸ αἷμα εἰς κύλικα καὶ τὰ ξίφη ἄκρα βάψαντες ἅμα ἀμφότεροι ἐπισχόμενοι πίωμεν, οὐκ ἔστιν ὅ τι τὸ μετὰ τοῦτο ἡμᾶς διαλύσειεν ἄν. ἐφεῖται δὲ τὸ μέγιστον ἄχρι τριῶν ἐς τὰς συνθήκας εἰσιέναι· ὡς ὅστις ἂν πολύφιλος ᾖ, ὅμοιος ἡμῖν δοκεῖ ταῖς κοιναῖς ταύταις καὶ μοιχευομέναις γυναιξί· καὶ οἰόμεθα οὐκέθ' ὁμοίως ἰσχυρὰν αὐτοῦ τὴν φιλίαν εἶναι πρὸς πολλὰς εὐνοίας διαιρεθεῖσαν.

37. Сначала я хочу разсказать тебѣ, какимъ образомъ мы пріобрѣтаемъ себѣ друзей: не на пирушкахъ, какъ вы, и не потому, что *извѣстное лицо является* нашимъ ровесникомъ или сосѣдомъ; но, увидѣвъ какого нибудь человѣка хорошаго и способнаго на великіе *подвиги*, мы всѣ устремляемся къ нему и то, что вы *дѣлаете* при бракахъ, мы дѣлаемъ при пріобрѣтеніи друзей: усердно сватаемся за него и во всемъ дѣйствуемъ вмѣстѣ, чтобы не ошибиться въ дружбѣ или не показаться неспособными къ ней. И когда какой нибудь избранникъ сдѣлается *уже* другомъ, тогда *заключается* договоръ съ великою клятвою въ томъ, что они и жить будутъ вмѣстѣ и въ случаѣ надобности умрутъ одинъ за другого. И мы, *дѣйствительно*, такъ и поступаемъ; съ того времени, какъ мы, надрѣзавъ пальцы, накапаемъ крови въ чашу и, омочивъ въ ней концы мечей, отвѣдаемъ *этой крови*, взявшись вмѣстѣ *за чашу*, ничто уже не можетъ разлучить насъ. Въ союзы дозволяется вступать, самое большее, тремъ *лицамъ*, потому что кто имѣетъ много друзей, тотъ кажется намъ похожимъ на публичныхъ блудницъ, и мы думаемъ, что дружба такого *человѣка*, раздѣленная между многими, уже не можетъ быть столь прочною.

38. ἄρξομαι δὲ ἀπὸ τῶν Δανδάμιδος πρώην γενομένων· ὁ γὰρ Δάνδαμις ἐν τῇ πρὸς Σαυρομάτας συμπλοκῇ, ἀπαχθέντος αἰχμαλώτου Ἀμιζώκου τοῦ φίλου αὐτοῦ — μᾶλλον δὲ πρότερον ὁμοῦμαί σοι τὸν ὅρκον τὸν ἡμέτερον, ἐπεὶ καὶ τοῦτο ἐν ἀρχῇ διωμολογησάμην· οὐ μὰ γὰρ τὸν Ἄνεμον καὶ

38. Я начну съ недавнихъ *подвиговъ* Дандамида. Именно Дандамидъ, когда другъ его Амизокъ въ схваткѣ съ Савроматами былъ уведенъ въ плѣнъ... впрочемъ, сначала я поклянусь тебѣ нашей клятвой, такъ какъ я условился объ этомъ въ началѣ. Итакъ клянусь Вѣтромъ и Ме-

Digitized by Google

ЗАПИСКИ

ИМПЕРАТОРСКАГО

РУССКАГО АРХЕОЛОГИЧЕСКАГО ОБЩЕСТВА.

ТОМЪ XI.

ВЫПУСКИ ТРЕТІЙ и ЧЕТВЕРТЫЙ.

НОВАЯ СЕРІЯ.

ТРУДЫ

ОТДѢЛЕНІЯ АРХЕОЛОГІИ

ДРЕВНЕ-КЛАССИЧЕСКОЙ, ВИЗАНТІЙСКОЙ И ЗАПАДНО-ЕВРОПЕЙСКОЙ.

КНИГА ЧЕТВЕРТАЯ.

СЪ КАРТОЙ.

САНКТПЕТЕРБУРГЪ.

ТИПОГРАФІЯ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.

(Вас. Остр., 9 лин., № 12).

1900.

Printed in Russia.

Digitized by Google

Изданія Императорскаго Русскаго Археологическаго Общества.

Записки Имп. Русск. Арх. Общ. Т. XI (ост. нѣтъ въ продажѣ). 3 р. — к.

Извѣстія Имп. Русск. Арх. Общ. Тт. III, IV, VII, VIII — по 3 р.; IX и X по 15 р. (Тт. I, II, V и VI нѣтъ въ продажѣ). ..... 42 » — »

Записки Имп. Русск. Арх. Общества. Новая серія, т. I—2 р. 50 к., т. II — 3 р., т. III — 4 р., т. IV — 4 р., т. V — 5 р., т. VI — 4 р., т. VII — 4 р., т. VIII — 4 р., т. IX — 4 р., т. X — 4 р. ..... 38 » 50 »

Труды Восточнаго Отдѣленія. Т. XI — 2 р. 50 к., т. XIII — 2 р. 50 к., т. XIV — 3 р., т. XVI — 2 р., т. XVII — 2 р. 50 к., т. XX — 3 р., т. XXI — 3 р., т. XXII — 3 р. (остальныхъ нѣтъ въ продажѣ). 21 » 50 »

Записки Восточнаго Отдѣленія. Т. I — 4 р., т. II — 4 р., т. III — 4 р., т. IV — 4 р., т. V — 4 р., т. VI — 4 р., т. VII — 4 р., т. VIII — 4 р., т. IX — 4 р., т. X — 4 р., т. XI — 4 р. ..... 44 » — »

Записки Отдѣленія Русской и Славянской Археологіи. Т. III — 2 р. 50 к., т. IV — 4 р. (Тт. I и II въ продажѣ нѣтъ) ..... 6 » 50 »

Древности Россійскаго Государства. Кіево-Софійскій соборъ. Вып. I — III — 18 р. и IV — 12 р. ..... 30 » — »

Сказанія о св. Борисѣ и Глѣбѣ. Facsimile съ Сильвестровскаго списка XVI вѣка, съ предисл. **И. И. Срезневскаго.** ..... 6 » — »

Памятники церковныхъ древностей въ Нижегородской губ., архим. **Макарія.** ..... 3 » — »

Описаніе Новгородскаго Софійскаго собора, сост. прот. **П. И. Соловьевымъ.** Съ указателемъ **П. И. Савваитова.** ..... 1 » 50 »

Описаніе европейскихъ монетъ X, XI и XII вв., найденныхъ въ Россіи. **Б. В. Кене.** ..... 1 » — »

Жизнь и труды П. С. Савельева. **В. В. Григорьева.** ..... 2 » — »

Каталогъ русскимъ медалямъ и монетамъ, хранящимся въ музеѣ Имп. Русск. Арх. Общ. **Д. И. Прозоровскаго,** изд. 2-е. ..... 1 » — »

Словарь джагатайско-турецкій. **В. В. Вельяминова-Зернова.** ... 2 » — »

Записка для обозрѣнія русскихъ древностей. ..... — » 20 »

О древнихъ христіанскихъ надписяхъ въ Аѳинахъ. **Архим. Антонина.** ..... 1 » 50 »

Труды 2-го Археологическаго съѣзда, съ атласомъ ..... 5 » — »

Археологическіе труды **А. Н. Оленина.** Т. I — 4 р. 50 к., т. II — 2 р. ..... 6 » 50 »

Digitized by Google

ЗАПИСКИ

ИМПЕРАТОРСКАГО

РУССКАГО АРХЕОЛОГИЧЕСКАГО ОБЩЕСТВА.

ТОМЪ XI.

ВЫПУСКИ ТРЕТІЙ и ЧЕТВЕРТЫЙ.

НОВАЯ СЕРІЯ.

ТРУДЫ

ОТДѢЛЕНІЯ АРХЕОЛОГІИ

ДРЕВНЕ-КЛАССИЧЕСКОЙ, ВИЗАНТІЙСКОЙ И ЗАПАДНО-ЕВРОПЕЙСКОЙ.

КНИГА ЧЕТВЕРТАЯ.

СЪ КАРТОЙ.

САНКТПЕТЕРБУРГЪ.

ТИПОГРАФІЯ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.

(Вас. Остр., 9 лин., № 12).

1900.

Digitized by Google

Напечатано по распоряженію Императорскаго Русскаго Археологическаго Общества.
Секретарь *В. Дружинин*ъ.

Digitized by Google

SCYTHICA ET CAUCASICA

E VETERIBUS SCRIPTORIBUS GRAECIS ET LATINIS

COLLEGIT ET CUM VERSIONE ROSSICA EDIDIT

BASILIUS LATYSCHEV.

VOL. I. **SCRIPTORES GRAECI.** FASC. 3.

ИЗВѢСТІЯ

ДРЕВНИХЪ ПИСАТЕЛЕЙ

ГРЕЧЕСКИХЪ И ЛАТИНСКИХЪ

О СКИѲІИ И КАВКАЗѢ.

СОБРАЛЪ И ИЗДАЛЪ СЪ РУССКИМЪ ПЕРЕВОДОМЪ

В. В. ЛАТЫШЕВЪ.

ТОМЪ I. ГРЕЧЕСКІЕ ПИСАТЕЛИ.

ВЫПУСКЪ 3-Й.

САНКТПЕТЕРБУРГЪ.

ТИПОГРАФІЯ ИМПЕРАТОРСКОЙ АКАДЕМІИ НАУКЪ.

Вас. Остр., 9 лин., № 12.

1900.

Digitized by Google

Digitized by Google

τὸν Ἀκινάκην οὐδὲν πρὸς σέ, ὦ Μνήσιππε, ψεῦδος ἐρῶ περὶ τῶν φίλων τῶν Σκυθικῶν.

ΜΝΗΣ. Ἐγὼ μὲν οὐ πάνυ σου ὀμνύοντος ἐδεόμην· σὺ δὲ ὅμως εὖ ποιῶν οὐδένα τῶν θεῶν ἐπωμόσω.

ΤΟΞ. Τί σὺ λέγεις; οὐ σοι δοκοῦσιν ὁ Ἄνεμος καὶ ὁ Ἀκινάκης θεοὶ εἶναι; οὕτως ἄρα ἠγνόησας ὅτι ἀνθρώποις μεῖζον οὐδὲν ἐστι ζωῆς τε καὶ θανάτου; ὁπόταν τοίνυν τὸν Ἄνεμον καὶ τὸν Ἀκινάκην ὀμνύωμεν, ταῦτα ὀμνύομεν ὡς τὸν μὲν Ἄνεμον ζωῆς αἴτιον ὄντα, τὸν Ἀκινάκην δὲ ὅτι ἀποθνήσκειν ποιεῖ.

ΜΝΗΣ. Καὶ μὴν εἰ διά γε τοῦτο, καὶ ἄλλους ἂν ἔχοιτε πολλοὺς οἷος ὁ Ἀκινάκης ἐστί, τὸν οἰστὸν καὶ τὴν λόγχην καὶ κώνειον δὲ καὶ βρόχον καὶ τὰ τοιαῦτα· ποικίλος γὰρ οὗτος ὁ θεὸς ὁ θάνατος καὶ ἀπείρους τὰς ἐφ' ἑαυτὸν παρέχεται ἀγούσας ὁδούς.

ΤΟΞ. Ὁρᾷς τοῦτο ὡς ἐριστικὸν ποιεῖς καὶ δικανικὸν ὑποκρούων μεταξὺ καὶ διαφθείρων μου τὸν λόγον; ἐγὼ δὲ ἡσυχίαν ἦγον σοῦ λέγοντος.

ΜΝΗΣ. Ἀλλ' οὐκ αὖθίς γε, ὦ Τόξαρι, ποιήσω τοῦτο, πάνυ γὰρ ὀρθῶς ἐπετίμησας· ὥστε θαρρῶν τό γε ἐπὶ τούτῳ λέγε, ὡς μηδὲ παρόντος ἐμοῦ τοῖς λόγοις, οὕτω σιωπήσομαί σοι.

39. ΤΟΞ. Τετάρτη μὲν ἦν ἡμέρα τῆς φιλίας Δανδάμιδι καὶ Ἀμιζώκῃ, ἀφ' οὗ τὸ ἀλλήλων αἷμα συνεπεπώκεσαν· ἧκον δὲ ἡμῖν ἐπὶ τὴν χώραν Σαυρομάται μυρίοις μὲν ἱππεῦσιν, οἱ πεζοὶ δὲ τρὶς τοσοῦτοι ἐπεληλυθέναι ἐλέγοντο. οἷα δὲ οὐ προϊδομένοις τὴν ἔφοδον αὐτῶν ἐπεισπεσόντες ἅπαντας μὲν τρέπουσι, πολλοὺς δὲ τῶν μαχίμων κτείνουσι, τοὺς δὲ καὶ ζῶντας ἀπάγουσι, πλὴν εἴ τις ἔφθη διανηξάμενος εἰς τὸ πέραν τοῦ ποταμοῦ, ἔνθα ἡμῖν τὸ ἥμισυ τοῦ στρατοπέδου καὶ μέρος τῶν ἁμαξῶν ἦν· οὕτω γὰρ ἐσκηνώσαμεν τότε, οὐκ οἶδα ὅ τι δόξαν τοῖς ἀρχιπλάνοις ἡμῶν, ἐπ' ἀμφοτέρας τὰς ὄχθας τοῦ Τανάϊδος. εὐθὺς οὖν ἥ τε λεία περιηλαύνετο καὶ τὰ αἰχμάλωτα συνείχετο καὶ τὰς σκηνὰς διήρπαζον καὶ τὰς ἁμάξας κατελαμβάνοντο, αὐτάνδρους τὰς πλείστας ἁλισκομένας, καὶ ἐν ὀφθαλμοῖς ἡμῶν ὑβρίζοντες τὰς παλλακίδας καὶ τὰς γυναῖκας· ἡμεῖς δὲ ἠνιώμεθα τῷ πράγματι.

40. ὁ δὲ Ἀμιζώκης ἀγόμενος — ἐαλώκει γάρ — ἐβόα τὸν φίλον ὀνομαστὶ κακῶς δεδεμένος καὶ ὑπεμίμνησκε τοῦ αἵματος καὶ

чемъ, что не скажу тебѣ, Мнисиппъ, ничего ложнаго о скиескихъ друзьяхъ.

МН. Въ твоей клятвѣ я не очень нуждался; впрочемъ, ты хорошо сдѣлалъ, что не поклялся ни однимъ изъ боговъ.

ТОКС. Что ты говоришь? Развѣ Вѣтеръ и Мечъ, по твоему, не боги? стало быть ты не знаешь, что для людей вѣтъ ничего выше жизни и смерти? Поэтому, когда мы клянемся Вѣтромъ и Мечемъ, то клянемся именно потому, что Вѣтеръ есть виновникъ жизни, а Мечъ причиняетъ смерть.

МНИС. Если таковы причины *клятвы*, то у васъ наберется, пожалуй, немало и другихъ такихъ боговъ, какъ Мечъ, напр. стрѣла, копье, цикута, петля и т. п.; вѣдь этотъ богъ — смерть — многообразенъ и представляетъ безчисленное множество путей, ведущихъ къ нему.

ТОКС. Видишь, къ какимъ подьяческимъ уловкамъ прибѣгаешь ты, перебивая и искажая мои слова; а *тогда* я хранилъ молчаніе во время твоей рѣчи.

МНИС. Я больше не сдѣлаю этого, Токсаридъ: ты вполнѣ основательно упрекнулъ меня; поэтому продолжай спокойно говорить, какъ будто бы меня и не было при *твоихъ* рѣчахъ,—такъ я буду молчать.

39. ТОКС. Шелъ четвертый день дружбы Дандамида и Амизока съ тѣхъ поръ, какъ они выпили крови одинъ другого. *Вдругъ* напали на нашу землю Савроматы *въ числѣ* 10000 всадниковъ, а пѣшихъ, говорятъ, явилось втрое больше этого. А такъ какъ ихъ нападеніе было не предвидѣно, то они всѣхъ обращаютъ въ бѣгство, многихъ храбрецовъ убиваютъ, другихъ уводятъ живыми, кромѣ тѣхъ, кому удалось спастись вплавь на другую сторону рѣки, гдѣ у насъ была половина войска и часть телѣгъ: такъ стояли мы тогда, не знаю вслѣдствіе какого плана нашихъ вождей, на обоихъ берегахъ Таиапда. И вотъ сейчасъ-же стали они угонять добычу, хватать плѣнныхъ, грабить палатки, захватывать телѣги, большая часть которыхъ попала въ ихъ руки вмѣстѣ съ людьми, стали на нашихъ глазахъ позорить нашихъ наложницъ и женъ, а мы горевали *при видѣ этихъ* бѣдствій.

40. Когда повели Амизока, также попавшаго въ плѣнъ, то онъ, будучи крѣпко связанъ, сталъ громко звать по имени

KNIGA DEC 19 1932

Digitized by Google

τῆς κύλικος. ὧν ἀκούσας ὁ Δάνδαμις οὐδὲν ἔτι μελλήσας ἁπάντων ὁρώντων διανήχεται εἰς τοὺς πολεμίους· καὶ οἱ μὲν Σαυρομάται διηρμένοι τοὺς ἄκοντας ὥρμησαν ἐπ' αὐτὸν ὡς κατακεντήσοντες, ὁ δὲ ἐβόα τὸ Ζίριν· τοῦτο δὲ ἦν τις εἴπῃ, οὐκέτι φονεύεται ὑπ' αὐτῶν, ἀλλὰ δέχονται αὐτὸν ὡς ἐπὶ λύτροις ἥκοντα. καὶ δὴ ἀναχθεὶς πρὸς τὸν ἄρχοντα αὐτῶν ἀπῄτει τὸν φίλον, ὁ δὲ λύτρα ᾔτει· μὴ γὰρ προήσεσθαι, εἰ μὴ μεγάλα ὑπὲρ αὐτοῦ λάβοι· ὁ Δάνδαμις δέ, Ἃ μὲν εἶχον, φησίν, ἅπαντα διήρπασται ὑφ' ὑμῶν, εἰ δέ τι δύναμαι γυμνὸς ὑποτελέσαι, ἕτοιμος ὑποστῆναι ὑμῖν, καὶ πρόσταττε ὅ τι ἂν θέλῃς· εἰ βούλει δέ, ἐμὲ ἀντὶ τούτου λαβὼν κατάχρησαι πρὸς ὅ τι σοι φίλον. ὁ δὲ Σαυρομάτης, Οὐδέν, ἔφη, δεῖ ὅλον κατέχεσθαί σε καὶ ταῦτα Ζίριν ἥκοντα, σὺ δὲ ὧν ἔχεις μέρος καταβαλὼν ἄγου τὸν φίλον. ἤρετο ὁ Δάνδαμις ὅ τι καὶ βούλεται λαβεῖν· ὁ δὲ τοὺς ὀφθαλμοὺς ᾔτησεν. ὁ δὲ αὐτίκα παρέσχεν ἐκκόπτειν αὐτούς· κἀπειδὴ ἐξεκέκοπτο καὶ ἤδη τὰ λύτρα εἶχον οἱ Σαυρομάται, παραλαβὼν τὸν Ἀμιζώκην ἐπανῄει ἐπερειδόμενος αὐτῷ, καὶ ἅμα διανηξάμενοι ἀπεσώθησαν πρὸς ἡμᾶς.

своего друга, напоминая ему о крови и чашѣ. Услышавъ это, Дандамидъ немедленно на глазахъ всѣхъ переплываетъ къ непріятелямъ; Савроматы съ поднятыми дротиками бросились, чтобы пронзить его; но онъ закричалъ «Зиринъ», а кто произнесетъ это слово, того они не убиваютъ, но принимаютъ какъ пришедшаго для выкупа. И вотъ, будучи приведенъ къ ихъ начальнику, онъ сталъ просить выдачи друга, а тотъ требовалъ выкупа и *сказалъ*, что не отпуститъ *Амизока*, если не получитъ за него большого *выкупа*. Дандамидъ отвѣтилъ ему: «все, что у меня было, разграблено вами; но если я, обобранный до нага, могу уплатить что либо, то я готовъ вамъ подчиниться; приказывай, что хочешь; а если желаешь, возьми меня вмѣсто него и дѣлай со мной, что тебѣ угодно». Савроматъ отвѣтилъ ему: «нѣтъ нужды удерживать всего тебя, тѣмъ болѣе, что ты пришелъ *со словомъ* «Зиринъ»; поэтому уплати намъ часть того, что у тебя есть, и уводи *съ собой* друга». Дандамидъ спросилъ, что-же *онъ* хочетъ получить, а тотъ потребовалъ *его* глазъ. Дандамидъ тотчасъ-же позволилъ выколоть ихъ; когда они были выколоты и Савроматы *такимъ образомъ* получили уже выкупъ, тогда онъ взялъ Амизока и пошелъ назадъ, опираясь на него; переплывъ вмѣстѣ рѣку, они безпрепятственно возвратились къ намъ.

41. τοῦτο γενόμενον παρεμυθήσατο ἅπαντας Σκύθας καὶ οὐκέτι ἡττᾶσθαι ἐνόμιζον ὁρῶντες ὅτι τὸ μέγιστον ἡμῖν τῶν ἀγαθῶν οὐκ ἀπήγαγον οἱ πολέμιοι, ἀλλ' ὅτι ἦν παρ' ἡμῖν ἡ ἀγαθὴ γνώμη καὶ ἡ πρὸς τοὺς φίλους πίστις. καὶ τοὺς Σαυρομάτας δὲ τὸ αὐτὸ οὐ μετρίως ἐφόβησε λογιζομένους πρὸς οἵους ἄνδρας ἐκ παρασκευῆς μαχοῦνται, εἰ καὶ ἐν τῷ ἀπροσδοκήτῳ τότε ὑπερέσχον· ὥστε νυκτὸς ἐπιγενομένης ἀπολιπόντες τὰ πλεῖστα τῶν βοσκημάτων καὶ τὰς ἁμάξας ἐμπρήσαντες ᾤχοντο φεύγοντες. ὁ μέντοι Ἀμιζώκης οὐκέτι ἠνέσχετο βλέπειν αὐτὸς ἐπὶ τυφλῷ τῷ Δανδάμιδι, ἀλλὰ τυφλώσας καὶ αὐτὸς ἑαυτὸν ἀμφότεροι κάθηνται ὑπὸ τοῦ κοινοῦ τῶν Σκυθῶν δημοσίᾳ μετὰ πάσης τιμῆς τρεφόμενοι. 42...

41. Это происшествіе ободрило всѣхъ Скиѳовъ и они перестали считать себя побѣжденными, видя, что непріятели не отняли величайшаго изъ нашихъ благъ, что у насъ оставался еще благородный образъ мыслей и вѣрность къ друзьямъ. Въ то же время оно сильно напугало Савроматовъ при мысли о томъ, съ какими людьми придется имъ сражаться въ правильномъ бою, хотя они тогда и одолѣли при неожиданномъ нападеніи; поэтому съ наступленіемъ ночи они, покинувъ бо́льшую часть скота и предавъ огню телѣги, быстро отступили. Однако Амизокъ не захотѣлъ долѣе оставаться зрячимъ при слѣпотѣ Дандамида и ослѣпилъ самого себя; они оба живутъ спокойно и со всякими почестями получаютъ пропитаніе отъ скиѳской общины. 42...

43. ἄκουε δ' οὖν καὶ ἄλλον ἰσότιμον, Βελίτταν Ἀμιζώκου τούτου ἀνεψιόν· ὃς ἐπεὶ κατασπασθέντα ἐκ τοῦ ἵππου ὑπὸ λέοντος

43. Выслушай *теперь* и о другомъ не менѣе достойномъ *лицѣ*, Велиттѣ, родственникѣ этого Амизока. Когда онъ увидѣлъ,

Digitized by Google

εἶδε Βάσθην τὸν φίλον — ἅμα δὲ ἔτυχον θηρῶντες — καὶ ἤδη ὁ λέων περιπλακεὶς αὐτῷ ἐνεπεφύκει τῷ λαιμῷ καὶ τοῖς ὄνυξιν ἐσπάραττε, καταπηδήσας καὶ αὐτὸς ἐπιπίπτει κατόπιν τῷ θηρίῳ καὶ περιέσπα, πρὸς ἑαυτὸν παροξύνων καὶ μετάγων καὶ διὰ τῶν ὀδόντων μεταξὺ διείρων τοὺς δακτύλους καὶ τὸν Βάσθην, ὡς οἷόν τε ἦν, ὑπεξελεῖν πειρώμενος τοῦ δήγματος. ἄχρι δὴ ὁ λέων ἀφεὶς ἐκεῖνον ἡμιθνῆτα ἤδη ἐπὶ τὸν Βελίτταν ἀπεστράφη καὶ συμπλακεὶς ἀπέκτεινε κἀκεῖνον· ὁ δὲ ἀποθνήσκων τὸ γοῦν τοσοῦτον ἔφθη πατάξας τῷ ἀκινάκῃ τὸν λέοντα εἰς τὸ στέρνον, ὥστε ἅμα πάντες ἀπέθανον, καὶ ἡμεῖς ἐθάψαμεν αὐτοὺς δύο τάφους ἀναχώσαντες πλησίον, ἕνα μὲν τῶν φίλων, ἕνα δὲ καταντικρὺ τοῦ λέοντος.

что левъ стащилъ съ коня его друга Васеа (они вмѣстѣ охотились), уже обхватилъ его, вцѣпился въ горло и терзаетъ когтями, то онъ, также соскочивъ съ коня, напалъ сзади на звѣря и старался отвлечь его *отъ друга*, раздражая его противъ себя, оттаскивая, просовывая пальцы между его зубами и пытаясь, насколько это было возможно, спасти Васеа отъ укушенія; наконецъ левъ, оставивъ послѣдняго уже полумертвымъ, бросился на Велитта, насѣлъ и умертвилъ его; но онъ, умирая, успѣлъ, по крайней мѣрѣ, такъ сильно ударить льва мечемъ въ грудь, что они умерли всѣ вмѣстѣ. Мы похоронили ихъ и насыпали два кургана близко *одинъ къ другому*, одинъ надъ друзьями, а другой, напротивъ *перваго*, надъ львомъ.

44. Τρίτην δέ σοι διηγήσομαι, ὦ Μνήσιππε, τὴν Μακέντου φιλίαν καὶ Λογχάτου καὶ Ἀρσακόμα. ὁ γὰρ Ἀρσακόμας οὗτος ἡράσθη Μαζαίας τῆς Λευκάνορος τοῦ βασιλεύσαντος ἐν Βοσπόρῳ, ὁπότε ἐπρέσβευεν ὑπὲρ τοῦ δασμοῦ, ὃν οἱ Βοσπορανοὶ ἀεὶ φέροντες ἡμῖν τότε ἤδη τρίτον μῆνα ὑπερήμεροι ἐγεγένηντο. ἐν τῷ δείπνῳ οὖν ἰδὼν τὴν Μαζαίαν μεγάλην καὶ καλὴν παρθένον ἦρα καὶ πονήρως εἶχε. τὰ μὲν οὖν περὶ τῶν φόρων διεπέπρακτο ἤδη καὶ ἐχρημάτιζεν αὐτῷ ὁ βασιλεὺς καὶ εἱστία ἤδη αὐτὸν ἀποπέμπων. ἔθος δέ ἐστιν ἐν Βοσπόρῳ τοὺς μνηστῆρας ἐπὶ τῷ δείπνῳ αἰτεῖν τὰς κόρας καὶ λέγειν, οἵτινες ὄντες ἀξιοῦσι καταδεχθῆναι ἐπὶ τὸν γάμον. καὶ δὴ καὶ τότε ἔτυχον ἐν τῷ δείπνῳ πολλοὶ μνηστῆρες παρόντες, βασιλεῖς καὶ βασιλέων παῖδες, καὶ Τιγραπάτης ἦν ὁ Λαζῶν δυνάστης καὶ Ἀδύρμαχος ὁ Μαχλυηνῆς ἄρχων καὶ ἄλλοι πολλοί. δεῖ δὲ τῶν μνηστήρων ἕκαστον προσαγγείλαντα ἑαυτόν, διότι μνηστευσόμενος ἥκει, δειπνεῖν ἐν τοῖς ἄλλοις κατακείμενον ἐφ' ἡσυχίας· ἐπὰν δὲ παύσωνται δειπνοῦντες, αἰτήσαντα φιάλην ἐπισπεῖσαι κατὰ τῆς τραπέζης καὶ μνηστεύεσθαι τὴν παῖδα πολλὰ ἐπαινοῦντα ἑαυτόν, ὡς τις ἢ γένους ἢ πλούτου ἢ δυνάμεως ἔχει.

44. Въ третьихъ я разскажу тебѣ, Миисиппъ, дружбу Макента, Лонхата и Арсакома. Этотъ Арсакомъ влюбился въ Мазаю, дочь Воспорскаго царя Левканора [1]), будучи отправленъ къ нему посломъ по поводу дани, которую постоянно платили намъ Воспоряне, а тогда просрочили почти на три мѣсяца. Увидѣвъ за обѣдомъ Мазаю, высокую и красивую дѣвушку, онъ полюбилъ ее и началъ грустить. Порученіе относительно дани было уже исполнено, царь далъ ему отвѣтъ и уже устроилъ для него прощальный пиръ; а въ Воспорѣ есть обычай, чтобы женихи за обѣдомъ сватались за дѣвушекъ и объявляли, кто они такіе и почему просятъ быть принятыми въ брачное свойство. Такъ и на этомъ обѣдѣ случилось много жениховъ, царей и царевичей: былъ Тигранатъ, властитель Лазовъ, Адирмахъ, правитель земли Махліевъ, и многіе другіе. Каждый изъ жениховъ долженъ объявить, что онъ пріѣхалъ свататься, и потомъ обѣдать, спокойно возлежа среди остальныхъ; по окончаніи же обѣда онъ долженъ потребовать чашу, сдѣлать возліяніе на столъ и свататься за дѣвушку, осыпая себя *при этомъ* похвалами, насколько каждый можетъ похвастать или благородствомъ происхожденія, или богатствомъ, или могуществомъ.

45. πολλῶν οὖν κατὰ τόνδε τὸν νόμον σπεισάντων καὶ αἰτησάντων καὶ βασιλείας

45. Итакъ, когда многіе сдѣлали по этому обычаю возліяніе, попросили *руки*

1) Имена Левканора и упоминаемаго ниже Эвиота, безъ сомнѣнія, вымышлены Лукіаномъ, такъ какъ не встрѣчаются ни въ надписяхъ, ни на монетахъ.

Digitized by Google

καὶ πλούτους καταριθμησαμένων τελευταῖος ὁ Ἀρσακόμας αἰτήσας τὴν φιάλην οὐκ ἔσπεισεν—οὐ γὰρ ἔθος ἡμῖν ἐχεῖν τὸν οἶνον, ἀλλὰ ὕβρις εἶναι δοκεῖ τοῦτο εἰς τὸν θεόν—πιὼν δὲ ἀμυστί, Δός μοι, εἶπεν, ὦ βασιλεῦ, τὴν θυγατέρα σου Μαζαίαν γυναῖκα ἔχειν πολὺ ἐπιτηδειοτέρῳ τούτων ὄντι ὁπόσα γε ἐπὶ τῷ πλούτῳ καὶ τοῖς κτήμασι. τοῦ δὲ Λευκάνορος θαυμάσαντος—ἠπίστατο γὰρ πένητα τὸν Ἀρσακόμαν καὶ Σκυθῶν τῶν πολλῶν—καὶ ἐρομένου, Πόσα δὲ βοσκήματα ἢ πόσας ἁμάξας ἔχεις, ὦ Ἀρσακόμα; ταῦτα γὰρ ὑμεῖς πλουτεῖτε· Ἀλλ' οὐχ ἁμάξας, ἔφη, ἔχω οὐδὲ ἀγέλας, ἀλλ' εἰσί μοι δύο φίλοι καλοὶ καὶ ἀγαθοὶ οἷοι οὐκ ἄλλῳ Σκυθῶν. τότε μὲν οὖν ἐγελάσθη ἐπὶ τούτοις καὶ παρώφθη καὶ μεθύειν ἔδοξεν. ἕωθεν δὲ προκριθεὶς τῶν ἄλλων Ἀδύρμαχος ἔμελλεν ἀπάξειν τὴν νύμφην ἐς τὴν Μαιῶτιν παρὰ τοὺς Μάχλυας.

46. ὁ δὲ Ἀρσακόμας ἐπανελθὼν οἴκαδε μηνύει τοῖς φίλοις ὡς ἀτιμασθείη ὑπὸ τοῦ βασιλέως καὶ γελασθείη ἐν τῷ συμποσίῳ πένης εἶναι δόξας. Καίτοι, ἔφη, ἐγὼ διηγησάμην αὐτῷ τὸν πλοῦτον, ὁπόσος ἐστί μοι, ὑμᾶς, ὦ Λογχάτα καὶ Μακέντα, καὶ τὴν εὔνοιαν τὴν ὑμετέραν πολὺ ἀμείνω καὶ βεβαιοτέραν τῆς Βοσπορανῶν δυνάμεως. ἀλλ' ἐμοῦ ταῦτα διεξιόντος ἡμᾶς μὲν ἐχλεύαζε καὶ κατεφρόνει, Ἀδυρμάχῳ δὲ τῷ Μάχλυϊ παρέδωκεν ἀπάγειν τὴν νύμφην, ὅτι χρυσᾶς τε φιάλας ἐλέγετο ἔχειν δέκα καὶ ἁμάξας τετρακλίνους ὀγδοήκοντα καὶ πρόβατα καὶ βοῦς πολλούς. οὕτως ἄρα προετίμησεν ἀνδρῶν ἀγαθῶν βοσκήματα πολλὰ καὶ ἐκπώματα περίεργα καὶ ἁμάξας βαρείας. Ἐγὼ δέ, ὦ φίλοι, δι' ἀμφότερα ἀνιῶμαι, καὶ γὰρ ἐρῶ τῆς Μαζαίας καὶ ἡ ὕβρις ἐν τοσούτοις ἀνθρώποις οὐ μετρίως μου καθίκετο, οἶμαι δὲ καὶ ὑμᾶς ἐπ' ἴσης ἠδικῆσθαι· τὸ γὰρ τρίτον μετῆν ἑκάστῳ ὑμῶν τῆς ἀτιμίας, εἴ γε οὕτω βιοῦμεν ὡς ἀφ' οὗ συνελήλυθαμεν εἷς ἄνθρωπος ὄντες καὶ τὰ αὐτὰ ἀνιώμενοι καὶ τὰ αὐτὰ χαίροντες. Οὐ μόνον, ἐπεῖπεν ὁ Λογχάτης, ἀλλὰ ἕκαστος ἡμῶν ὅλος ὕβρισται, ὁπότε σὺ τοιαῦτα ἔπαθες.

дѣвицу и перечислили свои царства и богатства, тогда Арсакомъ послѣ всѣхъ потребовалъ чашу, но не сдѣлалъ возліянія,—потому что у насъ не въ обычаѣ выливать вино, а напротивъ это считается кощунствомъ,—выпилъ ее залпомъ и сказалъ: «Царь, отдай мнѣ въ замужество свою дочь Мазэю, потому что я далеко превосхожу этихъ и богатствомъ и владѣніями». Левканоръ, зная, что Арсакомъ бѣденъ и *происходитъ* изъ простыхъ Скиѳовъ, удивился и спросилъ его: «А сколько у тебя, Арсакомъ, стадъ или телѣгъ? вѣдь въ этомъ заключается ваше богатство». — «У меня нѣтъ ни телѣгъ, ни стадъ, отвѣчалъ *Арсакомъ*, но есть два вѣрныхъ и добрыхъ друга, какихъ нѣтъ ни у кого изъ Скиѳовъ». Тутъ подняли его на смѣхъ за эти *слова* и съ презрѣніемъ рѣшили, что онъ пьянъ. Адирмахъ, получившій предпочтеніе передъ прочими *соискателями*, на другое утро долженъ былъ отвезти свою невѣсту въ страну Мэотовъ къ Махліямъ.

46. Между тѣмъ Арсакомъ, возвратившись домой, разсказалъ своимъ друзьямъ, какъ онъ былъ опозоренъ царемъ и осмѣянъ на пиру за то, что показался бѣднякомъ. «А вѣдь я, сказалъ онъ, объяснилъ *ему*, какимъ великимъ богатствомъ обладаю, именно вами, Лонхатъ и Макентъ, и вашею дружбою, которая гораздо лучше и прочнѣе могущества Воспоранъ. Но когда я доказывалъ ему это, онъ издѣвался и смѣялся надъ нами, а невѣсту отдалъ увезти Адирмаху Махлійцу, потому что у него, какъ говорили, есть десять золотыхъ чашъ, восемьдесятъ четырехмѣстныхъ колесницъ, множество овецъ и быковъ. Такимъ образомъ онъ предпочелъ хорошимъ людямъ стада животныхъ, безполезные кубки и тяжелыя колесницы. Я вдвойнѣ опечаленъ, друзья мои,—и потому, что люблю Мазэю, и потому, что обида, *нанесенная* среди стольких людей, глубоко поразила меня; я думаю, что и вы обижены одинаково *со мною*, потому что на долю каждаго изъ васъ приходится третья часть обиды, если только мы со времени нашего союза живемъ какъ одинъ человѣкъ и дѣлимъ какъ горести, такъ и радости». — «Этого мало, возразилъ Лонхатъ: каждый изъ насъ оскорбленъ всецѣло, если тебѣ нанесена такая обида».

Digitized by Google

47. Πῶς οὖν, ὁ Μακέντης ἔφη, χρησόμεθα τοῖς παροῦσι; Διελώμεθα, ἔφη ὁ Λογχάτης, τὸ ἔργον· καὶ ἐγὼ μὲν ὑπισχνοῦμαι Ἀρσακόμᾳ τὴν κεφαλὴν κομιεῖν τοῦ Λευκάνορος, σὲ δὲ χρὴ τὴν νύμφην ἐπανάγειν αὐτῷ. Οὕτω γινέσθω, ἔφη. σὺ δέ, ὦ Ἀρσακόμα, ἐν τοσούτῳ — εἰκὸς γὰρ καὶ στρατιᾶς καὶ πολέμου τὸ μετὰ τοῦτο δεήσειν ἡμᾶς — αὐτοῦ περιμένων συνάγειρε καὶ παρασκεύαζε ὅπλα καὶ ἵππους καὶ τὴν ἄλλην δύναμιν ὡς πλείστην. ῥᾷστα δ' ἂν πολλοὺς προσαγάγοις αὐτός τε ἀγαθὸς ὢν καὶ ἡμῖν οὐκ ὀλίγων ὄντων οἰκείων, μάλιστα δὲ εἰ καθέζοιο ἐπὶ τῆς βύρσης τοῦ βοός. ἔδοξε ταῦτα, καὶ ὁ μὲν ἐχώρει ὡς εἶχεν εὐθὺς ἐπὶ τοῦ Βοσπόρου ὁ Λογχάτης, ὁ Μακέντης δὲ ἐπὶ τοὺς Μάχλυας, ἱππότης ἑκάτερος, ὁ δὲ Ἀρσακόμας οἴκοι μένων τοῖς τε ἡλικιώταις διελέγετο καὶ ὥπλιζε δύναμιν παρὰ τῶν οἰκείων, τέλος δὲ καὶ ἐπὶ τῆς βύρσης ἐκαθέζετο.

48. τὸ δὲ ἔθος ἡμῖν τὸ περὶ τὴν βύρσαν οὕτως ἔχει· ἐπειδάν τις ἀδικηθείς τινος πρὸς ἑτέρου ἀμύνασθαι βουλόμενος ἴδῃ καθ' ἑαυτὸν οὐκ ἀξιόμαχος ὤν, βοῦν ἱερεύσας τὰ μὲν κρέα κατακόψας ἥψησεν, αὐτὸς δὲ ἐκπετάσας χαμαὶ τὴν βύρσαν κάθηται ἐπ' αὐτῆς εἰς τοὐπίσω παραγαγὼν τὼ χεῖρε ὥσπερ οἱ ἐκ τῶν ἀγκώνων δεδεμένοι. καὶ τοῦτό ἐστιν ἡμῖν ἡ μεγίστη ἱκετηρία. παρακειμένων δὲ τῶν κρεῶν τοῦ βοὸς προσιόντες οἱ οἰκεῖοι καὶ τῶν ἄλλων ὁ βουλόμενος μοῖραν ἕκαστος λαβὼν ἐπιβὰς τῇ βύρσῃ τὸν δεξιὸν πόδα ὑπισχνεῖται κατὰ δύναμιν, ὁ μὲν πέντε ἱππέας παρέξειν ἀσίτους καὶ ἀμίσθους, ὁ δὲ δέκα, ὁ δὲ πλείους, ὁ δὲ ὁπλίτας ἢ πεζοὺς ὁπόσους ἂν δύνηται, ὁ δὲ μόνον ἑαυτὸν ὁ πενέστατος. ἀθροίζεται οὖν ἐπὶ τῆς βύρσης πολὺ πλῆθος ἐνίοτε καὶ τοιοῦτον σύνταγμα βεβαιότατόν τέ ἐστι συμμεῖναι καὶ ἀπρόσμαχον τοῖς ἐχθροῖς ἅτε καὶ ἔνορκον ὄν· τὸ γὰρ ἐπιβῆναι τῆς βύρσης ὅρκος ἐστίν. ὁ μὲν οὖν Ἀρσακόμας ἐν τούτοις ἦν. καὶ ἠθροίσθησαν αὐτῷ ἱππεῖς μὲν ἀμφὶ τοὺς πεντακισχιλίους, ὁπλῖται δὲ καὶ πεζοὶ συναμφότεροι δισμύριοι.

49. ὁ δὲ Λογχάτης ἀγνοούμενος παρελθὼν ἐς τὸν Βόσπορον προσέρχεται τῷ βασι-

47. «Итакъ, сказалъ Макентъ, какъ же намъ поступить въ настоящемъ случаѣ?» — «Раздѣлимъ между собою дѣло *мести*, отвѣтилъ Лонхатъ: я обѣщаю Арсакому принести голову Левканора, а ты долженъ возвратить ему невѣсту.» — «Пусть будетъ такъ, сказалъ тотъ: А между тѣмъ ты, Арсакомъ, въ виду того, что послѣ этого намъ, вѣроятно, понадобится войско и придется воевать, останься здѣсь, собирай и заготовляй оружіе, коней и военную силу въ возможно большемъ количествѣ. Тебѣ очень легко будетъ набрать много *войска*, такъ какъ ты и самъ *мужъ* доблестный, да и у насъ не мало родственниковъ, а въ особенности, если ты сядешь на воловью шкуру». Такъ рѣшили они, и Лонхатъ сейчасъ же, какъ былъ, отправился въ Воспору, а Макентъ — къ Махліямъ, оба верхомъ; Арсакомъ же, оставшись дома, сталъ подговаривать сверстниковъ, вооружать войско, *составляемое* изъ родственниковъ, а наконецъ сѣлъ и на шкуру.

48. Обычай *садиться* на шкуру заключается у насъ въ слѣдующемъ: если кто-нибудь, потерпѣвъ отъ другого обиду, захочетъ отмстить *за нее*, но увидитъ, что онъ самъ по себѣ недостаточно силенъ *для этого*, то онъ приноситъ въ жертву быка, разрѣзываетъ на куски его мясо и варитъ *ихъ*, а самъ, разостлавъ на землѣ шкуру, садится на нее, заложивъ руки назадъ, подобно тѣмъ, кто связанъ по локтямъ. Это считается у насъ самою сильною мольбою. Родственники *сидящаго* и вообще всѣ желающіе подходятъ, берутъ каждый по части лежащаго тутъ бычачьяго мяса и, ставши правою ногою на шкуру, обѣщаютъ, сообразно съ своими средствами, одинъ доставить безплатно пять всадниковъ на своихъ харчахъ, другой — десять, третій — еще больше, иной — оплитовъ или пѣшихъ сколько можетъ, а самый бѣдный — только самого себя. Такимъ образомъ иногда у шкуры собирается большая толпа, и такое войско держится очень крѣпко и для враговъ непобѣдимо, какъ связанное клятвою, ибо вступленіе на шкуру равносильно клятвѣ. Такъ поступилъ и Арсакомъ; у него собралось около пяти тысячъ всадниковъ, а оплитовъ и пѣшихъ вмѣстѣ двадцать тысячъ.

49. *Между тѣмъ* Лонхатъ, *никому* не извѣстный, прибылъ въ Воспоръ, явился къ

Digitized by Google

λεῖ διοικουμένῳ τι τῆς ἀρχῆς καὶ φησὶν ἥκειν μὲν ἀπὸ τοῦ κοινοῦ τῶν Σκυθῶν, ἰδίᾳ δὲ αὐτῷ μεγάλα πράγματα κομίζων. τοῦ δὲ λέγειν κελεύσαντος, Οἱ μὲν Σκύθαι, φησί, τὰ κοινὰ ταῦτα καὶ τὰ καθ' ἡμέραν ἀξιοῦσι, μὴ ὑπερβαίνειν τοὺς νομέας ὑμῶν ἐς τὸ πεδίον, ἀλλὰ μέχρι τοῦ τραχῶνος νέμειν· τοὺς δὲ λῃστὰς οὓς αἰτιᾶσθε ὡς κατατρέχοντας ὑμῶν τὴν χώραν, οὐ φασὶν ἀπὸ κοινῆς γνώμης ἐκπέμπεσθαι, ἀλλὰ ἰδίᾳ ἕκαστον ἐπὶ τῷ κέρδει κλωπεύειν· εἰ δέ τις ἁλίσκοιτο, αὐτὸν σὲ κύριον εἶναι κολάζειν· ταῦτα μὲν ἐκεῖνοι ἐπεστάλκασιν.

1 царю, занятому какимъ-то государственнымъ дѣломъ, и объявилъ, что пришелъ отъ скиѳской общины, а *кромѣ того* имѣетъ и личное важное дѣло. Получивъ *отъ царя* разрѣшеніе говорить, онъ сказалъ: «Скиѳы просятъ о томъ, что всякому извѣстно и ежедневно *повторяется, именно*, чтобы ваши пастухи не переходили на равнину, а пасли стада въ предѣлахъ каменистой мѣстности; относительно разбойниковъ, которыхъ вы обвиняете въ томъ, что они дѣлаютъ набѣги на вашу страну, *Скиѳы* отвѣчаютъ, что они не высылаются по общему рѣшенію, но каждый изъ нихъ занимается грабежомъ на свой страхъ ради прибыли; если кто нибудь *изъ нихъ* попадется, то ты самъ властенъ наказать его. Вотъ что поручили мнѣ Скиѳы.

50. ἐγὼ δὲ μηνύσω σοι μεγάλην ἔφοδον ἐσομένην ἐφ' ὑμᾶς ὑπ' Ἀρσακόμα τοῦ Μαριάντα, ὃς ἐπρέσβευε πρώην παρὰ σὲ καί, οἶμαι, διότι αἰτήσας τὴν θυγατέρα οὐκ ἔτυχε παρὰ σοῦ, ἀγανακτεῖ καὶ ἐπὶ τῇς βύρσης ἑβδόμην ἤδη ἡμέραν κάθηται καὶ συνῆκται στρατὸς οὐκ ὀλίγος αὐτῷ. Ἤκουσα, ἔφη ὁ Λευκάνωρ, καὶ αὐτὸς ἀθροίζεσθαι δύναμιν ἀπὸ βύρσης, ὅτι δὲ ἐφ' ἡμᾶς συνίσταται καὶ ὅτι Ἀρσακόμας ἐστὶν ὁ ἐλαύνων, ἠγνόουν. Ἀλλ' ἐπί σέ, ἔφη ὁ Λογχάτης, ἡ παρασκευή· ἐμοὶ δὲ ἐχθρὸς ὁ Ἀρσακόμας ἐστί, καὶ ἄχθεται διότι προτιμῶμαι αὐτοῦ ὑπὸ τῶν γεραιτέρων καὶ ἀμείνων τὰ πάντα δοκῶ εἶναι· εἰ δέ μοι ὑποσχοιο τὴν ἑτέραν σου θυγατέρα Βαρκέτιν, οὐδὲ τὰ ἄλλα ἀναξίῳ ὑμῶν ὄντι, οὐκ εἰς μακρὰν σοι ἥξω τὴν κεφαλὴν αὐτοῦ κομίζων. Ὑπισχνοῦμαι, ἔφη ὁ βασιλεύς, μάλα περιδεὴς γενόμενος· ἔγνω γὰρ τὴν αἰτίαν τῆς ὀργῆς τῆς Ἀρσακόμα τὴν ἐπὶ τῷ γάμῳ καὶ ἄλλως ὑπέπτησσεν ἀεὶ τοὺς Σκύθας. ὁ δὲ Λογχάτης, Ὅμοσον, εἶπεν, ἢ μὴν φυλάξειν τὰς συνθήκας, μηδὲ ἀπαρνήσεσθαι. τότε ἤδη τούτων γινομένων καὶ ἐπεὶ ἀνατείνας εἰς τὸν οὐρανὸν ἤθελεν ὀμνύειν, Μὴ σύ γε ἐνταῦθα, εἶπε, μὴ καί τις ὑπίδηται τῶν ὁρώντων ἐφ' ὅτῳ ὁρκωμοτοῦμεν, ἀλλ' εἰς τὸ ἱερὸν τοῦ Ἄρεος τουτὶ εἰσελθόντες, ἐπικλεισάμενοι τὰς θύρας ὀμνύωμεν, ἀκουσάτω δὲ μηδείς· εἰ γάρ τι τούτων πύθοιτο Ἀρσακόμας, δέδια μὴ προθύσηταί με τοῦ πολέμου χεῖρα οὐ μικρὰν ἤδη περιβεβλημένος. Εἰσίωμεν, ἔφη ὁ βασιλεύς, ὑμεῖς δὲ ἀπόστητε ὅτι πορρωτάτω· μηδεὶς δὲ παρέστω ἐς τὸν νεών, ὄντινα μὴ ἐγὼ καλέσω. ἐπεὶ δὲ οἱ μὲν εἰσῆλ-

50. А *отъ себя* я сообщу тебѣ, что противъ васъ готовится сильное нападеніе со стороны Арсакома, сына Маріанта, который недавно былъ у тебя въ качествѣ посла и теперь, какъ кажется, негодуетъ на тебя за то, что не получилъ отъ тебя *руки* дочери, которой просилъ; вотъ уже седьмой день, какъ онъ сидитъ на шкурѣ и у него собралось не мало войска».—«Я и самъ слышалъ, отвѣтилъ Левканоръ, что собирается войско при помощи шкуры, но не зналъ, что оно составляется противъ насъ и что ведетъ его Арсакомъ». — «Да, продолжалъ Лонхатъ, оно готовится противъ тебя, но Арсакомъ мнѣ врагъ и досадуетъ на меня за то, что наши старѣйшины предпочитаютъ меня ему и что я во всѣхъ отношеніяхъ кажусь лучше его. Итакъ, если ты обѣщаешь мнѣ другую свою дочь, Варкетиду, — вѣдь я ничѣмъ не окажусь недостойнымъ васъ,—то я вскорѣ принесу тебѣ его голову». — «Обѣщаю», сказалъ царь, чрезвычайно испугавшійся, потому что узналъ причину Арсакомова гнѣва да и вообще всегда побаивался Скиѳовъ. «Поклянись же, сказалъ *тогда* Лонхатъ, что ты исполнишь условіе и не откажешься *отъ него*»! Когда тотъ послѣ этого поднялъ *руку* къ небу и хотѣлъ дать клятву, Лонхатъ возразилъ: «Не здѣсь, чтобы кто нибудь изъ зрителей не догадался, въ чемъ мы даемъ клятву; войдемъ въ этотъ храмъ Арея, запремъ двери и произнесемъ клятву такъ, чтобы никто не услышалъ насъ; вѣдь если Арсакомъ узнаетъ что нибудь объ этомъ, то онъ,

Digitized by Google

θον, οἱ δορυφόροι δὲ ἀπέστησαν, σπασάμενος τὸν ἀκινάκην ἐπισχὼν τῇ ἑτέρᾳ τὸ στόμα, ὡς μὴ βοήσειε, παίει παρὰ τὸν μαστόν, εἶτα ἀποτεμὼν τὴν κεφαλὴν ὑπὸ τῇ χλαμύδι ἔχων ἐξῄει, μεταξὺ διαλεγόμενος δῆθεν αὐτῷ καὶ διὰ ταχέων ἤξειν λέγων, ὡς δὴ ἐπί τι πεμφθεὶς ὑπ' ἐκείνου. καὶ οὕτως ἐπὶ τὸν τόπον ἀφικόμενος, ἔνθα καταδεδεμένον κατελελοίπει τὸν ἵππον, ἀναβὰς ἀφιππάσατο εἰς τὴν Σκυθίαν. δίωξις δὲ οὐκ ἐγένετο αὐτοῦ, ἐπὶ πολὺ ἀγνοησάντων τὸ γεγονὸς τῶν Βοσπορανῶν, καὶ ὅτε ἔγνωσαν, ὑπὲρ τῆς βασιλείας στασιαζόντων.

чего добраго, убьетъ меня раньше войны, уже имѣя вокругъ себя не малый отрядъ».— «Войдемъ, сказалъ царь, — а вы станьте какъ можно дальше и пусть никто не входитъ въ храмъ, кого я не позову». Когда они вошли *туда*, а тѣлохранители отошли въ сторону, *тогда Лонхатъ*, обнаживъ мечъ, а другою рукою зажавъ ротъ *царю*, чтобы *онъ* не *могъ* крикнуть, ударилъ его въ грудь, а затѣмъ, отрубивъ его голову и держа ее подъ плащемъ, пошелъ изъ храма, какъ бы продолжая разговоръ съ царемъ и крича ему, что скоро возвратится, какъ будто бы тотъ за чѣмъ-то послалъ его. Придя такимъ образомъ къ тому мѣсту, гдѣ оставилъ на привязи коня, онъ вскочилъ *на него* и ускакалъ въ Скиѳію. Погони за нимъ не было, потому что Воспоряне долгое время не знали о случившемся, а когда узнали, то подняли споръ изъ-за престола.

51. ταῦτα μὲν ὁ Λογχάτης ἔπραξε καὶ τὴν ὑπόσχεσιν ἀπεπλήρωσε τῷ Ἀρσακόμᾳ παραδοὺς τὴν κεφαλὴν τοῦ Λευκάνορος. ὁ Μακέντης δὲ καθ' ὁδὸν ἀκούσας τὰ ἐν Βοσπόρῳ γενόμενα ἦκεν ἐς τοὺς Μάχλυας καὶ πρῶτος ἀγγείλας αὐτοῖς τὸν φόνον τοῦ βασιλέως, Ἡ πόλις δέ, ἔφη, ὦ Ἀδύρμαχε, σὲ γαμβρὸν ὄντα ἐπὶ τὴν βασιλείαν καλεῖ. ὥστε σὺ μὲν προελάσας παραλάμβανε τὴν ἀρχήν, τεταραγμένοις τοῖς πράγμασιν ἐπιφανείς· ἡ κόρη δέ σοι κατόπιν ἐπὶ τῶν ἁμαξῶν ἑπέσθω· ῥᾷον γὰρ οὕτως προσάξει Βοσπορανῶν τοὺς πολλοὺς ἰδόντας τὴν Λευκάνορος θυγατέρα. ἐγὼ δὲ Ἀλανός τέ εἰμι καὶ τῇ παιδὶ ταύτῃ συγγενὴς μητρόθεν· παρ' ἡμῶν γὰρ οὖσαν τὴν Μάστειραν ἠγάγετο ὁ Λευκάνωρ· καὶ νῦν σοι ἥκω παρὰ τῶν τῆς Μαστείρας ἀδελφῶν τῶν ἐν Ἀλανίᾳ παρακελευομένων ὅτι τάχιστα ἐλαύνειν ἐπὶ τὸν Βόσπορον καὶ μὴ περιιδεῖν ὡς Εὐβίοτον περιελθοῦσαν τὴν ἀρχήν, ὃς ἀδελφὸς ὢν νόθος Λευκάνορος Σκύθαις μὲν ἀεὶ φίλος ἐστίν, Ἀλανοῖς δὲ ἀπέχθεται. ταῦτα δὲ ἔλεγεν ὁ Μακέντης ὁμόσκευος καὶ ὁμόγλωττος τοῖς Ἀλανοῖς ὤν· κοινὰ γὰρ ταῦτα Ἀλανοῖς καὶ Σκύθαις, πλὴν ὅτι οὐ πάνυ κομῶσιν οἱ Ἀλανοὶ ὥσπερ οἱ Σκύθαι. ἀλλὰ ὁ Μακέντης καὶ τοῦτο εἴκαστο αὐτοῖς καὶ ἀποκεκάρκει τῆς κόμης ὁπόσον εἰκὸς ἦν ἔλαττον κομᾶν τὸν Ἀλανὸν τοῦ Σκύθου· ὥστε ἐπιστεύετο διὰ ταῦτα Μαστείρας καὶ Μαζαίας συγγενὴς εἶναι.

51. Такимъ образомъ Лонхатъ исполнилъ *данное* Арсакому обѣщаніе, принеся ему голову Левканора. А Макентъ, услышавъ на пути о случившемся въ Воспорѣ, прибылъ къ Махліямъ и, первый сообщивъ имъ извѣстіе объ убіеніи царя, сказалъ: «Адирмахъ, государство призываетъ тебя, какъ царскаго зятя, занять престолъ; итакъ, ты отправляйся впередъ и возьми въ руки власть, явившись среди ихъ неурядицъ, а дѣвица пусть слѣдуетъ за тобою на колесницѣ; такимъ образомъ ты легче привлечешь на свою сторону большинство Воспорянъ, когда они увидятъ дочь Левканора. Я родомъ Аланъ и прихожусь ей родственникомъ съ материнской стороны, потому что Левканоръ взялъ замужъ Мастиру изъ нашего рода. И вотъ теперь я прибылъ къ тебѣ отъ братьевъ Мастиры, живущихъ въ Аланіи, съ совѣтомъ какъ можно скорѣе отправиться въ Воспоръ и не допустить, чтобы власть перешла къ незаконнорожденному брату Левканора Еввіоту, который къ Скиѳамъ постоянно питаетъ сочувствіе, а къ Аланамъ—вражду». Такъ говорилъ Макентъ, по одеждѣ и по языку похожій на Алана, потому что и то и другое у Алановъ одинаково со Скиѳами, только Аланы не носятъ такихъ длинныхъ волосъ, какъ Скиѳы. Но Макентъ и въ этомъ уподобился имъ, подстригши волосы настолько, насколько они у Алана должны быть короче, чѣмъ у Скиѳа; поэтому-то и повѣрили, что онъ родственникъ Мастиры и Мазэи.

Digitized by Google

52. Καὶ νῦν, ἔφη, ὦ Ἀδύρμαχε, ἐλαύνειν ἕτοιμος ἅμα σοι ἐπὶ τὸν Βόσπορον, ἢν ἐθέλῃς, μένειν τε, εἰ δέοι, καὶ τὴν παῖδα ἄγειν. Τοῦτο, ἔφη, καὶ μᾶλλον, ὁ Ἀδύρμαχος, ἐθελήσαιμ' ἄν, ἀφ' αἵματος ὄντα σε Μαζαίαν ἄγειν. ἦν μὲν γὰρ ἅμα ἡμῖν ἴῃς ἐπὶ τὸν Βόσπορον, ἱππεῖ ἐνὶ πλείους ἂν γενοίμεθα· εἰ δέ μοι τὴν γυναῖκα ἄγοις, ἀντὶ πολλῶν ἂν γένοιο. ταῦτα ἐγίνετο· καὶ ὁ μὲν ἀπήλαυνε παραδοὺς τῷ Μακέντῃ ἄγειν τὴν Μαζαίαν παρθένον ἔτι οὖσαν. ὁ δὲ ἡμέρας μὲν ἐπὶ τῆς ἀμάξης ἦγεν αὐτήν, ἐπεὶ δὲ νὺξ κατέλαβεν, ἀναθέμενος ἐπὶ τὸν ἵππον — ἐτεθεραπεύκει δὲ ἕνα σφίσιν ἄλλον ἱππέα ἕπεσθαι — ἀναπηδήσας καὶ αὐτὸς οὐκέτι παρὰ τὴν Μαιῶτιν ἤλαυνεν, ἀλλ' ἀποτραπόμενος εἰς τὴν μεσόγειαν ἐν δεξιᾷ λαβὼν τὰ Μιτραίων ὄρη, διαναπαύων μεταξὺ τὴν παῖδα, τριταῖος ἐτέλεσεν ἐκ Μαχλύων ἐς Σκύθας· καὶ ὁ μὲν ἵππος αὐτῷ, ἐπειδὴ ἐπαύσατο τοῦ δρόμου, μικρὸν ἐπιστὰς ἀποθνήσκει.

53. ὁ δὲ Μακέντης ἐγχειρίσας τὴν Μαζαίαν τῷ Ἀρσακόμᾳ, Δέδεξο, εἶπε, καὶ παρ' ἐμοῦ τὴν ὑπόσχεσιν. τοῦ δὲ πρὸς τὸ ἀνέλπιστον τοῦ θεάματος καταπλαγέντος καὶ χάριν ὁμολογοῦντος, Παῦε, ἔφη ὁ Μακέντης, ἄλλον με ποιῶν σεαυτοῦ· τὸ γὰρ χάριν ἐμοὶ ὁμολογεῖν ἐφ' οἷς ἔπραξα τούτοις τοιόνδε ἐστὶν ὥσπερ ἂν εἰ ἡ ἀριστερά μου χάριν εἰδείη τῇ δεξιᾷ, διότι τρωθεῖσάν ποτε αὐτὴν ἐθεράπευσε καὶ φιλοφρόνως ἐπεμελήθη καμνούσης. γελοῖα τοίνυν καὶ ἡμεῖς ἂν ποιοῖμεν, εἰ πάλαι ἀναμιχθέντες καὶ ὡς οἷόν τε ἓν εἰς ἕνα συνελθόντες ἔτι μέγα νομίζοιμεν εἶναι, εἰ τὸ μέρος ἡμῶν ἔπραξέ τι χρηστὸν ὑπὲρ ὅλου τοῦ σώματος· ὑπὲρ ἑαυτοῦ γὰρ ἔπραττε μέρος ὂν τοῦ ὅλου εὖ πάσχοντος. οὕτως μὲν ὁ Μακέντης ἔφη τῷ Ἀρσακόμᾳ χάριν ὁμολογήσαντι.

54. ὁ δὲ Ἀδύρμαχος ὡς ἤκουσε τὴν ἐπιβουλήν, εἰς μὲν τὸν Βόσπορον οὐκέτι ἦλθεν — ἤδη γὰρ Εὐβίοτος ἦρχεν ἐπικληθεὶς ἐκ Σαυροματῶν, παρ' οἷς διέτριβεν — εἰς δὲ τὴν αὐτοῦ ἐπανελθὼν καὶ στρατιὰν πολλὴν συναγαγὼν διὰ τῆς ὀρεινῆς εἰσέβαλεν ἐς τὴν Σκυθίαν· καὶ ὁ Εὐβίοτος οὐ μετὰ πολὺ καὶ οὗτος εἰσέπεσεν ἄγων πανδημεί

52. «И теперь, Адирмахъ, продолжалъ онъ, я готовъ или ѣхать вмѣстѣ съ тобою въ Воспоръ, если тебѣ угодно, или остаться здѣсь, если *это* нужно, и сопровождать молодую дѣвушку».—«Я именно это и предпочелъ бы, отвѣчалъ Адирмахъ, чтобы ты, какъ родственникъ, везъ Мазэю; вѣдь если ты вмѣстѣ съ нами отправишься въ Воспоръ, то насъ будетъ только однимъ всадникомъ больше, а если бы ты повезъ мою жену, то замѣнилъ бы мнѣ многихъ». Такъ они и сдѣлали: *Адирмахъ* уѣхалъ, поручивъ Макенту везти дѣвственную еще Мазэю; *Макентъ* днемъ везъ ее на колесницѣ, но съ наступленіемъ ночи посадилъ на коня (онъ устроилъ такъ, что за ними слѣдовалъ еще одинъ всадникъ), вскочилъ на него и самъ и продолжалъ путь уже не вдоль Меотиды, но повернулъ во внутрь страны, оставивъ Митрейскія горы вправо, далъ въ это время дѣвицѣ отдохнуть и на третій день прискакалъ изъ *страны* Махлієвъ въ Скиѳію. Конь его по окончаніи скачки постоялъ немного и издохъ.

53. Вручивъ Мазэю Арсакому, Макентъ сказалъ: «Прими и отъ меня обѣщанное!» Когда же тотъ, пораженный этимъ неожиданнымъ зрѣлищемъ, сталъ изливать свою благодарность, Макентъ отвѣтилъ: «Перестань отдѣлять меня отъ себя: благодарить меня за то, что я сдѣлалъ, было бы все равно, какъ если бы моя лѣвая *рука* стала благодарить правую за то, что она лѣчила ее раненную и нѣжно заботилась *о ней* во время *ея* страданій. Поэтому смѣшно было бы и съ нашей стороны, если бы мы, издавна соединившись и слившись, насколько возможно было, въ одно *существо*, стали бы еще считать великимъ *дѣломъ*, что часть нашего *существа* оказала какую-нибудь услугу всему тѣлу; вѣдь она, какъ часть цѣлаго, получившаго услугу, дѣйствовала ради самой себя». Такъ отвѣтилъ Макентъ Арсакому на выраженіе его благодарности.

54. Адирмахъ, услышавъ объ обманѣ, не явился уже въ Воспоръ, потому что тамъ уже царствовалъ Эвбіотъ, призванный отъ Савроматовъ, у которыхъ онъ жилъ, — а возвратился въ свою страну, собралъ большое войско и черезъ горы вторгнулся въ Скиѳію. Немного спустя напалъ и Эвбіотъ, ведя съ собою поголов-

Digitized by Google

μὲν τοὺς Ἕλληνας, Ἀλανοὺς δὲ καὶ Σαυρομάτας ἐπικλήτους ἑκατέρους δισμυρίους· ἀναμίξαντες δὲ τὰ στρατεύματα ὁ Εὐβίοτος καὶ ὁ Ἀδύρμαχος, ἐννέα μυριάδες ἅπαντες ἐγένοντο καὶ τούτων τὸ τρίτον ἱπποτοξόται. ἡμεῖς δὲ — καὶ γὰρ αὐτὸς μετέσχον τῆς ἐξόδου αὐτοῖς ἐπιδοὺς ἐν τῇ βύρσῃ τότε ἱππέας αὐτοτελεῖς ἑκατόν — οὐ πολλῷ ἔλαττον τῶν τρισμυρίων σὺν τοῖς ἱππεῦσιν ἀθροισθέντες ὑπεμένομεν τὴν ἔφοδον· ἐστρατήγει δὲ ὁ Ἀρσακόμας. καὶ ἐπειδὴ προσιόντας εἴδομεν αὐτούς, ἀντεπήγομεν προεπαφέντες τὸ ἱππικόν. γενομένης δὲ ἐπὶ πολὺ μάχης καρτερᾶς ἐνεδίδου ἤδη τὰ ἡμέτερα καὶ παρερρήγνυτο ἡ φάλαγξ, καὶ τέλος εἰς δύο διεκόπη τὸ Σκυθικὸν ἅπαν, καὶ τὸ μὲν ὑπέφευγεν οὐ πάνυ σαφῶς ἡττημένον, ἀλλ' ἀναχώρησις ἐδόκει ἡ φυγή· οὐδὲ γὰρ οἱ Ἀλανοὶ ἐτόλμων ἐπὶ πολὺ διώκειν· τὸ δὲ ἧμισυ, ὅπερ καὶ ἔλαττον, περισχόντες οἱ Ἀλανοὶ καὶ Μάχλυες ἔκοπτον πανταχόθεν ἀφθόνως ἀφιέντες τῶν οἰστῶν καὶ ἀκοντίων, ὥστε πάνυ ἐπονοῦντο ἡμῶν οἱ περιεσχημένοι, καὶ ἤδη προΐεντο οἱ πολλοὶ τὰ ὅπλα.

ное ополченіе Еллиновъ и приглашенныхъ на помощь Алановъ и Савроматовъ *съ комичествомъ* двадцати тысячъ. Когда Еввіотъ и Адирмахъ соединили свои войска, то всего оказалось девяносто тысячъ, въ томъ числѣ одна треть конныхъ стрѣлковъ. А мы (я тоже участвовалъ въ этомъ походѣ, обѣщавъ тогда на шкурѣ сотню своекоштныхъ всадниковъ), собравшись въ числѣ немногимъ меньше тридцати тысячъ вмѣстѣ со всадниками, подъ предводительствомъ Арсакома выжидали нападенія. Замѣтивъ ихъ приближеніе, мы двинулись имъ навстрѣчу, выславъ впередъ конницу. Послѣ долгаго и упорнаго сраженія наши стали подаваться, фаланга начала разстраиваться и наконецъ все скиѳское *войско* было разрѣзано на двѣ части, изъ которыхъ одна обратила тылъ, но такъ, что пораженіе не было явнымъ и ея бѣгство казалось отступленіемъ; да и Аланы не осмѣлились далеко преслѣдовать; другую часть, меньшую, Аланы и Махліи окружили и стали избивать, бросая отовсюду тучи стрѣлъ и дротиковъ, такъ что нашъ окруженный отрядъ оказался въ очень бѣдственномъ положеніи и многіе стали уже бросать оружіе.

55. ἐν τούτοις δὲ καὶ ὁ Λογχάτης καὶ ὁ Μακέντης ἔτυχον ὄντες καὶ ἐτέτρωντο ἤδη προκινδυνεύοντες, ὁ μὲν στυρακίῳ εἰς τὸν μηρὸν ὁ Λογχάτης, ὁ Μακέντης δὲ πελέκει εἰς τὴν κεφαλὴν καὶ κοντῷ εἰς τὸν ὦμον· ὅπερ αἰσθόμενος ὁ Ἀρσακόμας, ἐν ἡμῖν τοῖς ἄλλοις ὤν, δεινὸν ἡγησάμενος, εἰ ἅπεισι καταλιπὼν τοὺς φίλους, προσβαλὼν τοὺς μύωπας τῷ ἵππῳ ἐμβοήσας ἤλαυνε διὰ τῶν πολεμίων κοπίδα διηρμένος, ὥστε τοὺς Μάχλυας μηδὲ ὑποστῆναι τὸ ῥόθιον τοῦ θυμοῦ, ἀλλὰ διαφεθέντες ἔδωκαν αὐτῷ διεξελθεῖν. ὁ δὲ ἀνακτησάμενος τοὺς φίλους καὶ τοὺς ἄλλους ἅπαντας παρακαλέσας ὥρμησεν ἐπὶ τὸν Ἀδύρμαχον καὶ πατάξας τῇ κοπίδι παρὰ τὸν αὐχένα μέχρι τῆς ζώνης διέτεμε. πεσόντος δὲ ἐκείνου διελύθη τὸ Μαχλυϊκὸν ἅπαν καὶ τὸ Ἀλανικὸν οὐ μετὰ πολὺ καὶ οἱ Ἕλληνες ἐπὶ τούτοις· ὥστε ἐκρατοῦμεν ἐξ ὑπαρχῆς ἡμεῖς καὶ ἐπεξήλθομεν ἂν ἐπὶ πολὺ κτείνοντες, εἰ μὴ νὺξ τὸ ἔργον ἀφείλετο. εἰς δὲ τὴν ἐπιοῦσαν ἱκέται παρὰ τῶν πολεμίων ἥκοντες ἐδέοντο φιλίαν ποιεῖσθαι, Βοσπορανοὶ μὲν ὑποτελέσειν διπλάσιον τὸν δασμὸν ὑπισχνούμενοι, Μάχλυες δὲ ὁμήρους δώσειν ἔφασαν, οἱ

55. Въ этомъ отрядѣ оказались и Лонхатъ и Макентъ; они сражались въ первыхъ рядахъ и оба были уже ранены: Лонхатъ — копьемъ въ бокъ, а Макентъ — сѣкирой въ голову и дротикомъ въ плечо. Замѣтивъ это, Арсакомъ, находившійся въ другомъ нашемъ *отрядѣ*, счелъ постыднымъ уйти, покинувъ друзей; онъ пришпорилъ коня, вскрикнулъ и понесся съ поднятымъ мечемъ сквозь непріятелей, такъ что Махліи даже не выдержали стремительнаго порыва, но разступились и дали ему дорогу. Добравшись до друзей и призвавъ всѣхъ остальныхъ, онъ бросился на Адирмаха и, ударивъ мечемъ около шеи, разрубилъ его до пояса. Когда онъ палъ, разбѣжалось все махлійское войско, немного спустя — аланское, а за ними *побѣжали* и Еллины, такъ что мы вновь одержали побѣду и прошли бы большое пространство, избивая ихъ, если бы ночь не прекратила дѣла. На слѣдующій *день* пришли отъ непріятелей послы съ мольбою о заключеніи *съ нами* дружбы, при чемъ Воспоряне обѣщали платить двойную дань, Махліи — дать заложниковъ, а Аланы вза-

Digitized by Google

Ἀλανοὶ δὲ ἀντὶ τῆς ἐφόδου ἐκείνης Σινδιανοὺς ἡμῖν χειρώσασθαι ὑπέστησαν ἐκ πολλοῦ διεστῶτας. ἐπὶ τούτοις ἐπείσθημεν, δόξαν πολὺ πρότερον Ἀρσακόμᾳ καὶ Λογχάτῃ· καὶ ἐγένετο εἰρήνη ἐκείνων πρυτανευόντων ἕκαστα.

Τοιαῦτα, ὦ Μνησίππε, τολμῶσι ποιεῖν Σκύθαι ὑπὲρ τῶν φίλων.

лись за это нападеніе подчинить намъ Синдіановъ, издавна враждовавшихъ *съ нами*. Мы согласились на эти *условія*, потому что прежде всѣхъ такъ рѣшили Арсакомъ и Лонхатъ, и такимъ образомъ былъ заключенъ миръ, при чемъ они распоряжались всѣмъ дѣломъ.

Вотъ, Мнисиппъ, на какіе *подвиги* рѣшаются Скины ради своихъ друзей!

[§§ 56—60 содержатъ разсказъ Токсарида о благородномъ поступкѣ его друга Сисинна въ Амастріи. Затѣмъ Токсаридъ продолжаетъ].

61. Πέμπτον ἔτι σοι τὸ Ἀβαύχα ἔργον διηγησάμενος παύσομαι. ἦκέ ποτε οὗτος ὁ Ἀβαύχας εἰς τὴν Βορυσθενιτῶν πόλιν ἐπαγόμενος καὶ γυναῖκα, ἧς ἦρα μάλιστα, καὶ παιδία δύο· τὸ μὲν ἐπιμαστίδιον ἄρρεν, τὸ δὲ ἕτερον κόρη ἑπτέτις ἦν· συναπεδήμει δὲ καὶ ἑταῖρος αὐτοῦ Γυνδάνης, οὗτος μὲν καὶ νοσῶν ἀπὸ τραύματος, ὃ ἐτέτρωτο κατὰ τὴν ὁδὸν ὑπὸ λῃστῶν ἐπιπεσόντων σφίσι· διαμαχόμενος γὰρ πρὸς αὐτοὺς ἐλαύνεται εἰς τὸν μηρόν, ὥστε οὐδὲ ἑστάναι ἐδύνατο ὑπὸ τῆς ὀδύνης. νύκτωρ δὲ καθευδόντων— ἔτυχον δὲ ἐν ὑπερῴῳ τινὶ οἰκοῦντες — πυρκαϊὰ μεγάλη ἐξανίσταται καὶ πάντα περιεκλείετο καὶ περιεῖχεν ἡ φλὸξ ἀπανταχόθεν τὴν οἰκίαν· ἐνταῦθα δὴ ἀνεγρόμενος ὁ Ἀβαύχας καταλιπὼν τὰ παιδία κλαυθμυριζόμενα καὶ τὴν γυναῖκα ἐκκρεμαμένην ἀποσεισάμενος καὶ σώζειν αὐτὴν παρακελευσάμενος, ἁράμενος τὸν ἑταῖρον κατῆλθε καὶ ἔφθη διεκπαίσας καθ' ὃ μηδέπω τελέως ἀπεκέκαυτο ὑπὸ τοῦ πυρός. ἡ γυνὴ δὲ φέρουσα τὸ βρέφος εἵπετο ἀκολουθεῖν κελεύσασα καὶ τὴν κόρην, ἡ δὲ ἡμίφλεκτος ἀφεῖσα τὸ παιδίον ἐκ τῆς ἀγκάλης μόλις διεπήδησε τὴν φλόγα καὶ ἡ παῖς σὺν αὐτῇ, παρὰ μικρὸν ἐλθοῦσα κἀκείνη ἀποθανεῖν. καὶ ἐπειδὴ ὠνείδισέ τις τὸν Ἀβαύχαν ὕστερον, διότι προδοὺς τὰ τέκνα καὶ τὴν γυναῖκα ὁ δὲ Γυνδάνην ἐξεκόμισεν, Ἀλλὰ παῖδας μέν, ἔφη, καὶ αὖθις ποιήσασθαί μοι ῥᾴδιον καὶ ἄδηλον εἰ ἀγαθοὶ ἔσονται οὗτοι, φίλον δὲ οὐκ ἂν εὕροιμι ἄλλον ἐν πολλῷ χρόνῳ τοιοῦτον οἷος Γυνδάνης ἐστὶ πείρᾳ μοι πολλὴν τῆς εὐνοίας παρεσχημένος.

61. Я разскажу тебѣ еще пятый подвигъ, *совершенный* Абавхомъ, и этимъ кончу. Этотъ Абавхъ однажды пришелъ въ городъ Борисѳенитовъ съ женою, которую очень любилъ, и двумя дѣтьми, *изъ которыхъ* одинъ былъ мальчикъ еще грудной, другая — семилѣтняя дѣвочка. Вмѣстѣ съ ними путешествовалъ другъ его Гинданъ, страдавшій отъ раны, полученной во время пути отъ напавшихъ на нихъ разбойниковъ: во время борьбы съ ними онъ былъ пораженъ въ бедро, такъ что не могъ даже стоять отъ боли. Ночью во время ихъ сна — а имъ случилось остановиться въ верхнемъ этажѣ — вспыхнулъ сильный пожаръ; всѣ *выходы* были отрѣзаны и пламя охватило домъ со всѣхъ сторонъ. Проснувшійся въ это время Абавхъ оставилъ своихъ плачущихъ дѣтей, оттолкнулъ уцѣпившуюся *за него* жену, приказавъ ей спасаться самой, и, схвативши друга, спустился внизъ и успѣлъ прорваться *въ такомъ мѣстѣ*, гдѣ не все еще было уничтожено огнемъ; жена его съ ребенкомъ на рукахъ бросилась за нимъ, приказавъ дѣвочкѣ идти за собою, но, на половину обгорѣвъ, выронила изъ рукъ ребенка и едва перескочила черезъ пламя, а вмѣстѣ съ нею и дѣвочка, также насилу спасшаяся отъ смерти. Когда впослѣдствіи кто-то упрекнулъ Абавха за то, что онъ бросилъ жену и дѣтей, а вынесъ Гиндана, онъ отвѣтилъ: «дѣтей мнѣ легко снова пріобрѣсти, да и неизвѣстно еще, будутъ-ли они хороши, а другого такого друга, какъ Гинданъ, который много разъ доказывалъ мнѣ свою любовь, я не нашелъ бы въ теченіе долгаго времени».

[Въ § 62 Мнисиппъ, выслушавъ разсказъ Токсарида, предлагаетъ ему свою дружбу].

Digitized by Google

63. ΤΟΞ. Εὖ λέγεις· καὶ οὕτω ποιῶμεν.
ΜΝΗΣ. Ἀλλὰ μήτε αἵματος, ὦ Τόξαρι, μήτε ἀκινάκου δεώμεθα τὴν φιλίαν ἡμῖν βεβαιώσοντος· ὁ γὰρ λόγος ὁ παρὼν καὶ τὸ τῶν ὁμοίων ὀρέγεσθαι πολὺ πιστότερα τῆς κύλικος ἐκείνης ἣν πίνετε, ἐπεὶ τά γε τοιαῦτα οὐκ ἀνάγκης, ἀλλὰ γνώμης δεῖσθαί μοι δοκεῖ.

ΤΟΞ. Ἐπαινῶ ταῦτα, καὶ ἤδη ὦμεν φίλοι καὶ ξένοι, ἐμοὶ μὲν σὺ ἐνταῦθα ἐπὶ τῆς Ἑλλάδος, ἐγὼ δὲ σοὶ εἴ ποτε ἐς τὴν Σκυθίαν ἀφίκοιο.

ΜΝΗΣ. Καὶ μὴν εὖ ἴσθι, οὐκ ἂν ὀκνήσαιμι καὶ ἔτι πορρωτέρω ἐλθεῖν, εἰ μέλλω τοιούτοις φίλοις ἐντεύξεσθαι οἷος σύ, ὦ Τόξαρι, διεφάνης ἡμῖν ἀπὸ τῶν λόγων.

63. ТОКС. Хорошо. Такъ и сдѣлаемъ.
МНИС. Но, Токсаридъ, намъ не надо ни крови, ни меча для закрѣпленія нашей дружбы: настоящее слово и одинаковость стремленій гораздо надежнѣе той чаши, которую вы пьете, ибо подобныя *связи*, по моему мнѣнію, основываются не на принужденіи, а на доброй волѣ.

ТОКС. Я одобряю это. Итакъ, будемъ друзьями и кунаками, ты для меня здѣсь въ Елладѣ, а я для тебя, если ты когда нибудь пріѣдешь въ Скиѳію.

МНИС. Будь увѣренъ, что я не задумаюсь заѣхать еще дальше, если буду надѣяться встрѣтить такихъ друзей, какимъ ты, Токсаридъ, оказался намъ изъ твоихъ словъ.

ΠΟΛΥΑΙΝΟΥ ΣΤΡΑΤΗΓΙΚΑ. ПОЛІЕНА „ВОЕННЫЯ ХИТРОСТИ".

[Полiенъ, родомъ изъ Македоніи, жилъ при римскихъ императорахъ М. Авреліи и Л. Верѣ, которымъ и посвятилъ въ 162 г. сохранившееся до насъ сочиненіе Στρατηγήματα или Στρατηγικά въ 8 книгахъ, содержащее въ себѣ 900 примѣровъ военныхъ хитростей. Текстъ: Polyaeni Strategematon libri octo ex rec. Eduardi Woefflin. Iterum rec. Ioannes Melber. Lips. ap. Teubn. 1887].

Переводъ **В. М. Кленбровскаго.**

V, 23. ΤΥΝΝΙΧΟΣ. ТИННИХЪ.

Τύννιχος Θευδοσίας τῆς ἐν τῷ Πόντῳ πολιορκουμένης ὑπὸ τῶν πλησίον τυράννων καὶ κινδυνευούσης ἁλῶναι τὴν πολιορκίαν ἔλυσεν. ὁρμηθεὶς μὲν ἐξ Ἡρακλείας νηὶ στρογγύλῃ καὶ τριήρει μιᾷ, δεξάμενος δὲ στρατιώτας ὅσους οἷόν τε ἦν, καὶ σαλπιγκτὰς τρεῖς καὶ σκάφας τρεῖς μονοξύλους, ἑκάστην ἄνδρα ἕνα δέξασθαι δυναμένην, νυκτὸς ἐπιπλεύσας, τῆς πόλεως ἐγγὺς γενόμενος, ἐξελὼν τὰς σκάφας, ἐμβιβάσας ἑκάστῃ σαλπιγκτὴν ἕνα συνέταξεν ἀποσχόντας ἀλλήλων διάστημα σύμμετρον, ἐπειδὰν ἐκ τῆς τριήρους καὶ τῆς στρογγύλης ὑποσημήνῃ, διαδεξαμένους σημαίνειν παραλλάσσοντας τοῖς χρόνοις, ὡς μὴ σάλπιγγος μιᾶς προσπίπτειν ἦχον, ἀλλὰ πλειόνων. οἱ μὲν

Тиннихъ *слѣдующимъ образомъ* освободилъ отъ осады Ѳевдосію Понтійскую, осажденную сосѣдними тираннами и подвергавшуюся опасности быть взятой [1]). Отправившись изъ Иракліи на кругломъ кораблѣ съ одной тріирой и взявъ *съ собою*, сколько можно было, воиновъ, трехъ трубачей и три челнока-однодеревки, въ каждомъ изъ коихъ могъ помѣститься только одинъ человѣкъ, *Тиннихъ* отплылъ ночью и, приблизившись къ городу, спустилъ *на воду* челноки, посадилъ на каждый по одному трубачу и приказалъ *имъ*, разъѣхавшись другъ отъ друга на умѣренное разстояніе, по данному съ тріиры и съ круглаго *корабля* сигналу, трубить одному за

1) Ср. объ этомъ *Inscr. orae sept. Ponti Eux.* v. II. praef. p. XIX.

Digitized by Google

ἐσήμηναν ἦχῳ σαλπίγγων τὸν περικείμενον ἀέρα τῇ πόλει πληροῦντες, οἱ δὲ πολιορκοῦντες νομίσαντες ἐπίπλουν εἶναι στόλου μείζονος οὐδενὶ κόσμῳ τὰς φυλακὰς ἐκλιπόντες ᾤχοντο. Τύννιχος δὲ προσπλεύσας τὴν Θευδοσίαν ἠλευθέρωσε τῆς πολιορκίας.

другимъ съ небольшими промежутками, такъ чтобы звуки казались идущими не отъ одной трубы, а отъ нѣсколькихъ. Они затрубили, оглашая звуками трубъ воздухъ въ окрестностяхъ города; осаждавшіе, предположивъ, что явился значительный флотъ, ушли въ безпорядкѣ, покинувъ караулы. *Тогда* Тиннихъ подплылъ къ Θевдосіи и освободилъ ее отъ осады.

V, 44. ΜΕΜΝΩΝ.

1. Μέμνων ἐπιτιθέμενος Λεύκωνι τῷ Βοσπόρου τυράννῳ, βουλόμενος καταμαθεῖν τὰ μεγέθη τῶν πολεμίων [πόλεων] καὶ τὰ πλήθη τῶν ἐνοικούντων ἔπεμψεν Ἀρχιβιάδην Βυζάντιον ἐπὶ τριήρους πρεσβευτὴν πρὸς Λεύκωνα ὡς ὑπὲρ φιλίας καὶ ξενίας διαλεξόμενον. συνέπεμψε δὲ αὐτῷ καὶ Ὀλύνθιον κιθαρῳδὸν Ἀριστόνικον, εὐδοκιμοῦντα μάλιστα δὴ πάντων τότε παρὰ τοῖς Ἕλλησιν, ὅπως ἐν τῷ παράπλῳ προσορμιζομένων, ἐπιδεικνυμένου τοῦ κιθαρῳδοῦ, τῶν ἐνοικούντων ἐς τὰ θέατρα σπουδῇ συνιόντων τὸ πλῆθος τῶν ἀνθρώπων κατάδηλον τῷ πρεσβευτῇ γένοιτο.

МЕМНОНЪ.

Мемнонъ [1]) во время борьбы съ Воспорскимъ тираномъ Левкономъ, желая разузнать о величинѣ непріятельскихъ городовъ и о числѣ ихъ жителей, послалъ на тріирѣ въ качествѣ посла къ Левкону Византійца Архивіада, подъ предлогомъ переговоровъ о дружбѣ и связяхъ гостепріимства, и вмѣстѣ съ нимъ отправилъ Олинѳскаго кѳаврда Аристоника, въ то время пользовавшагося наибольшею славой у Эллиновъ, для того чтобы посолъ могъ познакомиться съ численностью населенія въ то время, какъ при ихъ приставаніи мимоѣздомъ къ берегу кѳаврдъ станетъ показывать свое искусство и жители поспѣшно будутъ собираться въ театры.

VI, 9. ΛΕΥΚΩΝ.

1. Λεύκων χρημάτων δεόμενος ἐκήρυξεν, ὅτι μέλλοι κόπτειν ἄλλο νόμισμα καὶ δέοι προσφέρειν αὐτῷ τὸ ὑπάρχον ἑκάστῳ, ὅπως μετακοπὲν δόκιμον γένοιτο. Οἱ μὲν προσήνεγκαν ὅσον εἶχον, ὁ δὲ ἄλλον χαρακτῆρα ἐπιβαλὼν ἐπέγραψε τὸ τίμημα διπλάσιον ἑκάστῳ νομίσματι, ὥστε τοῦ συλλεγέντος τὸ ἥμισυ κερδάνας οὐδένα τῶν πολιτῶν ἐζημίωσεν.

ЛЕВКОНЪ.

1. Левконъ [2]), нуждаясь *однажды* въ деньгахъ, объявилъ, что думаетъ чеканить новую монету и что каждый долженъ принести къ нему *свои* наличныя деньги для того, чтобы онѣ были перечеканены и *такимъ образомъ* остались годными. Подданные принесли ему *все*, что у нихъ было; тогда онъ наложилъ новый штемпель и на каждой монетѣ надписалъ двойную *противъ прежней* стоимость; такимъ образомъ онъ выручилъ *въ свою пользу* половину собранныхъ денегъ, не причинивъ убытка никому изъ гражданъ.

V. 9: «πολεμίων [πόλεων] scripsi coll. Η τῆς τῶν πολεμίων πόλεως καὶ τῶν λοιπῶν: πολεμίων F, quod corr. in πόλεων Lennep. ad Phalar. p. 129 b». Melber.

1) Уроженецъ о. Родоса, извѣстный впослѣдствіи полководецъ персидскаго царя Дарія III, умершій въ 333 г. при осадѣ Митилины. О войнѣ его съ Левкономъ (I, 387—347 до Р. Хр.) нѣтъ извѣстій у другихъ авторовъ. Объ источникахъ Полиена ср. Ueber die Quellen und den Wert der Strategemensammlung Polyaens. Ein Beitrag zur griech. Historiographie von I. Melber. Jahrb. f. kl. Philol. Suppl. XIV p. 415 — 687 (Lips. 1885). 2) Левконъ I, архонтъ и царь Воспора Киммерійскаго, 387—347 до Р. Х.

Digitized by Google

2. Λεύκων μαθὼν ὡς ἐπιβουλεύοιεν αὐτῷ φίλοι καὶ πολῖται συνομοσάμενοι πολλοί, τοὺς ἐμπόρους καλέσας ἅπαντας, χρήματα ὅσα εἶχεν ἕκαστος ἐδανείζετο, φάσκων τοὺς πολεμίους αὐτῷ προδίδοσθαι. οἱ μὲν ἔμποροι προθύμως ἐδάνειζον τὰ χρήματα, ὁ δὲ συναγαγὼν εἰς τὴν αὐλὴν αὐτοὺς ὡμολόγησε τὴν ἐκ τῶν πολιτῶν ἐπίθεσιν καὶ παρεκάλεσε φύλακας τοῦ σώματος αὐτοῦ γενέσθαι ὡς τὰ χρήματα κομιουμένους, εἰ σώζοιντο αὐτόν. Καὶ δὴ τὰ χρήματα σῶσαι ἐθέλοντες οἱ ἔμποροι ὅπλα παραλαβόντες οἱ μὲν δορυφόροι τοῦ σώματος, οἱ δὲ τῶν ἀρχείων φύλακες ἐγένοντο. Λεύκων δὲ μετὰ τούτων καὶ μετὰ τῶν περὶ αὐτὸν πιστοτάτων τοὺς κοινωνοῦντας τῆς ἐπιθέσεως συλλαβὼν ἀπέκτεινε καὶ τὴν ἀρχὴν ἀσφαλῶς καταστησάμενος ἀπέδωκε τὰ χρήματα.

3. Λεύκων ἐν τῷ πρὸς Ἡρακλεώτας πολέμῳ αἰσθόμενος τῶν τριηράρχων τινὰς προδιδόντας καὶ αὐτομολεῖν μέλλοντας συλλαβὼν αὐτοὺς ἀκοῦσαι μὲν ἔφη περὶ αὐτῶν λόγους οὐκ ἐπιτηδείους, οὐ πιστεῦσαί γε μήν. ὅπως οὖν μὴ κατὰ τύχην ἥττης γενομένης αὐτοὶ δοκοῖεν αἴτιοι τοῦ σφάλματος, αὐτοὺς μὲν ἡσυχάζειν ἐκέλευσεν, ἄλλους δὲ τριηράρχους ἀπέδειξε· τοῖς δὲ οἰκείοις τῶν ὑπόπτων ἀρχὰς καὶ ἐπιμελείας ἐνεχείριζε κωμῶν, ὡς δὴ φιλοφρόνως ἔχων πρὸς αὐτούς. ἐπεὶ δὲ τὸν πόλεμον κατελύσατο, δίκαιον ἔφη κριθῆναι τοὺς ὑπόπτους, ἵνα μὴ δόξῃ ἀλόγως αὐτοῖς ἀπιστῆσαι. παρελθόντων δὲ εἰς τὸ δικαστήριον ὁμοῦ τοῖς οἰκείοις περιστήσας ὡπλισμένην δύναμιν ἅπαντας αὐτοὺς ἀναιρεθῆναι προσέταξεν.

4. Λεύκων ἐπιστρατευσάντων Ἡρακλεωτῶν ναυσὶ πολλαῖς καὶ ἀποβαινόντων ὅποι τῆς χώρας ἐβούλοντο, ὁρῶν τοὺς αὐτοῦ στρατιώτας ἐθελοκακοῦντας καὶ οὐκ ἀνείργοντας ἔταξε τοὺς ὁπλίτας πρώτους πρὸς τὴν ἀπόβασιν τῶν πολεμίων, ἐπὶ δὲ τούτοις ὄπισθεν τοὺς Σκύθας· καὶ φανερῶς παρήγγειλε τοῖς Σκύθαις, ἐὰν οἱ ὁπλῖται ὀκνῶσι καὶ τοὺς πολεμίους ἀποβαίνοντας παρέχωνται, τηνικαῦτα τοξεύειν καὶ κτινύειν αὐτούς. τοῦτο μαθόντες οἱ ὁπλῖται εὐρώστως τοὺς πολεμίους ἀποβαίνειν ἐκώλυον.

2. Левконъ, узнавъ *однажды*, что многіе изъ *его* друзей и гражданъ составили противъ него заговоръ, созвалъ всѣхъ купцовъ и попросилъ у нихъ взаймы всѣ деньги, сколько у кого было, говоря, что ему выдаютъ враговъ. Когда же купцы съ полной готовностью одолжили деньги, онъ собралъ ихъ во дворецъ, открылъ составленный гражданами заговоръ и попросилъ купцовъ быть его тѣлохранителями, такъ какъ они получатъ-де свои деньги *только въ томъ случаѣ*, если спасутъ его. И дѣйствительно купцы, желая спасти свои деньги, вооружились и сдѣлались одни его личными тѣлохранителями, другіе—стражами дворца. *Тогда* Левконъ при помощи ихъ и наиболѣе преданныхъ ему друзей схватилъ и перебилъ участниковъ заговора, упрочилъ за собою власть и отдалъ *купцамъ* деньги.

3. Левконъ, узнавъ *однажды* во время войны съ Ираклійцами, что нѣкоторые изъ тріпрарховъ измѣняютъ ему и намѣрены перейдти *на сторону непріятеля*, схватилъ ихъ и сказалъ, что слышалъ невыгодные для нихъ толки, но, конечно, не повѣрилъ имъ; *при этомъ* онъ приказалъ имъ оставить службу, для того чтобы въ случаѣ пораженія ихъ не сочли его виновниками, и *на мѣсто ихъ* назначилъ другихъ тріпрарховъ. Родственникамъ подозрѣваемыхъ онъ вручилъ власть и управленіе селами, показывая *тѣмъ* благосклонность къ нимъ. По окончаніи войны *Левконъ* сказалъ, что справедливость требуетъ предать заподозрѣнныхъ суду, для того, чтобы его недовѣріе къ нимъ не казалось неосновательнымъ. Когда тѣ пришли въ зданіе суда вмѣстѣ съ *своими* родственниками, Левконъ окружилъ ихъ вооруженною силою и приказалъ всѣхъ ихъ перебить.

4. *Однажды* Ираклійцы выступили противъ *Левкона* съ многочисленнымъ флотомъ и стали дѣлать высадки въ его странѣ, гдѣ заблагоразсудится; Левконъ, видя, что его войска дѣйствуютъ нерадиво и не препятствуютъ *высадкамъ враговъ*, для противодѣйствія высадкѣ поставилъ впереди оплитовъ, а позади ихъ—Скиѳовъ, и во всеуслышаніе приказалъ послѣднимъ въ случаѣ, если оплиты будутъ дѣйствовать вяло и дозволятъ врагамъ высадиться, стрѣлять въ нихъ и убивать. Услышавъ это, оплиты мужественно воспрепятствовали врагамъ высадиться.

Digitized by Google

VII, 37. ΠΑΙΡΙΣΑΔΗΣ.

Παιρισάδης Πόντου βασιλεὺς ἐν ἄλλῃ μὲν ἐσθῆτι τοὺς στρατιώτας ἐξέτασσεν, ἐν ἄλλῃ δὲ πρὸς τοὺς πολεμίους ἐκινδύνευεν, [ἐν] ἄλλῃ δὲ, εἰ φυγῆς καιρὸς ἦν, ἔφευγεν. ἐκτάττων μὲν γὰρ ἐβούλετο εἶναι πᾶσιν ἐπιφανὴς, κινδυνεύων δὲ μηδενὶ τῶν πολεμίων καταφανὴς, φεύγων δὲ μήτε τοῖς οἰκείοις μήτε τοῖς ἐναντίοις γνώριμος.

ПЕРИСАДЪ.

Понтійскій царь Перисадъ [1]) въ одной одеждѣ строилъ войско, въ другой — вступалъ въ битву съ врагами, въ третьей обращался въ бѣгство въ случаѣ надобности: ставя *войско* въ строй, онъ хотѣлъ быть видимымъ для всѣхъ, въ опасности *не хотѣлъ* быть видимымъ никому изъ враговъ, *наконецъ* во время бѣгства *не желалъ* быть узнаннымъ ни своими, ни врагами.

VII, 44. ΣΚΥΘΑΙ.

1. Σκύθαι Τριβαλλοῖς παρατάσσεσθαι μέλλοντες παρήγγειλαν τοῖς γεωργοῖς καὶ τοῖς ἱπποφορβοῖς, ἐπειδὰν αἴσθωνται συμβαλόντας αὐτούς τοῖς πολεμίοις, ἐπιφανῆναι πόρρωθεν τὰς ἀγέλας τῶν ἵππων ἐπελαύνοντας. οἱ μὲν ἐπεφάνησαν, οἱ δὲ Τριβαλλοὶ πολὺ πλῆθος ἀνθρώπων καὶ ἵππων πόρρωθεν ἰδόντες, κονιορτὸν ἐγειρόμενον, βοὴν αἰρομένην, νομίσαντες τοὺς ἄνω Σκύθας ἥκειν αὐτοῖς συμμάχους ἔφυγον φοβηθέντες.

2. Σκύθαι τὴν Ἀσίαν κατέτρεχον. αἱ Σκυθίδες γημάμεναι τοῖς οἰκέταις ἐπαιδοποιήσαντο. ἐπανελθόντας οἱ δοῦλοι τοὺς δεσπότας οὐκ ἐδέξαντο. πόλεμος ἦν. οἱ μὲν οἰκέται φαλαγγηδὸν ἐπῆσαν ὡπλισμένοι· Σκύθης δὲ ἀνὴρ δείσας αὐτῶν τὴν ἐξ ἀπονοίας μάχην συνεβούλευσεν ὅπλα μὲν καὶ τόξα καταβαλεῖν, μάστιγας δὲ ἀνατειναμένους ἐπὶ τοὺς οἰκέτας βαδίζειν. οἱ μὲν ἀνατεινάμενοι τὰς μάστιγας ἐφώρμησαν, οἱ δὲ τὸ συνειδὸς τῆς δουλείας οὐ φέροντες αὐτίκα φεύγοντες ᾤχοντο.

СКИѲЫ.

1. Скиѳы передъ сраженіемъ съ Триваллами приказали земледѣльцамъ и коноводамъ показаться вдали съ табунами лошадей, когда узнаютъ, что они сразились съ врагами. Тѣ такъ и сдѣлали. Триваллы, увидѣвъ вдали огромное количество людей и лошадей и столбы пыли и *смыша* поднявшіеся крики, вообразили, что Верхніе Скиѳы идутъ на помощь ихъ *врагамъ* и въ ужасѣ обратились въ бѣгство [2]).

2. Скиѳы сдѣлали набѣгъ на Азію. Скиѳянки *во время ихъ отсутствія* вступили въ связи съ рабами и прижили дѣтей. Рабы не приняли *своихъ* господъ при ихъ возвращеніи. Произошла война. Рабы стройными рядами съ оружіемъ въ рукахъ выступили противъ *господъ*; *тутъ* одинъ Скиѳъ, испугавшись ихъ отчаянной рѣшимости сражаться, посовѣтовалъ *своимъ* бросить доспѣхи и луки, а итти на рабовъ съ поднятыми бичами; Скиѳы, поднявъ бичи, устремились впередъ, и *рабы*, не вынесши *тяжести* сознанія своего рабства, тотчасъ бросились бѣжать [3]).

VII, 46. ΤΑΥΡΟΙ.

Ταῦροι Σκυθικὸν γένος ἀεὶ παρατάττεσθαι μέλλοντες τὰς ὄπισθεν ὁδοὺς ἀνασκάπτουσιν καὶ ποιήσαντες ἀβάτους οὕτως ἀγωνίζονται, ἵνα μὴ δυνάμενοι φυγεῖν ἢ κρατοῖεν ἢ ἀποθνήσκοιεν.

ТАВРЫ.

Скиѳское племя Тавры, предпринимая войну, всегда перекапываютъ дороги въ тылу и, сдѣлавъ ихъ непроходимыми, вступаютъ въ бой; *дѣлаютъ они это для того*, чтобы, не имѣя возможности бѣжать, *необходимо было* побѣдить или умереть.

---

1) Вѣроятно Перисадъ I, правившій съ 347 по 309 г. до Р. Хр. 2) Cf. Front. strat. 2, 4, 20. 3) Cf. Herod. IV, 3 (supra, p. 11); Iustin. 3, 5, 1 sq.

Digitized by Google

VIII, 55. ΤΙΡΓΑΤΑΩ.

Τιργαταὼ Μαιῶτις ἐγήματο Ἑκαταίῳ βασιλεῖ Σίνδων, οἳ νέμονται μικρὸν ἄνω Βοσπόρου. τοῦτον τὸν Ἑκαταῖον ἐκπεσόντα τῆς ἀρχῆς κατήγαγε Σάτυρος ὁ Βοσπόρου τύραννος καὶ τὴν ἑαυτοῦ θυγατέρα πρὸς γάμον ἐξέδωκεν ἀξιώσας τὴν προτέραν ἀποκτεῖναι. ὁ δὲ τὴν Μαιῶτιν στέργων ἀνελεῖν μὲν οὐχ ὑπέμεινεν, ἐς ὀχυρὸν δὲ φρούριον καθείρξας ἐκέλευσε διάγειν φρουρουμένην· ἡ δὲ Τιργαταὼ λαθοῦσα τοὺς φύλακας διέδρα. τῶν δὲ περὶ τὸν Ἑκαταῖον καὶ τὸν Σάτυρον πολλῇ σπουδῇ ζητούντων — ἐδεδοίκεσαν γὰρ, μὴ κινήσῃ τοὺς Μαιώτας ἐς πόλεμον — οὐ μὴν εὑρεῖν δυνηθέντων, ἡ Μαιῶτις ἐρήμους καὶ τραχείας ὁδοὺς ὑπερβάλλουσα καὶ μεθ' ἡμέραν μὲν ἐν ταῖς ὕλαις κρυπτομένη, ταῖς δὲ νυξὶ βαδίζουσα τέλος ἦκεν εἰς τοὺς καλουμένους Ἰξομάτας, ἔνθα ἦν αὐτῆς τὰ βασίλεια τῶν οἰκείων. τὸν μὲν δὴ πατέρα τετελευτηκότα κατέλαβε, τῷ δὲ διαδεξαμένῳ τὴν ἀρχὴν συνοικήσασα τοὺς Ἰξομάτας ἐς πόλεμον ἐκίνησε. καὶ πολλὰ μὲν τῶν περὶ Μαιῶτιν μαχίμων ἐθνῶν προσήγετο, μάλιστα δὲ τὴν Ἑκαταίου Σινδικὴν κατέτρεχε καὶ Σατύρου τὴν ἀρχὴν ἐλυμαίνετο, ὥστε ἱκετηρίας ἀμφότεροι πέμψαντες καὶ ὅμηρον δόντες παῖδα Σατύρου Μητρόδωρον ἐδεήθησαν εἰρήνης τυχεῖν. ἡ δὲ συνέθετο μὲν, οὐ μὴν οἵ γε συνθέμενοι τοὺς ὅρκους ἐφύλαξαν. ὁ γὰρ δὴ Σάτυρος ἔπεισε δύο φίλους ἱκέτας καταφυγόντας πρὸς αὐτὴν ἐπιβουλεῦσαι. οἱ μὲν κατέφυγον, ὁ δὲ Σάτυρος ἐξῄτει· ἡ δὲ τὸν τῆς ἱκεσίας νόμον τιμῶσα πολλάκις ἀντέγραφε σωτηρίαν πράττουσα τοῖς ἱκέταις. οἱ δὲ ἐπέθεντο, ὁ μὲν ὡς περὶ μεγάλων αὐτῇ διαλεγόμενος πραγμάτων, ὁ δὲ σπασάμενος τὸ ξίφος ἀπέτυχε τῆς ἐπιβουλῆς τοῦ ζωστῆρος ἀποδεξαμένου τὴν πληγήν. οἱ δορυφόροι συνδραμόντες ἀμφοτέρους ἐβασάνισαν. οἱ δὲ τὴν ἐπιβουλὴν ὡμολόγησαν τοῦ καθεικότος τυράννου. πάλιν ἡ Τιργαταὼ τὸν πόλεμον ἐξήνεγκε τὸν ὅμηρον ἀποκτείνασα καὶ πάντων τῶν δεινῶν ἁρπαγῆς καὶ φόνου πληροῦσα τὴν χώραν, ἕως αὐτὸς μὲν ὁ Σάτυρος ἀθυμήσας ἐτε-

ТИРГАТАО.

Мэотіянка Тиргатао вышла замужъ за Екатэя, царя Синдовъ, которые живутъ немного выше Воспора. Этого Екатэя, низложеннаго съ престола, *снова* посадилъ на царство воспорскій тиранъ Сатиръ [1]), *при чемъ* выдалъ за него свою дочь и потребовалъ, чтобы онъ убилъ *свою* прежнюю *жену*. Екатэй, любя Мэотіянку, не рѣшился погубить ее, а заточилъ ее въ сильной крѣпости и приказалъ жить подъ стражею; но Тиргатао успѣла бѣжать, обманувъ стражу. Приверженцы Екатэя и Сатира съ большимъ рвеніемъ принялись искать ее, опасаясь, чтобы она не склонила къ войнѣ Мэотовъ; но поиски были напрасны: Мэотіянка, идя по пустыннымъ и скалистымъ дорогамъ и днемъ скрываясь въ лѣсахъ, а по ночамъ продолжая путь, пришла, наконецъ, къ такъ называемымъ Иксоматамъ, гдѣ были владѣнія ея родственниковъ. Не заставъ въ живыхъ своего отца, она вступила въ бракъ съ его преемникомъ и склонила Иксоматовъ къ войнѣ. Приведя съ собой многія изъ воинственныхъ племенъ, жившихъ вокругъ Мэотиды, она сильно опустошала набѣгами принадлежащую Екатэю Синдику, а также причиняла вредъ и царству Сатира, такъ что оба они принуждены были искать мира, пославъ просьбы и давъ въ заложники Сатирова сына Митродора. Тиргатао согласилась примириться, но *ея противники*, примирившись, не сдержали клятвы. Именно, Сатиръ уговорилъ двухъ своихъ друзей совершить покушеніе на *жизнь* Тиргатао, явившись къ ней подъ видомъ просителей. Когда тѣ бѣжали къ ней и Сатиръ сталъ требовать *ихъ выдачи*, то Тиргатао, чтя право убѣжища, часто посылала къ Сатиру письма, желая спасти людей, прибѣгнувшихъ къ ея защитѣ. Но эти послѣдніе улучили случай напасть на нее: въ то время, какъ одинъ сталъ говорить съ нею о важныхъ будто-бы дѣлахъ, другой обнажилъ мечъ и совершилъ покушеніе, не удавшееся потому, что поясъ *Тиргатао* отра-

V. 2: Σίντων cod. Florent., Σίνδων Casaubonus. || V. 19: de variis formis nominis Ἰξομάται v. quae adnotavit Melber. V. 25: Σιντικὴν cod. Flor., Σινδικὴν Casaub.

1) Сатиръ I, отецъ Левкона I. Ср. о немъ *Inscr. P. Eux.* II, praef. p. XVIII sq. и *Журн. Мин. Нар. Пр.* 1894, іюнь, отд. кл. фил. стр. 81—85.

Digitized by Google

λεύτησε, Γόργιππος δὲ υἱὸς αὐτοῦ τὴν ἀρχὴν διαδεξάμενος ἱκέτης αὐτὸς ἐλθὼν καὶ δῶρα δοὺς αὐτῇ μέγιστα τὸν πόλεμον διελύσατο.

знилъ ударъ. Сбѣжавшіеся тѣлохранители обоихъ подвергли пыткамъ; они сознались въ замыслѣ пославшаго ихъ тиранна. *Тогда* Тиргатао снова начала войну, умертвивъ заложника, и подвергла страну всѣмъ ужасамъ грабежа и рѣзни, пока самъ Сатеръ не умеръ съ отчаянія; сынъ его Горгиппъ, наслѣдовавъ престолъ, самъ явился къ *Тиратао* съ просьбами и богатѣйшими дарами и *тѣмъ* прекратилъ войну [1]).

VIII, 56. ΑΜΑΓΗ. АМАГА.

Ἀμάγη γυνὴ Μηδοσάκκου βασιλέως Σαρματῶν τῶν ἐπὶ τὴν Ποντικὴν παραλίαν καθηκόντων ὁρῶσα τὸν ἄνδρα τρυφῇ προσέχοντα καὶ μέθῃ αὐτὴ μὲν τὰ πολλὰ ἐδίκαζεν, αὐτὴ δὲ καὶ τὰς φυλακὰς τῆς χώρας καθίστατο καὶ τὰς ἐπιδρομὰς τῶν πολεμίων ἀνέστελλε καὶ τοῖς ἀδικουμένοις τῶν προσοίκων συνεμάχει. καὶ τὸ κλέος αὐτῆς λαμπρὸν ἦν ἀνὰ πάντας τοὺς Σκύθας, ὥστε καὶ οἱ [τὴν] Ταυρικὴν κατοικοῦντες Χερρονησῖται κακῶς πάσχοντες ὑπὸ τοῦ βασιλέως τῶν παρακειμένων Σκυθῶν ἐδεήθησαν αὐτῆς γενέσθαι σύμμαχοι. ἡ δὲ τὸ μὲν πρῶτον ἐπέστειλεν ἀπέχεσθαι Χερρονήσου κελεύουσα, ὡς δὲ κατεφρόνησεν ὁ Σκύθης, παραλαβοῦσα ἑκατὸν εἴκοσιν ἄνδρας τοὺς ψυχὴν καὶ σῶμα ἀλκιμωτάτους, τρεῖς ἵππους ἑκάστῳ παραδοῦσα διέδραμε νυκτὸς μιᾶς καὶ ἡμέρας χίλια καὶ διακόσια στάδια καὶ τοῖς βασιλείοις ἐξαίφνης ἐπιστᾶσα τοὺς μὲν ἐπὶ θυρῶν ἅπαντας ἀπέκτεινε, τῶν δὲ Σκυθῶν ὡς ἐν ἀπροσδοκήτῳ δεινῷ ταραχθέντων καὶ νομισάντων οὐχ ὅσους ἔβλεπον ἥκειν, ἀλλὰ πολλῷ πλείονας εἶναι τοὺς ἐπερχομένους, Ἀμάγη μεθ' ἧς εἶχεν ὁρμῆς ἐς τὸ βασίλειον ἐμπεσοῦσα τὸν Σκύθην καὶ τοὺς συνόντας αὐτῷ συγγενεῖς καὶ φίλους ἀποκτείνασα Χερρονησίταις μὲν ἀπέδωκε τὴν χώραν, τῷ δὲ παιδὶ τοῦ πεφονευμένου τὴν βασιλείαν ἐνεχείρισε παρεγγυήσασα δικαίως ἄρχειν καὶ ἀπέχεσθαι τῶν προσοικούντων Ἑλλήνων καὶ βαρβάρων ὁρῶντα τὸ τέλος τοῦ πατρός.

Амага, жена Мидосакка, царя Сарматовъ, жившихъ на Понтійскомъ побережьѣ, видя, что мужъ ея предается роскоши и пьянству, по большей части сама чинила судъ и расправу, сама разставляла гарнизоны въ своей странѣ, отражала набѣги враговъ и помогала обижаемымъ сосѣдямъ. Блестящая слава о ней разнеслась по всей Скиѳіи, такъ что и жившіе на Таврическомъ полуостровѣ Херроницы, обижаемые царемъ сосѣднихъ Скиѳовъ, попросили ее принять ихъ въ число союзниковъ. Амага сначала послала *Скиѳскому царю* приказаніе прекратить свои набѣги на Херронисъ; когда же Скиѳъ не послушался, то *она* выбрала 120 человѣкъ, сильнѣйшихъ душою и тѣломъ, дала каждому по три лошади и, проскакавъ съ ними въ одинъ сутки 1200 стадій, внезапно явилась ко двору *царя* и перебила всѣхъ *стражей*, *стоявшихъ* у воротъ. Скиѳы пришли въ смятеніе отъ неожиданности и вообразили, что нападающихъ не столько, сколько они видѣли, а гораздо болѣе. Амага же, ворвавшись со своимъ отрядомъ въ дворецъ, убила царя и бывшихъ съ нимъ родственниковъ и друзей, страну отдала Херроницамъ, а царскую власть вручила сыну убитаго, приказавъ ему править справедливо и, помня *печальную* кончину отца, не трогать сосѣднихъ Эллиновъ и варваровъ.

1) О Горгиппѣ ср. *Inscr. Pont.* II, praef. p. XX.

Digitized by Google

EXCERPTA POLYAENI

E CODICE TACTICORUM FLORENTINO

nunc primum edita

(ed. Woelfflin — Melber, v. supra).

Переводъ В. А.

14. Προτροπὴ εἰς ἀνδρείαν καὶ πειθαναγκην.

14. Поощреніе къ храбрости и повиновенію.

19. Ὅτι Λεύκων προτάξας τοὺς ὁπλίτας ὑπέταξεν αὐτοῖς ἐκ τῶν Σκυθῶν ἑτέρους φανερῶς παραγγείλας ὡς, ἐὰν οἱ ὁπλῖται ὀκνῶσιν, τηνικαῦτα τοξεύειν καὶ κτιννύειν αὐτούς. τοῦτο μαθόντες οἱ ὁπλῖται εὐρώστως τοὺς πολεμίους μαχεσάμενοι ἐνίκησαν. (Cf. supra VI, 9, 4).

Левконъ, построивъ впереди оплитовъ, поставилъ за ними другихъ изъ Скиѳовъ, во всеуслышаніе приказавъ имъ, если оплиты будутъ медлить, тогда стрѣлять и убивать ихъ. Узнавъ объ этомъ, оплиты мужественно сразились и побѣдили враговъ.

15. Φαντασία πλήθους.

15. Представленіе многочисленности.

7. Ὅτι Τύννιχος πόλεως αὐτῷ ἐν παραθαλασσίᾳ πολιορκουμένης βουλόμενος τῆς πολιορκίας ἀπολυτρώσασθαι μίαν ναῦν κεκτημένος καὶ ἀναχθεὶς ἐπ' αὐτῆς, ἐν διαφόροις σκάφεσιν ἀνὰ ἑνὸς ἐμβιβάσας ἀνδρὸς μετὰ ἑνὸς σαλπιγκτοῦ διαστήσας συμμέτρως ἐκέλευσεν, ἡνίκα αὐτὸς ἀποσημάνῃ, διαδεξαμένους καὶ αὐτοὺς ὑποσημαίνειν παραλλάσσοντας τοὺς χρόνους, ὡς μὴ σάλπιγγος μιᾶς προσπίπτειν ἦχον, ἀλλὰ πλειόνων. τούτῳ τῷ τρόπῳ οἱ πολιορκοῦντες νομίσαντες ἐπίπλουν εἶναι στόλου μείζονος καταλιπόντες τὴν πόλιν ᾤχοντο. (Cf. supra V, 23).

Тиннихъ во время осады приморскаго города, желая освободить его отъ осады, выѣхалъ въ море на единственномъ бывшемъ у него кораблѣ, посадилъ на разные челноки по одному человѣку съ однимъ трубачемъ, разставилъ ихъ на умѣренное разстояніе и приказалъ, по данному имъ сигналу трубою, трубить одному за другимъ съ промежутками, чтобы звуки получались не отъ одной трубы, а отъ многихъ. Такимъ образомъ осаждающіе, предположивъ прибытіе значительнаго флота, оставили городъ и ушли.

8. Ὅτι Τριβαλλοῖς Σκύθαι παρατάσσεσθαι μέλλοντες παρήγγειλαν τοῖς γεωργοῖς καὶ τοῖς ἱπποφορβοῖς, ἐπειδὰν αἴσθωνται συμβάλλοντας αὐτούς, ἐπιφανῆναι πόρρωθεν τὰς ἀγέλας τῶν ἵππων ἐλαύνοντας. οὓς ἰδόντες οἱ πολέμιοι καὶ πλῆθος ἱππέων καὶ πεζῶν εἶναι νομίσαντες ἔφυγον. (Cf. supra VII, 44, 1).

Скиѳы передъ сраженіемъ съ Тривалами приказали земледѣльцамъ и коноводамъ показаться вдали съ табунами лошадей, когда узнаютъ, что они вступили въ битву. Враги, увидѣвъ ихъ и приняв за множество конныхъ и пѣшихъ *воиновъ*, бѣжали.

32. Ὅτι δεῖ τὰς ἐξ ἀπονοίας μάχας φυλάττεσθαι.

32. О томъ, что слѣдуетъ остерегаться битвъ отъ отчаянія.

6 = supra VII, 44,2.

Digitized by Google

ΠΑΥΣΑΝΙΑΣ. ПАВСАНІЙ.

[Авторъ сочиненія «Περιήγησις τῆς Ἑλλάδος» въ 10 книгахъ, написаннаго при Антонинахъ (5-я книга, какъ видно изъ одного яснаго упоминанія, написана въ 178 г.). Обстоятельства жизни автора неизвѣстны за исключеніемъ того, что онъ самъ говоритъ о своихъ путешествіяхъ; родиной его была одна изъ мѣстностей, близкихъ къ г. Сипилу въ М. Азіи.—Текстъ: Pausaniae descriptio Graeciae. Recogn. I. Henr. Chr. Schubart. Lips. ap. Teubn. 1875, 2 voll.].

ΠΕΡΙΗΓΗΣΙΣ ΤΗΣ ΕΛΛΑΔΟΣ. ОПИСАНІЕ ЕЛЛАДЫ.

I, 21, 5... Ἐνταῦθα [т. ἐ. Ἀθήνησιν ἐν τῷ ἱερῷ τοῦ Ἀσκληπιοῦ] ἄλλα τε καὶ Σαυροματικὸς ἀνάκειται θώραξ· ἐς τοῦτόν τις ἰδὼν οὐδὲν ἧσσον Ἑλλήνων τοὺς βαρβάρους φήσει σοφοὺς ἐς τὰς τέχνας εἶναι. Σαυρομάταις γὰρ οὔτε αὐτοῖς σίδηρός ἐστιν ὀρυσσόμενος οὔτε σφίσιν ἐσάγουσιν· ἄμικτοι γὰρ μάλιστα τῶν ταύτῃ βαρβάρων εἰσί. πρὸς οὖν τὴν ἀπορίαν ταύτην ἐξεύρηταί σφισιν· ἐπὶ μὲν τοῖς δόρασιν αἰχμὰς ὀστείνας ἀντὶ σιδήρου φοροῦσι, τόξα τε κράνινα καὶ ὀϊστούς, καὶ ὀστείνας ἀκίδας ἐπὶ τοῖς ὀϊστοῖς· καὶ σειρὰς περιβαλόντες τῶν πολεμίων ὁπόσοις καὶ τύχοιεν, τοὺς ἵππους ἀποστρέψαντες ἀνατρέπουσι τοὺς ἐνσχεθέντας ταῖς σειραῖς· (6) τοὺς δὲ θώρακας ποιοῦνται τὸν τρόπον τοῦτον. ἵππους πολλὰς ἕκαστος τρέφει, ὡς ἂν οὔτε ἐς ἰδιωτῶν κλήρους τῆς γῆς μεμερισμένης οὔτε τι φερούσης πλὴν ὕλης ἀγρίας, ἅτε ὄντων νομάδων. ταύταις οὐκ ἐς πόλεμον χρῶνται μόνον, ἀλλὰ καὶ θεοῖς θύουσιν ἐπιχωρίοις καὶ ἄλλως σιτοῦνται. συλλεξάμενοι δὲ τὰς ὁπλάς, ἐκκαθήραντές τε καὶ διελόντες ποιοῦσιν ἀπ' αὐτῶν ἐμφερῆ δρακόντων φολίσιν. ὅστις δὲ οὐκ εἶδέ πω δράκοντα, πίτυός γε εἶδε καρπὸν χλωρὸν ἔτι· ταῖς οὖν ἐπὶ τῷ καρπῷ τῆς πίτυος φαινομέναις ἐντομαῖς εἰκάζων τὸ ἔργον τὸ ἐκ τῆς ὁπλῆς οὐκ ἂν ἁμαρτάνοι. ταῦτα διατρήσαντες καὶ νεύροις ἵππων καὶ βοῶν συράψαντες χρῶνται θώραξιν οὔτε εὐπρεπείᾳ τῶν Ἑλληνικῶν ἀποδέουσιν οὔτε ἀσθενεστέροις· καὶ γὰρ συστάδην τυπτόμενοι καὶ βληθέντες ἀνέχονται.

Здѣсь [т. е. въ святилищѣ Асклипія въ Аѳинахъ], кромѣ другихъ даровъ, посвященъ Сарматскій панцырь. Взглянувъ на него, можно сказать, что варвары способны къ искусствамъ ничуть не менѣе Эллиновъ. У Савроматовъ нѣтъ желѣза, ни добываемаго ими самими, ни привознаго; ибо они менѣе всѣхъ мѣстныхъ варваровъ вступаютъ въ сношенія съ иностранцами. Но они нашли способъ восполнить этотъ недостатокъ: на копьяхъ у нихъ костяныя острія вмѣсто желѣзныхъ, луки и стрѣлы деревянные, а наконечники стрѣлъ также костяные; на попавшихся имъ враговъ они накидываютъ аркавы и *затѣмъ*, повернувъ лошадей, опрокидываютъ попавшихся въ арканы. Панцыри дѣлаютъ они слѣдующимъ образомъ: каждый *изъ нихъ* держитъ много лошадей, такъ какъ земля ихъ не раздѣлена на участки и ничего не производитъ, кромѣ дикой растительности, такъ какъ они ведутъ кочевой образъ жизни. Лошадей они употребляютъ не только для войны, но и приносятъ въ жертву туземнымъ богамъ и употребляютъ въ пищу. Ихъ копыта они собираютъ, очищаютъ, разрѣзаютъ и дѣлаютъ изъ нихъ нѣчто въ родѣ змѣиной чешуи. Кому не случалось еще видѣть змѣи, тотъ навѣрное видалъ еще зеленыя сосновыя шишки: птакъ съ бороздками, виднѣющимися на сосновой шишкѣ, можно, пожалуй, безошибочно сравнить то, что дѣлается изъ копытъ; эти пластинки они просверливаютъ, сшиваютъ лошадиными и бычачьими жилами и употребляютъ въ качествѣ панцырей, которые ни красотою, ни крѣпостью не уступаютъ Эллинскимъ: они выдерживаютъ даже удары и раны, наносимыя въ рукопашную.

Digitized by Google

I, 24, 6. ...τοὺς γρῦπας ἐν τοῖς ἔπεσιν Ἀριστέας ὁ Προκοννήσιος μάχεσθαι περὶ τοῦ χρυσοῦ φησὶν Ἀριμασποῖς τοῖς ὑπὲρ Ἰσσηδόνων· τὸν δὲ χρυσόν, ὃν φυλάττουσιν οἱ γρῦπες, ἀνιέναι τὴν γῆν· εἶναι δὲ Ἀριμασποὺς μὲν ἄνδρας μονοφθάλμους πάντας ἐκ γενετῆς, γρῦπας δὲ θηρία λέουσιν εἰκασμένα, πτερὰ δὲ ἔχειν καὶ στόμα ἀετοῦ.

...Аристей Проконнисскій говоритъ въ своей поэмѣ, что грипы сражаются за золото съ Аримаспами, *живущими* выше Иссидоновъ, и что золото, которое стерегутъ грипы, производитъ земля; Аримаспы, *по его словамъ*,—всѣ одноглазые отъ рожденія, а грипы—звѣри, похожіе на львовъ, но съ крыльями и орлинымъ клювомъ.

I, 31, 2. Ἐν δὲ Πρασιεῦσιν Ἀπόλλωνός ἐστι ναός· ἐνταῦθα τὰς Ὑπερβορέων ἀπαρχὰς ἰέναι λέγεται, παραδιδόναι δὲ αὐτὰς Ὑπερβορέους μὲν Ἀριμασποῖς, Ἀριμασποὺς δὲ Ἰσσηδόσι, παρὰ δὲ τούτων Σκύθας ἐς Σινώπην κομίζειν, ἐντεῦθεν δὲ φέρεσθαι διὰ Ἑλλήνων ἐς Πρασιάς, Ἀθηναίους δὲ εἶναι τοὺς ἐς Δῆλον ἄγοντας· τὰς δὲ ἀπαρχὰς κεκρύφθαι μὲν ἐν καλάμῃ πυρῶν, γινώσκεσθαι δ' ὑπ' οὐδένων.

Въ Прасіяхъ есть храмъ Аполлона; сюда приносятся, говорятъ, начатки отъ Ипербореевъ: Ипербореи передаютъ ихъ Аримаспамъ, Аримаспы — Иссидонамъ, отъ нихъ Скиѳы привозятъ ихъ въ Синопу, отсюда они несутся Эллинами въ Прасіи, *наконецъ* Аѳиняне перевозятъ ихъ на Делосъ; начатки эти спрятаны въ пшеничной соломѣ и никому не извѣстны.

I, 32, 1. Ὄρη δὲ Ἀθηναίοις ἐστὶ Πεντελικόν... καὶ Πάρνης... καὶ Ὑμηττός, ὃς φύει νομὰς μελίσσαις ἐπιτηδειοτάτας πλὴν τῆς Ἀλαζώνων. Ἀλαζῶσι γὰρ συνήθεις ὁμοῦ τοῖς ἄλλοις ἐς νομὰς ἰοῦσιν εἰσὶν ἄφετοι καὶ μέλισσαι, οὐδὲ σφᾶς ἐς σίμβλους καθείρξαντες ἔχουσιν...

Горы у Аѳинянъ—Пентеликъ... Парнѳъ... и Имиттъ, доставляющій наилучшій кормъ для пчелъ послѣ Алазонской *земли*. У Алазоновъ прирученныя пчелы отпускаются на луга вмѣстѣ съ другими *животными*, и ихъ не держатъ запертыми въ ульяхъ...

I, 43, 1 ...οἶδα Ἡσίοδον ποιήσαντα ἐν καταλόγῳ γυναικῶν Ἰφιγένειαν οὐκ ἀποθανεῖν, γνώμῃ δὲ Ἀρτέμιδος Ἑκάτην εἶναι. τούτοις δὲ Ἡρόδοτος ὁμολογοῦντα ἔγραψε, Ταύρους τοὺς πρὸς τῇ Σκυθικῇ θύειν παρθένῳ τοὺς ναυαγούς, φάναι δὲ αὐτοὺς τὴν παρθένον Ἰφιγένειαν εἶναι τὴν Ἀγαμέμνονος.

...Я знаю, что по словамъ Исіода въ «Каталогѣ женщинъ» Ифигенія не умерла, но по волѣ Артемиды стала Екатою. Согласно съ этимъ Иродотъ пишетъ[1]), что Тавры, живущіе въ сосѣдствѣ съ Скиѳіею, приносятъ потерпѣвшихъ кораблекрушеніе въ жертву Дѣвѣ и эту Дѣву называютъ Ифигеніею, дочерью Агамемнона.

II, 3, 10. Εὔμηλος δὲ Ἥλιον ἔφη δοῦναι τὴν χώραν Ἀλωεῖ μὲν τὴν Ἀσωπίαν, Αἰήτῃ δὲ τὴν Ἐφυραίαν· καὶ Αἰήτην ἀπιόντα ἐς Κόλχους παρακαταθέσθαι Βούνῳ τὴν γῆν...

Евмилъ говоритъ, что Илій далъ Алоею Асопскую область, а Эиту — Ефирскую, и что Эитъ передъ отъѣздомъ въ Колхиду заложилъ свою землю Вуну[2])...

III, 16, 7. Τὸ δὲ χωρίον τὸ ἐπονομαζόμενον Λιμναῖον Ὀρθίας ἱερόν ἐστιν Ἀρτέμιδος, τὸ ξόανον δὲ ἐκεῖνο εἶναι λέγουσιν ὃ ποτε Ὀρέστης καὶ Ἰφιγένεια ἐκ τῆς Ταυρικῆς ἐκκλέπτουσιν· ἐς δὲ τὴν σφετέραν Λακεδαιμόνιοι κομισθῆναί φασιν Ὀρέστου καὶ ἐνταῦθα βασιλεύοντος. καί μοι εἰκότα

Мѣстность, называемая Лимнэемъ[3]), посвящена Артемидѣ Ореіи. Деревянная ея статуя, говорятъ, та самая, которую нѣкогда Орестъ и Ифигенія выкрали изъ Таврики; Лакедэмоняне говорятъ, что *статуя* была привезена въ ихъ землю, потому что Орестъ царствовалъ и тамъ. И мнѣ

1) Herod. IV, 103 (supra, p. 41). 2) V. supra pp. 320 et 330. 3) Въ Спартѣ.

Digitized by Google

λέγειν τι μᾶλλόν δοκοῦσιν ἢ Ἀθηναῖοι. ποίῳ γὰρ δὴ λόγῳ κατέλιπεν ἂν ἐν Βραυρῶνι Ἰφιγένεια τὸ ἄγαλμα; ...(8) καίτοι διαμένηκεν ἔτι καὶ νῦν τηλικοῦτο ὄνομα τῇ Ταυρικῇ θεῷ, ὥστε ἀμφισβητοῦσι μὲν Καππαδόκαι οἱ τὸν Εὔξεινον οἰκοῦντες τὸ ἄγαλμα εἶναι παρὰ σφίσιν, ἀμφισβητοῦσι δὲ καὶ Λυδῶν οἷς ἐστὶν Ἀρτέμιδος ἱερὸν Ἀναιτίτιδος... (11)... [ἐν Σπάρτῃ] τῷ ἀγάλματι ἀπὸ τῶν ἐν τῇ Ταυρικῇ θυσιῶν ἐμμένηκεν ἀνθρώπων αἵματι ἥδεσθαι.

кажется, что ихъ преданіе правдоподобнѣе Аѳинскаго; въ самомъ дѣлѣ, на какомъ основаніи Ифигенія оставила бы статую въ Врavронѣ?... Имя Таврической богини по настоящее время остается до такой степени знаменитымъ, что изъ-за нея спорятъ живущіе у Евксинскаго Понта Каппадокійцы, *утверждая*, что статуя находится у нихъ, спорятъ также и тѣ Лидійцы, у которыхъ есть святилище Артемиды Анаитиды... [Въ Спартѣ] за статуею отъ приносившихся ей въ Таврикѣ жертвоприношеній [человѣческихъ] осталось свойство наслаждаться человѣческой кровью.

III, 19, 7... Ὁπόσα δὲ πεποίηται κατὰ τὴν ὁδὸν ταύτην, ἐστὶν ἀρχαιότατον αὐτῶν Ἄρεως ἱερόν. τοῦτό ἐστιν ἐν ἀριστερᾷ τῆς ὁδοῦ, τὸ δ' ἄγαλμα τοὺς Διοσκούρους φασὶ κομίσαι ἐκ Κόλχων· (8) Θρειτὰν δὲ ἐπονομάζουσιν ἀπὸ Θηροῦς· ταύτην γὰρ τροφὸν εἶναι τοῦ Ἄρεως λέγουσι. τάχα δ' ἂν ἀκηκοότες παρὰ Κόλχων Θρειτὰν λέγοιεν, ἐπεὶ Ἕλληνές γε οὐκ ἴσασιν Ἄρεως τροφὸν Θηρώ· δοκεῖν δέ μοι, Θρειτὰς οὐ διὰ τὴν τροφὸν ἡ ἐπωνυμία τῷ Ἄρει γέγονεν, ὅτι δὲ ἀνδρὶ χρὴ πολεμίῳ καταστάντα ἐς μάχην οὐδὲν ἔτι ἔχειν ἤπιον, καθὰ δὴ καὶ Ὁμήρῳ περὶ Ἀχιλλέως πεποίηται «λέων δ' ὣς ἄγρια οἶδεν».

...Изъ всѣхъ *храмовъ*, построенныхъ по этой дорогѣ [1]), самымъ древнимъ является святилище Арея, стоящее на лѣвой сторонѣ дороги; статую, говорятъ, привезли *сюда* Діоскуры изъ Колхиды. *Арея* называютъ *здѣсь* Θритомъ отъ Θиро, которая считается кормилицею Арея. Очень можетъ быть, что названіе Θирита заимствовано отъ Колховъ, такъ какъ Еллины не знаютъ Ареевой кормилицы Θиро; мнѣ кажется, однако, что прозваніе «Θиритъ» [т. е. звѣрскій] дано Арею не отъ кормилицы, а потому, что, выступивъ на бой, нельзя имѣть чувства кротости къ врагу, подобно тому, какъ у Омира сказано объ Ахиллѣ: «какъ левъ, о свирѣпствахъ лишь мыслитъ» [2]).

III, 19, 11. Ὃν δὲ οἶδα λέγοντας Κροτωνιάτας περὶ Ἑλένης λόγον, ὁμολογοῦντας δέ σφισι καὶ Ἰμεραίους, ἐπιμνησθήσομαι καὶ τοῦδε. ἔστιν ἐν τῷ Εὐξείνῳ νῆσος κατὰ τοῦ Ἴστρου τὰς ἐκβολὰς Ἀχιλλέως ἱερά· ὄνομα μὲν τῇ νήσῳ Λευκή, περίπλους δὲ αὐτῇ σταδίων εἴκοσι, δασεῖα δὲ ὕλῃ πᾶσα καὶ πλήρης ζῴων ἀγρίων καὶ ἡμέρων, καὶ ναὸς Ἀχιλλέως καὶ ἄγαλμα ἐν αὐτῇ. (12) ἐς ταύτην πρῶτος ἐσπλεῦσαι λέγεται Κροτωνιάτης Λεώνυμος. πολέμου γὰρ Κροτωνιάταις συνεστηκότος πρὸς τοὺς ἐν Ἰταλίᾳ Λοκρούς, τῶν Λοκρῶν κατὰ οἰκειότητα πρὸς Ὀπουντίους Αἴαντα τὸν Οἰλέως ἐς τὰς μάχας ἐπικαλουμένων, ὁ Λεώνυμος Κροτωνιάταις στρατηγῶν ἐπῄει τοῖς ἐναντίοις κατὰ τοῦτο ᾗ προτετάχθαι σφίσι τὸν Αἴαντα ἤκουε. τιτρώσκεται δὴ τὸ στέρνον, καὶ,

Я приведу здѣсь разсказъ объ Еленѣ, передаваемый, какъ мнѣ извѣстно, Кротонцами и подтверждаемый Имерійцами. Есть въ Евксинскомъ *Понтѣ* противъ устьевъ Истра посвященный Ахиллу островъ, называемый Бѣлымъ и имѣющій въ окружности 20 стадій; онъ весь покрытъ густымъ лѣсомъ и наполненъ дикими и ручными животными; на немъ находится храмъ Ахилла съ его статуею. Первымъ, какъ разсказываютъ, посѣтилъ этотъ островъ Кротонецъ Леонимъ. *Дѣло было такъ*: когда у Кротонцевъ завязалась война съ италійскими Локрами и послѣдніе по родству съ *Локрами* Опунтскими призывали на помощь въ сраженіяхъ Эанта, сына Оилеева, то Леонимъ, предводительствовавшій Кротонцами, напалъ на враговъ съ

1) Ведущей изъ Спарты въ Θерапну.

2) Ил. 24, 41 (пер. Гнѣдича).

Digitized by Google

ἔκαμνε γὰρ ὑπὸ τοῦ τραύματος, ἀφίκετο ἐς Δελφούς. ἐλθόντα δὲ ἡ Πυθία Λεώνυμον ἀπέστελλεν ἐς νῆσον τὴν Λευκήν, ἐνταῦθα εἰποῦσα αὐτῷ φανήσεσθαι τὸν Αἴαντα καὶ ἀκέσεσθαι τὸ τραῦμα. (13) χρόνῳ δὲ ὡς ὑγιάνας ἐπανῆλθεν ἐκ τῆς Λευκῆς, ἰδεῖν μὲν ἔφασκεν Ἀχιλλέα, ἰδεῖν δὲ τὸν Ὀϊλέως καὶ τὸν Τελαμῶνος Αἴαντα, συνεῖναι δὲ καὶ Πάτροκλόν σφισι καὶ Ἀντίλοχον· Ἑλένην δὲ Ἀχιλλεῖ μὲν συνοικεῖν, προστάξαι δὲ οἱ πλεύσαντι ἐς Ἰμέραν πρὸς Στησίχορον ἀγγέλλειν ὡς ἡ διαφθορὰ τῶν ὀφθαλμῶν ἐξ Ἑλένης γένοιτο αὐτῷ μηνίματος. Στησίχορος μὲν ἐπὶ τούτῳ τὴν παλινῳδίαν ἐποίησεν.

той стороны, гдѣ, какъ онъ слышалъ, стоялъ предъ ними Эантъ. Тутъ онъ былъ раненъ въ грудь и, страдая отъ раны, прибылъ въ Дельфы; но Пиѳія послала его на Бѣлый островъ, сказавъ, что тамъ явится ему Эантъ и исцѣлитъ рану. Впослѣдствіи *Леонимъ*, возвратившись съ Бѣлаго *острова* исцѣленнымъ, разсказывалъ, что видѣлъ Ахилла, Эанта Оилеева и *Эанта* Теламонова и что съ ними были Патроклъ и Антилохъ; что Елена живетъ съ Ахилломъ и велѣла ему [т. е. Леониму] ѣхать въ Имеру къ Стисихору и объявить *ему*, что онъ лишился зрѣнія вслѣдствіе гнѣва Елены. Стисихоръ по этому случаю сочинилъ «Палинодію».

III, 24, 7. Ἔστι δὲ ἐν τοῖς ἐρειπίοις ναὸς Ἀθηνᾶς ἐπίκλησιν Ἀσίας, ποιῆσαι δὲ Πολυδεύκην καὶ Κάστορά φασιν ἀνασωθέντας ἐκ Κόλχων· εἶναι γὰρ καὶ Κόλχοις Ἀθηνᾶς Ἀσίας ἱερόν. μετασχόντας μὲν οὖν οἶδα Ἰάσονι τοῦ στόλου τοὺς Τυνδάρεω παῖδας· ὅτι δὲ Ἀθηνᾶν Ἀσίαν τιμῶσιν οἱ Κόλχοι, παρὰ Λαῶν ἀκούσας γράφω.

Между развалинами [города Ласа въ Лаконикѣ] есть святилище Аѳины, по прозвищу Асійской, построенное, по преданію, Полидевкомъ и Кастеромъ по возвращеніи изъ Колхиды, ибо у Колховъ тоже было святилище Аѳины Асійской. Объ участіи сыновей Тиндарея въ походѣ Іасона я знаю *навърное*, а о почитаніи Аѳины Асійской у Колховъ пишу на основаніи сообщенія жителей Ласа.

IV, 34, 2... Θηρία δὲ ἐς ὄλεθρον ἀνθρώπων οὐ πεφύκασιν οἱ Ἑλλήνων ποταμοὶ φέρειν, καθάπερ γε Ἰνδὸς καὶ Νεῖλος ὁ Αἰγύπτιος, ἔτι δὲ Ῥῆνος καὶ Ἴστρος, Εὐφρατης τε καὶ Φᾶσις. οὗτοι γὰρ δὴ θηρία ὁμοίως τοῖς μάλιστα ἀνδροφάγα αὔξουσι, ταῖς ἐν Ἕρμῳ καὶ Μαιάνδρῳ γλάνισιν ἐοικότα ἰδέας, πλὴν χρόας τε μελαντέρας καὶ ἀλκῆς· ταῦτα δὲ αἱ γλάνεις ἀποδέουσιν.

...Въ еллинскихъ рѣкахъ не водятся опасныя для людей чудовища, какъ въ Индѣ и Египетскомъ Нилѣ, кромѣ того въ Рейнѣ, Истрѣ, Евфратѣ и Фасидѣ: тамъ водятся животныя, чрезвычайно падкія до человѣческаго мяса, по виду похожія на ермскихъ и меандрскихъ сомовъ за исключеніемъ болѣе чернаго цвѣта и силы: въ этомъ сомы имъ уступаютъ.

IV, 35, 12... Τὸν Ἡρόδοτον οἶδα εἰπόντα ὡς ἐς τὸν Ὕπανιν ἐκδίδωσιν ὕδατος πικροῦ πηγή. πῶς δ' ἂν οὐκ ἀποδεξαίμεθα ἀληθεύειν αὐτῷ τὸν λόγον, ὅπου γε καὶ ἐφ' ἡμῶν ἐν Δικαιαρχίᾳ τῇ Τυρρηνῶν ἐξεύρηται ὕδωρ σφίσι θερμόν, οὕτω δή τι ὀξὺ ὥστε τὸν μόλυβδον, διεξῄει γὰρ διὰ μολύβδου ῥέον, ἔτεσι κατέτηξεν οὐ πολλοῖς.

...Иродотъ, какъ извѣстно, говоритъ[1]), что въ *рѣку* Ипанидъ впадаетъ источникъ горькой воды. Какъ же намъ не вѣрить справедливости этого свидѣтельства, когда и въ наше время въ Тирринской Дикэархіи извѣстенъ теплый источникъ, до такой степени ѣдкій, что, протекая чрезъ свинцовыя трубы, въ теченіе немногихъ лѣтъ растворилъ *этотъ* свинецъ.

V, 7, 7... Κομισθῆναι δὲ ἐκ τῆς Ὑπερβορέων γῆς τὸν κότινόν φασιν ὑπὸ τοῦ

...Говорятъ, что дикая маслина принесена въ Элладу Иракломъ изъ земли Иперъ-

1) Herod. IV, 52 (supra, p. 23).

Digitized by Google

Ἡρακλέους ἐς Ἕλληνας, εἶναι δὲ ἀνθρώπους οἳ ὑπὲρ τὸν ἄνεμον οἰκοῦσι τὸν Βορέαν. (8) Πρῶτος μὲν ἐν ὕμνῳ τῷ ἐς Ἀχαιΐαν ἐποίησεν Ὠλὴν Λύκιος ἀφικέσθαι τὴν Ἀχαιΐαν ἐς Δῆλον ἐκ τῶν Ὑπερβορέων τούτων. ἐπεὶ δὲ ᾠδὴν Μελάνωπος Κυμαῖος ἐς Ὦπιν καὶ Ἑκαέργην ἦσεν, ὡς ἐκ τῶν Ὑπερβορέων καὶ αὗται πρότερον ἔτι τῆς Ἀχαιΐας ἀφίκοντο ἐς Δῆλον. (9) Ἀρισταῖος δὲ ὁ Προκοννήσιος, μνήμην γὰρ ἐποιήσατο Ὑπερβορέων καὶ οὗτος, τάχα ἄν τι καὶ πλέον περὶ αὐτῶν πεπυσμένος εἴη παρὰ Ἰσσηδόνων, ἐς οὓς ἀφικέσθαι φησὶν ἐν τοῖς ἔπεσιν.

бореевъ, народа, живущаго выше вѣтра Борея. Ликіецъ Олинъ въ гимнѣ въ честь Ахеи первый сочинилъ, что Ахея прибыла на островъ Делосъ изъ земли этихъ Иперборееевъ. Затѣмъ Меланопъ Кимейскій въ пѣснѣ въ честь Опиды и Екаерги говоритъ, что онѣ прибыли отъ Иперборееевъ на Делосъ еще раньше Ахеи. Но Аристей Проконнисскій, который также упоминаетъ объ Ипербореяхъ, можетъ быть, имѣлъ объ нихъ болѣе подробныя свѣдѣнія отъ Иссидоновъ, о путешествіи къ которымъ онъ говоритъ въ *своей* поэмѣ.

V, 11, 6... Λέγεται δὴ καὶ τόδε ἐς τὸν Ἡρακλέα, ὡς ἀποκτείναι μὲν τὸν ἀετὸν δς ἐν τῷ Καυκάσῳ τὸν Προμηθέα ἐλύπει, ἐξέλοιτο δὲ καὶ αὐτὸν Προμηθέα ἐκ τῶν δεσμῶν.

...Про Иракла разсказываютъ и то, что онъ, убивъ орла, который на Кавказѣ мучилъ Промееея, и самого Промееея освободилъ изъ оковъ.

VIII, 28, 2... Ἴστρον μέν γε καὶ Ῥῆνον, ἔτι δὲ Ὑπανίν τε καὶ Βορυσθένην καὶ ὅσων ἄλλων ἐν ὥρᾳ χειμῶνος τὰ ῥεύματα πήγνυται, τούτους χειμερίους κατὰ τὴν ἐμὴν δόξαν ὀρθῶς ὀνομάσαι τις ἄν· οἳ ῥέουσι μὲν διὰ γῆς τὸ πολὺ τοῦ χρόνου νειφομένης, ἀνάπλεως δὲ κρυμοῦ καὶ ὁ περὶ αὐτούς ἐστιν ἀήρ...

...*Реки* Истръ, Рейнъ, Ипанидъ, Борисеенъ и вообще такія, которыя замерзаютъ въ зимнее время, по моему мнѣнію, правильно было бы называть холодными: онѣ текутъ по землямъ, большую часть времени покрытымъ снѣгомъ, и самый воздухъ, ихъ окружающій, наполненъ холодомъ...

VIII, 43, 6. Ἀντωνῖνος... ὁ δεύτερος καὶ τούς τε Γερμανούς, μαχιμωτάτους καὶ πλείστους τῶν ἐν τῇ Εὐρώπῃ βαρβάρων, καὶ ἔθνος τὸ Σαυροματῶν πολέμου καὶ ἀδικίας ἄρξαντας τιμωρούμενος ἐπεξῆλθε.

Антонинъ второй наказалъ и Германцевъ, самое воинственное и многочисленное изъ варварскихъ *племенъ* въ Европѣ, и народъ Савроматскій, ибо они первые начали войну и обиды.

IX, 34, 8... Ὕστερον δὲ ἀναστρέψαντος ἐκ Κόλχων οἱ μὲν αὐτοῦ Φρίξου φασίν, οἱ δὲ Πρέσβωνος, γεγονέναι δὲ Φρίξῳ τὸν Πρέσβωνα ἐκ τῆς Αἰήτου θυγατρός, οὕτω συγχωροῦσιν οἱ Θερσάνδρου παῖδες οἶκον μὲν τὸν Ἀθάμαντος Ἀθάμαντι καὶ τοῖς ἀπὸ ἐκείνου προσήκειν, αὐτοὶ δὲ... Ἁλιάρτου καὶ Κορωνείας ἐγένοντο οἰκισταί.

...Впослѣдствіи, когда возвратился изъ Колхиды по однимъ самъ Фриксъ, а по другимъ—Пресвонъ, сынъ Фрикса отъ дочери Эита, то сыновья Ѳерсандра предоставили Аѳаманту и его потомкамъ владѣть домомъ Аѳаманта, а сами... сдѣлались основателями Аліарта и Коронеи.

X, 5, 7... Βοιὼ δὲ ἐπιχωρία γυνὴ ποιήσασα ὕμνον Δελφοῖς ἔφη κατασκευάσασθαι τὸ μαντεῖον τῷ θεῷ τοὺς ἀφικομένους ἐξ Ὑπερβορέων τούς τε ἄλλους καὶ Ὠλῆνα· τοῦτον δὲ καὶ μαντεύσασθαι πρῶτον καὶ ᾆσαι πρῶτον τὸ ἑξάμετρον. (8) πεποίηκε δὲ ἡ Βοιὼ τοιάδε·

...Мѣстная [т. е. Дельфійская] уроженка Віо, сочинившая гимнъ Дельфійцамъ, говоритъ, что прорицалище [въ Дельфахъ] устроили для бога пришельцы изъ страны Иперборееевъ, Олинъ и другіе; Олинъ былъ, по ея словамъ, и первымъ прорицателемъ и первый изобрѣлъ гексаметръ. Віо пишетъ слѣдующимъ образомъ:

Digitized by Google

Ἔνθα τοι εὔμνηστον χρηστήριον ἐκτελέσαντο
παῖδες Ὑπερβορέων Πάγασος καὶ δῖος Ἀγυιεύς.

Здѣсь устроили добропамятное прорицалище сыны Иперборeевъ Пагасъ и дивный Агіей.

ἐπαριθμοῦσα δὲ καὶ ἄλλους τῶν Ὑπερβορέων, ἐπὶ τελευτῇ τοῦ ὕμνου τὸν Ὠλῆνα ὠνόμασεν·

Перечисливъ затѣмъ остальныхъ Иперборeевъ, *поэтесса* въ концѣ гимна называетъ Олина:

Ὠλήν θ', ὃς γένετο πρῶτος Φοίβοιο προφάτας,
πρῶτος τ' ἀρχαίων ἐπέων τεκτήνατ' ἀοιδάν.

И Олинъ, который былъ первымъ пророкомъ Фива и первый изъ древнихъ сочинилъ эпическую пѣснь.

ΑΙΛΙΟΣ ΗΡΩΔΙΑΝΟΣ. ЭЛІЙ ИРОДІАНЪ.

[Элій Иродіанъ, по прозванію ὁ τεχνικός, сынъ знаменитаго грамматика Аполлонія Дискола, родился въ Александріи, но еще въ молодыхъ лѣтахъ переселился въ Римъ, гдѣ пользовался расположеніемъ и уваженіемъ императора М. Аврелія и писалъ свои многочисленныя сочиненія грамматическаго содержанія. Изъ нихъ дошло до насъ въ цѣлости только одно—Περὶ μονήρους λέξεως, а изъ остальныхъ, въ томъ числѣ и изъ главнѣйшаго — Καθολικὴ προσῳδία въ 21 книгахъ,—имѣются лишь отрывки и выдержки у позднѣйшихъ грамматиковъ. Трудъ возсозданія его сочиненій изъ сохранившихся остатковъ съ изумительнымъ усердіемъ исполненъ Авг. Ленцомъ: Herodiani technici reliquiae. Collegit disposuit emendavit explicavit praefatus est Aug. Lentz. 2 voll. Lips. ap. Teubn. 1867—70. Огромное большинство отрывковъ, имѣющихъ интересъ и значеніе для нашей цѣли, заимствовано Ленцомъ изъ Стефана Византійскаго; поэтому мы не воспроизводимъ ихъ цѣликомъ, а только указываемъ соотвѣтствующія мѣста у Стефана. Извлеченіе нужныхъ отрывковъ принадлежитъ главнымъ образомъ А. І. Малеину].

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΚΑΘΟΛΙΚΗΣ ΠΡΟΣΩΙΔΙΑΣ [1]).

ИЗЪ СОЧИНЕНІЯ ИРОДІАНА ОБЪ ОБЩЕЙ ПРОСОДІИ.

ΒΙΒΛΙΟΝ Α'.

I, 22,14. Ἠμίκυνες=Steph. Byz. s. v. (v. supra, p. 260).
26,27. Ἰσσηδών = id. s. v. (supra, p. 261). Cf. II, 527,4.

28,8—30. Τὸ δὲ Ἀμαζὼν ἔχει μακρὸν τὸ ᾱ· ἔστι δὲ ἔθνος γυναικεῖον πρὸς τῷ Θερμώδοντι, ὡς Ἔφορος. τινὲς ἀπὸ τοῦ ἐστερῆσθαι μαζῶν· ἀπίθανος δὲ ἡ τοιαύτη ἐτυμολογία· Θεμισταγόρας δὲ καὶ ἐν τῇ χρυσῇ βίβλῳ φησίν· «ὅτι κατὰ τὴν Ἀλόπην τὴν νῦν καλουμένην Λυκίαν τὴν πρὸς τῇ Ἐφέσῳ γυναῖκες μιᾷ συμβουλῇ τὰ συνήθη ταῖς γυναιξὶν ἔργα ἀπαρνησάμεναι καὶ ζώναις χρησάμεναι τὰ τῶν ἀνδρῶν πάντα ἐπετήδευον· πρὸς δὲ τὰ ἄλλα καὶ ἡμῶν σὺν αὐταῖς ζώναις, ὅ ἐστιν ἐθέριζον. διὰ τοῦτο καὶ Ἀμαζόνας κεκλῆσθαι τὰς σὺν ταῖς ζώναις ἀμώσας». ἢ ὅτι τὸν ἕνα τῶν

Слово Ἀμαζὼν имѣетъ долгое α. Это—женское племя у Θермодонта, какъ *говорить* Ефоръ. Нѣкоторые *производятъ это названіе* отъ отсутствія грудей; но такое производство невѣроятно. Θемистагоръ и въ «Золотой книгѣ» говоритъ: «Въ Алопѣ, называемой нынѣ Ликіей, что у Ефеса, женщины, единодушно отказавшись отъ обычныхъ женскихъ занятій и подпоясавшись поясами, стали заниматься всѣми мужскими *дѣлами*; между прочимъ онѣ ѣмовъ, т. е. жали съ этими поясами; поэтому и названы Ἀмαζόνες жнущія съ поясами»; или потому, что онѣ выжигали одну

1) Въ цитатахъ римская цифра обозначаетъ томъ, первая арабская—страницу и вторая арабская (меньшая)—строку по изд. Ленца.

Digitized by Google

μαζῶν ἕκαιον χάριν τοῦ τοξεύειν ἢ ὅτι μάζαις οὐκ ἐχρῶντο, ἀλλ' ὄφεσι καὶ σκορπίοις καὶ σαύραις καὶ χελώναις. οἱ δὲ ἀπὸ μητρὸς Ἀμαζοῦς... τὸ δὲ ἀλαζὼν ὁ ὑπερήφανος μακρὸν ἔχον τὸ ᾱ ὀξύνεται· τὸ δὲ ἐπὶ ἔθνους ὁμόρου τοῖς Σκύθαις φυλάττει τὸ ω̄ ἐν ταῖς πλαγίαις πρὸς ἀντιδιαστολήν [1]).

грудь ради стрѣльбы изъ лука, или потому, что не ѣли лепешекъ, а змѣй, скорпіоновъ, ящерицъ и черепахъ; иные же *производятъ названіе* отъ матери Амазон... А слово ἀλαζών — надменный имѣетъ долгое α и острое ударѐніе на послѣднемъ слогѣ; *какъ названіе* смежнаго со Скиѳами народа сохраняетъ ω въ косвенныхъ *падежахъ* для отличія.

34,23. Μάκρωνες = Steph. B. s. v. (supra, p. 262).

ΒΙΒΛΙΟΝ Β'.

45,10. Ἰάζυξ = Steph. B. s. v. Ἰάζυγες (supra, p. 260).
47,15. Φίλυρες = id. s. v. (supra, p. 269). Cf. II, 231,18.
48,15. Βύζηρ = id. s. v. (supra, p. 257).
49,20. Βέχειρ = id. s. v. (supra, p. 256). Cf. II, 431,17; 748,8 et 11.
Ibid. Σάπειρ ἢ μετὰ τοῦ σ̄ Σάσπειρ = id. s. v. (supra, p. 265). Cf. II, 578,25.
52,28. Ματόας· οὕτω πάλαι ὑπὸ Σκυθῶν ἐκαλεῖτο Ἴστρος ὁ ποταμός. Ματόας δέ ἐστι καθ' Ἕλληνας ἄσιος. Cf. St. Byz. s. v. Δάνουβις (supra, p. 258).
53,10. Ῥήβας = St. Byz. s. v. (supra, p. 265).
56,11. Τύρας πόλις καὶ ποταμὸς ἐν τῷ Εὐξείνῳ πόντῳ, ὡς ὁ πολυίστωρ. λέγεται δὲ καὶ Τύρις. Cf. Steph. Byz. s. v. (supra, p. 267).
58,10. Χοιράδες = St. Byz. s. v. (supra, p. 270).
58,29. Διοσκουριάς = id. s. v. (supra, p. 259).
58,35. Ἀφροδισιάς = id. s. v. (supra, p. 255).

ΒΙΒΛΙΟΝ Γ'.

59,19. Δάης = id. s. v. (supra, p. 258).
62,9. Σκύθης = id. s. v. (supra, p. 265). Cf. II, 678,24; 690,3; 691,3.
62,19. Σάκης = id. s. v. (ibid.). Cf. I, 54,21; II, 678,29.
66,3. Σαννίγης = id. s. v. (ibid.).
68,33. Ἀπασιάκης = id. s. v. (v. infra in addendis).
69,6. Καραμβύκης = id. s. v. (v. infra in add.).
69,8. Παυσάρκης = id. s. v. (v. supra, p. 264).
69,30. Ἀψίλης = id. s. v. (supra, p. 256).
70,7. Ἰάμης = id. s. vv. Ἰάμαι et Ἴαμοι (supra, p. 260). Cf. p. 170,18.
70,16. Βαστάρνης = id. s. v. (supra, p. 256).
70,19. Βορυσθένης = id. s. v. (ibid.). Cf. II, 406,23; 436,31; 483,11; 866,33.
71,3. Ἀκεσίνης ποταμὸς ὁ Τάναϊς. Cf. St. B. s. v. Τάναϊς (supra, p. 266).
71,10. Ἀράξης = id. s. v. (supra, p. 254). Cf. p. 159,18.
72,9. Τιπανίσης = id. s. v. (supra, p. 267). Cf. II, 436,3.
72,14. Ἰξιβάτης = id. s. v. (supra, p. 261).
72,15. Ἰαζαβάτης = id. s. v. (supra, p. 260).
72,16. Σαρμάτης = id. s. v. (supra, p. 265). Cf. Σαρματία ἡ χώρα p. 289,41.

1) «Ἀμαζών... ex fontibus supra nominatis adieci, verba usque ad Ἔφορος l. 8 ex St. B. τινὲς (quod propter sententiam addidi) ἀπὸ τοῦ ἐστερῆσθαι usque ad Ἀμαζοῦς l. 16 ex Ep. Hom. 80, 8 (cf. E. M. 75, 45)... l. 19 ὁμόρου τοῖς Σκύθαις ex St. B. et l. 20 πρὸς ἀντιδιαστολήν ex simili loco St. B. s. Ὀλιζών». Lentz.

Digitized by Google

72,18. Συρμάται = id. s. v. (supra, p. 266).
72,24. Χαριμάτης = id. s. v. (supra, p. 270).
73,4. Ματυκέτης = id. s. v. (supra, p. 263).
73,6. Εὐεργέτης = id. s. v. (supra, p. 259).
73,8. Θυσσαγέτης = id. s. v. (supra, p. 260).
73,9. Τορέτης = id. s. v. (supra, p. 267).
73,10. Μυργέτης = id. s. v. (supra, p. 263). Cf. II, 552,14.
75,1. Μαιώτης = id. s. v. (supra, p. 262). Cf. p. 106,20.
78,3. Ἰαξάρτης ποταμὸς ὁ Τάναϊς. Cf. St. B. s. v. Τάναϊς (supra, p. 266).

ΒΙΒΛΙΟΝ Δ'.

87,11. Δάνουβις = St. B. s. v. (supra, p. 258). Cf. II. 489,19.
88,24. Χαλκίς = id. s. v. (supra, p. 269).
92,27. Μητρόπολις = id. s. v. (supra, p. 263).
93,17. Σεβαστόπολις νῆσος περὶ τὸν Πόντον ἡ καὶ Διοσκουριὰς καὶ πρότερον Αἶα. Ex Steph. Byz. s. v. Διοσκουριάς (v. supra, p. 259).
95,17. Ὑρκανία = St. B. s. v. Ὑρκανοί (v. infra in add.).
95,23. Ὕπανις = id. s. v. (supra, p. 268).
96,5. memoratur Τιβαρηνίς.
96,18. Πυῆνις πόλις Κόλχων. Cf. St. Byz. s. v. (supra, p. 264).
97,14. Νάπις = id. s. v. (supra, p. 263).
98,23. Νευρίς = id. s. v. (ibid.).
99,7. Τύρις = id. s. v. Τύρας (supra, p. 267). Cf. I, 56,11; II, 864,12.
102,23. Φᾶσις = id. s. v. (supra, p. 268). Cf. II, 221,10.
102,25. Καύκασις = id. s. v. Καύκασος (supra, p. 261). Cf. I, 209,9; II, 531,17.
103,21. Ἀψυρτίς = id. s. v. (supra, p. 256).
105,21. Καρκινῖτις πόλις Σκυθική ex eod. s. v. (supra, p. 261).
106,1. Σφραγῖτις ἄκρα Σκυθίας. Cf. St. Byz. s. v. Σφακτήρια (supra, p. 266).
106,2—9. Χαλκῖτις... ἔστι καὶ χώρα ἐν Σκυθίᾳ ὡς Ἑρμείας ἐν περιηγήσει. Cf. St. Byz. s. v. Χαλκίς (supra, p. 269).
106,20. Μαιώτης ἔθνος Σκυθικὸν καὶ Μαιῶτις λίμνη, ἣν φασι κληθῆναι κτλ. Cf. St. Byz. s. v. (supra, p. 262).
106,27. τὸ Σκυθὶς δισύλλαβον ὀξύνεται, ὡς τὸ Περσίς...

ΒΙΒΛΙΟΝ Ε'.

114,26. Ὑπερβόρεοι = St. Byz. s. v. (supra, p. 268). Cf. I, 308,21; II, 596,10.
117,26. Τραυχένιος = id. s. v. (supra, p. 267).
117,27. Τυρμένιος = id. s. v. (supra, p. 268).
118,19. Ἄβιος = id. s. v. (supra, p. 252). Cf. Ἄβιοι II, 174,14.
119,14. Δανδάριος = id. s. v. (supra, p. 258).
121,12. Καδούσιος = id. s. v. (supra, p. 261).
130,26. Παρθυαῖοι = id. s. v. (supra, p. 264). Cf. p. 145,1.
132,27. Χαλδαῖοι = id. s. v. (supra, p. 269). Cf. p. 142,24.
136,20. Βοσπόρειος ex eod. s. v. Βόσπορος (supra, p. 257). Cf. I, 228,1; II, 483,15 sq.; 878,22.

ΒΙΒΛΙΟΝ ς'.

139,8. Χάλυβος· παρ' Ἑκαταίῳ οἱ Χάλυβες. Ex St. B. s. v. Χάλυβες (supra, p. 269). Cf. II, 177,5; 286,18; 603,15.

Digitized by Google

141,8. Ἀβασγὸς ἔθνος Σκυθίας. Ex eod. s. v. Σαννίγαι (supra, p. 265).
141,10. Ἱππημολγὸς ἔθνος Σκυθικὸν παρὰ τὸ τοὺς ἵππους ἀμέλγειν. Cf. Steph. Byz. s. v. Μελάγχλαινοι (supra, p. 263).
142,12. Ἠδός = St. B. s. v. (supra, p. 260).
142,20. Σίνδος ἔθνος ἀπὸ μεσημβρίας τῆς Μαίωτιδος λίμνης. τινὲς δὲ ὀξυτονοῦσιν, οὐκ εὖ... Ex St. Byz. s. v. (supra, p. 265), coll. schol. Apoll. Rh. IV, 321, quod v. supra, p. 436.
143,27. Λάζος = St. Byz. s. v. (supra, p. 262). Cf. Λαζική p. 316,25.
144,11. Σῆθος ποταμὸς Σκυθίας, ὡς Φιλοστέφανος. Cf. II, 947,22 (et supra, p. 438).
145,1. Πάρθος = St. Byz. s. v. Παρθυαῖοι (supra, p. 264).
147,27. Δάκος ἔθνος, ὃ καὶ Δᾶος καλεῖται. Ex eod. s. v. Δακία (supra, p. 258).
150,23. Ἀμάδοκος = id. s. v. (supra, p. 253).
151,10. Μοσσύνοικος = id. s. v. (supra, p. 263).
152,8. Σίνδικος πόλις προσεχὴς τῇ Σκυθίᾳ. Ex eod. s. v. Σύνδικος (supra, p. 266). Cf. II, 445,8.
152,24. Χαλυβδικός ex eod. s. v. Χάλυβες (supra, p. 269).
156,2. Κῶλος = id. s. v. (supra, p. 262).

ΒΙΒΛΙΟΝ Ζ'.

170,18. Ἴαμος = St. Byz. s. v. Ἴαμοι (supra, p. 260).
175,24. Ἀχαρνός = id. s. v. Ἀχανοί (supra, p. 255).
177,4. Φρῦνος ἔθνος Σκυθικόν [1]).
177,25. Μελάγχλαινος = St. Byz. s. v. (supra, p. 263).
179,27. Τοξιανὸς ἔθνος Ταυρικὸν τὸ καὶ Τόξιοι. Ex eod. s. v. Τόξιοι (supra, p. 267).
179,30. Ἀλανός = id. s. v. (supra, p. 253).
180,2 Ἀσπουργιάνος = id. s. v. (supra, p. 255).
181,15. Σκυθηνός = id. s. v. (supra, p. 265).
181,16. Χαβαρηνός = id. s. v. (supra, p. 269).
184,2. Βουδῖνος = id. s. v. (supra, p. 257).
184,7. Λιβυστῖνος = id. s. v. (supra, p. 262).
185,20. Γελωνός = id. s. v. (supra, p. 257). Cf. II, 861,26.
186,24. ...τὸ κοραξὸς ὡς ἐπίθετον ὀξύνεται, βαρύνεται δὲ ὡς ἐθνικόν. ἔστι δὲ ἔθνος Κόλχων πλησίον Κώλων. Ἑκαταῖος Εὐρώπῃ [2]). «Слово кораξὸς, какъ прилагательное, имѣетъ острое удареніе на послѣднемъ слогѣ, а какъ названіе народа — не на послѣднемъ. Это племя Колховъ вблизи Колоэ. Екатэй *въ описаніи* Европы».
187,24. ... πόπος· Σκύθαι γὰρ τὰ παρ' αὐτοῖς ἀγαλμάτια πόπους καλοῦσι [3]). «Попъ: Скины называютъ попами *находящіеся* у нихъ кумирчики».
188,20. Ἴσηπος = St. Byz. s. v. (supra, p. 261).
188,22. Ἀριμασπὸς ἔθνος Ὑπερβορέων = id. s. v. (supra, p. 255).

ΒΙΒΛΙΟΝ Η'.

193,13. Νευρὸς ὄνομα ἔθνους...
193,18. Φροῦρος τὸ κύριον. ἔστι δὲ ἔθνος Σκυθικόν, φρουρὸς τὸ ἐπίθετον... [4]) Cf. II, 3,43.
194,23. Ἄψαρος = St. B. s. v. Ἀψυρτίδες (supra, p. 256).
199,26. Κασπάπυρος ex St. Byz. s. v. (v. infra in add.).

---

1) «Φρῦνος addidi ex Eustath. ap. Dionys. 752, qui locus ex St. B. promptus videtur . . .» Lentz. 2) Eadem Stephanus s. v. Κοραξοί tradit ex Hecataei descriptione *Asiae* (v. supra pp. 2 et 261). Εὐρώπῃ videtur Lentzius calami lapsu scripsisse. 3) «πόπος ex Theogn. p. 158 huc retuli monente Lehrsio de Arist. p. 119 ed. II». Lentz. 4) «De Φροῦρος et φρουρὸς Eustath. ad Dionys. 752: Φροῦροι Σκυθικὸν ἔθνος πρὸς ἀντιδιαστολὴν τοῦ φρουροί, ὅπερ ὀξυνόμενον δηλοῖ τοὺς φύλακας». Lentz.

Digitized by Google

202,4. Ἕλουρος = id. s. v. (supra, p. 259).
202,12. Ἀπάτουρος = id. s. v. (supra, p. 254).
204,23. Γέρρος = id. s. v. (supra, p. 258).
207,1. Τραυσὸς πλησίον Κελτοῖς ἔθνος, οὓς οἱ Ἕλληνες Ἀγαθύρσους ὀνομάζουσι [1]).
207,30. Ἀγάθυρσος = St. Byz. s. v. (v. infra in add.).
207,34. Ἄορσος = id. s. v. (supra, p. 254).
208,10. Ψησσός = id. s. v. (supra, p. 270).
209,19. Καύκασος = id. s. v. (supra, p. 261).
211,1. Καρδησσός = id. s. v. (ibid.).
211,8. Χερρόνησος = id. s. v. (supra, p. 270).
213,21. Ἰάλυσος = id. s. v. (supra, p. 260).
222,17. Ἀμαραντοί = id. s. v. (supra, p. 254).
225,23. Μόσχος = id. s. v. (supra, p. 263).
226,15. Τάοχος = id. s. v. (supra, p. 266).
226,23. Ἀρρηχός = id. s. v. (supra, p. 255).

ΒΙΒΛΙΟΝ Θ'.

228,1. Βόσπορος = St. Byz. s. v. (supra, p. 256).
234,15. ἠνίοχος· ἔστι δὲ καὶ ἔθνος παρὰ τῷ Καυκάσῳ. Στράβων ἑνδεκάτῃ. Cf. St. Byz. s. v. Ἡνιοχεία (supra, p. 260).

ΒΙΒΛΙΟΝ Ι'.

238,1. Πάτρασυς = St. Byz. s. v. (supra, p. 264).
240,38. Γαργαρεῖς = id. s. v. (supra, p. 257). Cf. II, 889, 12 et 39.
245,18. Τέως = id. s. v. (v. infra in add.).
247,4. Χάλυψ = id. s. v. (supra, p. 269). Cf. II, 177,5; 286,18; 603,15.

ΒΙΒΛΙΟΝ ΙΑ'.

257,19. Ὤλιννα = St. Byz. s. v. (supra, p. 270).
260,15. Ἐλευθεραί = id. s. v. (supra, p. 259).
262,5. Θεμίσκυρα = id. s. v. (supra, p. 260). Cf. II, 520,7.
265,6. Ἄκρα = id. s. v. (supra, p. 253).
267,6. Ἄσσα = id. s. v. (supra, p. 255).
271,18. Αἶα πόλις Κολχίδος (ex Theogn. 102,19, coll. St. Byz.).
281,18. Ἐλίξοια = St. Byz. s. v. (v. infra in addendis).
285,23. Δῖα = id. s. v. (supra, p. 259).
289,27. Ὀλβία = id. s. v. (supra, p. 264).
290,2. Σκυθία memoratur inter nomina regionum et urbium in ᾱ exeuntium, quae παροξύνονται.
292,19. Θεοδοσία = St. Byz. s. v. Θευδοσία (supra, p. 260).
295,14. Ἀλβανία = id. s. v. (supra, p. 253).
295,31. Ἀρμενία = id. s. v. (supra, p. 255). Cf. II, 451,36; 877,25.
298,1. Γιβαρηνία = id. s. v. (supra, p. 267).

ΒΙΒΛΙΟΝ ΙΒ'.

313,12. Πεύκη = id. s. v. (supra, p. 264).
315,4. Ἀναριάκη = id. s. v. (supra, p. 254).

1) «Ex Steph. Byz., emendatum in litter. Centralbl. 1864. No. 50 p. 200.» Lentz. Cf. supra p. 267.

Digitized by Google

315,18. Ψευδαρτάκη = id. s. v. (supra, p. 270).
316,12. Σκυθική εἶδος ὑποδήματος. Cf. St. Byz. s. v. Σκύθαι (supra, p. 265).
316,18. Ἀβική χώρα Ποντική (ex St. Byz.).
316,16. Κωλική χώρα πρὸς τῷ Καυκάσῳ. Cf. St. Byz. s. v. Κῶλοι (supra, p. 262).
316,20. Ταυρική = id. s. v. (supra, p. 266), omissis verbis ἥς οὐ πολὺ — Ἑρμώνασσα et in fine ὁ οἰκήτωρ—φασί.
316,25. Λαζική παλαιὰ χωρίον, ὡς Ἀρριανός. Cf. St. Byz. s. v. Λαζοί (supra, p. 262).
325,4. Κορακονδάμη = St. Byz. s. v. (supra, p. 261).
325,10. Κρέμη = id. s. v. (supra, p. 262).
329,28. Σταμένη = id. s. v. (supra, p. 266).
332,16. Γωγαρηνή = id. s. v. (supra, p. 258).
340,22. Τάφραι = id. s. v. (supra, p. 267).
341,4. Φαναγόρη = id. s. v. Φαναγόρεια (supra, p. 268). Cf. I, 280,8; 341,4; 374,24; II, 896,18.

ΒΙΒΛΙΟΝ ΙΓ'.

359,1. Ἄγιον = id. s. v. (supra, p. 253).
360,17. Πορθμιον = id. s. v. Πορθμία (supra, p. 264).
361,27. Ἀμύργιον = id. s. v. (supra, p. 254).
366,6. Ζεφύριον = id. s. v. (supra, p. 259).
369,14. Νύμφαιον = id. s. v. (supra, p. 263).
369,26. Ῥιπαῖα = id. s. v. (supra, p. 265).
373,26. Μυρμήκειον = id. s. v. (supra, p. 263). Cf. II, 460,4; 552,19.
378,15. Κύτα = id. s. v. (supra, p. 262). Cf. 283,8; 389,40.
389,8. Ἀπάτουρον = id. s. v. (supra, p. 254).
393,26. Ἄργος = id. s. v. (ibid.).

ΒΙΒΛΙΟΝ ΙΔ'.

397,24. Μάρ = id. s. v. Μᾶρες (supra, p. 263).
401,6. Χοῦς = id. s. v. Χοί (supra, p. 270). [1]).

ΠΕΡΙ ΟΡΘΟΓΡΑΦΙΑΣ.

II, 483,15 sq. Βόσπορος ex St. Byz. s. v. (supra, p. 256). Cf. supra I, 136,20.
II, 527,4. Ἰσσηδόνες ex eod. s. v. (supra, p. 261).

II, 534,6. Κιμμερίους φησὶν Ἡρακλείδης ὁ Ποντικὸς ὑποκάτω τοῦ Πόντου εἶναι... Πρωτέας δὲ ὁ Ζευγματίτης χειμερίους γράφει. ἀεὶ γὰρ οὗτοι ἐν χειμῶνί εἰσιν. ἔνιοι δὲ Κεμμερίους· Κέμμερον γὰρ λέγουσι τὴν ὁμίχλην. καὶ Σκυθικὸν ἔθνος Κιμμέριοι. — Cf. Etym. M. 513,44 et Hesych. s. v. κερβέριοι.

1 Иракдидъ Понтійскій говоритъ, что Киммерійцы живутъ ниже Понта... Протей Зевгматитъ пишетъ «χειμέριοι» [зимніе], ибо у нихъ всегда зима. Нѣкоторые называютъ ихъ Кеммеріои отъ сл. κέμμερος — мгла. Есть и Скиѳское племя Киммерійцы.

II, 552,14. Μυργέται = St. B. s. v. (supra, p. 263).

---

1) «Χοῦς ipse addidi propter proprium Χοῦς ap. St. B., apud quem non Χοί, sed Χοῖ scribendum est». Lentz.

Digitized by Google

ΟΠΠΙΑΝΟΣ. ОППІАНЪ.

[Дидактическій поэтъ, уроженецъ г. Корика въ Киликіи, жилъ при М. Авреліи, который относился къ нему съ величайшимъ уваженіемъ, и умеръ въ 30-лѣтнемъ возрастѣ. Отъ него сохранилось посвященное М. Аврелію и Коммоду сочиненіе Ἁλιευτικά въ 5 книгахъ. Приписываемое ему-же соч. Κυνηγετικά въ 4 кн. не можетъ принадлежать ему, такъ какъ авторъ его называетъ своей родиной сирійскій городъ Апамію и посвятилъ свой трудъ имп. Каракаллѣ. Соч. Ἁλιευτικά сохранилось только въ прозаическомъ пересказѣ Евтекнія. — Текстъ: Oppiani et Nicandri quae supersunt... edidit F. S. Lehrs въ собраніи Poetae bucolici et didactici, vol. I. Paris. Firmin Didot. 1864].

ΑΛΙΕΥΤΙΚΑ. О РЫБНОЙ ЛОВЛѢ.

Lib. I vv. 595—613.

Εὖτ' ἂν δ' εἰαρινοῖο περιπλήθωσι γόνοιο
ἰχθύες ὠοτόκοι, τοὶ μὲν κατὰ χῶρον ἕκαστοι
εὔκηλοι μίμνουσιν ἐνὶ σφετέροισι δόμοισι·
πολλοὶ δ' ἀγρόμενοι ξυνὴν ὁδὸν ὁρμώωνται
Εὔξεινον μετὰ πόντον, ἵν' αὐτόθι τέκνα τέκωνται·
κεῖνος γὰρ πάσης γλυκερώτερος ἀμφιτρίτης
κόλπος, ἀπειρεσίοισι καὶ εὐύδροις ποταμοῖσιν
ἀρδόμενος· μαλακαὶ δὲ πολυψάμαθοί τ' ἐπιωγαί·
ἐν δέ οἱ εὐφυέες τε νομαὶ καὶ ἀκύμονες ἀκταί,
πέτραι τε γλαφυραὶ καὶ χηραμοὶ ἰλυόεντες,
ἄκραι τε σκιεραὶ καὶ ὅσ' ἰχθύσι φίλτατ' ἔασιν·
ἐν δέ οἱ οὔτε τι κῆτος ἀνάρσιον, οὔτε τι πῆμα
ἐντρέφεται νεπόδεσσιν ὀλέθριον, οὐδὲ μὲν ὅσσοι
δυσμενέες γεγάασιν ἐπ' ἰχθύσι βαιοτέροισιν
ὀλκοὶ πουλυπόδων, οὐδ' ἀστακοί, οὐδὲ πάγουροι·
παῦροι μὲν δελφῖνες, ἀκιδνότεροι δὲ καὶ αὐτοὶ
κητείης γενεῆς καὶ ἀκήδεες ἐννεμέθονται.
τοὔνεκεν ἰχθύσι κεῖνο πέλεν κεχαρισμένον ὕδωρ
ἐκπάγλως καὶ πολλὸν ἐπισπεύδουσι νέεσθαι.

Когда икроносныя рыбы весною наполнятся дѣторождымъ *веществомъ*, то однѣ *изъ нихъ* спокойно остаются каждая на *своемъ* мѣстѣ, въ своихъ *обычныхъ* жилищахъ; но многія, собравшись, устремляются по *одному* общему пути въ Евксинскій Понтъ, чтобы тамъ родить дѣтенышей. Этотъ заливъ прѣснѣе всякаго *другого* моря, будучи пополняемъ безчисленными и многоводными рѣками; въ немъ удобныя и многопесчаныя пристани, изобильные кормы, тихіе берега, полыя скалы, илистыя пещеры, тѣнистые мысы и *вообще все*, что особенно любятъ рыбы; въ немъ не водится ни страшныхъ чудовищъ, ни какихъ-либо гибельныхъ для рыбъ животныхъ, ни враждебныхъ мелкой рыбешкѣ полиповъ, крабовъ или морскихъ раковъ. Водятся въ немъ немногочисленные дельфины, но тоже болѣе безопасные, чѣмъ *другія* породы морскихъ животныхъ, и безвредные. Поэтому это море чрезвычайно любимо рыбами и онѣ очень спѣшатъ плыть *туда*.

Lib. IV vv. 504—513.

Φῦλα δὲ πηλαμύδων ἐκ μὲν γένος εἰσὶ θαλάσσης
Εὐξείνου, θύννης δὲ βαρύφρονος εἰλείθυιαι·
κεῖναι γάρ, Μαιῶτις ὅπη ξυμβάλλεται ἅλμῃ,
ἀγρόμεναι λιμναῖον ὑπὸ στόμα καὶ δονακῆας
ὑδρηλοὺς ὠδῖνος ἐπαλγέος ἐμνήσαντο·

Стада пиламидъ—родомъ изъ Евксинскаго моря и происходятъ отъ сердитыхъ самокъ тунцовъ. Послѣднія, собравшись *тамъ*, гдѣ Меотида соединяется съ моремъ, у болотистаго устья и покрытыхъ водою зарослей камыша переносятъ тяжелыя родовыя муки; часть икры, которую встрѣ-

Digitized by Google

καὶ τὰ μὲν ὅσσα κίχωσι μεταδρομάδην κατέδουσιν
ὠά, τὰ δ' ἐν δονάκεσσι καὶ ἐν σχοίνοισι μένοντα
πηλαμύδων ἀγέλας ὥρῃ τέκεν· αἳ δ' ὅτε κῦμα
πρῶτον ἐπιψαίρωσι πόροιο τε πειρήσωνται,
ξεῖνον ἁλὸς σπεύδουσι μετὰ πλόον οὐδ' ἐθέλουσι
μίμνειν ἔνθ' ἐγένοντο, καὶ ἠβαιαί περ ἐοῦσαι.

тятъ при плаваніи, онѣ поѣдаютъ, а другая *часть*, оставшись въ камышахъ и тростникѣ, своевременно производитъ стада пиламидъ; послѣднія, какъ только попадутъ въ волны и научатся плавать, спѣшатъ въ другія области моря и не желаютъ оставаться тамъ, гдѣ родились, несмотря на свою ничтожную величину.

ΚΥΝΗΓΕΤΙΚΑ. ОБЪ ОХОТѢ.

Lib. I v. 171 — 2 въ перечисленіи лучшихъ породъ лошадей м. пр. упоминаются ἵπποι Σκυθικοὶ и Ἀρμένιοι.

Lib. I v. 373 въ подобномъ же перечисленіи лучшихъ породъ собакъ упоминаются κύνες Σαυρομάται.

Lib. I v. 397 рекомендуется для улучшенія породъ собакъ скрещивать м. пр. Сарматскаго самца съ Иверской самкой (Σαρματικόν τε πόσιν φορέοις πρὸς Ἰβηρίδα νύμφην).

Lib. II vv. 138—144.

...ἑκάτερθε πολυσμαράγοιο θαλάσσης
ἀντιπόρω ποταμῷ καταβαίνετον ὕδατι λάβρῳ,
ἔνθεν μὲν βορέαο ταμὼν ἀργῆντα χαλινὰ
ἂν Σκυθίην Ἴστρος λέλακε μέγα πάντοθε πάντῃ,
συρόμενος κρημνοῖσι καὶ ὑδατοπλήγεσιν ἄκραις·
τῇ δ' αὖτ' ἐκ Λιβύης ἱερὸν ῥόον Αἰγύπτοιο
ἀμφὶ ῥηγνύμενον τρομέει ταναηχέτα πόντος.

...Съ обѣихъ сторонъ многошумнаго моря противоположныя *одна другой* рѣки спускаются изобильнымъ теченіемъ: съ одной стороны Истръ, разсѣкая бѣлоснѣжныя удила Борея, грозно шумитъ повсюду въ Скиѳіи, катясь по утесамъ и омываемымъ волнами мысамъ, а съ другой стороны изъ Ливіи далеко шумящее море страшится разбивающихся объ него *водъ* священнаго эгинетскаго потока.

ΑΝΤΩΝΙΝΟΣ ΛΙΒΕΡΑΛΙΣ. АНТОНИНЪ ЛИБЕРАЛЪ.

[Жилъ во II в. по Р. Хр. при Антонинахъ. Отъ него сохранился до насъ «Сборникъ Превращеній» (Μεταμορφώσεων συναγωγή), главнѣйшими источниками для котораго служили Ἑτεροιούμενα Никандра Колофонскаго и Ὀρνιθογονία Боя, затѣмъ Дидимархъ, Парѳеній и др.].

Κ'. ΚΛΕΙΝΙΣ v. supra p. 391 ap. Simmiam Rhodium.
ΚΖ'. ΙΦΙΓΕΝΕΙΑ v. supra p. 445 ap. Nicandrum.

ΙΑΜΒΛΙΧΟΥ ΔΡΑΜΑΤΙΚΟΝ. ЯМВЛИХА „ДРАМАТИКЪ".

[Авторъ жилъ во II в. по Р. Хр. при имп. Маркѣ Авреліи. Изъ сочиненія его, состоявшаго изъ 35 книгъ и описывавшаго чудесныя приключенія Синониды и Родана, сохранилось лишь нѣсколько отрывковъ у Свиды и изложеніе первыхъ 16 книгъ у Фотія, Bibl. cod. 91. — Текстъ: Erotici scriptores Graeci, recogn. R. Hercher, t. I].

9. Λέγει οὖν ὡς ἐν παρανθήκῃ περὶ τοῦ τῆς Ἀφροδίτης ἱεροῦ, καὶ ὡς ἀνάγκη τὰς

1 Итакъ *Ямвлихъ* говоритъ какъ бы въ видѣ эпизода о святилищѣ Афродиты и

Digitized by Google

γυναῖκας ἐκεῖσε φοιτώσας ἀπαγγέλλειν δημοσίᾳ τὰ ἐν τῷ ναῷ αὐταῖς ὁρώμενα ὄνειρα. Ἐν ᾧ καὶ τὰ περὶ Φαρνούχου καὶ Φαρσίριδος καὶ Τανάιδος, ἀφ' οὗ καὶ Τάναϊς ὁ ποταμός, λεπτομερῶς διεξέρχεται, καὶ ὅτι τὰ περὶ τὸν τόπον καὶ τὴν χώραν τοῦ Τανάιδος τοῖς κατοικοῦσιν Ἀφροδίτης μυστήρια Τανάιδος καὶ Φαρσίριδός εἰσιν.

объ установленіи, чтобы посѣщавшія его женщины публично возвѣщали видѣнные ими въ храмѣ сн̃ы. Здѣсь же *онъ* подробно разсказываетъ о Фарнухѣ, Фарсиридѣ и Танандѣ, отъ котораго *получила названіе* и рѣка Танандъ, и *говоритъ*, что мистеріи Афродиты у жителей *этой* мѣстности и области Танаида суть *мистеріи* Танаида и Фарсирида.

ΤΑΤΙΑΝΟΣ. ТАТІАНЪ.

[Христіанскій апологетъ, написавшій около 152-го года по Р. Хр. рѣчь къ Грекамъ (λόγος πρὸς Ἕλληνας) въ 42-хъ главахъ. Изданіе: Tatiani oratio ad Graecos. Recensuit Eduardus Schwarz. Leipzig 1888 (въ cepiи: Texte und Untersuchungen zur Geschichte der altchristlichen Literatur von Oscar von Gebhard und Adolf Harnack. IV Band].

Извлеченія А. І. Малеина.

XII (стр. 14). Καὶ οἱ τὸν Σκύθην Ἀνάχαρσιν μὴ ἀποσκορακίζοντες καὶ νῦν μὴ ἀξιοπαθήσητε παρὰ τοῖς βαρβαρικῇ νομοθεσίᾳ παρακολουθοῦσι παιδεύεσθαι.

И вы, если не пренебрегаете вовсе Скиѳомъ Анахарсидомъ, и теперь не считайте недостойнымъ учиться у послѣдователей варварскаго законодательства.

XXI (стр. 23). Προμηθεὺς τῷ Καυκάσῳ προσαρτηθεὶς τιμωρίαν χάριν τῆς εἰς ἀνθρώπους εὐεργεσίας ὑπήνεγκε.

Промиѳей, прикованный къ Кавказу, подвергся наказанію за благодѣяніе людямъ.

XXXII (стр. 33). Τίς δὲ οὐκ ἂν γελάσειεν Ἀμαζόνας μὲν καὶ Σεμίραμιν καί τινας ἄλλας πολεμικὰς φασκόντων ὑμῶν γεγονέναι, τὰς δὲ παρ' ἡμῖν παρθένους λοιδορούντων;

Кто не посмѣялся бы *надъ тѣмъ*, что вы признаете существованіе Амазонокъ, Семирамиды и какихъ-нибудь иныхъ воительницъ *древнихъ*, а нашихъ дѣвушекъ поносите?

Praeterea cap. 40 (p. 41) mentio inserta est Ἀριστaίου τοῦ Προκοννησίου τοῦ τὰ Ἀριμάσπια συγγράψαντος.

ΘΕΟΦΙΛΟΣ. ѲЕОФИЛЪ.

[По Евсевію, стоялъ во главѣ Антіохійской епархіи въ 167—177 гг. по Р. Хр. Написалъ сочиненіе (послѣ 180-го г.) въ защиту христіанства противъ насмѣшекъ нѣкоего Автолика Θεοφίλου πρὸς Αὐτόλυκον въ трехъ книгахъ. Изданіе: Corpus apologetarum Christianorum saeculi secundi. Edid. Otto. VIII. Ienae. 1861. Theophilus Antiochenus].

Извлеченія А. І. Малеина.

I. 10 (Otto 28,31) Τί δέ μοι λέγειν... τὴν Σκυθίαν Ἄρτεμιν... φυγάδα γεγονυῖαν καὶ ἀνδροφόνον καὶ κυνηγέτιν καὶ τοῦ Ἐνδυμίωνος ἐρασθεῖσαν.

Что мнѣ сказать... про Скиѳскую Артемиду..., бывшую бѣглянкой, человѣкоубійцей и охотницей и влюбленную въ Эндиміона.

Digitized by Google

III. 27 (Otto 262). Κύρου οὖν βασιλεύσαντος ἔτεσιν τριάκοντα ὀκτὼ καὶ ἀναιρεθέντος ὑπὸ Τομύριδος ἐν Μασσαγετίᾳ, τότε οὔσης ὀλυμπιάδος ἑξηκοστῆς δευτέρας· ἐκτοτε ἤδη οἱ Ῥωμαῖοι ἐμεγαλύνοντο...

Итакъ, когда Киръ, послѣ 38-лѣтняго царствованія, былъ убитъ Томиридой въ Массагетіи въ 62-ю олимпіаду, уже съ того времени росло *могущество* Римлянъ...

ΑΘΗΝΑΓΟΡΑΣ.

АѲИНАГОРЪ.

[Въ 177 г. представилъ императору Марку Аврелію сочиненіе въ защиту христіанства: Ἀθηναγόρου Ἀθηναίου φιλοσόφου Χριστιανοῦ πρεσβεία περὶ Χριστιανῶν въ 37 главахъ. Изданіе: Athenagorae libellus pro christianis... Recensuit Eduardus Schwarz. Leipzig 1891 (въ серіи: Texte und Untersuchungen zur Geschichte der altchristlichen Literatur von Oscar von Gebhardt und Adolf Harnack. IV Band].

Извлеченія А. І. Малеина.

Capite 14 haec leguntur (Schwarz p. 15): Ἵδρυνται θεοὺς... ἀλκμὰν καὶ ἡσίοδος μηδειαν ἢ νιόβην κίλικες.

Capite 26 Ἄρτεμις memoratur καὶ ἡ μὲν ἐν Ταύροις φονεύει τοὺς ξένους. Notandum tamen Schwarzium haec verba delere velle adeoque uncis quadratis inclusisse.

ΚΛΑΥΔΙΟΣ ΓΑΛΗΝΟΣ.

КЛАВДІЙ ГАЛЕНЪ.

[Знаменитый врачъ, род. въ Пергамѣ около 131 г. по Р. Хр. Въ 164 г. прибылъ въ Римъ, гдѣ и оставался до самой кончины, послѣдовавшей на 70 г. отъ роду около 201 г. Написалъ болѣе 350 сочиненій, изъ коихъ до насъ дошло 138 подлинныхъ и 45 сомнительныхъ, въ томъ числѣ нѣкоторыя въ латинскомъ или арабскомъ переводѣ.—Текстъ: Κλαυδίου Γαληνου απαντα. Claudii Galeni opera omnia. Ed. cur. D. Car. Gottlob Kühn (въ собраніи Medicorum Graecorum opera quae exstant, vv. I—XX). Lips. 1821—33].

ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΛΟΓΟΣ ΕΠΙ ΤΑΣ ΤΕΧΝΑΣ[1]).

ΚΕΦ. Ζ′ (v. I p. 13 K.)... Ὁρᾷς, ὡς οὐδὲν κωλύει τὸν Σκύθην Ἀνάχαρσιν καὶ θαυμάζεσθαί τε καὶ σοφὸν ὀνομάζεσθαι, καίτοι βάρβαρος ἦν τὸ γένος. οὐτός ποτε πρός τινος ὀνειδιζόμενος, ὅτι βάρβαρος εἴη καὶ Σκύθης, Ἐμοὶ μὲν, ⟨εἶπεν⟩, ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῇ πατρίδι· πάνυ καλῶς ἐπιπλήξας τῷ μηδενὸς ἀξίῳ λόγου, μόνον δ' ἐπὶ τῇ πατρίδι σεμνυνομένῳ...

УВѢЩАНІЕ КЪ ИЗУЧЕНІЮ ИСКУССТВЪ.

1 Гл. 7... Ты видишь, что ничто не препятствуетъ Скиѳу Анахарсиду возбуждать къ себѣ удивленіе и называться мудрецомъ, хотя онъ былъ родомъ варваръ. Когда его 5 однажды кто-то упрекнулъ въ томъ, что онъ варваръ и Скиѳъ, онъ *сказалъ*: «Мнѣ позоръ — отечество, а ты — отечеству». *Этими словами* онъ превосходно поразилъ *человѣка*, ровно ничего не стоящаго и только чванившагося своимъ отечествомъ...

---

1) Cf. Claudii Galeni Protreptici quae supersunt ed. G. Kaibel. Berol. ap. Weidm. 1894.

Digitized by Google

ΠΕΡΙ ΚΡΑΣΕΩΝ.

ΒΙΒΛ. Β′, ΚΕΦ. Ε′ (v. I p. 618 K.)... Αἰγύπτιοι μὲν οὖν καὶ Ἄραβες καὶ Ἰνδοὶ καὶ πᾶν τὸ θερμὴν καὶ ξηρὰν ἐποικοῦν ἔθνος μελαίνας τε καὶ δυσαυξεῖς καὶ ξηρὰς καὶ οὐλας καὶ κραύρας ἔχουσι τὰς τρίχας. ὅσοι δ' ἔμπαλιν τούτοις ὑγρὰν καὶ ψυχρὰν χώραν οἰκοῦσιν, Ἰλλυριοί τε καὶ Γερμανοὶ καὶ Δαλματαὶ καὶ Σαυρομάται καὶ σύμπαν τὸ Σκυθικὸν εὐαξεῖς μετρίως καὶ λεπτὰς καὶ εὐθείας καὶ πυρράς...

— ΚΕΦ. ς′ (v. I p. 627 K.)... Κελτοῖς μὲν γὰρ καὶ Γερμανοῖς καὶ παντὶ τῷ Θρᾳκίῳ τε καὶ Σκυθικῷ γένει ψυχρὸν καὶ ὑγρὸν τὸ δέρμα καὶ διὰ τοῦτο μαλακόν τε καὶ λευκὸν καὶ ψιλὸν τριχῶν...

О СОСТАВНЫХЪ ЧАСТЯХЪ ТѢЛЪ.

Кн. 2, гл. 5... Итакъ, Эгиптяне, Арабы, Индійцы и всѣ *вообще* племена, живущія въ жаркой и сухой *странѣ*, имѣютъ волосы черные, трудно растущіе, сухіе, курчавые и ломкіе; а тѣ, которые въ противоположность этимъ населяютъ страну сырую и холодную, *именно* Иллирійцы, Германцы, Далматы, Савроматы и все Скиѳское *племя*, — умѣренно растущіе, тонкіе, прямые и рыжіе...

Гл. 6... У Кельтовъ, Германцевъ и всего Ѳракійскаго и Скиѳскаго племени кожа холодна, влажна и поэтому мягка, бѣла и лишена волосъ...

ΥΓΙΕΙΝΑ.

ΛΟΓ. Α′, ΚΕΦ. Ι′ (v. VI p. 51 K.)... παρὰ τοῖς Γερμανοῖς οὐ καλῶς τρέφεται παιδία. ἀλλ' ἡμεῖς νῦν γε οὔτε Γερμανοῖς οὔτε ἄλλοις τισὶν ἀγρίοις ἢ βαρβάροις ἀνθρώποις ταῦτα γράφομεν, οὐ μᾶλλον ἢ ἄρκτοις, ἢ κάπροις, ἢ λέουσι, ἢ τισι τῶν ἄλλων θηρίων, ἀλλ' Ἕλλησι, καὶ ὅσοι τῷ γένει μὲν ἔφυσαν βάρβαροι, ζηλοῦσι δὲ τὰ τῶν Ἑλλήνων ἐπιτηδεύματα. τίς γὰρ ἂν ἡμῶν ὑπομείνειε τῶν παρ' ἡμῖν ἀνθρώπων εὐθὺς ἅμα τῷ γεγεννῆσθαι ἔτι θερμὸν τὸ βρέφος ἐπὶ τὰ τῶν ποταμῶν φέρειν ῥεύματα κάνταῦθα, καθάπερ φασὶ τοὺς Γερμανούς, ἅμα πειρᾶν αὐτοῦ τῆς φύσεως, ἅμα τε καὶ κρατύνειν τὰ σώματα βάπτοντας εἰς τὸ ψυχρὸν ὕδωρ, ὥσπερ τὸν διάπυρον σίδηρον; ὅτι μὲν γάρ, ἐὰν ὑπομείνῃ τε καὶ μὴ βλαβῇ, καὶ τὴν ἐκ τῆς οἰκείας φύσεως ἐπεδείξατο ῥώμην καὶ τὴν ἐκ τῆς πρὸς τὸ ψυχρὸν ὁμιλίας ἐπεκτήσατο, πρόδηλον παντί· ὅτι δ', εἰ νικηθείη πρὸς τῆς ἔξωθεν ψύξεως ἡ ἔμφυτος αὐτοῦ θερμότης, ἀναγκαῖον αὐτίκα τεθνάναι, καὶ τοῦτ' οὐδεὶς ἀγνοεῖ. τίς οὖν ἂν ἕλοιτο νοῦν ἔχων καὶ μὴ παντάπασιν ἄγριος ὢν καὶ Σκύθης εἰς τὴν τοιαύτην πεῖραν ἀγαγεῖν αὐτοῦ τὸ παιδίον, ἐν ᾗ θάνατός ἐστιν ἡ ἀποτυχία, καὶ ταῦτα μηδὲν μέγα τι μέλλων ἐκ τῆς πείρας κερδανεῖν;..

О СОХРАНЕНІИ ЗДОРОВЬЯ.

Кн. I, гл. 10... У Германцевъ не хорошо воспитываются дѣти. Но мы теперь пишемъ это не для Германцевъ или другихъ какихъ-либо дикихъ людей или варваровъ, равно какъ не для медвѣдей, кабановъ, львовъ или какихъ-либо другихъ звѣрей, а для Еллиновъ и для тѣхъ, которые по происхожденію варвары, но стремятся къ еллинскому образу жизни. Кто изъ насъ допустилъ бы, чтобы у нашихъ соплеменниковъ несли младенца немедленно по рожденіи, еще теплаго, къ рѣчнымъ волнамъ и здѣсь, какъ говорятъ *это* о Германцахъ, подвергали испытанію его природныя силы и вмѣстѣ укрѣпляли тѣло, погружая въ холодную воду подобно раскаленному желѣзу? [1]) Вѣдь всякому ясно, что если младенецъ выдержитъ *такое испытаніе* безъ вреда, то онъ выкажетъ и свою природную крѣпость и пріобрѣтетъ *новую* отъ закаленія холодомъ; всякій знаетъ также, что если внѣшній холодъ преодолѣетъ прирожденную теплоту *младенца*, то онъ долженъ тотчасъ умереть. Итакъ, какой же *человѣкъ* разумный, не совершенно дикій и не Скиѳъ рѣшится подвергнуть свое дитя такому испытанію, въ которомъ неудача *влечетъ за собою* смерть, и притомъ безъ всякой важной пользы отъ такого испытанія?...

1) Eadem de Germanis et Scythis tradit Soranus *de muliebr.* § 81 (supra, p. 511).

Digitized by Google

ΤΑ ΠΡΟΣ ΓΛΑΥΚΩΝΑ ΘΕΡΑΠΕΥΤΙΚΑ.

ΒΙΒΛ. Β′, ΚΕΦ. ΙΒ′ (v. XI p. 142 K.)... Κατὰ γοῦν τὴν Ἀλεξάνδρειαν ἐλεφαντιῶσι πάμπολλοι διά τε τὴν δίαιταν καὶ τὴν θερμότητα τοῦ χωρίου. κατὰ δὲ τὰς Γερμανίας τε καὶ Μυσίας σπανιώτατα τοῦτο τὸ πάθος ὤπται γινόμενον. καὶ παρά γε τοῖς γαλακτοπόταις Σκύθαις σχεδὸν οὐδέποτε φαίνεται γινόμενον. ἀλλ' ἐν Ἀλεξανδρείᾳ παμπόλλη ἡ γένεσις αὐτοῦ διὰ τὴν δίαιτάν ἐστιν· ἀθάραν γὰρ ἐσθίουσι καὶ φακὴν καὶ κοχλίας καὶ ταρίχη πολλά· τινὲς δὲ καὶ ὄνεια κρέα καὶ ἄλλα τοιαῦτα παχὺν καὶ μελαγχολικὸν γεννῶντα χυμόν. ἅτε δὲ θερμοῦ τοῦ περιέχοντος ὄντος καὶ ἡ ροπὴ τῆς φορᾶς αὐτῶν πρὸς τὸ δέρμα γίνεται...

КЪ ГЛАВКОНУ О ВРАЧЕВАНІИ.

Кн. 2, гл. 12... Въ Александріи очень многіе страдаютъ слоновою болѣзнью[1]), благодаря пищѣ и жаркому климату *этой* страны. Въ Германіяхъ же и Мисіяхъ эта болѣзнь наблюдается чрезвычайно рѣдко, а у питающихся молокомъ Скиѳовъ почти никогда не замѣчается. Напротивъ, въ Александріи случаи ея очень многочисленны благодаря пищѣ: *жители ея* употребляютъ въ пищу ячменную кашу, чечевицу, улитокъ и много соленой рыбы, а нѣкоторые также ослиное мясо и другую подобную *пищу*, производящую густые и черножелчные соки; вслѣдствіе же теплоты окружающаго *воздуха* движеніе ихъ направляется къ кожѣ...

ΠΕΡΙ ΑΝΤΙΔΟΤΩΝ ΒΙΒΛΙΑ ΔΥΟ.

ΒΙΒΛ. Α′, ΚΕΦ. Α′ (v. XIV p. I K.)... [Τί ἐστιν ἡ ἀντίδοτος καὶ πόθεν τὴν γένεσιν ἔχει ἡ θηριακή]. Τὰς ἰωμένας τὰ πάθη δυνάμεις οὐκ ἔξωθεν ἐπιτιθεμένας, ἀλλ' εἴσω τοῦ σώματος λαμβανομένας ἀντιδότους ὀνομάζουσιν οἱ ἰατροί. τρεῖς δ' αὐτῶν εἰσιν αἱ πᾶσαι διαφοραί. τινὲς μὲν γὰρ ἕνεκα τῶν θανασίμων προσφέρονται φαρμάκων, τινὲς δὲ τῶν ἰοβόλων ὀνομαζομένων θηρίων, τινὲς δὲ ἐκ φαύλης διαίτης γιγνομένοις πάθεσιν ἀρήγουσιν. ἔνιαι δὲ τὰς τρεῖς ἐπαγγέλλονται χρείας, ὥσπερ καὶ ἡ θηριακὴ καλουμένη, συντεθεῖσα μὲν ὑπὸ Ἀνδρομάχου τοῦ ἰατροῦ, παρωσαμένη δὲ τὴν Μιθριδάτειον ὀνομαζομένην, καὶ αὐτὴν ἀπὸ τοῦ συνθέντος αὐτὴν οὕτω κληθεῖσαν. ὁ γάρ τοι Μιθριδάτης οὗτος, ὥσπερ καὶ ὁ καθ' ἡμᾶς Ἄτταλος, ἔσπευσεν ἐμπειρίαν ἔχειν ἁπάντων σχεδὸν τῶν ἁπλῶν φαρμάκων, ὅσα τοῖς ὀλεθρίοις ἀντιτέτακται, πειράζων αὐτῶν τὰς δυνάμεις ἐπὶ πονηρῶν ἀνθρώπων, ὧν θάνατος κατέγνωστο. τινὰ μὲν οὖν αὐτῶν ἀνεῦρεν ἐπὶ φαλαγγίων ἰδίως ἁρμόζοντα, τινὰ δὲ ἐπὶ σκορπίων, ὥσπερ ἐπὶ τῶν ἐχιδνῶν ἄλλα. καὶ ἐπὶ τῶν ἀναιρούντων

О ПРОТИВОЯДІЯХЪ ДВѢ КНИГИ.

Кн. I, гл. 1. [Что значитъ противоядіе и откуда ведетъ происхожденіе «звѣрское»]. Врачующія болѣзни лѣкарства, не прикладываемыя снаружи, а принимаемыя внутрь, врачи называютъ противоядіями. Различаются вообще три вида ихъ: одни предлагаются противъ смертоносныхъ зелій, другія—противъ такъ называемыхъ ядовитыхъ животныхъ, третьи помогаютъ въ болѣзняхъ, происходящихъ отъ дурного питанія; нѣкоторыя, *впрочемъ*, пригодны во всѣхъ трехъ случаяхъ, какъ напр. такъ называемое «звѣрское», изобрѣтенное врачемъ Андромахомъ и отодвинувшее *на второй планъ* «Миѳридатовское», названное такъ тоже по имени изобрѣтателя. Дѣло въ томъ, что этотъ Миѳридатъ, подобно нашему Атталу, старался познать опытомъ почти всѣ простыя зелья, противоположныя ядовитымъ, испытывая ихъ свойства на приговоренныхъ къ смертной казни преступникахъ. Итакъ, онъ узналъ, что нѣкоторыя изъ нихъ особенно пригодны противъ тарантуловъ, нѣкоторыя—противъ скорпіоновъ, а иныя — противъ ехиднъ. И

1) Сущность этой болѣзни Галенъ излагаетъ выше (p. 140 K.) въ слѣдующихъ словахъ: ... καὶ τοῦτό ἐστι γένεσις τοῦ πάθους, ὃ καλοῦσιν ἐλέφαντα. γίνεταί γε μὴν ἐνίοτε καὶ εἰς ἄλλα μόρια τοῦ σώματος, ἅπερ ἂν ᾖ πάντων ἀσθενέστατα, φορὰ τοῦ τοιούτου χυμοῦ, καὶ φαίνονταί γε σαφῶς αἱ κατὰ τὸ μόριον ἐκεῖνο φλέβες μεσταὶ αἵματος μέλανός τε καὶ παχέος. καὶ ὅσον δ' ἂν ᾖ παχύτερόν τε καὶ μελάντερον, τοσοῦτον χεῖρόν ἐστι τὸ πάθος κτλ.

Digitized by Google

φαρμάκων τὰ μὲν ἐπὶ ἀκονίτου, τὰ δὲ ἐπὶ λαγωοῦ τοῦ θαλαττίου, τὰ δ' ἐπ' ἄλλου τινὸς ἢ ἄλλου. πάντα δ' οὖν αὐτὰ μίξας ὁ Μιθριδάτης ἓν ἐποίησε φάρμακον, ἐλπίσας ἕξειν ἀρωγὸν ἐπὶ πᾶσι τοῖς ὀλεθρίοις. ὕστερον δὲ Ἀνδρόμαχος ὁ Νέρωνος ἀρχιατρὸς ἕνια μὲν προσθείς, ἕνια δὲ ἀφελὼν ἐποίησε τὴν θηριακὴν ὀνομαζομένην ἀντίδοτον, οὐκ ὀλίγην ἐχιδνῶν σάρκα μίξας τοῖς ἄλλοις, ἣν οὐκ εἶχεν ὁ Μιθριδάτειος. καὶ διὰ τοῦτο πρὸς μὲν τὰ τῶν ἐχιδνῶν δήγματα καλλίων ἐστὶν ἡ θηριακὴ τῆς Μιθριδατείου ὀνομαζομένης· πρὸς τὰ ἄλλα δὲ οὐδὲν ἧττων ὁ Μιθριδάτειος, ἀλλ' ἔστιν ἐφ' ὧν καὶ βελτίων...

1 противъ смертоносныхъ зелій — одни противъ аконита, другія — противъ морского зайца, третьи—противъ какихъ-либо прочихъ. Смѣшавъ все это, Миѳридатъ состави̇лъ одно снадобье, надѣясь имѣть *въ немъ* защиту противъ всякихъ губительныхъ *средствъ*. Впослѣдствіи Андромахъ, главный врачъ Нерона, одно прибавивъ, другое отнявъ, составилъ такъ называемое «звѣрское» противоядіе, примѣшавъ къ прочимъ *составнымъ частямъ* значительное количество мяса ехидны, которое не входило въ составъ «Миѳридатовскаго зелья». Поэтому противъ укушенія ехидны «звѣрское» лучше «Миѳридатовскаго», а противъ другихъ ядовъ «Миѳридатовское» не хуже или даже противъ нѣкоторыхъ и лучше...

ΚΕΦ. Θ' (v. XIV p. 154 K.)... [Μιθριδάτου θηριακή]. Ταύτῃ ὁ βασιλεὺς Μιθριδάτης ἀεὶ ἐχρῆτο προφυλακῆς χάριν θανασίμου. ἡνίκα γοῦν ὑπὸ Ῥωμαίων ἑάλω, δὶς πιὼν θανάσιμον καὶ μὴ δυνηθεὶς ἀποθανεῖν, ξίφει ἑαυτὸν διεχρήσατο...

Гл. 9... [Миѳридатово звѣрское]. Это *средство* постоянно употреблялъ царь Миѳридатъ для предохраненія *себя* отъ яда. Поэтому, будучи захваченъ Римлянами, онъ дважды принялъ ядъ и не могъ умереть; *тогда онъ* убилъ себя мечомъ...

ΠΡΟΣ ΠΙΣΩΝΑ ΠΕΡΙ ΤΗΣ ΘΗΡΙΑΚΗΣ ΒΙΒΛΙΟΝ.

ΚΕΦ. Ιϛ'... (v. XIV p. 283 K.)... φασὶ γὰρ καὶ τὸν Μιθριδάτην ἐκεῖνον τὸν μέγαν πολεμιστήν, τὴν μὲν θηριακὴν μὴ λαμβάνοντα, οὐδέπω γὰρ ἦν, ἄλλην δ' ἀντίδοτον λαμβάνοντα πολυμίγματόν τινα, καὶ αὐτὴν τῷ ἐκείνου ὀνόματι οὕτω καλουμένην, Μιθριδάτειος γὰρ ὀνομάζεται, διὰ τὴν ἐξ αὐτῆς κατεσκευασμένην τῷ σώματι δυσπάθειαν μὴ δυνηθῆναι λαβόντα τὸ φάρμακον ἀποθανεῖν. ὁπότε γὰρ πολεμῶν πρὸς τοὺς Ῥωμαίους ὑπὸ τοῦ Πομπηίου νικώμενος καὶ ἐν τοῖς ἐσχάτοις ὢν ὑπὸ τοῦ φαρμάκου τοῦ ἰοῦ ἄνοσος ἀποθανεῖν ἠπείγετο, πιὼν τὸ φάρμακον καὶ πολύ γε αὐτοῦ λαβὼν αὐτὸς μὲν οὐκ ἀπέθνησκε, τὰς δὲ θυγατέρας πάνυ βουληθείσας αὐτῷ διὰ τὴν φιλοστοργίαν συναποθανεῖν πιούσας τὸ αὐτὸ φάρμακον ταχέως ἀποκτανῆναι, εἶθ' ὡς ἐβράδυνε μὴ ἀποθνήσκων, τοῦ φαρμάκου δι' ἣν προέπινεν ἀντίδοτον μηδὲν ἰσχῦσαι δυναμένου, καλέσας Βιτόκον[2]) τοὔνομα τῶν

ПОСВЯЩЕННАЯ ПИСОНУ КНИГА О «ЗВѢРСКОМЪ ПРОТИВОЯДІИ».

Гл. 16... Говорятъ, что и извѣстный великій воитель Миѳридатъ, не принимавшій «звѣрскаго *противоядія*», такъ какъ его еще не было, а принимавшій другое противоядіе, состоявшее изъ смѣси многихъ *зелій* и получившее названіе отъ его имени, — оно называется «Миѳридатовскимъ», — благодаря пріобрѣтенной отъ него нечувствительности организма не могъ умереть отъ принятаго яда. Именно, когда онъ во время войны съ Римлянами, потерпѣвъ пораженіе отъ Помпея и находясь въ отчаянномъ положеніи, пытался умереть безъ болѣзни отъ яда, то, выпивъ значительную дозу ядовитаго зелья, онъ самъ не умеръ, а дочери, очень желавшія изъ любви къ нему умереть вмѣстѣ съ нимъ и выпившія тотъ же ядъ, погибли очень скоро[1]). Такъ какъ смерть не приходила вслѣдствіе того, что ядъ не могъ подѣйствовать благодаря принимавшемуся

1) De morte Mithridatis cf. App. *Mithrid.* III (supra, p. 535). ap. App. l. c.

2) Βίτοιτος nominatur

Digitized by Google

φίλων αὐτοῦ τινα, ἐκέλευσεν αὐτὸν ἀποσφάξαι, καὶ οὕτω ποιήσας τῷ σιδήρῳ τοῦ φαρμάκου γενέσθαι τὸ ἔργον, ἀποθανεῖν αὐτὸν βιαίως ἠνάγκασεν.

раньше противоядію, онъ призвалъ одного изъ *своихъ* друзей, по имени Вистока, и приказалъ пронзить себя мечемъ. Такимъ образомъ, исполнивъ желѣзомъ дѣло яда, онъ принудилъ себя умереть насильственною *смертью*.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΥΣ ΥΠΟΜΝΗΜΑΤΑ.

ΜΓ′ (v. XVIII, 1, p. 148 K.)... τὰς γοῦν Ἀμαζονίδας αὐτός φησιν ἐπικαίειν τὸν δεξιὸν τιτθόν, ἵνα εἰς τὴν πλησίον χεῖρα πλείονος τροφῆς ἀφικνουμένης εὐρωστία τις αὐτῇ προσγένηται, ὡς τῇ φύσει γε καὶ ταύτης ὑπαρχούσης ἀσθενοῦς...

АФОРИЗМЫ ИППОКРАТА И ОБЪЯСНЕНІЯ КЪ НИМЪ ГАЛЕНА.

43... Самъ *Гиппократъ* говоритъ, что Амазонки прижигаютъ правую грудь для того, чтобы вслѣдствіе бо́льшаго притока питательныхъ *соковъ* въ ближайшую руку она дѣлалась болѣе сильною, такъ какъ отъ природы-де и она слаба...

ΑΡΠΟΚΡΑΤΙΩΝ. ΑΡΠΟΚΡΑΤΙΟΝΗΣ.

[Уроженецъ г. Александріи, составитель дошедшаго до насъ объяснительнаго словаря къ 10 аттическимъ ораторамъ. Время жизни его съ точностью неизвѣстно; быть можетъ, онъ тожественъ съ упоминаемымъ у Капитолина, vita Veri 2, учителемъ Антонина Вера. См. M. H. Meier, De aetate Harpocrationis въ Opusc. acad. v. II; Nicolai, Griech. Literaturgesch. II², p. 387 sq.—Текстъ: Harpocrationis lexicon in decem oratores atticos ex rec. Gul. Dindorfii. 2 voll. Oxonii 1853].

ΛΕΞΕΙΣ ΤΩΝ ΔΕΚΑ ΡΗΤΟΡΩΝ.

Ἄβαρις: ὄνομα κύριον. λοιμοῦ δέ φασι κατὰ πᾶσαν τὴν οἰκουμένην γεγονότος ἀνεῖλεν ὁ Ἀπόλλων μαντευομένοις Ἕλλησί τε καὶ βαρβάροις τὸν Ἀθηναίων δῆμον ὑπὲρ πάντων εὐχὰς ποιήσασθαι. πρεσβευομένων δὲ πολλῶν ἐθνῶν πρὸς αὐτοὺς καὶ Ἄβαριν ἐξ Ὑπερβορέων πρεσβευτὴν ἀφικέσθαι λέγουσιν. ὁ δὲ χρόνος ἐν ᾧ παραγέγονε διαφωνεῖται. Ἱππόστρατος μὲν γὰρ κατὰ τὴν νγ′ αὐτὸν Ὀλυμπιάδα λέγει παραγενέσθαι, ὁ δὲ Πίνδαρος κατὰ Κροῖσον τὸν Λυδῶν βασιλέα, ἄλλοι δὲ κατὰ τὴν κα′ Ὀλυμπιάδα.

РЕЧЕНІЯ ДЕСЯТИ ОРАТОРОВЪ.

Аварид: имя собственное. Говорятъ, что *однажды* во время *распространившейся* по всей землѣ моровой язвы Аполлонъ далъ обратившимся къ его оракулу Еллинамъ и варварамъ прорицаніе, чтобы Аѳинскій народъ совершилъ моленіе за всѣхъ. Когда многіе народы прислали къ Аѳинянамъ посольства, говорятъ, и Аварид прибылъ посломъ отъ Ипербореевъ. Время его прибытія сообщается различно: Иппострат [1]) говоритъ, что онъ прибылъ въ 53 олимпіаду [2]), Пиндаръ [3]) — что при Лидійскомъ царѣ Крезѣ, а прочіе — что въ 21-ю олимпіаду [4]).

---

1) «Hippostratus intelligitur Historiarum Sicularum scriptor, cujus pauca quae supersunt fragmenta collegit Muellerus in Fragm. Hist. vol. 4 p. 432. qui Hippostratum Crotoniatam esse conjicit, quum inter Pythagoreos memorat Iamblichus Vit. Pyth. c. 32. Idem scriptor Abarin inter sectatores Pythagorae numerat». Dind. 2) «τὴν νγ′] Libri τὴν γ′ vel, quod est in Ald., τὴν τρίτην. Et sic apud Suidam quoque, nisi quod in «uno *MS Paris.*», non constat quo, τὴν νγ′ inveniri ait Kusterus. Hoc recepi ut probabilius, quanquam fortasse ne ipsum quidem rectum est». D.—Ol. 53=568 a. Chr. 3) «Fragm. 193». D. 4) «Hic computus fortasse fluxit ex Timaei chronologia, quam male intelligentes nonnulli ita tempora computarunt ut a sententia auctoris annis centum et quinquaginta aberrarent» etc. D.—Ol. 21=692 a. Chr.

Digitized by Google

Θευδοσίαν: Δημοσθένης ἐν τῷ περὶ τῶν ἀτελειῶν. ἔστι δὲ χωρίον κείμενον ἐγγὺς Σκυθῶν, ὃ Σάτυρος πολιορκῶν ἐτελεύτησεν.

Θевдосія: *упоминаетъ* Димосѳенъ въ *рѣчи* о безпошлинности [1]). Это мѣстечко, лежащее близъ Скиѳовъ, при осадѣ котораго умеръ Сатиръ [2]).

Κῆπος: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. πόλις δ' ἐστὶ κατὰ Βόσπορον καλουμένη Κῆπος [3]).

Кипосъ (Садъ): *упоминаетъ* Эсхинъ въ *рѣчи* противъ Ктисифонта. На Воспорѣ есть городъ, называемый Садомъ.

Μακροκέφαλοι: Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ' Γυναικῶν καταλόγῳ· Παλαίφατος δ' ἐν ξ' Τρωϊκῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους.

Длинноголовые: *упоминаетъ* Антифонтъ въ *рѣчи* о согласіи. Такъ называется народъ, о которомъ упоминаетъ и Исіодъ въ третьемъ каталогѣ женщинъ [4]). Палэфатъ въ 7-й кн. «Троянской исторіи» говоритъ, что Длинноголовые живутъ въ Ливіи выше Колховъ.

Νύμφαιον: Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντός φησι «Νύμφαιον τὸ ἐν τῷ Πόντῳ». Κρατερὸς δὲ ἐν θ' τῶν Ψηφισμάτων φησὶν ὅτι Ἀθηναίοις τὸ Νύμφαιον ἐτέλει τάλαντον.

Нимфэй: Эсхинъ въ *рѣчи* противъ Ктисифонта говоритъ: «Нимфэй въ Понтѣ» [5]). Кратеръ въ 9-й *книгѣ «Сборника* декретовъ» [6]) говоритъ, что Нимфэй платилъ Аѳинянамъ талантъ (дани).

Σκυθικαί v. supra p. 356.

ΙΟΥΛΙΟΣ ΠΟΛΥΔΕΥΚΗΣ. ЮЛІЙ ПОЛИДЕВКЪ.

[Грамматикъ и софистъ, уроженецъ египетскаго города Навкратиса, жилъ во 2-й пол. II в. по Р. Хр. при имп. Коммодѣ, которому посвятилъ сохранившееся до насъ сочиненіе Ὀνομαστικόν въ 10 книгахъ.—Текстъ: Iulii Pollucis Onomasticon ex recens. Imm. Bekkeri. Berol. 1846].

ΟΝΟΜΑΣΤΙΚΟΝ. СЛОВАРЬ.

Lib. I § 138 (περὶ βαρβαρικῶν ὅπλων): Προσαριθμητέον τούτοις καὶ τὰ βαρβαρικά· σάρισσαν Μακεδονικήν... καὶ σαγάρεις Σκυθικάς... [7])

(О варварскомъ вооруженіи): Къ этому слѣдуетъ причислить и варварское *вооруженіе*: Македонскую сариссу... и Скиѳскія сѣкиры...

1) V. supra p. 365. 2) «ὃ Σάτυρος — ἐτελεύτησεν addidi ex Epitome, deletis quae ante ἔστι δὲ legebantur verbis ὅτι Σάτυρος Θευδοσίαν. ubi post Θευδοσίαν lacuna est in A. fuitque in codice Aldi, qui servatis ceteris post Θευδοσίαν addidit πολιορκῶν ἐτελεύτησεν ex Suida sumtum. Alio modo lacunam explevit is cui codicis C. scriptura debetur, ὅτι Σάτυρος Θευδοσίαν οἰκεῖ. In oratione Demosthenis multus est de Leucone, Satyri filio, sermo; quod vero de patre ejus tradit Harpocratio aliunde sumtum est». D. 3) «Κῆπος si scripsit Harpocratio, finxit ex plurali Κῆποι, qui recte legitur apud Aeschinem p. 78, 11». D. Vide supra p. 370. 4) «Ἡσίοδος] Hunc memorat etiam Strabo I p. 43, 7 p. 299. Alia de Μακροκεφάλοις collegit Schneidewin. in Conject. crit. p. 22». D. De Palaephato cf. Dindorfii vol. II p. 326. 5) V. supra p. 370. 6) V. supra p. 390. 7) «σαγάρεις] MS. καὶ ἀγάρεις. Sed vulgatum non mutem tam facile. Sagaris itaque non tantum Persica et Amazonica, de quibus Brisson. loco dicto: sed et Scythica μάχαιρα: immo infra in instrumento militari σαγάρεις simpliciter refert X, 146». G. Dindorf, Iulii Pollucis Onomasticon cum annotat. interpretum (Lips. 1824) v. IV p. 196.

Digitized by Google

Lib. II § 62 (Περὶ διαφορᾶς ὀφθαλμῶν): ...τὸ γὰρ μονόφθαλμος παρ' Ἡροδότῳ ἐπὶ τῶν ἐκ φύσεως ἓν' ἐχόντων ὀφθαλμόν, οἷον Κυκλώπων καὶ Ἀριμασπῶν...

(О различіи глазъ): ... *Прил.* «одноглазый» *употреблено* у Иродота [1]) относительно имѣющихъ отъ природы одинъ глазъ, какъ напр. Киклоповъ и Аримасповъ...

Lib. IV § 60 (Περὶ ὀργάνων εὑρεθέντων ἔθνεσιν):... πεντάχορδον· Σκυθῶν μὲν τὸ εὕρημα, καθῆπτο δὲ ἱμᾶσιν ὠμοβοΐνοις, αἰγῶν δὲ χηλαὶ τὰ πλῆκτρα...

(*О музык.* инструментахъ, изобрѣтенныхъ *разными* племенами): ...пятиструнникъ изобрѣтенъ Скиѳами и связывался сыромятными ремнями, а плектрами *служили* козьи копытца...

Lib. IV § 76 (Εἴδη ὀργάνων): ...Σκύθαι δὲ, καὶ μάλιστα τούτων Ἀνδροφάγοι καὶ Μελάγχλαινοι καὶ Ἀριμασποὶ, ἀετῶν καὶ γυπῶν ὀστοῖς αὐλητικῶς ἐμπνέουσιν...

(Виды *музык.* инструментовъ): ...Скиѳи и между ними въ особенности Людоѣды, Меланхлэны и Аримаспы дуютъ въ кости орловъ и коршуновъ на подобіе флейтъ...

Lib. V § 26 (Περὶ τῶν κυνηγεσίας ἐργαλείων):... ἄρκυες δὲ καὶ δίκτυα καὶ ἐνόδια, τὸ μὲν λίνον αὐτῶν Αἰγύπτιον ἢ Φασιανικὸν ἢ Καρχηδόνιον ἢ Σαρδιανὸν εἶναι δεῖ. Ἡρόδοτος δὲ τὸ Φασιανόν, ὅπερ ἐστὶ Κολχικόν, ὑφ' Ἑλλήνων Σαρδονικὸν καλεῖσθαι λέγει...

(Объ охотничьихъ снарядахъ): ...Сѣти опускныя, полевыя и дорожныя [2]) должны дѣлаться изъ Эгипетскаго, Фасіанскаго, Карѳагенскаго или Сардійскаго льна [3]). Иродотъ говоритъ [4]), что Фасіанскій, т. е. Колхидскій, *левъ* называется у Еллиновъ Сардонскимъ...

Lib. VI § 25 упоминается Σκυθικὴ πόσις, «Скиѳскій способъ питья».
Lib. VII § 48 упоминается тарίχη Ποντικά, § 52—ὄρνιθες φασιανικοί.

Lib. VII § 59 (Ἐσθήτων εἴδη): ...ἐν τοῖς Σκύθαις Ἀντιφάνης ἔφη σαράβαρα καὶ χιτῶνας πάντας ἐνδεδυκότας... (Cf. X, 168: Ἀντιφάνης δὲ ἐν Σκύθαις ἢ Ταύροις, σαράβαρα κτλ.).

(Виды одежды): ...Антифанъ въ «Скиѳахъ» сказалъ: «всѣ одѣтые въ шаровары и хитоны»...

Lib. VII § 70 (Περὶ σκυτίνων ἐσθήτων): Καὶ σκύτιναι δὲ ἦσαν ἐσθῆτες... σίσυρνα [5]) δὲ χιτὼν σκύτινος ἔντριχος χειριδωτός· Σκυθικὸν τὸ χρῆμα...

(О кожаныхъ одеждахъ): Были и кожаныя одежды... сисирна—кожаный хитонъ, волосатый, съ рукавами, употребляется Скиѳами...

Lib. VII § 88 (Ὑποδημάτων εἴδη): ...αἱ δὲ Ἀργεῖαι παντὶ δῆλον ὡς Ἀργείων τὸ εὕρημα, καθάπερ αἱ Σκυθικαὶ Σκυθῶν καὶ Ῥοδίων αἱ Ῥοδιακαί...

(Виды обуви): ...«Аргосскіе» *башмаки*, всякому очевидно, придуманы Аргосцами, какъ «Скиѳскіе»—Скиѳами и «Родосскіе»—Родосцами...

---

1) Her. IV, 27 (supra, p. 19). 2) De variis retium generibus cf. Poll. ibid. § 27: ἡ δὲ παραλλαγὴ τῶν ὀνομάτων ἐν τῇ χρήσει τῇ θηρευτικῇ δίκτυα μὲν καλεῖ τὰ ἐν τοῖς ὁμαλοῖς καὶ ἰσοπέδοις ἱσταμένα, ἐνόδια δὲ τὰ ἐν ταῖς ὁδοῖς· αἱ δὲ ἄρκυες τούτων μὲν ἐλάττους εἰσὶ τοῖς μεγέθεσι, κεκυφάλῳ δὲ ἐοίκασι κατὰ τὸ σχῆμα, εἰς ὀξὺ καταλήγουσαι. 3) Cf. Xen. de ven. II, 4 (supra, p. 359). 4) Her. II, 105 (supra, p. 9). 5) Cf. quae de hoc nomine adnotavit Dindorfius v. V p. 1 pag. 323.

Digitized by Google

ΜΑΞΙΜΟΣ ΤΥΡΙΟΣ.

МАКСИМЪ ТИРСКІЙ.

[Софистъ и философъ, жившій, по свидѣтельству Свиды, при императорѣ Коммодѣ. Отъ него сохранились краткія «бесѣды» (διαλέξεις или λόγοι) популярнаго характера въ числѣ 41. — Текстъ: Theophrasti Characteres, Marci Antonini commentarii... Maximi Tyrii dissertationes. Graece et Latine cum indicibus. Theophrasti Characteres XV et Maximum Tyrium ex antiquissimis codicibus accurate excussis emendavit Fred. Dübner. Paris. Ed. Ambr. Firmin Didot. 1840].

ΛΟΓΟΣ Η'.

РѢЧЬ 8-я.

Εἰ θεοῖς ἀγάλματα ἱδρυτέον.

Слѣдуетъ-ли воздвигать статуи богамъ.

§ 1... ἔστι που καὶ ποταμῶν τιμή, ἢ κατ' ὠφέλειαν... ἢ κατὰ κάλλος... ἢ κατὰ μέγεθος ὡς Σκύθαις πρὸς τὸν Ἴστρον...

...Рѣкамъ также воздаются почести или за пользу..., или за красоту..., или вслѣдствіе величины, какъ *напр.* Истру отъ Скиѳовъ...

---

§ 8 extr. Ὄρος Καππαδόκαις καὶ θεὸς καὶ ὅρκος καὶ ἄγαλμα, Μαιώταις λίμνη, Τάναϊς Μασσαγέταις.

Каппадокійцы считаютъ гору божествомъ, клянутся ею и кланяются какъ священному изображенію; у Меотовъ *такую же роль играетъ* ихъ озеро, а у Массагетовъ—Танаидъ.

ΛΟΓΟΣ ΙΕ'.

РѢЧЬ 15-я.

Ἔτι περὶ τοῦ Σωκράτους δαιμονίου.

Вторично о Сократовомъ δαιμόνιον.

§ 7... Ἀχιλλεὺς νῆσον οἰκεῖ εὐθὺ Ἴστρου κατὰ τὴν Ποντικὴν θάλατταν, Ἀχιλλέως ναὸς καὶ βωμοὶ Ἀχιλλέως· καὶ ἐκὼν μὲν οὐκ ἄν τις προσέλθοι, ὅτι μὴ θύσων· θύσας δὲ ἐπιβαίνει τῆς νεώς. Εἶδον ἤδη ναῦται πολλάκις ἄνδρα ἡΐθεον, ξανθὸν τὴν κόμην, πηδῶντα ἐν ὅπλοις· τὰ ὅπλα χρυσᾶ· οἱ δὲ εἶδον μὲν οὐδαμῶς, ἤκουσαν δὲ παιανίζοντος· οἱ δὲ καὶ εἶδον καὶ ἤκουσαν. Ἤδη δέ τις καὶ κατέδαρθεν ἄκων ἐν τῇ νήσῳ, καὶ αὐτὸν Ἀχιλλεὺς ἀνίστησι καὶ ἐπὶ σκηνὴν ἄγει καὶ εὐωχεῖ. ὁ Πάτροκλος ψνοχόει, Ἀχιλλεὺς ἐκιθάριζεν, παρεῖναι δὲ ἔφη καὶ τὴν Θέτιν καὶ ἄλλων δαιμόνων χορόν.

...Ахиллъ живетъ на островѣ, *лежащемъ* прямо противъ Истра въ Понтійскомъ морѣ; *тамъ есть* храмъ и алтари Ахилла; добровольно туда никто не приближается иначе, какъ для жертвоприношенія, и по совершеніи его возвращается на корабль. Моряки часто видали юнаго мужа съ бѣлокурыми волосами, прыгающаго въ доспѣхахъ; а доспѣхи-де золотые; другіе-же не видали, но слыхали, какъ онъ распѣвалъ пеаны; третьи, *наконецъ*, и видали и слыхали. Случалось также нѣкоторымъ ненарокомъ засыпать на островѣ; такого Ахиллъ поднимаетъ, ведетъ въ палатку и угощаетъ; при этомъ Патроклъ разливалъ вино, *самъ* Ахиллъ игралъ на кноарѣ, присутствовала также, говорятъ, и Ѳетида и хоръ другихъ божествъ.

Digitized by Google

ΛΟΓΟΣ Ιϛ'.

Εἰ αἱ μαθήσεις ἀναμνήσεις.

§ 9... Ἐπειδὰν δὲ ἀπαλλαγῇ ἡ ψυχὴ ἐνθένδε ἐκεῖσε, ὥσπερ ἐκ τῆς Κιμμερίων γῆς ἐπὶ λαμπρὸν αἰθέρα ἐξελθοῦσα... τότε διορᾷ καὶ λογίζεται τἀληθῆ αὐτά.

РѢЧЬ 16-я.

Ученіе есть-ли напоминаніе.

...Когда же душа освободится изъ этого *міра* въ другой, выйдя какъ бы въ свѣтлый эѳиръ изъ земли Киммерійской,... тогда она созерцаетъ и воспринимаетъ разумомъ саму истину.

ΛΟΓΟΣ ΚΒ'.

Ὅτι ὁ θεωρητικὸς βίος ἀμείνων τοῦ πρακτικοῦ.

§ 6... Τὰ Ὀδυσσέως θεάματα ἢ Θρᾷκες ἦσαν, ἢ Κίκονες οἱ ἄγριοι, ἢ Κιμμέριοι οἱ ἀνήλιοι...

РѢЧЬ 22-я.

О томъ, что созерцательная жизнь лучше дѣятельной.

...Одиссей видѣлъ или Ѳракійцевъ, или дикихъ Киконовъ, или неосвѣщаемыхъ солнцемъ Киммерійцевъ...

ΛΟΓΟΣ ΚΓ'.

Εἰ καλῶς Πλάτων Ὅμηρον τῆς πολιτείας παρῃτήσατο.

§ 4... Τὸν Ἀνάχαρσιν ἐκεῖνον ἤρετο Ἕλλην ἀνήρ, εἰ ἔστιν αὐλητικὴ ἐν Σκύθαις· ὁ δὲ, οὐδὲ ἄμπελοι, ἔφη...

РѢЧЬ 23-я.

Справедливо-ли Платонъ исключилъ Омира изъ своего государства.

...Одинъ Еллинъ спросилъ знаменитаго Анахарсида, извѣстна ли Скиѳамъ игра на флейтѣ? А онъ отвѣтилъ: «*тамъ* нѣтъ даже виноградныхъ лозъ»...

ΛΟΓΟΣ ΚΖ'.

Ἔτι περὶ ἔρωτος. Δ.

§ 6. ...Σκυθῶν δὲ οἱ μὲν πολλοὶ γάλακτι βιοτεύουσιν, ὅσα οἱ ἄλλοι ἐπὶ οἴνῳ· τοῖς δὲ αἱ μέλιτται καθηδύνουσι τὸ πόμα, ἐπὶ πετρῶν καὶ δρυῶν διαπλάττουσαι τοὺς σίμβλους· εἰσὶ δὲ, οἳ τῇ παρὰ τῶν Νυμφῶν ὀχετείᾳ καὶ ἐπιρροῇ οὐδὲν λυμαίνονται, ἀλλ' αὐτοφυεῖ προσχρῶνται ποτῷ ὕδατι· ἓν δέ τι, οἶμαι, Σκυθῶν γένος πίνουσι μὲν ὕδωρ, ἐπειδὰν δὲ αὐτοῖς δέῃ τῆς κατὰ μέθην ἡδονῆς, νήσαντες πυράν, θυμιῶντες εὐώδεις βοτάνας, περικαθίσαντες ἐν κύκλῳ τῇ πυρᾷ, ὥσπερ κρατῆρι, εὐωχοῦνται τῆς ὁδμῆς, καθάπερ οἱ ἄλλοι τοῦ ποτοῦ, καὶ μεθύσκονταί γε ὑπ' αὐτῆς καὶ ἀναπηδῶσι καὶ ᾄδουσι καὶ ὀρχοῦνται.

РѢЧЬ 27-я.

О любви рѣчь 4-я.

...Большинство Скиѳовъ употребляютъ для питья молоко, какъ другіе *народы* вино; нѣкоторымъ подслащаютъ питье пчелы, устраивающія *свои* соты на скалахъ и деревьяхъ; есть и такіе, которые не брезгаютъ водопроводами Нимфъ и потоками и употребляютъ самородное питье—воду; а одно, если не ошибаюсь, Скиѳское племя пьетъ воду, но когда имъ захочется испытать удовольствіе опьяненія, то они устраиваютъ костеръ, курятъ благовонныя травы и, усѣвшись вокругъ костра, какъ вокругъ чаши, потчуютъ *другъ* *друга* запахомъ, какъ другіе питьемъ, и дѣйствительно опьяняются имъ, подпрыгиваютъ, поютъ и пляшутъ.

Digitized by Google

ΛΟΓΟΣ ΚΘ'.

Τίνες λυσιτελέστεροι πόλει, οἱ προπολεμοῦντες ἢ οἱ γεωργοῦντες. Ὅτι οἱ προπολεμοῦντες.

§ 4. Ἔα μοι τὰ Ἑλληνικά, ἴθι ἐπὶ τοὺς βαρβάρους. Γεωργοῦσιν Αἰγύπτιοι, πολεμοῦσι Σκύθαι· ἀνδρεῖον τὸ Σκυθικόν, δειλὸν τὸ Αἰγύπτιον· ἐλεύθερον τὸ Σκυθικόν, δοῦλον τὸ Αἰγύπτιον...

РѢЧЬ 29-я.

Кто полезнѣе государству, воины или земледѣльцы? Доказывается, что воины.

Оставь Эллиновъ и обратись къ варварамъ. Эгиптяне занимаются земледѣліемъ, Скиѳы — войною: Скиѳское племя мужественно, а Эгипетское — трусливо, Скиѳское свободно, а Эгипетское рабствуетъ...

ΛΟΓΟΣ ΛΑ'.

Ὅτι οἱ σύμφωνοι τοῖς ἔργοις λόγοι ἄριστοι.

§ 7... Ἥδιστον ἐν ποταμοῖς θέαμα ὁ Νεῖλος, ἀλλ' οὐ δι' ἀφθονίαν ὕδατος, καὶ γὰρ ὁ Ἴστρος εὔνεως· ἀλλὰ ὁ Ἴστρος οὐ γόνιμος, ὁ δὲ Νεῖλος γόνιμος...

РѢЧЬ 31-я.

Самыя лучшія рѣчи — согласныя съ дѣлами.

...Нилъ представляетъ пріятнѣйшее зрѣлище между рѣками, только не по полноводію, ибо и Истръ удобенъ для судоходства; но Истръ не способствуетъ плодородію *своего побережья*, а Нилъ способствуетъ...

ΛΟΓΟΣ ΛΒ'.

Εἰ ἔστι καθ' Ὅμηρον αἵρεσις.

§ 3 ...Μή με οἰηθῇς τὰς Πλάτωνος φωνὰς εἰκάζειν Ὁμήρῳ καὶ τὰ ὀνόματα καὶ τὰ ῥήματα (ἔστι μὲν γὰρ καὶ ταῦτα ἐκεῖθεν, ἐκείνης τῆς ἁρμονίας ἀπορροή, ὡς ἐξ ὠκεανοῦ ἡ Μαιῶτις, ὡς ἐκ τῆς Μαιώτιδος ὁ Πόντος, ὡς ἐκ τοῦ Πόντου ὁ Ἑλλήσποντος, ὡς ἐξ Ἑλλησπόντου ἡ θάλασσα), ἀλλὰ τὴν γνώμην τῇ γνώμῃ προσάγω καὶ τὴν συγγένειαν ὁρῶ...

РѢЧЬ 32-я.

Есть ли по Омиру опредѣленное мнѣніе въ философіи.

...Не думай, что я сравниваю съ Омиромъ Платоновскую рѣчь, имена и глаголы (хотя и это оттуда же, истеченіе той же гармоніи, какъ изъ Океана *течетъ* Мэотида, изъ Мэотиды — Понтъ, изъ Понта — Геллеспонтъ и изъ Геллеспонта — *наше* море); нѣтъ, я сопоставляю мысль *одного* съ мыслью *другого* и вижу ихъ сходство...

ΑΛΚΙΦΡΩΝ.

АЛКИФРОНЪ.

[Вѣроятно, младшій современникъ Лукіана. До насъ дошло отъ этого автора 118 писемъ (въ 5 книгахъ), представляющихъ тонко очерченные эскизы различныхъ сторонъ греческой жизни эллинистическаго періода. Изданіе: Epistolographi Graeci. Recensuit Rudolphus Hercher. Parisiis 1873].

Извлеченія А. І. Малеина.

Epist. III, 61 (Hercher, p. 89). Scribit Ὑδνοσφράντης quidam.

Ἐγὼ μὲν Ἀνθεμίωνος υἱὸς τοῦ πλουσιωτάτου τῶν Ἀθήνησι καὶ Ἀξιοθέας τῆς κατὰ

Я сынъ Анѳеміона, богатѣйшаго *мужа* въ Аѳинахъ, и Аксіоѳеи, происходящей изъ

Digitized by Google

γένος ἐκ Μεγακλέους ὡρμημένης, ὁ δὲ ταῦθ' ἡμᾶς ἐργαζόμενος πατρὸς μὲν ἀσήμου, μητρὸς δὲ βαρβάρου, Σκυθίδος οἶμαι ἢ Κολχίδος ἐν νεομηνίᾳ ἐωνημένης.

рода Мегакла, а сдѣлавшій намъ это [т. е. противникъ] *происходитъ* отъ неизвѣстнаго отца и чужеземной матери, *я* полагаю, Скиѳянки или Колхидянки, купленной въ новолуніе.

κατὰ γένος delet Meinekius. ἐν add. Hemsterhusius, uncis inclusit in editione sua Meinekius.

ΕΡΜΟΓΕΝΗΣ ΤΑΡΣΕΥΣ. ГЕРМОГЕНЪ ТАРСІЙСКІЙ.

[Риторъ Гермогенъ, уроженецъ г. Тарса, по прозванію ξυστήρ, жилъ во II в. по Р. Хр. Текстъ: Rhetores Graeci ex rec. Leon. Spengel, vol. II. Lips. 1854].

ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ. ПРЕДВАРИТЕЛЬНЫЯ УПРАЖНЕНІЯ.

2. ΠΕΡΙ ΔΙΗΓΗΜΑΤΟΣ. 2. О РАЗСКАЗѢ.

Σχήματα δὲ διηγημάτων πέντε, ὀρθὸν ἀποφαντικόν, ἀποφαντικὸν ἐγκεκλιμένον, ἐλεγκτικόν, ἀσύνδετον, συγκριτικόν. ὀρθὸν μὲν οὖν ἀποφαντικόν, οἷον Μήδεια ἡ Αἰήτου θυγάτηρ, αὕτη προὔδωκε τὸ χρυσόμαλλον δέρας. ὀρθὸν δὲ καλεῖται διότι παρ' ὅλον τὸν λόγον ἢ τὸν πλείω τηρεῖ τὴν πτῶσιν τὴν ὀνομαστικήν. ἀποφαντικὸν δὲ ἐγκεκλιμένον, οἷον Μήδειαν τὴν Αἰήτου λόγος ἐρασθεῖσαν Ἰάσονος, καὶ τὰ ἑξῆς. ἐγκεκλιμένον δὲ λέγεται διότι καὶ τὰς ἄλλας πτώσεις προσίεται. ἐλεγκτικὸν δέ ἐστι σχῆμα τόδε, οἷον· τί γὰρ οὐκ ἔδρασε Μήδεια δεινόν; οὐκ ἐράσθη μὲν Ἰάσονος; οὐ προὔδωκε δὲ τὸ χρυσόμαλλον δέρας; οὐκ ἀπέκτεινε δὲ τὸν ἀδελφὸν Ἄψυρτον; καὶ τὰ ἑξῆς. ἀσύνδετον δὲ γίνεται ὧδε, Μήδεια ἡ Αἰήτου θυγάτηρ Ἰάσονος ἠράσθη, προὔδωκε τὸ χρυσόμαλλον δέρας, τὸν ἀδελφὸν Ἄψυρτον ἐφόνευσε, καὶ τὰ ἑξῆς. συγκριτικὸν δέ ἐστι τοιοῦτο· Μήδεια ἡ Αἰήτου θυγάτηρ ἀντὶ μὲν τοῦ σωφρονεῖν ἠράσθη, ἀντὶ δὲ τοῦ φυλάττειν τὸ χρυσόμαλλον δέρας προὔδωκεν, ἀντὶ δὲ τοῦ σώζειν τὸν ἀδελφὸν Ἄψυρτον ἐφόνευσε...

Есть пять видовъ разсказовъ: прямой повѣствовательный, косвенный повѣствовательный, вопросительный, безсоюзный и сравнительный. *Видъ* прямой повѣствовательный, напр.: Мидія дочь Эита; она выдала золотое руно. Прямымъ называется *этотъ видъ* потому, что во всей рѣчи или въ большей ея части сохраняетъ именит. падежъ. Косвенный повѣствовательный, какъ напр.: *есть* разсказъ, что Мидія, влюбившись въ Іасона, и т. д. Онъ называется косвеннымъ потому, что допускаетъ и другіе падежи. Вопросительный видъ слѣдующій: какихъ ужасовъ не совершила Мидія? не влюбилась ли *она* въ Іасона? Не выдала ли золотое руно? не убила ли брата Апсирта? и т. д. Безсоюзный *видъ* получается такъ: Мидія, дочь Эита, влюбилась въ Іасона, выдала золотое руно, убила брата Апсирта, и т. д. Сравнительный *видъ* слѣдующій: Мидія, дочь Эита, вмѣсто цѣломудренной жизни влюбилась, вмѣсто охраненія золотого руна выдала *его*, вмѣсто спасенія брата Апсирта убила *его*...

Digitized by Google

ΦΕΡΕΝΙΚΟΣ ΗΡΑΚΛΕΩΤΗΣ. ФЕРЕНИКЪ ИРАКЛІЙСКІЙ.

Эпическій поэтъ, жившій во II в. по Р. Хр. См. о немъ Düntzer, Fragm. d. epischen Poesie t. II, p. 103].

Fragm. v. supra p. 328 ap. schol. Pind. Ol. III. 28. Cf. Tzetz. *Chil.* VII, 680 sq. «Hierzu nehme man die Anführung des Athen. III, p. 78 b. Φ. ὁ ἐποποιὸς Ἡρακλεώτης, wo eine Stelle aus einem prosaischen Werke desselben angeführt wird». Düntzer.

ΚΛΗΜΗΣ ΑΛΕΞΑΝΔΡΕΥΣ. КЛИМЕНТЪ АЛЕКСАНДРІЙСКІЙ.

[Пресвитеръ Александрійской церкви, ученикъ Пантэна и съ 189 г. преемникъ его въ Александрійской катехитической школѣ; умеръ въ глубокой старости между 211 и 218 г. Отъ него сохранились до насъ три сочиненія: 1) Λόγος προτρεπτικὸς πρὸς Ἕλληνας, 2) Παιδαγωγὸς въ 3 кн. и 3) Στρωματεῖς въ 7 кн., а также мелкіе труды и отрывки. — Текстъ: Clementis Alexandrini opera ex recensione Gul. Dindorfii, 4 voll. Oxonii 1869].

ΛΟΓΟΣ ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΠΡΟΣ ΕΛΛΗΝΑΣ.

УВѢЩАТЕЛЬНАЯ РѢЧЬ КЪ ЕЛЛИНАМЪ.

Cap. II § 24 (p. 20 Pott.). Πολλὰ κἀγαθὰ γένοιτο τῷ τῶν Σκυθῶν βασιλεῖ, ὅστις ποτὲ ἦν [Ἀνάχαρσις]. οὗτος τὸν πολίτην τὸν ἑαυτοῦ, τὴν παρὰ Κυζικηνοῖς μητρὸς τῶν θεῶν τελετὴν ἀπομιμούμενον παρὰ Σκύθαις, τύμπανόν τε ἐπικτυποῦντα καὶ κύμβαλον ἐπηχοῦντα οἷα τοῦ τραχήλου τινὰ μηναγύρτην ἐξηρτημένον κατατόξευσεν, ὡς ἄνανδρον αὐτόν τε παρ' Ἕλλησι γεγενημένον καὶ τῆς θηλείας τοῖς ἄλλοις Σκυθῶν διδάσκαλον νόσου...

Да будутъ многія блага Скиескому царю, кто бы ни былъ [Анахарсидъ]. Этотъ *царь* своего соотечественника [т. е. Анахарсида], подражавшаго въ Скиеіи Кизикскому священнослуженію матери боговъ при звукахъ тимпана и кимвала, какъ нѣкоего минагирта, повѣшеннаго за шею, застрѣлилъ изъ лука, какъ *человѣка*, *который* самъ сдѣлался женоподобнымъ въ Элладѣ и сталъ учителемъ женской болѣзни для прочихъ Скиеовъ...[1])

C. II § 29 (p. 25 P.)... πολλὰ κἀγαθὰ Κᾶρες σχοῖεν, οἳ καταθύουσιν αὐτῷ [sc. Ἀπόλλωνι] τοὺς κύνας. Σκύθαι δὲ τοὺς ὄνους ἱερεύοντες μὴ παυέσθων, ὡς Ἀπολλόδωρός φησι καὶ Καλλίμαχος,

Φοῖβος Ὑπερβορέοισιν ὄνων ἐπιτέλλεται ἱροῖς.
ὁ αὐτὸς δὲ ἀλλαχοῦ·
Τέρπουσιν λιπαραὶ Φοῖβον ὀνοσφαγίαι[2]).

...Да получатъ многія блага Карійцы, которые приносятъ ему [т. е. Аполлону] въ жертву собакъ. Скиеы пусть не перестаютъ жертвовать ословъ, какъ говорятъ Аполлодоръ и Каллимахъ: «Фивъ услаждается Иперборейскими жертвами ословъ» и онъ же въ другомъ мѣстѣ: «услаждаютъ Фива тучныя жертвы ословъ».

V. 3: «Ἀνάχαρσις recte delet Casaubonus». Dind. Cf. vol. IV p. 15.

1) «Historiam hanc memorat Herodotus 4, 76 [v. supra, p. 32], ubi regis nomen, quod omisit Clemens, Saulium fuisse dicit. Meminerunt etiam Diogenes Laertius in Anacharside [v. infra] et Josephus, Archaeol. Iud. lib. 2 [immo c. Apion., v. supra, p. 384], alios ut taceam». Potter (v. Dind. v. IV p. 15). 2) Cf. supra p. 394. Alter versus legitur etiam ap. schol. Pind. Pyth. X, 49. Pro verbo ἐπιτέλλεται Tan. Faber coniecit ἐπιτέρπεται, Car. Dilthey ἐποφέλλεται, Schneiderus ἐπιτέλθεται conlata Hesychii glossa (IV p. 139) τέλθει ἐν ᾠδῇ τέρπει, quam agnoscunt Suid. II 2 p. 1063 et Phot. Lex. II p. 204 Naber. Rossice sensum verbi vertimus. Cf. etiam Ant. Lib. 20 (supra, p. 392).

Digitized by Google

Cap. III § 42 (p. 36 P.)... Ταῦροι δὲ τὸ ἔθνος, οἱ περὶ τὴν Ταυρικὴν χερρόνησον κατοικοῦντες, οὓς ἂν τῶν ξένων παρ' αὐτοῖς ἕλωσι, τούτων δὴ τῶν κατὰ θάλασσαν ἐπταικότων, αὐτίκα μάλα τῇ Ταυρικῇ καταθύουσιν Ἀρτέμιδι· ταύτας σου τὰς θυσίας Εὐριπίδης ἐπὶ σκηνῆς τραγῳδεῖ...

...Племя Тавры, живущіе на Таврическомъ полуостровѣ, кого ни захватятъ у себя изъ иностранцевъ, потерпѣвшихъ кораблекрушеніе на морѣ, тотчасъ приносятъ въ жертву Таврической Артемидѣ; эти жертвоприношенія Еврипидъ выводитъ на сцену въ трагедіи [1])...

Cap. IV § 46 (p. 40 P.)... πάλαι μὲν οὖν οἱ Σκύθαι τὸν ἀκινάκην, οἱ Ἄραβες τὸν λίθον, οἱ Πέρσαι τὸν ποταμὸν προσεκύνουν...

...Въ старину Скиѳы поклонялись мечу, Арабы—камню, Персы—рѣкѣ...

Cap. V § 64 (p. 56 P.)... δοκοῦσί μοι πολλοὶ μάλιστα τὸ ξίφος μόνον πήξαντες ἐπιθύειν ὡς Ἄρει· ἔστι δὲ Σκυθῶν τὸ τοιοῦτον, καθάπερ Εὔδοξος ἐν δευτέρᾳ τῆς περιόδου λέγει. Σκυθῶν δὲ οἱ Σαυρομάται, ὥς φησιν Ἰκέσιος ἐν τῷ περὶ μυστηρίων, ἀκινάκην σέβουσιν...

...Очень многія *племена*, какъ мнѣ кажется, воткнувъ *въ землю* одинъ мечъ, приносятъ ему жертвы какъ Арею; это въ обычаѣ у Скиѳовъ, какъ говоритъ Евдоксъ во второй книгѣ «Землеописанія» [2]). Изъ *числа* Скиѳовъ Савроматы, какъ говоритъ Икесій [3]) въ соч. «О мистеріяхъ», почитаютъ мечъ...

ΠΑΙΔΑΓΩΓΟΣ.

Lib. III c. 3 § 24 (p. 267 P.)... καὶ τῶν ἐθνῶν οἱ Κελτοὶ καὶ οἱ Σκύθαι κομῶσιν, ἀλλ' οὐ κοσμοῦνται· ἔχει τι φοβερὸν τὸ εὔθριχον τοῦ βαρβάρου καὶ τὸ ξανθὸν αὐτοῦ πόλεμον ἀπειλεῖ συγγενές τι τὸ χρῶμα τῷ αἵματι. μεμισήκατον ἄμφω τούτω τὼ βαρβάρω τὴν τρυφήν, μάρτυρας ἐπιδείξονται σαφεῖς τὸν Ῥῆνον ὁ Γερμανός, ὁ Σκύθης τὴν ἅμαξαν. ὀλιγωρεῖ δὲ ἔσθ' ὅτε καὶ τῆς ἁμάξης ὁ Σκύθης· πλοῦτος εἶναι δοκεῖ τῷ βαρβάρῳ τὸ μέγεθος αὐτῆς, καὶ καταλιπὼν τὴν τρυφὴν εὐτελὴς πολιτεύεται οἶκον αὐτάρκη καὶ τῆς ἁμάξης εὐζωνότερον· τὸν ἵππον λαβὼν Σκύθης ἀνὴρ ἀναβὰς φέρεται οἱ βούλεται, κάμνων δὲ ἄρα λιμῷ αἰτεῖ τὸν ἵππον τροφάς, ὁ δὲ ὑπέχει τὰς φλέβας, καὶ ὃ κέκτηται μόνον, τῷ κυρίῳ τὸ αἷμα χορηγεῖ, καὶ τῷ νομάδι ὁ ἵππος ὄχημα γίνεται καὶ τροφή.

ПЕДАГОГЪ.

...Племена Кельтовъ и Скиѳовъ носятъ длинные волосы, но не употребляютъ украшеній; густые волосы варвара внушаютъ страхъ, а ихъ рыжій цвѣтъ, похожій на кровь, грозитъ войною. И тѣ и другіе изъ этихъ варваровъ ненавидятъ роскошь: достовѣрными свидѣтелями этого Германецъ представитъ Рейнъ, а Скиѳъ — повозку. Иногда, *впрочемъ*, Скиѳъ пренебрегаетъ и повозкой: ея величина кажется варвару богатствомъ и, оставивъ роскошь, Скиѳъ живетъ дешево въ домѣ самодовлѣющемъ и болѣе легкомъ, чѣмъ повозка: взявъ коня и сѣвъ на него, Скиѳъ несется куда хочетъ; мучимый голодомъ, онъ требуетъ пищи у коня и послѣдній предоставляетъ *ему* свои жилы и отдаетъ господину все, что имѣетъ, — свою кровь; *такимъ образомъ* конь является для кочевника и средствомъ передвиженія и пищею [4]).

---

1) V. supra, p. 343 sq. 2) V. supra p. 409. 3) «Ἰκέσιος] Scriptor aliunde non cognitus, de quo coniecturam incertam proposuit Mueller. Fragm. Hist. vol. 4 p. 429». Dind. Cf. R. Nicolai Griech. Literaturgesch. II² p. 193. De Scytharum cultu cf. Amm. Marcell. 31, 23, Solin. Polyhist. 25, Pomp. Mela 2,1, Luc. Iupp. Trag. 42 etc. 4) Aliorum scriptorum de his referentium locos v. ap. Dind. v. IV p. 140.

Digitized by Google

ΣΤΡΩΜΑΤΕΙΣ.

Lib. I c. XIV § 59 (p. 350 P.)... τὸν ἕβδομον [σοφὸν] οἱ μὲν Περίανδρον εἶναι λέγουσιν τὸν Κορίνθιον, οἱ δὲ Ἀνάχαρσιν τὸν Σκύθην, οἱ δὲ Ἐπιμενίδην τὸν Κρῆτα...

КОВРЫ.

...Седьмымъ [мудрецомъ] одни называютъ Періандра Коринѳскаго, другіе — Скиѳа Анахарсида, третьи — Критянина Епименида...

Lib. I c. XV § 72 (p. 359 P.). Σκύθης δὲ καὶ Ἀνάχαρσις ἦν, καὶ πολλῶν παρ' Ἕλλησι διαφέρων οὗτος ἀναγράφεται φιλοσόφων. τοὺς δὲ Ὑπερβορέους Ἑλλάνικος ὑπὲρ τὰ Ῥίπαια ὄρη οἰκεῖν ἱστορεῖ, διδάσκεσθαι δὲ αὐτοὺς δικαιοσύνην μὴ κρεωφαγοῦντας, ἀλλ' ἀκροδρύοις χρωμένους. τοὺς ἑξηκονταετεῖς οὗτοι ἔξω πυλῶν ἄγοντες ἀφανίζουσιν...

Скиѳъ былъ и Анахарсидъ, о которомъ пишутъ *какъ* о выдающемся изъ многихъ еллинскихъ философовъ. Объ Ипербореяхъ разсказываетъ Елланикъ[1]), что они живутъ выше Рипейскихъ горъ и что они учатся справедливости, не употребляя въ пищу мяса, но питаясь древесными плодами; шестидесятилѣтнихъ *стариковъ* они выводятъ за ворота и убиваютъ [собств. скрываютъ]...

Lib. I c. XVI § 75 (p. 362 P.)... Κέλμις... καὶ Δαμναμενεὺς οἱ τῶν Ἰδαίων δάκτυλοι πρῶτοι σίδηρον εὗρον ἐν Κύπρῳ, Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος, Σκύθης...

...Идэйскіе дактили Келмисъ... и Дамнаменей первые открыли желѣзо на Кипрѣ: другой Идэй, Деласъ, изобрѣлъ сплавъ мѣди, а по словамъ Исіода—Скиѳъ...[2])

---

§ 76 (p. 363 P.)... Μήδειά τε ἡ Αἰήτου ἡ Κολχὶς πρώτη βαφὴν τριχῶν ἐπενόησεν...

...Колхидянка Мидія, дочь Эета, первая придумала краску для волосъ...

Lib. I c. XXI § 105 (p. 382 P.)... ἀπὸ δὲ Διονύσου ἐπὶ Ἡρακλέα καὶ τοὺς περὶ Ἰάσονα ἀριστεῖς τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας συνάγεται ἔτη ἑξήκοντα τρία· Ἀσκληπιός τε καὶ Διόσκουροι συνέπλεον αὐτοῖς, ὡς μαρτυρεῖ ὁ Ῥόδιος Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς...

...Отъ Діониса до Иракла и витязей, плававшихъ на *кораблѣ* Арго съ Іасономъ во главѣ, выходитъ 63 года. Въ ихъ плаваніи участвовали Асклипій и Діоскуры, какъ свидѣтельствуетъ Аполлоній Родосскій въ «Аргонавтикѣ»...[3])

Lib. I c. XXI § 133 (p. 399 P.)... προγνώσει δὲ καὶ Πυθαγόρας ὁ μέγας προσανεῖχεν αἰεί, Ἀβαρίς τε ὁ Ὑπερβόρεος καὶ Ἀρισταίας ὁ Προκοννήσιος...

...На предчувствіе всегда обращали вниманіе великій Пиѳагоръ, Иперборей Аваридъ и Аристэй Проконнисскій...[4])

Lib. IV c. VIII § 62 (p. 591 P.). Ἀκούω δ' ἔγωγε καὶ Σαυρομάτιδας γυναῖκας πολέμῳ χρωμένας ἀνδρῶν οὐκ ἔλαττον, καὶ Σακίδας ἄλλας, αἳ τοξεύουσιν εἰς τοὐπίσω φεύγειν προσποιούμεναι τοῖς ἀνδράσιν ἐπ' ἴσης. οἶδα καὶ τὰς πλησίον τῆς Ἰβηρίας γυναῖκας ἔργῳ καὶ πόνῳ χρωμένας ἀνδρικῷ,

Я знаю Савроматскихъ женщинъ, которыя занимаются военнымъ дѣломъ не меньше мужчинъ, и другихъ — Сакскихъ, которыя наравнѣ съ мужчинами стрѣляютъ изъ луковъ назадъ, притворяясь бѣгущими. Я знаю также, что женщины вблизи Иверіи занимаются мужскимъ дѣломъ и тру-

---

1) Cf. supra, p. 348. 2) Cf. Diod. IV p. 191. 3) Dioscuros commemorat Apollonius l. I v. 146 sq., Aesculapium non item. 4) De Pythagorae et Abaridis vaticinatione cf. infra Porph. v. *Pythag.* 24 sq.

Digitized by Google

κἂν πρὸς τὸ ἀποκύειν γένωνται οὐδὲν ἀνιείσας τῶν πρακτέων, ἀλλ' ἐν αὐτῇ πολλάκις τῇ ἀμίλλῃ τῶν πόνων ἡ γυνὴ ἀποκυήσασα τὸ βρέφος ἀνελομένη οἴκαδε φέρει. ἤδη γοῦν αἱ γυναῖκες οὐδὲν ἧττον τῶν ἀρρένων καὶ οἰκουροῦσι καὶ θηρεύουσι καὶ τὰς ποίμνας φυλάττουσι.

домъ и даже при наступленіи родовъ не оставляютъ никакой работы, но часто во время самаго ревностнаго труда женщина рождаетъ и, поднявши младенца, несетъ домой. Женщины здѣсь нисколько не меньше мужчинъ стерегутъ дома, охотятся и стерегутъ стада [1]).

Lib. IV c. XXVI § 172 (p. 642 P.)... αἱ Ὑπερβόρειοι καὶ Ἀριμάσπειοι πόλεις καὶ τὰ Ἠλύσια πεδία δικαίων πολιτεύματα...

...Иперборейскіе и Аримаспійскіе города и Елисейскія поля суть обители праведныхъ...

Lib. V c. V § 31 (p. 664 P.)... Ἀριστόκριτος ἐν τῇ πρώτῃ τῶν πρὸς Ἡρακλεόδωρον ἀντιδοξουμένων μέμνηταί τινος ἐπιστολῆς οὕτως ἐχούσης· «Βασιλεὺς Σκυθῶν Ἀτοίας Βυζαντίων δήμῳ· μή βλάπτετε προσόδους ἐμάς, ἵνα μὴ ἐμαὶ ἵπποι ὑμέτερον ὕδωρ πίωσι». συμβολικῶς γὰρ ὁ βάρβαρος τὸν μέλλοντα πόλεμον αὐτοῖς ἐπάγεσθαι παρεδήλωσεν...

...Аристократъ въ первой *книгѣ* посвященнаго Ираклеодору *сочиненія* «Антидоксумена» [2]) упоминаетъ объ одномъ письмѣ слѣдующаго содержанія: «Царь Скиѳскій Атэй [3]) Византійскому народу: не вредите монхъ доходовъ, чтобы мои кобылицы не пили вашей воды». Варваръ иносказательно намекнулъ *здѣсь* на войну, которую намѣревался имъ объявить...

Lib. V c. VIII § 45 (p. 672 P.) fragm. Pherecydis Lerii v. supra p. 349.

ΣΧΟΛΙΑ.

ΕΙΣ ΤΟΝ ΠΡΟΤΡΕΠΤΙΚΟΝ.

Ad c. II § 29 (p. 25 P.). Ὑπερβορέοισιν] Ὑπερβόρεοι ἔθνος Σκυθικόν, οὕτω καλούμενον διὰ τὸ ἀνωτάτω τῶν βορειοτάτων μερῶν, ὅθεν πνεῖ ὁ Βορέας, ἔχειν τὴν οἴκησιν· οὗτοι δὲ ὄνους θύουσι τῷ Ἀπόλλωνι.

Ad c. IV § 53 (p. 47 P.) Ἀμαζόνας] ἔθνος Σκυθικὸν ἀνδρεῖον καὶ ἀνδρῶδες καὶ πρόσοικον τοῖς Κόλχοις [4]).

Ad c. IV § 54 (p. 48 P.). Μιθριδάτης ὁ Ποντικὸς] βασιλεὺς Σκυθῶν [5]).

Ad c. IX § 88 (p. 72 P.). οὐδεὶς Κιμμέριος] φασὶ γὰρ τοὺς Κιμμερίους (ὑπερβόρειοι δὲ οὗτοι τὴν κατοικίαν) ἡλίου καρκίνον καταλαμβάνοντος ἀειφανῆ γίνεσθαι τῷ νυχθημερινῷ καταστήματι, αἰγόκερων

СХОЛІИ.

КЪ УВѢЩАТЕЛЬНОЙ РѢЧИ.

Ипербореямъ: Иперборей — Скиѳское племя, называемое такъ потому, что имѣетъ жительство выше самыхъ сѣверныхъ частей, откуда дуетъ Борей; они приносятъ ословъ въ жертву Аполлону.

Амазонокъ: Скиѳское племя мужественное и мужеподобное, сосѣднее съ Колхами.

Миѳридатъ Понтійскій: царь Скиѳскій.

Ни одинъ Киммеріецъ: говорятъ, что у Киммерійцевъ (живущихъ на крайнемъ сѣверѣ) солнце, вступая въ *созвѣздіе* Рака, видно на горизонтѣ днемъ и ночью, а *вступая въ созвѣздіе* Козерога, совсѣмъ

---

1) Cf. Herod. IV, 114 (supra p. 44); Nic. Dam. fr. 3 et 16 (supra, p. 456); Isig. Nic. fragm. 29 et 50 (supra, p. 454). 2) De Aristocrito v. Müller, FHG. IV p. 334; Pauly-Wissowa, Realencyclop. v. II, 1 p. 942. 3) «Ἀτοίας] ἀντέας H. MS. Alibi *Ateas*. SYLB. αὐτέας MS. Ottob. Ἀτέας ap. Plut. Mor. p. 792. 1095. Lucian. Macrob. c. 10. Vid. Mueller. Fragm. hist. v. 4 p. 336». Dind. 4) Hoc scholium pertinet ad haec verba: οἶδα ἐγὼ πῦρ ἐλεγκτικὸν καὶ δεισιδαιμονίας ἰατρικόν· εἰ βούλει παύσασθαι τῆς ἀνοίας, φωταγωγήσει σὲ τὸ πῦρ καὶ τὸν ἐν Ἄργει νεὼν σὺν καὶ τῇ ἱερείᾳ κατέφλεξεν Χρυσίδι καὶ τὸν ἐν Ἐφέσῳ τῆς Ἀρτέμιδος δεύτερον μετὰ Ἀμαζόνας κτλ. 5) Ad verba auctoris: Πτολεμαῖος δὲ ὁ τέταρτος Διόνυσος ἐκαλεῖτο· καὶ Μιθριδάτης ὁ Ποντικὸς Διόνυσος καὶ αὐτός.

Digitized by Google

δὲ, οὐδ' ὅλως αὐτοῖς φαίνεσθαι ὑπὲρ γῆς, ἀλλὰ τὴν ἡμέραν τοιαύτην εἶναι, οἵαν παρ' ἡμῖν τὴν πρὸ ἡλίου κατάστασιν τῆς ἡμέρας [1]).

не показывается у нихъ надъ землею, и день бываетъ такой, какъ у насъ время дня до *восхода* солнца.

ΣΕΞΤΟΣ ΕΜΠΕΙΡΙΚΟΣ. СЕКСТЪ ЕМПИРИКЪ.

[Философъ скептической школы, жившій, по всей вѣроятности, въ концѣ II в. по Р. Хр. Отъ него сохранились сочиненія: Πυρρώνειοι ὑποτυπώσεις въ 3 кн. и Σκεπτικά въ 10 кн. (5 книгъ πρὸς μαθηματικούς и 5 πρὸς δογματικούς), кромѣ того ему приписываются 5 этическихъ декламацій.—Текстъ: Sextus Empiricus ex recens. Imm. Bekkeri. Berol. 1842].

ΠΥΡΡΩΝΕΙΟΙ ΥΠΟΤΥΠΩΣΕΙΣ. ПИРРОНОВСКІЕ ОЧЕРКИ.

Lib. I § 80. διαφέρει μὲν κατὰ μορφὴν σῶμα Σκύθου Ἰνδοῦ σώματος, τὴν δὲ παραλλαγὴν ποιεῖ, καθάπερ φασίν, ἡ διάφορος τῶν χυμῶν ἐπικράτεια...

Тѣло Скноа отличается по внѣшнему виду отъ тѣла Индійца, и это отличіе производитъ, какъ говорятъ, различная степень преобладанія влаги...

Lib. I § 149... Ἐν Ταύροις τῆς Σκυθίας νόμος ἦν τοὺς ξένους τῇ Ἀρτέμιδι καλλιερεῖσθαι...

...У Тавровъ въ Скноіи былъ обычай приносить чужестранцевъ въ жертву Артемидѣ...

Lib. III § 202... τὸ ἐστίχθαι παρ' ἡμῖν μὲν αἰσχρὸν καὶ ἄτιμον εἶναι δοκεῖ, πολλοὶ δὲ Αἰγυπτίων καὶ Σαρματῶν στίζουσι τὰ γεννώμενα...

...Татуированіе у насъ считается позоромъ и безчестіемъ, а изъ Египтянъ и Сарматовъ многіе татуируютъ *новорожденныхъ дѣтей*...

Lib. III § 208... τὸ ἀνθρωπείῳ μιαίνειν αἵματι βωμὸν θεοῦ παρ' ἡμῖν μὲν τοῖς πολλοῖς ἄθεσμον, Λάκωνες δὲ ἐπὶ τοῦ βωμοῦ τῆς Ὀρθωσίας Ἀρτέμιδος μαστίζονται πικρῶς ὑπὲρ τοῦ πολλὴν αἵματος ἐπὶ τοῦ βωμοῦ τῆς θεοῦ γενέσθαι ῥύσιν. ἀλλὰ καὶ τῷ Κρόνῳ θύουσιν ἄνθρωπόν τινες, καθάπερ καὶ Σκύθαι τῇ Ἀρτέμιδι τοὺς ξένους... (§ 210) τοὺς πατέρας τε ὑπὸ τῶν παίδων ἐπιμελείας ἀξιοῦσθαι κελεύει παρ' ἡμῖν νόμος· οἱ Σκύθαι δὲ ὑπὲρ τὰ ἑξήκοντα ἔτη γενομένους αὐτοὺς ἀποσφάττουσιν...

...Осквернять алтарь божества человѣческою кровью у многихъ изъ насъ *считается* безнравственнымъ, а Лаконцы жестоко бичуются при алтарѣ Артемиды Ореосіи, для того чтобы на алтарѣ богини изобильно проливалась кровь; нѣкоторые и Крону приносятъ въ жертву человѣка, подобно тому какъ Скноы—чужестранцевъ Артемидѣ... (§ 210) у насъ законъ повелѣваетъ дѣтямъ имѣть попеченіе объ отцахъ, а Скноы рѣжутъ ихъ по достиженіи 60 лѣтъ...

Lib. III § 217. αἱ Ἀμαζόνες καὶ ἐχώλευον τὰ ἄρρενα τῶν παρ' αὐταῖς γεννωμένων ὑπὲρ τοῦ μηδὲν ἀνδρεῖον αὐτὰ ποιῆσαι δύνασθαι, περὶ πόλεμον δὲ ἔσχον αὐταί, τοῦ ἐναντίου παρ' ἡμῖν καλῶς ἔχειν νενομισμένου...

Амазонки калѣчили рождавшихся у нихъ *дѣтей* мужескаго пола для того, чтобы они не могли совершать ничего мужественнаго, а военными дѣлами занимались сами, между тѣмъ какъ у насъ принято противоположное...

V. 27: «ἐσχόλαζον? an εἶχον?» Bekker.

1) Ad verba: φῶς ἐστι κοινὸν, ἐπιλάμπει πᾶσιν ἀνθρώποις· οὐδεὶς Κιμμέριος ἐν λόγῳ.

Digitized by Google

Lib. III § 226. Παραπλήσια δὲ ἔστι λέγειν καὶ περὶ τῆς εἰς τοὺς κατοιχομένους ὁσιότητος. οἱ μὲν γὰρ ὁλοκλήρως περιστείλαντες τοὺς ἀποθανόντας γῇ καλύπτουσιν, ἀσεβὲς εἶναι νομίζοντες ἡλίῳ δεικνύειν αὐτούς... (§ 227)... Ὑρκανοὶ δὲ κυσὶν αὐτοὺς ἐκτίθενται βορᾶν... (§ 228) τινὲς δὲ βάρβαροι τοὺς μὲν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας θύσαντες ἐσθίουσιν, τοὺς δὲ ἐν νεότητι ἀποθανόντας γῇ κρύπτουσιν...

Подобное можно сказать и объ *отданіи послѣднихъ* почестей усопшимъ: одни, какъ слѣдуетъ убравъ умершихъ, зарываютъ ихъ въ землю, считая нечестіемъ показывать ихъ солнцу... (§ 227).. а Иркапцы выставляютъ ихъ на пищу псамъ... (§ 228) нѣкоторые же варвары достигшихъ 60-лѣтняго возраста приносятъ въ жертву и съѣдаютъ, а умершихъ въ молодости зарываютъ въ землю...

ΠΡΟΣ ΔΟΓΜΑΤΙΚΟΥΣ.

Βιβλ. γ′ (πρὸς φυσικοὺς α′).

§ 202. Καὶ μὴν εἰ μηδέν ἐστιν αἴτιον, πάντα ἐκ παντὸς δεήσει γίνεσθαι καὶ ἐν παντὶ τόπῳ, ἔτι καὶ κατὰ πάντα καιρόν. ὅπερ ἄτοπον· εὐθέως γὰρ εἰ μηδέν ἐστιν αἴτιον, οὐδὲν τὸ κωλύον ἐξ ἀνθρώπου ἵππον συνίστασθαι. (§ 203) μηδενὸς δὲ ὄντος τοῦ κωλύοντος συστήσεταί ποτε ἐξ ἀνθρώπου ἵππος, καὶ οὕτως, εἰ τύχοι, ἐξ ἵππου φυτόν. κατὰ ταὐτὰ δὲ οὐκ ἀδύνατον ἔσται χιόνα μὲν ἐν Αἰγύπτῳ πήγνυσθαι, ἀβροχίαν δὲ ἐν Πόντῳ συμβαίνειν...

ПРОТИВЪ ДОГМАТИКОВЪ.

Кн. 3 (противъ физиковъ кн. 1).

Однако, если нѣтъ никакой причины *бытія*, то должно будетъ все происходить отъ всего, во всякомъ мѣстѣ и даже во всякое время; но это невозможно: ибо, если нѣтъ никакой причины, то *нѣтъ* и никакого препятствія изъ человѣка явиться лошади; а при неимѣніи никакого препятствія изъ человѣка когда-нибудь явится лошадь и точно также, при случаѣ, изъ лошади — растеніе. Сообразно этому не будетъ невозможно, чтобы въ Эгиптѣ лежалъ плотный снѣгъ, а въ Понтѣ случалось бездождіе...

§ 247... ὁ ἥλιος καίει μὲν τὰ περὶ τὴν Αἰθιοπίαν μέρη, θάλπει δὲ τὰ πρὸς ἡμᾶς, καταυγάζει δὲ μόνον τοὺς Ὑπερβορέους... (§ 249)... σύνεγγυς μὲν γὰρ ὢν τοῖς Αἰθίοψιν ἔοικε καίειν, μετρίως δὲ ἡμῶν ἀφεστηκὼς θάλπειν, πολὺ δὲ τῶν Ὑπερβορέων κεχωρισμένος θάλπει μὲν οὐδαμῶς, καταυγάζει δὲ μόνον...

...Солнце жжетъ страны около Эѳіопіи, грѣетъ наши *страны* и только освѣщаетъ Ипербореевъ... Ибо, находясь близко къ Эѳіопамъ, оно, конечно, жжетъ, находясь отъ насъ на умѣренномъ разстояніи, — грѣетъ и, далеко отстоя отъ Ипербореевъ, совсѣмъ не грѣетъ, а только освѣщаетъ...

In libro *adv. dogmat.* I. §§ 48 et 55 commemoratur Anacharsis Scytha.

ΚΕΛΣΟΣ. ЦЕЛЬСЪ.

[Философъ платоновской школы, написавшій въ 178 г. по Р. Хр. сочиненіе Ἀληθὴς λόγος, наполненное рѣзкими нападками на христіанство и извѣстное намъ по возраженіямъ Оригена въ его соч. Κατὰ Κέλσου. Попытку возстановленія труда Цельса изъ соч. Оригена представляетъ Th. Keim, Celsus wahres Wort, älteste Streitschrift antiker Weltanschauung gegen das Christentum vom Jahre 178 n. Chr. Zürich 1873. Cf. E. Pélagaut, Étude sur Celse, Lyon 1878; O. Heine, Ueber Celsus ἀληθὴς λόγος, Philol. Abhandl. zu Ehren von M. Hertz, 1888, pp. 197 — 214].

V. infra Origen. *c. Celsum* l. I c. 16, l. III c. 31, l. V c. 36 et 41, l. VI c. 39, l. VII c. 62.

Digitized by Google

ΑΡΚΑΔΙΟΣ.

АРКАДІЙ.

[Грамматикъ родомъ изъ Антіохіи, жившій, вѣроятно, около 200 г. по Р. Хр. Ему приписывается трактатъ «Объ удареніяхъ» и извлеченіе изъ Иродіановыхъ канóнес τῆς καθολικῆς προσῳδίας. Изданіе: Ἀρκαδίου περὶ τόνων. E codicibus Parisinis primum edidit Edm. Henr. Barker. Lips. 1820].

ΠΕΡΙ ΤΟΝΩΝ.

ОБЪ УДАРЕНІЯХЪ.

IV (p. 36). τὸ σκυθὶς δισυλλαβοῦν ὀξύνεται, ὡς τὸ περσίς...

τὰ εἰς χις ὀξύνεται, εἰ μὴ ὀνόματα πόλεων ἢ νήσων εἴη, κολχίς...

VIII (p. 69). τὰ εἰς ρος δισύλλαβα τῇ ευ παραληγόμενα σπάνια βαρύτονα... καὶ νευρὸς ὄνομα ἔθνους.

Ibid. (p. 72). τὰ εἰς ρος ὑπὲρ δύο συλλαβὰς παραληγόμενα οὐ προπαροξύνεται... ἕλουρος ἐθνικόν.

p. 76 memoratur τὸ ἀγάθυρσος, εἴτε κύριον εἴτε ἐθνικὸν εἴη.

Ibid. (p. 84). τὰ εἰς χος δισύλλαβα μὴ ὄντα ἐπιθετικὰ βαρύνεται, κόλχος...

1 Двухсложное *слово* Скиѳіс имѣетъ удареніе на послѣднемъ слогѣ, какъ Персіс...

Слова на χις имѣютъ удареніе на послѣднемъ слогѣ, если *это* не названіе городовъ или острововъ, *какъ напр.* колхіс...

5 Двухсложныя на рос съ ευ въ предпослѣднемъ слогѣ рѣдко не имѣютъ ударенія на послѣднемъ слогѣ... и невроc имя народа.

Болѣе чѣмъ двухсложныя на рос съ ου въ предпослѣднемъ слогѣ имѣютъ ударе-
10 ніе на 3-мъ слогѣ отъ конца... ѣлоурос названіе народа.

Слово ἀγάθυρσος, собственное ли *имя* или названіе народа.

Двухсложныя на χος, не прилагательныя, не имѣютъ ударенія на послѣднемъ слогѣ, *какъ* κόλχος...

ΚΛΑΥΔΙΟΣ ΑΙΛΙΑΝΟΣ.

КЛАВДІЙ ЭЛІАНЪ.

[Уроженецъ г. Прэнесте близъ Рима, жилъ во II и въ началѣ III в. по Р. Хр. Главныя его сочиненія — Περὶ ζῴων въ 17 книгахъ и Ποικίλη ἱστορία въ 14 книгахъ.—Текстъ: Aeliani de natura animalium, varia historia, epistolae et fragmenta.... recogn. Rud. Hercher. Paris. Firmin Didot 1858].

ΠΕΡΙ ΖΩΙΩΝ.

О ЖИВОТНЫХЪ.

II, 16... Ταρανδὸς τὸ ζῷον... θριξὶν αὐταῖς τρέπει ἑαυτόν, καὶ πολύχροιαν ἐργάζεται μυρίαν, ὡς ἐκπλήττειν τὴν ὄψιν, ἔστι δὲ Σκύθης, καὶ τὰ νῶτα παραπλήσιος ταύρῳ καὶ τὸ μέγεθος. τούτου τοι καὶ τὴν δορὰν ἀγαθὴν ἀντίπαλον αἰχμῇ ταῖς αὑτῶν ἀσπίσι περιτείναντες νοοῦσιν οἱ Σκύθαι.

1 Животное тарандъ... мѣняется вмѣстѣ съ шерстью и принимаетъ тысячи различныхъ цвѣтовъ, такъ что поражаетъ зрѣніе. Водится онъ въ Скиѳіи, хребтомъ и
5 величиною похожъ на быка. Скиѳы обтягиваютъ его шкурою свои щиты и считаютъ ее надежною защитою отъ копій.

II, 53. Μυσοῖς ἄγουσιν ἄχθη βόες, καὶ κεράτων ἄμοιροί εἰσι. Λέγονται δὲ τὴν ἀγέ-

У Мисійцевъ быки возятъ тяжести и лишены роговъ. Говорятъ, что скотъ бы-

Digitized by Google

λην ἄκερων ὁρᾶν οὐκέτι διὰ κρύος, ἀλλὰ τῶν βοῶν τῶνδε ἰδίᾳ φύσει, καὶ τὸ μαρτύριον παρὰ πόδας· γίνονται γὰρ καὶ ἐν Σκύθαις κεράτων οὐκ ἀγέραστοι βόες. ἐγὼ δὲ ἀκούω λέγοντός τινος ἐν συγγραφῇ καὶ μελίττας Σκυθίδας εἶναι, ἐπαίειν τε τοῦ κρύους οὐδέν. καὶ μέντοι καὶ πιπράσκειν εἰς Μυσοὺς κομίζοντας Σκύθας οὐκ οἰνεῖον σφίσιν, ἀλλὰ αὐθιγενὲς μέλι καὶ κηρία ἐπιχώρια. εἰ δὲ ἐναντία Ἡροδότῳ λέγω, μή μοι ἀχθέσθω· ὁ γὰρ τοιαῦτα εἰπὼν ἱστορίαν ἀποδείκνυσθαι ἀλλ' οὐκ ἀκοὴν ἆδειν ἔφατο ἡμῖν ἀβασάνιστον.

ваетъ тамъ безрогимъ не отъ холода, а по природной особенности этихъ быковъ, и доказательство этому на лицо: и въ Скиѳіи бываютъ быки, не лишенные роговъ. Я знаю также свидѣтельство одного писателя, что въ Скиѳіи водятся и пчелы, ничуть не страдающія отъ холода, и что Скиѳы даже привозятъ къ Мисійцамъ на продажу не привозный, а добываемый у нихъ самихъ медъ и туземный воскъ. Если я говорю несогласно съ Иродотомъ [1]), то пусть онъ не прогнѣвается на меня: сообщающій это *писатель* утверждаетъ, что онъ передаетъ достовѣрный разсказъ, а не слухъ, ни на чемъ не основанный.

IV, 7. Ἀκούω τὸν Σκυθῶν βασιλέα — τὸ δὲ ὄνομα εἰδὼς ἐῶ· τί γάρ μοι καὶ λυσιτελές ἐστιν;—ἵππον σπουδαίαν ἔχειν πᾶσαν ἀρετήν, ὅσην ἵπποι καὶ ἀπαιτοῦνται καὶ ἀποδείκνυνται, ἔχειν δὲ καὶ υἱὸν αὐτῆς ἐκείνης τῶν ἄλλων ἀρετῇ διαπρέποντα. οὔκουν εὑρίσκοντα οὔτε ἐκείνην ἄλλῳ παραβαλεῖν ἀξίῳ, οὔτε ἐκεῖνον ἄλλῃ ἐπαγαγεῖν τὸ ἐξ αὐτοῦ λαβεῖν σπέρμα ἀγαθῇ, διὰ ταῦτα ἄμφω συναγαγεῖν εἰς τὸ ἔργον· τοὺς δὲ τὰ μὲν ἕτερα ἀσπάζεσθαι σφᾶς καὶ φιλοφρονεῖσθαι, οὐ μὴν ἐχρίμπτεσθαι ἀλλήλοις. οὐκοῦν ἐπεὶ τῆς ἐπιβουλῆς τοῦ Σκύθου σοφώτερα ἦν τὰ ζῷα, ἐπηλύγασεν ἱματίοις καὶ τὸν καὶ τήν, καὶ ἐξειργάσαντο τὸ ἔκνομόν τε καὶ ἔκδικον ἐκεῖνο ἔργον. ὡς δὲ ἄμφω συνεῖδον τὸ πραχθέν, εἶτα μέντοι τὸ ἀσέβημα διελύσαντο θανάτῳ, πηδήσαντε κατὰ κρημνοῦ.

Мнѣ извѣстно, что *одинъ* Скиѳскій царь (имя его я знаю, но опускаю *нарочно*: какая мнѣ отъ него польза?) имѣлъ кобылицу, обладавшую всѣми достоинствами, какія отъ коней требуются и свойственны имъ, имѣлъ также и рожденнаго ею жеребца, отличавшагося отъ другихъ прекрасными качествами. *Царь*, не находя *возможности* ни случить кобылицу съ другимъ *жеребцомъ*, который былъ бы достоинъ ея, ни свести своего жеребца съ другою, достойною получить отъ него оплодотвореніе, по этой причинѣ свелъ ихъ между собою; но они, лаская другъ друга и обнаруживая взаимное расположеніе, тѣмъ не менѣе не сходились другъ съ другомъ. Когда животныя оказались такимъ образомъ умнѣе замысла Скиѳа, онъ прикрылъ обоихъ плащами, и *такимъ образомъ* они совершили это беззаконное и несправедливое дѣло. Но когда оба *животныя* увидѣли, что они сдѣлали, то искупили смертью свой грѣхъ, бросившись съ крутизны.

IV, 9. Τῶν ἰχθύων διὰ τοῦ ἦρος οἱ πλεῖστοι [εἰς] τὴν ἀφροδίτην πρόθυμοί εἰσι, καὶ ἀποκρίνουσί γε αὐτοὺς ἐς τὸν Πόντον μᾶλλον· ἔχει γάρ πως θαλάμας τε καὶ κοίτας, φύσεως ταῦτα ὁ Πόντος τὰ δῶρα· ἀλλὰ καὶ θηρίων ἐλεύθερός ἐστιν ὅσα βόσκει θάλαττα· δελφῖνες δὲ ἁλῶνται μόνοι, λεπτοί τε καὶ ἀσθενικοί· καὶ μὴν καὶ πολύ-

Большинство рыбъ весною обнаруживаетъ половые инстинкты и по большей части устремляется *для этой цѣли* въ Понтъ: ибо въ немъ есть природныя убѣжища и ложа; кромѣ того, онъ свободенъ отъ *хищныхъ* животныхъ, какія водятся въ морѣ: въ немъ скитаются только мелкіе и безсильные дельфины; въ немъ нѣтъ

1) Herod. IV, 29 (v. supra, p. 20).

Digitized by Google

που χῆρός ἐστι καὶ παγούρου ἄγονος, καὶ ἀστακὸν οὐ τρέφει· μικρῶν δὲ ἰχθύων οἶδε ὄλεθρός εἰσιν.

полиповъ, не родятся морскіе раки и не водятся омары; а эти *животныя* гибельны для мелкой рыбешки.

V, 27... Τοὺς ἐν Νευροῖς βοῦς Ἀριστοτέλης φησὶν ἐπὶ τῶν ὤμων ἔχειν τὰ κέρατα... Ἀλέξανδρος δὲ ὁ Μύνδιος [τὰ] ἐν τῷ Πόντῳ πρόβατα πιαίνεσθαι ὑπὸ τοῦ πικροτάτου φησὶν ἀψινθίου...

...Аристотель говоритъ, что въ странѣ Невровъ быки имѣютъ рога на плечахъ... Александръ Миндійскій [1]) говоритъ, что Понтійскія овцы жирѣютъ отъ очень горькой полыни...

V, 42... Ἐν Τραπεζοῦντι τῇ Ποντικῇ ἐκ τῆς πύξου γίνεσθαι μέλι πέπυσμαι, βαρὺ δὲ τὴν ὀσμὴν τοῦτο εἶναι· καὶ ποιεῖν μὲν τοὺς ὑγιαίνοντας ἔκφρονας, τοὺς δὲ ἐπιλήπτους ἐς ὑγίειαν ἐπανάγειν αὖθις...

...Мнѣ извѣстно, что въ Понтійскомъ Трапезунтѣ получается медъ изъ букса; онъ отличается тяжелымъ запахомъ и здоровыхъ людей одуряетъ, а на эпилептиковъ производитъ благотворное дѣйствіе...

V, 43. Περὶ τὸν Ὕπανιν ποταμὸν γίνεσθαι τὸ ζῷον τὸ μονήμερον οὕτω καλούμενον Ἀριστοτέλης φησίν, τικτόμενον μὲν ἅμα τῷ κνέφει, ἀποθνῆσκον δὲ ἐπὶ δυσμὰς ἡλίου τρεπομένου.

Аристотель говоритъ [2]), что у рѣки Ипанида водится животное, называемое одноденкой: оно рождается на разсвѣтѣ и умираетъ, когда солнце начинаетъ склоняться къ закату.

VI, 24... [Αἱ ἀλώπεκες] τὰς ὠτίδας ἐν τῷ Πόντῳ θηρεύουσιν οὕτως· ἀποστραφεῖσαι αὐταὶ καὶ εἰς γῆν κύψασαι τὴν κέρκον ἀνατείνουσιν ὥσπερ οὖν τράχηλον ὄρνιθος. αἱ δὲ ἀπατηθεῖσαι προσίασιν ὡς πρὸς ὄρνιν ὁμόφυλον, εἶτα πλησίον γενόμεναι τῆς ἀλώπεκος ἁλίσκονται ῥᾷστα ἐπιστραφείσης καὶ ἐπιθεμένης κατὰ τὸ καρτερόν.

...Лисицы ловятъ драхвъ въ Понтѣ слѣдующимъ образомъ: онѣ оборачиваются, припадаютъ къ землѣ и поднимаютъ хвостъ на подобіе шеи птицы; обманутыя драхвы приближаются какъ бы къ птицѣ своей породы, но какъ только птица подойдетъ близко къ лисѣ, послѣдняя оборачивается, изо всей силы бросается на нее и весьма легко схватываетъ.

VI, 60. Μασσαγέται μέν, ὡς Ἡρόδοτος λέγει, τὸν φαρετρεῶνα πρό γε ἑαυτῶν κρεμάσαντες, εἶτα μέντοι ὁμιλεῖ τῇ θηλείᾳ ὁ ἄρρην ἐμφανῶς, εἰ καὶ ὁρῷεν αὐτοὺς οἱ πάντες, πεφροντικότες οὐδὲν ἐκεῖνοί γε...

Массагеты, какъ говоритъ Иродотъ [3]), вѣшаютъ передъ собою колчанъ и затѣмъ мужчина открыто сообщается съ женщиной, хотя бы всѣ ихъ видѣли, не обращая на это никакого вниманія...

VI, 65. Περὶ τὸ Κωνώπιον οὕτω καλούμενον—χῶρος δὲ ἄρα τῆς Μαιώτιδός ἐστι—τοῖς ἁσπαλιευταῖς τε καὶ θαλαττουργοῖς ἀνδράσιν οἱ λύκοι πιστῶς παραμένουσι, καὶ εἰ θεάσαιο, οὐκ ἂν εἴποις αὐτοὺς κυνῶν οἱ-

У такъ называемаго Конопія (мѣстечко у Меотиды) волки живутъ въ вѣрной дружбѣ съ рыбаками и моряками, такъ что, посмотрѣвъ на нихъ, скажешь, пожалуй, что они не отличаются отъ сторожевыхъ со-

---

1) Писатель 1-й половины I в. по Р. Хр., оставилъ не дошедшія до насъ сочиненія зоологическаго, парадоксографическаго и миѳологическаго содержанія. См. о немъ *Pauly-Wissowa*, Realencyclop. v. I, 2, p. 1459. 2) Arist. *Hist. anim.* V, 19 (v. supra p. 376). 3) Herod. I, 216 (v. supra p. 7).

Digitized by Google

κουρούντων διαφέρειν. ἐὰν μὲν οὖν ἀπολάχωσι τῆς ἄγρας τῆς θαλαττίου μοίρας οἵδε οἱ λύκοι, εἰρηναῖα αὐτοῖς πρὸς τοὺς ἁλιέας καὶ ἔνσπονδά ἐστιν, εἰ δὲ μή, διαξαίνουσιν αὐτῶν τὰ δίκτυα καὶ ἀφανίζουσιν, καὶ ἔδοσαν ὑπὲρ τῆς σφετέρας ἀμοιρίας ζημίαν οἱ λύκοι αὐτοῖς.

бакъ. Если эти волки получатъ свою долю морской добычи, то у нихъ бываетъ миръ и согласіе съ рыбаками, а въ противномъ случаѣ они разрываютъ и уничтожаютъ сѣти и *такимъ образомъ* подвергаютъ ихъ наказанію за неполученіе своей доли [1]).

IX, 15... Λέγονται οἱ Σκύθαι πρὸς τῷ τοξικῷ, ᾧ τοὺς ὀιστοὺς ἐπιχρίουσι, καὶ ἀνθρώπειον ἰχῶρα ἀναμιγνύναι φαρμάσσοντες, ἐπιπολάζοντά πως αἵματι, * ὅπερ ἴσασιν ἀπόκριμα αὐτοῖς. τεκμηριῶσαι τοῦτο καὶ Θεόφραστος ἱκανός.

...Говорятъ, что Скины къ яду, которымъ намазываютъ стрѣлы, примѣшиваютъ для приправы человѣческую сукровицу, собирающуюся поверхъ крови... что знаютъ имъ отстоемъ (?). Для засвидѣтельствованія этого достаточно сослаться на Θеофраста [2]).

IX, 59 extr. ...Πολλοῖς ἰχθύσιν εὐθενεῖται ὁ Εὔξεινος Πόντος· θηρία γὰρ τρέφειν οὐκ ἔμαθεν· φώκην δὲ εἴ που τρέφει καὶ δελφῖνας βραχίστους, ἀλλὰ τῶν γε ἄλλων ἁπάντων οἱ τῇδε ἰχθῦς ἐν σκέπῃ εἰσίν.

...Евксинскій Понтъ изобилуетъ множествомъ рыбъ, потому что въ немъ не водятся хищники; въ немъ попадаются иногдѣ тюлени и очень мелкіе дельфины, но отъ всѣхъ другихъ *животныхъ* тамошнія рыбы вполнѣ безопасны.

X, 40. Ἐν τῇ Σκυθίᾳ γῇ γίνονται ὄνοι κερασφόροι, καὶ στέγει τὰ κέρατα ἐκεῖνα τὸ ὕδωρ τὸ Ἀρκαδικὸν τὸ καλούμενον τῆς Στυγός, τὰ δὲ ἄλλα ἀγγεῖα διακόπτει πάντα, κἂν ᾖ σιδήρου πεποιημένα. τούτων τοι τῶν κεράτων [ἓν] ὑπὸ Σωπάτρου κομισθῆναί φασιν Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ ἐκεῖνον πυνθάνομαι θαυμάσαντα ἐς Δελφοὺς ἀνάθημα ἀναθεῖναι τῷ Πυθίῳ τὸ κέρας καὶ ὑπογράψαι ταῦτα

σοὶ τόδ' Ἀλέξανδρος Μακεδὼν κέρας ἄνθετο, Παιάν,
κάνθωνος Σκυθικοῦ, χρῆμά τι δαιμόνιον,
ὃ Στυγὸς ἀχράντῳ Λουσηΐδος οὐκ ἐδαμάσθη
ῥεύματι, βάσταξεν δ' ὕδατος ἠνορέην.

Въ Скиѳской землѣ водятся рогатые ослы; ихъ рога выдерживаютъ Аркадскую воду, такъ называемую Стиксову, а всѣ другіе сосуды она разрываетъ, хотя бы они были сдѣланы изъ желѣза. Говорятъ, что одинъ изъ такихъ роговъ былъ поднесенъ Сопатромъ Александру Македонскому; послѣдній, слышно, удивившись *этому рогу*, принесъ его въ даръ Аполлону Пиѳійскому въ Дельфы и велѣлъ вырѣзать слѣдующую надпись: «Тебѣ, Пеанъ, посвятилъ Александръ Македонскій этотъ рогъ Скиѳскаго осла, чудную вещь, которая не была побѣждена чистымъ теченіемъ Лусейскаго Стикса и выдержала силу его воды».

XI, 1. Ἀνθρώπων Ὑπερβορέων γένος καὶ τιμὰς Ἀπόλλωνος τὰς ἐκεῖθι ᾄδουσι μὲν καὶ ποιηταί, ὑμνοῦσι δὲ καὶ συγγραφεῖς, ἐν δὲ τοῖς καὶ Ἑκαταῖος, οὐχ ὁ Μιλήσιος, ἀλλ' ὁ Ἀβδηρίτης... ἃ δέ μοι μόνα ἥδε ἡ συγγραφὴ παρακαλεῖ ἔστι ταῦτα. ἱερεῖς εἰσι τῷδε τῷ δαίμονι Βορέου καὶ Χιόνης υἱέες, τρεῖς τὸν

Родъ Гипербореевъ и воздаваемыя ими Аполлону почести воспѣваютъ и поэты, прославляютъ и *прозаическіе* писатели, въ томъ числѣ Екатэй, не Милетскій, а Авдирскій... [Изъ его описаній] только слѣдующее подходитъ къ нашему сочиненію. Жрецами названнаго божества слу-

1) Cf. Arist. *Hist. anim.* IX, 36 (supra, p. 378).

2) Cf. [Arist.] *de mir. auscult.* 141 (supra, p. 381).

Digitized by Google

ἀριθμόν, ἀδελφοὶ τὴν φύσιν, ἐξαπήχεις τὸ μῆκος. ὅταν οὖν οὗτοι τὴν νενομισμένην ἱερουργίαν κατὰ τὸν συνήθη καιρὸν τῷ προειρημένῳ ἐπιτελῶσιν, ἐκ τῶν Ῥιπαίων οὕτω καλουμένων παρ' αὐτοῖς ὀρῶν καταπέτεται κύκνων ἄμαχα τῷ πλήθει νέφη, καὶ περιελθόντες τὸν νεὼν καὶ οἱονεὶ καθήραντες αὐτὸν τῇ πτήσει, εἶτα μέντοι κατίασιν εἰς τὸν τοῦ νεὼ περίβολον, μέγιστόν τε τὸ μέγεθος καὶ τὸ κάλλος ὡραιότατον ὄντα. ὅταν οὖν οἵ τε ᾠδοὶ τῇ σφετέρᾳ μούσῃ τῷ θεῷ προσάδωσι καὶ μέντοι καὶ οἱ κιθαρισταὶ συγκρέκωσι τῷ χορῷ παναρμόνιον μέλος, ἐνταῦθά τοι καὶ οἱ κύκνοι συναναμέλπουσιν ὁμορροθοῦντες καὶ οὐδαμῶς οὐδαμῇ ἀπηχὲς καὶ ἀπῳδὸν ἐκεῖνοι μελῳδοῦντες, ἀλλὰ ὥσπερ οὖν ἐκ τοῦ χοροδιδασκάλου τὸ ἐνδόσιμον λαβόντες καὶ τοῖς σοφισταῖς τῶν ἱερῶν μελῶν τοῖς ἐπιχωρίοις συνᾴσαντες. εἶτα τοῦ ὕμνου τελεσθέντος οἱ δὲ ἀναχωροῦσι τῇ πρὸς τὸν δαίμονα τιμῇ τὰ εἰθισμένα λατρεύσαντες καὶ τὸν θεὸν ἀνὰ πᾶσαν τὴν ἡμέραν οἱ προειρημένοι, ὡς εἰπεῖν, χορευταὶ πτηνοὶ μέλψαντές τε ἅμα καὶ ᾄσαντες.

жать сыновья Борея и Хіоны, числомъ трое, по природѣ братья, ростомъ по шести локтей. Когда они совершаютъ въ честь названнаго *бога* установленное священнослуженіе въ обычное время, съ такъ называемыхъ у нихъ Рипэйскихъ горъ прилетаютъ необозримыя по величинѣ тучи лебедей; облетѣвъ кругомъ храма и какъ бы очистивъ его своимъ полетомъ, они потомъ спускаются въ ограду храма, отличающуюся огромной величиной и необычайной красотой. Въ то время, какъ пѣвцы запоютъ туземныя пѣсни въ честь бога, а кіеаристы присоединяютъ къ хору чрезвычайно гармоничную игру, тутъ вмѣстѣ съ ними запѣваютъ и лебеди; они поютъ очень согласно и никогда нигдѣ не издаютъ ни одного нестройнаго или несогласнаго съ пѣніемъ звука, какъ будто получивъ тактъ отъ регента хора и спѣвшись съ мѣстными творцами священныхъ напѣвовъ. Затѣмъ по окончаніи гимна они удаляются, исполнивъ обычную службу въ честь божества; такимъ образомъ вышеназванные, такъ сказать, крылатые хоревты цѣлый день воспѣваютъ бога.

XI, 29. Πρόβατα ἄχολα ἐν τῷ Πόντῳ φασίν...

Говорятъ, что въ Понтѣ овцы не имѣютъ желчи...

XII, 34... Σκύθαι ξύλων ἀπορίᾳ ἅτινα ἂν καταθύσωσι τοῖς αὐτῶν ὀστέοις ἕψουσι...

...Скиѳы за недостаткомъ дровъ всѣхъ *животныхъ*, которыхъ приносятъ въ жертву, варятъ на ихъ *собственныхъ* костяхъ...

XVI, 33... Ἀριστοτέλης γε μήν φησι τῶν βοῶν τῶν ἐν Νευροῖς ἐκπεφυκέναι τὰ κέρατα καὶ τὰ ὦτα ἔκφυσιν τὴν αὐτὴν καὶ εἶναι συνυφασμένα... εἴη δ' ἂν τοῦ παιδὸς τοῦ Νικομάχου καὶ ταῦτα· ἐν τοῖς περὶ τὸν Καρίσκον Βουδίνοις οἰκοῦσιν οὐ γίνεσθαί φησι πρόβατον λευκόν, ἀλλὰ μέλανα πάντα.

...Аристотель говоритъ, что у быковъ въ странѣ Невровъ рога и уши выростаютъ изъ одного и того же мѣста и связаны между собою... Приведемъ еще и слѣдующее *извѣстіе* сына Никомахова: онъ говоритъ, что у Будиновъ, живущихъ кругомъ Карпска, не родятся бѣлыя овцы, но что всѣ онѣ черныя.

XVII, 17. Ἀμύντας ἐν τοῖς ἐπιγραφομένοις οὕτως ὑπ' αὐτοῦ Σταθμοῖς κατὰ τὴν γῆν τὴν Κασπίαν καὶ βοῶν ἀγέλας λέ-

Амунтъ въ сочиненіи, озаглавленномъ «Переходы» [1]), говоритъ, что въ Каспійской землѣ есть много стадъ быковъ и та-

---

V. 31: Λεύκτροις libri, corr. Hercher in ed. Teubn. (cf. supra V, 27). || V. 35: Βουδιανοῖς libri, corr. L. Dindorf.

1) De Amynta cf. *Nicolai*, Griech. Literaturgesch. II², p. 164.

Digitized by Google

γει πολλὰς καὶ ἵππων, καὶ κρείττονας ἀριθμοῦ εἶναι. ἐπιλέγει δὲ ἄρα καὶ ἐκεῖνο, ἐν ὥρῶν τισι περιτροπαῖς μυῶν ἐπιδημίας γίνεσθαι πλῆθος ἄμαχον. καὶ τὸ μαρτύριον ἐπάγει λέγων τῶν ποταμῶν τῶν ἀενάων σὺν πολλῷ τῷ ῥοίζῳ φερομένων τοὺς δὲ καὶ μάλα ἀτρέπτως ἐπινήχεσθαί τε αὐτοῖς καὶ τὰς οὐρὰς ἀλλήλων ἐνδακόντας ἕρμα τοῦτο ἴσχειν, καὶ τοῦ διαβάλλειν τὸν πόρον σύνδεσμόν σφισιν ἰσχυρότατον ἀποφαίνειν τόνδε. ἐς τὰς ἀρούρας δὲ ἀπονηξάμενοί, φησι, καὶ τὰ λήια ὑποκείρουσιν, καὶ διὰ τῶν δένδρων ἀνέρπουσιν, καὶ τὰ ὡραῖα δεῖπνον ἔχουσιν· καὶ τοὺς κλάδους δὲ διακόπτουσιν, οὐδὲ ἐκείνους κατατραγεῖν ἀδυνατοῦντες. οὐκοῦν ἀμυνούμενοι οἱ Κάσπιοι τὴν ἐκ τῶν μυῶν ἐπιδρομήν τε ἅμα καὶ λύμην φείδονται τῶν γαμψωνύχων· οἵπερ οὖν καὶ αὐτοὶ κατὰ νέφη πετόμενοι εἶτα αὐτοὺς ἀνασπῶσιν, καὶ ἰδίᾳ τινὶ φύσει τοῖς Κασπίοις ἀναστέλλουσι τὸν λιμόν.

Ἀλώπεκες δὲ αἱ Κάσπιαι, τὸ πλῆθος αὐτῶν τοσοῦτόν ἐστιν, ὡς καὶ ἐπιφοιτᾶν οὐ μόνον τοῖς αὐλίοις τοῖς κατὰ τοὺς ἀγρούς, ἤδη γε μὴν καὶ ἐς τὰς πόλεις παριέναι. καὶ ἐν οἰκίᾳ ἀλώπηξ φανεῖται οὐ μὰ Δία ἐπὶ λύμῃ οὐδὲ ἁρπαγῇ, ἀλλὰ οἷα τιθασός· καὶ ὑποσαίνουσί τε καὶ ὑπαικάλλουσι [δίκην] τῶν παρ' ἡμῖν κυνιδίων. οἱ δὲ μύες οἱ τοῖς Κασπίοις ἐπίδημον ὄντες κακόν, μέγεθος αὐτῶν ὅσον κατά γε τοὺς Αἰγυπτίων ἰχνεύμονας ὁρᾶσθαι, ἄγριοι δὲ καὶ δεινοὶ καὶ καρτεροὶ τοὺς ὀδόντας, καὶ διακόψαι τε καὶ διατραγεῖν οἷοί τε εἰσὶ καὶ σίδηρον...

буновъ лошадей и что они безчисленны. Онъ прибавляетъ еще и то, что въ извѣстные періоды времени тамъ появляются въ безчисленномъ множествѣ мыши, и въ доказательство *этого* приводитъ *фактъ*, что хотя тамошнія не изсякающія рѣки текутъ съ большой быстротой, однако мыши неустрашимо переплываютъ ихъ, взявъ въ зубы хвосты другъ друга и составляя такимъ образомъ цѣпь, доказывая этимъ, что такая связь является у нихъ самою прочною для переправы чрезъ рѣку. Выйдя изъ рѣки на поля, говоритъ *Аминтъ*, онѣ обгрызаютъ посѣвы, взлѣзаютъ на деревья и поѣдаютъ спѣлые плоды, *при чемъ* перегрызаютъ даже вѣтви, такъ какъ ихъ зубы достаточно крѣпки для этого. Для защиты отъ нашествія мышей и *отъ причиняемаго ими* вреда Каспіи щадятъ хищныхъ птицъ, которыя поэтому также налетаютъ цѣлыми тучами, схватываютъ мышей и такимъ оригинальнымъ способомъ избавляютъ Каспіевъ отъ голода.

Что касается до Каспійскихъ лисицъ, *то* ихъ число такъ велико, что онѣ не только появляются въ хижинахъ, стоящихъ на поляхъ, но приходятъ даже въ города; въ дома лисица является вовсе не съ тѣмъ, чтобы причинить вредъ или стащить *что-нибудь*, а *совсѣмъ* какъ ручная: онѣ ласкаются и виляютъ хвостами *не хуже* нашихъ собаченокъ. Мыши, составляющія мѣстное зло у Каспіевъ, величиною бываютъ не меньше эгипетскихъ ихневмоновъ; онѣ дики и страшны и обладаютъ столь крѣпкими зубами, что могутъ перегрызать и поѣдать даже желѣзо...

XVII, 32. Ἐν τῇ Κασπίᾳ γῇ λίμνην ἀκούω μεγίστην εἶναι, καὶ ἰχθῦς ἐν αὐτῇ γίνεσθαι μεγάλους, καὶ ὀξύρυγχοι καλοῦνται· προϊέναι [γε] μὴν ἐς μῆκος καὶ ὀκτὼ πήχεων. οὐκοῦν οἱ Κάσπιοι θηρῶσιν αὐτούς, καὶ διαπάσαντες ἁλσὶ καὶ ταρίχους ἐργασάμενοί τε καὶ ἀποφήναντες αὖους, ἐπισάξαντες καμήλοις κομίζουσιν ἐς Ἐκβάτανα, καὶ ποιοῦσιν ἄλειφα ἐκ τῶνδε τῶν ἰχθύων ἀφελόντες τὴν πιμελήν, καὶ τοὺς μὲν ταρίχους πιπράσκουσιν, τῷ δὲ ἰχθυίνῳ ἐλαίῳ χρίονται λιπαρῷ σφόδρα καὶ οὐ δυσώδει. τὰ δὲ ἔντερα ἐξέλκουσιν αὐτῶν καὶ ἕψουσι, καὶ ἐξ αὐτῶν ποιοῦσι κόλλαν καὶ μάλα γε ἐν χρείᾳ γίνεσθαι δυναμένην· συνέχει γὰρ

Я слышалъ, что въ Каспійской землѣ есть огромное озеро, въ которомъ водятся большія рыбы, называемыя «остроносыми». Онѣ достигаютъ даже восьми локтей длины. Каспіи ловятъ ихъ, посыпаютъ солью и приготовляютъ соленье или сушатъ, *затѣмъ* навьючиваютъ на верблюдовъ и везутъ въ Екбатаны. Вырѣзавъ жиръ изъ этихъ рыбъ, они дѣлаютъ изъ него мазь, и соленье продаютъ, а рыбьимъ масломъ, очень жирнымъ и не вонючимъ, мажутся; внутренности рыбъ они вынимаютъ, варятъ и выдѣлываютъ изъ нихъ клей, очень годный къ употребленію: онъ все склеиваетъ очень крѣпко, держится *на*

Digitized by Google

πάντα ἐγκρατῶς, καὶ προσέχεται οἷς ἂν προσπλακῇ, καὶ ἰδεῖν ἐστι λαμπροτάτη. οὕτω δὲ συνέχει πᾶν ὅτι ἂν συνδήσῃ τε καὶ συνάψῃ, ὡς καὶ δέκα ἡμερῶν αὐτὴν βρεχομένην μήτε λύεσθαι μήτε μὴν ἀφίστασθαι. ἀλλὰ καὶ τοὺς τὸν ἐλέφαντα χειρουργοῦντας χρῆσθαί τε αὐτῇ καὶ τὰ ἔργα ἐκπονεῖν κάλλιστα.

всемъ, къ чему прилипнетъ, и очень прозраченъ на видъ. Онъ такъ скрѣпляетъ все, что имъ ни склеятъ, что если даже мочить его десять дней, онъ не распустится и даже не отстанетъ. Даже мастера издѣлій изъ слоновой кости употребляютъ его и выдѣлываютъ прекраснѣйшія вещи.

XVII, 33. Λέγει τις λόγος ἐν Κασπίοις ὄρνεον γίνεσθαι τὸ μὲν μέγεθος κατὰ τοὺς ἀλεκτρυόνας τοὺς μεγίστους, ποικίλον γε μὴν καὶ πολυχροΐᾳ διηνθισμένον. καὶ πέτεταί γε ὕπτιον, ὡς ἀκούω, ὑποτείναν τῷ τραχήλῳ τὰ σκέλη καὶ οἷον ἀνέχον αὐτοῖς αὐτόν. κλαγγὴν δὲ προΐεσθαι σκυλακίου. ποιεῖσθαι δὲ τὴν πτῆσιν οὐκ ἐν ἀέρι βαθεῖ, ἀλλὰ περὶ τὴν γῆν, ἐλαφρίζειν ἐς ὕψος ἑαυτὸ μὴ δυνάμενον.

Существуетъ разсказъ, что у Каспіевъ водится птица величиною съ самаго большого пѣтуха, пестрая и разукрашенная многими цвѣтами. Летаетъ она, какъ слышно, навзничь, подтянувъ ноги къ шеѣ и какъ-бы поддерживая себя ими; кричитъ она, какъ щенокъ; летаетъ не высоко въ воздухѣ, а около земли, не будучи въ состояніи поднять себя на высоту.

Κάσπιος δὲ ἄρα καὶ οὗτος ὄρνις ἢ Ἰνδὸς μᾶλλον—λέγεται γὰρ καὶ ἐκείνη τὸ γένος οἱ καὶ ταύτῃ—καὶ εἴη τὸ μέγεθος κατὰ χῆνα ἄν, καὶ ἔχει κεφαλὴν πλατεῖαν μέν, λεπτὴν δέ, καὶ τὰ σκέλη οἱ μακρά. καὶ κεκραμένη χρόα οἱ καὶ μικτή· τὸ μὲν γὰρ νῶτον αὐτῷ πορφυροῖς ἡγλάισται, τὰ δὲ ὑπὸ τῇ γαστρὶ κόκκῳ γνησιωτάτῳ καὶ καλλίστῳ προσείκασται, κεφαλὴ δὲ καὶ δέρη λευκὰ ἄμφω· φθέγγεται δὲ κατὰ τὴν αἶγα.

Каспійская также или, скорѣе, Индійская (говорятъ, что она водится и тамъ и здѣсь) еще слѣдующая птица: величиною приблизительно съ гуся, съ плоскою и маленькою головою и длинными ногами; цвѣтъ оперенья смѣшанный, пестрый: спинка расцвѣчена пурпуромъ, подбрюшье окрашено въ самый чистый и красивый червленый цвѣтъ, а голова и шея бѣлыя. Кричитъ она по-козьему.

XVII, 34. Αἶγες δὲ Κάσπιαι λευκαὶ ἰσχυρῶς, κεράτων δὲ ἄγονοι [καὶ] μικραὶ τὸ μέγεθος καὶ σιμαί· κάμηλοι δ' ἀριθμοῦ πλείους, αἱ μέγισται κατὰ τοὺς ἵππους τοὺς μεγίστους, εὔτριχες ἄγαν. ἁπαλαὶ γάρ εἰσι σφόδρα αἱ τούτων τρίχες, ὡς καὶ τοῖς Μιλησίοις ἐρίοις ἀντικρίνεσθαι τὴν μαλακότητα· οὐκοῦν ἐκ τούτων οἱ ἱερεῖς ἐσθῆτας ἀμφιέννυνται καὶ οἱ τῶν Κασπίων πλουσιώτατοί τε καὶ δυνατώτατοι.

Каспійскія козы очень бѣлы, роговъ не имѣютъ, ростомъ малы и тупоносы. Верблюдовъ *здѣсь* очень много, самые крупные достигаютъ величины самыхъ большихъ лошадей и покрыты прекрасной шерстью: ихъ шерсть очень нѣжна, такъ что по мягкости не уступаетъ даже Милетской шерсти. *Сдѣланныя* изъ нея платья носятъ жрецы и самые богатые и знатные изъ Каспіевъ.

XVII, 38. Ἐν θαλάττῃ τῇ Κασπίᾳ εἰσὶ νῆσοι, φασί, καὶ γίνονται ἐν αὐταῖς ὄρνιθες διάφοροι μὲν καὶ ἄλλοι, εἷς δὲ εἰληχὼς τοιαύτην ἰδιότητα. εἶναι μὲν γὰρ κατὰ τοὺς χῆνας τὸ μέγεθός φασιν αὐτόν, ἀλλὰ καὶ τὸν εὐγενῆ χῆνα καὶ τοὺς ἄλλους ἰδεῖν ὑπερέχει, πόδας δὲ ἔχει ἐμφερεῖς γεράνῳ. καὶ τὰ μὲν νῶτα κοκκοβαφῆ καὶ σφόδρα ἀκράτως, τὰ δὲ ὑπὸ τὴν γαστέρα πράσινα· τὴν δέρην δὲ λευκὸν εἶναι, καί τινας καὶ ῥανίδας οἱονεὶ διασπαρείσας κροκοειδεῖς ἔχειν. μῆ-

Въ Каспійскомъ морѣ есть, говорятъ, острова, на которыхъ водятся разныя птицы, между прочимъ одна, отличающаяся слѣдующими признаками: величиною она бываетъ, говорятъ, съ гуся, видомъ превосходитъ и благороднаго гуся и прочихъ, ноги имѣетъ похожія на журавлиныя; спинка окрашена въ очень чистый червленый цвѣтъ, подбрюшье зеленое, а шея бѣлая, съ разсыпанными какъ бы крапинками шафраннаго цвѣта; длиною

Digitized by Google

κος δὲ εἰληχέναι οὐ μεῖον πήχεων δύο, κεφαλὴν δὲ ἄρα λεπτήν τε ἅμα καὶ μακράν, τὸ ῥάμφος μέλαν· φωνήν τε ἀφιέναι ἐμφερῆ τοῖς βατράχοις.

она не менѣе двухъ локтей; голова небольшая и продолговатая, клювъ черный; крикъ ея похожъ на лягушечій.

ΠΟΙΚΙΛΗ ΙΣΤΟΡΙΑ.

II, 41... Κλεομένης ὁ Λακεδαιμόνιος οὐ μόνον φασὶν ὅτι πολυπότης ἦν, ἀλλὰ γὰρ περιτιθέασιν αὐτῷ καὶ τοῦτο δήπου τὸ Σκυθικὸν κακόν, ὅτι ἀκρατοπότης ἐγένετο.

Ibid. Καὶ Ἀνάχαρσις δὲ πάμπολυ, φασίν, ἔπιε παρὰ Περιάνδρῳ, τοῦτο μὲν καὶ οἴκοθεν ἑαυτῷ ἐπαγόμενος τὸ ἐφόδιον· Σκυθῶν γὰρ ἴδιον τὸ πίνειν ἄκρατον.

РАЗЛИЧНЫЕ РАЗСКАЗЫ.

...Про Клеомена, *царя* Лакедэмонскаго, говорятъ не только то, что онъ былъ пьяницею, но приписываютъ ему и тотъ *чисто* скиескій порокъ, что онъ сталъ пить цѣльное вино.

И Анахарсидъ, говорятъ, очень много выпилъ у Періандра, привезя съ собою съ родины эту *способность*: вѣдь *именно* Скиѳамъ свойственно пить цѣльное вино.

III, 39... [Ὅτι δεῖπνον εἶχον...] κέγχρον Μαιῶται καὶ Σαυρομάται...

...Мэоты и Савроматы [употребляли въ пищу] просо...

IV, 1. Κόλχοι τοὺς νεκροὺς ἐν βύρσαις θάπτουσι, καὶ καταρράψαντες ἐκ τῶν δένδρων ἐξαρτῶσι.

Колхи хоронятъ покойниковъ въ кожахъ: зашиваютъ ихъ и вѣшаютъ на деревьяхъ.

V, 7. Οἱ μὲν Σκύθαι περὶ τὴν ἑαυτῶν πλανῶνται· Ἀνάχαρσις δέ, ἅτε ἀνὴρ σοφός, καὶ περαιτέρω προήγαγε τὴν πλάνην· ἦκε γοῦν εἰς τὴν Ἑλλάδα καὶ ὁ Σόλων ἐθαύμασεν αὐτόν.

Скиѳы кочуютъ по своей собственной землѣ; но Анахарсидъ, какъ умный человѣкъ, совершилъ болѣе отдаленное путешествіе: онъ прибылъ въ Элладу, и Солонъ встрѣтилъ его съ удивленіемъ.

VI, 13... Μνημονεύονται ὑφ' Ἑλλήνων ἐξ αἰῶνος καὶ ἐς ἐγγόνους διαρκέσαι [τυραννίδες] αἵδε, ἥ τε Ἱέρωνος ἐν Σικελίᾳ καὶ ἡ τῶν Λευκωνιδῶν περὶ Βόσπορον καὶ ἡ τῶν Κυψελιδῶν ἐν Κορίνθῳ.

...У Эллиновъ упоминаются, какъ продолжавшіяся по вѣкамъ и *переходившія* къ потомству, слѣдующія тираніи: Іерона въ Сициліи, Левконидовъ въ Воспорѣ и Кипселидовъ въ Коринѳѣ.

ΑΠΟΣΠΑΣΜΑΤΑ.

ОТРЫВКИ.

Ex libris incertis fragm. 135 Hercher: Suidas Κούφη (cf. id. δολιχεύουσι):

Διονύσιος τοὔνομα, ἔμπορος τὸ ἐπιτήδευμα, δολιχεύσας πολλοὺς πολλάκις πλοῦς, τοῦ κέρδους ὑποθήγοντος, καὶ πορρωτέρω τῆς Μαιώτιδος ἐκκουφίσας, ὠνεῖται κόρην Κόλχον, ἣν ἐλήισαντο Μάχλυες, ἔθνος τῶν ἐκεῖ βαρβάρων.

Нѣкто, по имени Діонисій, по занятіямъ купецъ, часто совершавшій изъ корыстолюбія многія отдаленныя плаванія и пробравшійся далѣе Мэотиды, купилъ тамъ Колхидскую дѣвушку, которую похитили Махліи, одно изъ тамошнихъ варварскихъ племенъ.

Digitized by Google

ΔΙΩΝ ΚΑΣΣΙΟΣ ΚΟΚΚΗΙΑΝΟΣ. ДІОНЪ КАССІЙ КОККЕІАНЪ.

[Уроженецъ г. Никеи въ Виѳиніи, род. около 150, ум. около 235 г. по Р. Хр. Написалъ большое сочиненіе Ῥωμαϊκὴ ἱστορία въ 80 книгахъ, изъ которыхъ 36—60, обнимающія событія съ 68 г. до Р. Хр. до 47 по Р. Хр., дошли до насъ цѣликомъ, а остальныя части труда лишь въ отрывкахъ и извлеченіяхъ; трудъ Діона былъ доведенъ до 229 г. по Р. Хр. — Текстъ: Dionis Cassii Cocceiani historia Romana. Cum annotationibus Lud. Dindorfii. 5 voll. Lips. ap. Teubn. 1863—65. Извлеченія изъ кн. 36 — 50 провѣрены по новѣйшему изданію I. Melber'a, v. 1 — 2, Lips. ap. Teubn. 1890—94].

ΡΩΜΑΙΚΗ ΙΣΤΟΡΙΑ. РИМСКАЯ ИСТОРІЯ.

1. Походы Помпея въ 66 — 65 г. до Р. Хр.

(XXXVI, 50—XXXVII, 5).

XXXVI, 50. Καὶ τότε μὲν πρὸς τὸν Τιγράνην ἠπείγετο [ὁ Μιθριδάτης]· ἐπεὶ δὲ προπέμψας πρὸς αὐτὸν οὐδὲν φίλιον εὗρετο, ὅτι τοῦ υἱέος αὐτῷ Τιγράνου στασιάσαντος ἐκεῖνον μὲν... πάππον αὐτοῦ ὄντα αἴτιον τῆς διαφορᾶς ὑπετόπησε γεγονέναι καὶ διὰ τοῦτο οὐχ ὅπως αὐτὸν ἐδέξατο, ἀλλὰ καὶ τοὺς προπεμφθέντας ὑπ' αὐτοῦ συνέλαβε καὶ κατέδησε, (2) διαμαρτὼν [οὖν] ὧν ἤλπισεν ἔς τε τὴν Κολχίδα ἀπετράπετο, καὶ ἐκεῖθεν πεζῇ πρός τε τὴν Μαιῶτιν καὶ πρὸς τὸν Βόσπορον, τοὺς μὲν πείθων, τοὺς δὲ καὶ βιαζόμενος ἀφίκετο καὶ τὴν τε χώραν ἐκομίσατο τὸν Μαχάρην τὸν παῖδα τὸν τὰ τῶν Ῥωμαίων ἀνθελόμενον καὶ τότε αὐτῆς κρατοῦντα καταπλήξας, ὥστε μηδὲ ἐς ὄψιν αὐτῷ ἐλθεῖν, καὶ ἐκεῖνον διὰ τῶν συνόντων οἱ τήν τε ἀδειάν σφισι καὶ χρήματα δώσειν ὑπισχνούμενος ἀπέκτεινεν. (3) ἐν ᾧ δὲ ταῦτ' ἐγίγνετο, ὁ Πομπήιος ἔπεμψε ⟨μὲν⟩ τοὺς ἐπιδιώξοντας αὐτόν, ἐπεὶ δὲ ἔφθη ὑπὲρ τὸν Φᾶσιν ἐκδράς, πόλιν ἐν τῷ χωρίῳ ἐν ᾧ ἐνενικήκει συνῴκισε τοῖς τραυματίαις καὶ τοῖς ἀφηλικεστέροις τῶν στρατιωτῶν αὐτὴν δούς. καί σφισι καὶ τῶν περιχώρων ἐθελονταὶ πολλοὶ καὶ συνῴκησαν καὶ εἰσὶ καὶ νῦν, Νικοπολῖταί τε ὠνομασμένοι καὶ ἐς τὸν Καππαδοκικὸν νομὸν συντελοῦντες.

1 Тогда [Миѳридатъ] поспѣшилъ къ Тиграну, но,ославъ къ нему передовыхъ, не встрѣтилъ сочувственнаго пріема, такъ какъ *Тиранъ* заподозрилъ, что въ возстаніи, поднятомъ его сыномъ Тиграномъ, *Миѳридатъ*, приходившійся дѣдомъ послѣднему, былъ *главнымъ* подстрекателемъ, и поэтому не только не принялъ его, но даже приказалъ схватить и заключить въ оковы его передовыхъ. (2) Обманувшись въ своихъ надеждахъ, Миѳридатъ обратился въ Колхиду, а оттуда сухимъ путемъ прибылъ къ Меотидѣ и Воспору и, дѣйствуя на однихъ убѣжденіемъ, на другихъ силою, подчинилъ себѣ эту страну. Сынъ его Махаръ, владѣвшій ею въ то время и ставшій на сторону Римлянъ, *до того* былъ пораженъ *его прибытіемъ*, что не *осмѣлился* даже явиться ему на глаза; *Миѳридатъ* убилъ его чрезъ близкихъ къ нему *лицъ*, обѣщавъ имъ прощеніе и деньги. (3) Между тѣмъ Помпей послалъ за нимъ погоню, но такъ какъ онъ успѣлъ *раньше* бѣжать за Фасидъ, то *Помпей* основалъ городъ въ томъ мѣстѣ, гдѣ одержалъ побѣду, и отдалъ его раненымъ и престарѣлымъ воинамъ; вмѣстѣ съ ними добровольно поселились многіе изъ окрестныхъ жителей и живутъ до сихъ поръ, называясь Никополитами и принадлежа къ Каппадокійской области.

51. καὶ ὁ μὲν ταῦτ' ἐποίει· ὁ δὲ δὴ Τιγράνης ὁ τοῦ Τιγράνου παῖς παραλαβών τινας τῶν πρώτων, ἐπεὶ οὐ καθ' ἡδονὴν αὐτοῖς ὁ γέρων ἦρχε, πρός τε τὸν Φραάτην κατέφυγε καὶ περισκοποῦντα αὐτὸν διὰ

Такъ дѣйствовалъ *Помпей*; между тѣмъ Тигранъ, сынъ Тиграна, вмѣстѣ съ нѣкоторыми знатными людьми, недовольными правленіемъ старика, бѣжалъ къ Фраату и убѣдилъ его вторгнуться въ Арменію, такъ

V. 5: lacunam statuit Bekkerus, quam explevit ⟨διὰ φυλακῆς ἐποιεῖτο, τοῦτον δὲ⟩.

Digitized by Google

τὰς συνθήκας τὰς πρὸς τὸν Πομπήιον γενομένας, ὅ, τι χρὴ πρᾶξαι, ἐς τὴν Ἀρμενίαν ἐμβαλεῖν ἀνέπεισε. (2) καὶ ἦλθον μὲν μέχρι τῶν Ἀρταξάτων πᾶσαν τὴν ἐν ποσὶ χειρούμενοι καὶ αὐτοῖς ἐκείνοις προσέβαλον· ὁ γὰρ Τιγράνης ὁ γέρων ἐς τὰ ὄρη φοβηθεὶς σφας ἀνέφυγεν· ἐπεὶ μέντοι χρόνου τε τῇ προσεδρείᾳ δεῖν ἔδοξε, καὶ διὰ τοῦτο ὁ Φραάτης μέρος τε τῆς δυνάμεως τῷ παιδὶ αὐτοῦ καταλιπὼν ἐς τὴν οἰκείαν ἀνεχώρησεν, ἀντεπῆλθέ τε ἐνταῦθα ὁ πατὴρ αὐτῷ μονωθέντι καὶ ἐνίκησε. (3) φυγὼν οὖν ἐκεῖνος τὸ μὲν πρῶτον πρὸς τὸν Μιθριδάτην τὸν πάππον ὥρμησεν, ἐπεὶ δὲ ἔμαθεν αὐτὸν ἡττημένον καὶ βοηθείας μᾶλλον δεόμενον ἢ τινι ἐπικουρῆσαι δυνάμενον, προσεχώρησε τοῖς Ῥωμαίοις, καὶ αὐτῷ Πομπήιος ἡγεμόνι χρησάμενος ἔς τε τὴν Ἀρμενίαν καὶ ἐπὶ τὸν πατέρα αὐτοῦ ἐστράτευσε.

52. Καὶ ὃς μαθὼν τοῦτο καὶ καταδείσας ἐπεκηρυκεύσατό τε εὐθὺς αὐτῷ καὶ τοὺς πρέσβεις τοὺς τοῦ Μιθριδάτου ἐξέδωκεν. ἐπειδή τε ἐναντιωθέντος οἱ τοῦ υἱέος οὐδενὸς μετρίου ἔτυχεν, ἀλλὰ καὶ ὡς ὁ Πομπήιος τόν τε Ἀράξην διέβη καὶ τοῖς Ἀρταξάτοις ἐπλησίασεν, (2) οὕτω δὴ τήν τε πόλιν αὐτῷ παρέδωκε καὶ ἐς τὸ στρατόπεδον αὐτοῦ ἐθελοντὴς ἦκεν ἐν μέσῳ ἑαυτὸν ὅτι μάλιστα τοῦ τε προτέρου ἀξιώματος καὶ τῆς τότε ταπεινότητος σκευάσας, ὅπως αἰδέσεώς τε καὶ ἐλέου ἅμα ἄξιος αὐτῷ φανείη· (3) τὸν μὲν γὰρ χιτῶνα τὸν μεσόλευκον καὶ τὸν κάνδυν τὸν ὁλοπόρφυρον ἐξέδυ, τὴν δὲ δὴ τιάραν τό τε ἀνάδημα εἶχε. Πομπήιος δὲ ἀπὸ μὲν τοῦ ἵππου κατεβίβασεν αὐτὸν ῥαβδοῦχόν τινα πέμψας (προσήλαυνε γὰρ ὡς καὶ ἐς αὐτὸ τὸ ἔρυμα κατὰ τὸ σφέτερον ἔθος ἱππεύσων), ἐσελθόντα δὲ αὐτοποδίᾳ καὶ τό τε διάδημα ἀπορρίψαντα καὶ ἐς τὴν γῆν πεσόντα προσκυνοῦντά τε ἰδὼν ἠλέησε (4) καὶ ἀναπηδήσας ἐξανέστησέ τε αὐτὸν καὶ ταινιώσας τῷ ἀναδήματι ἔς τε τὴν πλησίαν ἕδραν ἐκάθισε καὶ παρεμυθήσατο εἰπὼν ἄλλα τε καὶ ὅτι οὐ τὴν τῶν Ἀρμενίων βασιλείαν ἀπολωλεκώς, ἀλλὰ καὶ τὴν τῶν Ῥωμαίων φιλίαν προσειληφὼς εἴη. καὶ ὁ μὲν τούτοις τε αὐτὸν ἀνεκτήσατο καὶ ἐπὶ δεῖπνον ἐκάλεσεν.

53. ὁ δὲ υἱὸς (ἐκάθητο δὲ ἐκ τοῦ ἐπὶ θάτερα τοῦ Πομπηίου) οὔθ' ὑπανέστη τῷ

как онъ раздумывалъ, что ему слѣдуетъ предпринять вслѣдствіе заключеннаго съ Помпеемъ перемирія. (2) Они дошли до Артаксатъ, покоряя всю пройденную *область*, и напали на этотъ *городъ*, такъ какъ старикъ Тигранъ, испугавшись ихъ, бѣжалъ въ горы. Но когда оказалось, что для осады *Артаксатъ* нужно время и вслѣдствіе этого Фраатъ, оставивъ часть своихъ силъ сыну, возвратился въ свою *страну*, то *Тигранъ* отецъ выступилъ противъ напавшагося *союзниковъ* сына и разбилъ его. (3) Послѣдній, обратившись въ бѣгство, сначала направился было къ дѣду *своему* Митридату, но когда узналъ, что онъ *также* разбитъ и скорѣе нуждается въ помощи, чѣмъ можетъ помочь кому-нибудь *другому*, подчинился Римлянамъ. Помпей, взявъ его въ проводники, выступилъ въ Арменію противъ его отца.

Послѣдній, узнавъ объ этомъ и испугавшись, тотчасъ выслалъ къ нему парламентеровъ и выдалъ пословъ Митридата. Когда же вслѣдствіе противодѣйствія его сына ему были предъявлены неумѣренныя условія и Помпей всетаки перешелъ черезъ Араксъ и приблизился къ Артаксатамъ, (2) *Тигранъ* сдалъ ему городъ и добровольно явился въ его лагерь, при чемъ своей одеждой постарался выразить средину между прежнимъ достоинствомъ и теперешнимъ униженіемъ для того, чтобы показаться Помпею одинаково достойнымъ уваженія и жалости: (3) онъ снялъ свой бѣлый хитонъ и пурпуровую мантію, но оставилъ тіару и повязку. Помпей чрезъ посланнаго ликтора приказалъ ему спѣшиться (ибо онъ приближался съ очевиднымъ намѣреніемъ въѣхать верхомъ, по мѣстному обычаю, въ самое укрѣпленіе), но когда онъ вошелъ пѣшкомъ, сбросивъ діадему, и, павъ на землю, привѣтствовалъ какъ царя, то Помпей, увидѣвъ это, почувствовалъ жалость (4) и, вставъ *съ мѣста*, поднялъ его, повязалъ повязкою, посадилъ на ближайшее кресло и обратился съ утѣшительной рѣчью, въ которой высказалъ, между прочимъ, что онъ не только не потерялъ Арменскаго царства, но и пріобрѣлъ дружбу Римлянъ. Этими *словами* Помпей расположилъ къ себѣ Тиграна и пригласилъ его на обѣдъ.

Сынъ, сидѣвшій съ другой стороны Помпея, не всталъ передъ отцомъ и ни-

Digitized by Google

πατρὶ οὔτ' ἄλλο τι αὐτὸν ἐδεξιώσατο, ἀλλὰ καὶ ἐπὶ τὸ δεῖπνον κληθεὶς οὐκ ἀπήντησεν. ὅθεν ὑπό γε τοῦ Πομπηίου μάλιστα ἐμισήθη. (2) τῇ γοῦν ὑστεραίᾳ διακούσας αὐτῶν τῷ μὲν πρεσβυτέρῳ τὴν πατρῴαν πᾶσαν ἀρχὴν ἀπέδωκε· τὰ γὰρ προσκτηθέντα ὑπ' αὐτοῦ (ἦν δὲ ἄλλα τε καὶ τῆς Καππαδοκίας τῆς τε Συρίας μέρη, ἥ τε Φοινίκη καὶ ἡ Σωφανηνὴ χώρα τοῖς Ἀρμενίοις πρόσορος οὐ σμικρά) παρείλετο αὐτοῦ καὶ προσέτι καὶ χρήματα αὐτὸν ᾔτησεν· τῷ δὲ νεωτέρῳ τὴν Σωφανηνὴν μόνην ἀπένειμε. (3) καὶ (ἔτυχον γὰρ οἱ θησαυροὶ ἐν αὐτῇ ὄντες) ἠμφισβήτησέ τε περὶ αὐτῶν ὁ νεανίσκος καὶ ἁμαρτὼν (οὐ γὰρ εἶχεν ὁ Πομπήιος ὁπόθεν ἄλλοθεν τὰ ὡμολογημένα κομίσηται) ἠγανάκτησε καὶ δρασμὸν ἐβουλεύσατο. ὁ οὖν Πομπήιος προμαθὼν τοῦτο ἐκεῖνόν τε ἐν φυλακῇ ἀδέσμῳ ἐποιήσατο καὶ πέμψας πρὸς τοὺς τὰ χρήματα φυλάττοντας τῷ πατρὶ αὐτοῦ πάντα σφᾶς δοῦναι ἐκέλευσεν. (4) ἐπειδή τε μήδ' ὑπήκουσαν λέγοντες τὸν νεανίσκον, οὗπερ ἡ χώρα ἤδη ἐνομίζετο, χρῆναί σφισι τοῦτο προστάξαι, ἔπεμψεν αὐτὸν πρὸς τὰ φρούρια. καὶ ὁ μὲν κεκλειμένα αὐτὰ εὑρὼν προσῆλθέ τε ἐγγὺς καὶ ἐκέλευσε καὶ ἄκων αὐτὰ ἀνοιχθῆναι· ὡς δ' οὐδὲν μᾶλλον ἐπείθοντο προϊσχόμενοι, ὅτι μὴ ἑκούσιος, ἀλλ' ἀναγκαστὸς τὴν πρόσταξιν ἐποιεῖτο, ἐχαλέπηνεν ὁ Πομπήιος καὶ ἔδησε τὸν Τιγράνην. (5) καὶ οὕτως ὅ τε γέρων τοὺς θησαυροὺς παρέλαβε, καὶ αὐτὸς ἓν τε τῇ χώρᾳ τῇ Ἀναϊτιδι καὶ πρὸς τῷ ποταμῷ τῷ Κύρνῳ τριχῇ νείμας τὸν στρατὸν παρεχείμασε τά τε ἄλλα παρὰ τοῦ Τιγράνου συχνὰ καὶ χρήματα πολλῷ πλείω τῶν ὁμολογηθέντων λαβών. (6) ἀφ' οὗπερ οὐχ ἥκιστα καὶ ἐκεῖνον ἔς τε τοὺς φίλους καὶ ἐς τοὺς συμμάχους ⟨οὐ⟩ πολλῷ ὕστερον ἐσέγραψε καὶ τὸν υἱὸν αὐτοῦ ἐς τὴν Ῥώμην μετὰ φρουρᾶς ἐσήγαγεν.

54. οὐ μέντοι καὶ ἐν ἡσυχίᾳ διεχείμασεν. Ὀροίσης γὰρ Ἀλβανῶν τῶν ὑπὲρ τοῦ Κύρνου οἰκούντων βασιλεύς, τὸ μέν τι καὶ τῷ Τιγράνῃ τῷ νεωτέρῳ φίλῳ οἱ ὄντι χαρίσασθαι βουληθείς, τὸ δὲ δὴ πλεῖστον δείσας, μὴ καὶ ἐς τὴν Ἀλβανίδα οἱ Ῥωμαῖοι ἐσβάλωσι, καὶ νομίσας ὅτι, ἂν ἐν τῷ χειμῶνι ἀδοκήτοις σφίσι καὶ μὴ καθ' ἓν στρα-

чѣмъ другимъ не выразилъ своего почтенія, и даже не явился по приглашенію на обѣдъ, чѣмъ и заслужилъ величайшее презрѣніе со стороны Помпея. (2) На слѣдующій день *Помпей*, выслушавъ ихъ, отдалъ старшему все унаслѣдованное имъ царство, а пріобрѣтенныя имъ *самимъ* земли (именно, между прочимъ части Каппадокіи и Сиріи, Финикію и смежную съ Арменіей не малую область Софанинскую) отнялъ у него и, кромѣ того, потребовалъ денегъ; младшему-же онъ отдѣлилъ одну Софанинскую область. (3) Такъ какъ именно въ ней оказались *царскія* сокровища, то юноша изъявилъ на нихъ притязаніе и, не получивъ удовлетворенія (ибо Помпею не откуда было иначе получить условленныя *деньги*), пришелъ въ негодованіе и задумалъ бѣжать. Предупрежденный объ этомъ, Помпей отдалъ его подъ стражу безъ оковъ и послалъ хранителямъ сокровищъ повелѣніе выдать всѣ *деньги* его отцу. (4) Такъ какъ они отказались повиноваться, говоря, что юноша, за которымъ уже считалась эта область, долженъ *самъ* дать имъ это повелѣніе, то *Помпей* послалъ его къ укрѣпленіямъ; *Тигранъ*, найдя ихъ запертыми, приблизился и противъ собственнаго желанія приказалъ ихъ отпереть; но когда *хранители* всетаки не оказали повиновенія подъ тѣмъ предлогомъ, что онъ не добровольно, а по принужденію далъ имъ это приказаніе, Помпей разсердился и заключилъ Тиграна въ оковы. (5) Такимъ образомъ старикъ получилъ сокровища; Помпей остался на зимовку въ области у рѣки Кирна, раздѣливъ войска на три отряда и получивъ отъ Тиграна много разныхъ *припасовъ* и денегъ гораздо больше условленной *суммы*. (6) Вслѣдствіе этого онъ и его немного спустя записалъ въ число друзей и союзниковъ, а сына подъ стражею отправилъ въ Римъ.

Однако ему не удалось перезимовать спокойно. Орисъ, царь Албанцевъ, жившихъ выше Кирна, съ одной стороны, желая угодить другу своему Тиграну младшему, а съ другой, и главнымъ образомъ, боясь вторженія Римлянъ въ Албанію, притомъ полагая, что во всякомъ случаѣ ему удастся что-нибудь сдѣлать, если онъ зи-

Vv. 9 et 12 formam Σωφηνή, quae exstat ap. Plut. *Pomp.* 33 et App. *Mithrid.* 105, adoptavit Bekkerus. || V. 40: ⟨οὐ⟩ inseruit Reiske.

Digitized by Google

τοπεδευομένοις προσπέσῃ, πάντως τι ἐξεργάσεται, ἐστράτευσεν ἐπ' αὐτοὺς παρ' αὐτὰ τὰ Κρόνια, (2) καὶ αὐτὸς μὲν ἐπὶ Μέτελλον Κέλερα, παρ' ᾧ ὁ Τιγράνης ἦν, ἦλασεν, ἄλλους δὲ ἐπὶ τὸν Πομπήιον καὶ ἄλλους ἐπὶ Λούκιον Φλάκκον τὸν τῆς τριτημορίδος ἄρχοντα ἔπεμψεν, ὅπως πάντες ἅμα ταραχθέντες μὴ συμβοηθήσωσιν ἀλλήλοις. (3) οὐ μὴν καὶ διεπράξατο οὐδαμόθι οὐδέν· ἐκεῖνόν τε γὰρ ὁ Κέλερ ἰσχυρῶς ἀπεκρούσατο, καὶ ὁ Φλάκκος, ἐπειδὴ πολὺν τὸν περίβολον τῆς ταφρείας ὄντα ἀδύνατος ἦν ὑπὸ τοῦ μεγέθους σῶσαι, ἑτέραν ἔνδοθεν ἐποιήσατο καὶ δόξαν ἀπ' αὐτοῦ τοῖς ἐναντίοις ὡς καὶ φοβηθεὶς ἐμβαλὼν ἐπεσπάσατο αὐτοὺς ἔσω τῆς ἔξωθεν τάφρου, (4) κἀνταῦθα μὴ προσδεχομένοις σφίσιν ἐπεκδραμὼν πολλοὺς μὲν ἐν χερσί, πολλοὺς δὲ καὶ φεύγοντας ἐφόνευσε. κἀκ τούτῳ ὁ Πομπήιος προμαθών τε τὴν πείρασιν τῶν βαρβάρων, ἣν ἐπὶ τοὺς ἄλλους ἐπεποίηντο, προαπήντησε τοῖς ἐφ' ἑαυτὸν ἐπιοῦσιν ἀπροσδοκήτως καὶ κρατήσας ἐπὶ τὸν Ὡροίσην εὐθὺς ὥσπερ εἶχεν ἠπείχθη. καὶ ἐκεῖνον μὲν οὐ κατέλαβεν (ἀπωσθείς τε γὰρ ὑπὸ τοῦ Κέλερος καὶ μαθὼν καὶ τὰ τῶν ἄλλων πταίσματα ἔφυγε), (5) τῶν μέντοι Ἀλβανῶν συχνοὺς περὶ τὴν τοῦ Κύρνου διάβασιν συλλαβὼν ἔφθειρε. κἀκ τούτου δεηθεῖσιν αὐτοῖς ἐσπείσατο· ἄλλως μὲν γὰρ καὶ σφόδρα ἐπεθύμει ἐς τὴν χώραν αὐτῶν ἀντεμβαλεῖν, διὰ δὲ δὴ τὸν χειμῶνα ἡδέως τὸν πόλεμον ἀνεβάλετο.

XXXVII, 1. Τότε μὲν δὴ ταῦτ' ἔπραξε, τῷ δ' ἐπιγιγνομένῳ ἔτει τοῦ τε Κόττου τοῦ Λουκίου καὶ τοῦ Τορκουάτου ⟨τοῦ⟩ Λουκίου ὑπατευόντων ἐπολέμησε μὲν καὶ τοῖς Ἀλβανοῖς, ἐπολέμησε δὲ καὶ τοῖς Ἰβηρσι, καὶ προτέροις γε τούτοις καὶ παρὰ γνώμην ἠναγκάσθη συνενεχθῆναι· (2) Ἀρτώκης γὰρ ὁ βασιλεὺς αὐτῶν (νέμονται δὲ ἐπ' ἀμφότερα τοῦ Κύρνου, τῇ μὲν τοῖς Ἀλβανοῖς, τῇ δὲ τοῖς Ἀρμενίοις πρόσοροι) φοβηθείς, μὴ καὶ ἐφ' ἑαυτὸν τράπηται, πρέσβεις μὲν ὡς καὶ ἐπὶ φιλίᾳ πρὸς αὐτὸν ἔπεμψε, παρεσκευάζετο δὲ ὅπως ἐν τῷ θαρσοῦντι καὶ διὰ τοῦτο ἀνελπίστῳ οἱ ἐπίθηται· (3) προμαθὼν οὖν καὶ τοῦτο ὁ Πομπήιος ἔς τε

мою врасплохъ нападетъ на Римлянъ, стоявшихъ лагеремъ не въ одномъ мѣстѣ, выступилъ противъ нихъ подъ самый *праздникъ* Кроніи. (2) Самъ онъ двинулся противъ Метелла Целера, у котораго былъ Тигранъ, другой *отрядъ* послалъ противъ Помпея и третій противъ Луція Флакка, командовавшаго третьей частью войска, съ тою цѣлью, чтобы они, будучи всѣ одновременно приведены въ смятенье, не могли помочь другъ другу. (3) Однако нигдѣ ничего не удалось: *самому* ему Целеръ нанесъ жестокое пораженіе, а Флаккъ, видя невозможность оборонять широкую окружность рва *именно* вслѣдствіе *ея* величины, выкопалъ внутри другой *ровъ* и, давъ врагамъ замѣтить свой притворный страхъ, заманилъ ихъ *такимъ образомъ* внутрь внѣшняго рва; (4) здѣсь неожиданно бросившись на нихъ, онъ многихъ перебилъ въ схваткѣ и многихъ во время бѣгства. Въ то же время Помпей, узнавъ о произведенной варварами попыткѣ *нападенія* на другихъ, внезапно двинулся навстрѣчу выступившимъ противъ него и, разбивъ ихъ, немедленно поспѣшилъ прямо противъ Ориса. Захватить его не удалось, такъ какъ онъ, будучи отбитъ Целеромъ и получивъ извѣстія о неудачахъ другихъ, обратился въ бѣгство, (5) но за то Помпей перебилъ много Албанцевъ, застигнувъ ихъ врасплохъ при переправѣ черезъ Кирнъ. Послѣ этого онъ по настоятельной ихъ просьбѣ заключилъ перемиріе: ему очень хотѣлось отмстить имъ вторженіемъ въ ихъ собственную землю, но въ виду зимняго времени онъ охотно отложилъ войну.

Вотъ что совершилъ тогда *Помпей*, а въ слѣдующемъ году, въ консульство Л. Котты и Л. Торквата [1]), онъ воевалъ какъ съ Албанцами, такъ и съ Иверами. Съ послѣдними онъ принужденъ былъ вступить въ борьбу раньше [чѣмъ съ Албанцами] и противъ *всякаго* ожиданія. (2) Живутъ они по обѣимъ сторонамъ Кирна, граничa съ одной стороны съ Албанцами, а съ другой — съ Арменцами. Царь ихъ Артокъ, боясь, чтобы *Помпей* не обратился и противъ него, послалъ къ нему посольство подъ предлогомъ *выраженія* дружбы, а *въ то же время* сталъ готовиться напасть на него среди мира и потому са-

1) 689 г. отъ осн. Рима = 65 до Р. Хр.

Digitized by Google

τὴν χώραν αὐτοῦ προενέβαλε, πρὶν ἱκανῶς τε αὐτὸν ἑτοιμάσασθαι καὶ τὴν ἐσβολὴν δυσχερεστάτην οὖσαν προκατασχεῖν, καὶ ἔφθη καὶ πρὸς τὴν πόλιν τὴν Ἀκρόπολιν ὠνομασμένην προχωρήσας, πρὶν καὶ αἰσθέσθαι τὸν Ἀρτώκην, ὅτι παρείη. (4) ἦν δὲ ἐπ' αὐτοῖς τοῖς στενοῖς, ἔνθεν μὲν... τοῦ Καυκάσου παρατείνοντος, οὗ καὶ ἐπὶ τῇ φυλακῇ τῶν ἐσβολῶν ὠχύρωτο. ὅ τε οὖν Ἀρτώκης ἐκπλαγεὶς οὐδένα καιρὸν ὥστε συντάξασθαι ἔσχεν, ἀλλὰ καὶ διαβὰς τὸν ποταμὸν τὴν γέφυραν κατέπρησε, (5) καὶ οἱ ἐν τῷ τείχει πρός τε τὴν φυγὴν αὐτοῦ καὶ ἅμα καὶ μάχῃ νικηθέντες ἐνέδοσαν. κρατήσας οὖν τῶν διόδων ὁ Πομπήιος φρουράν τε ἐπ' αὐταῖς κατεστήσατο καὶ ἐκεῖθεν ὁρμώμενος πᾶσαν τὴν ἐντὸς τοῦ ποταμοῦ κατεστρέψατο.

мому неожиданно. (3) Однако Помпей провѣдалъ и объ этомъ и первый вторгнулся въ его область прежде, чѣмъ онъ успѣлъ достаточно приготовиться и занять крайне трудный проходъ. *Помпей* успѣлъ дойти до *самаго* города, называвшагося Акрополемъ, прежде, чѣмъ Артокъ узналъ объ его приближеніи. (4) Этотъ городъ лежалъ у самаго ущелья, съ одной стороны... тянулся Кавказъ: здѣсь *городъ* былъ укрѣпленъ для защиты отъ вторженій. Испуганный Артокъ вовсе не имѣлъ времени изготовиться къ бою; перейдя черезъ рѣку, онъ сжегъ мостъ, (5) а гарнизонъ укрѣпленія, видя его бѣгство и притомъ потерпѣвъ пораженіе въ бою, сдался *Помпею*. Овладѣвъ такимъ образомъ проходами, Помпей поставилъ въ нихъ стражу и, двинувшись оттуда, покорилъ всю *область* по сю сторону рѣки.

2. μέλλοντος δ' αὖ καὶ τὸν Κύρνον διαβήσεσθαι πέμπει πρὸς αὐτὸν ὁ Ἀρτώκης εἰρήνην τε αἰτῶν καὶ γέφυραν τά τε ἐπιτήδεια ἑκὼν οἱ παρέξειν ὑπισχνούμενος. (2) καὶ ἐποίησε μὲν ἑκάτερον ὡς καὶ συμβησόμενος, δείσας δέ, ἐπειδὴ εἶδεν αὐτὸν διαβεβηκότα, πρὸς τὸν Πέλωρον ἐν τῇ ἀρχῇ καὶ ἐκεῖνον τῇ αὐτοῦ ῥέοντα ἀπέφυγεν· ὃν γὰρ ἐξῆν αὐτῷ κωλῦσαι διαβῆναι, τοῦτον ἐπισπασάμενος ἀπεδίδρασκεν. (3) ἰδὼν οὖν τοῦθ' ὁ Πομπήιος ἐπεδίωξέ τε αὐτὸν καὶ καταλαβὼν ἐνίκησε· δρόμῳ γὰρ καὶ πρὶν τοὺς τοξότας αὐτοῦ τῇ σφετέρᾳ τέχνῃ χρήσασθαι, ὁμόσε σφίσιν ἐχώρησε καὶ δι' ἐλαχίστου αὐτοὺς ἐτρέψατο. (4) γενομένου δὲ τούτου Ἀρτώκης μὲν τόν τε Πέλωρον διαβὰς καὶ τὴν γέφυραν καὶ τὴν ἐκείνου καύσας ἔφυγε, τῶν δ' ἄλλων οἱ μὲν ἐν χερσίν, οἱ δὲ καὶ τὸν ποταμὸν πεζῇ περαιούμενοι ἀπέθανον· (5) συχνοὶ δὲ καὶ κατὰ τὰς ὕλας σκεδασθέντες ἡμέρας μέν τινας ἀπὸ τῶν δένδρων ὑπερυψηλῶν ὄντων ἀποτοξεύοντες διεγένοντο, ἔπειτα δὲ καὶ αὐτοὶ ὑποτμηθέντων τῶν δένδρων ἐφθάρησαν. καὶ οὕτω καὶ ὁ Ἀρτώκης ἐπεκηρυκεύσατο μὲν αὖθις τῷ Πομπηίῳ καὶ δῶρα ἔπεμψεν, (6) ἐκείνου δὲ δὴ ταῦτα μέν, ὅπως τὰς σπονδὰς ποιήσεσθαι ἐλπίσας μὴ περαιτέρω προχωρήσῃ, λαβόντος, τὴν δ' εἰρήνην οὐχ ὁμολογήσαντος δώσειν, ἂν μὴ τούς [τε]

Когда онъ собирался уже перейти черезъ Кирнъ, Артокъ посылаетъ къ нему *пословъ*, прося мира и обѣщая добровольно *построить* ему мостъ и доставить провіантъ. (2) Онъ исполнилъ и то и другое, намѣреваясь подчиниться, но когда увидѣлъ, что *Помпей* переправился, то въ испугѣ бѣжалъ къ *рѣкѣ* Пелору, текущей также въ его владѣніяхъ: кому онъ могъ помѣшать переправиться, того *самаго онъ* привлекъ *противъ себя* и бѣжалъ. (3) Увидѣвъ это, Помпей пустился за нимъ въ погоню, догналъ и разбилъ: прежде чѣмъ стрѣлки его успѣли сдѣлать свое дѣло, онъ бросился на нихъ и въ одну минуту опрокинулъ. (4) Послѣ этого Артокъ, перейдя черезъ Пелоръ и предавъ пламени мостъ и на этой *рѣкѣ*, бросился бѣжать, а изъ воиновъ его одни погибли въ бою, другіе при переправѣ въ бродъ черезъ рѣку. (5) Многіе однако разсѣялись по лѣсамъ и нѣсколько дней держались, пуская стрѣлы съ деревьевъ, которыя *тамъ* очень высоки, но потомъ, когда деревья были вырублены, также погибли. Тогда Артокъ снова вошелъ въ сношенія съ Помпеемъ и прислалъ ему дары. (6) Когда же Помпей принялъ дары для того, чтобы Артокъ, надѣясь на перемиріе, не ушелъ куда-ни-

V. 7: «lacunam esse vidit Reiske, qui ⟨ἔνθεν δὲ τοῦ Κύρνου⟩ addidit post παρατείνοντος et οὗ delevit, unde B[ekkerus] ἔνθεν μὲν ⟨τοῦ Κύρνου παραρρέοντος, ἔνθεν δὲ⟩ τοῦ K., ἔνθεν μὲν ⟨καὶ ἔνθεν⟩ K[eimarus] coll. Strab. XI, p. 499 sq.». Melber.

Digitized by Google

παῖδας οἱ ὁμήρους προαποστείλῃ, χρόνον τινὰ ἐπέσχε, (7) μέχρις οὗ οἱ Ῥωμαῖοι καὶ τὸν Πέλωρον διαβατὸν πῃ τοῦ θέρους γενόμενον οὐ χαλεπῶς ἄλλως τε καὶ μηδενὸς κωλύοντος ἐπεραιώθησαν. οὕτω δὲ δὴ τούς τε παῖδας αὐτῷ ἔπεμψε καὶ μετὰ τοῦτο καὶ συνηλλάγη.

3. κἀκ τούτου μαθὼν ὁ Πομπήιος οὐ πόρρω τὸν Φᾶσιν ὄντα καὶ νομίσας ἐς τε τὴν Κολχίδα παρ' αὐτὸν καταβήσεσθαι καὶ ἐκεῖθεν ἐπὶ τὸν Μιθριδάτην ἐς τὸν Βόσπορον πορεύσεσθαι προῄει μέν, ἢ διενοεῖτο, (2) καὶ τούς τε Κόλχους καὶ τοὺς προσχώρους σφίσι τὰ μὲν πείθων, τὰ δὲ καὶ ἐκφοβῶν διῆλθεν· αἰσθόμενος δὲ ἐνταῦθα, ὅτι ἥ τε ἐπὶ τῆς ἠπείρου κομιδὴ διὰ πολλῶν καὶ ἀγνώστων καὶ πολεμικῶν ἐθνῶν καὶ ἡ διὰ τῆς θαλάσσης χαλεπωτέρα διά τε τὸ ἀλίμενον τῆς χώρας καὶ διὰ τοὺς ἐνοικοῦντας αὐτὴν εἴη, (3) τῷ μὲν Μιθριδάτῃ τὸ ναυτικὸν ἐφορμεῖν ἐκέλευσεν, ὥστε ἐκεῖνόν τε τηρεῖσθαι μηδαμόσε ἐκπλεῦσαι καὶ τὴν ἐπαγωγὴν αὐτοῦ τῶν ἐπιτηδείων ἀφελέσθαι, αὐτὸς δὲ ἐπὶ τοὺς Ἀλβανοὺς οὐ τὴν συντομωτάτην, ὅπως σφᾶς καὶ ὑπὸ τούτου πρὸς ταῖς σπονδαῖς ἀνελπίστους καταλάβῃ, ἀλλ' ἐς τὴν Ἀρμενίαν ἐπανελθὼν ἐτράπετο. (4) καὶ τόν τε Κύρνον, ᾗ πορεύσιμος ὑπὸ τοῦ θέρους ἐγεγόνει, πεζῇ διέβη τήν τε ἵππον κατὰ τὸν ῥοῦν καὶ τὰ σκευοφόρα ἐξῆς, εἶτα τοὺς πεζοὺς διιέναι κελεύσας, ἵν' οἵ τε ἵπποι τὸ σφοδρὸν αὐτοῦ τοῖς σώμασι σφῶν διαχέωσι, καὶ ἐκ τῶν σκευοφόρων εἴ πού τι καὶ ὡς περιτραπείη, ἔς τε τοὺς ἐπὶ θάτερα παρακολουθοῦντας ἐμπίπτῃ καὶ μὴ περαιτέρω καταφέρηται· (5) κἀντεῦθεν πρὸς τὸν Καμβύσην πορευόμενος ὑπὸ μὲν τῶν πολεμίων οὐδὲν δεινὸν ἔπαθεν, ὑπὸ δὲ δὴ τοῦ καύματος καὶ διὰ τοῦτο καὶ τοῦ δίψους ἰσχυρῶς μετὰ παντὸς τοῦ στρατοῦ καίτοι νυκτὸς τὸ πολὺ τῆς ὁδοῦ διελθὼν ἐταλαιπώρησεν· οἱ γὰρ ἀγωγοὶ σφῶν ἐκ τῶν αἰχμαλώτων ὄντες οὐ τὴν ἐπιτηδειοτάτην αὐτοὺς ἦγαγον. (6) οὐ μὴν οὐδ' ὁ ποταμὸς ἐν δέοντί σφισιν ἐγένετο· ψυχρότατόν τε γὰρ τὸ ὕδωρ ὂν καὶ ἀθρόον ὑπ' αὐτῶν ποθὲν συχνοῖς ἐλυμήνατο. ὡς δ' οὖν οὐδὲ ἐνταῦθα ἀντίπαλόν τι αὐτοῖς ὤφθη, πρὸς τὸν Ἄβαντα προσεχώρησαν ὕδωρ μόνον

будь дальше, но даровать ему миръ не соглашался иначе какъ *подъ условіемъ*, если Артокъ предварительно пришлетъ ему своихъ дѣтей въ заложники, то послѣдній медлилъ нѣкоторое время, (7) пока Римляне, *воспользовавшись тѣмъ*, что Пелоръ лѣтомъ сдѣлался проходимымъ въ одномъ мѣстѣ, не переправились чрезъ него безъ труда, въ особенности при отсутствіи всякой помѣхи. Тутъ уже *Артокъ* прислалъ *своихъ* дѣтей къ Помпею и вслѣдъ за тѣмъ заключилъ договоръ.

Послѣ этого Помпей, узнавъ, что *рѣка* Фасидъ недалеко, и рѣшивъ вдоль ея спуститься въ Колхиду и оттуда отправиться въ Воспоръ противъ Миеридата, двинулся въ задуманномъ направленіи (2) и прошелъ *чрезъ земли* Колховъ и ихъ сосѣдей, дѣйствуя то убѣжденіемъ, то страхомъ. Узнавши здѣсь, что путь по материку идетъ чрезъ *земли* многихъ неизвѣстныхъ и воинственныхъ племенъ, а морской *путь еще* затруднительнѣе вслѣдствіе отсутствія гаваней въ *этой* странѣ и *суровости* ея обитателей, (3) приказалъ флоту сторожить Миеридата, чтобы и его самого не допускать никуда выплыть и отрѣзать ему подвозъ провіанта, а самъ обратился противъ Албанцевъ, *но* не кратчайшимъ путемъ, а черезъ Арменію, чтобы захватить ихъ врасплохъ и посредствомъ этой уловки, кромѣ перемирія. (4) Онъ перешелъ въ бродъ черезъ Киръ, гдѣ онъ сдѣлался проходимымъ вслѣдствіе лѣтнихъ жаровъ, при чемъ приказалъ переправляться по теченію конницѣ, затѣмъ обозу и наконецъ пѣхотѣ, для того чтобы кони своими тѣлами ослабили силу теченія, а изъ обоза если что-нибудь всетаки опрокинется, то натолкнулось бы на сопровождавшихъ съ обѣихъ сторонъ *людей* и не было унесено *теченіемъ* дальше. (5) На пути оттуда къ *р.* Камбису онъ не потерпѣлъ никакого вреда отъ непріятелей, но сильно пострадалъ со всѣмъ войскомъ отъ жары и вслѣдствіе ея отъ жажды, хотя и прошелъ большую часть пути ночью: проводники, выбранные изъ плѣнныхъ, повели ихъ не по самой удобной дорогѣ; (6) впрочемъ, и рѣка пришлась имъ не кстати: чрезвычайно холодная вода ея, выпитая ими въ большомъ количествѣ, многимъ повредила. Не встрѣтивъ и здѣсь никакого сопротивленія, *Римляне* пришли къ *р.* Аванту, неся съ собою только воду,

Digitized by Google

ἐπιφερόμενοι· τὰ γὰρ ἄλλα παρ' ἐκόντων τῶν ἐπιχωρίων ἐλάμβανον καὶ διὰ τοῦτο οὐδὲ ἐκακούργουν οὐδέν.

4. καί σφισι διαβεβηκόσιν ἤδη τὸν ποταμὸν ὁ Ὀροίσης προσιὼν ἠγγέλθη. ὁ οὖν Πομπήιος βουληθεὶς αὐτὸν, πρὶν τὸ τῶν Ῥωμαίων πλῆθος γνῶναι, πρὸς μάχην ὑπαγαγέσθαι, μὴ καὶ αἰσθόμενος αὐτοῦ ἀναχωρήσῃ, (2) τούς τε ἱππέας προέταξε προεπών σφισιν, ἃ ποιήσουσι, καὶ τοὺς λοιποὺς ὄπισθεν αὐτῶν ἓς τε τὰ γόνατα κεκλιμένους καὶ ταῖς ἀσπίσι συγκεκαλυμμένους ἔχων ἀτρεμεῖν ἐποίησεν, ὥστε τὸν Ὀροίσην μὴ πρότερον μαθεῖν αὐτοὺς παρόντας, πρὶν ἐν χερσὶ γενέσθαι. (3) κἀκ τούτου ἐκεῖνός τε τῶν ἱππέων ὡς καὶ μόνων ὄντων καταφρονήσας συνέμιξέ σφισι καὶ δι' ὀλίγου τραπέντας ἐξεπίτηδες ἀνὰ κράτος ἐπεδίωξε· καὶ οἱ πεζοὶ ἀναστάντες ἐξαίφνης καὶ διαστάντες τοῖς μὲν σφετέροις ἀσφαλῆ τὴν φυγὴν διὰ μέσου σφῶν παρέσχον, τοὺς δὲ πολεμίους ἀπερισκέπτως τῇ διώξει χρωμένους ἐσδεξάμενοι συχνοὺς ἐκυκλώσαντο. (4) καὶ οὗτοί τε τοὺς ἔνδον ἔκοπτον, καὶ οἱ ἱππεῖς οἱ μὲν ἐπὶ δεξιὰ, οἱ δ' ἐπὶ θάτερα αὐτῶν περιελθόντες κατὰ νώτου τοῖς ἔξω τῆς κυκλώσεως προσέπεσον. καὶ ἐκεῖ τε πολλοὺς ἐφόνευσαν ἑκάτεροι καὶ ἑτέρους ἐς τὰς ὕλας καταφυγόντας κατέπρησαν, «ἰὼ Κρόνια [Κρόνια]» πρὸς τὴν ἐπίθεσιν σφῶν τὴν τότε γενομένην ἐπιλέγοντες.

так какъ прочіе *припасы* они получали добровольно отъ туземцевъ и вслѣдствіе этого нисколько не обижали ихъ.

Уже послѣ переправы чрезъ рѣку было получено ими извѣстіе о приближеніи Ориса. Помпей, желая завлечь его въ битву прежде, чѣмъ онъ узнаетъ количество Римлянъ, для того чтобы онъ не отступилъ, замѣтивъ ихъ *многочисленность*, (2) выстроилъ впереди всадниковъ, объяснивъ имъ, что нужно будетъ дѣлать, а остальнымъ приказалъ позади всадниковъ стать на колѣна, прикрыться щитами и соблюдать полную тишину, такъ чтобы Орисъ замѣтилъ ихъ присутствіе не прежде, чѣмъ вступитъ въ рукопашную. (3) И дѣйствительно онъ, полагая, что предъ нимъ одни всадники, и отнесшись къ нимъ съ презрѣніемъ, сразился съ ними и, когда они вскорѣ обратились въ притворное бѣгство, яростно пустился преслѣдовать; но пѣхотинцы, вдругъ поднявшись и разступившись, дали своимъ безопасное бѣгство сквозь свои ряды, а враговъ, неосторожно увлекшихся преслѣдованіемъ, встрѣтили *съ оружіемъ* и многихъ окружили. (4) Они стали рубить окруженныхъ, а всадники, обскакавъ справа и слѣва, ударили съ тыла на *тѣхъ, которые оказались* внѣ оцѣпленія. Тѣ и другіе многихъ перебили на мѣстѣ, а другихъ, бѣжавшихъ въ лѣса, сожгли, приговаривая «іо Кроніи, Кроніи», съ намекомъ на прежнее ихъ нападеніе.

5. πράξας δὲ ταῦθ' ὁ Πομπήιος καὶ τὴν χώραν ἐπιδραμὼν τοῖς τε Ἀλβανοῖς εἰρήνην ἔδωκε καὶ ἄλλοις τισὶ τῶν παρὰ τὸν Καύκασον μέχρι τῆς Κασπίας θαλάσσης, ἐς ἣν ἀπὸ τοῦ Πόντου τὸ ὄρος ἀρξάμενον τελευτᾷ, κατοικούντων ἐπικηρυκευσαμένοις ἐσπείσατο...

Совершивъ это и сдѣлавъ набѣгъ на страну, Помпей даровалъ миръ Албанцамъ и заключилъ чрезъ пословъ договоры съ нѣкоторыми другими изъ обитателей Кавказа до Каспійскаго моря, у котораго оканчивается этотъ хребетъ, начинающійся отъ Понта...

2. Смерть Миѳридата Евпатора.
(XXXVII, 10—15).

XXXII, 10, 4... τοῦ δὴ Κικέρωνος τοῦ Μάρκου μετὰ Γαΐου Ἀντωνίου ὑπατεύσαντος... Μιθριδάτης οὐδὲν ἔτι δεινὸν τοὺς Ῥωμαίους εἰργάσατο, ἀλλὰ καὶ αὐτὸς ἑαυτὸν διέφθειρεν...

...Въ консульство Марка Цицерона и Гая Антонія [1])... Миѳридатъ *не только* не причинилъ уже никакого вреда Римлянамъ, но и самъ себя погубилъ...

11. ὁ Μιθριδάτης αὐτὸς μὲν οὐχ ὑπεῖκε ταῖς συμφοραῖς, ἀλλὰ τῇ βουλήσει πλέον

Самъ Миѳридатъ не падалъ духомъ подъ бременемъ несчастій; болѣе вѣря

V. 30: alterum Κρόνια expunxit Cobet coll. 60, 19, 3 ἰὼ Σατουρνάλια.
1) 691 г. Рима = 63 до Р. Хр.

Digitized by Google

ἢ τῇ δυνάμει νέμων ἐνενόει, ἄλλως τε καὶ ἐπειδὴ ὁ Πομπήιος ἐν τῇ Συρίᾳ διέτριβε, πρός τε τὸν Ἴστρον διὰ τῶν Σκυθῶν ἐλθεῖν κἀντεῦθεν ἐς τὴν Ἰταλίαν ἐσβαλεῖν· (2) φύσει τε γὰρ μεγαλοπράγμων ὢν καὶ πολλῶν μὲν πταισμάτων, πολλῶν δὲ καὶ εὐτυχημάτων πεπειραμένος οὐδὲν ἔτι ἀτόλμητον οὔτε ἀνέλπιστόν οἱ εἶναι ἐνόμιζεν. εἰ δὲ δὴ καὶ σφαλείη, συναπολέσθαι τῇ βασιλείᾳ μετὰ ἀκεραίου τοῦ φρονήματος μᾶλλον ἢ στερηθεὶς αὐτῆς ἔν τε ταπεινότητι καὶ ἐν ἀδοξίᾳ ζῆν ἤθελεν. (3) αὐτὸς μὲν οὖν ἐπὶ τούτοις ἔρρωτο· ὅσῳ γὰρ τῇ τοῦ σώματος ἀσθενείᾳ ἀπεμαραίνετο, τοσούτῳ τῇ τῆς γνώμης ῥώμῃ ἰσχυρίζετο, ὥστε καὶ τὴν ἐκείνου ἀρρωστίαν τοῖς ταύτης λογισμοῖς ἀναλαμβάνειν· (4) οἱ δ' ἄλλοι οἱ συνόντες αὐτῷ, ὡς τά τε τῶν Ῥωμαίων ἰσχυρότερα καὶ τὰ τοῦ Μιθριδάτου ἀσθενέστερα ἀεὶ ἐγίγνετο (τά τε γὰρ ἄλλα καὶ ὁ σεισμὸς μέγιστος δὴ τῶν πώποτε συνενεχθεὶς αὐτοῖς πολλὰς τῶν πόλεων ἔφθειρεν), ἠλλοιοῦντο, καὶ τά τε στρατιωτικὰ ἐκινεῖτο, καὶ παῖδάς τινας αὐτοῦ συναρπάσαντές τινες πρὸς τὸν Πομπήιον ἐκόμισαν.

12. ἐπ' οὖν τούτοις τοὺς μὲν ἐφώρα καὶ ἐκόλαζε, τοὺς δὲ καὶ ἐξ ὑποψίας ὀργῇ προκατελάμβανε, καὶ ἦν πρὸς οὐδένα ἔτι πιστός, ἀλλὰ καὶ τῶν λοιπῶν τέκνων ὑποτοπήσας τινὰ ἀπέσφαξεν. ἰδὼν οὖν ταῦτα υἱός τις αὐτοῦ Φαρνάκης καὶ ἐκεῖνόν τε ἅμα φοβηθεὶς καὶ παρὰ τῶν Ῥωμαίων τὴν βασιλείαν (καὶ γὰρ ἀνὴρ ἤδη ἦν) λήψεσθαι προσδοκήσας, ἐπεβούλευσεν αὐτῷ. (2) φωραθεὶς δὲ (πολλοὶ γὰρ καὶ φανερῶς καὶ λάθρᾳ πάντα τὰ πραττόμενα ὑπ' αὐτοῦ ἐπολυπραγμόνουν) εὐθὺς ἄν, εἴπερ τι καὶ τὸ βραχύτατον εὐνοίας οἱ δορυφόροι τῷ γέροντι εἶχον, ἐδικαιώθη· νῦν δὲ καίτοι σοφώτατος ὁ Μιθριδάτης ἐς πάντα τὰ βασιλικὰ γενόμενος οὐκ ἔγνω, ὅτι οὐδὲν οὐδενὶ οὔτε τὰ ὅπλα οὔτε τὰ πλήθη τῶν ὑπηκόων ἄνευ τῆς παρ' αὐτῶν φιλίας ἰσχύει, ἀλλὰ καὶ ὅσῳ τις ἂν πλείω, μὴ μέντοι καὶ πιστὰ αὐτὰ ἔχῃ, χαλεπώτερα αὐτῷ γίγνεται. (3) ὁ γοῦν Φαρνάκης μετά τε τῶν προπαρεσκευασμένων καὶ μετὰ τῶν ὑπὸ τοῦ πατρὸς πρὸς τὴν σύλληψιν αὐτοῦ πεμφθέντων (ῥᾷστα γὰρ αὐτοὺς ᾠκειώσατο) καὶ ἐπ' αὐτὸν ἀντικρυς τὸν πατέρα ἠπείχθη. πυθόμενος δὲ τοῦτο ὁ γέρων (ἦν δὲ ἐν Παντικαπαίῳ)· στρατιώτας τινὰς ἐπὶ τὸν υἱὸν ὡς καὶ αὐ-

своимъ желаніямъ, нежели силамъ, онъ задумывалъ, пользуясь пребываніемъ Помпея въ Сиріи, пробраться чрезъ Скиѳію къ Истру и оттуда вторгнуться въ Италію; (2) будучи дѣятеленъ отъ природы и испытавъ много неудачъ, но много и удачъ, онъ полагалъ, что для него нѣтъ ничего недостижимаго или безнадежнаго; въ случаѣ же *новой* неудачи онъ предпочиталъ погибнуть вмѣстѣ съ своимъ царствомъ, сохраняя *прежнюю* высоту духа, нежели, лишившись царства, жить въ униженіи и безславіи. (3) Такими замыслами онъ укрѣплялъ себя: ибо чѣмъ болѣе слабѣли его физическія силы, тѣмъ болѣе онъ укрѣплялся силою ума, такъ что даже тѣлесная слабость уменьшалась отъ высокихъ помысловъ. (4) Но за то другіе его сподвижники по мѣрѣ того, какъ Римляне усиливались, а Миѳридатъ ослабѣвалъ (кромѣ другихъ *причинъ слабости*, землетрясеніе, сильнѣйшее изъ всѣхъ когда-либо бывшихъ, разрушило у него многіе города), стали мѣнять свое настроеніе, въ войскѣ замѣчалось броженіе и нѣкоторые даже захватили кое-кого изъ дѣтей Миѳридата и отвезли къ Помпею.

Вслѣдствіе этого *Миѳридатъ* однихъ уличалъ и наказывалъ, другихъ въ гнѣвѣ схватывалъ *только* по подозрѣнію, никому уже не довѣрялъ и убилъ по подозрѣнію одного изъ оставшихся сыновей. Видя это, сынъ его Фарнакъ, съ одной стороны боясь отца, съ другой разсчитывая получить отъ Римлянъ царскую власть (ибо онъ былъ уже *вполнѣ* возмужалымъ), составилъ противъ него заговоръ. (2) Но будучи открытъ вслѣдствіе того, что многіе и явно и тайно старались разузнавать всѣ его дѣйствія, онъ былъ бы немедленно наказанъ, если бы тѣлохранители имѣли хотя малѣйшее расположеніе къ старику: но теперь Миѳридатъ, хотя отличавшійся величайшею мудростью во всѣхъ царскихъ *дѣлахъ*, не понялъ, что ни оружіе, ни множество подданныхъ ни для кого не имѣетъ никакого значенія безъ дружественнаго съ ихъ стороны расположенія и что, напротивъ, чѣмъ у кого ихъ больше, тѣмъ труднѣе съ ними справляться, если они не хранятъ вѣрности. (3) Фарнакъ съ приготовленными заранѣе людьми и съ посланными отцомъ для его захвата (ибо онъ безъ всякаго труда привлекъ ихъ на свою

Digitized by Google

τὸς ἐφεψόμενός σφισι προέπεμψε. (4) καὶ τούτους τε ἐκεῖνος διὰ βραχέος ἅτε μηδ' αὐτοὺς φιλοῦντας τὸν Μιθριδάτην ἀπετρέψατο καὶ τὴν πόλιν ἑκουσίαν ἔλαβε τόν τε πατέρα ἐς τὸ βασίλειον καταφυγόντα ἀπέκτεινεν.

13. ἐπεχείρησε μὲν γὰρ ἑαυτὸν διαχρήσασθαι καὶ τὰς τε γυναῖκας καὶ τοὺς παῖδας τοὺς λοιποὺς φαρμάκῳ προαπαλλάξας τὸ λοιπὸν ἐξέπιεν, οὐ μέντοι οὔτε δι' ἐκείνου οὔτε διὰ ξίφους αὐτοχειρίᾳ ἀποφθαρῆναι ἠδυνήθη. (2) τό τε γὰρ φάρμακον καίτοι θανάσιμον ὂν οὐ συνεῖλεν αὐτόν, ἐπειδὴ πολλῇ καθ' ἑκάστην ἡμέραν προφυλακῇ ἀλεξιφαρμάκων ἐκεκράτυντο· καὶ ἡ τοῦ ξίφους πληγὴ διά τε τὴν τῆς χειρὸς αὐτοῦ ἀπό τε τῆς ἡλικίας καὶ ἀπὸ τῶν περιεστηκότων ἀσθένειαν καὶ διὰ τὴν φαρμάκου ὁποιουδηποτοῦν λῆψιν ἀπημβλύνθη. (3) ὡς οὖν οὔτε δι' ἑαυτοῦ ἀνηλίσκετο καὶ πέρα τοῦ καιροῦ χρονίζειν ἐδόκει, προσέπεσόν τε αὐτῷ ἐκεῖνοι, οὓς ἐπὶ τὸν υἱὸν ἐπεπόμφει, καὶ συνετάχυναν τοῖς ξίφεσι καὶ ταῖς λόγχαις τὸν ὀλεθρον. (4) Μιθριδάτης μὲν δὴ ποικιλωτάτῃ ἀεὶ καὶ μεγίστῃ τῇ τύχῃ χρησάμενος οὐδὲ τὴν τελευτὴν τοῦ βίου ἁπλῆν ἔσχεν· ἐπεθύμησέ τε γὰρ ἀποθανεῖν μὴ βουλόμενος καὶ αὐτὸς ἑαυτὸν ἀποκτεῖναι σπουδάσας οὐκ ἠδυνήθη, ἀλλὰ τοῦτο μὲν φαρμάκῳ, τοῦτο δὲ καὶ ξίφει αὐθέντης τε ἅμα ἐγένετο καὶ ὑπὸ τῶν ἐχθρῶν ἀπεσφάγη.

14. Φαρνάκης δὲ τό τε σῶμα αὐτοῦ τῷ Πομπηίῳ ταριχεύσας ἔλεγχον τοῦ πεπραγμένου ἔπεμψε καὶ ἑαυτὸν τήν τε ἀρχὴν παρέδωκε. καὶ ὃς τῷ μὲν Μιθριδάτῃ οὐδὲν ἐλυμήνατο, ἀλλὰ καὶ ἐν τοῖς πατρῴοις ἡρίοις ταφῆναι αὐτὸν ἐκέλευσε· τὸ γὰρ πολέμιον αὐτοῦ συναπεσβηκέναι τῇ ψυχῇ νομίζων οὐδὲν ἔτι τῷ νεκρῷ μάτην ὠργίζετο· (2) τὴν μέντοι βασιλείαν τοῦ Βοσπόρου μισθὸν τῷ Φαρνάκῃ τῆς μιαιφονίας ἐχαρίσατο καὶ ἐς γε τοὺς φίλους τούς τε συμμάχους αὐτὸν ἀνέγραψεν.

(3) ὡς οὖν ἐκεῖνός τε ἀπολώλει καὶ τὰ τῆς ἀρχῆς αὐτοῦ πάντα πλὴν ὀλίγων κατέστραπτο (τείχη γάρ τινα φρουροὶ ἔξω τοῦ Βοσπόρου ἔτι καὶ τότε ἔχοντες οὐκ εὐθὺς ὡμολόγησαν, οὐχ ὅτι καὶ ἀνθίστασθαί οἱ διενοοῦντο, ἀλλ' ὅτι ἐφοβοῦντο, μὴ τὰ χρή-

сторону) двинулся прямо противъ отца. Узнавши объ этомъ, старикъ, бывшій *тогда* въ Пантикапэѣ, выслалъ противъ сына нѣсколькихъ солдатъ, намѣреваясь и самъ послѣдовать за ними; (4) но Фарнакъ скоро переманилъ и этихъ *людей*, тоже не любившихъ Миѳридата, захватилъ добровольно *сдавшійся ему* городъ и сдѣлался виновникомъ смерти отца, бѣжавшаго во дворецъ.

Миѳридатъ сдѣлалъ попытку самъ покончить съ собою и, предварительно умертвивъ ядомъ своихъ женъ и остальныхъ дѣтей, выпилъ *его* остатокъ, но не могъ убить себя ни имъ, ни собственноручно мечемъ: (2) ядъ, хотя и смертельный, не подѣйствовалъ на него, такъ какъ онъ закалилъ себя ежедневными большими пріемами противоядій; а ударъ меча оказался слабымъ вслѣдствіе того, что рука его обезсилѣла отъ старости и испытанныхъ несчастій, и вслѣдствіе пріема яда, хотя и недостаточно крѣпкаго. (3) Итакъ, когда онъ оказался не въ состояніи убить себя и черезчуръ долго медлилъ, на него бросились тѣ, которыхъ онъ посылалъ противъ сына, и *своими* мечами и копьями ускорили его гибель. (4) Такимъ образомъ Миѳридатъ, испытавшій разнообразнѣйшія превратности своей великой судьбы, даже жизнь покончилъ не простымъ путемъ: онъ поневолѣ захотѣлъ умереть и, сдѣлавъ попытку самоубійства, не былъ въ состояніи *довести ее до конца*, но отчасти ядомъ, отчасти мечомъ сдѣлался самоубійцею и *въ то же время* былъ убитъ врагами.

Фарнакъ, посоливъ его тѣло, отослалъ къ Помпею, какъ доказательство совершившагося *факта*, и предалъ ему самого себя и *свое* царство. Помпей не только не надругался надъ Миѳридатомъ, но и приказалъ похоронить его въ фамильной усыпальницѣ: полагая, что его вражда угасла вмѣстѣ съ душою, онъ уже не гнѣвался напрасно на мертвеца; (2) однако Воспорское царство онъ подарилъ Фарнаку въ награду за *это* нечестивое убійство и записалъ его въ число друзей и союзниковъ.

(3) Итакъ Миѳридатъ погибъ, и все его царство было покорено, кромѣ немногихъ *пунктовъ*: именно, стражи, еще и въ то время охранявшіе нѣкоторыя укрѣпленія внѣ Воспора, не сдали ихъ немедленно,— не потому, чтобы задумывали сопроти-

Digitized by Google

ματα, ἃ ἐφύλαττον, προδιαρπάσαντές τινες ἐκείνοις τὴν αἰτίαν προσθῶσι, καὶ διὰ τοῦτο ἀνέμενον αὐτῷ βουλόμενοι τῷ Πομπηίῳ πάντα ἐπιδεῖξαι), ὡς οὖν τά τε ἐνταῦθα κατείργαστο καὶ ὁ Φραάτης ἡσυχίαν ἦγεν, ἥ τε Συρία καὶ ἡ Φοινίκη καθεστήκει, τρέπεται πρὸς Ἀρέταν...

...вляться Помпею, а изъ боязни, чтобы кто-нибудь не захватилъ сокровищъ, которыя они оберегали, и не свалилъ на нихъ вины; поэтому они выжидали, желая все показать самому Помпею. Итакъ, когда здѣсь все было покончено, Фраатъ державъ себя спокойно и *дѣла въ* Сиріи и Финикіи устроились, *Помпей* обратился противъ Арета...

3. Борьба Фарнака съ Римлянами.

(XLII, 9 и 45 — 48).

XLII, 9, 2... ὁ Φαρνάκης ἤρξατο μὲν εὐθύς, ἐπειδὴ πρῶτον τόν τε Πομπήιον καὶ τὸν Καίσαρα ἐκπεπολεμῶσθαι ἔμαθε, τῆς [τε] πατρῴας ἀρχῆς ἀντιποιεῖσθαι ...καὶ πολλά γε χωρία προκατέλαβε...

...Фарнакъ, лишь только узналъ, что между Помпеемъ и Кесаремъ возгорѣлось междоусобіе, началъ стремиться къ возвращенію себѣ отцовскаго царства... и захватилъ много мѣстностей [1])...

---

45. καὶ αὐτὸν [sc. τὸν Καίσαρα] ἐπὶ πλεῖον ἂν ἐν τῇ Αἰγύπτῳ κατέσχεν [ἡ Κλεοπάτρα], ἢ καὶ ἐς τὴν Ῥώμην εὐθὺς αὐτῷ συναπῆρεν, εἰ μή περ ὁ Φαρνάκης καὶ ἐκεῖθεν πάνυ ἄκοντα τὸν Καίσαρα ἐξήγαγε καὶ ἐς τὴν Ἰταλίαν ἐπειχθῆναι ἐκώλυσεν. (2) οὗτος γὰρ παῖς μὲν τοῦ Μιθριδάτου ἦν καὶ τοῦ Βοσπόρου τοῦ Κιμμερίου ἦρχεν, ὥσπερ εἴρηται, ἐπιθυμήσας δὲ πᾶσαν τὴν πατρῴαν βασιλείαν ἀνακτήσασθαι ἐπανέστη κατ' αὐτὴν τήν τε τοῦ Καίσαρος καὶ τὴν τοῦ Πομπηίου στάσιν καὶ οἷα τῶν Ῥωμαίων τότε μὲν πρὸς ἀλλήλους ἀσχόλων γενομένων, αὖθις δὲ ἐν τῇ Αἰγύπτῳ κατασχεθέντων (3) τήν τε Κολχίδα ἀκονιτὶ προσηγάγετο καὶ τὴν Ἀρμενίαν ἀπόντος τοῦ Δηιοτάρου πᾶσαν τῆς τε Καππαδοκίας καὶ τῶν τοῦ Πόντου πόλεών τινας, αἷ τῷ τῆς Βιθυνίας νομῷ προσετετάχατο, κατεστρέψατο.

Клеопатра еще долѣе задержала бы Кесаря въ Египтѣ или немедленно отправилась бы вмѣстѣ съ нимъ въ Римъ, если бы Фарнакъ не вызвалъ бы и оттуда Кесаря къ великой его досадѣ и не помѣшалъ бы спѣшить въ Италію. (2) Онъ былъ сынъ Митридата и владѣлъ Босфоромъ Киммерійскимъ, какъ сказано *выше*; задумавъ возвратить себѣ все отцовское царство, онъ поднялъ возстаніе во время самаго междоусобія Кесаря и Помпея и, такъ какъ Римляне были тогда заняты собственными дѣлами, а потомъ были задержаны въ Египтѣ, (3) то онъ безъ труда подчинилъ себѣ Колхиду и всю Арменію въ отсутствіе Діотара и покорилъ нѣкоторые города Каппадокіи и Понта, принисанные къ Виѳинской области.

46. πράσσοντος δὲ αὐτοῦ ταῦτα ὁ Καῖσαρ αὐτὸς μὲν οὐκ ἐκινήθη (οὔτε γὰρ ἡ Αἴγυπτός πω καθειστήκει, καὶ ἐλπίδος τι εἶχε δι' ἑτέρων αὐτὸν χειρώσεσθαι), Γναῖον δὲ Δομίτιον Καλουῖνον ἔπεμψε τήν τε Ἀσίαν οἱ καὶ... στρατόπεδα προστάξας. (2) καὶ ὃς τὸν Δηιόταρον καὶ τὸν Ἀριοβαρζάνην προσλαβὼν ἤλασεν εὐθὺς ἐπὶ τὸν Φαρνάκην ἐν τῇ Νικοπόλει ὄντα (καὶ γὰρ ταύτην προκατειλήφει) καὶ καταφρονήσας, ἐπειδὴ ἐκεῖνος τὴν παρουσίαν αὐτοῦ φοβηθεὶς ἀνοχὴν ἐπὶ πρεσβεύσει ἑτοίμως ἔσχε ποιήσεσθαι, οὔτε ἐσπείσατο αὐτῷ καὶ συμ-

При такихъ его дѣйствіяхъ Кесарь самъ не двинулся *изъ Египта*, ибо Египетъ еще не былъ вполнѣ устроенъ и онъ имѣлъ нѣкоторую надежду одолѣть Фарнака чрезъ другихъ, и послалъ Гнея Домиція Кальвина, поручивъ ему Азію и войска. (2) Послѣдній, присоединивъ къ себѣ Діотара и Аріоварзана, двинулся прямо на Фарнака, бывшаго въ Никополѣ, также имъ захваченномъ. Фарнакъ, испуганный приближеніемъ Домиція, выразилъ готовность заключить перемиріе для переговоровъ, но послѣдній, возымѣвъ къ нему

V. 30: Καππαδοκίας ⟨μέρος καὶ⟩? Bekker. || V. 38: «lacunam post καὶ statuerunt D[indorf] et Hoelzl, fast. praetor. p. 74, coll. bell. Alexandr. 34». Melber.

1) 48 г. до Р. Хр.

Digitized by Google

βαλὼν ἠττήθη. (3) καὶ ὁ μὲν ἐκ τούτου ἐς τὴν Ἀσίαν, ἐπειδὴ μήτε ἀξιόμαχός οἱ ἦν, καὶ ὁ χειμὼν προσῆει, ἀνεχώρησε· Φαρνάκης δὲ μεγάλα δὴ φρονῶν τά τε ἄλλα τὰ ἐν τῷ Πόντῳ προσκατεστήσατο καὶ Ἀμισὸν καίπερ ἐπὶ πλεῖον ἀντισχοῦσαν εἷλέ τε καὶ διήρπασε τούς τε ἡβῶντας ἐν αὐτῇ πάντας ἀπέκτεινε καὶ ἐς τὴν Βιθυνίαν τήν τε Ἀσίαν ἐπὶ ταῖς αὐταῖς τῷ πατρὶ ἐλπίσιν ἠπείγετο. (4) κἀν τούτῳ μαθὼν τὸν Ἄσανδρον, ὃν ἐπίτροπον τοῦ Βοσπόρου κατελελοίπει, νεωχμωκότα οὐκέτι περαιτέρω προεχώρησεν· ἐκεῖνος γάρ, ἐπειδὴ τάχιστα πόρρω τε ὁ Φαρνάκης ἀπ' αὐτοῦ προϊὼν ἠγγέλθη, καὶ ἐδόκει, εἰ καὶ τὰ μάλιστα ἔν γε τῷ παρόντι [ἂν] λάθοι ἀλλ' οὔτι γε καὶ ἔπειτα καλῶς ἀπαλλάξειν, ἐπανέστη αὐτῷ ὡς καὶ τοῖς Ῥωμαίοις τε χαριούμενος τήν τε δυναστείαν τοῦ Βοσπόρου παρ' αὐτῶν ληψόμενος.

47. τοῦτ' οὖν ὁ Φαρνάκης ἀκούσας ὥρμησεν ἐπ' αὐτὸν μάτην· τὸν γὰρ Καίσαρα ἐν τῇ ὁδῷ εἶναι καὶ ἐς τὴν Ἀρμενίαν ἐπείγεσθαι πυθόμενος ἀνέστρεψε κἀνταῦθα αὐτῷ περὶ Ζέλαν συνέτυχεν. ὁ γὰρ Καῖσαρ τοῦ τε Πτολεμαίου τελευτήσαντος καὶ τοῦ Δομιτίου νικηθέντος οὔτε εὐπρεπῆ οὔτε λυσιτελῆ οἱ τὴν ἐν τῇ Αἰγύπτῳ διατριβὴν ἐνόμισεν εἶναι, ἀλλ' ἀφορμήθη καὶ τάχει πολλῷ χρησάμενος ἐς τὴν Ἀρμενίαν ἀφίκετο. (2) ἐκπλαγεὶς οὖν ὁ βάρβαρος καὶ πολὺ μᾶλλον τὴν ὁρμὴν ἢ τὸν στρατὸν αὐτοῦ καταδείσας προσέπεμψεν αὐτῷ, πρὶν πλησιάσαι, πολλάκις προκηρυκευόμενος, εἴ πως τὸ παρὸν ἐφ' ὁτῳδὴ συνθέμενος ἐκφύγοι. (3) προῆσχετο δὲ ἄλλα τε καὶ ἐν τοῖς μάλιστα, ὅτι οὐ συνήρατο τῷ Πομπηίῳ· καὶ ἤλπιζεν ὑπάξεσθαί τε αὐτὸν ἐς σπονδὰς ἅτε καὶ ἐς τὴν Ἰταλίαν τήν τε Ἀφρικὴν ἐπειγόμενον καὶ ἀπελθόντος αὐτοῦ ῥᾳδίως αὖθις πολεμήσειν. (4) ὑποπτεύσας οὖν τοῦτο ὁ Καῖσαρ τοὺς μὲν πρώτους καὶ τοὺς δευτέρους πρέσβεις ἐφιλοφρονήσατο, ὅπως ὅτι μάλιστα ἀπροσδοκήτῳ οἱ τῇ τῆς εἰρήνης ἐλπίδι προσπέσῃ, τῶν δὲ τρίτων ἐλ-

презрѣніе, не далъ перемирія и вступилъ въ битву, но потерпѣлъ пораженіе. (3) Послѣ этого онъ удалился въ Азію, такъ какъ не имѣлъ достаточныхъ силъ для борьбы *съ Фарнакомъ* и *кромѣ того* приближалась зима. Фарнакъ же, возгордившись *побѣдой*, присоединилъ другія области въ Понтѣ, послѣ упорнаго сопротивленія взялъ и разграбилъ Амисъ, перебилъ въ немъ всѣхъ взрослыхъ и поспѣшилъ въ Виѳинію и Азію съ тѣми же надеждами, какъ *его* отецъ; (4) но, получивъ въ это время извѣстіе о возмущеніи Асандра, котораго онъ оставилъ правителемъ Воспора, не продолжалъ своего наступательнаго движенія. Именно, Асандръ, какъ только получилъ извѣстіе, что Фарнакъ ушелъ отъ него далеко впередъ, и понялъ, что если даже ему удастся въ данное время скрыть *свои замыслы*, то всетаки впослѣдствіи дѣло не окончится благополучно, возсталъ противъ него, имѣя въ виду угодить Римлянамъ и получить отъ нихъ власть на Воспорѣ.

Услышавъ объ этомъ, Фарнакъ двинулся *было* противъ него, *но* напрасно: получивъ извѣстіе, что Кесарь находится *уже* въ пути и спѣшитъ въ Арменію, онъ возвратился и встрѣтился съ нимъ при Зелѣ. Дѣло въ томъ, что Кесарь послѣ кончины Птолемея и пораженія Домиція не считалъ ни приличнымъ ни полезнымъ свое пребываніе въ Египтѣ и поэтому двинулся *оттуда* и съ большой быстротой прибылъ въ Арменію. (2) Приведенный въ ужасъ варваръ, гораздо болѣе испуганный его быстротой, нежели *количествомъ* войска, раньше столкновенія нѣсколько разъ посылалъ вѣстниковъ, пытаясь избѣгнуть предстоящей *битвы* примиреніемъ на какихъ бы то ни было условіяхъ. (3) Онъ выставлялъ *на видъ* какъ другія *заслуги*, такъ въ особенности то, что не сталъ на сторону Помпея, и надѣялся склонить Кесаря къ перемирію, такъ какъ онъ спѣшилъ въ Италію и Африку, а послѣ его удаленія снова безъ труда поднять войну. (4) Проникнувъ въ его намѣренія, Кесарь благосклонно принялъ первое и второе по-

V. 5: προσκατεστήσατο] προσπαρεστήσατο Herwenden, προσκατεκτήσατο Pflugk. ‖ V. 16: [ἂν] del. Dind., ἀνδοῖ pro ἂν λάθοι scribit Bekker. ‖ V. 24: Ζέλαν cod. Medic. A (et coniecerat Grohs), Ζέλειαν vulgo.

Digitized by Google

θόντων τά τε ἄλλα ἐπεκάλεσεν αὐτῷ καὶ ὅτι τὸν Πομπήιον τὸν εὐεργέτην ἐγκατέλιπε. (5) καὶ οὐκ ἀνεβάλετο, ἀλλ' εὐθὺς αὐθημερόν, ὥσπερ εἶχεν ἐκ τῆς ὁδοῦ, συνέμιξε καί τινα χρόνον ὑπό τε τῆς ἵππου καὶ ὑπὸ τῶν δρεπανηφόρων ἐκταραχθεὶς ἔπειτα τοῖς ὁπλίταις ἐκράτησε. καὶ ἐκεῖνον μὲν ἐκφυγόντα ἐπὶ τὴν θάλασσαν καὶ ἐς τὸν Βόσπορον μετὰ τοῦτο ἐσβιαζόμενον ὁ Ἀσανδρος εἷρξέ τε καὶ ἀπέκτεινε.

1 сольства, чтобы напасть на врага болѣе неожиданно вслѣдствіе надежды на миръ, а когда явилось третье посольство, онъ осыпалъ *Фарнака* разными упреками, въ 5 особенности же за то, что онъ оставилъ своего благодѣтеля Помпея, (5) и, не откладывая *дѣла*, въ тотъ же день, прямо съ дороги сразился *съ Фарнакомъ*; на нѣкоторое время онъ былъ приведенъ въ замѣшательство конницею и косами, но затѣмъ 10 одолѣлъ *врага* тяжелой пѣхотой. Фарнакъ бѣжалъ къ морю и затѣмъ хотѣлъ силою пробиться въ Воспоръ, но Асандръ задержалъ его и убилъ.

48. Καῖσαρ δέ... (3) τὴν χώραν, ὅσην τῶν τε Ῥωμαίων καὶ τῶν ἑνόρκων σφίσιν ἀποτετμημένος ὁ Φαρνάκης ἦν, ἐκομίσατο καὶ αὐτὴν πᾶσαν ὡς ἑκάστοις τοῖς ἀπολέσασιν ἔδωκε πλὴν μέρους τινὸς τῆς Ἀρμενίας, ὃ τῷ Ἀριοβαρζάνῃ ἐχαρίσατο. (4) τούς τε Ἀμισηνοὺς ἐλευθερίᾳ ἠμείψατο καὶ τῷ Μιθριδάτῃ τῷ Περγαμηνῷ τετραρχίαν τε ἐν Γαλατίᾳ καὶ βασιλείας ὄνομα ἔδωκε πρός τε τὸν Ἀσανδρον πολεμῆσαι ἐπέτρεψεν, ὅπως καὶ τὸν Βόσπορον κρατήσας αὐτοῦ λάβῃ, ὅτι πονηρὸς ἐς τὸν φίλον ἐγένετο.

Кесарь... (3) *снова* подчинилъ всѣ области, которыя Фарнакъ отрѣзалъ у Римлянъ и ихъ союзниковъ, и всѣ возвратилъ прежнимъ владѣльцамъ, кромѣ нѣкоторой 15 части Арменіи, которую подарилъ Аріоварзану. (4) Онъ вознаградилъ свободой Амисинцевъ, далъ Митридату Пергамскому тетрархію въ Галатіи съ именемъ царя и позволилъ ему воевать съ Асандромъ, что-20 бы, побѣдивъ его, отнять у него и Воспоръ за то, что онъ оказался измѣнникомъ другу [1]).

4. Извѣстія о дальнѣйшихъ событіяхъ.

XLIX, 24. Ἐν... χειμῶνι, τοῦ τε Γελλίου καὶ τοῦ Νερούα ἀρχόντων, Πούπλιος Κανίδιος Κράσσος ἐπὶ Ἴβηρας τοὺς ταύτῃ στρατεύσας μάχῃ τε τὸν βασιλέα αὐτῶν Φαρνάβαζον ἐνίκησε καὶ ἐς συμμαχίαν προσηγάγετο καὶ μετ' αὐτοῦ ἐς τὴν Ἀλβανίδα τὴν ὅμορον ἐμβαλὼν καὶ ἐκείνους τόν τε βασιλέα αὐτῶν Ζόβηρα κρατήσας ὁμοίως αὐτοὺς ᾠκειώσατο...

Зимою въ консульство Геллія и Нервы [2]) П. Канидій Крассъ, предпринявъ походъ противъ здѣшнихъ [т. е. кавказскихъ] Иверовъ, побѣдилъ въ бою царя ихъ Фарнаваза, привлекъ его къ союзу и, вторгнувшись вмѣстѣ съ нимъ въ сосѣднюю Албанію, побѣдилъ Албанцевъ и царя ихъ Зовира и обошелся съ ними подобнымъ же образомъ...

LIV, 20. πολλὰ μὲν οὖν καὶ ἄλλα κατὰ τοὺς χρόνους ἐκείνους ἐταράχθη... (3) τά τε ἐν τῇ Δελματίᾳ καὶ τὰ ἐν τῇ Ἰβηρίᾳ νεοχμώσαντα δι' ὀλίγου κατέστη ...ἔν τε τῇ Θράκῃ πρότερον μὲν Μάρκος Λόλλιος Ῥυμητάλκῃ θείῳ τε τῶν τοῦ Κότυος παίδων καὶ ἐπιτρόπῳ ὄντι βοηθῶν Βησσοὺς κατεστρέψατο, ἔπειτα δὲ Λούκιος Γάιος Σαυρομάτας ἐκ τῆς αὐτῆς αἰτίας κρατήσας ὑπὲρ τὸν Ἴστρον ἀπεώσατο...

Около этого же времени [3]) было много и другихъ смутъ... (3) Въ Далматіи и въ Иверіи были кратковременныя возстанія... Во Оракіи сначала Маркъ Лоллій, помогая Римиталку, дядѣ и опекуну дѣтей Котиса, разбилъ Бессовъ, а потомъ Гай Луцій по той же причинѣ побѣдилъ и отбросилъ за Истръ Савроматовъ...

---

1) Т. е. Фарнаку. 2) 718 г. Рима = 36 до Р. Хр. 3) 739 г. Рима=15 до Р. Хр.

Digitized by Google

LIV, 24. τῷ δ' ἐπιγιγνομένῳ ἔτει Μάρκος μὲν Κράσσος καὶ Γναῖος Κορνήλιος ὑπάτευσαν... (4) τά τε ἐν τῷ Βοσπόρῳ τῷ Κιμμερίῳ νεοχμώσαντα κατέστη. Σκριβώνιος γάρ τις τοῦ τε Μιθριδάτου ἔγγονος εἶναι καὶ παρὰ τοῦ Αὐγούστου τὴν βασιλείαν, ἐπειδήπερ ὁ Ἄσανδρος ἐτεθνήκει, εἰληφέναι λέγων, τὴν γυναῖκα αὐτοῦ Δύναμίν τε καλουμένην καὶ τὴν ἀρχὴν παρὰ τοῦ ἀνδρὸς ἐπιτετραμμένην, ἦ τοῦ τε Φαρνάκου θυγάτηρ καὶ τοῦ Μιθριδάτου ἔγγονος ἀληθῶς ἦν, ἠγάγετο καὶ τὸν Βόσπορον διὰ χειρὸς ἐποιεῖτο. (5) πυθόμενος οὖν ταῦτα ὁ Ἀγρίππας τὸν Πολέμωνα ἐπ' αὐτόν, τὸν τοῦ Πόντου τοῦ πρὸς τῇ Καππαδοκίᾳ ὄντος βασιλεύοντα, ἔπεμψε· καὶ ὃς Σκριβώνιον μὲν οὐκέτι περιόντα κατέλαβε, μαθόντες γὰρ οἱ Βοσπόριοι τὴν ἐπιβολὴν αὐτοῦ προαπέκτειναν αὐτόν, ἀντιστάντων δέ οἱ ἐκείνων δέει τοῦ μὴ βασιλεύεσθαι αὐτῷ δοθῆναι, ἐς χεῖράς σφισιν ἦλθε. (6) καὶ ἐνίκησε μέν, οὐ μὴν καὶ παρεστήσατό σφας πρὶν τὸν Ἀγρίππαν ἐς Σινώπην ἐλθεῖν ὡς καὶ ἐπ' αὐτοὺς στρατεύσοντα. οὕτω δὲ τά τε ὅπλα κατέθεντο καὶ τῷ Πολέμωνι παρεδόθησαν· ἥ τε γυνὴ ἡ Δύναμις συνῴκησεν αὐτῷ, τοῦ Αὐγούστου δῆλον ὅτι ταῦτα δικαιώσαντος.

Въ слѣдующемъ году [1]) консулами были Маркъ Крассъ и Гней Корнелій... (4) Въ Воспорѣ Киммерійскомъ произошло возстаніе. Нѣкто Скривоній, выдававшій себя за внука Миѳридатова и увѣрявшій, что онъ получилъ царскую власть отъ Августа послѣ смерти Асандра, взялъ *въ замужество* супругу его, по имени Динамію, которой было передано мужемъ управленіе государствомъ и которая дѣйствительно была дочерью Фарнака и внукою Миѳридата, и стремился овладѣть Воспоромъ. (5) Провѣдавъ объ этомъ, Агриппа послалъ противъ него Полемона, царя прилежащей къ Каппадокіи части Понта. Полемонъ уже не засталъ въ живыхъ Скривонія, такъ какъ Воспоряне раньше убили его, узнавъ объ его замыслѣ; когда же они и ему оказали сопротивленіе изъ страха быть отданнымъ подъ его власть, онъ вступилъ съ ними въ битву (6) и одержалъ побѣду, но не успѣлъ подчинить ихъ себѣ, пока Агриппа не прибылъ въ Синопу съ намѣреніемъ итти и на нихъ походомъ. Тогда они положили оружіе и сдались Полемону; Динамія сдѣлалась его женою, очевидно, по рѣшенію Августа.

LVIII, 26. ὑπὸ δὲ δὴ τοὺς αὐτοὺς χρόνους ὁ Ἀρτάβανος ὁ Πάρθος τελευτήσαντος τοῦ Ἀρτάξου τὴν Ἀρμενίαν Ἀρσάκῃ τῷ ἑαυτοῦ υἱεῖ ἔδωκε, καὶ ἐπειδὴ μηδεμία ἐπὶ τούτῳ τιμωρία παρὰ τοῦ Τιβερίου ἐγένετο, τῆς τε Καππαδοκίας ἐπείρα καὶ ὑπερηφανώτερον καὶ τοῖς Πάρθοις ἐχρῆτο. (2) ἀποστάντες οὖν τινες αὐτοῦ ἐπρεσβεύσαντο πρὸς τὸν Τιβέριον, βασιλέα σφίσιν ἐκ τῶν ὁμηρευόντων αἰτοῦντες· καὶ αὐτοῖς τότε μὲν Φραάτην τὸν τοῦ Φραάτου, τελευτήσαντος δὲ ἐκείνου κατὰ τὴν ὁδὸν Τιριδάτην, ἐκ τοῦ βασιλικοῦ καὶ αὐτὸν γένους ὄντα, ἔπεμψε. (3) καὶ ὅπως γε ὡς ῥᾷστα τὴν βασιλείαν παραλάβῃ, ἔγραψε Μιθριδάτῃ τῷ Ἴβηρι ἐς τὴν Ἀρμενίαν ἐσβαλεῖν, ἵνα ὁ Ἀρτάβανος τῷ υἱεῖ βοηθῶν ἀπὸ τῆς οἰκείας ἀπάρῃ. Καὶ ἔσχεν οὕτως, οὐ μέντοι καὶ ἐπὶ πολὺ ὁ Τιριδάτης ἐβασίλευσεν. ὁ γὰρ Ἀρτάβανος Σκύθας προσλαβὼν οὐ χαλεπῶς αὐτὸν ἐξήλασε. (4) τὰ μὲν οὖν τῶν Πάρθων οὕτως ἔσχε, τὴν δ' Ἀρμενίαν ὁ Μιθριδάτης ὁ Μιθριδάτου μὲν τοῦ Ἴβηρος, ὡς

Около этого же времени [2]) Артаванъ Парѳянскій по смерти Артакса отдалъ Арменію сыну своему Арсаку и *затѣмъ*, такъ какъ отъ Тиберія не послѣдовало никакого наказанія за этотъ *поступокъ*, пытался овладѣть Каппадокіей и сталъ надменнѣе обращаться съ Парѳами. (2) Поэтому нѣкоторые изъ нихъ отложились и отправили къ Тиберію пословъ съ просьбою дать имъ царя изъ числа заложниковъ. *Тиберій* послалъ было имъ Фраатова сына Фраата, а когда онъ умеръ въ дорогѣ — Тиридата, также происходившаго изъ царскаго рода. (3) Для того, чтобы онъ какъ можно легче получилъ царскую власть, *Тиберій* послалъ Миѳридату Иверскому письменный приказъ вторгнуться въ Арменію, дабы Артаванъ, помогая сыну, удалился изъ собственной земли. Такъ и случилось, но Тиридату не долго пришлось сидѣть на престолѣ: Артаванъ призвалъ на помощь Скиѳовъ и безъ труда изгналъ его. (4) Таковы были дѣла въ

1) 740 г. Рима=14 до Р. Хр. 2) Въ 35 г. по Р. Хр.

Digitized by Google

ἔοικε, παῖς, Φαρασμάνου δὲ τοῦ μετ' αὐτὸν τῶν Ἰβήρων βασιλεύσαντος ἀδελφὸς ἔλαβε.

Парѳіи; Арменію получилъ Миѳридатъ, какъ кажется, сынъ Миѳридата Иверскаго и братъ слѣдующаго за нимъ Иверскаго царя Фарасмана.

LIX, 12, 2. ἐν δὲ τούτῳ [ὁ Γάιος] Σοαίμῳ μὲν τὴν τῶν Ἰτυραίων τῶν Ἀράβων, Κότυϊ δὲ τήν τε Ἀρμενίαν τὴν σμικροτέραν καὶ μετὰ τοῦτο καὶ τῆς Ἀραβίας τινά, τῷ τε Ῥυμητάλκῃ τὰ τοῦ Κότυος καὶ Πολέμωνι τῷ τοῦ Πολέμωνος υἱεῖ τὴν πατρῴαν ἀρχήν, ψηφισαμένης δὴ τῆς βουλῆς, ἐχαρίσατο...

Въ это время [1]) [Гай Калигула] по рѣшенію сената подарилъ Соэму область Арабовъ Итурэевъ, Котису — Малую Армению, а потомъ и часть Аравіи, Ринталку — владѣнія Котиса и Полемонову сыну Полемону—царство его отца...

LX, 8. ...[Ἐν ἔτει 41 μ. Χρ. Κλαύδιος] τὸν Μιθριδάτην τὸν Ἴβηρα, ὃν ὁ Γάιος μεταπεμψάμενος ἐδεδέκει, οἴκαδε πρὸς ἀνάληψιν τῆς ἀρχῆς ἀπέπεμψεν. (2) ἄλλῳ τέ τινι Μιθριδάτῃ, τὸ γένος ἀπ' ἐκείνου τοῦ πάνυ ἔχοντι, τὸν Βόσπορον ἐχαρίσατο, καὶ τῷ Πολέμωνι χώραν τινὰ ἀντ' αὐτοῦ Κιλικίας ἀντέδωκε.

...[Въ 41 г. по Р. Хр. Клавдій] отпустилъ на родину для занятія престола Миѳридата Иверскаго, котораго Гай вызвалъ *въ Римъ* и заключилъ въ оковы. (2) Другому Миѳридату, ведшему свой родъ отъ знаменитаго *Миѳридата Евпатора*, онъ подарилъ Воспоръ, а Полемону далъ взамѣнъ его одну область Киликіи.

Epit. l. LXIX, 15. ὁ μὲν οὖν τῶν Ἰουδαίων πόλεμος ἐς τοῦτο ἐτελεύτησεν, ἕτερος δὲ ἐξ Ἀλβανῶν, εἰσὶ δὲ Μασσαγέται, ἐκινήθη ὑπὸ Φαρασμάνου, καὶ τὴν μὲν Μηδίαν ἰσχυρῶς ἐλύπησε, τῆς δ' Ἀρμενίας τῆς τε Καππαδοκίας ἁψάμενος, ἔπειτα τῶν Ἀλβανῶν τὰ μὲν δώροις ὑπὸ τοῦ Οὐολογαίσου πεισθέντων, τὰ δὲ καὶ Φλαούιον Ἀρριανὸν τὸν τῆς Καππαδοκίας ἄρχοντα φοβηθέντων, ἐπαύσατο.

Такъ кончилась Іудейская война [2]). Другая *война* была поднята изъ земли Албанцевъ, по происхожденію Массагетовъ, Фарасманомъ; она сильно потрясла Мидію, коснулась также Арменіи и Каппадокіи, но затѣмъ прекратилась вслѣдствіе того, что Албанцы были подкуплены дарами Вологэса, а съ другой стороны побоялись правителя Каппадокіи Флавія Арріана [3]).

(3) ὅτι Φαρασμάνῃ τῷ Ἰβηρι ἐς τὴν Ῥώμην μετὰ τῆς γυναικὸς ἐλθόντι τήν τε ἀρχὴν ἐπηύξησε καὶ θῦσαι ἐν τῷ Καπιτωλίῳ ἐφῆκεν [Ἀδριανός], ἀνδριάντα τε ἐπὶ ἵππου ἐν τῷ Ἐνυείῳ ἔστησε καὶ γυμνασίαν αὐτοῦ τε καὶ τοῦ υἱέος τῶν τε ἄλλων πρώτων Ἰβήρων ἐν ὅπλοις εἶδεν.

Когда Фарасманъ Иверскій съ супругою прибылъ въ Римъ, *Адріанъ* увеличилъ его область, позволилъ принести жертву въ Капитоліи, поставилъ его конную статую на Марсовомъ полѣ и смотрѣлъ на военныя упражненія самого *Фарасмана*, его сына и другихъ знатнѣйшихъ Иверовъ.

Epit. l. LXXI, 14. ὅτι... ὁ Μάρκος... (2) Τιριδάτην σατράπην τά τε ἐν τῇ Ἀρμενίᾳ ταράξαντα καὶ τὸν τῶν Ἡνιόχων βασιλέα ἀποσφάξαντα τῷ τε Οὐήρῳ ἐπιτιμῶντί οἱ περὶ τούτων τὸ ξίφος ἐπανατεινάμενον, μὴ κτείνας ἐς Βρεττανίαν [ἔπεμψεν]...

[Императоръ Маркъ Аврелій]... сатрапа Тиридата, произведшаго возмущеніе въ Арменіи, убившаго царя Иніоховъ и поднявшаго мечъ на Вера, когда тотъ упрекалъ его за эти *поступки*, не казнилъ, а *только* сослалъ въ Британію...

---

1) Въ 39 г. по Р. Хр. 2) Въ 133 г. по Р. Хр. 3) Извѣстный писатель. Ср. выше стр. 217.

Digitized by Google

Epit. l. LXXI, 19. ὅτι ὁ Μάρκος τοὺς πρεσβευομένους τῶν ἐθνῶν ἐδέχετο οὐκ ἐπὶ τοῖς αὐτοῖς πάντας... (2) καὶ ἐπειδὴ οἱ Ἰάζυγες χρησιμώτατοι αὐτῷ ἐγίγνοντο, πολλὰ καὶ ἐκ τῶν ἐπιτεταγμένων σφίσιν ἀφῆκε... καὶ ἐφῆκεν αὐτοῖς πρὸς τοὺς Ῥοξολάνους διὰ τῆς Δακίας ἐπιμίγνυσθαι, ὁσάκις ἂν ὁ ἄρχων αὐτῆς ἐπιτρέψῃ σφίσιν.

[Императоръ] Маркъ народы, посылавшіе къ нему посольства, принималъ не всѣ на одинаковыхъ условіяхъ... (2) Такъ какъ Язиги оказывались очень полезными для него, то онъ сложилъ многія изъ наложенныхъ на нихъ *обязательствъ*... и позволилъ имъ сноситься съ Роксоланами чрезъ Дакію всякій разъ, когда ея правитель дозволитъ имъ *это*.

Epit. LXXV, 3. ἐν δὲ τῷ καιρῷ τούτῳ τοὺς Σκύθας πολεμησείοντας βρονταί τε καὶ ἀστραπαὶ μετ' ὄμβρου καὶ κεραυνοὶ βουλευομένοις σφίσιν ἐξαίφνης ἐμπεσόντες καὶ τοὺς πρώτους αὐτῶν τρεῖς ἄνδρας ἀποκτείναντες ἐπέσχον.

Въ это время [1]) Скиѳы хотѣли было поднять войну, но ихъ удержала гроза съ дождемъ и молніи, неожиданно упавшія на нихъ во время совѣщанія и убившія трехъ лучшихъ между ними мужей.

LXXVIII, 5, 4. τῇ ὀγδόῃ τοῦ Ἀπριλίου ἐξορμήσαντά τε αὐτὸν [sc. Ἀντωνῖνον] ἐξ Ἐδέσσης ἐς Κάρρας καὶ κατελθόντα ἀπὸ τοῦ ἵππου ὅπως ἀποπατήσει, προσελθὼν ὁ Μαρτιάλιος ὡς γε εἰπεῖν τι δεόμενος ἐπάταξε ξιφιδίῳ μικρῷ. καὶ αὐτὸς μὲν αὐτίκα ἀπέφυγε καὶ διέλαθεν ἂν εἰ τὸ ξίφος ἀπερρίφει· (5) νῦν δὲ γνωρισθεὶς ἀπ' αὐτοῦ ὑπό τινος τῶν Σκυθῶν τῶν σὺν Ἀντωνίνῳ ὄντων κατηκοντίσθη... ὁ δὲ δὴ Σκύθης οὗτος οὐχ ὡς καὶ συμμαχῶν αὐτῷ μόνον, ἀλλ' ὡς καὶ φρουρὰν αὐτοῦ τρόπον τινὰ ἔχων συνῆν. (6) καὶ γὰρ Σκύθας καὶ Κελτούς, οὐ μόνον ἐλευθέρους ἀλλὰ καὶ δούλους, καὶ ἀνδρῶν καὶ γυναικῶν ἀφελόμενος, ὡπλίκει καὶ περὶ αὑτὸν εἶχεν, ὡς καὶ μᾶλλον αὐτοῖς ἢ τοῖς στρατιώταις θαρσῶν· τά τε γὰρ ἄλλα καὶ ἑκατονταρχίαις σφᾶς ἐτίμα λέοντάς τε ἐκάλει...

Восьмого апрѣля [217 г.], когда Антонинъ [Каракалла] выѣхалъ изъ Едессы въ Карры и *на дорогѣ* сошелъ съ коня для естественной надобности, Марціалій, приблизившись какъ бы съ цѣлью что-то сказать *ему*, поразилъ *его* маленькимъ мечомъ и немедленно бросился бѣжать; ему удалось бы скрыться, если-бы онъ *догадался* бросить мечъ; (5) а то онъ былъ узнанъ именно по мечу и убитъ ударомъ копья однимъ Скиѳомъ изъ свиты Антонина... Этотъ Скиѳъ былъ при Антонинѣ не только въ качествѣ союзника, но нѣкоторымъ образомъ и въ видѣ тѣлохранителя; (6) ибо *Антонинъ* Скиѳовъ и Кельтовъ, не только свободныхъ, но и рабовъ, отнявъ отъ мужей и женъ, вооружилъ и имѣлъ при себѣ, довѣряя имъ болѣе, нежели *собственнымъ* воинамъ; онъ давалъ имъ разныя награды, отличалъ званіемъ сотниковъ и называлъ львами...

ΑΣΙΝΙΟΣ ΚΟΥΑΔΡΑΤΟΣ. АЗИНІЙ КВАДРАТЪ.

[По словамъ Свиды—«Римскій историкъ, написавшій на іоническомъ діалектѣ Римскую исторію въ 15 книгахъ подъ заглавіемъ Χιλιετηρίς (тысячелѣтіе), обнимавшую собою время отъ основанія Рима до Кесаря Александра, сына Мамэи (т. е. Севера)». Кромѣ того онъ написалъ подъ заглавіемъ Παρθικὰ или Παρθυνικὰ исторію Парѳянской войны 161 — 165 г. по Р. Хр. По предположенію Мюллера онъ жилъ между 160 и 230 г. по Р. Хр. — Собраніе отрывковъ — Müller, FHG. III, pp. 659—662].

ΠΑΡΘΙΚΑ. E libris 2 (aut 6) et 3 fragmm. 6 et 8 v. supra (p. 270) ap. Steph. Byz. s. vv. Ὠβαρηνοί et Ὠτηνή.

---

1) 196 г. по Р. Хр.

Digitized by Google

ΑΘΗΝΑΙΟΣ.

АѲИНЭЙ.

[Уроженецъ эгипетскаго города Навкратиса, жившій въ концѣ II и началѣ III в. по Р. Хр., авторъ сохранившагося до насъ сочиненія «Δειπνοσοφισταί» въ 15 кн.—Текстъ: Athenaei Naucratitae Dipnosophistarum libri XV. Rec. Georgius Kaibel. 3 voll. Lips. ap. Teubn. 1887—1890].

ΔΕΙΠΝΟΣΟΦΙΣΤΑΙ.

II c. 18 (p. 43 *c*)... Ἡρόδοτος ἐν τετάρτῃ τὸν Ὑπανίν φησιν ἀπὸ μὲν τῶν πηγῶν φερόμενον ἐπὶ πέντε ἡμέρας βραχὺν εἶναι καὶ γλυκύν, μετὰ δὲ ἄλλων τεσσάρων ἡμερῶν πλόον πικρὸν γίνεσθαι ἐκδιδούσης εἰς αὐτὸν κρήνης τινὸς πικρᾶς.

II c. 67 (p. 64 *d*)... Θεόφραστος ἐν ζ' Φυτικῶν ἐνιαχοῦ, φησίν, οὕτω γλυκεῖς εἰσιν οἱ βολβοὶ ὥστε καὶ ὠμοὺς ἐσθίεσθαι, ὥσπερ ἐν τῇ Ταυρικῇ χερρονήσῳ. τὰ αὐτὰ ἱστορεῖ καὶ Φαινίας.

III c. 88, p. 119 *a* [Цитируются стихи Сопатра Паѳійскаго]:

ἐδέξατ' ἀνταχαῖον, ὃν τρέφει μέγας
Ἴστρος Σκύθαισιν ἡμίνηρον ἡδονήν.

ОБѢДЪ СОФИСТОВЪ.

...Иродотъ въ четвертой книгѣ [1]) говоритъ, что Ипанидъ на пространствѣ пяти дней *пути* отъ источниковъ мелокъ и пресенъ, а затѣмъ на четыре дня плаванія становится горькимъ вслѣдствіе впаденія одного горькаго источника.

Ѳеофрастъ въ 7-й *книгѣ соч.* «О растеніяхъ» [2]) говоритъ: «въ нѣкоторыхъ мѣстностяхъ лукъ бываетъ такъ сладокъ, что его ѣдятъ сырымъ, какъ напр. на Таврическомъ полуостровѣ». То-же самое говоритъ и Фэній [3]).

«Онъ получилъ осетра, котораго кормитъ великій Истръ, малосольное лакомство для Скиѳовъ».

V c. 50, p. 213 *d*. [Цитируется изъ Посидонія Апамейскаго [4]) рѣчь Аѳинскаго тиранна Аѳинніона къ Аѳинянамъ].

...Βασιλεὺς Μιθριδάτης κρατεῖ μὲν Βιθυνίας καὶ τῆς ἄνω Καππαδοκίας, κρατεῖ δὲ τῆς συνεχοῦς Ἀσίας ἁπάσης ἄχρι Παμφυλίας καὶ Κιλικίας. καὶ βασιλεῖς μὲν αὐτὸν Ἀρμενίων καὶ Περσῶν δορυφοροῦσι, δυνάσται δὲ τῶν περὶ τὴν Μαιῶτιν καὶ τὸν ὅλον Πόντον κατῳκισμένων ἐθνῶν ἐν περιμέτρῳ τρισμυρίων σταδίων...

...Царь Миѳридатъ владѣетъ Виѳиніей и верхней Каппадокіей, а также всѣми сосѣдними областями Азіи до Памфиліи и Киликіи; его почитаютъ цари Арманъ и Персовъ, и властители народовъ, живущихъ кругомъ Меотиды и всего Понта на пространствѣ 30000 стадій...

VI c. 9, p. 226 *d*: [Ἀντιφάνης ἐν Μισοπονήρῳ φησίν·]

εἶτ' οὐ σοφοὶ δῆτ' εἰσὶν οἱ Σκύθαι σφόδρα;
οἳ γενομένοισιν εὐθέως τοῖς παιδίοις
διδόασιν ἵππων καὶ βοῶν πίνειν γάλα·
Β. οὐ μὰ Δία τιτθὰς εἰσάγουσι βασκάνους
καὶ παιδαγωγοὺς αὐθις...

[Антифанъ [5]) въ «Зломенавистникѣ» говоритъ]: «Затѣмъ, развѣ не весьма мудры Скиѳы? они новорожденнымъ дѣтямъ даютъ пить кобылье и коровье молоко». — В. «А не приставляютъ къ нимъ, клянусь Зевсомъ, зловредныхъ кормилицъ и дядекъ»...

1) Cap. 52 (v. supra, p. 23). 2) VII, 13, 8 (v. supra, p. 386). 3) Fr. hist. Gr. II p. 300. 4) V. supra, p. 452. 5) Одинъ изъ представителей «средней комедіи», жившій въ IV в. до Р. Хр.

Digitized by Google

VI c. 23 (p. 233 *d*)... Τὰ πάλαι μὲν Ῥιπαῖα καλούμενα ὄρη, εἶθ' ὕστερον Ὄλβια προσαγορευθέντα, νῦν δὲ Ἄλπια (ἔστι δὲ τῆς Γαλατίας) αὐτομάτως ὕλης ἐμπρησθείσης ἀργύρῳ διερρύη...

...Изъ горъ, въ древности называвшихся Рипейскими, впослѣдствіи получившихъ названіе Ольвійскихъ, а нынѣ называемыхъ Альпійскими (онѣ находятся въ Галліи), однажды при лѣсномъ пожарѣ само собою потекло серебро...

VI c. 71 (p. 257 *e*). Ἀλλ' οὐ Λεύκων τοιοῦτος ἦν ὁ Ποντικὸς τύραννος, ὃς ἐπεὶ συχνοὺς τῶν φίλων ᾔσθετο σεσυληµένους ὑπό ‹τινος› τῶν περὶ αὐτὸν κολάκων, συνιδὼν τὸν ἄνθρωπον διαβάλλοντά τινα τῶν λοιπῶν φίλων 'ἀπέκτεινα ἄν, εἶπέν, σε νὴ τοὺς θεούς, εἰ μὴ πονηρῶν ἀνδρῶν ἡ τυραννὶς ἐδεῖτο'.

Не таковъ былъ Понтійскій тиранъ Левконъ [1]), который, узнавши, что многіе изъ его друзей ограблены однимъ изъ окружавшихъ его льстецовъ, и увидѣвъ, что этотъ послѣдній клевещетъ на одного изъ остальныхъ друзей, сказалъ ему: «я убилъ бы тебя, клянусь богами, если бы тиранніи не нуждалась въ негодяяхъ».

VI c. 91 (p. 266 *e*)... Νικόλαος ὁ περιπατητικὸς καὶ Ποσειδώνιος ὁ στωικὸς ἐν ταῖς ἱστορίαις ἑκάτερος τοὺς Χίους φασὶν ἐξανδραποδισθέντας ὑπὸ Μιθριδάτου τοῦ Καππάδοκος παραδοθῆναι τοῖς ἰδίοις δούλοις δεδεμένους, ἵν' εἰς τὴν Κόλχων γῆν κατοικισθῶσιν...

...Перипатетикъ Николай [2]) и стоикъ Посидоній [3]) въ своихъ «Исторіяхъ» говорятъ, что Хіосцы, порабощенные Митридатомъ Каппадокійскимъ, были переданы въ оковахъ своимъ собственнымъ рабамъ для поселенія въ землѣ Колховъ...

VI c. 109 (p. 277 *f*)... Κάτων ἐκεῖνος, ὡς Πολύβιος ἱστορεῖ ἐν τῇ πρώτῃ καὶ τριακοστῇ τῶν ἱστοριῶν, ἐδυσχέραινε καὶ ἐκεκράγει, ὅτι τινὲς τὰς ξενικὰς τρυφὰς εἰσήγαγον εἰς τὴν Ῥώμην, τριακοσίων μὲν δραχμῶν κεράμιον ταρίχων Ποντικῶν ὠνησάμενοι...

...Извѣстный Катонъ, какъ разсказываетъ Полибій въ 31-й *книгѣ своей* исторіи [4]), съ негодованіемъ кричалъ *о томъ*, что нѣкоторые ввели въ Римъ чужеземную роскошь, покупая за 300 драхмъ боченокъ Понтійской соленой рыбы...

VII c. 21 (p. 284 *e*)... Ὁ καλὸς Οὐλπιανὸς ζητείτω κατὰ τί Ἀρχέστρατος ἐν ταῖς καλαῖς ὑποθήκαις περὶ τῶν ἐν Βοσπόρῳ ταρίχων εἰπών·

Βοσπόρου ἐκπλεύσαντα τὰ λευκότατ', ἀλλὰ προσέστω
μηδὲν ἐκεῖ στερεᾶς σαρκὸς Μαιώτιδι λίμνῃ
ἰχθύος αὐξηθέντος, ὃν ἐν μέτρῳ οὐ θέμις εἰπεῖν

τίς οὗτός ἐστιν ὃν φησιν οὐ θεμιτὸν εἶναι ἐμμέτρως εἰπεῖν;

...Любезный Ульпіанъ пусть попщетъ, почему Архестратъ [5]) въ своихъ прекрасныхъ «Запискахъ о Воспорской соленой рыбѣ» сказалъ: «Выплывшія изъ Воспора *рыбы* — самыя бѣлыя, но между ними не должно быть твердаго мяса выросшей въ Меотійскомъ озерѣ рыбы, которой названіе нельзя помѣстить въ стихѣ». Что это за рыба, которой, по словамъ Архестрата, нельзя назвать въ метрическомъ произведеніи?

VII c. 88 (p. 312 *a*)... Φέρει δ' ὁ Νεῖλος καὶ ἄλλα γένη πολλὰ ἰχθύων... φέρει δὲ καὶ τοὺς μαιώτας καλουμένους, ὧν μνημονεύει Ἄρχιππος ἐν Ἰχθύσι διὰ τούτων·

...Нилъ доставляетъ и многія другія породы рыбъ... а также такъ называемыхъ меотовъ, о которыхъ упоминаетъ Архиппъ [6]) въ «Рыбахъ» въ слѣдующихъ словахъ: «ме-

1) Вѣроятно Левконъ I (387—347 до Р. Хр.). 2) Fr. hist. Gr. III p. 415. 3) Ibid. p. 265, fr. 39 (v. supra, p. 452). 4) Cf. supra p. 440 sq. 5) Извѣстный авторъ гастрономической поэмы Ἡδυπάθεια, жившій въ IV в. до Р. Хр. См. *Archestrati Syracusii s. Gelensis reliquiae* rec. W. Ribbeck, Berl. 1877; *De Archestrati Gelensis et Qu. Ennii fragmentis quibusdam* scr. G. Schmid (Журн. М. Н. Пр., іюль 1896). 6) Одинъ изъ представителей «средней комедіи», младшій современникъ Аристофана.

Digitized by Google

τοὺς μαιώτας καὶ σαπέρδας καὶ γλάνιδας. εἰσὶ δὲ πολλοὶ περὶ τὸν Πόντον, φέροντες τὴν ὀνομασίαν ἀπὸ τῆς λίμνης τῆς Μαιώτιδος...

отовъ и сельдей и сомовъ». *Мэоты* водятся въ изобилiи въ Понтѣ и имѣютъ названiе отъ Мэотiйскаго озера...

VIII c. 9 (p. 334 *a*)... Οἶδα δὲ καὶ Φύλαρχον εἰρηκότα που περὶ μεγάλων ἰχθύων καὶ τῶν συμπεμφθέντων αὐτοῖς σύκων χλωρῶν, ὅτι αἰνιττόμενος Πάτροκλος ὁ Πτολεμαίου στρατηγὸς Ἀντιγόνῳ τῷ βασιλεῖ ἔπεμπεν, ὡς Δαρείῳ Σκύθαι ἐπαρχομένῳ αὐτῶν τῇ χώρᾳ. ἔπεμψαν γὰρ οὗτοι μέν, ὥς φησιν Ἡρόδοτος, ὄρνιν καὶ ὀιστὸν καὶ βάτραχον· ἄλλ' ὅ γε Πάτροκλος ὡς διὰ τῆς τρίτης τῶν Ἱστοριῶν φησιν ὁ Φύλαρχος, πεμφθέντων τῶν προειρημένων σύκων καὶ ἰχθύων...

...Я знаю, что Филархъ [1]) гдѣ-то говоритъ о большихъ рыбахъ и посланныхъ вмѣстѣ съ ними сырыхъ смоквахъ, — что Птолемэевъ полководецъ Патроклъ послалъ ихъ въ видѣ загадки къ царю Антигону, подобно тому, какъ Дарiю *посылали* Скиѳы при его нашествiи на нихъ землю: по словамъ Иродота [2]), они послали ему птицу, стрѣлу и лягушку. Но Патроклъ, какъ говоритъ Филархъ въ 3-й *книгѣ* исторiи, послалъ вышеупомянутыя смоквы и рыбъ...

IX c. 38 (p. 387 *c*—*e*)... Ἀγαθαρχίδης ὁ Κνίδιος ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν περὶ τοῦ Φάσιδος ποταμοῦ τὸν λόγον ποιούμενος γράφει καὶ ταῦτα· 'πλῆθος δ' ὀρνίθων τῶν καλουμένων φασιανῶν φοιτᾷ τροφῆς χάριν πρὸς τὰς ἐκβολὰς τῶν στομάτων'... Ἀρτεμίδωρος δὲ ὁ Ἀριστοφάνειος ἐν ταῖς ἐπιγραφομέναις Ὀψαρτυτικαῖς γλώσσαις καὶ Πάμφιλος ὁ Ἀλεξανδρεὺς ἐν τοῖς περὶ ὀνομάτων καὶ γλωσσῶν Ἐπαίνετον παρατίθεται λέγοντα ἐν τῷ Ὀψαρτυτικῷ ὅτι ὁ φασιανὸς ὄρνις τατύρας καλεῖται. Πτολεμαῖος δ' ὁ Εὐεργέτης ἐν δευτέρῳ ὑπομνημάτων τέταρόν φησιν ὀνομάζεσθαι τὸν φασιανὸν ὄρνιν...

...Агаѳархидъ Книдскiй [3]) въ 34-й *книгѣ* «Исторiи Европы», говоря о рѣкѣ Фасидѣ, пишетъ между прочимъ: «множество птицъ, называемыхъ фасiанскими (= фазанами), для *отысканiя себѣ* пищи спускается до самыхъ устьевъ»... Артемидоръ Аристофановскiй [4]) въ соч. подъ заглавiемъ «Поварскiя замѣтки» и Памфилъ Александрiйскiй [5]) въ соч. «Объ именахъ и замѣткахъ» цитируютъ Епэнета, говорящаго въ «Поварской *книгѣ*», что фазанъ называется татиромъ: а Птолемэй Евергетъ [6]) во 2-й *книгѣ* «Записокъ» говоритъ, что фазанъ называется тетаромъ...

IX c. 79 (p. 410 *b*—*c*)... Χειρόμακτρον δὲ καλεῖται ᾧ τὰς χεῖρας ἀπεμάττοντο ὠμολίνῳ... Σοφοκλῆς Οἰνομάῳ·

σκυθιστὶ χειρόμακτρον ἐκκεκαρμένος.

...Ручникомъ называется *кусокъ* суроваго полотна, которымъ вытирали руки. Софоклъ въ «Иномаѣ» *говоритъ*: «остриженный по-скиѳски, *какъ* ручникъ» (?).

X c. 29 (p. 427 *a*—*c*)... [Ἀνακρέων] τὴν ἀκρατοποσίαν Σκυθικὴν καλεῖ πόσιν

ἄγε δῆτε, μηκέθ' οὕτω
πατάγῳ τε καλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἶνῳ
μελετῶμεν, ἀλλὰ καλοῖσ'
ὑποπίνοντες ἐν ὕμνοις.

καὶ Λακεδαιμόνιοι δ', ὡς φησιν Ἡρόδοτος ἐν τῇ ἕκτῃ, Κλεομένη τὸν βασιλέα Σκύθαις ὁμιλήσαντα καὶ ἀκρατοπότην γενόμενον ἐκ

...[Анакреонтъ] называетъ питье цѣльнаго вина скиѳскимъ питьемъ:

Ну, *друзья*, не будемъ больше
Съ такимъ шумомъ и ораньемъ
Подражать попойкѣ скиѳской
За виномъ, а будемъ тихо
Пить подъ звуки славныхъ гимновъ.

И Лакедэмоняне, какъ говоритъ Иродотъ въ 6-й *книгѣ* [7]), говорятъ, что царь Клеоменъ, сдружившись со Скиѳами и сдѣлав-

1) V. supra p. 437. 2) Her. IV, 131 (v. supra, p. 51). 3) V. supra, p. 439.
4) Грамматикъ, жившiй въ I в. до Р. Хр. Ср. о немъ *Ahrens*, Bucol. Gr. reliquiae v. II (Lips. 1858) p. XXXV sq. 5) Грамматикъ Аристарховой школы, жилъ въ серединѣ I в. по Р. Хр.
6) V. supra p. 451. 7) VI, 84 (v. supra, p. 56).

Digitized by Google

τῆς μέθης φασὶ μανῆναι. καὶ αὐτοὶ δ' οἱ Λάκωνες, ὅταν βούλωνται ἀκρατέστερον πίνειν, ἐπισκυθίσαι λέγουσι. Χαμαιλέων γοῦν ὁ Ἡρακλεώτης ἐν τῷ περὶ μέθης περὶ τούτων οὕτως γράφει· ἐπεὶ καὶ Κλεομένη τὸν Σπαρτιάτην φασὶν οἱ Λάκωνες μανῆναι διὰ τὸ Σκύθαις ὁμιλήσαντα μαθεῖν ἀκρατοποτεῖν. ὅθεν ὅταν βούλωνται πιεῖν ἀκρατέστερον, 'ἐπισκύθισον' λέγουσιν'. Ἀχαιὸς δ' ἐν Αἴθωνι σατυρικῷ τοὺς σατύρους ποιεῖ δυσχεραίνοντας ἐπὶ τῷ ὑδαρῆ πίνειν καὶ λέγοντας·

μῶν Ἀχελῶος ἐγκεκραμένος πολύς;
Β. ἀλλ' οὐδὲ λεῖξαι τοῦδε τῷ γένει θέμις.
Α. καλῶς μὲν οὖν ἄγειν... Σκύθῃ πιεῖν.

шись пьяницею, отъ пьянства сошелъ съ ума. И сами Лаконцы, когда захотятъ пить вино менѣе разбавленнымъ, называютъ это «подскиѳить». По крайней мѣрѣ Хамэлеонтъ Ираклійскій [1]) въ *соч.* о пьянствѣ пишетъ объ этомъ такъ: «Лаконцы говорятъ, что и Клеоменъ Спартіатъ сошелъ съ ума вслѣдствіе того, что, одружившись со Скиѳами, пріучился пить цѣльное вино; поэтому, желая выпить менѣе разбавленнаго вина, они говорятъ «подскиѳь». Ахэй же [2]) въ сатировской пьесѣ «Ѳеонъ» представляетъ сатировъ негодующими на питье слишкомъ разбавленнаго *вина* и говорящими:

Не слишкомъ ли много подмѣшано Ахелоя?
Б. Этого даже полизать нельзя роду.
А. Итакъ прекрасно вести... Скиѳу выпить.

X c. 32 (p. 428 *d*)... Ἀνάχαρσις ὁ σοφὸς ἐπιδεικνύμενος τὴν τῆς ἀμπέλου δύναμιν τῷ τῶν Σκυθῶν βασιλεῖ καὶ τὰ κλήματα αὐτῆς δεικνὺς ἔλεγεν ὡς εἰ μὴ καθ' ἕκαστον ἔτος ἔτεμνον οἱ Ἕλληνες τὴν ἄμπελον, ἤδη κἂν ἐν Σκύθαις ἦν.

...Мудрецъ Анахарсидъ, объясняя Скиѳскому царю *производительную* силу виноградной лозы и показывая ея отводки, сказалъ, что если бы Эллины ежегодно не подрѣзывали лозу, то она уже была бы и въ Скиѳіи.

X c. 50 (p. 437 *f*)... Ἀνάχαρσις ὁ Σκύθης παρὰ Περιάνδρῳ τεθέντος ἄθλου περὶ τοῦ πίνειν ᾔτησε τὸ νικητήριον πρῶτος μεθυσθεὶς τῶν συμπαρόντων, ὡς ὄντος τέλους τούτου καὶ τῆς ἐν τῷ πότῳ νίκης ὥσπερ καὶ τῆς ἐν τῷ τρέχειν...

...Скиѳъ Анахарсидъ, когда у Періандра былъ предложенъ призъ за питье, опьянѣвъ первымъ изъ присутствующихъ, потребовалъ себѣ награду, *говоря*, что въ этомъ заключается цѣль состязанія въ питьѣ, подобно тому какъ и въ бѣгѣ...

XII c. 27 (p. 524 *c*)... Καὶ περὶ ΣΚΥΘΩΝ δ' ἑξῆς ὁ Κλέαρχος τάδε ἱστορεῖ· 'μόνον δὲ νόμοις κοινοῖς πρῶτον ἔθνος ἐχρήσατο τὸ Σκυθῶν· εἶτα πάλιν ἐγένοντο πάντων ἀθλιώτατοι βροτῶν [4]) διὰ τὴν ὕβριν. ἐτρύφησαν μὲν γὰρ ὡς οὐδένες ἕτεροι, τῶν πάντων εὐροίας καὶ πλούτου καὶ τῆς λοιπῆς αὐτοὺς χορηγίας κατασχούσης. τοῦτο δὲ δῆλον ἐκ τῆς ἔτι καὶ νῦν ὑπολειπούσης περὶ τοὺς ἡγεμόνας αὐτῶν ἐσθῆτός τε καὶ διαίτης. τρυφήσαντες δὲ καὶ μάλιστα δὴ καὶ πρῶτοι πάντων τῶν ἀνθρώπων ἐπὶ τὸ τρυφᾶν ὁρμήσαντες εἰς τοῦτο προῆλθον ὕβρεως, ὥστε πάντων τῶν ἀνθρώπων εἰς οὓς ἀφίκοιντο ἠκρωτηρίαζον τὰς ῥῖνας. [ἀφ']

Затѣмъ относительно Скиѳовъ Клеархъ [3]) разсказываетъ слѣдующее: «Сначала одинъ только Скиѳскій народъ пользовался общими законами; затѣмъ они снова сдѣлались «несчастнѣйшими изъ всѣхъ смертныхъ» вслѣдствіе своихъ насильственныхъ поступковъ: они предались роскоши, какъ никто другой, вслѣдствіе удачъ во всемъ, богатства и прочаго благосостоянія. Это очевидно изъ остающейся еще до сихъ поръ одежды и образа жизни ихъ старшинъ. Предавшись же роскоши и притомъ устремившись къ ней первыми изъ всѣхъ людей, они дошли до такой степени жестокости, что у всѣхъ людей, съ которыми

V. 15: «οὐκ ἂν ἐγχέοις Sx. Mein[eke], latent alia». Kaibel. || V. 42: ἀφ' del. Kaibel; Rhinocoruritas significari vidit Schw., cf. Strab. 16 p. 759.

1) Философъ-перипатетикъ, жилъ во 2-й пол. IV в. до Р. Хр. См. о немъ *Köpke*, De Chamaeleonte Heracleota, Berol. 1856. 2) Трагикъ, младшій современникъ Софокла. 3) V. supra, p. 389. 4) Eur. Antig. fr. 158 N.

Digitized by Google

ὧν οἱ ἀπόγονοι μεταστάντες ἔτι καὶ νῦν ἀπὸ τοῦ πάθους ἔχουσι τὴν ἐπωνυμίαν. αἱ δὲ γυναῖκες αὐτῶν τὰς Θρᾳκῶν τῶν πρὸς ἑσπέραν καὶ ἄρκτον [τῶν] περιοίκων γυναῖκας ἐποίκιλλον τὰ σώματα, περόναις γραφὴν ἐνεῖσαι. ὅθεν πολλοῖς ἔτεσιν ὕστερον αἱ ὑβρισθεῖσαι τῶν Θρᾳκῶν γυναῖκες ἰδίως ἐξηλείψαντο τὴν συμφορὰν προσκαταγραψάμεναι τὰ λοιπὰ τοῦ χρωτός, ἵν' ὁ τῆς ὕβρεως καὶ τῆς αἰσχύνης ἐπ' αὐταῖς χαρακτὴρ εἰς ποικιλίαν καταριθμηθεὶς κόσμου προσηγορίᾳ τοὔνειδος ἐξαλείψῃ. πάντων δὲ οὕτως ὑπερηφάνως προέστησαν ὥστε οὐδένων ἄδακρυς ἡ τῆς δουλείας ὑπουργία γιγνομένη διήγγειλεν εἰς τοὺς ἐπιγιγνομένους τὴν ἀπὸ Σκυθῶν ῥῆσιν οἵα τις ἦν. διὰ τὸ πλῆθος οὖν τῶν κατασχουσῶν αὐτοὺς συμφορῶν, ἐπεὶ διὰ τὸ πένθος ἅμα τόν τε τῶν βίων ὄλβον καὶ τὰς κόμας περιεσπάσθησαν, παντὸς ἔθνους οἱ ἔξω τὴν ἐφ' ὕβρει κουρὰν ἀπεσκυθίσθαι προσηγόρευσαν'.

вступали въ сношенія, стали обрѣзывать концы носовъ; ихъ потомки, удалившіеся съ родины, до сихъ поръ носятъ названіе, *заимствованное* отъ этого несчастія. А женщины ихъ татуировали тѣла женщинъ Ѳракійцевъ, жившихъ вокругъ нихъ къ западу и къ сѣверу, накалывая рисунки булавками. Много лѣтъ спустя пострадавшія *такимъ образомъ* Ѳракійскія женщины особеннымъ способомъ изгладили слѣды своего несчастія: онѣ расписали и остальныя части тѣла, для того чтобы бывшіе на нихъ знаки насилія и стыда, войдя въ составъ разнообразныхъ рисунковъ, именемъ украшенія изгладили позоръ. Они надъ всѣми господствовали такъ надменно, что рабское служеніе у нихъ, для всѣхъ соединенное съ слезами, разгласило и въ послѣдующихъ поколѣніяхъ, что значило «выраженіе отъ Скиѳовъ». Итакъ вслѣдствіе множества постигшихъ ихъ несчастій, такъ какъ они отъ печали *уничтожили* удобства жизни и обрѣзали кругомъ волосы, всѣ чужіе *народы* назвали стрижку всего народа, *дѣлаемую* въ знакъ несчастія, ἀπεσκυθίσθαι (оскиѳиться)».

XII c. 26 (p. 523 *e*). Μιλήσιοι δ' ἕως μὲν οὐκ ἐτρύφων, ἐνίκων Σκύθας, ὥς φησιν Ἔφορος, καὶ τάς τε ἐφ' Ἑλλησπόντῳ πόλεις ἔκτισαν καὶ τὸν Εὔξεινον Πόντον κατῴκισαν πόλεσι λαμπραῖς...

По словамъ Ефора[1]) Милитяне, пока не предались роскоши, побѣждали Скиѳовъ, основали города на Геллеспонтѣ и заселили славными городами Понтъ Евксинскій...

XIII c. 36 (p. 575)... οὐ χρὴ δὲ θαυμάζειν εἰ ἐξ ἀκοῆς τινες ἠράσθησάν τινων, ὁπότε Χάρης ὁ Μυτιληναῖος ἐν τῇ δεκάτῃ τῶν Ἱστοριῶν τῶν περὶ Ἀλέξανδρόν φησιν ὀνείρατι θεασαμένους τινὰς οὓς μὴ πρότερον εἶδον ἐρασθῆναι αὐτῶν· γράφει δὲ οὕτως «Ὑστάσπῃ νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης, περὶ ὧν λέγουσιν οἱ ἐπιχώριοι ὅτι ἐξ Ἀφροδίτης καὶ Ἀδώνιδος ἐγεννήθησαν. ἐκυρίευσε δὲ ὁ μὲν Ὑστάσπης Μηδίας καὶ τῆς ὑποκάτω χώρας, ὁ δὲ Ζαριάδρης τῆς ὑπεράνω Κασπίων πυλῶν μέχρι τοῦ Τανάιδος. τῶν δὲ ἐπέκεινα τοῦ Τανάιδος Ὁμάρτῃ βασιλεῖ Μαραθῶν θυγάτηρ ἦν ὄνομα Ὀδάτις· περὶ ἧς ἐν ταῖς ἱστορίαις γέγραπται ὡς ἄρα κατὰ τὸν ὕπνον ἰδοῦσα

...Не слѣдуетъ удивляться тому, что нѣкоторые влюблялись въ другихъ по слуху, если Харитъ Митиленскій[2]) въ 10-й книгѣ «Исторіи Александра» разсказываетъ, что нѣкоторые, увидѣвъ во снѣ *такихъ лицъ*, которыхъ раньше не видали, влюблялись въ нихъ. Онъ пишетъ такъ: «У Истаспа былъ младшій братъ Заріадръ; туземцы говорятъ о нихъ, что они родились отъ Афродиты и Адонида. Истаспъ владѣлъ Мидіею и нижней страной, а Заріадръ — *областью*, *лежащею* выше Каспійскихъ воротъ до Танаида. У Омарта, царя Мараѳовъ, жившихъ по ту сторону Танаида, была дочь по имени Одатида. О ней записано въ историческихъ сочиненіяхъ, что

V. 4: «τῶν del. Wittenbach, sed fort. περιοικούντων fuit». Kaib. || V. 17: «αὐτοὺς i. e. *Scythas*, narratio non satis plana». Kaib. || V. 20: «παντὸς ἔθνους verba vix integra». Kaib. || V. 40: Μαραθῶν] Σαρματῶν Holsten.

1) V. supra, p. 362. 2) Историкъ, занимавшій должность докладчика (εἰσαγγελεύς) при дворѣ Александра Великаго.

Digitized by Google

τὸν Ζαριάδρην ἐρασθείη, τὸ δ' αὐτὸ τοῦτο κἀκείνῳ πάθος συμπεσεῖν πρὸς αὐτήν. διετέλουν οὖν ἀλλήλων ἐπιθυμοῦντες διὰ τὴν κατὰ τὸν ὕπνον φαντασίαν. ἦν δὲ ἡ Ὀδάτις καλλίστη τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν, καὶ ὁ Ζαριάδρης δὲ ἦν καλός. πέμποντος οὖν τοῦ Ζαριάδρου πρὸς τὸν Ὁμάρτην καὶ φιλοτιμουμένου γῆμαι τὴν ἄνθρωπον, οὐ συνετίθετο ὁ Ὁμάρτης διὰ τὸ εἶναι ἀρρένων παίδων ἔρημος· ἤθελεν γὰρ αὐτὴν δοῦναι ἑνὶ τῶν περὶ αὐτὸν οἰκείων. καὶ μετ' οὐ πολὺν χρόνον ὁ Ὁμάρτης συναγαγὼν τοὺς ἐκ τῆς βασιλείας δυνάστας καὶ φίλους καὶ συγγενεῖς ἐποιεῖτο τοὺς γάμους, οὐ προειπὼν ὅτῳ μέλλοι διδόναι τὴν θυγατέρα. ἀκμαζούσης οὖν τῆς μέθης εἰσκαλέσας τὴν Ὀδάτιν ὁ πατὴρ εἰς τὸ συμπόσιον εἶπεν ἀκουόντων τῶν συνδείπνων· 'ἡμεῖς, ὦ θύγατερ Ὀδάτι, νῦν ποιούμεθα τοὺς σοὺς γάμους. περιβλέψασα οὖν καὶ θεωρήσασα πάντας λαβοῦσα χρυσῆν φιάλην καὶ πληρώσασα δὸς ᾧ θέλεις [γαμηθῆναι]· τούτου γὰρ κεκλήσῃ γυνή'. κἀκείνη περιβλέψασα πάντας ἀπῆει δακρύουσα, ποθοῦσα τὸν Ζαριάδρην ἰδεῖν· ἐπεστάλκει γὰρ αὐτῷ ὅτι μέλλουσιν οἱ γάμοι συντελεῖσθαι. ὁ δὲ στρατοπεδεύων ἐπὶ τοῦ Τανάιδος [καὶ] διαλαθὼν τὴν στρατοπεδείαν διέβη μετὰ μόνου τοῦ ἁρματηλάτου καὶ νυκτὸς ὁρμήσας ἐπὶ τοῦ ἅρματος δῆλθεν διὰ γῆς πολλῆς, διώξας περὶ τοὺς ὀκτακοσίους σταδίους. πλησίον δὲ τῆς κώμης γενόμενος ἐν ᾗ τοὺς γάμους συνετέλουν καὶ καταλιπὼν ἔν τινι τόπῳ αὐτῷ ἅρματι τὸν ἁρματηλάτην προῆγεν ἐνδεδυκὼς στολὴν Σκυθικήν. καὶ παρελθὼν εἰς τὴν αὐλὴν καὶ ἰδὼν τὴν Ὀδάτιν ἑστηκυῖαν πρὸ τοῦ κυλικείου καὶ δακρύουσαν κιρνᾶσάν τε βραδέως τὴν φιάλην εἶπεν πλησίον στὰς παρ' αὐτήν· 'ὦ Ὀδάτι, πάρειμι δή σοι καθάπερ ἠξίωσας, ἐγὼ Ζαριάδρης'. ἡ δὲ κατανοήσασα ξένον ἄνδρα καὶ καλὸν καὶ ὅμοιον τῷ κατὰ τὸν ὕπνον ἐωραμένῳ περιχαρὴς γενομένη δίδωσιν αὐτῷ τὴν φιάλην· καὶ ὃς ἁρπάσας αὐτὴν ἀπήγαγεν ἐπὶ τὸ ἅρμα καὶ ἔφυγεν ἔχων τὴν Ὀδάτιν· οἱ δὲ παῖδες καὶ αἱ θεράπαιναι συνειδυῖαι τὸν ἔρωτα κατεσιώπησαν καὶ κελεύοντος τοῦ πατρὸς λαλεῖν οὐκ ἔφασαν εἰδέναι ὅπου πεπόρευται. μνημονεύεται δὲ ὁ ἔρως οὗτος παρὰ τοῖς τὴν Ἀσίαν οἰκοῦσι βαρβάροις καὶ περισσῶς ἐστι ζηλωτός, καὶ τὸν μῦθον τοῦτον ζωγραφοῦσιν ἐν τοῖς ἱεροῖς καὶ τοῖς βασιλείοις, ἔτι δὲ ταῖς ἰδιωτικαῖς οἰκίαις· καὶ ταῖς

будто бы она влюбилась въ Заріадра, увидѣвъ его во снѣ, и что послѣднимъ овладѣла такая же страсть къ ней. Итакъ они постоянно томились желаніемъ *увидѣть* другъ друга вслѣдствіе полученнаго во снѣ представленія. Одатида была первая красавица между азіатскими женщинами, да и Заріадръ былъ красавецъ *собою*. Онъ послалъ къ Омарту просить руки дѣвушки, но Омартъ не согласился, вслѣдствіе того, что не имѣлъ мужского потомства: онъ хотѣлъ выдать ее за одного изъ своихъ близкихъ. Немного времени спустя Омартъ созвалъ со *всего* царства властителей, друзей и родственниковъ и устроилъ брачное пиршество, не объявивъ заранѣе, за кого *онъ* хочетъ выдать *свою* дочь. Когда попойка была въ полномъ разгарѣ, отецъ пригласилъ Одатиду въ залу пиршества и сказалъ во всеуслышаніе: «Мы, дочь моя Одатида, справляемъ теперь твою свадьбу; оглянись кругомъ, осмотри всѣхъ, *затѣмъ* возьми золотую чашу, наполни ее и дай кому хочешь: его женой ты и будешь названа». Дѣвушка, обведя всѣхъ взоромъ, удалилась въ слезахъ, пылая желаніемъ видѣть Заріадра: она *заранѣе* послала ему *извѣстіе*, что скоро совершится ея бракъ. *Заріадръ* стоялъ съ войскомъ на Танаидѣ; тайкомъ прошелъ онъ по лагерю въ сопровожденіи одного только возницы, и ночью, поскакавъ на колесницѣ, проѣхалъ большую область, сдѣлавъ около 800 стадій. Приблизившись къ *той* деревнѣ, въ которой праздновали свадьбу, и оставивъ въ одномъ мѣстѣ возницу съ колесницею, онъ самъ пошелъ впередъ, переодѣвшись въ скиѳское платье. Придя на дворъ и увидѣвъ Одатиду, стоявшую предъ посуднымъ столомъ и со слезами *на глазахъ* медленно приготовлявшую вино въ чашѣ, онъ остановился близъ нея и сказалъ: «Одатида, вотъ я здѣсь по твоему приказанію, я — Заріадръ». Дѣвушка, замѣтивши, что чужеземецъ красивъ собою и похожъ на того, кого она видѣла во снѣ, съ живѣйшею радостью подаетъ ему чашу. *Юноша* похитилъ ее, отвелъ къ колесницѣ и ускакалъ вмѣстѣ съ Одатидою. Слуги и служанки, знавшія о любви *Одатиды*, промолчали и на приказаніе отца говорить отвѣтили, что не знаютъ, куда она ушла. Эта любовь пользуется извѣстностью у

V. 22: glossam del. Kaibel. || V. 30: γῆς πολλῆς Kaib.: τῆς πόλεως libri.

Digitized by Google

ἑαυτῶν θυγατράσιν οἱ πολλοὶ τῶν δυναστῶν ὄνομα τίθενται Ὀδάτιν.

живущихъ въ Азіи варваровъ и ставится очень высоко, сказаніе о ней изображаютъ на картинахъ въ храмахъ и дворцахъ, а также и въ частныхъ домахъ, и многіе изъ владѣтельныхъ лицъ даютъ своимъ дочерямъ имя Одатиды».

XIII c. 61 (p. 591 *f*)... Βίων ὁ Βορυσθενίτης φιλόσοφος ἑταίρας ἦν υἱὸς Ὀλυμπίας Λακαίνης, ὥς φησι Νικίας ὁ Νικαεὺς ἐν ταῖς τῶν φιλοσόφων Διαδοχαῖς...

...Философъ Біонъ Борисѳенитъ былъ сынъ Лаконской гетэры Олимпіи, какъ говоритъ Никій Никейскій[1]) въ «Преемствѣ философовъ»...

XIV c. 2 (p. 613 *d*)... Οἶδα καὶ Ἀνάχαρσιν τὸν Σκύθην ἐν συμποσίῳ γελωτοποιῶν εἰσαχθέντων ἀγέλαστον διαμείναντα, πιθήκου δ' ἐπεισαχθέντος γελάσαντα φάναι, ὡς οὗτος μὲν φύσει γελοῖός ἐστιν, ὁ δ' ἄνθρωπος ἐπιτηδεύσει...

...Я знаю, что Скиѳъ Анахарсидъ во время пира, когда были введены шуты, сохранилъ серьезность, а когда привели еще обезьяну, то засмѣялся и сказалъ, что послѣдняя смѣшна по природѣ, а человѣкъ — по профессіи...

XIV c. 69 (p. 654 *c*)... ΦΑΣΙΑΝΟΣ. Πτολεμαῖος ὁ βασιλεὺς ἐν τῷ δυοκαιδεκάτῳ τῶν Ὑπομνημάτων περὶ τῶν ἐν Ἀλεξανδρείᾳ βασιλείων λέγων καὶ περὶ τῶν ἐν αὐτοῖς ζῴων τρεφομένων φησίν· 'τά τε τῶν φασιανῶν, οὓς τετάρους ὀνομάζουσιν, [οὓς] οὐ μόνον ἐκ Μηδίας μετεπέμπετο, ἀλλὰ καὶ νομάδας ὄρνιθας ὑποβαλὼν ἐποίησε πλῆθος, ὥστε καὶ σιτεῖσθαι· τὸ γὰρ βρῶμα πολυτελὲς ἀποφαίνουσιν'. αὕτη ⟨ἡ⟩ τοῦ λαμπροτάτου βασιλέως φωνή, ὃς οὐδὲ φασιανικοῦ ὄρνιθός ποτε γεύσασθαι ὡμολόγησεν, ἀλλ' ὥσπερ τι κειμήλιον ἀναχείμενον εἶχε τούσδε τοὺς ὄρνιθας... (d) [Ἀριστοτέλης δὲ ἡ Θεόφραστος ἐν τοῖς Ὑπομνήμασι τῶν φασιανῶν, φησίν, οὐ κατὰ λόγον ἡ ὑπεροχὴ τῶν ἀρρένων, ἀλλὰ πολλῷ μείζων'].

Фазанъ. Царь Птолемэй[2]) въ 12-й книгѣ «Записокъ», говоря объ Александрійскомъ дворцѣ и содержимыхъ въ немъ животныхъ, выражается *такъ*: «и фазановъ, которыхъ называютъ тетарами и которыхъ онъ не только выписывалъ изъ Мидіи, но и спаривалъ съ цесарками и развелъ въ большомъ количествѣ, такъ что даже употреблялъ въ пищу; ибо говорятъ, что мясо драгоцѣнное кушанье». Таково свидѣтельство знаменитѣйшаго царя, который признался, что никогда не пробовалъ даже фазана, а держалъ этихъ птицъ, какъ нѣкое священное сокровище... [Аристотель или Ѳеофрастъ въ «Запискахъ» говоритъ, что «у фазановъ превосходство самцовъ *по величинѣ* не соотвѣтственное, а гораздо большее»].

ΔΙΟΓΕΝΗΣ ΛΑΕΡΤΙΟΣ. ДІОГЕНЪ ЛАЕРТСКІЙ.

[Уроженецъ г. Лаерты въ Киликіи, жилъ, вѣроятно, въ началѣ III в. по Р. Хр.—Текстъ: Diogenis Laertii de clarorum philosophorum vitis, dogmatibus et apophthegmatibus libri decem. Ex italicis codicibus nunc primum excussis rec. C. Gabr. Cobet. Paris., ed. Firmin Didot, 1862].

ΒΙΟΙ ΚΑΙ ΓΝΩΜΑΙ ΤΩΝ ΕΝ ΦΙΛΟΣΟΦΙΑι ΕΥΔΟΚΙΜΗΣΑΝΤΩΝ. ЖИЗНЕОПИСАНІЯ И УЧЕНІЯ ПРОСЛАВИВШИХСЯ ВЪ ФИЛОСОФІИ.

Βιβλ. Α', κεφ. Η'. Кн. I, гл. 8.

ΑΝΑΧΑΡΣΙΣ Ο ΣΚΥΘΗΣ. СКИѲЪ АНАХАРСИДЪ.

101. Ἀνάχαρσις ὁ Σκύθης Γνούρου μὲν ἦν υἱός, ἀδελφὸς δὲ Καδουίδα τοῦ Σκυθῶν

Скиѳъ Анахарсидъ былъ сынъ Гнура и братъ Кадуида, царя Скиѳскаго; мать его

V. 26 sq. quae uncis inclusa sunt, male interiecta esse putat Kaibel.

1) Одинъ изъ авторовъ сочиненій о преемствѣ философовъ, извѣстный только изъ Аѳинэя. См. *Christ*, Gesch. der Griech. Litteratur² p. 589. 2) V. *supra*, p. 451.

Digitized by Google

βασιλέως. μητρὸς δὲ Ἑλληνίδος· διὸ καὶ δίγλωττος ἦν. Οὗτος ἐποίησε τῶν τε παρὰ τοῖς Σκύθαις νομίμων καὶ τῶν παρὰ τοῖς Ἕλλησιν, εἰς εὐτέλειαν βίου καὶ τὰ κατὰ τὸν πόλεμον ἔπη ὀκτακόσια. παρέσχε δὲ καὶ ἀφορμὴν παροιμίας διὰ τὸ παρρησιαστὴς εἶναι, τὴν ἀπὸ Σκυθῶν ῥῆσιν. Λέγει δὲ αὐτὸν Σωσικράτης ἐλθεῖν εἰς Ἀθήνας κατὰ τὴν τεσσαρακοστὴν ἑβδόμην Ὀλυμπιάδα ἐπὶ ἄρχοντος Εὐκράτους. Ἕρμιππος δὲ πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενον τῶν θεραπόντων τινὶ κελεῦσαι μηνῦσαι ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις καὶ βούλοιτο αὐτὸν θεάσασθαι ξένος τε, εἰ οἷόν τε, γενέσθαι. (102) καὶ ὁ θεράπων εἰσαγγείλας ἐκελεύσθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ, ὅτιπερ ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται. ἔνθεν ὁ Ἀνάχαρσις ἐλὼν ἔφη νῦν αὐτὸν ἐν τῇ πατρίδι εἶναι καὶ προσήκειν αὐτῷ ξένους ποιεῖσθαι. ὁ δὲ καταπλαγεὶς τὴν ἑτοιμότητα εἰσέφρησεν αὐτὸν καὶ μέγιστον φίλον ἐποιήσατο. Μετὰ χρόνον δὲ παραγενόμενος εἰς τὴν Σκυθίαν καὶ δοκῶν τὰ νόμιμα παραλύειν τῆς πατρίδος πολὺς ὢν ἐν τῷ ἑλληνίζειν, τοξευθεὶς ἐν κυνηγεσίῳ πρὸς τἀδελφοῦ τελευτᾷ, εἰπὼν διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος σωθῆναι, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκείᾳ ἀπολέσθαι. ἔνιοι δὲ τελετὰς Ἑλληνικὰς ἐπιτελοῦντα διαχρησθῆναι. καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

(103). Ἐς Σκυθίην Ἀνάχαρσις ὅτ' ἦλυθε, πολλὰ πλανηθείς
πάντας ἔπειθε βιοῦν ἤθεσιν Ἑλλαδικοῖς.
τὸν δ' ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα
πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὠκα δόναξ [3]).

Οὗτος τὴν ἄμπελον εἶπε τρεῖς φέρειν βότρυς· τὸν πρῶτον ἡδονῆς· τὸν δεύτερον μέθης· τὸν τρίτον ἀηδίας· θαυμάζειν δὲ ἔφη πῶς παρὰ τοῖς Ἕλλησιν ἀγωνίζονται μὲν οἱ τεχνῖται, κρίνουσι δὲ οἱ μὴ τεχνῖται. ἐρωτηθεὶς πῶς οὐκ ἂν γένοιτό τις φιλοπότης, ἀεὶ πρὸ ὀφθαλμῶν, εἶπεν, ἔχοι τὰς τῶν μεθυόντων ἀσχημοσύνας. θαυμάζειν τε

была гречанка; поэтому онъ владѣлъ обоими языками. Онъ писалъ о скиѳскихъ и еллинскихъ обычаяхъ, о средствахъ къ дешевизнѣ жизни и 800 стиховъ о военныхъ дѣлахъ. Отличаясь свободою рѣчи, онъ подалъ поводъ къ *образованію* пословицы о «скиѳскомъ образѣ рѣчи». Сосикратъ [1]) говоритъ, что онъ прибылъ въ Аѳины въ 47-ю олимпіаду при архонтѣ Евкратѣ. Ермиппъ [2]) *разсказываетъ*, что, придя къ дому Солона, онъ приказалъ одному изъ слугъ доложить *Солону*, что къ нему пришелъ Анахарсидъ, желая посмотрѣть на него и, если можно, сдѣлаться его гостемъ. (102). Слуга, доложивши, получилъ отъ Солона приказаніе передать Анахарсиду, что отношенія гостепріимства завязываются *каждымъ* на своей родинѣ. Тогда Анахарсидъ, подхвативъ, сказалъ, что самъ онъ [т. е. Солонъ] теперь на родинѣ и *поэтому* ему слѣдуетъ заключать связи гостепріимства; изумившись *этой* сообразительности, Солонъ принялъ его и сдѣлалъ величайшимъ другомъ. Впослѣдствіи, возвратившись въ Скиѳію, *Анахарсидъ* показался уничтожающимъ отечественные обычаи, питая большое пристрастіе къ еллинскимъ, *и за это* былъ застрѣленъ братомъ на охотѣ и скончался, сказавъ, что благодаря своему разуму онъ невредимо возвратился изъ Еллады, а вслѣдствіе зависти погибъ въ родной *землѣ*. Нѣкоторые говорятъ, что онъ былъ убитъ при совершеніи еллинскихъ мистическихъ обрядовъ. У насъ есть въ честь его *слѣдующая епиграмма:*

(103). «Анахарсидъ, послѣ многихъ странствій прибывъ въ Скиѳію, сталъ всѣхъ убѣждать жить по еллинскимъ обычаямъ; но пока онъ имѣлъ еще на устахъ неоконченное слово, пернатая стрѣла быстро унесла его къ безсмертнымъ».

Анахарсидъ сказалъ, что виноградная лоза приноситъ три кисти: первую—удовольствія, вторую — опьяненія, третью — отвращенія. Онъ же выразилъ удивленіе тому, что у Еллиновъ состязаются художники, а судятъ *ихъ* не художники. На вопросъ, какъ можно не сдѣлаться пьяницей, онъ сказалъ: «если имѣть передъ глазами

1) Одинъ изъ авторовъ сочиненій о преемствѣ философовъ. См. *Christ*, Gesch. d. Griech. Litter.[2] p. 589. 2) V. supra, p. 439. 3) Epigramma repetitur in Anthol. Graeca, ed. Fr. *Iacobs*, v. I p. 333 n° 92.

Digitized by Google

ἔλεγε πῶς οἱ Ἕλληνες νομοθετοῦντες κατὰ τῶν ὑβριζόντων, τοὺς ἀθλητὰς τιμῶσιν ἐπὶ τῷ τύπτειν ἀλλήλους. μαθὼν τέτταρας δακτύλους εἶναι τὸ πάχος τῆς νεώς, τοσοῦτον ἔφη τοῦ θανάτου τοὺς πλέοντας ἀπέχειν. (104) τὸ ἔλαιον μανίας φάρμακον ἔλεγε διὰ τὸ ἀλειφομένους τοὺς ἀθλητὰς ἐπιμαίνεσθαι ἀλλήλοις. πῶς, ἔλεγεν, ἀπαγορεύοντες τὸ ψεύδεσθαι ἐν ταῖς καπηλείαις φανερῶς ψεύδονται; καὶ θαυμάζειν φησὶ πῶς Ἕλληνες ἀρχόμενοι μὲν ἐν μικροῖς πίνουσι, πλησθέντες δὲ ἐν μεγάλοις. ἐπιγράφεται δὲ αὐτοῦ ταῖς εἰκόσι· «γλώσσης, γαστρός, αἰδοίων κρατεῖν». ἐρωτηθεὶς εἰ εἰσὶν ἐν Σκύθαις αὐλοί, εἶπεν «ἀλλ' οὐδὲ ἄμπελοι». ἐρωτηθεὶς τίνα τῶν πλοίων εἰσὶν ἀσφαλέστερα, ἔφη «τὰ νενεωλκημένα». καὶ τοῦτο ἔφη θαυμασιώτατον ἑωρακέναι παρὰ τοῖς Ἕλλησιν, ὅτι τὸν μὲν καπνὸν ἐν τοῖς ὄρεσι καταλείπουσι, τὰ δὲ ξύλα εἰς τὴν πόλιν κομίζουσιν. ἐρωτηθεὶς πότεροι πλείους εἰσίν, οἱ ζῶντες ἢ οἱ νεκροί, ἔφη, «τοὺς οὖν πλέοντας ποῦ τίθης;» ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ ὅτι Σκύθης ἐστίν, ἔφη «ἀλλ' ἐμοῦ μὲν ὄνειδος ἡ πατρίς, σὺ δὲ τῆς πατρίδος». (105) ἐρωτηθεὶς τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, ἔφη «γλῶσσα». κρεῖττον ἔλεγεν ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον ἢ πολλοὺς μηδενὸς ἀξίους. τὴν ἀγορὰν ὡρισμένον ἔφη τόπον εἰς τὸ ἀλλήλους ἀπατᾶν καὶ πλεονεκτεῖν. ὑπὸ μειρακίου παρὰ πότον ὑβρισθεὶς ἔφη «μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον οὐ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις». Εὗρε δ' εἰς τὸν βίον ἄγκυράν τε καὶ κεραμικὸν τροχόν, ὥς τινες. καὶ ἐπέστειλεν ὧδε.

безобразія пьяныхъ». Онъ выражалъ удивленіе и тому, что Эллины, издавая законы противъ обидчиковъ, почитаютъ атлетовъ за то, что они бьютъ другъ друга. Узнавъ, что корабль имѣетъ въ толщину четыре пальца, онъ сказалъ, что на столько плывущіе *въ немъ* удалены отъ смерти. (104) Масло онъ называлъ средствомъ *для возбужденія* бѣшенства, потому что намазанные имъ атлеты бѣсятся другъ на друга. «Какъ, говорилъ онъ, запрещающіе ложь въ лавкахъ лгутъ открыто?» Онъ выражаетъ также удивленіе тому, что Эллины при началѣ *пира* пьютъ изъ малыхъ *чашъ*, а насытившись—изъ большихъ. Подъ его изображеніями подписывается: «Сдерживать языкъ, желудокъ и половые органы». На вопросъ, есть ли у Скиѳовъ флейты, онъ отвѣтилъ: «даже лозъ нѣтъ». На вопросъ, какіе корабли безопаснѣе, сказалъ: «вытащенные *на берегъ*». Онъ говорилъ, что съ величайшимъ удивленіемъ видѣлъ у Эллиновъ то, что дымъ они оставляютъ на горахъ, а деревья свозятъ въ городъ. На вопросъ, кого больше, живыхъ или умершихъ, онъ сказалъ: «а плавающихъ куда ты кладешь?» Порицаемый *однимъ* аттическимъ гражданиномъ за свое скиѳское происхожденіе, онъ сказалъ: «Мнѣ позоръ—отечество, а ты—*своему* отечеству». (105) На вопросъ, что у людей хорошо и дурно, онъ сказалъ: «языкъ». Онъ говорилъ, что лучше имѣть одного друга, стоящаго много, чѣмъ многихъ ничего не стоящихъ. Площадь онъ называлъ опредѣленнымъ мѣстомъ для взаимнаго обмана и корыстолюбія. Оскорбленный юношею на пиршествѣ, онъ сказалъ: «Юноша, если ты въ молодости не переносишь вина, то въ старости будешь носить воду». Для практическаго употребленія онъ изобрѣлъ, по свидѣтельству нѣкоторыхъ *писателей*, якорь и гончарный кругъ. Онъ написалъ слѣдующее письмо:

Ἀνάχαρσις Κροίσῳ.

Ἐγώ, βασιλεῦ Λυδῶν, ἀφῖγμαι εἰς τὴν τῶν Ἑλλήνων, διδαχθησόμενος ἤθη τὰ τούτων καὶ ἐπιτηδεύματα. χρυσοῦ δ' οὐδὲ δέομαι, ἀλλ' ἀπόχρη με ἐπανήκειν εἰς Σκύθας ἄνδρα ἀμείνονα. ἥκω γοῦν εἰς Σάρδεις, πρὸ μεγάλου ποιούμενος ἐν γνώμῃ τοι γενέσθαι.

Анахарсидъ Крезу.

Царь Лидійскій, я прибылъ въ *страну* Эллиновъ для изученія ихъ нравовъ и занятій. Въ золотѣ я нисколько не нуждаюсь, для меня достаточно возвратиться въ Скиѳію лучшимъ человѣкомъ. Я прибылъ въ Сарды, душевно желая прійтись тебѣ по нраву».

Digitized by Google

Βιβλ. Δ', κεφ. Δ'.

ΚΡΑΤΗΣ.

(23) Τελευτῶν ὁ Κράτης... ἀπέλιπε... καὶ μαθητὰς ἐλλογίμους· ὧν Ἀρκεσίλαον... καὶ Βίωνα τὸν Βορυσθενίτην, ὕστερον δὲ Θεοδώρειον ἀπὸ τῆς αἱρέσεως καλούμενον...

Кн. IV, гл. 4.

КРАТИТЪ.

Кратитъ, умирая... оставилъ... и знаменитыхъ учениковъ, между прочимъ Аркесилая... и Віона Борисѳенита, впослѣдствіи отъ своей секты получившаго названіе Ѳеодоровскаго...

Βιβλ. Δ', κεφ. Ζ'.

ΒΙΩΝ.

46. Βίων τὸ μὲν γένος ἦν Βορυσθενίτης, ὢντινων δὲ γονέων καὶ ἀφ' οἵων πραγμάτων ἤξεν ἐπὶ φιλοσοφίαν, αὐτὸς Ἀντιγόνῳ διασαφεῖ. ἐρομένου γὰρ αὐτὸν

Τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες[1]);

αἰσθόμενος ὅτι προδιαβέβληται, φησὶ πρὸς αὐτόν· «ἐμοὶ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυσσόμενος — διεδήλου δὲ τὸν ταριχέμπορον — γένος Βορυσθενίτης, ἔχων οὐ πρόσωπον, ἀλλὰ συγγραφὴν ἐπὶ τοῦ προσώπου, τῆς τοῦ δεσπότου πικρίας σύμβολον· μήτηρ δὲ οἵαν ὁ τοιοῦτος ἂν γήμαι, ἀπ' οἰκήματος. ἔπειτα ὁ πατὴρ παρατελωνησάμενός τι πανοίκιος ἐπράθη μεθ' ἡμῶν. καί με ἀγοράζει τις ῥήτωρ νεώτερον ὄντα καὶ εὔχαριν· ὃς καὶ ἀποθνήσκων κατέλιπέ μοι πάντα. (47) κἀγὼ κατακαύσας αὐτοῦ τὰ συγγράμματα καὶ πάντα συγξύσας Ἀθήναζε ἦλθον καὶ ἐφιλοσόφησα. Τούτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι. ταῦτά ἐστι τὰ κατ' ἐμέ. ὥστε παυσάσθωσαν Περσαῖός τε καὶ Φιλωνίδης ἱστορεῖντες αὐτά· σκόπει δέ με ἐξ ἐμαυτοῦ». Καὶ ἦν ὡς ἀληθῶς ὁ Βίων τὰ μὲν ἄλλα πολύτροπος καὶ σοφιστὴς ποικίλος καὶ πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βουλομένοις καθιπάζεσθαι φιλοσοφίας. ἔν τισι δὲ καὶ πομπικὸς καὶ ἀπολαῦσαι τύφου δυνάμενος. Πλεῖστά τε καταλέλοιπεν ὑπομνήματα, ἀλλὰ καὶ ἀποφθέγματα χρειώδη πραγματείαν περιέχοντα...

Кн. IV, гл. 7.

ВІОНЪ.

Віонъ былъ родомъ Борисѳенитъ; отъ какихъ родителей онъ происходилъ и отъ какихъ занятій обратился къ философіи,— онъ самъ объяснилъ Антигону. Именно, на вопросъ его: «Кто ты и откуда? гдѣ твой городъ и родители?» — Віонъ, замѣтивъ, что его успѣли оклеветать, говоритъ ему: «Отецъ мой былъ отпущенникъ, вытиравшій себѣ носъ локтемъ (*этимъ* онъ намекалъ на торговца соленой рыбой), родомъ Борисѳенитъ, имѣвшій не лицо, а клеймо на лицѣ, знакъ жестокости его господина, а мать *была такая*, какую могъ взять за себя такой *человѣкъ*, — изъ *публичнаго* дома. Потомъ отецъ за какой-то проступокъ при сборѣ податей былъ проданъ со всѣмъ домомъ и съ нами; меня, какъ недурнаго собою мальчика, покупаетъ одинъ риторъ; передъ смертью онъ оставилъ мнѣ все свое имущество (47) и я, предавши огню его сочиненія и все разорвавши, пріѣхалъ въ Аѳины и занялся философіею.

«Вотъ и порода и кровь, каковыми тебѣ я хвалюся»[2]).

Вотъ моя біографія. Поэтому пусть Персэй и Филонидъ перестанутъ разсказывать ее: знакомься со мною отъ меня самого». И дѣйствительно, Віонъ былъ вообще человѣкъ изворотливый, ловкій софистъ и давалъ много случаевъ желавшимъ понаторѣть въ философіи; въ нѣкоторыхъ отношеніяхъ онъ любилъ величіе и легко поддавался надменности. Онъ оставилъ множество записокъ, а также полезныя и важныя изреченія...

[Слѣдуютъ примѣры изреченій].

(51)... Οὗτος τὴν ἀρχὴν μὲν παρῆτεῖτο τὰ Ἀκαδημαϊκά, καθ' ὃν χρόνον ἤκουε Κράτη-

Сначала онъ не любилъ ученія академиковъ, пока слушалъ Кратита; затѣмъ

1) Versus Hom. *Od.* I, 170; XXIV, 298.

2) Hom. *Il.* VI, 211=XX, 241 (перев. Гнѣдича).

Digitized by Google

τος· εἶτ' ἐπανείλετο τὴν κυνικὴν ἀγωγήν, λαβὼν τρίβωνα καὶ πήραν. (52) καὶ τί γὰρ ἄλλο μετεσκεύασεν αὐτὸν πρὸς ἀπάθειαν; ἔπειτα ἐπὶ τὰ Θεοδώρεια μετῆλθε διακούσας Θεοδώρου τοῦ ἀθέου κατὰ πᾶν εἶδος λόγου σοφιστεύοντος· μεθ' ὃν Θεοφράστου διήκουσε τοῦ περιπατητικοῦ..

сдѣлался послѣдователемъ ученія кинниковъ, взявъ трибонъ и суму; ибо что другое обратило его къ твердости духа? Затѣмъ онъ перешелъ къ Ѳеодоровскому ученію, послушавъ атеиста Ѳеодора, излагавшаго свои мудрствованія во всевозможныхъ видахъ; послѣ него онъ слушалъ перипатетика Ѳеофраста...

[Слѣдуетъ характеристика Віона].

(58) Γεγόνασι δὲ Βίωνες δέκα... τρίτος αὐτὸς οὗτος· τέταρτος Δημοκρίτειος καὶ μαθηματικὸς Ἀβδηρίτης, Ἀτθίδι γεγραφὼς καὶ Ἰάδι. οὗτος πρῶτος εἶπεν εἶναί τινας οἰκήσεις ἔνθα γίνεσθαι ἓξ μηνῶν τὴν νύκτα καὶ ἓξ τὴν ἡμέραν...

Віоновъ было десять... третій этотъ самый *философъ*; четвертый — Авдиритъ, ученикъ Димокрита и математикъ, писавшій на аттическомъ и іоническомъ нарѣчіяхъ; онъ первый сказалъ, что есть нѣкоторыя страны, въ которыхъ 6 мѣсяцевъ продолжается ночь и 6 *мѣсяцевъ* день...

Βιβλ. Ζ', κεφ. ς'.

ΣΦΑΙΡΟΣ.

Кн. 7, гл. 6.

СФЭРЪ.

. Τούτου [τ. ἐ. Κλεάνθους]... ἤκουσε μετὰ Ζήνωνα καὶ Σφαῖρος ὁ Βοσποριανός, ὃς προκοπὴν ἱκανὴν περιποιησάμενος λόγων εἰς Ἀλεξάνδρειαν ἀπῆρει πρὸς Πτολεμαῖον τὸν Φιλοπάτορα...

Клеанѳа... слушалъ послѣ Зинона и Сфэръ Воспорскій, который, достигнувъ значительныхъ успѣховъ въ наукахъ, отправился въ Александрію къ Птолемею Филопатору...

[Далѣе слѣдуетъ разсказъ объ одномъ случаѣ изъ жизни Сфэра при дворѣ Птолемея и перечень его сочиненій].

Βιβλ. Θ', κεφ. ΙΑ' (Πύρρων), § 83... Μασσαγέται μέν, ὥς φησι καὶ Εὔδοξος ἐν τρίτῃ πρώτῃ γῆς περιόδου, κοινὰς ἔχουσι τὰς γυναῖκας, Ἕλληνες δὲ οὔ...

Кн. 9, гл. 11 (Пирронъ), § 83. ...Массагеты, какъ говоритъ и Евдоксъ въ первой *книгѣ* землеописанія [1]), имѣютъ общихъ женъ, а Эллины—нѣтъ...

ΦΙΛΟΣΤΡΑΤΟΙ. ФИЛОСТРАТЫ.

[Различаются 3 или даже 4 софиста этого имени, уроженцы о. Лимна. Старѣйшимъ изъ нихъ былъ Филостратъ, сынъ Вера, жившій при имп. Неронѣ по словамъ Свиды, который приписываетъ ему множество сочиненій, до насъ не сохранившихся. (По мнѣнію Кайзера ему принадлежитъ діалогъ Νέρων, сохранившійся среди сочиненій Лукіана Самосатскаго). Наибольшею извѣстностью пользуется Филостратъ средній, родившійся около 170 г. по Р. Х. и, по словамъ Свиды, жившій сначала въ Аѳинахъ (почему и называется иногда Аѳинскимъ), а потомъ въ Римѣ при Александрѣ Северѣ и далѣе до временъ Филиппа (244—9). Ему принадлежатъ: сочиненіе объ Аполлоніи Тіанскомъ (τὰ ἐς τὸν Τυανέα Ἀπολλώνιον) въ 8 кн., написанное по желанію императрицы Юліи Домны, Βίοι σοφιστῶν въ 2 кн. (написаны вскорѣ послѣ 229 г.), Γυμναστικός и Ἐπιστολαί (дошло до насъ 73 письма). Филостратъ младшій, зять и младшій современникъ предыдущаго, по свидѣтельству Свиды написалъ Εἰκόνες, Παναθηναϊκός, Τρωϊκός (т. е. Ἡρωϊκός), Παράφρασις τῆς Ὁμήρου ἀσπίδος, Μελέται. Четвертому Филострату, внуку предыдущаго, жившему подъ конецъ III в., принадлежитъ второе сочиненіе подъ заглавіемъ Εἰκόνες, составленное по образцу перваго. — Текстъ: Flavii Philostrati opera auctiora ed. C. L. Kayser. Accedunt Apollonii epistolae, Eusebius adv. Hieroclem, Philostrati junioris imagines, Callistrati descriptiones. 2 voll. Lips. ap. Teubn. 1870—71].

1) V. supra, p. 409.

Digitized by Google

ΤΑ ΕΣ ΤΟΝ ΤΥΑΝΕΑ ΑΠΟΛΛΩΝΙΟΝ.

Lib. II c. 2—3. Προσιόντες δὲ τῷ Καυκάσῳ φασὶν εὐωδεστέρας τῆς γῆς αἰσθέσθαι· τὸ δὲ ὄρος τοῦτο ἀρχὴν ποιώμεθα Ταύρου τοῦ δι' Ἀρμενίας τε καὶ Κιλίκων ἐπὶ Παμφύλους καὶ Μυκάλην στείχοντος, ἣ τελευτῶσα ἐς θάλατταν, ἣν Κᾶρες οἰκοῦσι, τέρμα τοῦ Καυκάσου νομίζοιτ' ἂν, ἀλλ' οὐχ, ὡς ἔνιοί φασιν, ἀρχή· τό τε γὰρ τῆς Μυκάλης ὕψος οὔπω μέγα καὶ αἱ ὑπερβολαὶ τοῦ Καυκάσου τοσοῦτον ἀνεστᾶσιν, ὡς σχίζεσθαι περὶ αὐτὰς τὸν ἥλιον. περιβάλλει δὲ Ταύρῳ ἑτέρῳ καὶ τὴν ὁμορον τῇ Ἰνδικῇ Σκυθίαν πᾶσαν κατὰ Μαιῶτίν τε καὶ ἀριστερὸν Πόντον, σταδίων μάλιστα δισμυρίων μῆκος· τοσοῦτον γὰρ ἐπέχει μέτρον τῆς γῆς ὁ ἀγκὼν τοῦ Καυκάσου· τὸ δὲ περὶ τοῦ ἐν τῇ ἡμεδαπῇ Ταύρου λεγόμενον, ὡς ὑπὲρ τὴν Ἀρμενίαν πορεύοιτο, χρόνῳ ἀπιστηθὲν πιστοῦνται λοιπὸν αἱ παρδάλεις, ἃς οἶδα ἁλισκομένας ἐν τῇ Παμφύλων ἀρωματοφόρῳ... ὁ δὲ Καύκασος ὁρίζει μὲν τὴν Ἰνδικήν τε καὶ Μηδικήν, καθήκει δὲ ἐπὶ τὴν Ἐρυθρὰν θάλατταν ἑτέρῳ ἀγκῶνι.

3. Μυθολογεῖται δὲ ὑπὸ τῶν βαρβάρων τὸ ὄρος, ἃ καὶ Ἕλληνες ἐπ' αὐτῷ ᾄδουσιν, ὡς Προμηθεὺς μὲν ἐπὶ φιλανθρωπίᾳ δεθείη ἐκεῖ, Ἡρακλῆς δ' ἕτερος, οὐ γὰρ τὸν Θηβαῖόν γε βούλονται, μὴ ἀνάσχοιτο τοῦτο, ἀλλὰ τοξεύσειε τὸν ὄρνιν, ὃν ἔβοσκεν ὁ Προμηθεὺς τοῖς σπλάγχνοις· δεθῆναι δὲ αὐτὸν οἱ μὲν ἐν ἄντρῳ φασίν, ὃ δὴ ἐν πρόποδι τοῦ ὄρους δείκνυται, καὶ δεσμὰ ὁ Δάμις ἀνῆφθαι τῶν πετρῶν λέγει οὐ ῥᾴδια ξυμβαλεῖν τὴν ὕλην, οἱ δ' ἐν κορυφῇ τοῦ ὄρους· δικόρυμβος δ' ἡ κορυφὴ καί φασιν, ὡς τὰς χεῖρας ἀπ' αὐτῶν ἐδέθη διαλειπουσῶν οὐ μεῖον ἢ στάδιον· τοσοῦτος γὰρ εἶναι. τὸν δὲ ὄρνιν τὸν ἀετὸν οἱ τῷ Καυκάσῳ προσοικοῦντες ἐχθρὸν ἡγοῦνται καὶ καλιάς γε, ὁπόσας ἐν τοῖς πάγοις οἱ ἀετοὶ ποιοῦνται, καταπιμπρᾶσιν ἱέντες βέλη πυρφόρα, θήρατρά τε ἐπ' αὐτοὺς ἵστανται τιμωρεῖν τῷ Προμηθεῖ φάσκοντες· ὧδε γὰρ τοῦ μύθου ἥττηνται.

ОБЪ АПОЛЛОНІИ ТІАНСКОМЪ.

Подходя къ Кавказу, [Аполлоній и его спутники] почувствовали, говорятъ, болѣе пріятный запахъ отъ земли. Эту гору можно считать началомъ Тавра, простирающагося чрезъ Арменію и Киликію до Памфиліи и Микалы, которая, оканчиваясь у моря, при которомъ живутъ Карійцы, можетъ быть принята за конецъ Кавказа, но не за начало, какъ говорятъ нѣкоторые; ибо высота Микалы еще не велика, а вершины Кавказа поднимаются такъ *высоко*, что объ нихъ разрѣзываются *лучи* солнца. Онъ окружаетъ другимъ Тавромъ и всю пограничную съ Индіею Скиѳію по Меотидѣ и лѣвой сторонѣ Понта длиною тысячъ на 20 стадій: на такое пространство земли простирается хребетъ Кавказа; а что говорятъ про нашъ Тавръ, будто онъ простирается за Арменію, то хотя этому мнѣнію не вѣрили *нѣкоторое* время, но въ концѣ концовъ оно подтверждается пантерами, которыхъ ловятъ, какъ я знаю, въ изобилующей благовонными травами Памфиліи... Кавказъ отдѣляетъ Индію отъ Мидіи и другимъ отрогомъ спускается къ Красному морю.

Объ *этой* горѣ у варваровъ ходятъ тѣ же преданія, что и у эллинскихъ поэтовъ, именно, что къ ней былъ прикованъ Промиѳей за *свое* человѣколюбіе, а Иракъ (другой, не Ѳиванскій, котораго они не хотятъ *разумѣть*) не стерпѣлъ этого и застрѣлилъ изъ лука птицу, которая клевала внутренности Промиѳея; прикованъ онъ былъ, по словамъ однихъ, въ пещерѣ, которая и показывается у подошвы горы— Дамидъ говоритъ даже, что *тамъ* повѣшены на скалѣ и цѣпи, громадность которыхъ не легко и представить себѣ,—а по словамъ другихъ—на вершинѣ горы. Вершина эта двуглавая и говорятъ, что онъ былъ прикованъ руками къ этимъ отрогамъ, между которыми не меньше стадіи разстоянія: такъ громаденъ-де былъ онъ. А птицу орла обитатели Кавказа считаютъ врагомъ и гнѣзда, которыя орлы устраиваютъ на скалахъ, сожигаютъ посредствомъ огненосныхъ стрѣлъ, ставятъ также и западни на нихъ, объясняя *все это* местью за Промиѳея: до такой степени увѣрены они въ *справедливости* преданія.

Digitized by Google

Lib. III c. 1... εὖρος δὲ αὐτῷ [sc. τῷ Ὑφάσιδι] κατὰ τὸν Ἴστρον, ποταμῶν δὲ οὗτος δοκεῖ μέγιστος, ὁπόσοι δι' Εὐρώπης ῥέουσι...

...Ширина р. Ифасида приблизительно равна Истру, который считается величайшею изъ рѣкъ, текущихъ по Европѣ...

Lib. III c. 20... Σκύθας δὲ τοὺς ὑπὲρ Καύκασόν ποτε στρατεύσαντας ἐπὶ τήνδε τὴν γῆν ἀπεώσατο [Γάγγης ὁ βασιλεύς]...

...[Царь Гангъ] отразилъ Скиѳовъ, нѣкогда выступившихъ походомъ за Кавказъ на эту землю [т. е. Индію]...

Lib. VI c. 20 [Разговоръ Аполлонія съ Ѳеспесіономъ о бичеваніи у Лакедэмонянъ]

...«Εἶτ' οὐκ αἰσχύνονται» ἔφη [ὁ Θεσπεσίων] «οἱ χρηστοὶ Ἕλληνες ἢ τοὺς αὐτῶν ποτε ἄρξαντας ὁρῶντες μαστιγουμένους ἐς τὸ κοινόν, ἢ ἀρχθέντες ὑπ' ἀνθρώπων, οἳ μαστιγοῦνται δημοσίᾳ; σὺ δὲ πῶς οὐ διωρθώσω ταῦτα; φασὶ γάρ σε καὶ Λακεδαιμονίων ἐπιμεληθῆναι». «Ἃ γε» εἶπε «δυνατὸν διορθοῦσθαι, ξυνεβούλευον μὲν ἐγώ, προθύμως δ' ἐκεῖνοι ἔπραττον, ἐλευθεριώτατοι μὲν γὰρ τῶν Ἑλλήνων εἰσί, μόνοι δ' ὑπήκοοι τοῦ εὖ ξυμβουλεύοντος, τὸ δὲ τῶν μαστίγων ἔθος τῇ Ἀρτέμιδι τῇ ἀπὸ Σκυθῶν δρᾶται χρησμῶν, φασίν, ἐξηγουμένων ταῦτα· θεοῖς δ' ἀντινομεῖν μανία, οἶμαι». «οὐ σοφούς, Ἀπολλώνιε», ἔφη «τοὺς τῶν Ἑλλήνων θεοὺς εἴρηκας, εἰ μαστίγων ἐγίγνοντο ξύμβουλοι τοῖς τὴν ἐλευθερίαν ἀσκοῦσιν». «οὐ μαστίγων», εἶπεν, «ἀλλὰ τοῦ αἵματι ἀνθρώπων τὸν βωμὸν ῥαίνειν, ἐπειδὴ καὶ παρὰ Σκύθαις τούτων ἠξιοῦτο, σοφισάμενοι δὲ οἱ Λακεδαιμόνιοι τὸ ἀπαραίτητον τῆς θυσίας ἐπὶ τὸν τῆς καρτερίας ἀγῶνα ἦκουσιν, ἀφ' ἧς ἔστι μήτε ἀποθνήσκειν καὶ ἀπάρχεσθαι τῇ θεῷ τοῦ σφῶν αἵματος». «διὰ τί οὖν» ἔφη «τοὺς ξένους οὐ καταθύουσι τῇ Ἀρτέμιδι, καθάπερ ἐδικαίουν ποτὲ οἱ Σκύθαι»; «ὅτι» εἶπεν «οὐδενὶ Ἑλλήνων πρὸς τρόπου βάρβαρα ἐξασκεῖν ἤθη»...

...«Неужели почтеннымъ Эллинамъ, сказалъ [Ѳеспесіонъ], не стыдно или видѣть своихъ бывшихъ начальниковъ публично бичуемыми, или подчиняться власти людей, которые бичуются всенародно? Какъ ты этого не исправилъ? Вѣдь ты, говорятъ, имѣлъ попеченіе и о Лакедэмонянахъ». — «Что возможно исправить, отвѣчалъ *Аполлоній*, я указывалъ и они охотно исполняли, ибо они — самые разумные изъ Эллиновъ и одни повинуются доброму совѣту, а обычай бичеванія совершается *въ честь привезенной* отъ Скиѳовъ Артемиды, говорятъ, по совѣту оракуловъ; поступать же противъ воли боговъ, по моему, безуміе». — «Не мудрыми же, сказалъ *Ѳеспесіонъ*, оказались по твоему объясненію, Аполлоній, эллинскіе боги, если они присовѣтовали бичеваніе *людямъ*, живущимъ по принципамъ свободы».—«Не бичеваніе, сказалъ *Аполлоній*, а окропленіе алтаря человѣческою кровью, такъ какъ и у Скиѳовъ *богиня* получала такія *жертвы*, а Лакедэмоняне, сообразивъ неотвратимость жертвы, перешли къ состязанію въ выносливости, отъ которой нельзя умереть, но можно жертвовать богинѣ свою кровь».— «Почему же, сказалъ *Ѳеспесіонъ*, они не приносятъ въ жертву Артемидѣ чужеземцевъ, какъ дѣлали нѣкогда Скиѳы?» —«Потому что, отвѣчалъ *Аполлоній*, никому изъ Эллиновъ не по нраву слѣдовать варварскимъ обычаямъ»...

(Ibid.)... Εἰ δὲ ἐς τὰ πολέμια φείδεσθαι τῶν νέων εἰκὸς ἦν, ἀλλ' ὅ γε νόμος ὁ παρὰ Σκύθαις ἐπὶ τοῖς ἑξηκοντούταις κείμενος οἰκειότερος ἦν Λακεδαιμονίοις ἐπιτηδεύειν ἢ Σκύθαις, εἰ τὸν θάνατον ἀτεχνῶς, ἀλλὰ μὴ κόμπου ἕνεκα ἐπαινοῦσι...

(Тамъ же, слова Ѳеспесіона)... Если же молодежь слѣдовало щадить для военныхъ *цѣлей*, то существующій у Скиѳовъ законъ о 60-лѣтнихъ былъ бы удобопримѣнимѣе у Лакедэмонянъ, чѣмъ у Скиѳовъ, если они восхваляютъ смерть по убѣжденію, а не ради хвастовства...

Digitized by Google

Lib. VII c. 26. ...Καὶ Σκυθῶν ὁπόσοι ἁμαξεύουσιν, οὐ μεῖον ἡμῶν δέδενται. Ἴστροι τε γὰρ αὐτοὺς ὁρίζουσι καὶ Θερμώδοντες καὶ Τανάιδες οὐ ῥᾴδιοι ποταμοὶ ὑπερβῆναι, ἢν μὴ ὑπὸ τοῦ κρυμοῦ στῶσιν, οἰκίας τε ἐπὶ τῶν ἁμαξῶν πέπανται καὶ φέρονται μέν, ἀλλ' ἐν αὐταῖς ἐπτηχότες.

...И Скиѳы, кочующіе на повозкахъ, связаны не менѣе насъ: ихъ ограничиваютъ Истры, Ѳермодонты и Танаиды, рѣки нелегкія для переправы, пока не стапутъ отъ мороза; *Скиѳы* имѣютъ жилища на повозкахъ и разъѣзжаютъ *по разнымъ мѣстамъ*, но робко сидя въ нихъ.

Lib. VIII c. 7, p. 156 commemorantur οἱ ἐκ Φάσιδος ἢ Παιόνων ὄρνιθες, οὓς πιαίνουσιν ἐς τὰς αὐτῶν δαῖτας οἱ τῇ γαστρὶ χαριζόμενοι πάντα.

...Птицы съ Фасида или изъ Пэоніи, которыхъ откармливаютъ для своихъ пиршествъ всѣмъ жертвующіе *своему* желудку.

ΒΙΟΙ ΣΟΦΙΣΤΩΝ.

Lib. I c. 25 (Πολέμων), IV. ...Ἀνδρὸς δέ, ὃς ἦρχε μὲν Βοσπόρου, πᾶσαν δὲ Ἑλληνικὴν παίδευσιν ἥρμοστο, καθ' ἱστορίαν τῆς Ἰωνίας ἐς τὴν Σμύρναν ἥκοντος οὐ μόνον οὐκ ἔταξεν ἑαυτὸν ἐν τοῖς θεραπεύουσιν, ἀλλὰ καὶ δεομένου ξυνεῖναί οἱ θαμὰ ἀνεβάλλετο, ἕως ἠνάγκασε τὸν βασιλέα ἐπὶ θύρας ἀφικέσθαι ἀπάγοντα μισθοῦ δέκα τάλαντα.

ЖИЗНЕОПИСАНІЯ СОФИСТОВЪ.

...Когда одинъ Воспорскій властитель, получившій тщательное еллинское образованіе, пріѣхалъ въ Смирну для ознакомленія съ Іоніей, *Полемонъ* не только не сталъ въ число его почитателей, но даже на просьбу побесѣдовать съ нимъ нѣсколько разъ отвѣчалъ уклончиво, пока не заставилъ царя придти къ его двери съ десятью талантами платы [1]).

ΗΡΩΙΚΟΣ.

РАЗСКАЗЪ О ГЕРОЯХЪ.

[Разговоръ суевѣрнаго виноградаря изъ Херсониса ѳракійскаго съ финикійскимъ моряком. Виноградарь разсказываетъ, что онъ узналъ отъ мѣстнаго героя Протесилая, будто бы неоднократно ему являвшагося, о троянскихъ герояхъ: самомъ Протесилаѣ, Паламидѣ, Одиссеѣ, Гекторѣ, Ахиллѣ и др.].

Переводъ П. И. Прозорова.

V, 3 (p. 306). ...Ἐλάσας γὰρ Κῦρος ὑπὲρ ποταμὸν Ἴστρον ἐπὶ Μασσαγέτας τε καὶ Ἰσσηδόνας—τὰ δὲ ἔθνη ταῦτα Σκύθαι—ἀπέθανέ τε ὑπὸ γυναικός, ἣ τούτων ἦρχε τῶν βαρβάρων, καὶ ἀπέτεμεν ἡ γυνὴ τὴν Κύρου κεφαλήν...

...Киръ, отправившись за рѣку Истръ противъ Массагетовъ и Иссидоновъ (а народы эти—скиѳскаго племени), былъ убитъ женщиною, царствовавшею надъ этими народами; она отрубила Киру голову...

XIX, 16 (p. 327 — 331). Φ. ...ἀλλά μοι εἰπέ, τί περὶ τῆς ἐν τῷ Πόντῳ νήσου θαυμάσιον ὁ Πρωτεσίλεως οἶδεν· ἐκεῖ γάρ που αὐτῷ ξυγγίγνεται.

Ἀ. Ἐκεῖ, ξένε, καὶ λέγει περὶ αὐτῆς τοιαῦτα, ὡς νῆσος μὲν εἴη μία τῶν ἐν τῷ Πόντῳ πρὸς τῇ ἀξένῳ πλευρᾷ μᾶλλον, ἣν τίθενται ἀριστερὰν οἱ τὸ στόμα τοῦ Πόντου ἐσπλέοντες, ἐπέχοι δὲ στάδια μῆκος

XIX, 16. Ф. ...Скажи мнѣ, какія чудеса знаетъ Протесилай объ островѣ въ Понтѣ; вѣдь тамъ, кажется, встрѣчается онъ *со Ахилломъ*?

В. Тамъ, гость, и разсказываетъ онъ о немъ слѣдующее: это-де одинъ изъ Понтійскихъ острововъ, *лежащій* ближе къ негостепріимной сторонѣ, которая для въѣзжающихъ въ устье Понта приходится

1) Антоній Полемонъ жилъ при Траянѣ и Адріанѣ (род. около 85 г. по Р. Хр.). Его современниками были Воспорскіе цари Савроматъ I, Котисъ II и Римиталкъ.

Digitized by Google

μὲν τριάκοντα, εὖρος δὲ οὐ πλείω τεττάρων, δένδρα τε ἐν αὐτῇ πεφύκοι λεῦκαί τε καὶ πτελέαι, τὰ μὲν ἄλλα ὡς ἔτυχε, τὰ δὲ περὶ τὸ ἱερὸν ἐν κόσμῳ ἤδη. τὸ δὲ ἱερὸν ἵδρυται μὲν πρὸς τῇ Μαιώτιδι—ἡ δὲ ἴση τῷ Πόντῳ ἐς αὐτὸν βάλλει—τὰ δὲ ἐν αὐτῷ ἀγάλματα Ἀχιλλεύς τε καὶ Ἑλένη ὑπὸ Μοιρῶν ξυναρμοσθέντες. κειμένου γὰρ δὴ ἐν ὀφθαλμοῖς τοῦ ἔρωτος ἀπὸ τούτου ἀδόντων πρῶτοι Ἀχιλλεύς τε καὶ Ἑλένη μηδὲ ὀφθέντες ἀλλήλοις, ἀλλ' ἡ μὲν κατ' Αἴγυπτον, ὁ δὲ ἐν Ἰλίῳ ὄντες ἔρᾶν ἀλλήλων ὥρμησαν γένεσιν ἱμέρου [σώματος] ὦτα εὑρόντες. πεπρωμένης δὲ αὐτοῖς ἐς τὸ ἀθάνατον τῆς διαίτης οὐδεμιᾶς γῆς τῶν ὑπὸ Ἰλίῳ, Ἐχινάδων τε τῶν κατ' Οἰνιάδας καὶ Ἀκαρνανίαν ἤδη μεμιασμένων, ὅτε δὴ Ἀλκμαίων ἀποκτείνας τὴν μητέρα τὰς ἐκβολὰς τοῦ Ἀχελῴου ᾤκησεν ἐν γῇ νεωτέρᾳ τοῦ ἔργου, ἱκετεύει τὸν Ποσειδῶνα ἡ Θέτις ἀναδοῦναί τινα ἐκ τῆς θαλάττης νῆσον, ἐν ᾗ οἰκήσουσιν. ὁ δὲ ἐνθυμηθεὶς τὸ μῆκος τοῦ Πόντου καὶ ὅτι νήσου οὐδεμιᾶς ἐν αὐτῷ κειμένης ἀοίκητος πλεῖται, τὴν Λευκὴν νῆσον, ὁπόσην εἶπον, ἀνέφηνεν Ἀχιλλεῖ μὲν καὶ Ἑλένῃ οἰκεῖν, ναύταις δὲ ἵστασθαι καὶ τῷ πελάγει ἐγκαθορμίζεσθαι. ξυμπάσης δὲ ἄρχων, ὁπόση ὑγρὰ οὐσία, καὶ τοὺς ποταμοὺς ἐννοήσας τὸν Θερμώδοντα καὶ τὸν Βορυσθένην καὶ τὸν Ἴστρον, ὡς ἀμηχάνοις τε καὶ ἀενάοις ῥεύμασιν ἐς τὸν Πόντον ἐκφέρονται, προὔχωσε τὴν ἰλὺν τῶν ποταμῶν, ἣν ἀπὸ Σκυθῶν ἀρξάμενοι σύρουσιν ἐς τὸ πέλαγος, νῆσόν τε [ὁπόσην εἶπον] ἀπετόρνευσε συστησάμενος αὐτὴν ἐν τῷ πυθμένι τοῦ Πόντου. ἐνταῦθα εἰδόν τε πρῶτον καὶ περιέβαλον ἀλλήλους Ἀχιλλεύς τε καὶ Ἑλένη καὶ γάμον ἐδαίσαντο σφῶν Ποσειδῶν τε αὐτὸς καὶ Ἀμφιτρίτη Νηρηίδες τε ξύμπασαι καὶ ὁπόσοι ποταμοὶ καὶ δαίμονες ἔρχονται τὴν Μαιῶτίν τε καὶ τὸν Πόντον. οἰκεῖν μὲν δὴ λευκοὺς ὄρνιθας ἐν αὐτῇ φασιν, εἶναι δὲ τούτους ὑγροὺς τε καὶ τῆς θαλάττης ἀπόζοντας, οὓς τὸν Ἀχιλλέα θεράποντας ἑαυτοῦ πεποιῆσθαι κοσμοῦντας αὐτῷ τὸ ἄλσος τῷ τε ἀνέμῳ τῶν πτερῶν καὶ ταῖς ἀπ' αὐτῶν ῥανίσι, πράττειν δὲ τοῦτο χαμαὶ πετομένους καὶ μικρὸν τῆς γῆς ὑπεραίροντας. (17) ἀνθρώποις δὲ πλέουσι μὲν τὸ τοῦ πελάγους χάσμα ὁσία ἡ νῆσος ἐσβαίνειν, κεῖται γὰρ ὥσπερ εὔξεινος νεῶν ἑστία, οἶκον δὲ μὴ ποιεῖσθαι αὐτὴν πᾶσί τε ἀπείρηται τοῖς πλέουσι καὶ τοῖς περὶ τὸν Πόντον Ἕλ-

слѣва; въ длину онъ имѣетъ 30 стадій, а въ ширину не больше четырехъ; на немъ растутъ тополи и вязы, вокругъ храма въ порядкѣ, а остальныя какъ попало; храмъ построенъ со стороны Меотійскаго озера (которое впадаетъ въ Понтъ и равно ему по величинѣ) и въ немъ находятся изображенія Ахилла и Елены, соединенныхъ Мирами. Хотя любовь выражается въ глазахъ и въ такомъ видѣ воспѣваютъ ее поэты, но Ахиллъ и Елена первые влюбились другъ въ друга, даже не видѣвшись, но находясь одна въ Эгиптѣ, а другой въ Иліонѣ, такъ что причиною ихъ вожделѣнія послужили уши. Такъ какъ судьбою было опредѣлено имъ безсмертіе, то Ѳетида обратилась къ Посидону съ просьбою поднять изъ глубины моря какой нибудь островъ, на которомъ *они могли бы* поселиться, потому что вблизи Иліона *не было* ни одного *пригоднаго* мѣста, а Ехинады, *лежащія* у Иніадъ и Акарнаніи, были уже осквернены *съ того времени*, какъ Алкмэонъ по убіеніи своей матери поселился на землѣ, образовавшейся изъ наносовъ Ахелоя уже позже его преступленія. Посидонъ, принявъ въ соображеніе *огромное* протяженіе Понта и то *обстоятельство*, что вслѣдствіе отсутствія на немъ острововъ для мореплавателей нѣтъ пристанища, поднялъ упомянутый мною Бѣлый островъ, *предназначивъ его* Ахиллу и Еленѣ для жительства, а морякамъ для стоянки на морѣ. Владычествуя надъ всею влажною стихіею и замѣтивъ, что рѣки Ѳермодонтъ, Борисѳенъ и Истръ изливаются въ море неудержимыми и вѣчно текущими потоками, *Посидонъ* запрудилъ ихъ, который несутъ рѣки изъ Скиѳіи въ море, и образовалъ [упомянутый] островъ, *прочно* утвердивъ его въ глубинѣ Понта. Здѣсь впервые увидѣли и обняли другъ друга Ахиллъ и Елена и *здѣсь-же* отпраздновали ихъ свадьбу самъ Посидонъ съ Амфитритой, всѣ Нереиды и всѣ боги-покровители рѣкъ, впадающихъ въ Меотиду и Понтъ. Разсказываютъ, что на островѣ живутъ бѣлыя птицы, влажныя и пахнущія морскою водою, и что Ахиллъ сдѣлалъ ихъ своими служительницами: вѣяніемъ своихъ крыльевъ и брызгами капель съ нихъ они холятъ его рощу, при чемъ летаютъ низко, лишь немного поднимаясь надъ землею.

Digitized by Google

λησί τε καὶ βαρβάροις. δεῖ γὰρ προσορμισαμένους τε καὶ θύσαντας ἡλίου δυομένου ἐσβαίνειν μὴ ἐννυχεύοντας τῇ γῇ, κἂν μὲν τὸ πνεῦμα ἕπηται, πλεῖν, εἰ δὲ μή, ἀναψαμένους τὸ πλοῖον ἐν κοίλῳ ἀναπαύεσθαι. ξυμπίνειν γὰρ δὴ λέγονται τότε ὁ Ἀχιλλεύς τε καὶ ἡ Ἑλένη καὶ ἐν ᾠδαῖς εἶναι, τὸν ἔρωτά τε τὸν ἀλλήλων ᾄδειν καὶ Ὁμήρου τὰ ἔπη τὰ ἐπὶ τῇ Τροίᾳ καὶ τὸν Ὅμηρον αὐτόν· τὸ γὰρ τῆς ποιητικῆς δῶρον, ὃ παρὰ τῆς Καλλιόπης τῷ Ἀχιλλεῖ ἐφοίτησεν, ἐπαινεῖ ὁ Ἀχιλλεὺς ὅτι καὶ σπουδάζει μᾶλλον, ἐπειδὴ πέπαυται τῶν πολεμικῶν. τὸ γοῦν ᾆσμα τὸ ἐπὶ τῷ Ὁμήρῳ θεῖος αὐτῷ, ξένε, καὶ ποιητικῶς ξύγκειται. καὶ γὰρ ἐκεῖνο γιγνώσκει τε καὶ ᾄδει ὁ Πρωτεσίλεως.

1 Людямъ, плавающимъ по широкому пространству моря, не запрещается вступать на этотъ островъ (вѣдь онъ и лежитъ какъ гостепріимное убѣжище для кораблей), но строить на немъ жилища запрещено всѣмъ мореплавателямъ и живущимъ по берегамъ Понта, Эллинамъ и варварамъ. Приставшіе *сюда* должны по совершеніи жертвоприношенія при заходѣ солнца возвратиться *на корабли*, не ночуя на землѣ, и если дуетъ попутный вѣтеръ, то отправляться въ путь, а если нѣтъ, то, привязавъ корабль, спать внутри его, потому что въ это время, говорятъ, Ахиллъ и Елена пируютъ и занимаются пѣніемъ, именно воспѣваютъ свою взаимную любовь, Омировскія пѣсни о Троѣ и самого Омира; ибо Ахиллъ еще наслаждается поэтическимъ дарованіемъ, переданнымъ ему Каліопою, и занимается имъ больше *прежняго*, съ тѣхъ поръ какъ пересталъ воевать. Его пѣснь объ Омирѣ, гость, божественна и полна поэзіи; ее тоже знаетъ и поетъ Протесилай.

Φ. Ἐμοὶ δ' ἂν γένοιτο, ἀμπελουργέ, ἀκοῦσαι τοῦ ᾄσματος, ἢ οὐ θέμις ἐκφέρειν αὐτό;

Φ. А мнѣ можно было бы, виноградарь, послушать эту пѣснь, или нельзя открывать ее?

Ἀ. Καὶ μήν, ξένε, πολλοὶ τῶν προσελθόντων τῇ νήσῳ καὶ ἄλλα τοῦ Ἀχιλλέως ᾀδόντος ἀκούειν φασί, τουτὶ δὲ πέρυσιν, οἶμαι, τὸ ᾆσμα ἡρμόσατο χαριέστατα τῆς γνώμης καὶ τῶν διανοιῶν ἔχον. ξύγκειται δὲ ὧδε.

В. О нѣтъ, гость, напротивъ — многіе изъ посѣтившихъ этотъ островъ говорятъ, что слышали и другія пѣсни Ахилла, а эту пѣснь, въ высшей степени изящную по чувству и мыслямъ, онъ сочинилъ должно быть въ прошломъ году; вотъ она:

Ἀχώ, παρὰ μυρίον ὕδωρ
μεγάλου ναίουσα πλευρὰ Πόντου,
ψάλλει σε λύρα διὰ χειρὸς ἐμᾶς,
σὺ δὲ θεῖον Ὅμηρον ἄειδέ μοι,
κλέος ἀνέρων, κλέος ἀμετέρων πόνων,
δι' ὃν οὐ θάνον, δι' ὃν ἐστί μοι
Πάτροκλος, δι' ὃν ἀθανάτοις ἴσος
Αἴας ἐμός,
δι' ὃν ἀ δορίληπτος ἀεισομένα σοφοῖς
κλέος ἤρατο κοὐ πέσε Τροία.

«Эхо, обитающее у неизмѣримыхъ водъ на берегахъ обширнаго Понта! тебя воспѣваетъ лира подъ моею рукою; а ты воспой мнѣ божественнаго Омира, славу мужей, славу подвиговъ нашихъ, Омира, который даровалъ мнѣ Патрокла и безсмертіе, который сдѣлалъ моего Эанта равнымъ безсмертнымъ и доставилъ несокрушимую славу завоеванной Троѣ, воспѣваемой мудрецами».

Φ. Δαιμονίως γε ὁ Ἀχιλλεύς, ἀμπελουργέ, καὶ ἐπαξίως ἑαυτοῦ τε καὶ τοῦ Ὁμήρου. καὶ ἄλλως σοφὸν ἐν τοῖς λυρικοῖς ᾄσμασι τὸ μὴ ἀποτείνειν αὐτά, μηδὲ σχοινοτενῆ ἐργάζεσθαι. καὶ ἐκ παλαιοῦ ἄρα εὐδόκιμόν τε καὶ σοφὸν ἦν ἡ ποίησις.

Ф. Божественна эта пѣснь Ахилла, виноградарь, и достойна его самого и Омира; вообще въ лирическихъ стихотвореніяхъ умно избѣгать растянутости и напыщенности; недаромъ поэзія издревле считалась славною и премудрою.

Ἀ. Ἐκ παλαιοῦ, ξένε. καὶ γὰρ τὸν Ἡρακλέα φασὶν ἀνασταυρώσαντα τὸ Ἀσβόλου τοῦ κενταύρου σῶμα ἐπιγράψαι αὐτῷ τόδε τὸ ἐπίγραμμα·

В. Да, гость, издревле; вѣдь разсказываютъ, что Иракъ, распявши тѣло кентавра Асвола, сдѣлалъ надъ нимъ такую надпись:

Digitized by Google

Ἄσβολος οὔτε θεῶν τρομέων ὄπιν οὔτ' ἀνθρώπων
ὀξυκόμοιο κρεμαστὸς ἀπ' εὐλιπέος κατὰ πεύκης
ἄγχειμαι μέγα δεῖπνον ἀμετροβίοις κοράκεσσιν.

«Я, Асволъ, который не боялся гласа ни боговъ, ни людей, теперь повѣшенъ на остроигольной смолистой соснѣ и выставленъ на съѣденіе долговѣчнымъ воронамъ».

Φ. Ἀθλητής γε καὶ τούτων ὁ Ἡρακλῆς ἐγένετο μεγαληγορίαν ἐπαινῶν, ἀμπελουργέ, παρ' ἧς δεῖ δήπου τὸν ποιητὴν φθέγγεσθαι. ἀλλ' ἐπανίωμεν ἐπὶ τὴν νῆσον· ῥεῦμα γὰρ δή ὑπολαβὸν ἡμᾶς, οἷα πολλὰ περὶ τὸν Πόντον εἴλεῖται, παρέπλαγξε τοῦ λόγου.

Ф. И въ этомъ также, виноградарь, Иракъ явилъ себя знатокомъ, прибѣгнувъ къ торжественному тону, которымъ, конечно, должна звучать рѣчь поэта. Но возвратимся къ острову: вѣдь волна, подхвативъ насъ подобно многимъ *предметамъ*, носимымъ по Понту, увлекла насъ отъ нашего разговора.

Ἀ. Ἐπανίωμεν, ὦ ξένε· τὰ μὲν γὰρ ἄσματα τὰ ἐν αὐτῇ τοιαῦτα, καὶ ἡ φωνὴ δέ, ἣν ᾄδουσι, θεῖά τε ἠχεῖ καὶ λαμπρά· διήκει γοῦν τοσαύτη ἐς τὸ πέλαγος, ὡς φρίκην ἀνίστασθαι τοῖς ναύταις ὑπὸ ἐκπλήξεως. φασὶ δ' οἱ προσορμισάμενοι καὶ κτύπου ἀκούειν ἵππων καὶ ἦχου ὅπλων καὶ βοῆς, οἷον ἐν πολέμῳ ἀναφθέγγονται. εἰ δ' ὁρμισαμένων ἐς τὰ βόρεια ἢ τὰ νότια τῆς νήσου μέλλοι τις ἄνεμος ἐναντίος τῷ ὅρμῳ πνεῖν, κηρύττει ὁ Ἀχιλλεὺς κατὰ πρύμναν τοῦτο καὶ κελεύει μεθορμισαμένους ἐκστῆναι τῷ ἀνέμῳ. πολλοὶ δὲ καὶ τῶν ἐκπλεόντων τοῦ Πόντου προσπλέουσί τέ μοι καὶ ἀπαγγέλλουσι ταῦτα, καὶ νὴ Δί', ὡς, ἐπειδὰν προίδωσι τὴν νῆσον, ἅτε ἐν ἀπείρῳ πελάγει ἐμφερόμενοι περιβάλλουσί τε ἀλλήλους καὶ ἐς δάκρυα ὑφ' ἡδονῆς ἔρχονται, καταπλεύσαντες δὲ καὶ τὴν γῆν ἀσπασάμενοι βαδίζουσιν ἐπὶ τὸ ἱερὸν προσευξόμενοί τε τῷ Ἀχιλλεῖ καὶ θύσοντες. τὸ δὲ ἱερεῖον αὐτόματον τῷ βωμῷ προσέστηκε κατὰ τὴν ναῦν τε καὶ τοὺς ἐμπλέοντας. τὸ μὲν δὴ περὶ τὴν κάλπιν τὴν χρυσῆν τὴν ἐν Χίῳ ποτὲ φανεῖσαν τῇ νήσῳ εἴρηται, ξένε, σοφοῖς ἀνδράσι καὶ τί ἂν τις ἀριζήλως εἰρημένων αὖθις ἅπτοιτο; (18) ἐμπόρῳ δὲ λέγεται θαμίζοντί ποτε ἐς τὴν νῆσον φαίνεσθαι μὲν ὁ Ἀχιλλεὺς αὐτός, διηγεῖσθαι δὲ αὐτῷ τὰ ἐν Τροίᾳ, ξενίσαι δὲ αὐτὸν καὶ ποτῷ κελεῦσαί τε ἐκπλεύσαντα ἐς Ἴλιον ἀναγαγεῖν οἱ κόρην Τρωάδα, τὴν δεῖνα εἰπὼν δουλεύουσαν τῷ δεῖνι ἐν Ἰλίῳ. θαυμάσαντος δὲ τοῦ ξένου τὸν λόγον καὶ διὰ τὸ θαρρεῖν ἤδη ἐρομένου αὐτόν, τί δέοιτο δούλης Ἰλιάδος, «ὅτι», ἔφη, «ξένε, γέγονεν ὅθεν περ ὁ Ἕκτωρ καὶ οἱ πρὸ αὐτοῦ ἄνω, λοιπὴ δ' ἐστὶ τοῦ Πριαμιδῶν τε καὶ Δαρδανιδῶν αἵματος». ὁ μὲν δὴ ἔμπορος ἐρᾶν τὸν Ἀχιλλέα ᾤετο καὶ πριάμενος τὴν κόρην ἐς τὴν νῆσον ἀνέπλευσεν, ὁ δὲ Ἀχιλλεὺς ἐπαινέσας αὐτὸν ἥκοντα τὴν μὲν προσέταξε

В. Возвратимся, гость! итакъ, вотъ каковы пѣсни, которыя поются на этомъ островѣ, а голосъ, которымъ поютъ, звучитъ божественно и прекрасно; онъ съ такою силою разносится по морю, что повергаетъ моряковъ въ трепетъ ужаса. Пристававшіе къ острову утверждаютъ, что слыхали и конскій топотъ и звукъ оружія и крикъ, какой поднимаютъ на войнѣ. Если кто пристанетъ къ сѣверной или южной сторонѣ острова и начнетъ подниматься вѣтеръ, неблагопріятный для стоянки, то Ахиллъ возвѣщаетъ объ этомъ у кормы и приказываетъ укрыться отъ вѣтра, перемѣнивши мѣсто стоянки. Многіе изъ числа выѣзжающихъ изъ Понта являются ко мнѣ съ такими разсказами и, клянусь Зевсомъ, *увѣряютъ*, что при видѣ этого острова они, носимые по безпредѣльному морю, обнимаютъ другъ друга и проливаютъ радостныя слезы, а приставши къ острову и привѣтствовавъ землю, идутъ къ храму, чтобы помолиться и принести жертву Ахиллу, при чемъ жертвенное животное, соотвѣтственно кораблю и его экипажу, добровольно становится у алтаря. Что касается золотой урны, нѣкогда явившейся на островѣ Хіосѣ, то объ этомъ, гость, уже сказали умные люди, стало быть зачѣмъ же повторять вполнѣ извѣстные разсказы? (18). А вотъ, разсказываютъ, что одному купцу, часто посѣщавшему этотъ островъ, явился однажды самъ Ахиллъ, разсказалъ событія подъ Троей, угостилъ напиткомъ и приказалъ отправиться въ Иліонъ и оттуда привезти ему такую-то Троянскую дѣвушку, служащую у такого-то въ Иліонѣ. Когда-же купецъ, удивившись его словамъ и уже ободрившись, спросилъ Ахилла, зачѣмъ нужна ему Троянская рабыня, тотъ отвѣчалъ: «затѣмъ, гость, что она одного рода съ Гекторомъ

Digitized by Google

φυλάττειν ἑαυτῷ ἐν τῇ νηὶ δι', οἶμαι, τὸ μὴ ἐσβατὸν εἶναι γυναιξὶ τὴν νῆσον, αὐτὸν δὲ ἐσπέρας ἥκειν ἐς τὸ ἱερὸν καὶ εὐωχεῖσθαι μετ' αὐτοῦ τε καὶ Ἑλένης· ἀφικομένῳ δὲ πολλὰ μὲν χρήματα ἔδωκεν, ὧν ἥττους ἔμποροι, ξένον δ' αὐτὸν ποιεῖσθαι ἔφη διδόναι τέ οἱ τὴν ἐμπορίαν ἐνεργὸν καὶ τὴν ναῦν εὐπλοεῖν. ἐπεὶ δὲ ἡμέρα ἐγένετο, «σὺ μὲν πλεῖ» ἔφη «ταῦτ' ἔχων, τὴν δὲ κόρην ἐπὶ τοῦ αἰγιαλοῦ λίπε μοι». οὕτω στάδιον ἀπεῖχον τῆς γῆς καὶ οἰμωγὴ προσέβαλλεν αὐτοὺς τῆς κόρης διασπωμένου αὐτὴν τοῦ Ἀχιλλέως καὶ μελειστὶ ξαίνοντος. (19) Ἀμαζόνας δέ, ἃς ἔνιοι τῶν ποιητῶν φασιν ἐλθεῖν ἐς Τροίαν Ἀχιλλεῖ μαχουμένας, οὐκ ἀπέκτεινεν ὁ Ἀχιλλεὺς ἐν Τροίᾳ· πιθανὸν γὰρ οὐκ οἶδ' ὅπως Πριάμου πολεμήσαντος αὐταῖς ὑπὲρ Φρυγῶν κατὰ Μυγδόνα ξυμμάχους Ἀμαζόνας ὕστερον ἐλθεῖν Ἰλίῳ, ἀλλ' οἶμαι κατὰ τὴν Ὀλυμπιάδα, ἣν τὸ πρῶτον ἑνίκα στάδιον Λεωνίδας ὁ Ῥόδιος, ἀπώλεσεν αὐτῶν ὁ Ἀχιλλεὺς τὸ μαχιμώτατον ἐν αὐτῇ, φασί, τῇ νήσῳ.

и его предками и *теперь* осталась послѣднею въ родѣ Пріамидовъ и Дарданидовъ».

Купецъ, подумавъ, что Ахиллъ любитъ эту дѣвушку, купилъ ее и возвратился на островъ; Ахиллъ похвалилъ его во возвращеніи и приказалъ поберечь для него дѣвушку на кораблѣ — вѣроятно потому, что женщины не допускаются на островъ, — а самому придти вечеромъ въ храмъ и отужинать вмѣстѣ съ нимъ и Еленой. Когда тотъ явился, Ахиллъ далъ ему много денегъ, до которыхъ жадны купцы, объявилъ его своимъ кунакомъ и обѣщалъ прибыльную торговлю и благополучное плаваніе *его* кораблю; съ наступленіемъ же дня Ахиллъ сказалъ ему: «теперь ты отправляйся съ этимъ въ путь, а дѣвицу оставь мнѣ на берегу». Но не успѣли они и стадіи отплыть отъ острова, какъ до нихъ донесся вопль дѣвушки, которую Ахиллъ терзалъ и разрывалъ на части.

(19). Что же касается Амазонокъ, которыя по разсказамъ нѣкоторыхъ поэтовъ явились въ Трою для борьбы съ Ахилломъ, то онъ не убивалъ ихъ подъ Троей; мнѣ кажется мало вѣроятнымъ, чтобы Амазонки, съ которыми Пріамъ воевалъ во время Мигдона въ защиту Фригійцевъ, впослѣдствіи пришли на помощь Иліону. Но я думаю, что въ ту олимпіаду, когда Леонидъ Родосскій одержалъ первую побѣду на стадіи, Ахиллъ истребилъ самый воинственный отрядъ ихъ на самомъ, говорятъ, островѣ.

Φ. Μεγάλου, ὦ ἀμπελουργέ, ἥψω λόγου, καὶ τὰ ὠτά μοι ἤγειρας καὶ ἄλλως ἑστηκότα πρὸς τοὺς σοὺς λόγους· ἥκειν δέ σοι καὶ ταῦτα εἰκὸς παρὰ τοῦ Πρωτεσίλεω.

Ф. Удивительныя вещи разсказалъ ты, виноградарь, и возбудилъ мое вниманіе, которое и безъ того жадно ждетъ твоихъ разсказовъ. Вѣроятно это ты слышалъ тоже отъ Протесилая.

Α. Παρὰ τούτου, ξένε, τοῦ χρηστοῦ διδασκάλου, πολλοῖς δὲ καὶ τῶν ἐς τὸν Πόντον ἐσπεπλευκότων δῆλα δὴ ταῦτα. κατὰ γὰρ τὴν ἄξενον τοῦ Πόντου πλευράν, ᾗ τὰ ὄρη τὰ Ταυρικὰ τέταται, λέγονταί τινες οἰκεῖν Ἀμαζόνες, ἣν Θερμώδων τε καὶ Φάσις ἐξερχόμενοι τῶν ὀρῶν περιβάλλουσιν ἤπειρον, ἃς ὁ πατήρ τε καὶ φυτουργὸς αὐτῶν Ἄρης ἐπαίδευσεν ἐν ὁμιλίᾳ τῶν πολεμικῶν εἶναι καὶ ζῆν ἔνοπλόν τε καὶ ἔφιππον βίον, βουκολεῖσθαι δὲ αὐταῖς ἵππον ἐν τοῖς ἕλεσιν ἀποχρῶσαν τῷ στρατῷ. ἀνδράσι μὲν δὴ ἐνομιλεῖν οὐ παρέχειν σφᾶς τὴν ἑαυτῶν χώραν, αὐτὰς δ', ἐπειδὰν δέωνται τέκνων, κατιούσας ἐπὶ ποταμὸν Ἅλυν ἀγο-

В. Да, гость, отъ этого славнаго учителя. Объ этомъ знаютъ многіе изъ тѣхъ, которые плавали по Понту. У негостепріимной стороны Понта, гдѣ тянутся Таврическія горы, въ странѣ, которую окружаютъ вытекающія съ горъ рѣки Ѳермодонтъ и Фасидъ, живутъ, по разсказамъ, нѣкія Амазонки; ихъ отецъ и родоначальникъ Арей пріучилъ ихъ заниматься военными дѣлами и проводить жизнь въ оружіи и на копяхъ, а въ низинахъ у нихъ пасется достаточное для войска количество лошадей. Они не допускаютъ мужчинъ въ свою землю, но сами, когда пожелаютъ *имѣть* дѣтей, спускаются къ рѣкѣ

Digitized by Google

ράζειν τε καὶ ξυγγίγνεσθαι τοῖς ἀνδράσιν, ἔνθ' ἔτυχεν, ἀπελθούσας τε ἐς ἤθη καὶ οἴκους, ἃ μὲν ἂν τέκωσι ἄρρενα, φέρειν ἐπὶ τὰ ὅρια τῆς χώρας, ὅπως ἀνέλοιεν αὐτὰ οἱ φύσαντες, τοὺς δὲ ἀναιρεῖσθαί τε, ὧν ἕκαστος ἔτυχε, καὶ ποιεῖσθαι δούλους, ἃ δ' ἂν ἀποτέκωσι θηλέα, φιλεῖν τε ἤδη λέγονται καὶ ὁμόφυλα ἡγεῖσθαι, θεραπεύειν τε, ᾗ φύσις μητέρων, πλὴν τοῦ ἐπισχεῖν γάλα· τουτὶ δὲ πράττουσι διὰ τὰς μάχας, ὡς μήτε αὐτὰ θηλύνοιντο, μήτε τοὺς μαζοὺς ἀποχρεμῷντο. τὸ μὲν δὴ ὄνομα ταῖς Ἀμαζόσιν ἐκ τοῦ μὴ μαζῷ τρέφεσθαι κεῖσθαι ἡγώμεθα, τρέφουσι δὲ τὰ βρέφη γάλακτί τε φορβάδων ἵππων καὶ δρόσου κηρίοις, ἢ μέλιτος δίκην ἐπὶ τοὺς δόνακας τῶν ποταμῶν ἰζάνει. τὰ δὲ ποιηταῖς τε καὶ μυθολόγοις περὶ τῶν Ἀμαζόνων τούτων εἰρημένα παραιτησώμεθα τοῦ λόγου, πρόσφορα γὰρ οὐκ ἂν τῇ παρούσῃ σπουδῇ γένοιτο, τὸ δὲ περὶ τὴν νῆσον ἔργον, ὁποῖόν τι αὐταῖς ἐπράχθη καὶ ἐς ὅ τι ἐτελεύτησε, λεγέσθω μᾶλλον, ἐπειδὴ τῶν τοῦ Πρωτεσίλεω λόγων ἐστί· (20) ναῦται γὰρ ἐπὶ νεῶν ποτε πλειόνων καὶ ναυπηγοὶ τῶν ἐς Ἑλλήσποντον ἀπαγόντων ἐκ τοῦ Πόντου ὤνια κατηνέχθησαν ἐς τὴν ἀριστερὰν τοῦ πελάγους ὄχθην, περὶ ἣν αἱ γυναῖκες οἰκεῖν λέγονται, ληφθέντες δὲ ὑπ' αὐτῶν χρόνον μέν τινα ἐδέδεντο σιτούμενοι πρὸς φάτναις, ἵνα ἀποδῶνται σφᾶς ὑπὲρ τὸν ποταμὸν ἄγουσαι τοῖς ἀνδροφάγοις Σκύθαις· ἐπεὶ δὲ μειράκιον ξὺν αὐτοῖς ληφθὲν μία τῶν Ἀμαζόνων ἐπὶ τῇ ὥρᾳ ἠλέησε καί τις ἔρως ἐκ τούτου ἐγένετο, παραιτεῖται τὴν δυναστεύουσαν ἀδελφὴν οὖσαν μὴ ἀποδόσθαι τοὺς ξένους, λυθέντες δὲ καὶ πρὸς αὐτὰς ξυγκραθέντες ἐφθέγγοντο ἤδη τὸν ἐκείνων τρόπον, τόν τε χειμῶνα καὶ τὰ ἐν τῇ θαλάττῃ διηγούμενοι παρῆλθον ἐς μνήμην τοῦ ἱεροῦ προσπεπλευκότες οὐ πάλαι τῇ νήσῳ καὶ διῇεσαν τὸν ἐν αὐτῷ πλοῦτον. αἱ δ' εὕρημα ποιησάμεναι τοὺς ξένους, ἐπειδὴ ναῦταί τε ἦσαν καὶ νεῶν τέκτονες, οὖσης καὶ ἄλλως ναυπηγησίμου σφίσι τῆς χώρας ποιοῦνται ναῦς τὸν ἱππαγωγῶν τρόπον, ὡς τὸν Ἀχιλλέα σχήσουσαι ταῖς ἵπποις· καταβᾶσαι γὰρ ἵππων Ἀμαζόνες θῆλύ τέ εἰσι γένος καὶ ἀτεχνῶς γυναῖκες. εἰρεσίας μὲν δὴ πρῶτον ἥψαντο καὶ πλεῖν ἐμελέτησαν, ὡς δ' ἐπιστήμην τοῦ πλεῖν ξυνελέξαντο, ἄρασαι περὶ ἔαρ ἀπὸ τῶν ἐκβολῶν τοῦ Θερμώδοντος ἀφῆκαν ἐς τὸ ἱερὸν σταδίους μάλιστα δισχιλίους ἐπὶ νεῶν, οἶμαι, πεντήκοντα, καὶ

Алію и тамъ знакомятся и вступаютъ въ сношеніе съ мужчинами гдѣ придется, а затѣмъ, возвратившись домой къ обычной жизни, новорожденныхъ мужескаго пола выносятъ на границы своей страны, чтобы ихъ тамъ взяли отцы; тѣ *дѣйствительно* берутъ, кому кого придется, и дѣлаютъ своими рабами; дѣтей же женскаго пола Амазонки, по разсказамъ, любятъ и считаютъ своими единокровными, ухаживаютъ за ними по матерински, только не кормятъ своимъ молокомъ; это онѣ дѣлаютъ ради сраженій, чтобы и малютки не изнѣживались и у нихъ самихъ не отвисали груди. Нужно думать, что и самое имя Амазонокъ произошло отъ того, что онѣ не питаются грудью, а кормятъ своихъ дѣтей кобыльимъ молокомъ и сотами росы, которая на подобіе меда осаждается на рѣчныхъ тростникахъ. Мы опустимъ здѣсь разсказы поэтовъ и миѳологовъ объ этихъ Амазонкахъ, такъ какъ они оказались бы неподходящими для нашей бесѣды; скажемъ лучше объ ихъ походѣ на островъ, какъ онъ совершился и чѣмъ окончился, такъ какъ это *одинъ* изъ *числа* разсказовъ Протесилая. (20). Дѣло было такъ: разъ какъ-то моряки и корабельщики, возившіе товары изъ Понта въ Геллеспонтъ, были занесены на довольно многихъ кораблях къ лѣвому берегу моря, гдѣ по разсказамъ живутъ тѣ женщины; послѣднія захватили ихъ въ плѣнъ и нѣкоторое время кормили ихъ связанными у яслей, чтобы потомъ перевезти за рѣку и продать людоѣдамъ-Скиѳамъ. Но одной изъ Амазонокъ жаль стало одного юношу, захваченнаго вмѣстѣ съ ними, за его красоту, а затѣмъ *между ними* возникла любовь; тогда Амазонка упросила царицу, которая приходилась ей сестрой, не продавать чужестранцевъ. Такимъ образомъ они были освобождены, вступили съ Амазонками въ сношенія и стали уже говорить на ихъ языкѣ; однажды, разсказывая имъ о бурѣ и морскихъ приключеніяхъ, они упомянули о храмѣ, такъ какъ незадолго передъ этимъ приставали къ острову, и описали его богатства. Амазонки, воспользовавшись той счастливой случайностью, что чужестранцы были моряки и кораблестроители, а въ нихъ собственной странѣ было много судостроительныхъ матеріаловъ, приказываютъ имъ

Digitized by Google

προσορμισάμεναι τῇ νήσῳ πρῶτον μὲν ἐκέλευσαν τοὺς Ἑλλησποντίους ξένους ἐκκόπτειν τὰ δένδρα, οἷς κεκόσμηται κύκλῳ τὸ ἱερόν· ἐπεὶ δὲ οἱ πελέκεις ἐς αὐτοὺς ἀνακοπέντες τοῖς μὲν ἐς κεφαλὴν ἐχώρησαν, τοῖς δὲ ἐς αὐχένα πάντες τε πρὸς τοῖς δένδρεσιν ἔπεσον, ἐπεχύθησαν αἱ Ἀμαζόνες τῷ ἱερῷ βοῶσαί τε καὶ τὰς ἵππους ἐλαύνουσαι. ὁ δὲ θερμόν τε καὶ δεινὸν ἐς αὐτὰς ἰδὼν καὶ πηδήσας οἷον ἐπὶ Σκαμάνδρῳ τε καὶ Ἰλίῳ πτοίαν μὲν χαλινοῦ κρείττω ταῖς ἵπποις ἐνέβαλεν, ὑφ' ἧς ἀνεσκίρτησαν ἀλλότριόν τε καὶ περιττὸν ἄχθος ἡγούμεναι τὰς γυναῖκας, ἐς δὲ θηρίων ἦθη μετέστησαν καὶ κειμέναις ἐμπεσοῦσαι ταῖς Ἀμαζόσι τάς τε ὁπλὰς ἐνῆρειδον καὶ τὰς χαίτας ἔφριττον καὶ τὰ ὦτα ἐπ' αὐτὰς ἵστασαν, καθάπερ τῶν λεόντων οἱ ὦμοί, κειμένων τε γυμνὰς ὠλένας ἤσθιον καὶ τὰ στέρνα ῥηγνῦσαι προσέκειντο τοῖς σπλάγχνοις καὶ ἐλάφυσσον, ἐμφορηθεῖσαι δὲ ἀνθρωπείου βρώσεως ἐκρόαινον περὶ τὴν νῆσον καὶ ἐμαίνοντο μεσταὶ λύθρου, στᾶσαι δὲ ἐπὶ τῶν ἀκρωτηρίων καὶ τὰ νῶτα τοῦ πελάγους ἰδοῦσαι πεδίῳ τε ᾤοντο ἐντετυχηκέναι καὶ κατὰ τῆς θαλάττης ἑαυτὰς ἧκαν. ἀπώλοντο δὲ καὶ αἱ νῆες τῶν Ἀμαζόνων ἀνέμου σφοδροῦ ἐς αὐτὰς πνεύσαντος. ἅτε γὰρ κεναὶ καὶ οὐδενὶ κόσμῳ ὡρμισμέναι προσέπιπτον ἀλλήλαις καὶ ξυνηράττοντο. ναῦς τε ὥσπερ ἐν ναυμαχίᾳ κατέδυε ναῦν καὶ ἀνερρήγνυ, καὶ ὁπόσας ἐγκαρσίους τε καὶ ἀντιπρώρους ἐμβολὰς ποιοῦνται κυβερνῆται ναύμαχοι, πᾶσαι ξυνέπεσον ἐν ναυσὶ κεναῖς καὶ οὐκ ἐκ προνοίας πλεούσαις. πολλῶν δὲ ναυαγίων τῷ ἱερῷ προσενεχθέντων καὶ ἀνθρώπων ἐν αὐτῷ κειμένων ἐμπνεόντων ἔτι καὶ ἡμιβρώτων μελῶν τε ἀνθρωπείων ἐσπαρμένων καὶ σαρκῶν, ἃς διέπτυσαν αἱ ἵπποι, κάθαρσιν ὁ Ἀχιλλεὺς ποιεῖται τῆς νήσου ῥᾳδίαν· κορυφὴν γὰρ τοῦ πόντου ἐπισπασάμενος ἀπένιψέ τε καὶ ἀπέκλυσε ταῦτα...

построить корабли для перевозки лошадей, чтобы на коняхъ сдѣлать нападеніе на Ахилла, такъ какъ Амазонки, когда слѣзутъ съ коней, оказываются слабыми и въ полномъ смыслѣ женщинами. Итакъ онѣ сначала взялись за весла и стали учиться плавать, а когда научились мореходному искусству, то весною отправившись на 50—думаю—корабляхъ отъ устья Термодонта, отплыли къ храму, *до котораго было* около двухъ тысячъ стадій; приставши къ острову, онѣ прежде всего приказали Геллеспонтскимъ чужеземцамъ вырубать деревья, которыми былъ обсаженъ кругомъ храмъ; когда же топоры, отраженные на нихъ самихъ, однимъ попадали на голову, другимъ на шею, и *такимъ образомъ* всѣ пали подъ деревьями, *тогда* сами Амазонки бросились на храмъ, крича и подгоняя коней. Но Ахиллъ, страшно и грозно взглянувъ на нихъ и прыгнувъ, какъ при Скамандрѣ и Иліонѣ, навелъ такой ужасъ на коней, что они, не повинуясь уздѣ, поднялись на дыбы, сбросили съ себя женщинъ, какъ чуждое и лишнее для себя бремя, и, разсвирѣпѣвъ какъ дикіе звѣри, бросились на лежащихъ Амазонокъ и стали бить ихъ копытами; гривы ихъ поднялись дыбомъ и уши навострились, какъ у свирѣпыхъ львовъ; они стали грызть обнаженныя руки лежащихъ *женщинъ* и, разрывая ихъ груди, бросались на внутренности и пожирали ихъ. Насытившись человѣческимъ мясомъ, они стали бѣгать по острову и бѣситься, полные заразы, а *потомъ*, остановившись на береговыхъ возвышенностяхъ и увидѣвъ морскую поверхность, они приняли ее за равнину и бросились въ море. Погибли также и корабли Амазонокъ отъ налетѣвшаго на нихъ сильнаго вѣтра; такъ какъ они были пусты и были причалены безъ всякаго порядка, то стали сталкиваться между собою и разбиваться, одинъ корабль топилъ и разбивалъ другой, какъ будто въ морскомъ сраженіи; всѣ боковые и носовые удары, какіе наносятъ кормчіе во время битвы, *сами собою* происходили между пустыми кораблями, носившимися *по морю* въ безпорядкѣ; а такъ какъ много корабельныхъ обломковъ было принесено волнами къ храму, вокругъ него лежали еще живые, полусъѣденные люди и повсюду разбросаны были человѣческіе

Digitized by Google

членыи выброшенные лошадьми куски мяса, то Ахиллъ легкимъ способомъ произвелъ очищеніе острова: онъ поднялъ поверхность моря и *такимъ образомъ все* это смылъ и очистилъ...

ΕΙΚΟΝΕΣ.

КАРТИНЫ.

Переводъ В. Л.

Βιβλ. Α', κεφ. ΙΒ'. ΒΟΣΠΟΡΟΣ.

Кн. 1, гл. 12. ВОСПОРЪ.

§ 7... Φοιτῶσιν οἱ θύννοι τῇ ἔξω θαλάττῃ παρὰ τοῦ Πόντου γένεσιν ἐν αὐτῷ σχόντες καὶ νομὰς τὰς μὲν ἰχθύων, τὰς δὲ ἰλύων καὶ χυμῶν ἑτέρων, οὓς Ἴστρος ἐς αὐτὸν φέρει καὶ Μαιῶτις, ὑφ' ὧν γλυκερώτερος καὶ ποτιμώτερος ἄλλης θαλάττης ὁ Πόντος...

...Тунцы идутъ по внѣшнему морю отъ Понта, родившись тамъ и откормившись частію рыбою, частію иломъ и прочими соками, которые наносятъ туда Истръ и Меотида и вслѣдствіе которыхъ *вода въ* Понтѣ прѣснѣе и пригоднѣе для питья, чѣмъ въ другихъ моряхъ...

Βιβλ. Β', κεφ. ΙΕ'. ΓΛΑΥΚΟΣ ΠΟΝΤΙΟΣ.

Кн. 2, гл. 15. ГЛАВКЪ ПОНТІЙСКІЙ.

(Init.). Βοσπόρου καὶ Ξυμπληγάδων ἡ Ἀργὼ διεκπλεύσασα μέσον ἤδη τέμνει τὸ ῥόθιον τοῦ Πόντου... γνώμη δὲ ἐς τὸν πλοῦν ἥδε· χρυσοῦν ἀπόκειταί τι ἐν Κόλχοις κώδιον κριοῦ ἀρχαίου, ὃς λέγεται τὴν Ἕλλην ὁμοῦ τῷ Φρίξῳ διὰ τοῦ οὐρανοῦ πορθμεῦσαι· τοῦτο Ἰάσων ἐλεῖν, ὦ παῖ, πεποίηται ἆθλον — φρουρὸς γάρ τις αὐτῷ δράκων ἐμπέπλεκται δεινὸν βλέπων καὶ ὑπερορῶν τοῦ καθεύδειν — ὅθεν ἄρχει τῆς νεώς, ἐπειδὴ βλέπει ἐς αὐτὸν ἡ τοῦ πλοῦ αἰτία...

Арго, пройдя Воспоръ и Симплегады уже разсѣкаетъ волны среди Понта... А цѣль плаванія состоитъ въ слѣдующемъ: въ землѣ Колховъ хранится нѣкое золотое руно древняго барана, который, говорятъ, перевезъ по воздуху Геллу вмѣстѣ съ Фриксомъ. Его-то достать Іасонъ и поставилъ себѣ задачею (вокругъ него обвился стерегущій его драконъ съ страшнымъ взоромъ и никогда не засыпающій); поэтому-то онъ и управляетъ кораблемъ, такъ какъ имъ поставлена цѣль плаванія...

ΦΙΛΟΣΤΡΑΤΟΥ ΤΟΥ ΝΕΩΤΕΡΟΥ ΕΙΚΟΝΕΣ.

ФИЛОСТРАТА МЛАДШАГО КАРТИНЫ.

Η'. ΑΘΥΡΟΝΤΕΣ.

8. ИГРАЮЩІЕ.

(§ 3). Ἄγουσα τοὺς πεντήκοντα ἡ Ἀργὼ ἐνώρμισται τῷ Φάσιδι Βόσπορόν τε καὶ Ξυμπληγάδας διεξελθοῦσα. ὁρᾷς δὲ καὶ τὸν ποταμὸν αὐτὸν ἐν βαθεῖ δόνακι κείμενον, ἐν βλοσυρῷ τῷ εἴδει· κόμη τε γὰρ ἀμφιλαφὴς αὐτῷ καὶ ἀνεστηκυῖα, γενειάς τε ὑποφρίττουσα καὶ γλαυκιῶντες ὀφθαλμοί, τό τε ἀθρόον τοῦ ῥεύματος οὐκ ἀπὸ κάλπιδος ἐκχεόμενον, ἥπερ οὖν εἰώθεν, ἀλλ' ἀπὸ παντὸς ἐκπλημμῦρον ἐννοεῖν δίδωσιν ἡμῖν, ὁπόσος ἐπιχεῖται τῷ Πόντῳ· τὸν δὲ

...Везущій пятьдесятъ *витязей корабль* Арго стоитъ на якорѣ въ Фасидѣ, пройдя сквозь Воспоръ и Симплегады. Ты видишь и самого *бога* рѣки, лежащаго въ густомъ тростникѣ, суровой наружности, волосы у него густые и торчащіе дыбомъ, страшная борода и свѣтлые глаза; изобильный потокъ изливается не изъ чаши, какъ *изображаютъ* обыкновенно, но въ изобиліи течетъ изъ всего *его тѣла* и даетъ намъ *возможность* представить *себѣ*,

Digitized by Google

τῆς ναυτιλίας ἆθλον ἀκούεις, οἶμαι, καὶ ποιητῶν τὸ χρυσοῦν δέρας λεγόντων πασιμέλουσάν τε τὴν Ἀργὼ καὶ Ὁμήρου ᾠδαὶ φράζουσιν...

какова сила его впаденія въ Понтъ. О цѣли плаванія ты, я думаю, слышалъ, такъ какъ и поэты говорятъ о золотомъ руно и Омировскія поэмы называютъ Арго всезвѣстною [1])...

ΙΑ'. ΑΡΓΩ Η ΑΙΗΤΗΣ.

Ἡ διεκπαίουσα τοῦ ποταμοῦ ναῦς ὑπὸ πολλῷ τῷ ῥοθίῳ τῆς εἰρεσίας κόρη τε τις αὐτῇ ἐπὶ τῆς πρύμνης ὁπλίτου πλησίον καὶ ὁ ἐμμελὴς προσᾴδων τοῖς τῆς κιθάρας κρούμασι ξὺν ὀρθῇ τιάρᾳ ὅ τε ὑπὲρ τῆς ἱερᾶς ἐκείνης φηγοῦ δράκων πολλῷ σπειράματι κεχυμένος καὶ τὴν κεφαλὴν εἰς τὴν γῆν νεύων ὕπνῳ βριθουσαν — τὸν ποταμὸν μὲν Φᾶσιν γίγνωσκε, Μήδειαν δὲ ταύτην, ὁ δ' ἐπὶ τῆς πρύμνης ὁπλίτης Ἰάσων ἂν εἴη, κιθάραν δὲ καὶ τιάραν ὁρῶντας καὶ τὸν δὴ ἀμφοῖν κοσμούμενον Ὀρφεὺς ὕπεισιν ἡμᾶς ὁ τῆς Καλλιόπης. μετὰ γὰρ τὸν ἐπὶ τοῖς ταύροις ἆθλον θέλξασα ἐς ὕπνον τὸν δράκοντα τοῦτον ἡ Μήδεια σεσύληται μὲν τὸ χρυσόμαλλον τοῦ κριοῦ νάκος, φυγῇ δὲ ἵενται λοιπὸν οἱ τῆς Ἀργοῦς πλωτῆρες, ἐπειδὴ ἀνάπυστα τοῖς Κόλχοις καὶ τῷ Αἰήτῃ τὰ τῆς κόρης. καὶ τὰ μὲν τῶν τῆς Ἀργοῦς ναυβατῶν τί ἂν σοι λέγοιμι; ὁρᾷς γὰρ βραχίονας μὲν ἐξῳδηκότας αὐτοῖς ὑπὸ τοῦ ἐς τὴν εἰρεσίαν ξυντόνου, τὰ δὲ πρόσωπα οἷα γένοιτ' ἂν ἑαυτοὺς σπερχόντων, τὸ δὲ τοῦ ποταμοῦ κλυδώνιον ὑπερκαχλάζον τοῦ τῆς νεὼς ἐμβόλου καταφερομένης σὺν πολλῇ τῇ ῥύμῃ τάχους δεῖγμα. ἡ κόρη δὲ ἀμήχανόν τινα νοῦν δείκνυσιν ἐκ τοῦ προσώπου, ὄμμα μὲν γὰρ αὐτῇ δεδακρυμένον ἐς γῆν ὁρᾷ, περίφοβος δέ ἐστιν ὑπ' ἐννοίας ὧν δέδρακε, καὶ λογισμοῦ τῶν μελλόντων πλήρης, αὐτή τε πρὸς ἑαυτὴν ἀνακυκλεῖν δοκεῖ μοι τὰς ἐννοίας διορῶσα τῇ ψυχῇ ἕκαστα καὶ πεπηγυῖα τὰς τῶν ὀφθαλμῶν βολὰς ἐς τὰ τῆς ψυχῆς ἀπόρρητα. Ἰάσων δὲ αὐτῇ πλησίον ξὺν ὅπλοις ἕτοιμος ἐς ἄμυναν. ὁδὶ δὲ τὸ ἐνδόσιμον τοῖς ἐρέταις ᾄδει, ὕμνους, μοι δοκεῖν, ἀνακρουόμενος θεοῖς τοὺς μὲν χαριστηρίους ἐφ' οἷς κατωρθώκασι, τοὺς δὲ ἐς ἱκεσίαν τείνοντας ἐφ' οἷς δεδοίκασιν. ὁρᾷς δὲ καὶ τὸν Αἰήτην ἐπὶ τετρώρου μέγαν τε καὶ [ὑπεραίροντα ἀνθρώπους] ὅπλα μὲν ἐνδεδυκότα ἀρήια γίγαντος, οἶμαί, τινος, τὸ γὰρ ὑπὲρ ἄνθρωπον τοῦθ' ἡγεῖσθαι δίδωσι, θυμοῦ δὲ τὸ πρόσω-

11. АРГО или ЭИТЪ.

Выбивающійся изъ рѣки на веслахъ среди сильнаго волненія корабль, эта дѣвушка на кормѣ вблизи воина въ тяжеломъ вооруженіи, *пѣвецъ* въ прямой тіарѣ, поющій подъ звуки кнеары, драконъ на этомъ священномъ дубѣ, обвившій его длинною спиралью и склоняющій къ землѣ отягощенную сномъ голову... Знай, что *эта* рѣка—Фасидъ, эта *дѣвушка*—Мидія, *стоящій* на кормѣ оплитъ—безъ сомнѣнія Іасонъ, а при видѣ кнеары, тіары и украшеннаго тою и другою *пѣвца* намъ представляется *въ умѣ* Орфей, сынъ Калліопы. Послѣ *совершеннаго Іасономъ* подвига съ быками Мидія, усыпивъ этого дракона, похитила златорунную шкуру барана и затѣмъ пловцы на Арго устремляются въ бѣгство, такъ какъ дѣяніе дѣвушки стало извѣстно Колхамъ и Эиту. Что сказать тебѣ о матросахъ Арго? ты видишь, что предплечья вздулись у нихъ отъ напряженія при греблѣ, лица — какія бываютъ у торопящихся, и волны рѣки, клокочущія надъ носомъ корабля, несущагося съ большимъ напоромъ, показываютъ поспѣшность. Лицо дѣвушки выражаетъ тяжелую думу: заплаканные глаза смотрятъ въ землю, она поражена страхомъ при мысли о томъ, что она сдѣлала, поглощена думами о будущемъ и, какъ мнѣ кажется, переходитъ отъ одной мысли къ другой, перебирая въ умѣ каждый *фактъ* и устремивъ взоры въ тайники своей души. Рядомъ съ нею Іасонъ во всеоружіи, готовый къ защитѣ. А этотъ *пѣвецъ* поетъ прелюдію гребцамъ и, какъ кажется, начинаетъ гимны богамъ, то съ благодарностью за удачу, то съ мольбою *о помощи* въ томъ, что имъ угрожаетъ. Ты видишь и Эита на четверикѣ, огромнаго и [превышающаго *всѣхъ* людей] облеченнаго въ военные доспѣхи, я думаю, одного изъ гигантовъ, ибо такъ заставляетъ предполагать ихъ сверхъестественная *величина*; лицо его пышетъ

1) Hom. *Od.* 12, 70 (v. supra, p. 301).

Digitized by Google

πον πλήρη καὶ μόνον οὐ πῦρ ἐξιέντα τῶν ὀφθαλμῶν, λαμπάδιόν τε τῇ δεξιᾷ αἰωροῦντα, ἐμπρήσειν γὰρ αὐτοῖς πλωτῆρσι τὴν Ἀργώ, τὸ δόρυ δὲ αὐτῷ ὑπὲρ τὴν ἄντυγα τοῦ δίφρου πρόχειρον ἵσταται...

гнѣвомъ, онъ чуть что не мечетъ огонь изъ очей; правой рукой онъ потрясаетъ факелъ, грозя сжечь Арго вмѣстѣ съ пловцами, и копье стоитъ на готовѣ у обода колесницы...

ΕΠΙΣΤΟΛΑΙ.

ε΄. Μειρακίῳ.

Πόθεν εἶ μειράκιον εἰπέ, ὅτι οὕτως ἀτέγκτως πρὸς ἔρωτα ἔχεις;... Σκύθης μοι δοκεῖς καὶ βάρβαρος εἶναι ἀπ' ἐκείνου τοῦ βωμοῦ καὶ τῶν ἀξένων θυμάτων...

ПИСЬМА.

5. Къ юношѣ.

Скажи, откуда ты, юноша, столь сурово относящійся къ любви?... Ты кажешься мнѣ Скиѳомъ и варваромъ, *явившимся* отъ извѣстнаго алтаря [1]) и негостепріимныхъ жертвъ...

ΩΡΙΓΕΝΗΣ. ОРИГЕНЪ.

[Основатель христіанскаго богословія, род. въ Александріи въ 185 г., былъ ученикомъ Климента Александрійскаго и неоплатоника Аммонія Саккаса, затѣмъ принималъ живое участіе въ богословскихъ спорахъ и въ 232 г. былъ изгнанъ изъ Александріи за свое ученіе. Умеръ въ Тирѣ въ 254 г. Изъ его сочиненій дошли до насъ: Περὶ ἀρχῶν въ 4 кн. (въ извлеченіяхъ у Фотія и въ латинской передѣлкѣ Руфина) и Κατὰ Κέλσου въ 8 кн., написанное въ 249 г. въ видѣ возраженія на сочиненіе платоника Цельса Ἀληθὴς λόγος. Кромѣ того сохранилось извлеченіе изъ его трудовъ подъ назв. Φιλοκαλία, составленное свв. Василіемъ Великимъ и Григоріемъ Богословомъ.—Текстъ: Ωριγένους τα ευρισκομενα παντα. Origenis opera omnia etc. Edidd. Car. et C. Vinc. Delarue. Denuo recens., emend. castigavit C. H. E. Lommatzsch. 25 voll. Berol. 1831—48].

ΚΑΤΑ ΚΕΛΣΟΥ.

Lib. I, c. 1. ...Λεκτέον... ὅτι, ὥσπερ εἴ τις παρὰ Σκύθαις νόμους ἀθέσμους ἔχουσι γενόμενος, ἀναχωρήσεως μὴ ἔχων καιρόν, βιοῦν παρ' ἐκείνοις ἀναγκάζοιτο, εὐλόγως ἂν οὗτος, διὰ τὸν τῆς ἀληθείας νόμον, ὡς πρὸς τοὺς Σκύθας παρανομίαν, καὶ συνθήκας πρὸς τοὺς τὰ αὐτὰ αὐτῷ φρονοῦντας ποιήσαι ἂν παρὰ τὰ ἐκείνοις νενομισμένα· οὕτως παρ' ἀληθείᾳ δικαζούσῃ οἱ νόμοι τῶν ἐθνῶν, περὶ ἀγαλμάτων καὶ τῆς ἀθέου πολυθεότητος, νόμοι εἰσὶ Σκυθῶν καὶ εἴ τι Σκυθῶν ἀσεβέστερον...

ПРОТИВЪ ЦЕЛЬСА.

...Слѣдуетъ сказать, ...что подобно тому, какъ если-бы кто прибылъ къ Скиѳамъ, имѣющимъ безнравственные обычаи, и, не имѣя возможности возвратиться, принужденъ былъ жить среди нихъ, то онъ естественно, по закону истины и вслѣдствіе беззаконія Скиѳовъ, заключилъ бы договоръ съ своими единомышленниками вопреки принятымъ у нихъ обычаямъ; такъ предъ судомъ истины языческіе уставы о кумирахъ и безбожномъ многобожіи являются обычаями Скиѳовъ и еще нечестивѣйшими Скиѳскихъ...

Orig. V. 6: «Quieto legendum videbatur: καὶ τῶν Σκυθῶν παρανομίαν. At sana nobis videtur textus nostri lectio. R». || V. 9: «Sic recte Hoeschel. cum omnibus Mss. Spencer. vero in textu male: δικάζουσι. R.—Spencer. ad marg. δικαζούσῃ, Boherell. in notis: «Lege, ut in ora scriptum est: δικαζούσῃ».

1) Разумѣется алтарь, на которомъ совершались человѣческія жертвоприношенія въ странѣ Тавровъ.

Digitized by Google

Cap. 16. Θαυμάζω δέ, πῶς Ὀδρύσας μὲν καὶ Σαμόθρᾳκας καὶ Ἐλευσινίους καὶ Ὑπερβορέους ἐν τοῖς ἀρχαιοτάτοις καὶ σοφωτάτοις ἔταξεν ἔθνεσιν ὁ Κέλσος, τοὺς δὲ Ἰουδαίους οὐκ ἠξίωσεν οὔτε εἰς σοφοὺς παραδέξασθαι, οὔτε εἰς ἀρχαίους... Ἀλλὰ καὶ τοὺς μὲν Ὁμήρου Γαλαχτοφάγους καὶ τοὺς Γαλατῶν Δρυΐδας καὶ τοὺς Γέτας σοφώτατα λέγει ἔθνη εἶναι καὶ ἀρχαῖα,... ὧν οὐκ οἶδα εἰ φέρεταί συγγράμματα. Ἑβραίους δὲ μόνον, τὸ ὅσον ἐφ' ἑαυτῷ, ἐκβάλλει καὶ τῆς ἀρχαιότητος καὶ τῆς σοφίας...

Я удивляюсь, какимъ образомъ Цельсъ поставилъ Одрисовъ, Самоѳракійцевъ, Елевсинцевъ и Ипербореевъ въ *число* древнѣйшихъ и мудрѣйшихъ народовъ, а Іудеевъ не удостоилъ принять ни въ *число* мудрыхъ, ни въ *число* древнихъ... Но Омировскихъ Млекоѣдовъ, Галатскихъ Друидовъ и Гетовъ онъ называетъ мудрѣйшими и древними... хотя отъ нихъ врядъ ли сохранились письменные памятники; только Евреевъ, поскольку отъ него *зависитъ*, онъ исключаетъ и изъ древности и изъ мудрости...

Lib. III cap. 31 citantur Celsi verba «ὅτι οὐδεὶς νομίζει θεὸν Ἄβαριν τὸν Ὑπερβόρειον, ὃς δύναμιν εἶχε τοσήνδε, ὥστε οἱστῷ βέλει συμφέρεσθαι».

«Никто не признаетъ богомъ Иперборея Абарида, который имѣлъ такую силу, что могъ носиться на стрѣлѣ».

Lib. V, cap. 27... ἀπαγγειλάτω δὲ ἡμῖν [ὁ βουλόμενος]... καὶ εἰ ὀρθῶς ἔχουσι, φέρ' εἰπεῖν, οἱ Σκυθῶν περὶ ἀναιρέσεως πατέρων νόμοι... Λεγέτω δ' ἡμῖν ὁ Κέλσος... καὶ πῶς οὐχ ὅσιον παραλύειν νόμους τούς, φέρ' εἰπεῖν, παρὰ Ταύροις περὶ τοῦ ἱερεῖα τοὺς ξένους προσάγεσθαι τῇ Ἀρτέμιδι [1])...

...Пусть [желающій] возвѣститъ намъ.. и справедливы-ли, напр., скиѳскіе законы объ умерщвленіи отцовъ... Пусть Цельсъ скажетъ намъ... и какимъ образомъ не благочестиво *было-бы* уничтожить, напр., *существующіе* у Тавровъ законы о принесеніи иностранцевъ въ жертву Артемидѣ...

Lib. V, cap. 34... Σκύθαις γε μὴν καὶ ἀνθρώπους δαίνυσθαι καλόν...

...У Скиѳовъ *считается* прекраснымъ употребленіе въ пищу людей...

Lib. V. cap. 36... Κέλσος μὲν οὖν οὐδὲν ἀδικόν φησι ποιεῖν ἕκαστον, τὰ σφέτερα νόμιμα θρησκεύειν ἐθέλοντα· καὶ ἀκολουθεῖ κατ' αὐτόν, μηδὲν ἄδικον ποιεῖν Σκύθας, ἐπεὶ κατὰ τὰ πάτρια δαίνυνται ἀνθρώπους...

...Цельсъ говоритъ, что вовсе не неправедно поступаетъ каждый, желающій соблюдать свои обычаи; и согласно ему слѣдуетъ, что Скиѳы не совершаютъ ничего неправеднаго, когда по отеческимъ *обычаямъ* употребляютъ въ пищу людей..

Lib. V, cap. 41 (citantur Celsi verba)... «Οὐδὲν οὖν οἶμαι διαφέρειν Δία Ὕψιστον καλεῖν, ἢ Ζῆνα, ἢ Ἀδωναῖον, ἢ Σαβαώθ, ἢ Ἀμμοῦν, ὡς Αἰγύπτιοι, ἢ Παπαῖον, ὡς Σκύθαι. Οὐ μὴν οὐδὲ κατὰ ταῦτα ἁγιώτεροι τῶν ἄλλων ἂν εἶεν, ὅτι περιτέμνονται· τοῦτο γὰρ Αἰγύπτιοι, καὶ Κόλχοι, πρότεροι [2])»...

(Цитируются слова Цельса)... «По моему мнѣнію нѣтъ никакой разницы называть Зевса Всевышнимъ, или Зиномъ, или Адонэемъ, или Саваоѳомъ, или Аммуномъ, какъ *называютъ* его Эгиптяне, или Папэемъ, какъ Скиѳы. Точно также *нѣкоторые народы* не могутъ быть святѣе другихъ и потому, что обрѣзываются: это вѣдь *дѣлаютъ* Эгиптяне и *еще* раньше ихъ Колхи...»

V. 15: «Spenc., cui Boherell. assentitur, in notis: «Delendum puto βέλει tanquam glossema, uti patet ex mox seqq., ubi βέλει non jungitur οἱστῷ».

1) Eadem repetuntur Philocaliae c. 22 (v. 25 p. 193 ed. Lommatzsch). 2) Cf. cap. 55 et Philoc. cap. 17 (v. 25 p. 101 Lomm.).

Digitized by Google

Lib. V, cap. 46... Λεγέτωσαν δὲ καὶ Σκύθαι τὸν Παπαῖον θεὸν εἶναι τὸν ἐπὶ πᾶσιν· ἀλλ' ἡμεῖς οὐ πεισόμεθα, τιθέντες μὲν τὸν ἐπὶ πᾶσι θεόν, ὡς δὲ φίλον τῷ λαχόντι τὴν Σκυθῶν ἐρημίαν καὶ τὸ ἔθνος αὐτῶν καὶ τὴν διάλεκτον, οὐκ ὀνομάζοντες τὸν θεὸν ὡς κυρίῳ ὀνόματι τῷ Παπαῖον [1])...

...Пусть и Скиѳы говорятъ, что Папэй — богъ, *стоящій* надъ всѣми; но мы съ *ними* не согласимся: мы признаемъ *стоящаго* надъ всѣми бога, но не называемъ *этого* бога собственнымъ именемъ Папэя, какъ *это* пріятно получившему въ удѣлъ пустыню Скиѳовъ и народъ ихъ и языкъ...

Lib. V, cap. 47. Τὸ δ' αἴτιον τῆς Ἰουδαίων περιτομῆς οὐ ταὐτόν ἐστι τῷ αἰτίῳ τῆς Αἰγυπτίων περιτομῆς, ἢ Κόλχων· διὸ οὐχ ἡ αὐτὴ νομισθείη ἂν περιτομή...

(Cf. cap. 48 in.).

Причина обрѣзанія Іудеевъ не одинакова съ причиной обрѣзанія Египтянъ или Колховъ; почему слѣдуетъ считать *и* обрѣзаніе не одинаковымъ...

Lib. VI, cap. 39. Εἶτα πρὸς τοὺς χρωμένους [Κέλσος] φησὶ μαγείᾳ τινὶ καὶ γοητείᾳ καὶ καλοῦντας ὀνόματα βαρβαρικὰ δαιμόνων τινῶν τοιαῦτα· ὅτι ὅμοιον οὗτοι πράττουσι τοῖς ἐπὶ τοῖς αὐτοῖς ὑποκειμένοις τερατευομένοις πρὸς τοὺς μὴ εἰδότας ἄλλα μὲν αὐτῶν εἶναι τὰ ὀνόματα παρ' Ἕλλησιν, ἄλλα δὲ παρὰ Σκύθαις. Εἶτ' ἐκτίθεται ἀπὸ Ἡροδότου λαβών, ὡς «τὸν μὲν Ἀπόλλωνα Γογγόσυρον καλοῦσι Σκύθαι, τὸν δὲ Ποσειδῶνα Θαγιμασάδα, τὴν δ' Ἀφροδίτην Ἀργίμπασαν, Ἑστίαν δὲ Ταβιτίω. Ἐξετάσει δὲ ὁ δυνάμενος, μή πη καὶ περὶ τούτων σὺν Ἡροδότῳ ὁ Κέλσος ψεύδεται· ἅτε μὴ ἐπισταμένων Σκυθῶν τὰ αὐτὰ Ἕλλησιν ὑποκείμενα περὶ τῶν νομιζομένων θεῶν. Ποία γάρ πιθανότης, τὸν Ἀπόλλωνα Γογγόσυρον παρὰ Σκύθαις καλεῖσθαι; οὐ γὰρ ἡγοῦμαι, ὅτι μεταλαμβανόμενος εἰς Ἑλλάδα φωνὴν ὁ Γογγόσυρος τὴν ἑτυμολογίαν παρίστησι τοῦ Ἀπόλλωνος· ἢ ὁ Ἀπόλλων εἰς τὴν Σκυθῶν διάλεκτον τὸν Γογγόσυρον σημαίνει. οὕπω δὲ οὐδὲ περὶ τῶν λοιπῶν ταὐτόν τι ἐρεῖ· ἀπ' ἄλλων γὰρ ὁρμώμενοι Ἕλληνες πραγμάτων καὶ ἑτυμολογιῶν οὕτως ὠνόμασαν τοὺς παρ' ἑαυτοῖς νομιζομένους θεούς, ἀπ' ἄλλων δὲ Σκύθαι...

Затѣмъ по отношенію къ пользующимся нѣкоею магіею и волшебствомъ и называющимъ варварскія имена нѣкоторыхъ божествъ [Цельсъ] говоритъ слѣдующее: они-де поступаютъ подобно морочащимъ одними и тѣми же предметами тѣхъ, кто не знаетъ, что названія ихъ иныя у Эллиновъ и иныя у Скиѳовъ. Затѣмъ онъ, заимствуя у Иродота [2]), излагаетъ, что «Аполлона Скиѳы зовутъ Гонгосиромъ, Посидона — Ѳагимасадомъ, Афродиту — Аргимпасою и Естію — Тавити». Всякій, кто можетъ, пусть слѣдуетъ, не лжетъ-ли и въ этомъ Цельсъ вмѣстѣ съ Иродотомъ, такъ какъ Скиѳы не имѣютъ одинаковыхъ съ Эллинами представленій о чтимыхъ богахъ. Ибо какая вѣроятность, что Гонгосиромъ называется у Скиѳовъ *именно* Аполлонъ? Я не думаю, что въ переводѣ на греческій языкъ «Гонгосиръ» имѣетъ то-же значеніе, что «Аполлонъ», или что Аполлонъ на скиѳскомъ языкѣ означаетъ Гонгоспра; точно также и объ остальныхъ *названіяхъ* никто не скажетъ того же. Ибо Эллины назвали такъ чтимыхъ у нихъ боговъ, отправляясь отъ иныхъ основаній и значеній, нежели Скиѳы...

V. 21: Γογγόσυρον: «sic ubique omnes Codd. Mss. (itemq. edd. Spenc. ad marg.). Apud vulgatos Herodoti libros (itemq. in textu edd. Spenc.) Οἰτόσυρον. R». || V. 22: Θαγιμασάδα: «Codd. Regius, Basileensis, Vatican. et Anglicanus secundus: Θαγιμασάδα, alii: Θατιμασάδα. Vulgati Herodoti libri (itemq. edd. Spenc. in textu): Θαμιμασάδην. R. — Edd. Spenc. ad marg. Θασιμάσαδα». || V. 23: Ἀργίμπασαν: «Omnes Mss. (itemque edd. Spenc. ad marg.) Ἀργίμπασαν Vulgati Herodoti libri (itemque edd. Spenc. in textu): Ἀρτίμπασαν. R». || V. 35: «Boherellus: «Forte: εἴρηται», Spencerus: «Lego: ἐρῶ».—Legendum aut: ταὐτόν τι εἴρηται, aut: ταὐτόν τις ἐρεῖ». Lomm.

1) Eadem repetuntur Philocaliae cap. 17 (v. 25 p. 101 Lomm.). 2) Herod. IV, 59 (v. supra p. 25).

Digitized by Google

Lib. VII, cap. 62. Φέρε δέ, ἴδωμεν καὶ τὰ ἑξῆς, ἐν οἷς ταὐτά φησι [Κέλσος]. «Στῶμεν δ' ἐκεῖθεν· οὐκ ἀνέχονται νεὼς ὁρῶντες καὶ βωμοὺς καὶ ἀγάλματα. Οὐδὲ γὰρ Σκύθαι τοῦτο, οὐδὲ Λιβύων οἱ Νομάδες, οὐδὲ Σῆρες οἱ ἄθεοι, οὐδ' ἄλλα ἔθνη τὰ δυσαγέστατα καὶ ἀνομώτατα»...

Cap. 63. Καὶ πρὸς ταῦτα δὲ λεκτέον ὅτι, εἴπερ Σκύθαι, καὶ Λιβύων οἱ Νομάδες, καὶ Σῆρες, οὓς φησιν ἀθέους εἶναι ὁ Κέλσος, καὶ ἄλλα ἔθνη δυσαγέστατα καὶ ἀνομώτατα, ἀλλὰ καὶ Πέρσαι, οὐκ ἀνέχονται νεὼς ὁρῶντες καὶ βωμοὺς καὶ ἀγάλματα· οὐ παρὰ τοῦτο ἴσον ἐστὶ τὸ μὴ ἀνέχεσθαι τούτων ἐκείνους τῷ καὶ ἡμᾶς μὴ ἀνέχεσθαι αὐτῶν...

Обратимъ также вниманіе на слѣдующія слова [Цельса]: «Остановимся тутъ: не выносятъ вида храмовъ, жертвенниковъ и кумировъ. Это вѣдь не Скиѳы, не Ливійскіе Номады, не безбожные Сиры и не другія преступнѣйшія и беззаконнѣйшія племена»...

На это слѣдуетъ сказать, что если Скиѳы, Ливійскіе Номады, Сиры, которыхъ Цельсъ называетъ безбожными, и другія преступнѣйшія и беззаконнѣйшія племена, а также и Персы не выносятъ вида храмовъ, жертвенниковъ и кумировъ, то ихъ нетерпимость къ этимъ *предметамъ* не одинакова съ нашею къ нимъ нетерпимостью...

DE PRINCIPIIS.

Lib. II, c. 9, § 5... [Aliquis in Hebraeis nascitur]... alius vero apud Graecos..., jam vero alius apud Aethiopes... aut apud Scythas, apud quos parricidium quasi ex lege geritur; vel apud Tauros, ubi hospites immolantur...

О НАЧАЛАХЪ.

[Одинъ родится среди Евреевъ...], другой—у Грековъ..., иной опять у Эѳіоповъ... или у Скиѳовъ, у которыхъ отцеубійство совершается какъ бы по закону, или у Тавровъ, гдѣ иностранцы приносятся въ жертву...

Scythae commemorantur etiam lib. IV c. 16 et 23 (v. XXI pp. 439, 450, 511, 522 ed. Lommatzsch).

ΙΠΠΟΛΥΤΟΣ.

ИППОЛИТЪ.

[Въ началѣ III в. по Р. Хр. былъ въ Римѣ пресвитеромъ и епископомъ, въ 235 г., по преданію, изгнанъ былъ въ Сардинію. Изъ сочиненій Ипполита дошли до насъ Χρονικά въ латинскомъ переводѣ и Κατὰ πασῶν αἱρέσεων ἔλεγχος въ 10 книгахъ, изъ коихъ въ первой, носящей спеціальное названіе Φιλοσοφούμενα, вкратцѣ излагаются ученія греческихъ философовъ. — Текстъ: S. Hippolyti episcopi et martyris Refutationis omnium haeresium librorum decem quae supersunt. Recens. Lud. Duncker et F. G. Schneidewin. Gotting. 1859].

ΚΑΤΑ ΠΑΣΩΝ ΑΙΡΕΣΕΩΝ ΕΛΕΓΧΟΣ.

Lib. V, c. 25. Ἡρόδοτος μὲν οὖν τὸν Ἡρακλέα φησὶν ἀπὸ τῆς Ἐρυθείας τοῦ Γηρυόνου τὰς βοῦς ἄγοντα εἰς τὴν Σκυθίαν ἐλθεῖν, κεκμηκότα δὲ ἀπὸ τῆς πορείας εἰς ἔρημόν τι χωρίον κατακλιθέντα κοιμηθῆναι

ИЗОБЛИЧЕНІЕ ВСѢХЪ ЕРЕСЕЙ.

Иродотъ разсказываетъ [1]), что Иракл, угоняя изъ Ерѳеіи коровъ Гиріона, прибылъ въ Скиѳію и, утомившись отъ путешествія, легъ немного отдохнуть въ пустынномъ мѣстѣ. Во время его сна исчезъ

1) Ner. IV, 8—10 (v. supra p. 12 sq.).

Digitized by Google

ὀλίγον· ὑπνώσαντος δὲ αὐτοῦ ἀφανῆ γενέσθαι τὸν ἵππον, ἐφ' οὗ καθεζόμενος διώδευσε τὴν μακρὰν ὁδόν· περιεγερθεὶς δὲ ζήτησιν ἐποιεῖτο ἐπὶ τῆς ἐρημίας πολλήν, εὑρεῖν πειρώμενος τὸν ἵππον. Καὶ τοῦ μὲν ἵππου διαμαρτάνει, κόρην δέ τινα μιξοπάρθενον εὑρὼν ἐπὶ τῆς ἐρημίας ἐπηρώτα, εἰ εἴη που τεθεαμένη τὸν ἵππον. Ἡ δὲ κόρη φησὶν εἰδέναι μέν, μὴ δείξειν δὲ πρότερον αὐτῷ, εἰ μὴ πρὸς μίξιν φιλίας συνέλθῃ αὐτῇ ὁ Ἡρακλῆς. Ἦν δέ, φησὶν ὁ Ἡρόδοτος, τὰ ἄνω αὐτῆς μέχρι βουβῶνος παρθένου, πᾶν δὲ τὸ κάτω σῶμα μετὰ βουβῶνα φρικτόν τι θέαμα ἐχίδνης. Σπουδῇ δὲ τῆς περὶ τὸν ἵππον εὑρέσεως ὁ Ἡρακλῆς πείθεται τῷ θηρίῳ· ἔγνω γὰρ αὐτὴν καὶ ἐποίησεν ἐγκύμονα, καὶ προεῖπεν αὐτῇ μετὰ τὴν γνῶσιν, ὅτι ἔχει κατὰ γαστρὸς ἐξ αὐτοῦ τρεῖς ὁμοῦ παῖδας, οἵτινες ἔσονται ἐπιφανεῖς. Ἐκέλευσε δὲ αὐτοῖς γεννωμένοις ὀνόματα θεῖναι τὴν τεκοῦσαν Ἀγάθυρσον, Γελωνὸν καὶ Σκύθην. Λαβὼν δὲ τούτου μισθὸν τὸν ἵππον παρὰ τῆς θηριώδους κόρης, ἀπηλλάττετο φέρων καὶ τὰς βοῦς. Μακρὸς δὲ ὁ μετὰ ταῦτα μῦθος Ἡροδότῳ, χαιρέτω δὲ τὸ νῦν...

...Объ этихъ Скиѳахъ и Иродотъ разсказываетъ и мы *сами* видимъ, что они всѣ одержимы женскою болѣзнью. Это тѣ, изъ которыхъ повсюду *пріобрѣтаются* рабы, которые еще не владѣютъ землею, изъ-за которыхъ вошла въ пословицу «Скиѳская пустыня», которые всегда бѣгутъ изъ родной *земли*. Древнія преданія говорятъ, что ихъ сначала изгнали съ родины Киммерійцы, потомъ другіе, а также нѣкогда женщины, и наши предки, и Македоняне; отъ однихъ изъ нихъ они уходили къ *народамъ*, *живущимъ* внутри страны, отъ другихъ — внѣ *ея*. Они не останавливаются, пока подъ натискомъ преслѣдователей не удалятся къ живущимъ на противоположной сторонѣ. Когда же они внезапно нападутъ на *народъ*, не желающій принять ихъ *смирно*, то на время приводятъ *его* въ смятеніе, какъ нѣкогда Ассирійцевъ, Мидянъ и Палэстинцевъ. И нынѣ они пришли къ намъ не съ враждебными намѣреніями, а въ качествѣ просителей, такъ какъ снова были изгнаны; но, встрѣтивъ мягкое къ нимъ отношеніе Римлянъ (хотя и не слабость оружія), какое, быть можетъ, и слѣдовало *проявить* къ просителямъ, *это* невѣжественное племя, какъ и слѣдовало ожидать, обнаружило дерзость и презрѣніе къ благодѣянію. Наказанные за это твоимъ отцомъ, вооружившимся противъ нихъ, они снова сдѣлались жалки и вмѣстѣ съ женами сѣли въ видѣ умоляющихъ. Онъ же, побѣдивъ на войнѣ, былъ вполнѣ побѣжденъ жалостью: онъ поднялъ ихъ *изъ положенія* умоляющихъ, сдѣлалъ союзниками, даровалъ права гражданства, удѣлилъ почести и раздѣлилъ *этимъ* злодѣямъ часть Римской земли, побуждаемый къ кротости великодушіемъ и благородствомъ своего характера. Но варвары не понимаютъ добродѣтели. Начиная съ тѣхъ поръ, они по настоящее время смѣются надъ нами, зная, чего заслуживали отъ

1) Cf. Hesych. Ὀχλαδίας· θρόνος πτυκτός, δίφρος ταπεινός, ὃν οἱ ἀκόλουθοι φέρονται τοῖς εἰς τὰς ἀγορὰς ἐξιοῦσι πλουσίοις. 2) Herod. I, 105 (v. supra p. 5) et IV, 67 (p. 28). 3) Haec falsa sunt: nam e contrario Cimmerios sedibus suis expulsos esse a Scythis tradit Herod. IV, 11 (supra p. 14). 4) Scilicet Amazones. V. Herod. IV, 110 (supra p. 43).

Digitized by Google

Πῶς οὖν οὐ χαλεπὸν ἀναμαχεσαμένους τὸ κλέος

ἐξελάᾳν ἐνθένδε κύνας κηρεσσιφορήτους [1]):

Ἤν ἀκούῃς ἐμοῦ, τὸ χαλεπὸν τοῦτο τὴν πᾶσαν εὐμάρειαν ἔχον φανεῖται· Αὐξηθέντων ἡμῖν τῶν καταλόγων, τοῖς δὲ καταλόγοις τῶν φρονημάτων, καὶ γενομένων οἰκείων τῶν συνταγμάτων, πρόσθες τῇ βασιλείᾳ τὸ γενόμενον ἀπ' αὐτῆς ἐλλιπές· καὶ Ὅμηρος αὐτὸ καθιέρωσε τοῖς ἀρίστοις·

Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων [2]).

Θυμοῦ οὖν ἐπὶ τοὺς ἄνδρας δεῖ, καὶ ἡ γεωργήσουσιν ἐξ ἐπιτάγματος, ὥσπερ πάλαι Λακεδαιμονίοις Μεσσήνιοι τὰ ὅπλα καταβαλόντες εἱλώτευον· ἢ φεύξονται τὴν αὐτὴν ὁδὸν αὖτις [3]), τοῖς πέραν τοῦ ποταμοῦ [4]) διαγγέλλοντες, ὡς οὐκ ἐκεῖνα ἔτι παρὰ τοῖς Ῥωμαίοις τὰ μείλιχα, ἀλλ' ἐξηγεῖταί τις αὐτῶν νέος τε καὶ γενναῖος...

1 насъ и чего удостоились. Слава объ этомъ уже открыла ихъ сосѣдямъ дорогу противъ насъ. И вотъ нѣкоторые чужеземные конные стрѣлки выходятъ къ доступнымъ людямъ, требуя дружескаго пріема и ссылаясь на примѣръ тѣхъ негодяевъ. Зло, повидимому, доходитъ до такъ-называемаго толпою насильственнаго убѣжденія...

Итакъ, развѣ не трудно, вновь завоевавъ себѣ славу, «выгнать отсюда неистовыхъ псовъ, навожденныхъ судьбою?» Если ты послушаешь меня, то это трудное *дѣло* окажется весьма легкимъ. Когда у насъ увеличатся *военные* списки и благодаря спискамъ поднимется духъ *воиновъ*, когда полки освоятся съ дѣломъ, прибавь къ царской власти то, что у нея исчезло; и Омиръ приписалъ это своимъ героямъ, *говоря*: «великъ гнѣвъ царей, питомцевъ Зевса». Нуженъ гнѣвъ на этихъ людей, и они или будутъ заниматься земледѣліемъ по приказанію, какъ нѣкогда Мессиняне, положивъ оружіе, служили илотами у Лакедэмонянъ, или побѣгутъ «той же дорогой назадъ», объявляя живущимъ за рѣкой, что у Римлянъ уже не прежняя мягкость, но что ими правитъ нѣкто юный и мужественный...

ΦΑΛΑΚΡΑΣ ΕΓΚΩΜΙΟΝ.

ιγ' (p. 77)... οἰκέται κάμοὶ καὶ συχνοῖς ἄλλοις εἰσὶν ἐν ἄστει Σκύθαι καὶ Σκυθικῶς ἀνεικότες τὰς κόμας. Τούτοις ἄν τις ἐντείνῃ κόνδυλον, ἀπολώλεκεν...

ПОХВАЛА ПЛѢШИВОСТИ.

Гл. 13. ...И у меня и у многихъ другихъ въ городѣ есть рабы Скиѳы, носящіе длинные волосы по скиѳскому обычаю. Если имъ кто-нибудь даетъ пощечину, то *побитый* погибаетъ... [5])

ΕΠΙΣΤΟΛΑΙ.

νζ'. Κατὰ Ἀνδρονίκου.

(p. 195 *c*)... ποῖοι Ταυροσκύθαι, τίνες Λακεδαιμόνιοι τοσοῦτο τῷ διὰ τῶν μαστίγων αἵματι τὴν παρ' αὐτοῖς ἐτίμησαν Ἄρτεμιν;...

ПИСЬМА.

57. Противъ Андроника.

...Какіе Тавроскиѳы, какіе Лакедэмоняне настолько почтили свою Артемиду кровью отъ бичеванія?..

Въ сочиненіи «Αἰγύπτιος ἢ περὶ προνοίας» кн. I гл. 15 и кн. II гл. 2—3 имѣются разсказы о нашествіи Скиѳовъ на Эгиптетъ въ миѳическія времена Тиѳона и Осириса,

1) Hom. *Il.* VIII, 527. 2) Hom. *Il.* II, 196 (ubi legitur sing. διοτρεφέος βασιλῆος). 3) Hom. *Il.* VI, 391. 4) Scil. Ἴστρου. 5) Это замѣчаніе приведено въ доказательство слабости черепныхъ костей при ношеніи длинныхъ волосъ.

Digitized by Google

о чемъ мы считаемъ достаточнымъ только упомянуть, несмотря на то, что авторъ въ этомъ сочиненіи, очевидно, имѣлъ въ виду современныя ему обстоятельства. (Ср. въ пзд. Migne «Monitum», p. 1207: «Libri de Providentia magna ex parte figurati sunt, et sub Aegyptiorum fabula Romani statum imperii, cujusmodi potissimum in Oriente sub Arcadio fuit, oblique perstringunt. Etenim Scytharum, hoc est Gothorum, per id tempus nimia erat et formidolosa potentia: quod in oratione *De Regno* coram imperatore ipso questus est: adeo ut non modo civitatis, sed etiam imperii propemodum essent participes cum et consulatus ac reliquarum dignitatum honores caperent et utriusque militiae praefecturas et bellicae rei summam administrarent. Testatur hoc Zosimus caeterique, qui aetatis illius historiam scriptis prodidere» etc.).

ΦΙΛΟΣΤΟΡΓΙΟΣ. ФИЛОСТОРГІЙ.

[Филосторгій, уроженецъ Каппадокійскій, род. около 365 г., написалъ «Исторію церкви» (Ἐκκλησιαστικὴ ἱστορία) въ 12 книгахъ, обнимавшую время съ 300 по 425 г. Его трудъ дошелъ до насъ въ обширныхъ извлеченіяхъ, сдѣланныхъ патріархомъ Фотіемъ, и въ отрывкахъ у другихъ писателей. Такъ какъ Филосторгій былъ приверженцемъ аріанства и евноміанства, то, по словамъ Фотія, его Исторія была скорѣе похвалою еретиковъ, клеветою и порицаніемъ православныхъ, чѣмъ исторіею (ἡ δὲ ἱστορία τῶν αἱρετιζόντων ἐστὶν ἐγκώμιον αὐτῷ, ὥσπερ καὶ τῶν ὀρθοδόξων διαβολὴ καὶ ψόγος μᾶλλον ἢ ἱστορία). — Текстъ: Migne, Patrol. cursus compl., ser. Gr. v. 65 (1858), pp. 455—638].

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΙΣΤΟΡΙΑ. ЦЕРКОВНАЯ ИСТОРІЯ.

ΕΚ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΙΣΤΟΡΙΑΣ. ИЗЪ ВТОРОЙ КНИГИ.

ε'. Ὅτι Οὐρφίλαν φησὶ κατὰ τούτους τοὺς χρόνους ἐκ τῶν πέραν Ἴστρου Σκυθῶν (οὓς οἱ μὲν πάλαι Γέτας, οἱ δὲ νῦν Γότθους καλοῦσι) πολὺν εἰς τὴν Ῥωμαίων διαβιβάσαι λαόν, δι' εὐσέβειαν ἐκ τῶν οἰκείων ἠθῶν ἐλαθέντας. Χριστιανίσαι δὲ τὸ ἔθνος τρόπῳ τοιῷδε· βασιλεύοντος Οὐαλεριανοῦ καὶ Γαλλιηνοῦ μοῖρα Σκυθῶν βαρεῖα τῶν πέραν τοῦ Ἴστρου διέβησαν εἰς τὴν Ῥωμαίων καὶ πολλὴν μὲν κατέδραμον τῆς Εὐρώπης. Διαβάντες δὲ καὶ εἰς τὴν Ἀσίαν τήν τε Γαλατίαν καὶ τὴν Καππαδοκίαν ἐπῆλθον καὶ πολλοὺς ἔλαβον αἰχμαλώτους ἄλλους τε καὶ τῶν κατειλεγμένων τῷ κλήρῳ, καὶ μετὰ πολλῆς λείας ἀπεκομίσθησαν οἴκαδε. Ὁ δὲ αἰχμάλωτος καὶ εὐσεβὴς ὅμιλος, συναναστραφέντες τοῖς βαρβάροις, οὐκ ὀλίγους τε αὐτῶν εἰς τὸ εὐσεβὲς μετεποίησαν καὶ τὰ χριστιανῶν φρονεῖν ἀντὶ τῆς Ἑλληνίδος δόξης παρε-

5. *Филосторгій* говоритъ, что около этого времени [1]) Урфила [2]) изъ жившихъ за Истромъ Скиѳовъ (которыхъ древніе *называли* Гетами, а *наши* современники называютъ Готѳами) переселилъ на Римскую *землю* большое количество людей, изгнанныхъ съ родины за благочестіе. *Этотъ* народъ обратился въ христіанство слѣдующимъ образомъ. Въ царствованіе Валеріана и Галліена [3]) большое полчище Скиѳовъ, *жившихъ* за Истромъ, перешло на Римскую *землю* и опустошило набѣгами большую часть Европы. Перейдя также въ Азію, они прошли чрезъ Галатію и Каппадокію, захватили множество плѣнныхъ какъ другихъ, такъ и изъ *числа* избранныхъ въ клиръ, и возвратились восвояси съ большой добычей. Благочестивая часть плѣнныхъ, вступивъ въ общеніе съ варварами,

1) Haec supposita sunt narrationi de Constantini morte a. 337. 2) «De Ulphila (ut alii hunc Gothorum episcopum vocant) deque Gothis, quando quave occasione Christiani facti fuerint vid. Socr. l. IV, cap. 36 [immo 33, v. infra], Soz. l. II c. 6, lib. VI cap. 27 [immo 37, v. infra], Theod. l. IV, cap. ult.» Migne. Cf. *Бѣликовъ*, Христіанство у Готовъ, Каз. 1887. 3) 253—268 p. Chr.

Digitized by Google

σκεύασαν. Ταύτης τῆς αἰχμαλωσίας γεγόνεσαν καὶ οἱ Οὐρφίλα πρόγονοι, Καππαδόκαι μὲν γένος, πόλεως δὲ πλησίον Παρνασσοῦ, ἐκ κώμης δὲ Σαδαγολθινὰ καλουμένης. Ὁ τοίνυν Οὐρφίλας οὗτος καθηγήσατο τῆς ἐξόδου τῶν εὐσεβῶν, ἐπίσκοπος αὐτῶν πρῶτος καταστάς· κατέστη δὲ ὧδε· παρὰ τοῦ τὴν ἀρχὴν ἄγοντος τοῦ ἔθνους ἐπὶ τῶν Κωνσταντίνου χρόνων εἰς πρεσβείαν σὺν ἄλλοις ἀποσταλεὶς (καὶ γὰρ καὶ τὰ τῇδε βάρβαρα ἔθνη ὑποκέκλιτο τῷ βασιλεῖ) ὑπὸ Εὐσεβίου καὶ τῶν σὺν αὐτῷ ἐπισκόπων χειροτονεῖται τῶν ἐν τῇ Γετικῇ Χριστιανιζόντων καὶ τά τε ἄλλα αὐτῶν ἐπεμελεῖτο καὶ γραμμάτων αὐτοῖς οἰκείων εὑρετὴς καταστὰς μετέφρασεν εἰς τὴν αὐτῶν φωνὴν τὰς Γραφὰς ἁπάσας πλήν γε δὴ τῶν Βασιλειῶν, ἅτε τῶν μὲν πολέμων ἱστορίαν ἐχουσῶν, τοῦ δὲ ἔθνους ὄντος φιλοπολέμου καὶ δεομένου μᾶλλον χαλινοῦ τῆς ἐπὶ τὰς μάχας ὁρμῆς, ἀλλ' οὐχὶ τοῦ πρὸς ταῦτα παροξύνοντος. Ὅπερ ἰσχὺν ἔχει ταῦτα ποιεῖν, σεβάσμιά τε μάλιστα νομιζόμενα καὶ πρὸς τὴν τοῦ Θεοῦ θεραπείαν τοὺς πειθομένους καταρυθμίζοντα. Ἱδρύσατο δ' ὁ βασιλεὺς τὸν αὐτόμολον τοῦτον λαὸν περὶ τὰ τῆς Μυσίας χωρία, ὡς ἑκάστῳ φίλον ἦν· καὶ τὸν Οὐρφίλαν διὰ πλείστης ἦγε τιμῆς, ὡς καὶ πολλάκις· Ὁ ἐφ' ἡμῶν Μωσῆς λέγειν περὶ αὐτοῦ. Λίαν δὲ οὗτος τὸν ἄνδρα θειάζει καὶ τῆς αἱρετικῆς αὐτοῦ δόξης ἐραστὴν αὐτόν τε καὶ τοὺς ὑπ' αὐτὸν ἀναγράφει.

немалое ихъ количество обратила къ благочестію и приготовила къ воспріятію христіанства вмѣсто еллинской религіи. Въ числѣ этихъ плѣнныхъ были и предки Урфилы, родомъ Каппадокійцы изъ окрестностей города Царнасса, изъ деревни Садаголѳинны. Этотъ-то Урфила былъ предводителемъ выселенія благочестивыхъ и первымъ ихъ епископомъ; поставленъ онъ былъ (въ епископы) слѣдующимъ образомъ: будучи посланъ начальникомъ *своего* народа во времена Константина вмѣстѣ съ другими въ качествѣ посла (ибо и эти варварскія племена были подвластны царю), онъ былъ рукоположенъ Евсевіемъ и бывшими съ нимъ епископами для живущихъ въ Гетской землѣ христіанъ [1]) и имѣлъ о нихъ попеченіе въ разныхъ отношеніяхъ, а кромѣ того изобрѣлъ для нихъ азбуку и перевелъ на ихъ языкъ все *священное* Писаніе кромѣ *книгъ* Царствъ, такъ какъ онѣ заключаютъ въ себѣ разсказы о войнахъ, а народъ Готескій былъ войнолюбивъ и скорѣе нуждался въ уздѣ для своей страсти къ битвамъ, чѣмъ въ поощреніи къ этому. А между тѣмъ *книги Царствъ* могли произвести такое *вліяніе*, такъ какъ пользовались величайшимъ уваженіемъ и склоняли вѣрующихъ къ служенію Богу. Царь поселилъ этотъ перешедшій народъ въ *разныхъ* мѣстностяхъ Мисіи, гдѣ кому хотѣлось, и относился къ Урфилѣ съ величайшимъ уваженіемъ, такъ что часто *даже* называлъ его «Моисеемъ нашего времени». Филосторгій очень превозноситъ этого мужа и пишетъ, что какъ онъ, такъ и паства его были приверженцами его еретическаго ученія (т. е. аріанства).

ΕΚ ΤΗΣ ΤΡΙΤΗΣ ΙΣΤΟΡΙΑΣ.

η'. Ὁ δὲ Εὐφράτης ποταμὸς ἐξ Ἀρμενίων κατὰ τὸ προφανὲς ἀνατέλλει, ἔνθα τὸ ὄρος ἐστὶ τὸ Ἀραράτ, ἔτι καὶ πρὸς Ἀρμενίων οὕτω καλούμενον, ἐφ' οὗ καὶ τὴν κιβωτὸν ἱδρυθῆναί φησιν ἡ Γραφή· ἧς ἄχρι καὶ νῦν εἶναί φασιν οὐ μικρὰ λείψανα τῶν τε ξύλων καὶ τῶν ἥλων ἐκεῖσε σωζόμενα. Ἐντεῦθεν καὶ ὁ Εὐφράτης ὀλίγος τὰ πρῶτα ῥυείς, προβαίνων ἀεὶ γίνεται μείζων, πλεί-

ИЗЪ ТРЕТЬЕЙ КНИГИ.

8. Рѣка Евфратъ беретъ свое явное начало изъ Арменіи, гдѣ находится гора Араратъ, еще и нынѣ такъ называемая Арменійцами, на которой, по словамъ *священнаго* Писанія, остановился ковчегъ; отъ него, говорятъ, и понынѣ сохраняются немалые остатки дерева и гвоздей. Отсюда-то и вытекаетъ Евфратъ сначала *въ видѣ* маленькой *ручки*, а въ дальнѣйшемъ теченіи

V. 8: «magis placet scriptura codicis Bocharti, ἀρχὴν ἔχοντος». M.
1) Бѣликова, p. 51 sq.

Digitized by Google

στους ἐμβάλλοντας αὐτῷ ποταμοὺς εἰς τὴν ἑαυτοῦ προσηγορίαν συνεφελκόμενος. Τὴν Ἀρμενίαν δέ, τήν τε μεγάλην καὶ τὴν μικράν διελθών, ἔπειτα πρόεισι τέμνων μὲν πρότερον τὴν Συρίαν τὴν ἰδίως Εὐφρατησίαν καλουμένην...

постепенно увеличивается, объединяя подъ однимъ именемъ множество впадающихъ въ него рѣкъ. Пройдя Великую и Малую Арменіи, онъ течетъ далѣе, прорѣзывая сначала Сирію, посящую спеціальное названіе Евфратской...

ΕΚ ΤΗΣ ΕΝΝΑΤΗΣ ΙΣΤΟΡΙΑΣ.

ιζ'. Ὅτι οἱ πέραν τοῦ Ἴστρου Σκύθαι, τῶν Οὔννων αὐτοῖς ἐπιστρατευσάντων, ἀνάστατοι γεγόνασι καὶ πρὸς τὴν Ῥωμαίων γῆν πρὸς φιλίαν ἐπεραιώθησαν. Εἶεν δ' ἂν οἱ Οὖννοι, οὓς οἱ παλαιοὶ Νεβροὺς ἐπωνόμαζον, καὶ παρὰ τὰ Ῥιπαῖα κατῳκημένοι ὄρη, ἐξ ὧν ὁ Τάναϊς εἰς τὴν Μαιώτιδα λίμνην κατασυρόμενος τὸ ῥεῖθρον ἐκδίδωσιν. Οἱ δέ γε Σκύθαι μεταναστάντες ἀπὸ τοῦ μέτριοι τὰ πρῶτα εἶναι τοῖς Ῥωμαίοις εἰς τὸ λῃστεύειν ἐτράποντο· εἶτα καὶ πόλεμον ἀκήρυκτον εἵλοντο. Οὐάλης δὲ ταῦτα πεπυσμένος ἐξ Ἀντιοχείας ἀπαίρει καὶ κατὰ Κωνσταντινούπολιν γεγονὼς ἐπὶ Θρᾴκην ἐλαύνει. Καὶ μάχῃ συμπλακεὶς τοῖς βαρβάροις καὶ πολλοὺς ἀποβαλὼν ἀνὰ κράτος φεύγει. Καὶ πάσῃ συσχεθεὶς ἀμηχανίᾳ καὶ ἀπορίᾳ ἔν τινι τῶν κατὰ ἀγροὺς οἰκημάτων χόρτον φέροντι σὺν ὀλίγοις τοῖς ἑπομένοις κατακρύπτει ἑαυτόν. Οἱ δὲ βάρβαροι καταδιώκοντες, ὥσπερ τὰ ἄλλα τῶν ἐν ποσίν, οὕτω καὶ τὸ οἴκημα πυρὸς δαπάνην ἐτίθεντο, οὐδεμίαν παρὰ τοῦ βασιλέως λαβόντες ὑπόνοιαν. Ἀλλ' ὁ μὲν οὕτως ἠφάνισται, τὸ πλεῖστόν τε καὶ κράτιστον τῆς Ῥωμαϊκῆς ἀρχῆς συναποκειράμενος· οἱ δὲ βάρβαροι πᾶσαν ἀδεῶς τὴν Θρᾴκην ἐληΐζοντο, Φριτιγέρνους αὐτοὺς ἄγοντος...

ИЗЪ ДЕВЯТОЙ КНИГИ.

17. Живущіе за Истромъ Скиѳы вслѣдствіе нашествія на нихъ Унновъ поднялись съ родины и переправились мирно на Римскую землю [1]). *Эти* Унны — вѣроятно *тотъ народъ*, который древніе называли Неврами; они жили у Рипэйскихъ горъ, изъ которыхъ катитъ свои воды Танандъ, изливающійся въ Меотійское озеро. Переселившіеся Скиѳы, сначала скромно относившіеся къ Римлянамъ, обратились къ разбойничеству, а затѣмъ подняли жестокую войну. Валентъ, узнавъ объ этомъ, выѣхалъ изъ Антіохіи и, достигнувъ Константинополя, двинулся во Ѳракію. Вступивъ въ битву съ варварами и потерпѣвъ большой уронъ, онъ обратился въ стремительное бѣгство. Въ отчаянномъ положеніи, не зная, что дѣлать, онъ съ немногими спутниками скрылся въ одномъ изъ *стоявшихъ* въ полѣ строеній, наполненномъ сѣномъ. Преслѣдовавшіе *его* варвары предали огню это строеніе, подобно прочимъ, лежавшимъ на ихъ пути, ничуть не подозрѣвая *присутствія* императора. Такъ погибъ Валентъ [2]), потерявъ вмѣстѣ съ тѣмъ значительнѣйшую и лучшую часть Римской державы. Варвары подъ предводительствомъ Фритигерна безбоязненно опустошили всю Ѳракію...

ιθ'. Ὅτι Θεοδόσιος ὁ βασιλεὺς κατὰ Σίρμιον τοῖς βαρβάροις συμβαλὼν (ἐκεῖ γὰρ αὐτίκα τοῦ λαβεῖν τὴν ἀρχὴν τῆς χρείας ἀπαιτούσης παρεγένετο) καὶ νικήσας μάχῃ, ἐκεῖθεν λαμπρῶς ἐπὶ τὴν Κωνσταντινούπολιν ἄνεισι...

19. Императоръ Ѳеодосій, сразившись съ варварами при Сирміи (куда онъ прибылъ, по требованію обстоятельствъ, немедленно по вступленіи на престолъ) и побѣдивъ *ихъ* въ битвѣ, съ блестящимъ тріумфомъ возвратился оттуда въ Константинополь... [3])

1) «De Scythis seu Gothis ab Hunnis devictis et ad Romanos confugientibus vid. Socr. lib. IV, cap. 33, 34, Soz. lib. VI, cap. 37; de Valentis adversus eos profectione et interitu, Socr. lib. IV, cap. 38; Soz. lib. VI, cap. 39, 40»... [v. infra]. Migne. 2) a. 378 p. Chr. 3) «Errat hic Philostorgius. Nam Theodosius Sirmii quidem imperator factus fuit, at idem in Macedonia constitutus Thessalonicae Gothos devicit. Illud recte Philostorgius cum caeteris, quod Theodosii de Gothis victoriam ad tempus refert, quo jam imperator renuntiatus erat. Male enim Theodoritus, qui lib. V cap. 5 ante ejus imperium id factum memorat. Profligatis barbaris venit Theodosius Constantinopolim statimque Ecclesias restituit Homousianis, sub finem anni 380, inquit *Jac. Gothofredus in locum*». Migne.—Regnavit Theodosius a. 379—395.

Digitized by Google

ΕΚ ΤΗΣ ΕΝΔΕΚΑΤΗΣ ΙΣΤΟΡΙΑΣ.

η'. Ὅτι τῶν Οὔννων, φησίν, οἱ μὲν τῆς ἐντὸς Ἴστρου Σκυθίας τὴν πολλὴν χειρωσάμενοι καὶ διαφθείραντες πρότερον, ἔπειτα παγέντα τὸν ποταμὸν διαβάντες ἀθρόως εἰς τὴν Ῥώμην εἰσήλασαν· καὶ κατὰ πᾶσαν ἀναχθέντες τὴν Θρᾴκην, ὅλην τὴν Εὐρώπην ἐληΐσαντο. Οἱ δὲ πρὸς ἥλιον ἀνίσχοντα, τὸν Τάναϊν ποταμὸν διαβάντες καὶ τῇ ἑῴᾳ ἐπεισρυέντες, δι' Ἀρμενίας μεγάλης εἰς τὴν καλουμένην Μελιτινὴν κατερράγησαν. Ἐκ ταύτης δὲ Εὐφρατησίαν τε ἐπέθεσαν καὶ μέχρι τῆς Κοίλης Συρίας ἦλασαν, καὶ τὴν Κιλικίαν καταδραμόντες φόνον ἀνθρώπων εἰργάσαντο ἀνιστόρητον...

Ἀλλ' ἐπὶ τούτοις πᾶσι καὶ Τριβιγίλδος, ἀνὴρ Σκύθης μὲν γένος, τῶν νῦν ἐπικαλουμένων Γότθων· πλεῖστα γὰρ καὶ διάφορα τούτων ἐστὶ Σκυθῶν γένη· οὗτος δὴ δύναμιν βαρβαρικὴν ἔχων καὶ τῆς Φρυγίας ἐν τῇ Νακωλείᾳ καθεζόμενος καὶ κόμητος ἔχων τιμήν, ἐκ φιλίας εἰς ἔχθραν Ῥωμαίων ἀπορραγείς, ἀπ' αὐτῆς Νακωλείας ἀρξάμενος πλείστας τε πόλεις τῆς Φρυγίας εἶλε καὶ πολὺν φόνον ἀνθρώπων εἰργάσατο. Ἐφ' ὃν Γαϊνᾶς ὁ στρατηγὸς ἐκπεμφθείς, βάρβαρος δ' οὖν καὶ αὐτός, προύδωκε τὴν νίκην, τὰ ἴσα καὶ αὐτὸς Ῥωμαίοις δράσαι διανοούμενος. Ἐκεῖθεν ὁ Τριβιγίλδος, ὡς δῆθεν τὸν Γαϊνᾶν διαφυγών, τήν τε Πισιδίαν καὶ τὴν Παμφυλίαν ἐπιὼν κατελυμήνατο· εἶτα πολλαῖς καὶ αὐτὸς πρότερον δυσχωρίαις τε καὶ Ἰσαυρικαῖς μάχαις περιθραυσθεὶς τὴν ἰσχὺν ἐπὶ τὸν Ἑλλήσποντον διασώζεται· καὶ περαιωθεὶς ἐπὶ τὴν Θρᾴκην οὐ μετὰ πολὺ διαφθείρεται. Γαϊνᾶς δὲ μετὰ τὴν προδοσίαν ἐν τῷ τοῦ στρατηγοῦ σχήματι πρὸς τὴν Κωνσταντινούπολιν ἐπανελθὼν εἰς μελέτην ἦκε ταύτην παραστήσασθαι. Οὐρανία δέ τις ἔνοπλος ἐπιφανεῖσα δύναμις καὶ τοὺς ἐπιβαλεῖν ὁρμηθέντας τῇ πράξει δειματώσασα τὴν μὲν πόλιν τῆς ἁλώσεως ῥύεται, ἐκείνους δὲ φωραθέντας ταῖς ἀνθρωπίναις δίκαις ἐκδίδωσι, καὶ φόνος αὐτῶν ἐρρύη πολύς. Ὁ δὲ Γαϊνᾶς εἰς τοσοῦτον κατέστη δέους, ὡς αὐτίκα νυκτὸς ἐπεχούσης μεθ' ὅσων ἠδύνατο τοὺς ἐπὶ τῶν πυλῶν βιασάμενος ἐξελαύνει τῆς πόλεως. Ἐπεὶ δὲ ἡ

ИЗЪ ОДИННАДЦАТОЙ КНИГИ.

8. *Филостогій* говоритъ, что одни изъ Уновъ, сначала подчинивъ себѣ и опустошивъ значительную часть Скиѳіи, *лежащей* за Истромъ, а затѣмъ перейдя чрезъ замерзшую рѣку, вторглись своими полчищами въ Римскую землю и, пройдя по всей Ѳракіи, разграбили всю Европу; другіе же, *жившіе* восточнѣе, перейдя чрезъ рѣку Танаидъ и вторгнувшись въ восточныя *области*, чрезъ Великую Армению ворвались въ такъ называемую Мелитину. Отсюда они напали на Евфратскую *область*, проникли до Киликіи и, пройдя чрезъ Киликію, произвели невѣроятное избіеніе людей...

Ко всему этому *присоединился* Тривигильдъ, родомъ Скиѳъ изъ такъ называемыхъ нынѣ Готѳовъ; ибо эти Скиѳы дѣлятся на множество разныхъ племенъ. Онъ, имѣя *подъ начальствомъ* варварскую силу, пребывая въ фригійскомъ *городѣ* Наколіи и имѣя титулъ комита, измѣнилъ дружественныя отношенія къ Римлянамъ на враждебныя и, начавъ съ Наколіи, захватилъ множество фригійскихъ городовъ и произвелъ большое избіеніе людей. Высланный противъ него воевода Ганна, тоже варваръ, предалъ побѣду, замышляя сдѣлать то-же самое съ Римлянами. Оттуда Тривигильдъ, какъ бы избѣгая Ганны, вторгся въ Писидію и Памфилію и опустошилъ ихъ. Затѣмъ, ослабленный въ свою очередь многими неудобствами мѣстностей и стычками съ Исаврами, онъ спасся на Геллеспонтъ и, переправившись во Ѳракію, немного спустя былъ убитъ. Ганна послѣ своей измѣны возвратился въ Константинополь съ титуломъ воеводы и замыслилъ подчинить его себѣ. Но нѣкая вооруженная небесная сила, показавшаяся тѣмъ, которые стремились напасть *на городъ*, и устрашившая ихъ своимъ появленіемъ, защитила городъ отъ взятія, а открытыхъ заговорщиковъ предала человѣческому правосудію, и произошло большое ихъ избіеніе. Ганна былъ пораженъ такимъ ужасомъ, что тотчасъ, съ наступленіемъ ночи, бѣжалъ изъ города съ кѣмъ могъ *изъ своихъ приверженцевъ*, си-

---

V. 5: εἰς τὴν Ῥωμαίων? Lat. || V. 11: «Scribendum est procul dubio Εὐφρατησίᾳ, quemadmodum in ms. exemplari Samuelis Bocharti ad marginem emendatum inveni». Vales.

Digitized by Google

Θράκη ἐξηρήμωτο καὶ οὔτε παρέχειν τι τῶν ἐπιτηδείων ἦν δυνατή, οὔτε φθορὰν ἄλλην ἐνεγκεῖν, ἐπὶ Χερρόνησον ὁ Γαϊνᾶς στέλλεται, σχεδίαις διανοούμενος ἐπὶ τὴν Ἀσίαν διαπεραιοῦσθαι. Διαγνωσθείσης δὲ τῷ βασιλεῖ τῆς αὐτοῦ διανοίας, πέμπεται στρατηγὸς ἐπ' αὐτὸν Φραυΐτας, Γότθος μὲν τὸ γένος, Ἕλλην δὲ τὴν δόξαν, πιστὸς δ' οὖν Ῥωμαίοις καὶ τὰ πολέμια κράτιστος. Οὗτος, ἐν ᾧ Γαϊνᾶς προέπεμπε τὸν ὑπ' αὐτῷ στρατὸν ταῖς σχεδίαις διαπεραιοῦσθαι, νηΐτῃ στόλῳ συμπλέκεται ταύταις καὶ ἐκ τοῦ ῥάστου πάντας τοὺς συμπλέοντας ταῖς σχεδίαις διαφθείρει. Ἐξ οὗ Γαϊνᾶς τὰ καθ' ἑαυτὸν ἀπογνοὺς εἰς τὰ τῆς Θράκης ἀνωτέρω φεύγει, καί τινες τῶν Οὔννων οὐ πολλοῦ διαρρυέντος χρόνου ἐπελθόντες αὐτὸν ἀναιροῦσι καὶ ἡ κεφαλὴ ταριχευθεῖσα εἰς Κωνσταντινούπολιν ἐκομίσθη...

лою прорвавшись сквозь стражу у воротъ. А такъ какъ Ѳракія опустѣла и не могла ни доставить какого-либо продовольствія, ни выдержать новаго опустошенія, то Гаина отправился въ Херсонисъ, намѣреваясь переправиться *оттуда* въ Азію на плотахъ. Когда его намѣреніе сдѣлалось извѣстно императору, противъ него былъ посланъ воевода Фравитъ, родомъ Готѳъ, а по религіи Еллинъ, вѣрный Римлянамъ и весьма искусный въ военномъ дѣлѣ. Въ то время, какъ Гаина высылалъ впередъ свое войско для переправы на плотахъ, Фравитъ напалъ на нихъ съ своимъ флотомъ и весьма легко истребилъ всѣхъ плывшихъ на плотахъ. Гаина, совершенно отчаявшись въ спасеніи, бѣжалъ въ верхнюю Ѳракію; *здѣсь* немного времени спустя нѣкоторые изъ Унновъ напали на него и убили. Посоленная голова его была привезена въ Константинополь...

ΕΚ ΤΗΣ ΔΩΔΕΚΑΤΗΣ ΙΣΤΟΡΙΑΣ.

β'. Ὅτι κατὰ τοὺς προειρημένους χρόνους Ἀλάριχος Γότθος τὸ γένος, περὶ τὰ τῆς Θράκης ἄνω μέρη δύναμιν ἀθροίσας ἐπῆλθε τῇ Ἑλλάδι καὶ τὰς Ἀθήνας εἷλε, καὶ Μακεδόνας καὶ τοὺς προσεχεῖς Δαλμάτας ἐχειρώσατο. Ἐπῆλθε δὲ καὶ τὴν Ἰλλυρίδα, καὶ τὰς Ἄλπεις διαβὰς ταῖς Ἰταλίαις ἐνέβαλε..

ИЗЪ ДВѢНАДЦАТОЙ КНИГИ.

2. Въ вышесказанныя времена Аларихъ, родомъ Готѳъ, собравъ *военныя* силы въ верхнихъ частяхъ Ѳракіи, совершилъ нашествіе на Элладу и взялъ Аѳины, а *затѣмъ* подчинилъ Македонянъ и сосѣднихъ Далматовъ. Онъ совершилъ также нашествіе на Иллирію и, перейдя черезъ Альпы, вторгнулся въ Италію...

ΑΠΟΣΠΑΣΜΑΤΑ.

[Ex Suida s. v. Λεόντιος]. Λεόντιος Τριπόλεως τῆς Λυδίας ἐπίσκοπος, Μυσὸς τὸ γένος τῶν πρὸς τῷ Ἴστρῳ κατῳκημένων, οὓς ἀγχιμάχους Ὅμηρος καλεῖ...

ОТРЫВКИ.

Леонтій, епископъ Триполя Лидійскаго [1]), *былъ* родомъ изъ Мисійцевъ, живущихъ у Истра, которыхъ Омиръ называетъ «бойцами рукопашными»...

---

1) Leontium hunc Iuliani imp. aequalem commemorat Philostorgius l. VII c. 6. Homeri versum (*Il.* 13, 5) v. supra p. 299.

Digitized by Google

ΚΥΡΙΛΛΟΣ ΑΛΕΞΑΝΔΡΕΥΣ. КИРИЛЛЪ АЛЕКСАНДРІЙСКІЙ.

[Род., вѣроятно, въ Александріи и былъ племянникомъ патріарха Θеофила, по смерти котораго въ 412 г. былъ избранъ патріархомъ роднаго города. Св. Кириллъ знаменитъ своею борьбою съ Несторіемъ и оставилъ много сочиненій апологетическаго, догматическаго и эксегетическаго содержанія, бесѣды и письма. Умеръ 27 іюня 444 г. — Текстъ: Migne, Patrologiae cursus compl., series Graeca, vv. 68—77].

Извлеченія и переводъ А. І. Малеина.

ΠΡΟΣ ΤΑ ΤΟΥ ΕΝ ΑΘΕΟΙΣ ΙΟΥΛΙΑΝΟΥ. ПРОТИВЪ СОЧИНЕНІЙ БЕЗБОЖНАГО ЮЛІАНА.

IV (M. v. 76, col. 680). ...Σκύθαι γὰρ ὠμοί τε ἀνδροκτόνοι... ...Скиѳы жестоки и человѣкоубійцы...

Col. 697. Σκύθαι δὲ οἱ περὶ Ταυρικὴν Χερσόνησον τοὺς τῶν ξένων ἐνειλημμένους τῇ παρ' αὐτοῖς Ἀρτέμιδι κατασφάττοντες ταῖς τοῦ ναοῦ πύλαις ἐνῆπτον τὰς κεφαλάς, καλὸν τῇ θεῷ θήραμα ξένιόν τε θυμῆρες αὐτῇ τὴν ἀνδροκτασίαν προσάγοντες, ἵνα καὶ θαλάττης ἀπηνεστέρα καὶ κυμάτων αὐτῶν διαφαίνηται, τοὺς διαφυγόντας ἁρπάζουσα καὶ τὴν ἐλπίδα τοῦ σώζεσθαι, θανάτου πρόφασιν ἀποφαίνουσα τοῖς τῇ γῇ προσορμιζομένοις.

Скиѳы, *живущіе* на Таврическомъ Херсонисѣ, закалая захваченныхъ ими чужестранцевъ въ честь туземной Артемиды, прибивали головы *ихъ* къ дверямъ храма, принося ей мужеубійство, какъ прекрасную добычу и пріятный гостинецъ, чтобы она являлась безчеловѣчнѣе и моря и самыхъ волнъ, похищая у избѣжавшихъ *опасности* даже надежду на спасеніе и являя пристающимъ къ землѣ видъ смерти.

Col. 701. *Iulianus dicit*: Οὐκοῦν Ἀνάχαρσιν οἱ Σκύθαι βακχεύοντα παρεδέξαντο.

Cyrillus respondet: Διὰ ποίαν αἰτίαν, ὦ κράτιστε; ἆρα γὰρ ὅτι φύσεως ἦσαν λαχούσης ἐφ' ἑαυτῇ τὸ ἀπάνθρωπον; εἶτα πῶς ὁ Σκύθης ἐβάκχευε; Σκύθης γὰρ τὸ γένος καὶ αὐτὸς Ἀνάχαρσις ἦν· τεθαύμασται δὲ οὕτω παρ' Ἕλλησιν ὡς σοφὸς, ὥστε καί τινας οἴεσθαι τοῖς ἑπτὰ καὶ αὐτὸν ἐναριθμεῖσθαι δεῖν.

Юліанъ: Однако Скиѳы не приняли неистовствующаго Анахарсида.

Кириллъ: По какой причинѣ, дорогой мой? Не потому-ли, что по природѣ они чужды безчеловѣчности? Потомъ, какъ неистовствовалъ Скиѳъ? Ибо Скиѳомъ по происхожденію былъ и самъ Анахарсидъ, въ качествѣ же мудреца онъ вызвалъ такое восхищеніе у Еллиновъ, что нѣкоторые считали нужнымъ и его причислить къ семи *мудрецамъ*.

Col. 705. ἐφιλοσόφησαν... Ἀνάχαρσις παρὰ Σκύθαις... φασὶ δέ τινας καὶ τῶν Ὑπερβοραίων ἐθνῶν τοὺς ὑπὲρ τὰ Ῥίπαια κατῳκηκότας ὄρη δικαιοσύνης γενέσθαι μελεδωνοὺς καὶ ὀψοφαγίας ἀποφοιτᾶν.

Занимались философіей... у Скиѳовъ Анахарсидъ... говорятъ, что и изъ Иперборейскихъ племенъ поселившіеся на сѣверъ отъ Рипэйскихъ горъ стали заботиться о справедливости и отставать отъ обжорства.

Praeterea Scythae in operibus Cyrilli memorantur vol. 76 col. 681, col. 703 ter, col. 717.

Digitized by Google

ΣΩΚΡΑΤΗΣ.

СОКРАТЪ.

[Сократъ, уроженецъ Константинопольскій, род. около 380 г., по профессіи адвокатъ (σχολαστικός), написалъ «Церковную исторію» (Ἐκκλησιαστικὴ ἱστορία) въ 7 книгахъ, служащую продолженіемъ исторіи Евсевія и обнимающую время съ 305 по 439 г. — Текстъ: Migne, Patrol. ser. Graeca, v. LXVII p. 33—842. О Сократѣ, Созоменѣ и Θеодоритѣ ср. А. Лебедевъ, Греч. церковные историки IV, V и VI вѣковъ. М. 1891].

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΙΣΤΟΡΙΑ.

ЦЕРКОВНАЯ ИСТОРІЯ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

КНИГА ПЕРВАЯ.

ΚΕΦΑΛ. Η'. Περὶ τῆς γεγενημένης συνόδου ἐν Νικαίᾳ τῆς Βιθυνίας καὶ περὶ τῆς ἐκεῖ ἐκτεθείσης πίστεως.

Гл. 8. О соборѣ въ Никеѣ Виѳинской и объ изложенномъ тамъ исповѣданіи вѣры.

...ἤδη δὲ καὶ Πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν· οὔτε Σκύθης ἀπελιμπάνετο τῆς χορείας...

...Уже и Персидскій епископъ присутствовалъ на соборѣ и Скиѳскій не отсутствовалъ въ *общемъ* хорѣ...[1])

ΚΕΦΑΛ. ΙΗ'. Ὡς καὶ ὁ βασιλεὺς Κωνσταντῖνος τὰ μὲν Ἑλλήνων καθῄρει, πολλὰς δὲ ἐκκλησίας ἐν διαφόροις τόποις ἵδρυσεν.

Гл. 18. Какъ императоръ Константинъ уничтожилъ еллинское идолопоклонство и построилъ много церквей въ разныхъ мѣстахъ.

...Ὑπὸ δὲ τοὺς αὐτοῦ χρόνους καὶ βαρβάρων Σαρματῶν καὶ Γότθων κατατρεχόντων τὴν Ῥωμαίων γῆν οὐδαμῶς ἡ περὶ τὰς ἐκκλησίας τοῦ βασιλέως πρόθεσις ἐνεκόπτετο· ἀλλ' ἀμφοτέρων τὴν ἀρμόζουσαν ἐποιήσατο πρόνοιαν· τοὺς μὲν γὰρ τῷ Χριστιανικῷ τροπαίῳ πεπιστευκὼς κατὰ κράτος ἐνίκα, ὡς καὶ τὸ εἰωθὸς παρὰ τῶν πάλαι βασιλέων δίδοσθαι χρυσίον τοῖς βαρβάροις περιελεῖν, ἐκείνους τε ἐκπεπληγμένους τῷ παραλόγῳ τῆς ἥττης πιστεῦσαι τότε πρῶτον τῇ Χριστιανισμοῦ θρησκείᾳ, δι' ἧς καὶ Κωνσταντῖνος ἐσώζετο...

...Около этого же времени, несмотря на то, что варвары Сарматы и Готѳы[2]) опустошали Римскую землю, заботливость императора о церквахъ нисколько не прерывалась: онъ относился съ надлежащимъ вниманіемъ къ тому и другому: уповая на христіанскій трофей, онъ на голову разбилъ варваровъ, такъ что прекратилъ и дань, которая обыкновенно платилась варварамъ прежними царями, и сами *варвары*, пораженные неожиданностью побѣды, тогда впервые приняли христіанскую вѣру, въ которой находилъ спасеніе Константинъ...

ΚΕΘ. ΙΘ'. Τίνα τρόπον ἐπὶ τῶν χρόνων Κωνσταντίνου τὰ ἐνδοτέρω ἔθνη τῶν Ἰνδῶν ἐχριστιάνισαν.

Гл. 19. Какимъ образомъ во времена Константина приняли христіанство племена внутренней Индіи.

Αὖθις οὖν μνημονευτέον καὶ ὅπως ἐπὶ τῶν καιρῶν τοῦ βασιλέως ὁ Χριστιανισμὸς

Далѣе слѣдуетъ упомянуть и о томъ, какъ во времена *этого* императора распростра-

---

V. 4: «Ὑπὸ δὲ τοὺς αὐτοῦ χρόνους. Lego cum Christophorsono et Musculo ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους». Valesius.

1) Cf. Euseb. *V. Const.* III, 7, 1 (supra, p. 680). 2) «Γότθων. Pro Gothis Scythas dicit Eusebius de vita Constant. lib. IV, cap. 5 [v. supra p. 680]. Certe Graeci scriptores Σκύθας vocare solent, quos Latini Gothos. Porro Gothi victi sunt ab exercitu Romano in terris Sarmatarum die XII Kal. Maii Pacatiano et Hilariano coss., id est anno Chr. 332, inquit Vales. in loc. cit». Migne.

Digitized by Google

ἐπλατύνετο· τηνικαῦτα γὰρ Ἰνδῶν τε τῶν ἐνδοτέρω καὶ Ἰβήρων τὰ ἔθνη πρὸς τὸ χριστιανίζειν ἐλάμβανε τὴν ἀρχήν...

нялось христіанство. Ибо тогда начали вѣровать въ Христа племена внутренней Индіи и Иверы...

ΚΕΦ. Κ'. Τίνα τρόπον Ἴβηρες ἐχριστιάνισαν.

Καιρὸς δὲ ἤδη λέγειν, ὅπως καὶ Ἴβηρες ὑπὸ τὸν αὐτὸν χρόνον ἐχριστιάνισαν. Γυνή τις βίον σεμνὸν καὶ σώφρονα μετερχομένη θείᾳ τινὶ προνοίᾳ ὑπ' Ἰβήρων αἰχμάλωτος γίνεται. Ἴβηρες δὲ οὗτοι προσοικοῦσι μὲν τὸν Εὔξεινον Πόντον, ἄποικοι δέ εἰσιν Ἰβήρων τῶν ἐν Ἱσπανίᾳ. Ἡ γυνὴ τοίνυν ἡ αἰχμάλωτος ἐν μέσοις οὖσα τοῖς βαρβάροις ἐφιλοσόφει· σὺν γὰρ τῇ πολλῇ τῆς σωφροσύνης ἀσκήσει νηστείᾳ τε βαθυτάτῃ καὶ συντόνοις προσέκειτο ταῖς εὐχαῖς. Τοῦτο δὲ ὁρῶντες οἱ βάρβαροι τὸν ξενισμὸν τοῦ πραττομένου ἐθαύμαζον. Συμβαίνει δή τὸν βασιλέως παῖδα, νήπιον ὄντα, ἀρρωστίᾳ περιπεσεῖν. Καὶ ἔθει τινὶ ἐγχωρίῳ παρὰ τὰς ἄλλας γυναῖκας ἡ τοῦ βασιλέως γυνὴ ἔπεμπε τὸν παῖδα θεραπευθησόμενον, εἴ που τι βοήθημα πρὸς τὴν νόσον ἐκ πείρας ἐπίστανται. Ὡς δὲ περιαχθεὶς ὁ παῖς ὑπὸ τῆς τροφοῦ παρ' οὐδεμιᾶς τῶν γυναικῶν θεραπείας ἐτύγχανε, τέλος ἄγεται πρὸς τὴν αἰχμάλωτον. Ἡ δέ, ἐπὶ παρουσίᾳ πολλῶν γυναικῶν, ὑλικὸν μὲν βοήθημα προσέφερεν οὐδέν· οὐδὲ γὰρ ἠπίστατο. Δεξαμένη δὲ τὸν παῖδα καὶ εἰς τὸ ἐκ τριχῶν ὑφασμένον αὐτῇ στρωμάτιον ἀνακλίνασα λόγον εἶπεν ἁπλοῦν· Ὁ Χριστός, φησιν, ὁ πολλοὺς ἰασάμενος καὶ τοῦτο τὸ βρέφος ἰάσεται. Ἐπευξαμένης τε ἐπὶ τῷ λόγῳ τούτῳ καὶ ἐπικαλεσαμένης Θεὸν παραχρῆμα ὁ παῖς ἀνερρώννυτο καὶ εἶχεν ἐξ ἐκείνου καλῶς. Φήμη τε ἐντεῦθεν τὰς βαρβάρων γυναῖκας καὶ αὐτὴν τὴν τοῦ βασιλέως διέτρεχε καὶ φανερωτέρα ἡ αἰχμάλωτος ἐγίνετο. Μετ' οὐ πολὺ δὲ καὶ ἡ τοῦ βασιλέως γυνὴ ἀρρωστίᾳ περιπεσοῦσα τὴν αἰχμάλωτον γυναῖκα μετεπέμπετο. Τῆς δὲ παραιτησαμένης μετριαζούσης τε ἐν τοῖς ἤθεσιν αὐτὴ φέρεται παρ' αὐτήν. Ποιεῖ δὲ ἡ αἰχμάλωτος ἃ καὶ ἐπὶ τοῦ παιδὸς πεποιήκει πρότερον. Παραχρῆμα δὲ ἡ νοσοῦσα ἐρρώσθη καὶ ηὐχαρίστει τῇ γυναικί. Ἡ δέ, Οὐκ ἐμόν, ἔφη, τὸ ἔργον, ἀλλὰ Χριστοῦ, ὃς Υἱός ἐστι τοῦ Θεοῦ, τοῦ τὸν κόσμον ποιήσαντος. Τοῦτόν ἐπικαλεῖ-

Гл. 20. Какимъ образомъ Иверы приняли христіанство.

Пора уже разсказать, какъ и Иверы около того же времени приняли христіанство. Одна женщина, ведшая честную и цѣломудренную жизнь, по *волѣ* Божественнаго Провидѣнія попала въ плѣнъ къ Иверамъ [1]). Эти Иверы живутъ около Евксинскаго Понта и суть выходцы отъ Иверовъ Испанскихъ. Плѣнная женщина, находясь среди варваровъ, вела любомудрую жизнь: вмѣстѣ съ высокимъ подвигомъ цѣломудрія, она предавалась строжайшему посту и постояннымъ молитвамъ. Видя это, варвары изумлялись странности ея поведенія. Случилось такъ, что царскій сынъ, *еще* младенецъ, тяжко заболѣлъ. По туземному обычаю царица стала посылать ребенка для лѣченія къ другимъ женщинамъ, не знаютъ-ли онѣ по опыту какого-либо средства противъ болѣзни. Когда же ребенокъ, обнесенный кормилицей, ни отъ одной женщины не получилъ облегченія, въ концѣ *концовъ* его принесли къ плѣнницѣ. Послѣдняя, въ присутствіи многихъ женщинъ, не примѣнила никакого вещественнаго лѣкарства, такъ какъ и не знала *его*; взявъ ребенка и положивъ его на сотканную изъ шерсти подстилку, она сказала простое слово: «Христосъ, исцѣлившій многихъ, исцѣлитъ и это дитя». Когда она послѣ этихъ словъ помолилась и призвала Бога, ребенокъ тотчасъ выздоровѣлъ и съ тѣхъ поръ чувствовалъ себя хорошо. *Объ этомъ* распространилась молва между варварскими женщинами, *дошла* до самой царицы, и плѣнница сдѣлалась извѣстнѣе. Немного спустя заболѣла и *сама* царица и повелѣла призвать къ себѣ плѣнницу. Когда же послѣдняя по своей скромности отказалась, *царица* сама была принесена къ ней. Плѣнница сдѣлала то-же, что и раньше съ дитятею. Больная тотчасъ выздоровѣла и стала благодарить женщину. Она же сказала: «Это дѣло не мое, а Христа, который есть Сынъ Бога, сотворившаго міръ».

1) Это св. Нина, просвѣтительница Грузіи (Иверіи). Тогдашній царь Иверскій носилъ имя Миріана. О христіанствѣ въ Иверіи ср. арх. *Макарія*, Исторія христ. въ Россіи до равноапостольнаго князя Владиміра, изд. 2 (Спб. 1868), стр. 125 сл.

Digitized by Google

σθαι παρήνει καὶ ἀληθῆ γνωρίζειν Θεόν. Θαυμάσας δὲ ὁ βασιλεὺς τῶν Ἰβήρων τὴν ἐκ τῆς νόσου εἰς ὑγείαν ταχυτῆτα πυθόμενός τε τίς εἴη ὁ θεραπεύσας, δώροις ἠμείβετο τὴν αἰχμάλωτον. Ἡ δὲ οὐκ ἔφη δεῖσθαι πλούτου· ἔχειν γὰρ πλοῦτον τὴν εὐσέβειαν καὶ δέχεσθαι μέγα δῶρον, εἰ ἐπιγνώσειε τὸν Θεὸν τὸν ὑπ' αὐτῆς γινωσκόμενον. Ταῦτα εἰποῦσα τὰ δῶρα ἀντέπεμπεν· ὁ δὲ βασιλεὺς τὸν μὲν λόγον ἐταμιεύσατο. Μεθ' ἡμέραν δὲ ἐξελθόντι αὐτῷ εἰς θήραν συμβαίνει τοιοῦτό τι· τὰς κορυφὰς τῶν ὀρέων καὶ τὰς νάπας, ἔνθα ἐθήρα, κατέχεεν ὁμίχλη, σκότος τε πολύ. καὶ ἦν ἄπορος μὲν ἡ θήρα, ἀδιεξίτητος δὲ ἡ ὁδός· ἐν ἀμηχανίᾳ δὲ γενόμενος πολὺ τοὺς θεοὺς ἐπεκαλεῖτο, οὓς ἔσεβεν. Ὡς δὲ οὐδὲν ἤνυε πλέον, τέλος εἰς ἔννοιαν τῆς αἰχμαλώτου λαμβάνει τὸν Θεὸν καὶ τοῦτον καλεῖ βοηθόν. Καὶ ἅμα γε ηὔχετο, καὶ τὸ ἐκ τῆς ὁμίχλης διελύετο σκότος. Θαυμάζων δὲ τὸ γενόμενον, χαίρων ἐπὶ τὰ οἰκεῖα ἀνεχώρει. Καὶ τὸ συμβεβηκὸς διηγεῖτο τῇ γυναικί. Καὶ τὴν αἰχμάλωτον εὐθὺς μεταπέμπεται καὶ τίς εἴη ὃν σέβει Θεὸν ἐπυνθάνετο. Ἡ δὲ εἰς πρόσωπον ἐλθοῦσα κήρυκα τοῦ Χριστοῦ τὸν τῶν Ἰβήρων βασιλέα ἐποίησε γενέσθαι· πιστεύσας γὰρ τῷ Χριστῷ διὰ τῆς εὐσεβοῦς γυναικὸς πάντας τοὺς ὑπ' αὐτὸν Ἴβηρας συγκαλεῖ καὶ τὰ συμβάντα περί τε τῆς θεραπείας τῆς γυναικὸς καὶ τοῦ παιδίου, οὐ μὴν ἀλλὰ καὶ τὰ κατὰ τὴν θήραν ἐκθέμενος παρήνει σέβεσθαι τὸν τῆς αἰχμαλώτου Θεόν. Ἐγένοντο οὖν ἀμφότεροι κήρυκες τοῦ Χριστοῦ· ὁ μὲν βασιλεὺς τοῖς ἀνδράσιν, ἡ δὲ γυνὴ ταῖς γυναιξί. Μαθὼν δὲ παρὰ τῆς αἰχμαλώτου τὸ σχῆμα τῶν παρὰ Ῥωμαίοις ἐκκλησιῶν, εὐκτήριον οἶκον ἐκέλευσε γενέσθαι· εὐθύς τε τὰ πρὸς οἰκοδομὴν προσέταξεν εὐτρεπίζεσθαι. Καὶ ὁ οἶκος ἠγείρετο. Ἐπεὶ δὲ καὶ τοὺς στύλους ἀνορθοῦν ἐπειρῶντο, οἰκονομεῖ τι πρὸς πίστιν τοὺς ἐνοικοῦντας ἡ τοῦ Θεοῦ ἔλκουσα Πρόνοια. Εἷς γὰρ τῶν στύλων ἀκίνητος ἔμενε καὶ οὐδεμία εὑρίσκετο μηχανὴ δυναμένη κινῆσαι αὐτόν. Ἀλλὰ τὰ μὲν καλώδια διερρήγνυτο, τὰ δὲ μηχανήματα κατεάγνυτο· ἀπεγνωκότες οὖν οἱ ἐργαζόμενοι ἀπεχώρουν· Τότε δείκνυται τῆς αἰχμαλώτου ἡ πίστις· νυκτὸς γὰρ, μηδενὸς ἐγνωκότος, καταλαμβάνει τὸν τόπον καὶ διανυκτερεύει τῇ εὐχῇ σχολάζουσα. Προνοίᾳ τε Θεοῦ ὁ στύλος ἀνορθοῦται καὶ ὑψηλότερος τῆς βάσεως ἐν τῷ ἀέρι ἐστήρικτο, μηδαμῶς τῆς κρηπῖδος ἀπ-

Она увѣщевала призывать Его и познать истиннаго Бога. Царь Иверскій, изумившись скорому выздоровленію *жены* и узнавъ, кто ее исцѣлилъ, послалъ плѣнницѣ дары. Она сказала, что не нуждается въ богатствѣ, ибо имѣетъ богатство въ благочестіи и получитъ великій даръ, если *царь* познаетъ чтимаго ею Бога. Съ этими словами она отослала обратно дары и царь принялъ къ сердцу ея слово. На слѣдующій день, когда онъ вышелъ на охоту, случилось слѣдующее: туманъ и густой мракъ разлился по вершинамъ горъ и ущельямъ, гдѣ онъ охотился; охота стала невозможна и дорога непроходима. Придя въ отчаяніе, *царь* сталъ усердно призывать чтимыхъ имъ боговъ, но безуспѣшно; наконецъ онъ вспомнилъ Бога плѣнницы и призвалъ Его на помощь. Какъ только онъ помолился *Ему*, произведенный туманомъ мракъ разсѣялся. Изумляясь случившемуся, царь съ радостью возвратился домой и разсказалъ случившееся женѣ. Онъ тотчасъ пригласилъ плѣнницу и спросилъ, кто *тотъ* Богъ, котораго она почитаетъ. Плѣнница, явившись, сдѣлала Иверскаго царя проповѣдникомъ Христа: ибо онъ, увѣровавъ во Христа чрезъ благочестивую женщину, созвалъ всѣхъ подвластныхъ ему Иверовъ и, разсказавъ имъ объ исцѣленіи жены и ребенка, а также и о случившемся на охотѣ, убѣждалъ почитать Бога плѣнницы. Оба они сдѣлались проповѣдниками Христа: царь — мужчинамъ, а жена *его* — женщинамъ. Узнавъ отъ плѣнницы видъ *существующихъ* у Римлянъ церквей, царь повелѣлъ построить молитвенный домъ и приказалъ тотчасъ заготовить *все* нужное для постройки. Домъ сталъ воздвигаться. Когда же стали ставить колонны, то привлекающее жителей къ вѣрѣ Божественное Провидѣніе устроило слѣдующее. Одна изъ колоннъ оставалась недвижимою и не находилось никакого орудія, которое могло бы сдвинуть ее; канаты рвались, машины ломались и рабочіе въ отчаяніи удалились. Тогда обнаружилась вѣра плѣнницы: ночью, когда никто не зналъ, она пришла на мѣсто и провела всю ночь въ усердной молитвѣ. По волѣ Божіей колонна выпрямилась и утвердилась въ воздухѣ выше подножія, совсѣмъ не касаясь помоста. Съ наступленіемъ дня царь, озабоченный, прибылъ къ *мѣсту* постройки; *вдругъ* онъ видитъ ко-

Digitized by Google

τόμενος. Ἡμέρα δὲ ἦν, καὶ ὁ βασιλεὺς ἔμφρων τις ὢν ἐπὶ τὴν οἰκοδομὴν παρῆν· ὁρᾷ τε τὸν στύλον ἐπὶ τὴν ἰδίαν κρεμάμενον βάσιν· καὶ ἐκπλήττεται μὲν αὐτὸς ἐπὶ τῷ γεγονότι, ἐκπλήττονται δὲ καὶ οἱ παρόντες σὺν αὐτῷ. Μετ' οὐ πολὺ γὰρ ἐπ' ὀφθαλμοῖς αὐτῶν τῇ ἰδίᾳ βάσει ὁ στύλος κατιὼν ἱδρύεται, βοῇ τε ἐντεῦθεν τῶν ἀνθρώπων βοώντων καὶ ἀληθῆ τὴν πίστιν ἀνακαλούντων τοῦ βασιλέως καὶ ὑμνούντων τὸν τῆς αἰχμαλώτου Θεόν. Ἐπίστευόν τε λοιπὸν καὶ σὺν προθυμίᾳ πολλῇ τοὺς ὑπολοίπους στύλους ἀνώρθουν, καὶ οὐκ εἰς μακρὰν τὸ ἔργον τετέλεστο. Πρεσβεία ἐντεῦθεν πρὸς τὸν βασιλέα Κωνσταντῖνον ἐγένετο· παρεκάλουν τε τοῦ λοιποῦ ὑπόσπονδοι Ῥωμαίων γίνεσθαι, λαμβάνειν τε ἐπίσκοπον καὶ ἱερὸν κλῆρον, πιστεύειν γὰρ εἰλικρινῶς ἔλεγον τῷ Χριστῷ. Ταῦτά φησιν ὁ Ῥουφῖνος [1]) παρὰ Βακουρίου [2]) μεμαθηκέναι, ὃς πρότερος μὲν ἦν βασιλίσκος Ἰβήρων, ὕστερον δὲ Ῥωμαίοις προσελθών, ταξίαρχος τοῦ ἐν Παλαιστίνῃ στρατιωτικοῦ κατέστη· καὶ μετὰ ταῦτα στρατηλατῶν τὸν κατὰ Μαξίμου τοῦ τυράννου πόλεμον τῷ βασιλεῖ Θεοδοσίῳ συνηγωνίσατο [3]). Τοῦτον μὲν τὸν τρόπον καὶ Ἴβηρες ἐχριστιάνισαν ἐπὶ τῶν Κωνσταντίνου χρόνων.

ТОМОСЪ ДЕУТЕРОСЪ.

ΚΕΦΑΛ. ΜΑ'. ...Τελευταία δὲ [πίστις] ἐν Κωνσταντινουπόλει μετὰ τῆς προσθήκης ἐκδέδοται. Πρόσκειται γὰρ αὐτῇ μήτε οὐσίαν μήτε ὑπόστασιν ἐπὶ Θεοῦ λέγειν. Ταύτῃ καὶ Οὐλφίλας ὁ τῶν Γότθων ἐπίσκοπος τότε πρῶτον συνέθετο [4]). Τὸν γὰρ ἔμπροσθεν χρόνον τὴν ἐν Νικαίᾳ πίστιν ησπάζετο, ἑπόμενος Θεοφίλῳ, ὃς τῶν Γότθων ἐπίσκοπος ὢν τῇ ἐν Νικαίᾳ συνόδῳ παρὼν καθυπέγραψε...

КНИГА ВТОРАЯ.

Гл. 41. ...Послѣдній (символъ вѣры) былъ изданъ въ Константинополѣ съ дополненіемъ. Именно, къ нему прибавлено, чтобы о Богѣ не употреблялись слова «οὐσία» и «ὑπόστασις». Съ этимъ *символомъ* тогда впервые согласился и Ульфила, епископъ Готескій. Въ предыдущее время онъ признавалъ Никейскій символъ, слѣдуя Θеофилу, который, будучи епископомъ Готескимъ, присутствовалъ на Никейскомъ соборѣ и подписался...

V. 1: «Mallem legere ἔμφροντις ὤν. Nec dubito quin Socrates ita scripserit. Certe Rufinus, ex quo Socrates haec desumpsit, sic habet: *Cum ecce matutinus et anxius cum suis omnibus ingrediens rex*, etc». Valesius. || V. 23: στρατιωτικοῦ] «Hoc loco Socrates non assecutus est sensum Rufini. Nam Rufinus Bacurium Palaestini limitis ducem fuisse scribit, tunc cum ista ei narraret. Socrates vero legisse videtur in Rufino *Palaestini militis ducem*». Vales.

1) Tyrannius Rufinus (345—410 p. Chr.), scriptor historiae ecclesiasticae, de quo v. *Bardenhewer*, Patrol. (Freib. 1894), p. 424. 2) De Bacurio v. *Pauly-Wissowa*, Realencyclop. s. v. 3) ...συνηγωνίσατο] «Hic etiam lapsus est Socrates. Neque enim in bello contra Maximum pro Theodosio pugnavit Bacurius, sed in bello contra Eugenium, ut testatur Rufinus in lib. XI cap. 33 et Zosimus in lib. IV». Valesius. 4) Fuit hoc concilium a. 360. Cf. de his *Бѣликовъ*, Христ. у Готовъ, p. 59.

Digitized by Google

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.

ΚΕΦΑΛ. Η'. Περὶ τοῦ εὑρεθέντος χρησμοῦ ἐν λίθῳ γεγλυμμένῳ, ὅτε τὸ Χαλκηδόνος τεῖχος ἐλύετο κατ' ὀργὴν τοῦ βασιλέως Οὐάλεντος.

Ὁ μέντοι βασιλεὺς Χαλκηδόνος τῆς κατ' ἀντικρὺ Βυζαντίου πόλεως τὰ τείχη λύειν προσέταττεν. Ὁμωμόκει γὰρ τοῦτο ποιήσειν, νικήσας τὸν τύραννον, ὅτι Χαλκηδόνιοι τῷ τυράννῳ προσθέμενοι αἰσχρῶς αὐτὸν περιύβρισαν[1]) καὶ τὰς πύλας τῆς πόλεως προϊόντος ἀπέκλεισαν. Τὸ μὲν οὖν τεῖχος κελεύσει τοῦ βασιλέως ἐλύετο· καὶ οἱ λίθοι εἰς τὸ Κωνσταντίνου πόλεως δημόσιον λουτρὸν μετεφέροντο, ᾧ προσωνυμία Κωνσταντιαναί[2]). Εὕρηται δὲ ἐν ἑνὶ τῶν λίθων ἐπιγεγραμμένος χρησμός[3]), ὃς ἐκέκρυπτο μὲν ἐκ παλαιοῦ, τότε δὲ φανερὸς ἐγένετο, δηλῶν, ὡς ἡνίκα δαψιλὲς ὕδωρ ὑπάρξαι τῇ πόλει, τότε τὸ μὲν τεῖχος λουτρῷ ὑπουργήσει, μυρία δὲ φῦλα βαρβάρων καταδραμόντα τὴν Ῥωμαίων γῆν καὶ πολλὰ κακὰ δράσαντα τελευταῖον καὶ αὐτὰ φθαρήσεται. Οὐδὲν δὲ κωλύει, φιλομαθίας ἕνεκεν, καὶ τὸν χρησμὸν ἐνταῦθα προσθεῖναι.

Ἀλλ ὅτε δὴ νύμφαι δροσερὴν κατὰ ἄστυ χορείην
τερπόμεναι στήσωνται ἐυστεφέας κατ' ἀγυιάς,
καὶ τεῖχος λουτροῖο πολύστονον ἔσσεται ἆλκαρ,
δὴ τότε μυρία φῦλα πολυσπερέων ἀνθρώπων
ἄγρια, μαργαίνοντα, κακὴν ἐπιειμένα ἀλκήν,
Ἴστρου καλλιρόοιο πόρον διαβάντα σὺν αἰχμῇ
καὶ Σκυθικὴν ὀλέσει χώρην καὶ Μυσίδα γαῖαν,
Θρηϊκίης δ' ἐπιβάντα σὺν ἐλπίσι μαινομένῃσιν,
αὐτοῦ κεν βιότοιο τέλος καὶ πότμον ἐπίσποι.

КНИГА ЧЕТВЕРТАЯ.

Гл. 8. О находкѣ вырѣзаннаго на камнѣ прорицанія во время разрушенія стѣны Халкидона вслѣдствіе гнѣва императора Валента.

Императоръ приказалъ разрушить стѣны города Халкидона, *лежащаго* противъ Византіи. Онъ поклялся сдѣлать это, побѣдивъ тирана, за то что Халкидонцы, ставъ на сторону тирана, тяжко оскорбили его и при его проходѣ заперли городскія ворота. Итакъ, по приказанію императора стали разрушать стѣну и перевозить камни въ Константинопольскія общественныя бани, называвшіяся Константіанскими. *При этомъ* на одномъ камнѣ найдено вырѣзанное прорицаніе, которое скрывалось издавна, а тогда открылось. Оно гласило, что когда у города будетъ въ изобиліи вода, тогда стѣна послужитъ для бани, а безчисленныя племена варваровъ, опустошивъ Римскую землю и натворивъ много бѣдъ, въ концѣ *концовъ* погибнутъ и сами. Ради любознательности не мѣшаетъ привести здѣсь и самое прорицаніе.

«Но когда веселыя нимфы устроятъ въ городѣ влажный хороводъ по разукрашеннымъ вѣнками улицамъ и печальная стѣна будетъ защитою бани,— тогда-то безчисленныя племена разнородныхъ людей, дикія, свирѣпыя, одѣтыя грубою силою, перейдя во всеоружіи потокъ прекрасно текущаго Истра, опустошатъ и Скиѳскую страну и Мисійскую землю, но *затѣмъ*, вступивъ во Ѳракію съ неистовыми надеждами, найдутъ тамъ свою судьбу и кончину жизни».

V. 7: «Προϊόντος ἀπέκλεισαν. Malim scribere παριόντος, quod et in versione mea sum secutus». Vales.||V. 25: μαργαίνοντα et v. 27: Μυσίδα legi cum Hendessio; ap. Socr. est μαρμαίροντα et Μυσηίδα.

1) Cf. Amm. Marc. XXVI, 8: *E muris Chalcedonos probra in eum jaciebantur, et injuriose compellabatur ut Sabaiarius. Est autem Sabaia ex hordeo vel frumento in liquorem conversis paupertinus in Illyrico* [unde ortus est Valens] *potus.* — Tyrannus, qui hic memoratur, est Procopius.

2) «De his thermis Constantianis loquitur etiam Sozomenus in lib. VIII, cap. 22. Erant autem in regione decima urbis Constantinopolitanae, ut docet vetus descriptio urbis illius. Ammianus quoque Marcellinus in libro XXXI lavacrum a Valente apud Constantinopolim exstructum esse scribit ex lapidibus murorum Chalcedonensium. Verum Cedrenus et Zonaras ex his lapidibus non lavacrum sed aquaeductum aedificatum esse scribunt. Quae inter se non pugnant. Ad lavacrum enim necessarius fuit aquaeductus. Opus sane memorabile, cuius meminit Themistius in oratione decennali ad Valentem et Gregorius Nazianzenus in or. 25... Porro apud Socratem libentius legerem Καρωσιαναί quam Κωνσταντιαναί. Nam Constantianae thermae a Constantio imperatore aedificatae sunt, ut nomen ipsum indicat. Carosianae vero a Valente absolutae sunt et dedicatae post consulatum Gratiani III et Aequitii, agente praefecto urbis Constantinopolitanae Vindatonio Magno, ut scribit Idatius in *Fastis* et auctor *Chronici Alexandrini*. Sic autem dictae sunt a Carosia Valentis filia, ut testatur Sozomenus in libro sexto, erantque in regione urbis septima, ut docet Descriptio urbis Constantinopolitanae». Vales. 3) Idem oraculum memorant Amm. Marcellinus initio libri XXXI (apud quem versus a Socraticis in pluribus differunt), Cedrenus p. 310 B, alii. Cf. *R. Hendess*, Oracula Graeca etc. (Halis Sax. 1877), n° 169.

Digitized by Google

Οὗτος μὲν οὖν ὁ χρησμός. Συνέβη δὲ μετὰ χρόνον τὸν ὁλκὸν τοῦ ὕδατος ἐπὶ Οὐάλεντος κατασκευασθέντα δαψιλὲς παρασχεῖν τῇ Κωνσταντίνου πόλει τὸ ὕδωρ· καὶ τότε τὰ βαρβαρικὰ ἐκινήθη, ὡς ὕστερον λέξομεν...

Таково пророчаніе. Съ теченіемъ времени случилось, что построенный при Валентѣ водопроводъ доставилъ Константинополю изобильную воду; тогда же пришли въ движеніе и варварскія племена, какъ мы скажемъ послѣ...

ΚΕΦΑΛ. Ις'... Ἀεὶ γὰρ δὴ Κωνσταντινούπολις, καὶ ἄπειρα τρέφουσα πλήθη, τὰ πολλὰ εὐθηνεῖται, τῷ τε διὰ θαλάσσης ἔχειν τῶν πανταχόθεν ἐπιτηδείων τὴν προσκομιδὴν καὶ ὅτι ὁ Εὔξεινος πόντος παρακείμενος ἄφθονον αὐτῇ, ἡνίκα προσδεηθῇ, παρέχει τὸν σῖτον.

Гл. 16 ...Константинополь, несмотря на то, что прокармливаетъ безчисленное множество жителей, всегда имѣетъ въ изобиліи большинство *жизненныхъ продуктовъ, съ одной стороны* благодаря тому, что отовсюду имѣетъ моремъ подвозъ провіанта, а *съ другой* — что прилегающій къ *нему* Евксинскій Понтъ въ случаѣ надобности доставляетъ ему въ изобиліи хлѣбъ.

ΚΕΦΑΛ. ΚΗ' ...Φαίνεται δὲ τὰ Φρυγῶν ἔθνη σωφρονέστερα εἶναι τῶν ἄλλων ἐθνῶν· καὶ γὰρ δὴ καὶ σπανιάκις Φρύγες ὀμνύουσιν. Ἐπικρατεῖ γὰρ τὸ μὲν θυμικὸν παρὰ Σκύθαις καὶ Θραξί, τῷ δὲ ἐπιθυμητικῷ οἱ πρὸς ἀνίσχοντα ἥλιον τὴν οἴκησιν ἔχοντες πλέον δουλεύουσιν· τὰ δὲ Παφλαγόνων καὶ Φρυγῶν ἔθνη πρὸς οὐδέτερον τούτων ἐπιρρεπῶς ἔχει...

Гл. 28. ...Фригійскія племена кажутся болѣе благоразумными, чѣмъ другія; Фригійцы вѣдь даже рѣдко клянутся. Скиѳы и Ѳракійцы склонны къ вспыльчивости, а *племена*, живущія къ востоку, болѣе поддаются страстямъ, тогда какъ племена Пафлагонскія и Фригійскія не имѣютъ склонности ни къ тому, ни къ другому *пороку*...

ΚΕΦΑΛ. ΛΑ'. Περὶ τῆς τελευτῆς Οὐαλεντινιανοῦ.

Гл. 31. О кончинѣ Валентиніана.

Μετὰ δὲ ταῦτα ὁ βασιλεὺς, Σαυροματῶν ἐπεξελθόντων τῇ Ῥωμαίων ἀρχῇ, ἐπ' αὐτοὺς ἐχώρει μετὰ πλείστης παρασκευῆς. Ταύτην οὐκ ἤνεγκαν τὴν παρασκευὴν ἀκούσαντες οἱ βάρβαροι, ἀλλὰ πρεσβευσάμενοι πρὸς αὐτὸν ᾐτοῦντο ἐπὶ συνθήκαις εἰρήνης τυχεῖν. Τῶν πρέσβεων δὲ εἰσελθόντων καὶ φανέντων οὐκ ἀξιοπρεπῶν ἠρώτησεν εἰ τοιοῦτοι Σαυρομάται πάντες εἰσίν. Ἀποκριναμένων δὲ τῶν πρέσβεων τοὺς ἀρίστους Σαυροματῶν ἥκειν πρὸς αὐτόν, πληροῦται θυμοῦ Οὐαλεντινιανὸς καὶ μέγα βοῶν ἔλεγε κακῶς πράττειν τὴν Ῥωμαίων ἀρχὴν περιελθοῦσαν εἰς αὐτόν, ὅπου τοιοῦτο γένος τῶν βαρβάρων εὐτελὲς οὐκ ἀγαπᾷ παρ' ἑαυτῷ μένειν σωζόμενον, ἀλλ' ὅπλα αἴρεται καὶ Ῥωμαίων ὅρους πατεῖ καὶ εἰς πόλεμον θρασύνεται. Καὶ τοσοῦτον ἐν τῇ βοῇ διασπαράξας ἔτυχεν ἑαυτόν, ὥστε πᾶσαν μὲν ἀναστομωθῆναι φλέβα, πᾶσάν τε

Послѣ этого императоръ, вслѣдствіе нашествія Савроматовъ на Римскую державу, пошелъ противъ нихъ съ огромной арміей. Услышавъ объ этой арміи, варвары испугались и послали къ императору посольство съ просьбою заключить миръ на *извѣстныхъ* условіяхъ. Когда послы вошли и показались неказистыми, *императоръ* спросилъ, таковы-ли всѣ Савроматы. Когда же послы отвѣтили, что къ нему пришли самые знатные изъ Савроматовъ, Валентиніанъ пришелъ въ ярость и громко вскричалъ, что на горе перешла къ нему власть надъ Римлянами, когда столь презрѣнное варварское племя не довольствуется безопаснымъ пребываніемъ на родинѣ, а поднимаетъ оружіе, попираетъ Римскія границы и отваживается на войну. Онъ до такой степени напрягся при *этомъ* крикѣ, что всѣ его жилы открылись и всѣ

Digitized by Google

ἀρτηρίαν διαρραγῆναι. Καὶ οὕτως αἵματος ἐκδοθέντος τελευτᾷ ἐν φρουρίῳ ᾧ προσωνυμία Βεργιτίων [1]), μετὰ τὴν ὑπατείαν Γρατιανοῦ τὸ τρίτον καὶ Ἐκοιτίου [2])...

артерія лопнули. Такимъ образомъ онъ умеръ отъ кровотеченія въ крѣпостцѣ, называемой Вергитіономъ, послѣ консульства Гратіана въ 3-й разъ и Экватія...

ΚΕΦΑΛ. ΛΓ'. Ὅπως οἱ Γότθοι κατὰ Οὐάλεντα ἐχριστιάνισαν [3]).

Гл. 33. Какъ Готеы при Валентѣ приняли христіанство.

Οἱ πέραν τοῦ Ἴστρου βάρβαροι οἱ καλούμενοι Γότθοι, ἐμφύλιον πρὸς ἑαυτοὺς κινήσαντες πόλεμον, εἰς δύο μέρη ἐτμήθησαν· ὧν τοῦ ἑνὸς ἡγεῖτο Φριτιγέρνης, τοῦ δὲ ἑτέρου Ἀθανάριχος. Ἐπικρατεστέρου δὲ τοῦ Ἀθαναρίχου φανέντος Φριτιγέρνης προσφεύγει Ῥωμαίοις καὶ τὴν αὐτῶν κατὰ τοῦ ἀντιπάλου ἐπεκαλεῖτο βοήθειαν. Γνωρίζεται ταῦτα τῷ βασιλεῖ Οὐάλεντι· καὶ κελεύει τοὺς ἐνιδρυμένους κατὰ τὴν Θρᾴκην στρατιώτας βοηθεῖν τοῖς βαρβάροις κατὰ βαρβάρων στρατεύουσι. Καὶ ποιοῦνται νίκην κατὰ Ἀθαναρίχου πέραν τοῦ Ἴστρου, τοὺς πολεμίους εἰς φυγὴν τρέψαντες. Αὕτη πρόφασις γέγονε τοῦ Χριστιανοὺς γενέσθαι τῶν βαρβάρων πολλούς. Ὁ γὰρ Φριτιγέρνης χάριν ἀποδιδοὺς ὧν εὐεργετεῖτο τὴν θρησκείαν τοῦ βασιλέως ἠσπάζετο καὶ τοὺς ὑφ' ἑαυτῷ τοῦτο ποιεῖν προετρέπετο. Διὸ καὶ μέχρι νῦν πλείους οἱ Γότθοι τῆς Ἀρειανῆς θρησκείας ὄντες τυγχάνουσι, τότε διὰ τὸν βασιλέα ταύτῃ προσθέμενοι· τότε δὲ καὶ Οὐλφίλας ὁ τῶν Γότθων ἐπίσκοπος γράμματα ἐφεῦρε Γοτθικὰ καὶ τὰς θείας Γραφὰς εἰς τὴν Γότθων μεταβαλὼν τοὺς βαρβάρους μανθάνειν τὰ θεῖα λόγια παρεσκεύασεν. Ἐπειδὴ δὲ Οὐλφίλας οὐ μόνον τοὺς ὑπὸ Φριτιγέρνην, ἀλλὰ καὶ τοὺς ὑπὸ Ἀθανάριχον ταττομένους βαρβάρους τὸν χριστιανισμὸν ἐξεδίδασκεν, ὁ Ἀθανάριχος ὡς παραχαραττομένης τῆς πατρῴου θρησκείας πολλοὺς τῶν χριστιανιζόντων τιμωρίαις ὑπέβαλλεν· ὥστε γενέσθαι μάρτυρας τηνικαῦτα βαρβάρους ἀρειανίζοντας. Ἀλλὰ Ἄρειος μὲν πρὸς τὴν Σαβελλίου τοῦ Λίβυος δόξαν ἀπαντῆσαι μὴ δυνηθεὶς τῆς ὀρθῆς ἐξέπεσε πίστεως, πρόσφατον Θεὸν τὸν Υἱὸν τοῦ Θεοῦ δογματίσας, οἱ δὲ βάρβαροι,

Живше за Истромъ варвары, называемые Готеами, поднявъ междоусобную войну, раздѣлились на двѣ части, изъ коихъ одною предводительствовалъ Фритигернъ, а другою Аѳанарихъ. Когда Аѳанарихъ оказался сильнѣе, Фритигернъ обратился къ Римлянамъ и призвалъ ихъ на помощь противъ своего соперника. Это дошло до свѣдѣнія императора Валента и онъ приказалъ расположеннымъ во Ѳракіи войскамъ помочь варварамъ въ *ихъ* походѣ противъ варваровъ. Они одержали надъ Аѳанарихомъ побѣду за Истромъ и обратили враговъ въ бѣгство. Это послужило поводомъ къ принятію христіанства многими варварами. Ибо Фритигернъ въ знакъ благодарности за оказанную ему услугу принялъ вѣру императора и склонилъ къ тому же подвластныхъ ему *варваровъ*. Поэтому-то и доселѣ большинство Готеовъ придерживается аріанства, принявъ его тогда ради императора. Тогда же и Ульфила, епископъ Готескій, изобрѣлъ готескую азбуку и, переведя на готескій *языкъ* священное Писаніе, подготовилъ варваровъ къ изученію божественныхъ глаголовъ. Когда же Ульфила научилъ христіанской вѣрѣ не только подвластныхъ Фритигерну, но и подвластныхъ Аѳанариху варваровъ, то Аѳанарихъ, считая это искаженіемъ религіи предковъ, подвергъ наказаніямъ многихъ принявшихъ христіанство, такъ что державшіеся аріанства варвары сдѣлались тогда мучениками. Но Арій, не будучи въ состояніи опровергнуть мнѣнія Ливійца Савелія, отпалъ отъ истинной вѣры, признавъ Сына Божія новымъ Богомъ, а варвары, принявъ христіанство въ

---

1) Est *Brigetio* Illyrici castellum, de quo v. *Patsch* in *Pauly-Wissowa* Realencyclop. s. v.
2) A. 375 p. Chr. Cf. *H. Schiller*, Gesch. d. Rom. Kaiserzeit II, p. 388. 3) Cf. *Бѣликовъ*, Христ. у Готовъ, p. 56 sq.

Digitized by Google

ἁπλότητι τὸν χριστιανισμὸν δεξάμενοι, ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως τῆς ἐνταῦθα ζωῆς κατεφρόνησαν. Ταῦτα μὲν περὶ τῶν χριστιανιζόντων.

простотѣ *души*, презрѣли земную жизнь ради вѣры во Христа. Вотъ что *мы можемъ сказать* о *Готѳахъ* — христіанахъ.

ΚΕΦΑΛ. ΛΔ'. Ὡς οἱ Γότθοι ὑφ' ἑτέρων βαρβάρων καταπολεμηθέντες τῇ τῶν Ῥωμαίων χώρᾳ προσέφυγον καὶ ὑπὸ τοῦ βασιλέως προσεδέχθησαν· ὅπερ αἴτιον ἀπωλείας καὶ τῆς Ῥωμαίων ἀρχῆς καὶ αὐτοῦ τοῦ βασιλέως κατέστη.

Гл. 34. Какъ Готѳы, побѣжденные другими варварами, перебѣжали въ Римскую область и были приняты императоромъ, что послужило причиною гибели Римской державы и самого императора.

Οὐκ εἰς μακρὰν δὲ οἱ βάρβαροι φιλίαν πρὸς ἀλλήλους σπεισάμενοι αὖθις ὑφ' ἑτέρων βαρβάρων γειτνιαζόντων αὐτοῖς, τῶν καλουμένων Οὔννων, καταπολεμηθέντες καὶ τῆς ἰδίας ἐξελαθέντες χώρας εἰς τὴν Ῥωμαίων γῆν καταφεύγουσι δουλεύειν τῷ βασιλεῖ συντιθέμενοι καὶ τοῦτο πράττειν, ὅπερ ἂν ὁ Ῥωμαίων προστάξειε βασιλεύς. Ταῦτα εἰς γνῶσιν ἧκει τοῦ Οὐάλεντος· καὶ μηδὲν προϊδόμενος κελεύει τοὺς ἱκετεύοντας οἰκτου τυχεῖν, πρὸς ἓν τοῦτο μόνον οἰκτίρμων γενόμενος. Ἀφορίζει οὖν αὐτοῖς τὰ μέρη τῆς Θράκης, εὐτυχεῖν τὰ μάλιστα ἐπὶ τούτῳ νομίσας. Ἐλογίζετο δὲ ὡς εἴη ἕτοιμον καὶ εὐτρεπὲς κτησάμενος κατὰ πολεμίων στράτευμα· ἤλπιζε γὰρ βαρβάρους Ῥωμαίων φοβερωτέρους ἔσεσθαι φύλακας καὶ διὰ τοῦτο ἠμέλει τοῦ λοιποῦ τοὺς Ῥωμαίων στρατιώτας αὐξῆσαι. Καὶ τοὺς μὲν ἤδη πάλαι στρατευομένους καὶ κατὰ τοὺς πολέμους γενναίως ἀγωνισαμένους ὑπερεώρα, τὸν δὲ συντελούμενον ἐκ τῶν ἐπαρχιῶν κατὰ κώμας στρατιώτην ἐξηργύρισεν ὀγδοήκοντα χρυσίους ὑπὲρ ἑκάστου στρατιώτου τοὺς συντελεστὰς ἀπαιτεῖσθαι κελεύσας, οὐ πρότερον τὰς συντελείας κουφίσας αὐτοῖς. Τοῦτο ἀρχὴ γέγονε τοῦ δυστυχῆσαι τότε πρὸς ὀλίγον τὴν Ῥωμαίων ἀρχήν.

Немного спустя варвары, заключивъ между собою дружбу, снова были повоеваны другими сосѣдними варварами, *такъ* называемыми Уннами; будучи изгнаны изъ своей страны, они перебѣжали на Римскую землю, обѣщая служить императору и исполнять *все* то, что повелитъ Римскій императоръ. Это доходитъ до свѣдѣнія Валента; ничего не предвидя, онъ приказываетъ оказать милость умоляющимъ, въ этомъ одномъ выказавъ себя сострадательнымъ. Онъ назначаетъ имъ *для поселенія* части Ѳракіи, видя въ этомъ свое величайшее счастье; онъ полагалъ, что пріобрѣлъ готовое и благоустроенное войско противъ варваровъ, такъ какъ надѣялся, что варвары будутъ болѣе страшными охранителями *границъ*, чѣмъ Римляне, и поэтому впослѣдствіи не заботился объ увеличеніи Римскаго войска. На старыхъ служивыхъ, храбро сражавшихся въ войнахъ, онъ не обращалъ вниманія, а собранныхъ изъ провинцій по деревнямъ солдатъ осыпалъ серебромъ, приказавъ требовать отъ плательщиковъ по 80 золотыхъ на каждаго солдата, хотя раньше не облегчилъ имъ взносовъ. Это послужило началомъ тогдашняго, *хотя и* непродолжительнаго, печальнаго положенія Римской державы.

ΚΕΦΑΛ. ΛΕ'. Ὡς ὁ βασιλεὺς τῇ φροντίδι τοῦ πρὸς Γότθους πολέμου τὸν κατὰ χριστιανῶν πόλεμον ἀνῆκεν.

Гл. 35. Какъ императоръ, озабоченный войною съ Готѳами, отложилъ войну противъ христіанъ.

Οἱ γὰρ βάρβαροι τὴν Θρᾴκην κατειληφότες, ἐν ἀδείᾳ τὴν Ῥωμαίων καρπούμενοι χώραν, τὴν εὐτυχίαν οὐκ ἤνεγκαν, ἀλλὰ κατὰ τῶν εὐεργετησάντων χωροῦσι καὶ

Занявшіе Ѳракію варвары, свободно владѣя Римскою землею, не сумѣли воспользоваться своимъ счастіемъ, но пошли противъ своихъ благодѣтелей и опусто-

Digitized by Google

πάντα τὰ περὶ Θράκην ἀνέτρεπον. Ταῦτα οὕτως ἐπιγενόμενα, εἰς γνῶσιν ἐλθόντα τοῦ Οὐάλεντος, τοῦ εἰς ἐξορίαν πέμπειν τοὺς φρονοῦντας τὸ ὁμοούσιον ἀφίστατο. Ἐν θορύβῳ γὰρ γενόμενος εὐθὺς ἐκ τῆς Ἀντιοχείας ἐπὶ τὴν Κωνσταντινούπολιν ἦλθε. Διὸ καὶ ὁ κατ' αὐτὴν χριστιανικὸς ἐλώφησε πόλεμος...

шили всю Ѳракію. Когда это обстоятельство дошло до свѣдѣнія Валента, онъ пересталъ отправлять въ изгнаніе приверженцевъ ученія объ единосущіи. Встревоженный *извѣстіемъ*, онъ тотчасъ прибылъ изъ Антіохіи въ Константинополь, и поэтому тамошняя война съ христіанами прекратилась...

ΚΕΦΑΛ. ΛΗ'. Ὡς ὁ βασιλεὺς ὑποστρέψας ἐν τῇ Κωνσταντίνου πόλει καὶ ὑπὸ τοῦ δήμου διὰ τοὺς Γότθους κατονειδισθεὶς ἐξελαύνει τῆς πόλεως κατὰ βαρβάρων καὶ συμβαλὼν αὐτοῖς ἐν Ἀδριανουπόλει τῆς Μακεδονίας ὑπ' αὐτῶν ἀναιρεῖται, ζήσας μὲν ἔτη πεντήκοντα, βασιλεύσας δὲ ἔτη ἓξ πρὸς τοῖς δέκα.

Гл. 38. Какъ императоръ, возвратившись въ Константинополь и встрѣтивъ недовольство народа изъ-за Готѳовъ, выступилъ изъ города противъ варваровъ и, сразившись съ ними подъ Адріанополемъ въ Македоніи, былъ убитъ ими, проживъ 50 лѣтъ и пробывъ на престолѣ 16 лѣтъ.

Ὁ δὲ βασιλεὺς Οὐάλης περὶ τὴν τριακάδα τοῦ Μαΐου μηνὸς ἐν τῇ ἕκτῃ ἑαυτοῦ ὑπατείᾳ καὶ Οὐαλεντινιανοῦ τοῦ Νέου τὸ δεύτερον, ἐλθὼν εἰς τὴν Κωνσταντινούπολιν, εὑρίσκει τὸν δῆμον ἐν ἀθυμίᾳ καθεστῶτα πολλῇ. Οἱ γὰρ βάρβαροι καταδραμόντες τὴν Θράκην ἤδη καὶ τὰ προάστεια ἐπόρθουν τῆς Κωνσταντίνου πόλεως, μηδεμιᾶς οὔσης ἀξιομάχου τηνικαῦτα δυνάμεως. Ἐπεὶ δὲ καὶ τοῖς τείχεσι προσπελάζειν ἐπεχείρουν οἱ βάρβαροι, χαλεπῶς ἡ πόλις ἔφερε τὰ γινόμενα· ἐψιθύριζόν τε κατὰ τοῦ βασιλέως, ὡς ἐπαγαγόντος τοὺς πολεμίους, καὶ ὅτι μὴ ἀντεπεξῆγεν εὐθύς, ἀλλὰ παρεῖλκε τὸν πρὸς τοὺς βαρβάρους πόλεμον. Καὶ δὴ ἱπποδρομίας ἐπιτελουμένης πάντες ἐκ συμφωνίας κατεβόων τοῦ βασιλέως, ὡς περιορῶντος τὰ πράγματα. Ἐκραζον οὖν συντόνως· «Δὸς ὅπλα καὶ πολεμοῦμεν ἡμεῖς». Ταῦτα βοώντων ἐξάπτεται πρὸς ὀργὴν ὁ βασιλεὺς καὶ ὑπερβαίνει περὶ τὴν ἑνδεκάτην τοῦ Ἰουνίου μηνός, ἐπαπειλήσας, ἢν ὑποστρέψῃ, δίκην ὑπὸ Κωνσταντινουπολιτῶν λήψεσθαι ὧν τότε ὑβρίζειν αὐτὸν ἐδόκουν καὶ ὑπὲρ ὧν ἤδη πρότερον τῇ τυραννίδι Προκοπίου προσέθεντο· ἔρημόν τε καταστήσειν τὴν πόλιν καὶ ἄρατρον εἰπὼν βαλεῖν κατ' αὐτὴν ἐπὶ τοὺς βαρβάρους ἐχώρει· καὶ ὠθεῖ μὲν αὐτοὺς πόρρω τῆς πόλεως, ἐδίωκε δὲ ἄχρι τῆς ἐν Θράκῃ Ἀδριανουπόλεως, ἣ ἐν τοῖς ὁρίοις τῆς Μακεδονίας ἐστίν. Ἐκεῖ τε συμβαλὼν τοῖς

Императоръ Валентъ, прибывъ въ Константинополь 30-го мая въ 6-е свое консульство и 2-е *консульство* Валентиніана Младшаго, засталъ народъ въ большомъ унынін. Варвары, прошедшіе всю Ѳракію, опустошали уже предмѣстья Константинополя, между тѣмъ какъ войска, которое могло бы противостать имъ, вовсе не было. Когда же варвары стали пробовать подступать уже къ *самымъ* стѣнамъ, *весь* городъ пришелъ отъ этого въ негодованіе; противъ императора поднялся ропотъ, что онъ *самъ* привелъ *этихъ* враговъ и не выступаетъ противъ нихъ немедленно, а *нарочно* затягиваетъ войну съ варварами. Во время конскихъ ристаній всѣ по уговору подняли крикъ противъ императора, что онъ не заботится о государствѣ. *Всѣ* громко кричали: «Дай оружіе и мы *сами* пойдемъ воевать»! Императоръ былъ разгнѣванъ этими криками и 11-го іюня выступилъ въ *походъ*, пригрозивъ, что если онъ возвратится, то накажетъ жителей Константинополя за нанесенное тогда оскорбленіе и за то, что они уже раньше сочувствовали тираніи Прокопія. Сказавъ, что онъ превратитъ городъ въ пустыню и распашетъ плугомъ, онъ двинулся противъ варваровъ, отбросилъ ихъ далеко отъ города и гналъ до ѳракійскаго *города* Адріанополя, лежащаго на границѣ Македоніи. Сразившись тамъ съ варварами, онъ по-

V. 29: ὑπερβαίνει] ὑπεκβαίνει Vales.

Digitized by Google

βαρβάροις ἀπέθανε τῇ ἐννάτῃ τοῦ Αὐγούστου μηνὸς ἐν τῇ αὐτῇ ὑπατείᾳ. Τοῦτο δὲ ἦν τέταρτον ἔτος τῆς διακοστῆς ὀγδοηκοστῆς ἐννάτης Ὀλυμπιάδος. Καὶ οἱ μὲν πυρί φασιν ἀπολέσθαι αὐτόν, εἰς κώμην καταφυγόντα τινά, ἣν ἐπιδραμόντες οἱ βάρβαροι ἐνέπρησαν· οἱ δὲ ἀμείψαντα τὸ βασιλικὸν σχῆμά φασιν αὐτὸν εἰς μέσον τὸ στίφος τῶν πεζῶν εἰσδραμεῖν· εἶτα τῶν ἱππέων προδεδωκότων καὶ οὐχ ἁψαμένων τῆς μάχης ἐν τῇ συμβολῇ τούτους περιχυθέντας πάντας ἀθρόως πεσεῖν. Ἔνθα δέ φασιν αὐτὸν ἀγνοηθῆναι κείμενον, οὐκ ὄντος βασιλικοῦ σχήματος τοῦ καταμηνύσαντος ὅστις ἦν...

гибъ 9-го августа въ то же консульство. Это былъ 4-й годъ 289-й Олимпіады. Одни говорятъ, что онъ погибъ въ огнѣ, бѣжавъ въ одну деревню, которую сожгли наслѣдившіе варвары; другіе передаютъ, что онъ, перемѣнивъ царское одѣяніе, бросился въ средину пѣхотнаго отряда и затѣмъ, такъ какъ всадники измѣнили и не приняли участія въ битвѣ, весь этотъ *отрядъ* былъ окруженъ и перебитъ въ стычкѣ. Тутъ, говорятъ, павшій *императоръ* остался не узнаннымъ, такъ какъ *на немъ* не было царскаго одѣянія, которое показало бы, кто онъ...

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ.

ΚΕΦΑΛ. Ι'. ..Θείᾳ γάρ τινι προνοίᾳ ὑπὸ τοὺς αὐτοὺς χρόνους τὰ βαρβάρων ἔθνη αὐτῷ [sc. τῷ βασιλεῖ Θεοδοσίῳ] ὑπετάττετο. Ἐν οἷς καὶ Ἀθανάριχος [1]) ὁ τῶν Γότθων ἀρχηγὸς ὑπήκοον ἑαυτὸν ἅμα τῷ οἰκείῳ πλήθει παρέσχεν, ὃς καὶ εὐθὺς ἐν Κωνσταντίνου πόλει τὸν βίον κατέστρεψεν...

КНИГА ПЯТАЯ.

Гл. 10. ...По *волѣ* Божественнаго Провидѣнія, около этого же времени подчинились ему (т. е. императору Θеодосію) варварскія племена. Въ числѣ ихъ изъявилъ покорность вмѣстѣ съ своими подвластными и Готѳскій предводитель Аѳанарихъ, который, *впрочемъ*, вскорѣ окончилъ свою жизнь въ Константинополѣ...

ΚΕΦΑΛ. ΚΓ'. ...Ἐπηκολούθησε δὲ αὐτοῖς [scil. τοῖς Ψαθυριανοῖς] καὶ Σελήνας ὁ τῶν Γότθων ἐπίσκοπος, ἀνὴρ ἐπίμικτον ἔχων τὸ γένος· Γότθος μὲν ἦν ἐκ πατρός, Φρὺξ δὲ κατὰ μητέρα, καὶ διὰ τοῦτο ἀμφοτέραις ταῖς διαλέκτοις ἑτοίμως κατὰ τὴν ἐκκλησίαν ἐδίδασκε. Καὶ οὗτοι δὲ μικρὸν ὕστερον διηρέθησαν, Μαρίνου πρὸς Ἀγάπιον διενεχθέντος, ὃν αὐτὸς εἰς ἐπισκοπὴν τῆς Ἐφέσου προβέβλητο. Οὗτοι δὲ οὐ περὶ θρησκείας, ἀλλὰ περὶ προεδρίας μικροψυχήσαντες ἐπολέμουν ἀλλήλοις, τῶν Γότθων προσθεμένων τῷ Ἀγαπίῳ. Διὸ πολλοὶ τῶν ὑπ' αὐτοῖς κληρικῶν, μισήσαντες τὴν ἐκ κενοδοξίας τεχθεῖσαν μάχην αὐτοῖς, ἀποστάντες αὐτῶν, τῇ ὁμοουσίῳ πίστει προσέθεντο [2])...

Гл. 23. ...Ученіе ихъ (т. е. Псаѳиріавъ) принялъ и Готѳскій епископъ Селина, мужъ смѣшаннаго происхожденія: по отцу онъ былъ Готѳъ, а по матери Фригіецъ, и поэтому свободно училъ въ церкви на обоихъ языкахъ. Немного спустя у нихъ произошелъ расколъ вслѣдствіе ссоры Марина съ Агапіемъ, котораго самъ онъ возвелъ на епископскую каѳедру въ Ефесѣ. Они враждовали другъ съ другомъ не изъ-за религіозныхъ убѣжденій, а вслѣдствіе мелочнаго самолюбія, изъ-за первенства, при чемъ Готѳы стали на сторону Агапія. Поэтому многіе изъ подчиненныхъ имъ клириковъ, возненавидѣвъ порожденную тщеславіемъ вражду ихъ, отстали отъ нихъ и присоединились къ вѣрѣ въ единосущность..

V. 3: «Scribendum est διακοσιοστῆς. Sic antiquarii brevitati studentes scribere solebant haec vocabula». Vales. Est autem annus 378 p. Chr.

1) «Athanarichus rex Gothorum ingressus est Constantinopolin Eucherio et Enagrio consulibus die tertia Idus Januarii. Eodem mense diem functus Athanarichus octavo Kalendas Februarii, ut scribitur in *Fastis* Idatii et in *Chronico* Marcellini. Sequente autem anno qui fuit Christi 382, Antonio et Syagrio consulibus, universa gens Gothorum sese Theodosio tradidit die V Nonas Octobres, ut tradit idem Idatius». Vales. 2) Pertinent haec ad a. 394. Cf. infra Sozom. VII, 17.

Digitized by Google

ΚΕΦΑΛ. ΚΕ'. ...Ἀπιόντι δὲ αὐτῷ [sc. Θεοδοσίῳ] ἐπὶ τὸν κατὰ Εὐγενίου πόλεμον πλεῖστοι τῶν πέραν τοῦ Ἴστρου βαρβάρων ἐπηκολούθουν, συμμαχεῖν κατὰ τοῦ τυράννου προαιρούμενοι...

Гл. 25. ...При выступленіи Θеодосія на войну противъ Евгенія за нимъ послѣдовали весьма многіе изъ жившихъ за Истромъ варваровъ, желая помочь *ему* противъ тирана...

ΤΟΜΟΣ ΕΚΤΟΣ. КНИГА ШЕСТАЯ.

Lib. VI cap. 6 narrat auctor *de Gainae Gothi tyrannide et de tumultu quem Constantinopoli excitavit deque eius nece.*

ΚΕΦΑΛ. ΙΒ'. Ὡς καὶ ἐν Κωνσταντίνου πόλει εἰσελθὼν ὁ Ἐπιφάνιος συνάξεις καὶ χειροτονίας ἐπετέλει παρὰ γνώμην τοῦ Ἰωάννου, Θεοφίλῳ χαριζόμενος.

Гл. 12. Какъ Епифаній, прибывъ въ Константинополь, изъ угожденія Θеофилу совершалъ служенія и рукоположенія безъ позволенія Іоанна.

Μετ' οὐ πολὺ [1]) δὲ ἐκ τῆς Κύπρου ὁ ἐπίσκοπος Ἐπιφάνιος ἐπὶ τὴν Κωνσταντινούπολιν πάλιν ἔρχεται, ταῖς ὑποθήκαις Θεοφίλου πεισθείς, ἐπικομιζόμενος ἐν ταυτῷ τὰ καθαιρετικὰ τῶν Ὠριγένους βιβλίων, δι' ὧν οὐκ αὐτὸν Ὠριγένην ἀκοινώνητον εἶναι ἀπέφηνεν, ἀλλὰ τὰ βιβλία μόνον διέβαλλεν. Προσορμήσας οὖν τῷ ἐπὶ Ἰωάννην μαρτυρίῳ — ἀπέχει δὲ τοῦτο ἑπτὰ σημεῖα τῆς πόλεως — καὶ ἐξελθὼν τῆς νεώς, σύναξίν τε ἐπιτελέσας καὶ διάκονον χειροτονήσας αὖθις εἰς τὴν πόλιν εἰσέρχεται. Καὶ τὴν μὲν προτροπὴν Ἰωάννου [2]) ἐξέκλινε Θεοφίλῳ χαριζόμενος, ἐν ἰδιαζούσῃ δὲ καταλύει μονῇ καὶ συγκαλῶν τοὺς ἐπιδημοῦντας τῶν ἐπισκόπων τὰ καθαιρετικὰ τῶν βιβλίων Ὠριγένους ὑπανεγίνωσκεν οὐκ ἔχω μέν τι λέγειν πρὸς αὐτά· δοκεῖ δὲ αὐτῷ καὶ Θεοφίλῳ ἐκβαλεῖν αὐτά. Καὶ τινὲς μέν, αἰδούμενοι τὸν Ἐπιφάνιον, προσυπέγραφον· πολλοὶ δὲ τοῦτο ποιεῖν ἐξετρέποντο· ὧν ἦν καὶ Θεότιμος ὁ ἐπίσκοπος Σκυθίας, ὃς πρὸς τὸν Ἐπιφάνιον τοιάδε ἀπεκρίνατο· Ἐγώ, ἔφη, ὦ Ἐπιφάνιε, οὔτε τὸν πάλαι καλῶς κεκοιμημένον καθυβρίζειν αἱροῦμαι, οὔτε βλάσφημον ἐπιχειρεῖν πρᾶγμα τολμῶ, ἐκβάλλων ἃ οἱ πρὸ ἡμῶν οὐκ ἠθέτησαν. Ἄλλως τε μήτε κακὴν εἶναι διδασκαλίαν ἐν τοῖς Ὠριγένους βιβλίοις εἰπών, προκο-

Немного спустя снова прибылъ съ Кипра въ Константинополь епископъ Епифаній подъ вліяніемъ совѣтовъ Θеофила, привезя съ собою предложеніе объ уничтоженіи сочиненій Оригена, въ которомъ онъ не объявлялъ самого Оригена лишеннымъ общенія, а только осуждалъ его сочиненія. Причаливъ къ мѣсту мученія *св.* Іоанна, отстоявшему на семь миль отъ города, и выйдя изъ корабля, онъ совершилъ служеніе, рукоположилъ діакона и затѣмъ вступилъ въ городъ. Изъ угожденія Θеофилу онъ уклонился отъ приглашенія Іоанна и остановился въ частномъ домѣ. Созвавъ бывшихъ *въ городѣ* епископовъ, онъ прочиталъ предложеніе объ уничтоженіи сочиненій Оригена, при чемъ ничего не могъ сказать противъ нихъ *кромѣ того, что* ему и Θеофилу казалось необходимымъ ихъ устранить. Нѣкоторые изъ уваженія къ Епифанію подписали *это предложеніе*, но многіе отказались сдѣлать это, въ томъ числѣ и Скиѳскій епископъ Θеотимъ, который отвѣтилъ Епифанію такъ: «я, Епифаній, не желаю оскорблять того, кто давно уже почилъ прекрасною *смертью*, и не смѣю совершить соблазнительное дѣло, выбрасывая то, чего не отвергли предки». Прибавивъ къ этому, что въ сочиненіяхъ

V. 23: «Procul dubio scribendum est οὐκ ἔχων, et paulo post lego ἐδόκει δέ etc. In codice Sfortiano scriptum est δοκεῖν». Vales. || V. 34: Εἰπών] «Assentior Christophorsono, qui pro εἰπών legit εἰδώς et post hoc verbum finalem apponit distinctionem. Aliquid tamen amplius hic desiderari existimo. Et post verbum εἰδώς locum ita supplendum esse arbitror: ταῦτα εἰπών, προκομίσας τε βιβλίον etc. Quod confirmant Sozomenus ac Nicephorus. Sic enim habet Nicephorus: ταῦτα λέγων καί τι τῶν Ὠριγένους συγγραμμάτων εἰς μέσον προσῆγε. Ita quoque legisse videtur Epiphanius scholasticus, ut ex eius interpretatione colligitur». Vales.

1) Facta haec sunt a. 402. 2) Est S. Ioannes Chrysostomus, archiepiscopus Constantinopolitanus. Cf. quae de his narrat Sozom. VIII, 14 (infra).

Digitized by Google

μίσας τε βιβλίον Ὠριγένους ὑπανέγνω καὶ ἐδείκνυεν τὰς ἐκκλησιαστικὰς ἐκθέσεις· καὶ μετὰ ταῦτα ἐπῆγε λέγων· οἱ ταῦτα ὑβρίσαντες εἰς τὰ περὶ ὧν οἱ λόγοι ἐξυβρίσαντες ἔλαθον ἑαυτούς. Ταῦτα μὲν ὁ ἐπ' εὐλαβείᾳ καὶ βίου ὀρθότητι περιβόητος Θεότιμος πρὸς Ἐπιφάνιον ἀπεκρίνατο.

Оригена не заключается дурнаго ученія, и принеся Оригенову книгу, онъ прочиталъ ее и показалъ принятыя церковью мнѣнія, а послѣ этого прибавилъ: «Подвергшіе это порицанію не замѣтили, что они порицаютъ то, о чемъ *написаны эти* книги». Такъ отвѣтилъ Епифанію славный благочестіемъ и чистотою жизни Θеотимъ.

ΕΡΜΕΙΑΣ ΣΩΖΟΜΕΝΟΣ.

ЕРМІЙ СОЗОМЕНЪ.

[Ермій Созоменъ (по прозванію Σαλαμίνιος, откуда ошибочно заключаютъ объ его происхожденіи изъ г. Саламина на Кипрѣ, такъ какъ въ дѣйствительности онъ происходилъ изъ Палестины), младшій современникъ Сократа и, подобно ему, адвокатъ въ Константинополѣ, около 444 г. написалъ Ἐκκλησιαστικὴν ἱστορίαν въ 9 книгахъ, обнимающую время съ 324 по 423 годъ. Въ трудахъ Сократа и Созомена такъ много общаго, что давно уже возникъ вопросъ объ ихъ взаимной зависимости. Bardenhewer (Patrologie, Freib. 1894, p. 352) говоритъ объ этомъ слѣдующее: «Die vielen Parallelberichte bei Sokrates und bei Sozomenus schienen von jeher die Annahme einer Abhängkeit des einen von dem andern zufordern. Diese Frage ist jetzt dahin entschieden, dass Sozomenus den Sokrates in sehr umfassendem Masse ausschrieb, aber nicht selten die von Sokrates benutzten Quellen selbst nachsah und auf Grund derselben die Angaben seines Vorgängers erweiterte». Ср. А. Лебедева, Греч. церк. историки.—Текстъ: Migne, Patrol. Graeca, v. LXVII, pp. 843—1630].

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΙΣΤΟΡΙΑ.

ЦЕРКОВНАЯ ИСТОРІЯ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

КНИГА ПЕРВАЯ.

ΚΕΦΑΛ. ς'. ...Μαξεντίου τοῦ Ἐρκουλίου παιδὸς ἀναιρεθέντος [1]) καὶ τῆς αὐτοῦ μοίρας εἰς Κωνσταντῖνον ἐπιπεσούσης ἀδεῶς ἐθρήσκευον ὅσοι τε περὶ τὸν Θύβριν ποταμὸν ᾤκουν καὶ τὸν Ἠριδανόν, ὃν Πάδον οἱ ἐπιχώριοι καλοῦσι, καὶ τὸν Ἄκυλιν, εἰς ὃν λόγος καθελκυσθῆναι τὴν Ἀργώ, καὶ πρὸς τὸ Τυρρηνῶν διασωθῆναι πέλαγος. Οἱ γὰρ Ἀργοναῦται τὸν Αἰήτην φεύγοντες οὐ τὸν αὐτὸν πλοῦν ἐν τῇ ἐπανόδῳ ἐποιήσαντο· περαιωθέντες δὲ τὴν ὑπὲρ Σκύθας θάλασσαν διὰ τῶν τῇδε ποταμῶν ἀφίκοντο εἰς Ἰταλῶν ὅρια καὶ χειμάσαντες ἐνταῦθα πόλιν ἔκτισαν, Ἴμονα προσαγορευομένην. Τοῦ δὲ θέρους ἐπικαταλαβόντος, συμπραξάντων αὐτοῖς τῶν ἐπιχωρίων, ἀμφὶ τοὺς τετρακοσίους σταδίους ὑπὸ μηχανῆς ἕλκοντες τὴν Ἀργὼ διὰ γῆς, ἐπὶ τὸν Ἄκυλιν ποταμὸν ἤγαγον, ὃς τῷ Ἠριδανῷ συμβάλλει. Ἠριδανὸς δὲ εἰς τὴν κατὰ Ἰταλοὺς θάλασσαν τὰς ἐκβολὰς ἔχει. Μετὰ δὲ τὴν περὶ

Гл. 6. ...Послѣ того, какъ былъ убитъ Максентій, сынъ Еркулієвъ, и его часть *имперіи* перешла къ Константину, свободно исповѣдывали *христіанскую вѣру* всѣ жившіе по рѣкамъ Тибру, Иридану, который туземцы называютъ Падомъ, и Аквилу, въ который, по преданію, былъ перетащенъ *корабль* Арго и *затѣмъ* спущенъ въ Тирренское море. Ибо Аргонавты, бѣжавшіе отъ Эита, на возвратномъ пути совершили не то же плаваніе, но, переправившись чрезъ *лежащее* выше Скиѳіи море, чрезъ тамошнія рѣки прибыли въ предѣлы Италіи и, зазимовавъ здѣсь, построили городъ, по имени Имонъ. Съ наступленіемъ лѣта они при помощи туземцевъ протащили Арго по землѣ посредствомъ машинъ около 400 стадій и спустили на рѣку Аквилъ, впадающую въ Иридань; а Иридань изливается въ Италійское море. Послѣ битвы при Кивалахъ

1) D. 28 m. Octobris a. 312.

Digitized by Google

Κιβάλας μάχην [1]) Δαρδάνιοί τε καὶ Μακεδόνες καὶ ὅσοι παρὰ τὸν Ἴστρον οἰκοῦσιν, ἥ τε καλουμένη Ἑλλὰς καὶ πᾶν τὸ Ἰλλυριῶν ἔθνος ὑπὸ Κωνσταντῖνον ἐγένοντο.

подчинились Константину Дарданцы, Македоняне, всѣ прибрежные жители Истра, *такъ* называемая Елада и весь народъ Иллирійскій.

ΚΕΦΑΛ. Η'. ...Εὐημερούσης δὲ αὐτῷ [sc. Κωνσταντίνῳ] τῆς ἀρχῆς συνεπεδίδου ἡ θρησκεία. Ἐπὶ τοσοῦτον δὲ καὶ μετὰ τὸν πρὸς Λικίνιον πόλεμον ἐπιτευκτικὸς ἐγένετο ἐν ταῖς κατὰ τῶν ἀλλοφύλων μάχαις, ὡς καὶ Σαυροματῶν κρατῆσαι καὶ τῶν καλουμένων Γότθων καὶ τὸ τελευταῖον ἐν μέρει χάριτος σπείσασθαι πρὸς αὐτούς. Τοῦτο δὲ τὸ ἔθνος ᾤκει μὲν τότε πέραν Ἴστρου ποταμοῦ· μαχιμώτατον δὲ τυγχάνον καὶ πλήθει καὶ μεγέθει σωμάτων, ἐν ὅπλοις ἀεὶ παρεσκευασμένον, τῶν μὲν ἄλλων βαρβάρων ἐκράτει, μόνους δὲ Ῥωμαίους ἀνταγωνιστὰς εἶχεν...

Гл. 8. ...При цвѣтущемъ состояніи имперіи Константина распространялась и *христіанская* религія. И послѣ войны съ Ликиніемъ онъ такъ былъ счастливъ въ битвахъ съ иноплеменниками, что побѣдилъ и Савроматовъ и *такъ* называемыхъ Готѳовъ и наконецъ въ видѣ благодѣянія заключилъ съ ними миръ. Этотъ народъ жилъ тогда за рѣкою Истромъ; будучи весьма воинственнымъ, отличаясь многолюдствомъ и высокимъ ростомъ, постоянно занимаясь военными упражненіями, этотъ народъ одолѣвалъ прочихъ варваровъ и только въ Римлянахъ имѣлъ *достойныхъ* противниковъ...

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΚΕΦΑΛ. Ϛ'. Ἐκ ποίας προφάσεως ἐπὶ Κωνσταντίνου τὸ τοῦ Χριστοῦ ὄνομα εἰς ὅλην τὴν οἰκουμένην διέδραμεν.

Πληθυνούσης δὲ τῆς Ἐκκλησίας τούτῳ τῷ τρόπῳ ἀνὰ πᾶσαν τὴν Ῥωμαίων οἰκουμένην καὶ δι' αὐτῶν βαρβάρων ἡ θρησκεία ἐχώρει. Ἤδη γὰρ τά τε ἀμφὶ τὸν Ῥῆνον φῦλα ἐχριστιάνιζον, Κελτοί τε καὶ οἱ Γαλατῶν ἔνδον τελευταῖοι τὸν Ὠκεανὸν προσοικοῦσι, καὶ Γότθοι καὶ ὅσοι τούτοις ὁμοροι τὸ πρὶν ἦσαν ἀμφὶ τὰς ὄχθας Ἴστρου ποταμοῦ, πάλαι μετασχόντες τῆς εἰς Χριστὸν πίστεως ἐπὶ τὸ ἡμερώτερον καὶ λογικὸν μεθηρμόσαντο...

КНИГА ВТОРАЯ.

Гл. 6. По какому случаю при Константинѣ имя Христа распространилось по всей вселенной.

Когда такимъ образомъ Церковь увеличивалась по всей Римской имперіи, *христіанская* религія проникла даже и къ варварамъ. Уже исповѣдывали христіанскую вѣру племена, *живущія* по Рейну, Кельты и крайніе Галаты, живущіе по побережью Океана, а также Готѳы и *племена*, жившія раньше по сосѣдству съ ними по берегамъ рѣки Истра, давно уже принявъ вѣру во Христа, измѣнили *свои обычаи* на болѣе кроткіе и разумные...

ΚΕΦΑΛ. Ζ'. Ὅπως Ἴβηρες τὴν εἰς Χριστὸν πίστιν ἐδέξαντο [2]).

Ἐπὶ δὲ τῆς προκειμένης βασιλείας λέγεται τοὺς Ἴβηρας τὸν Χριστὸν ἐπιγνῶναι. Ἔθνος δὲ τοῦτο βάρβαρον, μέγα τε καὶ μαχιμώτατον· οἰκεῖ δὲ τῆς Ἀρμενίων ἐνδότερον πρὸς ἄρκτον. Παρεσκεύασε δὲ αὐτοὺς τῆς πατρῴας θρησκείας ὑπεριδεῖν χριστιανὴ γυνὴ αἰχμάλωτος· ἡ δὴ πιστοτάτη καὶ θεοσεβὴς ἄγαν οὖσα, οὐδὲ παρὰ τοῖς ἀλλοφύλοις καθυφῆκε τῆς συνήθους πολιτείας.

Гл. 7. Какъ Иверы приняли вѣру во Христа.

Въ вышеупомянутое царствованіе, говорятъ, познали Христа Иверы. Это — народъ варварскій, значительный и весьма воинственный; живетъ онъ за Арменіей къ сѣверу. Побудила ихъ отвергнуть вѣру предковъ плѣнная женщина — христіанка; отличаясь силою вѣры и благочестіемъ, она даже среди иноплеменниковъ не измѣнила обычнаго образа жизни; она очень

1) «Cibalensem pugnam intelligit, qua victus est Licinius, Volusiano II et Anniano consulibus, ut scribitur in *Fastis* Idatii, anno Christi 314. Post hanc victoriam pace inter Constantinum ac Licinium facta, Constantinus universum Illyricum suae ditioni adiunxit, ut praeter Sozomenum scribit Zosimus in libro secundo». Valesius.

2) Cf. supra p. 746, Socr. I, 20.

Digitized by Google

Φίλον δέ τε αὐτῇ χρῆμα ἐτύγχανε νηστεία καὶ νύκτωρ καὶ μεθ' ἡμέραν εὔχεσθαι καὶ τὸν Θεὸν εὐλογεῖν. Οἱ δὲ βάρβαροι ἐπυνθάνοντο ὅτου χάριν τοῦτο ὑπομένοι. Τῆς δὲ ἁπλούστερον λεγούσης οὕτω χρῆναι σέβειν τὸν Υἱὸν τοῦ Θεοῦ ξένον αὐτοῖς ἐδόκει καὶ τοῦ θρησκευομένου τὸ ὄνομα καὶ τῆς θρησκείας ὁ τρόπος. Συμβὰν δὲ μειράκιον ἐνταῦθα δεινῶς ἀσθενεῖν, περιφέρουσα καθ' ἕκαστον οἶκον ἡ μήτηρ ἐδείκνυεν. Ἔθος γὰρ Ἴβηρσι τοῦτο ποιεῖν, ἵν' εἴ τις εὑρεθείη τοῦ νοσήματος ἰατρός, εὐπόριστος γένηται τοῖς κάμνουσιν ἡ τοῦ πάθους ἀπαλλαγή. Ἐπεὶ δὲ μηδαμοῦ θεραπευθὲν καὶ παρὰ τὴν αἰχμάλωτον ἐκομίσθη τὸ παιδίον, «Φαρμάκων μέν, ἔφη, οὔτε χρηστῶν οὔτε ἐπιπλάστων εἴδησιν ἢ πεῖραν ἔχω· πιστεύω δὲ τὸν Χριστὸν ὃν σέβω, τὸν ἀληθινὸν καὶ μέγαν Θεόν, σωτῆρα τοῦ σοῦ παιδὸς γενέσθαι, ὦ γύναι». Παραχρῆμά τε ὑπὲρ αὐτοῦ εὐξαμένη τῆς νόσου ἀπήλλαξεν αὐτόν, ὅσον οὔπω τεθνήξεσθαι προσδοκώμενον. Οὐ πολλῷ δὲ ὕστερον καὶ τὴν γαμετὴν τοῦ κρατοῦντος τοῦ ἔθνους ἀνιάτῳ πάθει διόλλυσθαι μέλλουσαν τῷ ἴσῳ τρόπῳ διέσωσε καὶ τὴν τοῦ Χριστοῦ γνῶσιν ἐπαίδευσεν, ὑγείας ταμίαν καὶ ζωῆς καὶ βασιλείας καὶ πάντων Κύριον αὐτὸν εἰσηγουμένη. Καὶ ἡ μέν, τῇ πείρᾳ τοῦ ἐπὶ αὐτῇ συμβεβηκότος ἀληθεῖς εἶναι πιστεύσασα τοὺς τῆς αἰχμαλώτου λόγους, τὴν χριστιανῶν θρησκείαν ἐπρέσβευε καὶ διὰ πολλῆς τιμῆς εἶχε τὴν ἄνθρωπον. Ὁ δὲ βασιλεύς, θαυμάσας τὸ ταχὺ καὶ παράδοξον τῆς πίστεως καὶ ἰάσεως, ἔμαθε τὴν αἰτίαν παρὰ τῆς γαμετῆς καὶ δώροις ἐκέλευσεν ἀμείβεσθαι τὴν αἰχμάλωτον. Ἀλλὰ τούτων, ἔφη ἡ βασιλίς, ὀλίγος αὐτῇ λόγος, κἂν πάνυ τίμια νομίζηται μόνην δὲ περὶ πολλοῦ ποιεῖται τὴν εἰς τὸν ἴδιον Θεὸν θεραπείαν. ἣν οὖν αὐτῇ χαριεῖσθαι βουλοίμεθα καὶ ἀσφαλῶς πράττειν καὶ καλῶς σπουδάζοιμεν, ἄγε δὴ καὶ ἡμεῖς τοῦτον σεβώμεθα, κραταιὸν Θεὸν ὄντα καὶ σωτῆρα, καὶ βασιλέας, ἣν βούληται, ἐν οἷς εἰσι διαμένειν ποιοῦντα, πάλιν τ' αὖ ἱκανὸν ῥᾳδίως τοὺς μεγάλους μικροὺς ἀποφαίνειν καὶ τοὺς ἀδόξους ἐπιφανεῖς καὶ τοὺς ἐν

любила поститься и *какъ* ночью, *такъ* и днемъ молиться и славить Бога. Варвары спрашивали *ее*, чего ради она выноситъ это? Когда же она просто говорила, что такъ надлежитъ чтить Сына Божія, имъ казались странными и имя чтимаго и способъ его почитанія. Случилось тутъ сильно заболѣть *одному* ребенку; мать обносила его по всѣмъ домамъ и показывала. У Иверовъ въ обычаѣ дѣлать это для того, чтобы, если найдется какой либо врачъ *данной* болѣзни, то лѣченіе ея было удобно для страждущихъ. Когда же младенецъ, нигдѣ не вылѣченный, былъ принесенъ и къ плѣнницѣ, она сказала: «я не имѣю знанія или опыта ни въ намазываемыхъ, ни въ прикладываемыхъ лѣкарствахъ; но я вѣрю, о женщина, что Христосъ, котораго я чту, истинный и великій Богъ, будетъ спасителемъ твоего младенца». И тотчасъ, помолившись надъ нимъ, она исцѣлила его отъ болѣзни, хотя уже ждали, что онъ тотчасъ умретъ. Немного спустя она такимъ же образомъ исцѣлила и супругу правителя *этого* народа, умиравшую отъ неизлѣчимой болѣзни, и передала ей познаніе Христа, называя его подателемъ здравія и Господомъ жизни, царства и всего *прочаго*. Царица, по опыту случившагося съ нею, увѣровавъ въ истину словъ плѣнницы, приняла христіанскую вѣру и относилась къ плѣнницѣ съ большимъ почтеніемъ. Царь, изумленный быстротою и неожиданностью вѣры и исцѣленія, узналъ отъ супруги причину *его* и приказалъ наградить плѣнницу дарами. «До этихъ *даровъ*, сказала царица, ей мало дѣла, хотя бы они считались и очень цѣнными; она цѣнитъ только служеніе ея Богу. Итакъ, если мы пожелаемъ угодить ей и постараемся поступить увѣренно и прекрасно, то почтимъ и мы этого всемогущаго Бога и Спасителя, по волѣ Своей оставляющаго и царей въ обладаніи ихъ царствами и, съ другой стороны, легко могущаго великихъ содѣлать малыми, безславныхъ славными и спасать впавшихъ въ бѣдствія». Хотя жена

V. 16: «Assentior Christophorsono et Savilio qui χριστῶν emendarunt. Graeci tria genera medicamentorum distinguunt: Χριστά, ποτά, ἐπίπλαστα. Scholiastes Theocriti, Φαρμάκων τὰ μὲν εἰσὶ χριστά, ἤγουν ἅπερ χριόμεθα εἰς θεραπείαν· τὰ δὲ ποτά, ἤγουν ἅπερ πίνομεν· τὰ δὲ ἐπίπαστα, ἤγουν ἅπερ ἐπιπάττομεν. Ubi vides ἐπίπαστα vocari quae a Sozomeno dicuntur ἐπίπλαστα. Utro autem modo melius scribatur haec dictio, incertum est. Sane Theocritus in Pharmaceutriis πάσσειν et ἐπιπάσσειν dixit: ἐπιπλάττειν tamen legitur apud Psellum in libro *De daemonibus*». Valesius.

V. 19: γενέσθαι] γενήσεσθαι? Lat.

Digitized by Google

δεινοῖς ὄντας σώζειν. Τοιαῦτα πολλάκις εὖ λέγειν δοκούσης τῆς γυναικὸς ἀμφίβολος ἦν ὁ τῆς Ἰβηρίας ἡγούμενος καὶ οὐ πάνυ ἐπείθετο, τοῦ πράγματος τὸ νεώτερον ἐννοῶν καὶ τὴν πατρῴαν θρησκείαν αἰδούμενος. Μετ' οὐ πολὺ δὲ ἅμα τοῖς ἀμφ' αὐτὸν εἰς ὕλην ἐλθὼν ἐθήρα. Ἐξαπίνης οὖν ἀχλὺς πυκνοτάτη καὶ παχὺς ἀὴρ ἐπιχυθεὶς αὐτοῖς πάντοθεν τὸν οὐρανὸν καὶ τὸν ἥλιον ἐκάλυψε· νὺξ δὲ βαθεῖα καὶ σκότος πολὺ τὴν ὕλην κατεῖχεν. Ἐνταῦθα δὲ περὶ αὐτοῦ δείσας ἕκαστος, διεσκεδάσθησαν ἀλλήλων. Ὁ δὲ βασιλεὺς, μόνος ἀλώμενος, οἷα φιλεῖ συμβαίνειν τοῖς ἀνθρώποις ἀμηχανοῦσιν ἐν τοῖς δεινοῖς, ἐνενοήθη τὸν Χριστόν· καὶ Θεὸν αὐτὸν ἡγεῖσθαι καὶ τοῦ λοιποῦ σέβειν κατὰ νοῦν ἐδοκίμασεν, εἰ τὸ παρὸν διαφύγοι κακόν. Ἔτι δὲ αὐτοῦ ταῦτα ἐνθυμουμένου παραχρῆμα διελύθη ἡ ἀχλύς, καὶ ὁ ἀὴρ εἰς αἰθρίαν μετέβαλεν· ἐμβαλούσης δὲ τῆς ἀκτῖνος τῇ ὕλῃ διεσώθη ἐνθάδε. Καὶ τὸ συμβὰν τῇ γαμετῇ κοινωσάμενος, μετεπέμψατο τὴν αἰχμάλωτον καὶ τίνα τρόπον προσήκει τὸν Χριστὸν θρησκεύειν ἐκέλευσε διδάσκειν. Τῆς δὲ, ὅσα γυναικὶ θέμις λέγειν τε καὶ ποιεῖν, εἰσηγησαμένης, ἀγείρας τοὺς ὑπηκόους ἐκεῖνος τὰς συμβάσας αὐτῷ καὶ τῇ γαμετῇ θείας εὐεργεσίας εἰς κοινὸν εἰσήγγειλε. μήπω δὲ μυηθεὶς τὰ περὶ τοῦ δόγματος μετέδωκε τοῖς ἀρχομένοις· καὶ τὸν Χριστὸν πανδημεὶ σέβειν πείθουσιν, αὐτὸς μὲν τοὺς ἄνδρας, ἡ δὲ βασίλισσα ἅμα τῇ αἰχμαλώτῳ τὰς γυναῖκας. Καὶ ἐν τάχει κοινῇ συνθήκῃ παντὸς τοῦ ἔθνους φιλοτιμότατα παρεσκευάσαντο ἐκκλησίαν οἰκοδομεῖν. Ἐπεὶ δὲ κύκλῳ τοῦ νεὼ τὸν περίβολον ἤγειραν, στήσαντες μηχανὰς ἀνίμων τοὺς κίονας καὶ ἐπὶ τῶν βάσεων ἐστήριζον. Λέγεται δὲ τοῦ τε πρώτου καὶ δευτέρου ὀρθωθέντος ἐργώδη γενέσθαι τοῦ τρίτου κίονος τὴν σύστασιν καὶ μήτε τέχνῃ τῶν ἐπιστημόνων κατορθωθῆναι μήτε ἰσχύϊ βιασθῆναι, καίπερ πολλῶν ὄντων τῶν ἑλκόντων. Ἑσπέρας δὲ ἐπιγενομένης μόνη ἡ αἰχμάλωτος αὐτόθι διενυκτέρευσεν ἱκετεύουσα τὸν Θεὸν εὐπετῆ γενέσθαι τῶν κιόνων τὴν διόρθωσιν· οἱ δὲ ἄλλοι πάντες ἀνεχώρησαν δυσφοροῦντες, καὶ μάλιστα ὁ βασιλεύς. Ὀρθωθεὶς γὰρ μέχρι τοῦ μέσου ὁ κίων ἐγκάρσιος ἔμενε, καὶ τῷ ἐδάφει ἐμπαγεὶς ἐκ τῆς κάτωθεν ἀρχῆς ἀκίνητος ἦν. Ἔμελλε δὲ διὰ τοῦτο καὶ τὰ πρὸ τούτου παράδοξα βεβαιοτέρους καὶ περὶ τὸ Θεῖον ποιήσειν τοὺς Ἴβηρας. Περὶ γὰρ τὴν ἕω

часто и, какъ казалось, справедливо говорила это, правитель Иверіи колебался и не рѣшался послушаться ея, думая о необычности дѣла и уважая религію предковъ. Вскорѣ послѣ этого онъ со своей свитой отправился въ лѣсъ на охоту. Вдругъ густѣйшій туманъ разлился вокругъ нихъ и отовсюду закрылъ небо и солнце; глубокая ночь и сильный мракъ воцарились въ лѣсу. *Люди* отстали другъ отъ друга, такъ какъ каждый боялся за себя. Царь, бродя въ одиночествѣ, какъ часто случается съ людьми, незнающими что дѣлать въ бѣдѣ, подумалъ о Христѣ и рѣшилъ въ своемъ умѣ признать его Богомъ и чтить на будущее время, если избѣжитъ настоящей опасности. Пока онъ еще думалъ объ этомъ, вдругъ разсѣялся туманъ, воздухъ сдѣлался безоблачнымъ, *солнечные* лучи проникли въ лѣсъ и *царь* вышелъ изъ него невредимымъ. Сообщивъ о случившемся женѣ, онъ пригласилъ плѣнницу и попросилъ научить, какимъ образомъ надлежитъ почитать Христа. Когда она объяснила, насколько можно было разсказать и сдѣлать женщинѣ, царь, собравъ своихъ подданныхъ, объявилъ во всеуслышаніе объ оказанныхъ ему и женѣ божескихъ благодѣяніяхъ и, еще не будучи посвященъ *въ таинства вѣры*, сообщилъ поддапнымъ догматы *новой религіи*; они убѣждаютъ всенародно чтить Христа, самъ царь — мужчинъ, а царица вмѣстѣ съ плѣнницею — женщинъ. Вскорѣ по общему согласію всего народа весьма ревностно приготовились построить церковь. Воздвигнувъ ограду кругомъ храма, поставили машины и стали поднимать колонны и укрѣплять ихъ на подножіяхъ. Говорятъ, что послѣ подпятія первой и второй колонны оказалась весьма затруднительною установка третьей, которая не поддавалась ни искусству опытныхъ *мастеровъ*, ни силѣ, хотя множество народа тащило ее. Съ наступленіемъ вечера одна плѣнница осталась тамъ на ночь и молилась Богу, чтобы легка была установка колонны; всѣ же прочіе удалились въ печали, особенно царь. Ибо поднятая до половины колонна осталась въ наклонномъ положеніи и, упершись въ землю, была недвижима съ нижняго конца. *Господь* пожелалъ этимъ и предшествующими чудесами сдѣлать Иверовъ болѣе твердыми въ вѣрѣ. Когда они

Digitized by Google

παραγενομένων αὐτῶν εἰς τὴν ἐκκλησίαν, θαυμάσιόν τε χρῆμα καὶ ὀνείρῳ προσεοικὸς, ὀρθὸς ἐφάνη ὁ τῇ προτεραίᾳ ἀκίνητος κίων, ἀπὸ μικροῦ διαστήματος ἐπὶ τῆς ἰδίας βάσεως αἰωρούμενος. Καταπλαγέντων οὖν πάντων καὶ μόνον εἶναι Θεὸν ἀληθινὸν συνομολογούντων τὸν Χριστόν, θεωμένων πάντων ἡσυχῇ διολισθήσας αὐτομάτως ὡς ἀπὸ τέχνης τῇ βάσει προσηρμόσθη. Μετὰ δὲ ταῦτα εὐπετῶς οἱ ἄλλοι ὠρθώθησαν, καὶ προθυμότεροι οἱ Ἴβηρες τὰ λοιπὰ ἐπετέλουν. Σπουδῇ δὲ τῆς ἐκκλησίας οἰκοδομηθείσης, ὑποθεμένης τῆς αἰχμαλώτου πέμπουσι πρέσβεις πρὸς Κωνσταντῖνον τὸν βασιλέα, συμμαχίαν καὶ σπονδὰς φέροντας, ἀντὶ δὲ τούτων ἱερέας τῷ ἔθνει ἀποσταλῆναι δεομένους. Διεξελθόντων δὲ τῶν πρέσβεων οἷα παρ' αὐτοῖς συνέβη καὶ ὡς τὸ πᾶν ἔθνος ἐν ἐπιμελείᾳ πολλῇ σέβει τὸν Χριστόν, ἥσθη τῇ πρεσβείᾳ ὁ Ῥωμαίων βασιλεὺς καὶ πάντα κατὰ γνώμην πράξαντας τοὺς πρέσβεις ἀπέπεμψεν. Ὧδε μὲν Ἴβηρες τὸν Χριστὸν ἐπέγνωσαν καὶ εἰσέτι νῦν ἐπιμελῶς σέβουσιν.

1 на зарѣ пришли въ церковь,—чудное дѣло и подобное сновидѣнію,—недвижимая наканунѣ колонна оказалась выпрямленною и стоящею въ воздухѣ на небольшомъ разстояніи отъ своего подножія. Всѣ были поражены этимъ и единодушно признали Христа истиннымъ Богомъ; *между тѣмъ* колонна на глазахъ всѣхъ тихо опустилась сама собою и какъ бы *руками* искуснаго *мастера* приладилась къ подножію. Послѣ этого легко были подняты и остальныя *колонны* и Иверы *еще* ревностнѣе довели *дѣло* до конца. Быстро построивъ церковь, *они* по совѣту плѣнницы отправили пословъ къ императору Константину съ предложеніемъ союза и мира и съ просьбою прислать за это священниковъ къ *ихъ* народу. Когда послы разсказали, что у нихъ случилось и какъ весь народъ весьма ревностно чтитъ Христа, Римскій императоръ былъ *очень* обрадованъ *этимъ* посольствомъ и отпустилъ пословъ, исполнивъ все по *ихъ* желанію. Такъ Иверы познали Христа и понынѣ ревностно чтутъ его.

ΚΕΦΑΛ. ΛΔ'. ...Ἐπιτευκτικὸς δὲ [sc. Κωνσταντῖνος ἦν] ὡς οὐκ οἶδ' εἴ τις ἕτερος ἐν οἷς ἐπεχείρησεν· ἄνευ γὰρ Θεοῦ, ἐμοὶ δοκεῖν, οὐκ ἐπεχείρει. Ὅς γε πολέμων τε τῶν ἐπ' αὐτῷ συμβάντων πρός γε Γότθους καὶ Σαυρομάτας περιεγένετο κτλ.

Гл. 34. ...(Константинъ) въ своихъ дѣяніяхъ имѣлъ такую удачу, какъ никто другой, ибо, по моему мнѣнію, не принимался за дѣло безъ *воли* Божіей. Онъ вышелъ побѣдителемъ изъ бывшихъ при немъ войнъ съ Готѳами и Савроматами и т. д.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ. КНИГА ЧЕТВЕРТАЯ.

Lib. IV cap. 16 commemoratur episcopus quidam Bosporanus (ἀπὸ Βοσπόρου), qui a. 358 concilio Nicomediensi interfuit.

Cap. 24 commemoratur Ulfila Gothorum episcopus inter eos quinquaginta, qui Constantinopoli in unum collecti formulam fidei quae Arimini recitata fuerat suffragiis suis comprobarunt.

ΤΟΜΟΣ ΕΚΤΟΣ. КНИГА ШЕСТАЯ.

ΚΕΦΑΛ. ΚΑ'. Κατάλογος τῶν τόπων, ἔνθα τὸ δόγμα τῶν ἐν Νικαίᾳ ἐπρεσβεύετο· καὶ περὶ τῆς τῶν Σκυθῶν πίστεως καὶ περὶ Βρεττανίωνος τοῦ ἡγουμένου τοῦ ἔθνους.

Гл. 21. Списокъ мѣстностей, гдѣ признавалось Никейское исповѣданіе вѣры; о вѣрѣ Скиѳовъ и о Бреттаніонѣ, епископѣ этого народа.

...Συρία δὲ καὶ τὰ πέριξ ἔθνη καὶ μάλιστα ἡ τῶν Ἀντιοχέων πόλις ἐν ἀταξίαις

... Сирія съ окрестными племенами и въ особенности городъ Антіохія пребывали

Digitized by Google

καὶ ταραχαῖς ἦσαν, πλειόνων μὲν ὄντων τῶν τὰ Ἀρείου φρονούντων καὶ τὰς Ἐκκλησίας ἐχόντων, οὐκ ὀλίγων δὲ ὄντων καὶ τῶν ἀπὸ τῆς καθόλου Ἐκκλησίας, οὓς Εὐσταθιανοὺς καὶ Παυλιανοὺς ὠνόμαζον, ὧν ἡγεῖτο Παυλῖνός τε καὶ Μελέτιος, ὡς ἐν τοῖς πρόσθεν ἔγνωμεν. Διὰ δὲ τούτους ἡ Ἀντιοχέων ἐκκλησία πᾶσα κινδυνεύσασα γενέσθαι τῆς Ἀρείου αἱρέσεως μόλις ὑπερέσχεν ἐναντίαν τῆς βασιλέως σπουδῆς καὶ τῶν ἀμφ' αὐτὸν δυναμένων. Ὡς ἔοικε γάρ, εἰ συνέβη ἀνδρείους τὰς ἐκκλησίας ἰθύνειν, οὐ μετεβάλλοντο τῆς προτέρας δόξης τὰ πλήθη. Ἀμέλει τοι καὶ Σκύθας λόγος διὰ ταύτην αἰτίαν ἐπὶ τῆς αὐτῆς μεῖναι πίστεως. Τοῦτο δὲ τὸ ἔθνος πολλὰς μὲν ἔχει καὶ πόλεις καὶ κώμας καὶ φρούρια. Μητρόπολις δέ ἐστι Τόμις, πόλις μεγάλη καὶ εὐδαίμων παράλιος, ἐξ εὐωνύμων εἰσπλέοντι τὸν Εὔξεινον καλούμενον πόντον. Εἰσέτι δὲ καὶ νῦν ἔθος παλαιὸν ἐνθάδε κρατεῖ [1]) τοῦ παντὸς ἔθνους ἕνα τὰς ἐκκλησίας ἐπισκοπεῖν· κατὰ δὴ τὸν παρόντα καιρὸν ἐπετρόπευε τούτων Βρεττανίων· καὶ Οὐάλης ὁ βασιλεὺς ἦκεν εἰς Τόμιν [2]). Ἐπεὶ δὲ εἰς τὴν ἐκκλησίαν ἀφίκετο καὶ ὡς εἰώθει ἔπειθεν αὐτὸν κοινωνεῖν τοῖς ἀπὸ τῆς ἐναντίας αἱρέσεως, ἀνδρείως μάλα πρὸς τὸν κρατοῦντα παρρησιασάμενος περὶ τοῦ δόγματος τῶν ἐν Νικαίᾳ συνελθόντων κατέλιπεν αὐτὸν καὶ εἰς ἑτέραν ἦλθεν ἐκκλησίαν· καὶ ὁ λαὸς ἐπηκολούθησε. Σχεδὸν δὲ πᾶσα ἡ πόλις συνεληλύθεισαν βασιλέα ὀψόμενοι καὶ νεώτερον ἔσεσθαί τι προσδοκήσαντες. Ἀπολειφθεὶς δὲ Οὐάλης σὺν τοῖς ἀμφ' αὐτὸν χαλεπῶς ἤνεγκε τὴν ὕβριν· καὶ συλληφθέντα Βρεττανίωνα εἰς ὑπερορίαν ἄγεσθαι προσέταξε, καὶ οὐκ εἰς μακρὰν αὖθις ἐπανάγεσθαι ἐπέτρεψε· χαλεπαίνοντας γὰρ οἶμαι πρὸς τὴν φυγὴν τοῦ ἐπισκόπου ἰδὼν τοὺς Σκύθας ἐδεδίει, μή τι νεωτερίσωσιν, ἀνδρείους τε ἐπιστάμενος καὶ τῇ θέσει τῶν τόπων ἀναγκαίους τῇ Ῥωμαίων οἰκουμένῃ καὶ τῶν κατὰ τόδε τὸ κλίμα βαρβάρων

въ нестроеніи и волненіи, такъ какъ приверженцы Арія превышали численностью и владѣли церквами, но не мало было и послѣдователей каѳолической церкви, которыхъ называли Евстаѳіанами и Павлиніанами и во главѣ которыхъ стояли Павлинъ и Мелетій, какъ мы сообщили выше. Благодаря имъ Антіохійская церковь, едва не присоединившаяся вся къ ереси Арія, съ трудомъ устояла противъ стремленій императора [Валента] и могущественныхъ его сотрудниковъ. Какъ и слѣдовало ожидать, если церквами правили *люди* мужественные, *ихъ* паства не мѣняла ранѣе принятую вѣру. Говорятъ, что и Скиѳы по этой причинѣ устояли въ своей прежней вѣрѣ. Этотъ народъ имѣетъ много городовъ, селеній и укрѣпленій. Столицею его служитъ Томисъ, большой и богатый приморскій городъ, *лежащій* по лѣвую руку для въѣзжающаго въ такъ называемый Евксинскій Понтъ. Здѣсь и понынѣ господствуетъ нѣкоторый обычай имѣть одного епископа церквей всего народа. Въ то время во главѣ ихъ (т. е. церквей) стоялъ Бреттаніонъ. Императоръ Валентъ прибылъ въ Томисъ. Когда онъ пришелъ въ церковь и по своей привычкѣ сталъ уговаривать епископа присоединиться къ приверженцамъ *Аріевой* ереси, то *Бреттаніонъ*, весьма твердо и свободно отвѣтивъ правителю объ ученіи Никейскаго собора, покинулъ его и ушелъ въ другую церковь; народъ послѣдовалъ за нимъ. Почти весь городъ собрался, *желая* увидѣть императора и ожидая какой нибудь *важной* новости. Валентъ, покинутый со своей свитой, разгнѣвался на *это* оскорбленіе и приказалъ схватить Бреттаніона и отправить въ ссылку, но вскорѣ дозволилъ ему возвратиться: вѣроятно, видя негодованіе Скиѳовъ за изгнаніе епископа, онъ испугался, чтобы они не подняли возстанія, а *между тѣмъ* онъ зналъ, что они мужественны, по положенію своей страны не-

V. 5: «Καὶ Παυλιανούς] Apparet scribendum esse Παυλινιανούς, a Paulino presbytero partis Eustathii, quem Lucifer episcopum Antiochenum ordinaverat. Atque ita legitur apud Niceph. in capite 29 libri VI». Vales.

1) «Idem repetit Sozomenus in lib VII, cap. 19 [v. infra p. 768], ubi variarum Ecclesiarum consuetudines inter se discrepantes refert. Primo enim loco recenset consuetudinem Scytharum; qui cum multas habeant civitates, unicum tamen omnes habent episcopum. In aliis autem provinciis interdum etiam pagi suum habent episcopum. Porro hunc Scytharum morem ad sua usque tempora perdurasse testatur Nicetas Choniates in *Thesauro orthodoxae fidei* lib. V, cap. 5»... Valesius.

2) «Anno 369, ut recte conjicit Gothofredus in Chronologia Codicis Theodosiani, videtur Valens Tomos profectus»... Migne.

Digitized by Google

προβεβλημένους. Βρεττανίων μὲν οὖν ὧδε χρείττων ἀνεφάνη τῆς τοῦ κρατοῦντος σπουδῆς, ἀνήρ τε τὰ ἄλλα ἀγαθὸς καὶ ἐπὶ ἀρετῇ βίου ἐπίσημος, ὡς καὶ αὐτοὶ Σκύθαι μαρτυροῦσιν. Ὡς ἐπίπαν δὲ πᾶς κλῆρος ἐπειράθη διὰ ταῦτα τῆς τοῦ βασιλέως ὀργῆς πλὴν τῶν πρὸς ἑσπέραν τῆς ἀρχομένης τῶν Ἐκκλησιῶν...

обходимы для Римской державы и представляютъ оплотъ противъ живущихъ въ этихъ странахъ варваровъ. Такимъ образомъ Бреттаніонъ, мужъ почтенный въ остальномъ и выдающійся чистотою жизни, какъ свидѣтельствуютъ и сами Скиѳы, вышелъ побѣдителемъ изъ столкновенія съ императоромъ. Вообще весь клиръ испыталъ за это (т. е. за религію) гнѣвъ императора, кромѣ церквей, находящихся на западѣ имперіи...

ΚΕΦΑΛ. Ας'. Περὶ τῆς τῶν Σαυροματῶν ἐκστρατείας καὶ περὶ τοῦ θανάτου Οὐαλεντινιανοῦ ἐν Γαλλίᾳ...

Гл. 36. О походѣ противъ Савроматовъ и о смерти Валентиніана въ Галліи...

...Καταδραμόντων δὲ Σαυροματῶν χωρία τινὰ τῆς πρὸς δύσιν ἀρχομένης ἐπεστράτευσε τούτοις Οὐαλεντινιανός. Οἱ δὲ τῆς στρατιᾶς τὸ πλῆθος καὶ τὴν παρασκευὴν ἀκούσαντες, πρέσβεις πέμψαντες εἰρήνην ᾔτουν. Ἰδὼν δὲ τούτους, εἰ τοιοῦτοι Σαυρομάται πάντες ἐπυνθάνετο. Τῶν δὲ τοὺς κρείττους παρεῖναι καὶ πρεσβεύεσθαι φησάντων ἐμπίπλαται ὀργῆς καὶ μέγα κεκραγὼς ἡ δεινὰ τοὺς ὑπηκόους ὑπομένειν ἔφη καὶ τὴν Ῥωμαίων δυσπραγεῖν ἀρχὴν εἰς αὐτὸν περιστᾶσαν, εἰ Σαυρομάται, βάρβαρον ἔθνος, ὧν ἄριστοι οὗτοι, οὐκ ἀγαπῶσιν ἐφ' ἑαυτῶν μένοντες ζῆν, ἀλλ' ἐπιβῆναι τῆς ὑπ' αὐτοῦ ἀρχομένης ἐθάρρησαν καὶ πολεμεῖν ὅλως πρὸς Ῥωμαίους φαντάζονται. Ἐπὶ πολὺ δὲ χαλεπαίνοντος καὶ τοιάδε βοῶντος, ὑπὸ ἀμέτρου διατάσεως σπαραχθέντων αὐτῷ τῶν ἔνδον φλεψὶ ἅμα καὶ ἀρτηρία διερράγη, καὶ ἀναδοθέντος αἵματος ἐν φρουρίῳ τινὶ τῆς Γαλλίας[1]) ἐτελεύτησε τὸν βίον, ἔτη μὲν ἀμφὶ τὰ πεντήκοντα καὶ τέσσαρα γεγονώς, τρισκαίδεκα δὲ ἐν τῇ βασιλείᾳ εὖ μάλα καὶ λίαν ἐπισήμως διαγενόμενος...

...Вслѣдствіе набѣга Савроматовъ на нѣкоторыя мѣстности западной части имперіи Валентиніанъ выступилъ противъ нихъ. Услышавъ о величинѣ войска и запасовъ, они отправили пословъ просить мира. Увидѣвъ ихъ, *Валентиніанъ* спросилъ, всѣ ли Савроматы таковы. Когда же они отвѣтили, что въ качествѣ пословъ прибыли самые лучшіе, онъ пришелъ въ *сильный* гнѣвъ и громко вскричалъ, что *его* подданные переносятъ страшное несчастіе и что на горе перешла къ нему Римская держава, если Савроматы — варварскій народъ — изъ конхъ лучшіе вотъ эти, не довольствуются спокойною жизнью на родинѣ, а осмѣлились напасть на его имперію и бредятъ войною съ Римлянами вообще. Когда онъ кричалъ это въ страшномъ гнѣвѣ, отъ чрезмѣрнаго напряженія разорвались его внутренности, лопнули жилы и артерія и онъ умеръ отъ кровотеченія въ одномъ укрѣпленіи въ Галліи, въ возрастѣ около 54 лѣтъ, послѣ прекраснаго и весьма славнаго 13-лѣтняго царствованія...

ΚΕΦΑΛ. ΑΖ'. Περὶ τῶν πέραν Ἴστρου βαρβάρων, ὡς ὑπὸ τῶν Οὔννων ἐξελαθέντες Ῥωμαίοις προσεχώρησαν καὶ ὡς Χριστιανοὶ ἐγένοντο· καὶ περὶ Οὐλφίλα καὶ Ἀθαναρίχου, καὶ μεταξὺ τούτων συμβάντα, καὶ ὅθεν τὸν Ἀρειανισμὸν εἰσεδέξαντο.

Гл. 37. О живущихъ за Истромъ варварахъ, какъ они, будучи изгнаны Уннами, перешли къ Римлянамъ и какъ приняли христіанство; объ Ульфилѣ и Аѳанарихѣ, о происшедшемъ между ними и почему *Готѳы* приняли аріанство.

...Γότθοι, οἳ δὴ πέραν Ἴστρου ποταμοῦ τὸ πρὶν ᾤκουν καὶ τῶν ἄλλων βαρβάρων

...Готѳы, которые раньше жили за рѣкою Истромъ и владычествовали надъ про-

1) «Ἐν φρουρίῳ τινὶ τῆς Γαλλίας. Apud Bregetionem oppidum Pannoniae mortuus est Valentinianus imperator, ut scribit Ammianus Marcellinus in libro XXX [cf. Socr. *Hist. eccl.* IV, 31, supra p. 751]. Idatius in *Fastis* scribit Valentinianum Seniorem mortuum esse in castello Virgitione post consulatum Gratiani III et Equitii, hoc est anno Christi 375». Vales.

Digitized by Google

ἐκράτουν, ἐξελαθέντες παρὰ τῶν καλουμέ-
νων Οὔννων εἰς τοὺς Ῥωμαίων ὅρους ἐπε-
ραιώθησαν. Τοῦτο δὲ τὸ ἔθνος, ὥς φασιν,
ἄγνωστον ἦν πρὸ τοῦ Θρᾳξὶ τοῖς παρὰ τὸν
Ἴστρον καὶ Γότθοις αὐτοῖς. Ἐλάνθανον δὲ
προσοικοῦντες ἀλλήλοις, καθότι λίμνης με-
γίστης ἐν μέσῳ κειμένης, ἕκαστοι τέλος
ἔχρᾶς ᾠοντο εἶναι τὴν καθ' αὑτοὺς οἰκου-
μένην, μετὰ τοῦτο δὲ θάλασσαν καὶ ὕδωρ
ἀπέραντον. Συμβὰν δὲ βοῦν οἰστροπλῆγα
διαβραμεῖν τὴν λίμνην ἐπηκολούθησε βου-
κόλος· καὶ τὴν ἀντιπέραν γῆν θεασάμενος
ἤγγειλε τοῖς ὁμοφύλοις. Ἄλλοι δὲ λέγουσιν,
ὡς ἔλαφος διαφυγοῦσα τισὶ τῶν Οὔννων
θηρῶσιν ἐπέδειξε τήνδε τὴν ὁδόν, ἐξ ἐπιπο-
λῆς καλυπτομένην τοῖς ὕδασι. Τοὺς δὲ
τότε μὲν ἐπιστρέψαι, θαυμάσαντας τὴν
χώραν ἀέρι μετριώτερον καὶ γεωργίᾳ ἥμε-
ρον ἔχουσαν, καὶ τῷ κρατοῦντι ἀγγεῖλαι
ἃ ἐθεάσαντο· δι' ὀλίγων δὲ τὰ πρῶτα κα-
τασταθῆναι εἰς πεῖραν τοῖς Γότθοις· μετὰ δὲ
ταῦτα πανσυδεὶ ἐπιστρατεῦσαι καὶ μάχῃ
κρατῆσαι καὶ πᾶσαν τὴν αὐτῶν γῆν κα-
τασχεῖν· τοὺς δὲ διωκομένους εἰς τὴν Ῥω-
μαίων περαιωθῆναι καὶ τὸν ποταμὸν δια-
βάντας πρέσβεις πέμψαι πρὸς βασιλέα,
συμμάχους τοῦ λοιποῦ ἔσεσθαι σφᾶς ὑπισ-
χνουμένους καὶ δεομένους συγχωρεῖν αὐτοῖς
ᾗ βούλοιντο κατοικεῖν. ταύτης δὲ τῆς πρεσ-
βείας ἄρξαι Οὐλφίλαν τὸν τοῦ ἔθνους ἐπί-
σκοπον· κατὰ γνώμην δὲ αὐτοῖς προχωρη-
σάσης ἐπιτραπῆναι ἀνὰ τὴν Θρᾴκην οἰκεῖν.
οὐ πολλῷ δὲ ὕστερον πρὸς σφᾶς αὐτοὺς
στασιάσαντας διχῇ διαιρεθῆναι. ἡγεῖτο δὲ
τῶν μὲν Ἀθανάριχος, τῶν δὲ Φριτιγέρνης·
ἐπεὶ δὲ πρὸς ἀλλήλους ἐπολέμησαν, κακῶς
πράξας ἐν τῇ μάχῃ Φριτιγέρνης ἐδεῖτο Ῥω-
μαίων βοηθεῖν αὐτῷ. Τοῦ δὲ βασιλέως ἐπι-
τρέψαντος βοηθεῖν καὶ συμμαχεῖν αὐτῷ
τοὺς ἐν Θράκῃ στρατιώτας, αὐθις συμβα-
λὼν ἐνίκησε καὶ τοὺς ἀμφὶ Ἀθανάριχον εἰς
φυγὴν ἔτρεψεν. Ὥσπερ δὲ χάριν ἀποδιδοὺς
Οὐάλεντι καὶ διὰ πάντων φίλος εἶναι πι-
στούμενος ἐκοινώνησε τῆς αὐτοῦ θρησκείας
καὶ τοὺς πειθομένους αὐτῷ βαρβάρους ἔπει-
σεν ὧδε φρονεῖν. Οὐ τοῦτο δὲ μόνον, οἶμαι,
αἴτιον γέγονεν εἰσέτι νῦν πᾶν τὸ φῦλον
προστεθῆναι τοῖς τὰ Ἀρείου δοξάζουσιν·
ἀλλὰ γὰρ καὶ Οὐλφίλας ὁ παρ' αὐτοῖς τότε
ἱερωμένος τὰ μὲν πρῶτα οὐδὲν διεφέρετο
πρὸς τὴν καθόλου ἐκκλησίαν, ἐπὶ δὲ τῆς
Κωνσταντίου βασιλείας ἀπερισκέπτως, οἶμαι,
μετασχὼν τοῖς ἀμφὶ Εὐδόξιον καὶ Ἀκάκιον
τῆς ἐν Κωνσταντινουπόλει συνόδου διέμεινε

чими варварами, будучи изгнаны такъ назы-
ваемыми Уннами, переправились въ Рим-
скіе предѣлы. Этотъ народъ, какъ говорятъ,
до тѣхъ поръ не былъ извѣстенъ *живу-
щимъ* по Истру Оракійцамъ и самимъ
Готеамъ. Они не знали, что живутъ по со-
сѣдству другъ съ другомъ, такъ какъ между
ними лежало огромное озеро и тѣ и другіе
думали, что занимаемая ими страна есть
конецъ суши, а за нею *находится* море и
безпредѣльное *пространство* воды. *Одна-
жды* случилось, что преслѣдуемый оводомъ
быкъ перешелъ черезъ озеро и за
нимъ послѣдовалъ пастухъ; увидавъ про-
тиволежащую землю, онъ сообщилъ *о ней*
соплеменникамъ. Другіе говорятъ, что пере-
бѣжавшая лань показала охотившимся Ун-
намъ эту дорогу, слегка прикрытую сверху
водою. Въ тотъ разъ они возвратились на-
задъ, съ удивленіемъ осмотрѣвъ страну,
болѣе умѣренную по климату и удобную
для земледѣлія, и доложили правителю, что
они видѣли. Сначала они съ небольшими
силами попробовали бороться съ Готеами,
а потомъ совершили нашествіе съ огром-
ными полчищами, побѣдили *Готеовъ* въ бою
и захватили всю ихъ землю. Преслѣдуемые
Готеы перешли на Римскую землю и, пере-
правившись чрезъ рѣку, отправили посоль-
ство къ императору съ обѣщаніемъ быть
на будущее *время* союзниками и съ просьбою
разрѣшить имъ поселиться, гдѣ они
захотятъ. Во главѣ этого посольства сто-
ялъ епископъ *Готескаго* народа Улфила.
Посольство достигло своей цѣли и *Готеамъ*
было разрѣшено жить во Оракіи. Немного
спустя, вступивъ въ междоусобную борьбу,
они раздѣлились на двѣ части, *изъ коихъ*
одною предводительствовалъ Аѳанарихъ, а
другою Фритигернъ. Въ происшедшей войнѣ
Фритигернъ потерпѣлъ пораженіе въ битвѣ
и обратился за помощью къ Римлянамъ.
Когда императоръ разрѣшилъ оракійскимъ
войскамъ соединиться съ нимъ и оказать
помощь, въ новой битвѣ Фритигернъ остался
побѣдителемъ и обратилъ въ бѣгство пар-
тію Аѳанариха. Желая доказать *свою* благо-
дарность Валенту и подтвердить свою го-
товность быть ему другомъ во всемъ, онъ
присоединился къ его религіи и уговорилъ
подвластныхъ ему варваровъ держаться той-
же *вѣры*. Я думаю, однако, что не одно
это *обстоятельство* послужило причиною
того, что и понынѣ все *Готеское* племя

Digitized by Google

κοινωνῶν τοῖς ἱερεῦσι τῶν ἐν Νικαίᾳ συνελθόντων [1]). Ὡς δὲ εἰς Κωνσταντινούπολιν ἀφίκετο, λέγεται διαλεχθέντων αὐτῷ περὶ τοῦ δόγματος τῶν προεστώτων τῆς Ἀρειανῆς αἱρέσεως καὶ τὴν πρεσβείαν αὐτῷ συμπράξειν πρὸς βασιλέα ὑποσχομένων, εἰ ὁμοίως αὐτοῖς δοξάζοι, βιασθεὶς ὑπὸ τῆς χρείας, ἢ καὶ ἀληθῶς νομίσας ἄμεινον οὕτω περὶ Θεοῦ φρονεῖν, τοῖς Ἀρείου κοινωνῆσαι καὶ αὐτὸν καὶ τὸ πᾶν φῦλον ἀποτεμεῖν τῆς καθόλου ἐκκλησίας. Ὑπὸ διδασκάλῳ γὰρ αὐτῷ παιδευθέντες οἱ Γότθοι τὰ πρὸς εὐσέβειαν καὶ δι' αὐτοῦ μετασχόντες πολιτείας ἡμερωτέρας πάντα ῥᾳδίως αὐτῷ ἐπείθοντο, πεπεισμένοι μηδὲν εἶναι φαῦλον τῶν παρ' αὐτοῦ λεγομένων ἢ πραττομένων, ἅπαντα δὲ συντελεῖν εἰς χρήσιμον τοῖς ζηλοῦσιν. Οὐ μὴν ἀλλὰ καὶ πλείστην δέδωκε πεῖραν τῆς αὐτοῦ ἀρετῆς, μυρίους μὲν ὑπομείνας κινδύνους ὑπὲρ τοῦ δόγματος ἔτι τῶν εἰρημένων βαρβάρων Ἑλληνικῶς θρησκευόντων· πρῶτος δὲ γραμμάτων εὑρετὴς αὐτοῖς ἐγένετο καὶ εἰς τὴν οἰκείαν φωνὴν μετέφρασε τὰς ἱερὰς βίβλους. Καθότι μὲν οὖν ὡς ἐπίπαν οἱ παρὰ τὸν Ἴστρον βάρβαροι τὰ Ἀρείου φρονοῦσι, πρόφασις ἥδε. Κατ' ἐκεῖνο δὲ καιροῦ πλῆθος τῶν ὑπὸ τὸν Φριτιγέρνην διὰ Χριστὸν μαρτυροῦντες ἀνηρέθησαν. Ὁ γὰρ Ἀθανάριχος καὶ τοὺς ὑπ' αὐτῷ τεταγμένους, Οὐλφίλα πείθοντος, χριστιανίζειν ἀγανακτῶν, ὡς τῆς πατρῴας θρησκείας καινοτομουμένης, πολλοὺς πολλαῖς τιμωρίαις ὑπέβαλε καὶ τοὺς μὲν εἰς εὐθύνας ἀγαγὼν, παρρησιασαμένους ἀνδρείως ὑπὲρ τοῦ δόγματος, τοὺς δὲ μηδὲ λόγου μεταδούς, ἀνεῖλε. Λέγεται γὰρ ὥς τι ξόανον ἐφ' ἁρμαμάξης ἑστὼς οἵ γε τοῦτο ποιεῖν ὑπὸ Ἀθαναρίχου προσετάχθησαν καθ' ἑκάστην σκηνὴν περιάγοντες τῶν χριστιανίζειν καταγγελλομένων ἐκέλευον τοῦτο προσκυνεῖν καὶ θύειν· τῶν δὲ παραιτουμένων, σὺν αὐτοῖς ἀνθρώποις τὰς σκηνὰς ἐνεπίμπρων. Περιπαθέστερον δὲ τότε καὶ ἕτερον συμβῆναι πάθος ἐπυθόμην· ἀπειρηκότες γὰρ πολλοὶ τῇ βίᾳ τῶν θύειν ἀναγκαζόντων, ἄνδρες τε καὶ γυναῖκες, ὧν αἱ μὲν παιδάρια ἐπήγοντο, αἱ δὲ ἀρτίτοκα βρέφη ὑπὸ τοὺς

придерживается вѣрованій Аріанъ: вѣдь и Ульфила, бывшій въ то время ихъ священнослужителемъ, сначала ни въ чемъ не отступалъ отъ каѳолической церкви; въ царствованіе Константія необдуманно, по моему мнѣнію, принявъ участіе въ Константинопольскомъ соборѣ съ Евдоксіемъ и Акаміемъ, онъ *всетаки* сохранилъ общеніе съ отцами *изъ числа* собиравшихся въ Никеѣ. Но когда онъ прибылъ *снова* въ Константинополь, то, какъ говорятъ, вступивъ въ разсужденіе о догматахъ съ представителями аріанской ереси и получивъ обѣщаніе содѣйствія предъ императоромъ въ дѣлахъ его посольства, если онъ будетъ вѣровать одинаково съ ними, — онъ подъ вліяніемъ необходимости, или и въ самомъ дѣлѣ признавъ лучшимъ такъ думать о Богѣ, вступилъ въ общеніе съ Аріанами и оторвалъ себя и весь *свой* народъ отъ каѳолической церкви. Ибо Готѳы, наученные благочестію подъ его руководствомъ и чрезъ него пріобщившіеся къ болѣе культурному образу жизни, легко вѣрили ему во всемъ, будучи убѣждены, что въ его словахъ и дѣлахъ нѣтъ ничего дурнаго, а все служитъ на пользу соревнующимъ *о Богѣ*. Къ тому же онъ далъ множество доказательствъ своей доблести, подвергшись безчисленнымъ опасностямъ за вѣру въ то время, когда названные варвары были еще язычниками. Онъ первый изобрѣлъ для нихъ азбуку и перевелъ священныя книги *на свой* родной языкъ. Такова причина того, что почти всѣ *живущіе* по Истру варвары держатся аріанства. Въ то время множество подданныхъ Фритигерна приняли мученическую кончину ради Христа. Ибо Аѳанарихъ, негодуя *на то*, что и его подданные, подъ вліяніемъ убѣжденій Ульфилы, приняли христіанство и измѣняютъ вѣрѣ предковъ, многихъ подвергъ разнообразнымъ наказаніямъ, при чемъ однихъ предавалъ казни, призвавъ къ суду, гдѣ они мужественно и свободно говорили за свою вѣру, и другихъ — даже не позволивъ говорить *въ свою защиту*. Говорятъ, что по повелѣнію Аѳанариха

1) «...Id dicit Sozomenus, Ulphilam Gothorum episcopum initio quidem catholicae fidei adhaesisse; postea vero, regnante Constantio, per imprudentiam interfuisse synodo Constantinopolitanae una cum Eudoxio et Acacio haereticis anno Christi 359; nihilominus tamen cum catholicis episcopis Nicaeni concilii assertoribus communionem servasse. Tandem vero cum, principatu Valentis Augusti, legatus gentis Gothorum venisset Constantinopolim, collatione habita cum Arianis episcopis, ad illorum partes se transtulisse»... Valesius.

Digitized by Google

μαζοὺς ἔτρεφον, ἐπὶ τὴν σκηνὴν τῆς ἐνθάδε ἐκκλησίας κατέφυγον, προσαψάντων δὲ πῦρ τῶν ἑλληνιστῶν ἅπαντες διεφθάρησαν. Οὐκ εἰς μακρὰν δὲ οἱ Γότθοι πρὸς ἀλλήλους ὡμονόησαν καὶ εἰς ἀπόνοιαν ἐπαρθέντες τοὺς Θρᾷκας ἐκακούργουν καὶ τὰς αὐτῶν πόλεις καὶ κώμας ἐδῄουν. Πυθόμενος δὲ Οὐάλης τῇ πείρᾳ μεμάθηκεν ὅσον ἥμαρτεν· οἰηθεὶς γὰρ αὐτῷ τε καὶ τοῖς ἀρχομένοις χρησίμους ἔσεσθαι τοὺς Γότθους, φοβεροὺς δὲ τοῖς ἐναντίοις, ὡς ἐν ὅπλοις ἀεὶ παρεσκευασμένους, τῶν Ῥωμαϊκῶν ταγμάτων ἠμέλει· καὶ ἀντὶ τῶν εἰωθότων εἰς στρατείαν ἐπιλέγεσθαι ἐκ τῶν ὑπὸ Ῥωμαίους πόλεών τε καὶ κωμῶν χρυσίον εἰσεπράττετο...

особо назначенные имъ *люди* обвозили по шалашамъ всѣхъ обвиняемыхъ въ христіанствѣ стоявшій на повозкѣ кумиръ и приказывали поклоняться ему и приносить жертвы; если кто отказывался, то они сожигали шалаши вмѣстѣ съ людьми. Я узналъ, что тогда было совершено и другое, болѣе ужасное злодѣяніе: въ отчаяніи отъ насилій *этихъ людей*, принуждавшихъ къ жертвоприношеніямъ, многіе мужчины и женщины, изъ коихъ однѣ вели маленькихъ дѣтей, другія кормили грудью новорожденныхъ младенцевъ, прибѣгли подъ прикрытіе мѣстной церкви и всѣ погибли отъ огня, зажженнаго язычниками. Немного спустя Готѳы примирились между собою и, дойдя до неистовства, стали нападать на Ѳракійцевъ и опустошать ихъ города и селенія. Узнавъ объ этомъ, Валентъ понялъ по опыту, какъ онъ ошибся: вѣдь думая, что Готѳы будутъ полезны ему и его подданнымъ и страшны врагамъ, какъ всегда готовые къ военнымъ дѣйствіямъ, онъ пересталъ заботиться о Римскихъ войскахъ и вмѣсто обычнаго набора въ военную службу собиралъ деньги съ подвластныхъ Римлянамъ городовъ и селеній...

ΚΕΦΑΛ. ΛΘ΄. ...καὶ περὶ τῆς κατὰ Σκυθῶν ἐκστρατείας εἰς Δύσιν Οὐάλεντος.

...Οὐάλης δὲ ὁ βασιλεὺς... ἅμα ἧκεν εἰς τὴν Κωνσταντινούπολιν, ἐν ὑπονοίᾳ πολλῇ καὶ μίσει ἐγένετο παρὰ τῷ δήμῳ. Οἱ γὰρ βάρβαροι τὴν Θρᾴκην δῃώσαντες καὶ μέχρι τῶν προαστείων ἤδη προελθόντες καὶ αὐτοῖς τείχεσι μηδενὸς κωλύοντος προσβάλλειν ἐπεχείρουν. Ἐπὶ τούτοις δὲ χαλεπῶς ἡ πόλις ἔφερε καὶ τὸν βασιλέα, ὅτι μὴ ἀντεξήει, ἀλλ' ἀνεβάλλετο πολεμεῖν, ἐν αἰτίᾳ ἐποιοῦντο· καὶ ἐλογοποίουν, ὡς αὐτὸς τοὺς πολεμίους ἐπάγοιτο. Τελευτῶντες δέ, καὶ ἐν ἱπποδρομίᾳ θεώμενοι, εἰς τὸ φανερὸν αὐτοῦ κατεβόων, ὡς τὰ κοινὰ πράγματα περιορῶντος, καὶ ὅπλα ᾔτουν, ὡς αὐτοὶ πολεμήσοντες. Ὁ δὲ Οὐάλης ὑβρισθεὶς ἐπεστράτευσε τοῖς βαρβάροις· ἠπείλησε δέ, ἢν ὑποστρέψῃ, τιμωρήσειν αὐτῷ τῶν τε ὕβρεων τοῦ δήμου καὶ ὅτι πρότερον Προκοπίῳ τῷ τυράννῳ προσέθεντο.

Гл. 39. ...н о походѣ Валента на западъ противъ Скиѳовъ.

... Императоръ Валентъ... какъ только прибылъ въ Константинополь, оказался въ большомъ подозрѣніи и ненависти у народа. Ибо варвары, опустошивъ Ѳракію и дойдя уже до предмѣстій *столицы*, стали безъ всякой помѣхи приступать къ самымъ стѣнамъ. Горожане негодовали на это, обвиняли императора *за то*, что онъ не выступалъ противъ нихъ, а откладывалъ войну, и распускали слухи, что онъ самъ призвалъ враговъ. Наконецъ, во время зрѣлищъ на ипподромѣ стали открыто кричать противъ него, что онъ пренебрегаетъ государственными дѣлами, и требовали оружія, чтобы самимъ идти на войну. Оскорбленный Валентъ выступилъ противъ варваровъ и пригрозилъ, что если онъ возвратится, то накажетъ народъ за оскорбленіе и за то, что они раньше приняли сторону тирана Прокопія.

Digitized by Google

ΚΕΦΑΛ. Μ'. ...καὶ ὡς φεύγων Οὐάλης ἐν ἀχυρῶνι εἰσελθὼν κατεκαύθη καὶ οὕτως ἀπέρρηξε τὴν ψυχήν.

...Ἐπεὶ ἅμα τῷ στρατῷ ἐπεξῆλθεν [Οὐάλης], οἱ μὲν Γότθοι διωκόμενοι ὑπεχώρουν. ὁ δὲ ἀπιών, ἤδη παραμείψας τὴν Θρᾴκην, ἦκεν εἰς τὴν Ἀδριανούπολιν· οὐκ ἀπὸ πολλοῦ τε γενόμενος τοῖς βαρβάροις, ἐν ἀσφαλεῖ χώρῳ στρατοπεδευομένοις, θᾶττον ἢ ἔδει συμβάλλει, μὴ προδιαθεὶς ᾗ χρὴ καὶ ὅπῃ τάξαι τὴν στρατιάν. Διασπασθείσης δὲ αὐτῷ τῆς ἵππου καὶ τοῦ ὁπλιτικοῦ τραπέντος, διωκόμενος ὑπὸ τῶν πολεμίων εἴς τι δωμάτιον ἢ πύργον, ὀλίγοις ἅμα συνεπομένοις αὐτῷ, ἐν τῷ φεύγειν ἀποβὰς τοῦ ἵππου εἰσέδυ καὶ ἔλαθεν. Οἱ δὲ βάρβαροι ἔθεον ἐπ' αὐτὸν ὡς αἱρήσοντες καὶ ἐπὶ τὸ πρόσω ἰέμενοι παρέτρεχον· οὐ γὰρ ὑπενόουν αὐτὸν ἐκεῖσε κρύπτεσθαι. Τῶν δ' αὖ σὺν αὐτῷ τινες, ἤδη τῶν πλειόνων βαρβάρων ὑπερβαλόντων τὸν τῇδε χῶρον, ὀλίγων δὲ κατοπιν ὄντων, ἐκ τοῦ ὄροφου τοὺς παριόντας ἐτόξευον· οἱ δὲ ἐπὶ τούτῳ ἀνέκραγον «Ἐνθάδε Οὐάλης ἐστίν». Ἀκούσαντες δὲ οἱ προστυχόντες πλησίον ἔμπροσθέν τε καὶ ὄπισθεν βοῇ τοῖς μετ' αὐτοὺς ἐδήλουν ὅ ἤκουον· ὡς ἐν βραχεῖ καὶ τοὺς πορρωτέρω πολεμίους ἀκοῦσαι καὶ διὰ τάχους εἰς αὐτὸν πάντας συνελθεῖν. Περιλαβόντες δὲ κύκλῳ τὸ δωμάτιον καὶ πλείστην ὕλην περὶ τοῦτο συλλέξαντες πῦρ ἐνέβαλον· αὐτίκα δὲ ἡ φλὸξ ὑπὸ ἐπιφόρου πνεύματος ὧδε συμβὰν ἐλαυνομένη, τὴν ὕλην διῆλθεν. Ἅμα δὲ καὶ τὰ ἀποκείμενα ἐν τῷ δωματίῳ τοῦ πυρὸς μετέσχε καὶ αὐτὸν τὸν βασιλέα καὶ τοὺς ἀμφ' αὐτὸν συγκατέκαυσεν. Ἐτελεύτησε δὲ γεγονὼς ἀμφὶ τὰ πεντήκοντα ἔτη, τρισκαίδεκα δὲ σὺν τῷ ἀδελφῷ βασιλεύσας καὶ μετ' ἐκεῖνον τρία.

Гл. 40. ...и какъ Валентъ въ бѣгствѣ, зайдя въ мякинницу, былъ сожженъ и такимъ образомъ окончилъ жизнь.

... Когда (Валентъ) выступилъ съ войскомъ, преслѣдуемые Готѳы стали отступать. *Валентъ* въ своемъ преслѣдованіи, уже миновавъ Ѳракію, прибылъ въ Адріанополь; очутившись въ недальнемъ разстояніи отъ варваровъ, стоявшихъ лагеремъ въ крѣпкой позиціи, онъ вступилъ *съ ними* въ битву скорѣе, чѣмъ слѣдовало, не распорядившись предварительно, гдѣ и какъ нужно было поставить войско. Когда его конница разсыпалась и оплиты были обращены въ бѣгство, *Валентъ*, преслѣдуемый непріятелями, въ бѣгствѣ сойдя съ коня, вошелъ съ немногими спутниками въ какой-то домикъ или башню и спрятался *тамъ*. Варвары гнались за нимъ, чтобы *его* захватить, и, стремясь впередъ, пробѣжали мимо *башни*, не предполагая, что онъ тамъ скрывается. Нѣкоторые изъ его спутниковъ, когда уже большая часть варваровъ миновала это мѣсто и *лишь* немногіе оставались сзади, стали стрѣлять съ крыши въ проходившихъ мимо; послѣдніе при этомъ закричали: «Валентъ здѣсь!» Услышавъ это, случившіеся по близости спереди и сзади крикомъ извѣстили находившихся за ними *о томъ*, что они слышали; такимъ образомъ и находившіеся далѣе враги вскорѣ услышали *объ этомъ* и быстро всѣ собрались въ одно *мѣсто*. Оцѣпивъ кругомъ домикъ и собравъ вокругъ него множество *горючаго* матеріала, они подложили огня; тотчасъ пламя, раздуваемое случившимся сильнымъ вѣтромъ, охватило костеръ. Вмѣстѣ *съ этимъ* и все находившееся въ домикѣ загорѣлось и сожгло самого императора и его спутниковъ. Онъ скончался, имѣя около 50 лѣтъ и пробывъ на престолѣ 13 *лѣтъ* вмѣстѣ съ братомъ и 3 *года* послѣ него.

ΤΟΜΟΣ Ζ'.

ΚΕΦΑΛ. Α'. Ὡς ὑπὸ τῶν βαρβάρων κατεπειγομένων Ῥωμαίων Μαβία συμμαχίαν πέμπει.

Οὐάλεντι μὲν ὧδε θανεῖν ξυνηνέχθη. Οἱ δὲ βάρβαροι, ἐπαρθέντες ἐπὶ τῇ νίκῃ,

КНИГА СЕДЬМАЯ.

Гл. 1. Какъ Римлянамъ, стѣсненнымъ варварами, послала помощь Мавія...

Такова была кончина Валента. Варвары, гордые побѣдой, опустошили всю Ѳракію

V. 3: «Ὁ δὲ ἀπιών. Malim scribere ἐπιών. Nicephorus pro his verbis habet ὁ δὲ ἐπιδιώκων, quod magis placet». Valesius. || V. 25: εἰς αὐτόν] «Melius meo quidem iudicio scriberetur εἰς ταὐτόν» etc. Certe in Nicephoro scriptum est εἰς ἓν συνελθεῖν». Vales.

Digitized by Google

πᾶσαν τὴν Θρᾴκην ἐδῄουν καὶ τελευτῶντες τὰ προάστεια Κωνσταντινουπόλεως κατέτρεχον. Κινδυνεύουσι δὲ τότε τοῖς πράγμασι μέγα γεγόνασιν ὄφελος ἐκ μὲν τῶν ὑποσπόνδων Σαρακηνῶν ὀλίγοι παρὰ Μαυίας ἀποσταλέντες, πλεῖστοι δὲ ἀπὸ τοῦ δήμου...

и наконецъ совершили набѣгъ на предмѣстья Константинополя. При тогдашнемъ опасномъ положеніи оказало большую пользу небольшое число союзныхъ Сарациновъ, посланное Мавіей, и очень многіе изъ народа...

ΚΕΦΑΛ. Β'. Ὅτι Γρατιανὸς τὸν ἐξ Ἰσπανίας Θεοδόσιον συμβασιλεύειν ἑαυτῷ εἵλετο...

Гл. 2. Гратіанъ избралъ Θеодосія изъ Испаніи для совмѣстнаго царствованія...

Λογισάμενος δὲ, ὡς τῶν ἀμφὶ τὸν Ἴστρον βαρβάρων Ἰλλυριοὺς καὶ Θρᾷκας ἐνοχλούντων προσῆκεν ἐπαμύνειν... κοινωνὸν ἐποιήσατο τῆς ἀρχῆς ἐν τῷ Σιρμίῳ Θεοδόσιον[1])...

Сообразивъ, что слѣдуетъ бороться съ *жившими* по Истру варварами, тревожившими Иллирійцевъ и Оракійцевъ..., *Гратіанъ* въ Сирміи сдѣлалъ Θеодосія соучастникомъ *своей* власти...

ΚΕΦΑΛ. Δ'. Περὶ τῆς ἀρχῆς Θεοδοσίου τοῦ Μεγάλου...

Гл. 4. О царствованіи Θеодосія Великаго...

Ὑπὸ δὲ τοῦτον τὸν χρόνον Γρατιανὸς μὲν ἔτι τῶν πρὸς ἑσπέραν Γαλατῶν ὑπὸ Ἀλαμανῶν ταραττομένων ἐπὶ τὴν πατρῴαν ἀνέστρεψε μοῖραν, ἣν αὐτῷ τε καὶ τῷ ἀδελφῷ[2]) διοικεῖν κατέλιπε, Ἰλλυριοὺς καὶ τὰ πρὸς ἥλιον ἀνίσχοντα τῆς ἀρχῆς Θεοδοσίῳ ἐπιτρέψας. Κατωρθοῦτο δὲ κατὰ γνώμην αὐτῷ τὰ πρὸς τούτους, Θεοδοσίῳ δὲ τὰ πρὸς τοὺς ἀμφὶ τὸν Ἴστρον βαρβάρους. Ἐπεὶ δὲ τῶν μὲν μάχῃ ἐπεκράτησε, τοὺς δὲ φίλους ἔχειν Ῥωμαίους ἀντιβολοῦντας, ὁμήρους λαβών, [εἰς] σπονδὰς ἐδέξατο, ἦκεν εἰς Θεσσαλονίκην...

Около этого времени Гратіанъ, такъ какъ западные Галаты еще подвергались нападеніямъ Аламановъ, возвратился въ отцовскую часть *имперіи*, которую оставилъ для управленія себѣ и брату, предоставивъ Θеодосію Иллирійцевъ и восточныя части имперіи. Онъ удачно дѣйствовалъ противъ Аламановъ, а Θеодосій — противъ *живущихъ* по Истру варваровъ. Однихъ изъ нихъ онъ побѣдилъ въ бою, съ другими, искавшими дружбы съ Римлянами, заключилъ договоры со взятіемъ заложниковъ и *затѣмъ* прибылъ въ Θессалонику...

Cap. IX, quo agitur de secunda universali synodo, commemorantur Thraciae ac Scythiae urbium episcopi Terentius Tomitanus et Martyrius Marcianopolitanus.

ΚΕΦΑΛ. ΙΖ'. ...καὶ περὶ τῶν λεγομένων Ψαθυριανῶν[3])...

Гл. 17. ... и о такъ называемыхъ Псаѳиріанахъ...

...Περὶ δὲ τοῦτον τὸν χρόνον καὶ τοῖς ἐν Κωνσταντινουπόλει Ἀρειανοῖς ἀνεφύη ζήτησις, εἰ πρὶν εἶναι τὸν Υἱόν, ὡς ἐξ οὐκ ὄντων παρ' αὐτοῖς ὁμολογούμενον, δύναιτο καλεῖσθαι Πατὴρ ὁ Θεός. Καὶ Δωρόθεος μέν,

... Около этого времени и у Константинопольскихъ Аріанъ возникъ вопросъ, можетъ-ли Богъ называться Отцомъ до рожденія Сына, который у нихъ признавался *возникшимъ* изъ небытія. Дороѳей, кото-

---

V. 23: εἰς addidit Valesius.

1) M. Ianuario a. 379. 2) «Gratiano cessere Galliae, Hispaniae, Britanniae; Valentiniano fratri Italia, Illyricum, Africa. Zosim. lib. IV, pag. 746. Male igitur Illyricum Theodosio mox tribuit Sozomenus». M. 3) Cf. supra p. 751 Socr. V, 23.

Digitized by Google

ὃς ἀντὶ Μαρίνου μετακληθεὶς ἐκ τῆς Ἀντιοχείας προίστατο ταύτης τῆς αἱρέσεως, ὡς πρός τι τοῦ ὀνόματος ὄντος, πρὶν τὸν Υἱὸν ὑποστῆναι, μὴ καλεῖσθαι Πατέρα τὸν Θεὸν ἀπεφήνατο. Μαρῖνος δὲ τοὐναντίον ἰσχυρίζετο καὶ μὴ ὑφεστῶτος τοῦ Υἱοῦ Πατέρα ἀεὶ εἶναι τὸν Πατέρα ἐδόξαζεν· ἢ οὕτως ἔχων γνώμης, ἢ καθὸ Δωροθέῳ διάφορος ἦν, προκριθέντι προεστάναι τῆς αὐτῶν Ἐκκλησίας. Ἐκ ταύτης δὲ τῆς αἰτίας εἰς ἑκάτερον διεκρίθη τὸ πλῆθος. Δωροθέου δὲ σὺν τοῖς αὐτῷ πειθομένοις ἐφ' ὧν κατεῖχεν εὐκτηρίων οἴκων μείναντος, ἑτέρους οἰκοδομήσαντες οἱ ἀμφὶ Μαρῖνον ἰδίᾳ ἐκκλησίαζον. Ἐπωνομάζοντο δὲ ψαθυριανοὶ ἤτοι τῶν Γότθων· τὸ μὲν ὅτι Θεόκτιστός τις ψαθυροπώλης (ποπάνου δὲ τοῦτο τὸ εἶδος) προθύμως ταύτῃ τῇ δόξῃ συνίστατο, Γότθων δέ, καθότι καὶ Σελίνας ὁ τούτων ἐπίσκοπος ὁμοίως ἐδόξαζεν. Ἑπακολουθήσαντες δὲ τούτῳ σχεδὸν πάντες βάρβαροι σὺν αὐτοῖς ἐκκλησίαζον. Πειθήνιοι γὰρ ἐς τὰ μάλιστα τῷ Σελίνᾳ ἐτύγχανον, ὑπογραφεῖ τε γενομένῳ καὶ διαδόχῳ Οὐλφίλα τοῦ παρ' αὐτοῖς ἐπισκοπήσαντος καὶ ἐπὶ ἐκκλησίας ἱκανῷ διδάσκειν οὐ μόνον κατὰ τὴν πάτριον αὐτῶν φωνήν, ἀλλὰ γὰρ καὶ τὴν Ἑλλήνων. Οὐ πολλῷ δὲ ὕστερον διαφορᾶς περὶ προεδρίας γενομένης Μαρίνῳ πρὸς Ἀγάπιον, ὃν ἐπίσκοπον τῶν ἐν Ἐφέσῳ ὁμοδόξων ἐχειροτόνησε, διακριθέντες ἀλλήλων μονονουχὶ πρὸς σφᾶς ἐπολέμουν, ἐπαμυνόντων Ἀγαπίῳ τῶν Γότθων. Ἐκ ταύτης δὲ τῆς αἰτίας λέγεται πολλοὺς τῶν ἐνθάδε κληρικῶν, μεμφομένους τὴν τῶν ἡγουμένων φιλοτιμίαν, τῇ καθόλου Ἐκκλησίᾳ κοινωνῆσαι...

рый, будучи призванъ изъ Антіохіи вмѣсто Марина, стоялъ во главѣ этой ереси, объявилъ, что Богъ не *можетъ* называться Отцомъ до рожденія Сына, такъ какъ имя *отца*—относительное. Маринъ же доказывалъ противное и признавалъ, что Отецъ есть всегда Отецъ, даже при несуществованіи Сына, — или *дѣйствительно* держась такого мнѣнія, или будучи врагомъ Дороѳея, предпочтеннаго ему для предстоятельства въ *аріанской* церкви. По этой причинѣ народъ раздѣлился на двѣ части. Такъ какъ Дороѳей со своими послѣдователями остался въ тѣхъ молитвенныхъ домахъ, которыми владѣлъ, то приверженцы Марина, построивши другіе дома, собирались отдѣльно. Они прозывались псаѳиріанами или Готѳскими: первое потому, что ревностнымъ послѣдователемъ этого мнѣнія былъ нѣкто Ѳеоктистъ, продавецъ ψαθυρῶν (родъ пирожнаго), а Готѳскими потому, что этого мнѣнія держался и Селина, епископъ этого *народа*. За нимъ послѣдовали почти всѣ варвары и участвовали въ ихъ *молитвенныхъ* собраніяхъ. Они очень охотно слушались Селины, такъ какъ онъ былъ секретаремъ и преемникомъ ихъ бывшаго епископа Улфилы и способенъ былъ учить въ церкви не только на ихъ родномъ языкѣ, но и на еллинскомъ. Немного спустя, когда возникла распря изъ за первенства у Марина съ Агапіемъ, котораго онъ рукоположилъ въ епископы для ефесскихъ единовѣрцевъ, они разъединились и чуть не вступили въ борьбу между собою, при чемъ Готѳы стали на сторону Агапія. По этой причинѣ, говорятъ, многіе изъ тамошнихъ клириковъ, негодуя на соперничество предводителей, пріобщились къ каѳолической церкви...

ΚΕΦΑΛ. ΙΘ'. ...Σκύθαι πολλαὶ πόλεις ὄντες, ἕνα πάντες ἐπίσκοπον ἔχουσιν. Ἐν ἄλλοις δὲ ἔθνεσιν ἔστιν ὅπῃ καὶ ἐν κώμαις ἐπίσκοποι ἱεροῦνται...

Гл. 19. ... Скиѳы, живя во многихъ городахъ, всѣ имѣютъ одного епископа; а у другихъ народовъ иногда епископы посвящаются и въ селеніяхъ...

Cap. 24 dicitur, cum Theodosius in Occidentem contra Eugenium proficisceretur, ingentem auxiliarium turbam illum secutam esse ex barbaris circa Danubium habitantibus (συνείπετο δὲ αὐτῷ καὶ πλῆθος συμμάχων, τῶν περὶ τὸν Ἴστρον βαρβάρων).

Digitized by Google

ΚΕΦΑΛ. Κς'. ...καὶ περὶ Θεοτίμου τοῦ Σκυθῶν ἀρχιερέως.

...Ἐν τούτῳ δὲ Τόμεως καὶ τῆς ἄλλης Σκυθίας τὴν Ἐκκλησίαν ἐπετρόπευε Θεότιμος Σκύθης, ἀνὴρ ἐν φιλοσοφίᾳ τραφείς· ὃν ἀγάμενοι τῆς ἀρετῆς οἱ περὶ τὸν Ἴστρον Οὖννοι βάρβαροι Θεὸν Ῥωμαίων ὠνόμαζον. Καὶ γὰρ δὴ καὶ θείων ἐπ' αὐτῷ πραγμάτων ἐπειράθησαν. Λέγεται γοῦν, ὡς ὁδεύοντί ποτε παρὰ τὴν ἐνθάδε βαρβάρων γῆν ὑπήντοντο ἐναντίαν τὴν αὐτὴν ὁδὸν ἐπὶ Τόμιν ἐλαύνοντες. Ὁλοφυρομένων δὲ τῶν ἀμφ' αὐτὸν ὡς αὐτίκα ἀπολουμένων ἀποβὰς τοῦ ἵππου ηὔξατο. Οἱ δὲ βάρβαροι μήτε αὐτὸν μήτε τοὺς ἑπομένους ἢ τοὺς ἵππους ὧν ἀπέβησαν θεασάμενοι παρέδραμον. Ἐπεὶ δὲ πολλάκις ἐπιόντες ἐκακοποίουν τοὺς Σκύθας, φύσει θηριώδεις ὄντας εἰς ἡμερότητα μετέβαλεν ἐστιῶν τε καὶ δώροις φιλοφρονούμενος. Ἐντεῦθεν δὲ βάρβαρος ἀνὴρ ὑπολαβὼν εὔπορον εἶναι ἐπεβούλευσεν αὐτὸν ἑλεῖν καὶ βρόχον παρασκευάσας ἀσπίδι ἐπερειδόμενον, ὥσπερ εἰώθει τοῖς πολεμίοις διαλεγόμενος, ἀνασχὼν τὴν δεξιὰν ἀκοντίζειν ἐπ' αὐτὸν τὸ σχοινίον ἔμελλεν, ὡς πρὸς ἑαυτὸν καὶ τοὺς ὁμοφύλους ἑλκύσων. Ἅμα δὲ τῇ ἐπιχειρήσει ἀνατεταμένη ἡ χεὶρ πρὸς τὸν ἀέρα διέμεινε· καὶ οὐ πρότερον ὁ βάρβαρος τῶν ἀοράτων ἀφείθη δεσμῶν, εἰ μὴ τῶν ἄλλων ἀντιβολούντων ὑπὲρ αὐτοῦ τὸν Θεὸν ἱκέτευσε Θεότιμος. Φασὶ δὲ κομήτην αὐτὸν διαμεῖναι καθ' ὃ σχῆμα φιλοσοφεῖν ἀρξάμενος ἐπετήδευσε, λιτὸν δὲ τὴν δίαιταν· τροφῆς δὲ οὐ τὸν αὐτὸν, ἀλλ' ἐν τῷ πεινῆν ἢ διψῆν τὸν καιρὸν ὁρίσαι· φιλοσόφου γὰρ ἦν, οἶμαι, καὶ τούτοις πρὸς χρείαν, οὐ διὰ ῥᾳστώνην εἴκειν.

Гл. 26. ...п о Скиѳскомъ архіереѣ Ѳеотимѣ.

...Въ это время церковью Томиса и прочей Скиѳіи управлялъ Скиѳъ Ѳеотимъ, мужъ воспитанный въ философіи. Удивляясь его добродѣтели, *жившіе* по Истру варвары Унны называли его римскимъ Богомъ: и дѣйствительно, они испытали на немъ божественныя дѣянія. Говорятъ, по крайней мѣрѣ, что когда онъ однажды ѣхалъ по тамошней варварской странѣ, съ нимъ встрѣтились ѣхавшіе по той же дорогѣ въ Томисъ; когда его спутники заголосили, предвидя скорую гибель, онъ сошелъ съ коня и помолился. И варвары проѣхали мимо, не замѣтивъ ни его, ни его спутниковъ, или лошадей, съ которыхъ они сошли. Такъ какъ они часто своими набѣгами причиняли вредъ Скиѳамъ, будучи звѣроподобны по природѣ, то онъ склонилъ ихъ къ кротости, утоляя и ублажая дарами. Одинъ варваръ, заключивъ изъ этого, что онъ человѣкъ зажиточный, задумалъ захватить его и, приготовивъ веревку, опершись на щитъ, какъ обыкновенно дѣлалъ въ разговорѣ съ врагами, и, поднявъ руку, хотѣлъ накинуть на него петлю, чтобы притащить къ себѣ и своимъ единоплеменникамъ. Но во время *самой* попытки его рука осталась протянутою въ воздухѣ и варваръ не освободился изъ невидимыхъ узъ, пока Ѳеотимъ, по просьбѣ другихъ, не помолился за него Богу. Говорятъ, что онъ постоянно носилъ длинные волосы, въ какомъ видѣ первоначально сталъ заниматься философіей, и былъ воздержанъ въ образѣ жизни; для *принятія* пищи онъ не имѣлъ одного опредѣленнаго времени, а *ѣлъ или пилъ* тогда, когда чувствовалъ голодъ или жажду. Мнѣ кажется, философу свойственно и эти *потребности* удовлетворять по *мѣрѣ* надобности, а не по изнѣженности.

V. 20: «Ἀσπίδι ἐπερειδόμενον. Scribendum puto ἐπερειδόμενος, id est scuto innixus. Vult enim dicere Sozomenus barbarum illum scuto innixum cum Theotimo locutum fuisse, quemadmodum facere solebat quoties cum Romanis loqueretur. Certe Nicephorus legit etiam ἐπερειδόμενος, sed de Theotimo id dici perperam existimavit. Quasi vero Theotimus episcopus scutum gestaret. Caeterum de hoc more Hunnorum aliorumque barbarorum, qui coniectis laqueis homines abripiebant, multa olim notavi in Observationibus ad lib. XXXI Ammiani Marcellini pag. 417, quibus hoc etiam addi velim. Idem quoque a Sarmatis factitatum esse scribit Pausanias in Atticis [v. supra p. 570]». Vales.

Digitized by Google

ТОМОΣ Η'. КНИГА ВОСЬМАЯ.

Cap. IV narratur de Gaina Gotho et de malis ab eodem perpetratis.

ΚΕΦΑΛ. ΙΔ'. ...[Ἰωάννης] ἰδίᾳ συγκαλῶν τοὺς ἐνδημοῦντας ἐν Κωνσταντινουπόλει ἐπισκόπους ἐπεδείκνυ τὰ ψηφισθέντα κατὰ τῶν Ὠριγένους λόγων, καί τινας ἐπιψηφίσασθαι ἔπεισεν· οἱ δὲ πλείους παρῃτήσαντο. Θεότιμος δὲ ὁ Σκυθίας ἐπίσκοπος καὶ ἄντικρυς Ἐπιφανίου καθήψατο· οὔτε γὰρ ἔφη ὅσιον εἶναι τὸν πάλαι τετελευτηκότα ὑβρίζειν, οὔτε βλασφημίας ἐκτὸς τὴν τῶν παλαιοτέρων διαβάλλειν κρίσιν καὶ τὰ παρ' ἐκείνων δεδοκιμασμένα ἀθετεῖν. Ἅμα τε λέγων καὶ βιβλίον τι τῶν Ὠριγένους προκομίσας διεξῄει καὶ χρειώδη ταῖς Ἐκκλησίαις τὰ ἀνεγνωσμένα δείξας, Ἄτοπον, ἔφη, ὑπομένουσιν οἱ ταῦτα διαβάλλοντες· κινδυνεύουσι γὰρ ταῦτα ὑβρίζειν, περὶ ὧν οἱ λόγοι [1])...

Гл. 14. ...(Іоаннъ), созывая отдѣльно пребывавшихъ въ Константинополѣ епископовъ, показывалъ имъ постановленіе противъ книгъ Оригена и нѣкоторыхъ убѣдилъ согласиться *съ нимъ*, но большинство отказалось. Скиѳскій епископъ Ѳеотимъ даже открыто порицалъ Епифанія: онъ говорилъ, что не прилично оскорблять давно умершаго и позорно осуждать рѣшеніе старшихъ и отвергать принятое ими. Съ этими словами онъ принесъ одну изъ книгъ Оригена, прочиталъ *ее* и, показавъ, что прочитанное полезно для церквей, продолжалъ: «Безразсудно поступаютъ порицающіе это, ибо они, повидимому, оскорбляютъ то, о чемъ идетъ *здѣсь* рѣчь...»

ΚΕΦΑΛ. ΚΕ'. Περὶ δὲ τοῦτον τὸν χρόνον [2])... καὶ τὰ κοινὰ θορύβων καὶ ταραχῆς ἐπειράθη. Καὶ Οὖννοι μὲν τὸν Ἴστρον περαιωθέντες τοὺς Θρᾷκας ἐδῄουν...

Гл. 25. Около этого времени... и государство испытало смятеніе и безпокойство. Унны, перейдя черезъ Истръ, опустошали Ѳракію...

ΚΕΦΑΛ. ΚΗ'... καὶ περὶ τῆς τελευτῆς τοῦ Χρυσοστόμου Ἰωάννου.

Гл. 28. ... и о кончинѣ Іоанна Златоустаго.

...Οἱ δὲ ἐπὶ Κωνσταντινουπόλεως ἀπεχθανόμενοι Ἰωάννῃ... διαβολὴν κατεσκεύασαν καὶ τοὺς μὲν ὡς ὑπερορίαν ἀρχὴν ἐνοχλήσαντας ἀτίμως ἐκπεμφθῆναι παρεσκεύασαν, αὐτὸν δὲ Ἰωάννην ψήφῳ βασιλέως πορρωτέρω μετοικισθῆναι εἰς Πιτυοῦντα κατώρθωσαν· ἐν τάχει τε παραγενόμενοι στρατιῶται τοῦτο ἐπετέλουν. Φασὶ δὲ αὐτὸν ὑπὸ τούτων ἀγόμενον καθ' ὁδὸν προϊδεῖν τὴν ἡμέραν ἐν ᾗ τελευτᾶν ἔμελλεν, ἐπιφανέντος αὐτῷ Βασιλίσκου τοῦ μάρτυρος ἐν Κωμάνοις τῆς Ἀρμενίας· ἔνθα δὴ μηκέτι πρὸς τὴν ὁδὸν ἀντισχών, ἤλγει γὰρ τὴν κεφαλήν, καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου φέρειν οὐχ οἷός τε ὢν νόσῳ τὸν βίον μετήλλαξεν [3]).

...Враги Іоанна въ Константинополѣ... придумали клевету и приверженцамъ его, какъ-бы вредившимъ заграничной власти, приготовили позорную ссылку, а для самого Іоанна имъ удалось устроить, по рѣшенію императора, переселеніе въ отдаленный Питіунтъ; вскорѣ явились солдаты и исполнили это *распоряженіе*. Говорятъ, что *Іоаннъ*, увезенный ими, на пути предусмотрѣлъ день своей кончины, такъ какъ въ арменскомъ *городѣ* Команахъ ему явился мученикъ Василискъ. Здѣсь-же, не имѣя силъ для *продолженія* пути вслѣдствіе головныхъ болей и не будучи въ состояніи выносить солнечныхъ лучей, онъ скончался отъ болѣзни.

1) Cf. supra p. 755 Socr. VI, 12. 2) Pertinent haec ad a. fere 404. 3) D. 27 m. Iunii a. 407.

Digitized by Google

ΤΟΜΟΣ Θ'.

КНИГА ДЕВЯТАЯ.

ΚΕΦΑΛ. Ε'. Περὶ διαφόρων ἐθνῶν ἐπιστρατευσάντων Ῥωμαίοις καὶ Θεοῦ προνοίᾳ ἡττηθέντων, ἄλλων δὲ καὶ ὑποσπόνδων γενομένων.

Гл. 5. О разныхъ народахъ, воевавшихъ съ Римлянами и по волѣ Божіей побѣжденныхъ или принятыхъ въ союзъ.

Κατὰ ταὐτὸν δὲ συνέβη καὶ Οὔννους στρατοπεδευομένους ἐν Θράκῃ, μήτε πολεμοῦντος αὐτοῦ μήτε διώκοντος, αἰσχρῶς ὑποστρέψαι, τοὺς πλείους ἀποβαλόντας. Ἐπεὶ γὰρ Οὐλδὶς ὁ ἡγούμενος τῶν περὶ τὸν Ἴστρον βαρβάρων πλείστην ἔχων στρατιὰν ἐπεραιώθη τὸν ποταμόν, ἐν τοῖς Θρᾳκῶν ὅροις ἐστρατοπεδεύετο· καὶ Καστράμαρτις πόλιν τῆς Μυσίας προδοσίᾳ ἑλών, ἐντεῦθεν τὴν ἄλλην Θράκην κατέτρεχε καὶ σπονδὰς θέσθαι πρὸς Ῥωμαίους ὑπ' ἀλαζονείας οὐκ ἠνείχετο. Διαλεγομένου δὲ αὐτῷ περὶ εἰρήνης τοῦ ὑπάρχου τῶν Θρᾳκίων στρατευμάτων, ἀνίσχοντα τὸν ἥλιον ἐπιδείξας, οὐ χαλεπὸν αὐτῷ ἔφη, ἣν βούλοιτο, πᾶσαν ἣν ἐφορᾷ γῆν καταστρέψασθαι. Τερατευομένου δὲ τοιάδε καὶ δασμὸν ὅσον ἐβούλετο ἐπιτάττοντος καὶ ἐπὶ τούτοις συντίθεσθαι Ῥωμαίοις εἰρήνην ἔχειν ἢ πόλεμον περιμένειν, ἀμηχάνου δὲ τοῦ πράγματος ὄντος ἐπέδειξεν ὁ Θεὸς ἣν ἔχει προμήθειαν περὶ τὴν παροῦσαν βασιλείαν. Οὐκ εἰς μακρὰν γὰρ λόγοι πρὸς τοὺς ἀμφὶ τὸν Οὐλδὶν οἰκείους καὶ λοχαγοὺς ἐγένοντο περὶ τῆς Ῥωμαίων πολιτείας καὶ τῆς τοῦ βασιλέως φιλανθρωπίας, ὁποίων τε καὶ ὅσων ἀξιοῖ γερῶν τοὺς ἀρίστους καὶ ἀγαθοὺς ἄνδρας. Οὐκ ἀθεεὶ δὲ τούτων εἰς ἔρωτα καταστάντες Ῥωμαίοις προσεχώρησαν καὶ σὺν αὐτοῖς ἐστρατοπεδεύοντο ἅμα τοῖς ὑπ' αὐτοὺς τεταγμένοις. Ὁ δὲ Οὐλδὶς πρὸς πέραν τοῦ ποταμοῦ μόλις διεσώθη πολλοὺς ἀποβαλών, ἄρδην δὲ τοὺς καλουμένους Σκιρούς· ἔθνος δὲ τοῦτο βάρβαρον, ἱκανῶς πολυάνθρωπον, πρὶν τοιᾷδε περιπεσεῖν συμφορᾷ. Ὑστερήσαντες γὰρ ἐν τῇ φυγῇ, οἱ μὲν αὐτῶν ἀνῃρέθησαν, οἱ δὲ ζωγρηθέντες δέσμιοι πρὸς τὴν Κωνσταντινούπολιν ἐξεπέμφθησαν. Δόξαν δὲ τοῖς ἄρχουσιν διανεῖμαι τούτους, μή τι πλῆθος ὄντες νεωτερίσωσι, τοὺς μὲν ἐπ' ὀλίγοις τιμήμασιν ἀπέδοντο, τοὺς δὲ πολλοῖς προῖκα δουλεύειν παρέδοσαν ἐπὶ τὸ μήτε Κωνσταντινουπόλεως μήτε πάσης Εὐρώπης ἐπιβαίνειν καὶ τῇ μέσῃ θαλάσσῃ χωρίζεσθαι τὸν ἐγνωσμένον αὐτοῖς τόπον. Ἐκ τούτων τε πλῆθος ἄπρατον περιλειφθὲν, ἄλλος ἀλλαχῇ διατρίβειν ἐτάχθησαν· πολλοὺς δὲ

1 Въ то же время случилось, что и Унны, расположившіеся во Ѳракіи, безъ войны и преслѣдованія *со стороны императора* со стыдомъ вернулись, потерявъ большинство 5 *своихъ силъ*. Именно Улдисъ, предводитель *живущихъ* по Истру варваровъ, съ огромными силами переправился черезъ рѣку и расположился въ предѣлахъ Ѳракіи; взявъ путемъ измѣны мисійскій городъ Castra Martis, онъ совершалъ оттуда набѣги на 10 остальную Ѳракію и по *своей* самонадѣянности не хотѣлъ и слышать о договорѣ съ Римлянами. Когда воевода ѳракійскихъ войскъ договаривался съ нимъ о мирѣ, онъ 15 указалъ на восходящее солнце и сказалъ, что ему не трудно, если пожелаетъ, покорить всю землю, которую оно освѣщаетъ. Такъ угрожалъ онъ, приказывалъ *Римлянамъ платить* дань по его усмотрѣнію и 20 на этомъ условіи предлагалъ *имъ* или пользоваться миромъ, или ожидать войны. Въ *этихъ* затруднительныхъ обстоятельствахъ Богъ показалъ, какое Онъ имѣетъ попеченіе о нынѣшнемъ царствѣ. Именно, не- 25 много спустя до окружавшихъ Улдиса слугъ и офицеровъ дошли слухи о Римскомъ государственномъ устройствѣ и о человѣколюбіи императора, а *также о томъ*, какими наградами чествуетъ онъ храбрыхъ 30 и доблестныхъ мужей. Не безъ воли Божіей привлеченные этимъ, они перешли къ Римлянамъ и стали лагеремъ подлѣ нихъ вмѣстѣ съ своими подчиненными. Улдисъ едва 35 спасся *бѣгствомъ* на ту сторону рѣки, потерявъ многихъ *своихъ* и *въ томъ числѣ* поголовно всѣхъ такъ называемыхъ Скировъ. Это *былъ* варварскій народъ, довольно 40 многочисленный до этого несчастія. Опоздавъ въ бѣгствѣ, одни изъ нихъ были перебиты, другіе взяты живыми и въ оковахъ отосланы въ Константинополь. Такъ какъ власти рѣшили разсѣять ихъ, чтобы они 45 при своей многочисленности не задумали чего-либо дурнаго, то однихъ продали по дешевой цѣнѣ, другихъ даромъ роздали многимъ въ рабство подъ условіемъ, чтобы они не *смѣли* являться ни въ Константи-

Digitized by Google

ἐπὶ τῆς Βιθυνίας τεθέαμαι πρὸς τῷ καλουμένῳ Ὀλύμπῳ ὄρει σποράδην οἰκοῦντας καὶ τοὺς αὐτόθι λόφους καὶ ὑπωρείας γεωργοῦντας.

нополь, ни *вообще* во всѣ страны Европы, и чтобы знакомыя имъ мѣста отдѣлялись моремъ. Значительное число ихъ, оставшееся непроданнымъ, получило приказаніе жить въ разныхъ мѣстахъ. Многихъ *изъ нихъ* я видѣлъ въ Виѳиніи живущими разсѣянно у горы Олимпа и воздѣлывающими тамошніе холмы и подгорья.

Cap. IX commemoratur Sigesarius episcopus Gothorum, a quo Attalus baptizatus fuit (βαπτισθεὶς ἦν παρὰ Σιγησαρίου τοῦ ἐπισκόπου τῶν Γότθων).

ΘΕΟΔΩΡΗΤΟΣ ΕΠΙΣΚΟΠΟΣ ΚΥΡΟΥ.

ѲЕОДОРИТЪ ЕПИСКОПЪ КИРСКІЙ.

[Род. около 390 г. въ Антіохіи; былъ ученикомъ св. Іоанна Златоустаго и Ѳеодора Мопсуестійскаго; въ 423 г. сдѣлался епископомъ сирійскаго городка Кира и извѣстенъ своею борьбою противъ св. Кирилла Александрійскаго и противъ монофизитовъ. Умеръ въ 457 г., оставивъ много сочиненій апологетическаго, догматико-полемическаго, экзегетическаго и историческаго содержанія, а также проповѣди и письма. Особенно слѣдуетъ отмѣтить апологетическій трудъ его подъ заглавіемъ «Ἑλληνικῶν παθημάτων θεραπευτική» (напис. около 427 г.) и «Церковную исторію» въ 5 кн., написанную около 449 г. и содержащую въ себѣ изложеніе событій съ 323 по 428 г., а также написанное около 444 г. изложеніе подвиговъ извѣстнѣйшихъ восточныхъ аскетовъ.—Текстъ: Migne, Patrol. cursus compl., ser. Graecae vv. 80—84, a. 1859—60].

ΕΙΣ ΤΟΝ ΗΣΑΙΑΝ ΠΡΟΦΗΤΗΝ ΕΡΜΗΝΕΙΑ ΚΑΤ' ΕΚΛΟΓΗΝ.

ТОЛКОВАНІЕ ИЗБРАННЫХЪ МѢСТЪ ПРОРОКА ИСАІИ.

(Migne, v. 81).

Cap. XIII (c. 325) in explicandis verbis prophetae «Κύριος καὶ οἱ ὁπλομάχοι αὐτοῦ» commemoratur Darius Hystaspis f. qui Scythas nomades subegit (Δαρεῖος δὲ ὁ Ὑστάσπου καὶ Σκύθας τοὺς νομάδας κατέλυσε).

Cap. XIV, ad v. 13 (c. 336):... Ὄρος δὲ ὑψηλὸν εἶναι λέγεται βορράθεν Ἀσσυρίων καὶ Μήδων, ἀπὸ τούτων τὰ Σκυθικὰ διορίζον ἔθνη, πάντων τῶν κατὰ τὴν οἰκουμένην ὀρῶν ὑψηλότατον...

...Говорятъ, что къ сѣверу отъ Ассирійцевъ и Мидянъ есть высокая гора, отдѣляющая отъ нихъ скиѳскія племена и самая высокая изъ всѣхъ горъ вселенной...

Cap. LXVI, ad v. 19 (c. 493)... Τοῖς ἱεροῖς ἀποστόλοις ὁ Κύριος ἔφη «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη». Ἐπ' ἐκείνων ἡ προκειμένη προφητεία τὸ πέρας ἐδέξατο. ἐκεῖνοι γὰρ ἅπασι τοῖς ἔθνεσι τὸ θεῖον προσήνεγκαν κήρυγμα. Θαρσὶς δὲ κα-

...Господь сказалъ святымъ апостоламъ: «Пойдите, научите всѣ народы». При нихъ исполнилось [досл. получило предѣлъ] предлежащее пророчество, ибо они принесли божественную проповѣдь всѣмъ народамъ. Ѳарсисъ *пророкъ* называетъ Карѳагенъ,

Digitized by Google

λεῖ τὴν Καρχηδόνα, τὴν τῆς Λιβύης μητρόπολιν· καὶ Φοὺδ αὐτὸ ἅπαν τῶν Λυκίων ἔθνος· Λοὺδ δὲ Λυδούς· καὶ Μοσὼχ Καππαδόκας καὶ Θωβὲλ Ἴβηρας...

столицу Ливіи; Фудъ — весь народъ Ликійскій, Лудъ — Лидійцевъ, Мосохъ — Каппадокійцевъ и Θовелъ — Иверовъ...

Cf. *In divini Ezechielis prophetiam interpretatio*, cap. XXXII, ad v. 25 (c. 1137): Θοβὲλ δὲ καλοῦνται οἱ Ἴβηρες, Μοσὸχ δὲ Καππαδόκαι; *ibid.* c. XXXVIII, ad v. 1, 2 (c. 1200): Γὼγ καὶ Μαγὼγ Σκυθικὰ ἔθνη· Μοσὸχ δὲ Καππαδόκας εἶναί φασι καὶ Θοβὲλ Ἴβηρας.

ΕΡΜΗΝΕΙΑ ΤΗΣ ΠΡΟΦΗΤΕΙΑΣ ΤΟΥ ΘΕΙΟΥ ΙΕΖΕΚΙΗΛ.

Cap. XXXVII, ad v. 10—12 (c. 1204)... Καὶ μηδεὶς οἰέσθω ἀπίθανον τὴν προφητείαν, λογιζόμενος τὸ μεταξὺ διάστημα τῶν Σκυθικῶν ἐθνῶν καὶ τῆς Ἰουδαίας. Ἐνθυμείσθω δὲ ὡς καὶ ἐν τοῖς ἡμετέροις χρόνοις πᾶσαν τὴν Ἑῴαν τοῦτο τὸ ἔθνος κατέλαβε καὶ πλεῖστον πλῆθος ἐξανδραποδίσαν ἀπῆλθε. Φρύγας δὲ καὶ Γαλάτας, Ἴβηράς τε καὶ Πέρσας καὶ Αἰθίοπας οὐχ ὡς ὑπακούοντας αὐτῷ λέγει συστρατεύεσθαι, ἀλλ' ὡς διαφόρως ἀναμιγέντας αὐτῷ καὶ τοὺς μὲν αὐτομολήσαντας καὶ ἑκοντὶ στρατευσαμένους, τοὺς δὲ δορυαλώτους γενομένους καὶ συμπολεμεῖν ἀναγκαζομένους...

ТОЛКОВАНІЕ ПРОРОЧЕСТВА БОЖЕСТВЕННАГО ІЕЗЕКІИЛЯ.

... И пусть никто не считаетъ *это* пророчество невѣроятнымъ, принимая во вниманіе разстояніе между скиѳскими народами и Іудеей. Пусть вспомнятъ, что и въ наши времена этотъ народъ захватилъ весь Востокъ и удалился, поработивъ огромное количество *людей*. Фригійцы же, Галаты, Иверы, Персы и Эѳіопы, по словамъ *пророка*, участвовали въ походѣ не въ качествѣ подвластныхъ ему (т. е. скиѳскому народу), но присоединились къ нему по разнымъ причинамъ: одни перебѣжали *къ нему* и шли въ походъ добровольно, а другіе были взяты въ плѣнъ и принуждены участвовать въ войнѣ...

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΑΣ ΟΡΑΣΕΙΣ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΔΑΝΙΗΛ.

Cap. VII, ad v. 5 (c. 1416)... Δαρεῖος δὲ ὁ τοῦ Ὑστάσπου Σκυθῶν τῶν Νομάδων ἐκράτησεν, οἳ τὸ βόρειον ἔλαχον μέρος τῆς οἰκουμένης οἰκεῖν...

ОБЪЯСНЕНІЕ КЪ ВИДѢНІЯМЪ ПРОРОКА ДАНІИЛА.

... Дарій сынъ Истаспа побѣдилъ Скиѳовъ кочевниковъ, которые получили въ удѣлъ для поселенія сѣверную часть вселенной...

Cf. *ibid.* c. VIII ad v. 3 (c. 1440): Δαρεῖος δὲ καὶ Σκύθας τοὺς Νομάδας τοῖς ὑπηκόοις συνέταξεν...

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΙΩΗΛ.

ΥΠΟΘΕΣΙΣ (c. 1633)... Προλέγει δὲ καὶ τὰ μετὰ τὴν ἐπάνοδον συμβεβηκότα, τοῦ Γὼγ (Σκυθικὸν δὲ τοῦτο ἔθνος) τὴν κατὰ τῆς Ἱερουσαλὴμ ὁρμὴν πανστρατιᾷ γενομένην καὶ τὴν ἐπενεχθεῖσαν αὐτοῖς θεόθεν πανωλεθρίαν...

ТОЛКОВАНІЕ НА ПРОРОКА ІОИЛЯ.

Содержаніе... *Пророкъ* предсказываетъ и событія послѣ возвращенія *изъ Вавилонскаго плѣна, именно* всенародное нашествіе Гога (это народъ скиѳскій) на Іерусалимъ и причиненную ему Богомъ конечную гибель...

Digitized by Google

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΑΜΩΣ.

Cap. VII, v. 1—3 (c. 1697)... τὸ δὲ εἷς Γὼγ βασιλεὺς τὸ τῆς στρατιᾶς μέγεθος παραδηλοῖ· ὥσπερ γάρ, φησίν, ὁ Γὼγ, ὁ τῶν Σκυθικῶν ἐθνῶν βασιλεὺς, κατὰ τῆς Ἱερουσαλὴμ πλῆθος ὅτι πλεῖστον ἀθροίσει· οὕτως Ἀσσύριοι καὶ Βαβυλώνιοι μετὰ πολλῆς παραγενήσονται στρατείας...

ТОЛКОВАНІЕ НА ПРОРОКА АМОСА.

... Выраженіе «одинъ Гогъ царь» показываетъ величину войска: *пророкъ* говоритъ, что какъ Гогъ, царь скиѳскихъ народовъ, соберетъ огромнѣйшую рать противъ Іерусалима, такъ и Ассирійцы и Вавилоняне придутъ съ большимъ войскомъ...

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ΙΣΤΟΡΙΑ.

ЦЕРКОВНАЯ ИСТОРІЯ.

(Migne, v. 82).

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

КНИГА ПЕРВАЯ.

ΚΕΦΑΛ. ΚΓ'. Περὶ τῆς Ἰβήρων πρὸς τὴν εὐσέβειαν ποδηγίας [1]).

Ἰνδῶν μὲν οὖν ὁ Φρουμέντιος πρὸς θεογνωσίαν ἐγένετο ποδηγός. Ἴβηρας δὲ κατὰ τὸν αὐτὸν χρόνον γυνὴ δορυάλωτος πρὸς τὴν ἀλήθειαν ἐξενάγησεν. Αὕτη γὰρ προσευχῇ μὲν ἐχρῆτο διηνεκεῖ· εὐνὴ δὲ ἦν αὐτῇ καὶ στρωμνὴ μαλακή, σάκκος ἐπὶ τοῦ δαπέδου καθηπλωμένος· τρυφὴν δὲ ἄκραν τὴν νηστείαν ἐνόμιζεν. Οὗτος ὁ πόνος τῶν ἀποστολικῶν αὐτῇ μεταδέδωκε χαρισμάτων. Ἐπειδὴ γὰρ οἱ βάρβαροι τῆς ἰατρικῆς σπανίζοντες ἐπιστήμης, εἰώθασιν ἀρρωστοῦντες πρὸς ἀλλήλους φοιτᾶν καὶ παρὰ τῶν ἤδη νενοσηκότων καὶ τῆς ἀρρωστίας ἀπαλλαγέντων μανθάνειν τῆς ὑγείας τὸν τρόπον, ἀφίκετό τις γυνὴ πρὸς τὴν ἀξιέπαινον ἄνθρωπον παιδίον ἄρρωστον ἔχουσα καὶ μαθεῖν τὸ πρακτέον ἀντιβολοῦσα. Ἡ δὲ τοῦτο λαβοῦσα καὶ εἰς τὴν εὐνὴν ἀνακλίνασα ἱκέτευε τὸν τῶν ὅλων Δημιουργὸν νεῦσαι καὶ λῦσαι τὴν νόσον. Ὁ δὲ τὴν ἱκετείαν δεξάμενος παρέσχε τὴν ὑγείαν. Ἐντεῦθεν ἡ θαυμασία γυνὴ πολυθρύλητος γέγονεν· οὐδὲ γὰρ τὴν τοῦ βασιλέως ὁμόζυγα τὸ γεγενημένον διέλαθε. Παραυτίκα δὲ αὐτὴν μετεπέμψατο· ὑπό τινος γὰρ καὶ αὐτὴ χαλεποῦ κατείχετο πάθους. Ἡ δὲ μετρίῳ κεχρημένη τῷ φρονήματι τῆς βασιλίδος τὴν αἴτησιν οὐκ ἐδέξατο· ἀλλ' ὑπὸ τῆς χρείας ἐκείνη βιαζομένη τὴν βασιλικὴν ἀξίαν εἰς νοῦν λαβεῖν οὐκ ἐθέλησεν, ἀλλ' αὐτὴ πρὸς τὴν δορυάλωτον ἔδραμεν. Ἡ δὲ πάλιν ἐπὶ τῆς εὐτελοῦς εὐνῆς αὐτὴν κατακλίνασα φάρμακον ἀλεξίκακον προσενήνοχε τῷ πάθει τὴν προσευχήν. Ἡ δὲ βασιλὶς τῆς

Гл. 23. О руководствѣ Иверовъ къ благочестію.

Итакъ, Фрументій былъ для Индійцевъ вождемъ къ богопознанію. Въ то же самое время *нѣкая* плѣнница привела Иверовъ къ истинѣ. Она пребывала въ постоянной молитвѣ; вмѣсто ложа и мягкой постели ей служилъ разостланный на полу мѣшокъ, а величайшею роскошью она считала пость. Это подвижничество удѣлило ей апостольскую благодать. Варвары, незнакомые съ врачебною наукою, въ случаѣ болѣзни обыкновенно ходили другъ къ другу и узнавали способъ *возстановленія* здоровья отъ болѣвшихъ уже *тою-же болѣзнью* и выздоровѣвшихъ; *и вотъ* одна женщина пришла къ *этой* достохвальной плѣнницѣ съ больнымъ ребенкомъ и просила научить ее, что слѣдуетъ *съ нимъ* дѣлать. *Плѣнница*, взявъ дитя и положивъ на ложе, помолилась Творцу всего, чтобы Онъ благосклонно разрѣшилъ болѣзнь. Онъ, услышавъ молитву, возвратилъ *больному* здоровье. Благодаря этому дивная жена сдѣлалась всѣмъ извѣстною; даже отъ супруги царя не укрылось *это* событіе. *Послѣдняя* тотчасъ пригласила ее *къ себѣ*, такъ какъ и сама была одержима нѣкою тяжкою болѣзнью. Плѣнница по своей скромности отклонила приглашеніе царицы; но послѣдняя, принуждаемая необходимостью, не взирая на свое царское достоинство, сама поспѣшно прибыла къ плѣнницѣ. Эта, положивъ и ее на *свою* скромную постель, примѣнила къ болѣзни спасительное врачеваніе — молитву. Царица принесла ей награду за но-

1) Cf. Socr. I, 20 (supra, p. 746), Sozom. II, 7 (supra, p. 757).

Digitized by Google

θεραπείας μισθὸν προσεκόμιζεν ὃν ἐνόμιζεν ἀξιόκτητον, χρυσὸν καὶ ἄργυρον καὶ χιτῶνας καὶ ἀμπεχόνας καὶ ὅσα τῆς βασιλικῆς ἐστι δῶρα φιλοτιμίας. Ἡ δὲ θεία γυνὴ τούτων ἔφη μὴ δεῖσθαι, μέγαν δὲ ἡγεῖσθαι μισθὸν τὴν τῆς εὐσεβείας ἐπίγνωσιν. Καὶ προσέφερεν ὡς ἐνῆν τὰ θεῖα παιδεύματα καὶ θεῖον ἀνεγεῖραι παρεγγυᾷ νεὼν τῷ σεσωκότι Χριστῷ. Τούτων ἐκείνη ἀκούσασα κατέλαβε τὰ βασίλεια καὶ παραυτίκα μὲν ἐξέπληξε τὸν ὁμόζυγα τῷ συντόμῳ τῆς θεραπείας· εἶτα τοῦ Θεοῦ τῆς αἰχμαλώτου τὴν δύναμιν ἐδήλου καὶ παρεκάλει τοῦτον μόνον εἰδέναι Θεὸν καὶ νεὼν αὐτῷ παρασκευάσαι καὶ ἅπαν εἰς τὴν τούτου θεραπείαν μεταθεῖναι τὸ ἔθνος. Ὁ δὲ τὸ μὲν εἰς τὴν ὁμόζυγα θαῦμα γεγενημένον εὐφήμει, τὸν δὲ νεὼν οὐκ ἤθελε δείμασθαι. Ὀλίγου δὲ διελθόντος χρόνου αὐτὸς μὲν εἰς θήραν ἐξῆλθεν· ὁ δὲ φιλάνθρωπος αὐτὸν Δεσπότης κατὰ τὸν Παῦλον ἐθήρευσε. Ζόφος γὰρ αὐτῷ ἐξαπίνης προσπεσὼν οὐκ εἴα πορρωτέρω προβαίνειν. Καὶ οἱ μὲν θηρεύοντες τῆς ἀκτῖνος συνήθως ἀπήλαυον, οὗτος δὲ μόνος ἀποληφθεὶς τοῖς τῆς ἀορασίας ἐπεδέθη δεσμοῖς. Ἐν ἀπορίᾳ δὲ ὢν πόρον εὗρε τῆς σωτηρίας· εὐθὺς γὰρ εἰς νοῦν τὴν ἀπείθειαν λαβὼν καὶ τὸν τῆς αἰχμαλώτου Θεὸν καλέσας ἐπίκουρον ἀπηλλάγη τοῦ ζόφου καὶ τὴν ἀξιάγαστον ἐκείνην καταλαβὼν δορυάλωτον παρεκάλει δεῖξαι τῆς οἰκοδομίας τὸ σχῆμα. Ὁ δὲ τὸν Βεσελεὴλ τῆς ἀρχιτεκτονικῆς σοφίας ἐμπλήσας καὶ ταύτην ἠξίωσε χάριτος ὡς τὸν θεῖον διαγράψαι νεών. Καὶ ἡ μὲν διέγραφεν· οἱ δὲ ὤρυττόν τε καὶ ᾠκοδόμουν. Ἐπειδὴ δὲ ἐτελέσθη τὸ οἰκοδόμημα καὶ ὄροφος ἐπετέθη καὶ μόνων ἐδεῖτο τῶν ἱερέων, εὗρε καὶ τούτου πόρον ἡ θαυμασία γυνή. Ἔπεισε γὰρ τοῦ ἔθνους τὸν ἡγούμενον πρὸς τὸν Ῥωμαίων πρεσβεύσασθαι βασιλέα καὶ αἰτήσασθαι πεμφθῆναι σφίσι διδάσκαλον εὐσεβείας. Ὁ μὲν οὖν δεξάμενος τὴν εἰσήγησιν τοὺς πρεσβευσομένους ἐξέπεμψεν. Ὁ δὲ βασιλεὺς τῆς αἰτήσεως τὴν αἰτίαν μαθών, Κωνσταντῖνος δὲ ἦν, ὁ τῆς εὐσεβείας θερμότατος ἐραστής, φιλοφροσύνης μὲν παμπόλλης τοὺς πρέσβεις ἠξίωσεν· ἄνδρα δὲ πίστει καὶ συνέσει καὶ βίῳ κοσμούμενον καὶ τῆς ἀρχιερωσύνης ἠξιωμένον κήρυκα τῷ ἔθνει τῆς θεογνωσίας ἐξέπεμψε μετὰ δώρων ὅτι μάλιστα πλείστων. Ταύτης μὲν οὖν τῆς προμηθείας τοὺς ἠτηκότας ἠξίωσε...

цѣленіе, какую считала достойною пріобрѣтенія, *именно* золото, серебро, хитоны, плащи и прочіе дары царской щедрости; но божественная жена сказала, что въ этомъ она не нуждается, а считаетъ великою наградою познаніе благочестія; она присоединила какое могла наставленіе въ вѣрѣ и увѣщевала *царицу* воздвигнуть божественный храмъ спасшему *ее* Христу. Услышавъ это, царица возвратилась во дворецъ и поразила супруга быстротою исцѣленія; затѣмъ она показала всемогущество Бога плѣнницы и просила Его одного признавать Богомъ, воздвигнуть Ему храмъ и привести весь народъ къ Его почитанію. Царь восхвалилъ совершившееся съ *ею* супругою чудо, но не пожелалъ построить храмъ. Немного времени спустя онъ вышелъ на охоту, и человѣколюбецъ Господь изловилъ его подобно Павлу. Именно, внезапно развившійся туманъ не позволялъ ему идти впередъ. *Прочіе* охотники пользовались обычнымъ свѣтомъ, только онъ одинъ былъ схваченъ и связанъ узами невидѣнія. Находясь въ затрудненіи, онъ нашелъ путь къ спасенію: тотчасъ вспомнивъ о *своемъ* непослушаніи и призвавъ на помощь Бога плѣнницы, онъ освободился отъ тумана и, придя къ той дивной плѣнницѣ, просилъ *ее* показать *ему* видъ постройки. Тотъ, кто исполнилъ Веселеила строительной мудростію, удостоилъ и эту *женщину* благодати описать божественный храмъ. Она описывала, а *рабочіе* копали и строили. Когда постройка была окончена, крыша наложена и не доставало только священниковъ, дивная жена нашла исходъ и для этого: она убѣдила вождя *этого* племени отправить посольство къ Римскому императору и попросить прислать имъ учителя благочестія. Царь, принявъ этотъ совѣтъ, отправилъ пословъ. Узнавъ о причинѣ просьбы, императоръ — а это былъ Константинъ, горячій любитель благочестія — удостоилъ пословъ величайшей благосклонности и *въ качествѣ* проповѣдника богопознанія послалъ *этому* народу мужа, украшеннаго вѣрою, разумомъ и *чистотой* жизни и удостоеннаго архіерейства, *вмѣстѣ* съ огромнымъ количествомъ даровъ. Съ такою готовностью исполнилъ онъ желаніе просителей...

Digitized by Google

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

КНИГА ЧЕТВЕРТАЯ.

ΚΕΦΑΛ. ΙΑ'... [Βάλης] τῶν Γότθων τὸν Ἴστρον διαβάντων καὶ τὴν Θρᾴκην λῃζομένων στρατιάν τε συναθροῖσαι κατ' αὐτῶν ἐβουλεύσατο...

Гл. 11... Когда Готеи перешли черезъ Истръ и стали опустошать Θракію, (Валентъ) рѣшился собрать войско и выступить противъ нихъ...

Cf. cap. XIV extr., ubi dicitur divinus Eusebius episcopus Samosatensis ad Istrum degisse Gothis Thraciam populantibus et urbes obsidentibus, sicut ipsius scripta indicent.

ΚΕΦΑΛ. ΚΗ'. Περὶ τῶν παρὰ Βάλεντος τῷ μεγάλῳ Βαλεντινιανῷ περὶ τοῦ πολέμου γραφέντων καὶ τῶν παρ' ἐκείνου ⟨πίστεως⟩ ἀντιγραφέντων.

Гл. 28. О письмѣ Валента къ великому Валентиніану касательно войны и объ его отвѣтѣ.

Τὸ γὰρ τῶν Γότθων ἔθνος παρακινήσας εἰς πόλεμον [ὁ φιλάνθρωπος Κύριος], ἐπὶ τὸν Βόσπορον εἵλκυσε τὸν κατὰ μόνων τῶν εὐσεβῶν μεμαθηκότα στρατεύειν. Τότε δὴ τὴν οἰκείαν ἀσθένειαν ὁ μάταιος ἐγνωκὼς ἀπέστειλε πρὸς τὸν ἀδελφὸν στρατιὰν ἐξαιτῶν. Ὁ δὲ ἐπέστειλεν ὡς οὐχ ὅσιον ἐπαμύνειν ἀνδρὶ πολεμοῦντι Θεῷ, δίκαιον δὲ τὴν τούτου καταπαύειν θρασύτητα. Ταῦτα τὸν δείλαιον ἐκεῖνον μείζονος ἀνίας ἐνέπλησεν· οὐ μὴν ἔληξε τῆς θρασύτητος, ἀλλ' ἐπέμενε κατὰ τῆς ἀληθείας παρατατόμενος.

(Человѣколюбивый Господь), подвигнувъ на войну народъ Готескій, привлекъ къ Воспору (Валента), выучившагося воевать только съ благочестивыми. Тогда, познавъ свою слабость, *этотъ* жалкій послалъ къ брату просить войска. Но тотъ отвѣтилъ *письмомъ*, что не приличествуетъ помогать мужу, воюющему съ Богомъ, а *напротивъ* справедливо прекратить его дерзость. Это исполнило труса еще большею печалью, но онъ не прекратилъ своей дерзости, а продолжалъ бороться противъ истины.

ΚΕΦΑΛ. ΛΑ'. ...Καὶ Βρετανίων, παντοδαπῇ μὲν λαμπρυνόμενος ἀρετῇ, πάσης δὲ τῆς Σκυθίας τὰς πόλεις ἀρχιερατικῶς ἰθύνειν πεπιστευμένος ἐπύρσευσέ τε τῷ ζήλῳ τὸ φρόνημα καὶ τὴν τῶν δογμάτων διαφθορὰν καὶ τὰς κατὰ τῶν ἁγίων παρανομίας τοῦ Βάλεντος ἤλεγξε καὶ μετὰ τοῦ θειοτάτου Δαβὶδ ἐβόα· «Ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων καὶ οὐκ ᾐσχυνόμην» [1]).

Гл. 31. ...И Бретаніонъ, украшенный всяческими доблестями и архіерейски правившій городами всей Скиѳіи, возжегъ своей умъ ревностію, изобличилъ нарушеніе догматовъ и беззаконія Валента противъ святыхъ и съ божественнѣйшимъ Давидомъ воскликалъ: «Я говорилъ во свидѣтельствахъ твоихъ предъ царями и не стыдился».

ΚΕΦΑΛ. ΛΒ'. Περὶ τῆς κατὰ Γότθων Βάλεντος στρατείας καὶ ὅπως ἔτισε τῆς ἀσεβείας δίκας.

Гл. 32. О походѣ Валента противъ Готѳовъ и о томъ, какъ онъ былъ наказанъ за нечестіе.

Ὁ δὲ τῶν συμβούλων ἐκείνων τῶν ἀρίστων καταφρονήσας τὴν μὲν στρατιὰν εἰς τὴν παράταξιν προὔπεμψεν, αὐτὸς δὲ ἓν

Валентъ, пренебрегши этими прекрасными совѣтниками, послалъ впередъ выстроенное для битвы войско, а самъ ожи-

Cap. 28 inscr.: πίστεως expungit Christophorsonus.
1) Psal. CXVIII, 46. De Brettanione cf. Sozom. VI, 21 (p. 761).

Digitized by Google

τινι κώμῃ καθήμενος τὴν νίκην προσέμενεν. Οἱ δὲ στρατιῶται τῶν βαρβάρων οὐκ ἐνεγκόντες τὴν ῥύμην ἐτράποντο καὶ κατεκτείνοντο διωκόμενοι, οἱ μὲν φεύγοντες κατὰ τάχος, οἱ δὲ κατὰ κράτος διώκοντες. Καταλαβόντες δὲ τὴν κώμην ἐκείνην οἱ βάρβαροι, ἔνθα ὁ Βάλης τὴν ἥτταν μεμαθηκὼς ἐπειράθη λαθεῖν, πῦρ ἐμβαλόντες ἐνέπρησαν σὺν τῇ κώμῃ καὶ τὸν τῆς εὐσεβείας ἀντίπαλον. Οὕτω μὲν οὖν ἐκεῖνος κἂν τῷ παρόντι βίῳ ποινὴν ἔτισεν ὧν ἐπλημμέλησεν.

далъ побѣды, сидя въ какомъ-то селеніи. Но *его* солдаты, не выдержавъ натиска варваровъ, обратились въ бѣгство и подверглись избіенію преслѣдующими, при чемъ они быстро бѣжали, а *враги* упорно преслѣдовали. Захвативъ то селеніе, въ которомъ пытался укрыться Валентъ, узнавшій о пораженіи, они подложили огонь и вмѣстѣ съ селеніемъ сожгли и противника благочестія. Такимъ образомъ онъ и въ настоящей жизни понесъ наказаніе за свои прегрѣшенія.

ΚΕΦΑΛ. ΛΓ'. Πόθεν οἱ Γότθοι τῆς Ἀρειανικῆς μετέλαχον πλάνης.

Ἐγὼ δὲ προῦργον νομίζω διδάξαι τοὺς ἀγνοοῦντας, ὅπως οἱ βάρβαροι τὴν Ἀρειανικὴν εἰσεδέξαντο νόσον.

Ὅτε τὸν Ἴστρον διαβάντες πρὸς τὸν Βάλεντα τὴν εἰρήνην ἐσπείσαντο, τηνικαῦτα παρὼν Εὐδόξιος ὁ δυσώνυμος ὑπέθετο τῷ βασιλεῖ πεῖσαι αὐτῷ κοινωνῆσαι τοὺς Γότθους. Πάλαι γὰρ τὰς τῆς θεογνωσίας ἀκτῖνας δεξάμενοι τοῖς ἀποστολικοῖς ἐνετρέφοντο δόγμασι. «Βεβαιοτέραν γάρ, ἔφη, τὸ κοινὸν τοῦ φρονήματος τὴν εἰρήνην ἐργάσεται». Ταύτην ἐπαινέσας τὴν γνώμην ὁ Βάλης προὔτεινε τοῖς ἐκείνων ἡγεμόσι τῶν δογμάτων τὴν συμφωνίαν. Οἱ δὲ οὐκ ἀνέξεσθαι ἔλεγον τὴν πατρῴαν καταλείψειν διδασκαλίαν. Κατ' ἐκεῖνον δὲ τὸν χρόνον Οὐλφίλας αὐτῶν ἐπίσκοπος ἦν, ᾧ μάλα ἐπείθοντο καὶ τοὺς ἐκείνου λόγους ἀκινήτους ὑπελάμβανον νόμους. Τοῦτον καὶ λόγοις κατακηλήσας Εὐδόξιος καὶ χρήμασι δελεάσας πεῖσαι παρεσκεύασε τοὺς βαρβάρους τὴν βασιλέως κοινωνίαν ἀσπάσασθαι. Ἔπεισε δέ, φήσας ἐκ φιλοτιμίας γεγενῆσθαι τὴν ἔριν, δογμάτων δὲ μηδεμίαν εἶναι διαφοράν. Οὐ δὴ ἕνεκα μέχρι καὶ τήμερον οἱ Γότθοι μείζονα μὲν τὸν Πατέρα λέγουσι τοῦ Υἱοῦ, κτίσμα δὲ τὸν Υἱὸν εἰπεῖν οὐκ ἀνέχονται, καίτοι κοινωνοῦντες τοῖς λέγουσιν. Ἀλλ' ὅμως οὐ παντάπασι τὴν πατρῴαν διδασκαλίαν κατέλιπον· καὶ γὰρ Οὐλφίλας Εὐδοξίῳ καὶ Βάλεντι κοινωνῆσαι πείσων αὐτούς, οὐκ εἶναι δογμάτων ἔφη διαφοράν, ἀλλὰ ματαίαν ἔριν ἐργάσασθαι τὴν διάστασιν.

Гл. 33. Откуда Готѳы приняли аріанскую ересь.

Я считаю полезнымъ объяснить незнающимъ, какъ варвары приняли аріанскую язву.

Когда они, перейдя черезъ Истръ, заключили миръ съ Валентомъ, то присутствовавшій *при этомъ* ненавистный Евдоксій [1]) внушилъ императору, чтобы онъ убѣдилъ Готѳовъ имѣть съ нимъ *религіозное* общеніе. Ибо прежде они, принявъ лучи богопознанія, воспитывались въ апостольскомъ ученіи. «Единомысліе *въ вѣрѣ*, сказалъ *Евдоксій*, сдѣлаетъ миръ болѣе прочнымъ». Похваливъ это мнѣніе, Валентъ предложилъ предводителямъ Готѳовъ согласіе въ догматахъ; но они сказали, что не могутъ отказаться отъ ученія отцовъ. Въ это время у нихъ былъ епископомъ Ульфила, которому они безпрекословно повиновались и слова его считали незыблемыми законами. Евдоксій, прельстивъ его словами и подкупивъ дарами, уговорилъ убѣдить варваровъ принять *религіозное* общеніе съ императоромъ. Онъ убѣдилъ его тѣмъ, что распря, будто-бы, возникла изъ-за честолюбія, а въ догматахъ нѣтъ никакой разницы. Вслѣдствіе этого Готѳы и понынѣ утверждаютъ, что Отецъ больше Сына, но не признаютъ Сына созданіемъ, хотя и сообщаются съ говорящими *это*. Но всетаки они не вполнѣ покинули ученіе *своихъ* отцовъ, такъ какъ Ульфила, убѣждая ихъ имѣть общеніе съ Евдоксіемъ и Валентомъ, сказалъ, что въ догматахъ нѣтъ разницы, но *только* суетная распря произвела *этотъ* расколъ.

---

1) Архіепископъ Константинопольскій съ 360 г., преемникъ Македонія.

Digitized by Google

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

ΚΕΦΑΛ. Δ'... (extr.) Γρατιανὸς δὲ τὴν Θράκην δῃουμένην μαθὼν ὑπὸ τῶν τὸν Βάλεντα κεκαυκότων βαρβάρων, καταλιπὼν τὴν Ἰταλίαν, εἰς τὴν Πανονίαν ἀφίκετο.

КНИГА ПЯТАЯ.

Гл. 4... (кон.). Гратіанъ, узнавъ объ опустошеніи Ѳракіи сжегшими Валента варварами, покинулъ Италію и прибылъ въ Паннонію.

ΚΕΦ. Ε'. Περὶ τῆς Θεοδοσίου στρατηγίας.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν Θεοδόσιος διά τε τὴν τῶν προγόνων περιφάνειαν καὶ διὰ τὴν οἰκείαν ἀνδρείαν ὀνομαστότατος ἦν, καὶ τούτου χάριν ὑπὸ τοῦ φθόνου τῶν ὁμοτίμων καὶ ὁμοφύλων βαλλόμενος ἐν ταῖς Σπανίαις διέτριβεν· ἐν ἐκείναις γὰρ ἔφυ τε καὶ ἐτράφη. Ἀπορῶν δὴ οὖν ὁ βασιλεὺς ὅ τι χρὴ δρᾶσαι, φυσηθέντες γὰρ ἐκ τῆς νίκης οἱ βάρβαροι δύσμαχοι ἦσάν τε καὶ ἐδόκουν, τὴν Θεοδοσίου στρατηγίαν λῦσιν ὑπέλαβε τῶν κακῶν. Αὐτίκα δὴ οὖν ἐκ τῶν Σπανιῶν τὸν ἄνδρα μεταπεμψάμενος καὶ στρατηγὸν χειροτονήσας, μετὰ τῆς συνειλεγμένης ἐξέπεμψε στρατιᾶς. Ὁ δὲ τῇ πίστει φραξάμενος θαρσαλέως ἐξώρμησε καὶ τῆς Θράκης ἐπιβὰς καὶ τοὺς βαρβάρους θεασάμενος ὁμόσε χωροῦντας ἔταξε τὴν στρατιὰν ὡς εἰς μάχην. Ἀψιμαχίας δὲ γενομένης οὐκ ἐνεγκόντες ἐκεῖνοι τὴν ἐμβολήν, τὴν τάξιν κατέλιπον· τῆς δὲ τροπῆς γενομένης οἱ μὲν ἔφευγον, οἱ δὲ κατὰ κράτος ἐδίωκον. Πολὺς δὲ φόνος τῶν βαρβάρων ἐγένετο· οὐ μόνον γὰρ ὑπὸ Ῥωμαίων, ἀλλὰ καὶ ὑπ' ἀλλήλων ἐκτείνοντο. Οὕτω δὲ τῶν πλείστων ἀναιρεθέντων, ὀλίγων δὲ τῶν λαθεῖν δυνηθέντων διαβάντων τὸν Ἴστρον, εὐθὺς ὁ ἄριστος στρατηγὸς ἣν εἶχε στρατιὰν ἐν ταῖς πελαζούσαις πόλεσι διελών, αὐτὸς πρὸς τὸν βασιλέα Γρατιανὸν κατὰ τάχος ἐλαύνων ἀφίκετο, τῶν οἰκείων τροπαίων γενόμενος ἄγγελος...

Гл. 5. О воеводствѣ Ѳеодосія.

Въ это время Ѳеодосій пользовался большою извѣстностью какъ по славѣ предковъ, такъ и по собственной храбрости, и благодаря этому преслѣдуемый завистью товарищей по службѣ и соплеменниковъ пребывалъ въ Испаніи, гдѣ онъ родился и получилъ воспитаніе. Императоръ, находясь въ затрудненіи, такъ какъ возгордившіеся побѣдой варвары были и казались неодолимыми, призналъ разрѣшеніемъ *этихъ* бѣдствій назначеніе Ѳеодосія воеводою. Тотчасъ вызвавъ его изъ Испаніи и назначивъ воеводою, онъ выслалъ его съ собраннымъ войскомъ. Послѣдній, подкрѣпляемый вѣрою, смѣло выступилъ *въ походъ* и, вступивъ въ Ѳракію и увидѣвъ идущихъ навстрѣчу варваровъ, построилъ войско къ битвѣ. Въ происшедшей стычкѣ варвары, не выдержавъ натиска, разстроили ряды; повернувъ назадъ, они ударились бѣжать, а *наши* упорно преслѣдовали ихъ. Произошло большое избіеніе варваровъ, такъ какъ они были избиваемы не только Римлянами, но и своими. Такимъ образомъ огромное большинство *ихъ* было истреблено и *лишь* немногимъ удалось скрыться и переправиться за Истръ; тотчасъ доблестный вождь, распредѣливъ свое войско по ближайшимъ городамъ, самъ поспѣшно прибылъ къ императору Гратіану и оказался вѣстникомъ своихъ трофеевъ...

ΚΕΦ. Λ'. Περὶ τῆς ἐκκλησίας τῶν Γότθων.

Ὁρῶν δὲ καὶ τὸν Σκυθικὸν ὅμιλον ὑπὸ τῆς Ἀρειανικῆς θηρευθέντα σαγήνης ἀντεμηχανήσατο καὶ αὐτὸς [sc. Ἰωάννης ὁ Χρυσόστομος] καὶ πόρον ἄγρας ἐξεῦρεν. Ὁμογλώττους γὰρ ἐκείνοις πρεσβυτέρους καὶ διακόνους καὶ τοὺς τὰ θεῖα ὑπαναγινώσκοντας λόγια προβαλλόμενος, μίαν τούτοις ἀπένειμεν ἐκκλησίαν καὶ διὰ τούτων

Гл. 30. О церкви Готеской.

Видя, что и скиѳскій народъ пойманъ въ аріанскія сѣти, онъ (т. е. Іоаннъ Златоустъ) и самъ принялъ мѣры противъ этого и нашелъ способъ ловли. Назначая къ нимъ владѣвшихъ *ихъ* языкомъ пресвитеровъ, діаконовъ и чтецовъ священнаго писанія, онъ отдѣлилъ имъ одну церковь и этимъ уловилъ многихъ заблудшихъ. Онъ самъ

Digitized by Google

πολλοὺς τῶν πλανωμένων ἐθήρευσεν. αὐτός τε γὰρ τὰ πλεῖστα ἐκεῖσε φοιτῶν ἐκελέγετο, ἑρμηνευτῇ χρώμενος τῷ ἑκατέραν γλῶσσαν ἐπισταμένῳ τινὶ καὶ τοὺς λέγειν ἐπισταμένους τοῦτο παρεσκεύαζε δρᾶν. Ταῦτα μὲν οὖν ἔνδον ἐν τῇ πόλει διετέλει ποιῶν καὶ πολλοὺς τῶν ἐξηπατημένων ἐζώγρει τῶν ἀποστολικῶν κηρυγμάτων ἐπιδεικνὺς τὴν ἀλήθειαν.

очень часто отправлялся туда и велъ бесѣды, употребляя въ качествѣ переводчика одного *человѣка*, знавшаго оба языка, и совѣтовалъ умѣющимъ говорить дѣлать тоже *самое*. Онъ постоянно дѣлалъ это въ городѣ и уловлялъ многихъ обманутыхъ, объясняя имъ истину апостольской проповѣди.

ΚΕΦΑΛ. ΛΑ'. Περὶ τῆς εἰς Σκύθας ὑπ' αὐτοῦ γενομένης προνοίας...

Гл. 31. О заботливости его о Скиеахъ...

Μαθὼν δέ τινας τῶν νομάδων παρὰ τὸν Ἴστρον ἐσκηνωμένους διψῆν μὲν τῆς σωτηρίας, ἐστερῆσθαι δὲ τοῦ τὸ νᾶμα προσφέροντος, ἐπεζήτησεν ἄνδρας τὴν ἀποστολικὴν φιλοπονίαν ἐζηλωκότας καὶ τούτους ἐκείνοις ἐπέστησεν. Ἐγὼ δὲ καὶ γράμμασιν ἐντετύχηκα παρ' αὐτοῦ γραφεῖσι πρὸς Λεόντιον τὸν Ἀγκύρας ἐπίσκοπον, δι' ὧν καὶ τῶν Σκυθῶν ἐδήλωσε τὴν μεταβολὴν καὶ πεμφθῆναι ἄνδρας πρὸς τὴν τούτων ποδηγίαν ἐπιτηδείους ἠξίωσεν...

Узнавъ, что нѣкоторые изъ кочевниковъ, имѣющихъ становища по Истру, жаждутъ спасенія, но не имѣютъ *того*, кто-бы поднесъ имъ питье, онъ (т. е. Іоаннъ) отыскалъ мужей, соревнующихъ апостольскому трудолюбію, и поставилъ ихъ надъ ними. Я читалъ и посланіе, написанное имъ къ Анкирскому епископу Леонтію, въ которомъ онъ сообщилъ *ему* объ обращеніи Скиеовъ и просилъ послать мужей, способныхъ руководить ими...

Cap. 32—33 narratur de Gaina Gotho et Ioanne Chrysostomo.

ΚΕΦΑΛ. ΛΔ'. [Narratur de Ioannis Chrysostomi morte]... Καὶ συνόδου συγκροτηθείσης ἑτέρας οὐκ ἐδεήθησαν δίκης οἱ δυσμενεῖς· ἀλλὰ τὸν βασιλέα πείσαντες ἔννομον καὶ δικαίαν εἶναι τὴν ψῆφον οὐ μόνον τῆς πόλεως ἐκείνης ἐξήλασαν, ἀλλὰ καὶ εἴς τινα πολίχνην σμικράν τε καὶ ἔρημον τῆς Ἀρμενίας ἐξέπεμψαν· Κουκουσὸς δὲ ὄνομα ταύτῃ· κἀκεῖθεν δὲ ἐξαγαγόντες εἰς Πιτυοῦντα μετῴκισαν· τέρμα δὲ τοῦτο καὶ τοῦ Πόντου καὶ τῆς Ῥωμαίων ἡγεμονίας, τοῖς ὠμοτάτοις γειτονεῦον βαρβάροις. Ἀλλ' ὁ φιλάνθρωπος οὐκ εἴασε Δεσπότης εἰς ἐκεῖνο τὸ νησύδριον ἁπαχθῆναι τὸν καλλίνικον ἀθλητήν· εἰς γὰρ Κόμανα παραγενόμενον εἰς τὸν ἀγήρω καὶ ἄλυπον μετέθηκε βίον...

...Καὶ τελευτήσαντος δὲ τοῦ μεγάλου διδασκάλου τῆς οἰκουμένης οὐ πρότερον οἱ τῆς Ἑσπέρας ἐπίσκοποι τῶν ἐν Αἰγύπτῳ καὶ τῇ Ἑῴᾳ καὶ τῶν ἐν τῷ Βοσπόρῳ καὶ τῇ Θράκῃ τὴν κοινωνίαν ἠσπάσαντο, ἕως ἐκεῖνοι τοῦ θεσπεσίου ἀνδρὸς τοὔνομα τοῖς τεθνηῶσιν ἐπισκόποις συνέταξαν...

Гл. 34. (О кончинѣ Іоанна Златоустаго)... Враги *Іоанна*, составивъ второй соборъ, не потребовали суда надъ нимъ, но, убѣдивъ императора въ законности и справедливости приговора, не только изгнали его изъ Константинополя, но и сослали въ маленькій и запустѣлый городокъ Арменіи, по имени Кукусъ, а *затѣмъ* вывезли и оттуда и переселили въ Питіунтъ; это—крайній предѣлъ Понта и Римской власти, сосѣдній съ самыми дикими варварами. Но человѣколюбивый Господь не допустилъ, чтобы добропобѣдный подвижникъ былъ отвезенъ на этотъ островокъ, и по прибытіи *его* въ Команы переселилъ его въ вѣчную и безпечальную жизнь...

...И по кончинѣ великаго вселенскаго учителя западные епископы не вступали въ общеніе съ *епископами* Египта, Востока, Воспора и Ѳракіи, пока послѣдніе не включили имя *этого* божественнаго мужа въ *число* почившихъ епископовъ...

V. 34: νησύδριον] «Ita Christoph. et Scaliger itemque Pini codex, cum Basil. Gr. et Steph. habeant συνέδριον». Migne.

Digitized by Google

ΚΕΦΑΛ. ΛΣ'. ...ἡνίκα Ῥωΐλας, Σκυθῶν τῶν νομάδων ἡγούμενος, τόν τε Ἴστρον διέβη μετὰ στρατιᾶς ὅτι μάλιστα πλείστης καὶ τὴν Θρᾴκην ἐδῄου καὶ ἑλῄζετο καὶ τὴν βασιλίδα πόλιν πολιορκήσειν τε καὶ αὐτοβοεὶ αἱρήσειν καὶ ἀνάστατον ἠπείλει ποιήσειν, σκηπτοῖς ἄνωθεν ὁ Θεὸς καὶ πρηστῆρσι βαλὼν καὶ αὐτὸν κατέφλεξε καὶ τὴν στρατιὰν κατανάλωσεν ἅπασαν...

Гл. 36. Когда Роилъ, предводитель кочевыхъ Скиѳовъ, перейдя черезъ Истръ съ огромнѣйшими полчищами, грабилъ и опустошалъ Ѳракію и грозилъ осадить, немедленно взять и разрушить царственный городъ, Богъ ударилъ съ неба молніями и громовыми стрѣлами, сжегъ самого *Роила* и уничтожилъ все *его* войско...

ΦΙΛΟΘΕΟΣ ΙΣΤΟΡΙΑ Η ΑΣΚΗΤΙΚΗ ΠΟΛΙΤΕΙΑ.

ИСТОРІЯ БОГОЛЮБЦЕВЪ ИЛИ АСКЕТИЧЕСКАЯ ЖИЗНЬ.

Η'. ΑΦΡΑΑΤΗΣ.

...(M. v. 82 p. 1372). Καὶ Σκύθαι μὲν καὶ οἱ ἄλλοι βάρβαροι τὴν Θρᾴκην ἅπασαν ἀπὸ τοῦ Ἴστρου μέχρι τῆς Προποντίδος ἀδεῶς ἐλῄζοντο· ὁ δὲ [1]) τούτων μὲν οὐδὲ τὴν ἀκοὴν ἐστῶσι τοῖς ὠσί, τὸ δὴ λεγόμενον, ἠδύνατο δέχεσθαι, κατὰ δὲ τῶν ὁμοφύλων καὶ ὑπηκόων καὶ εὐσεβείᾳ λαμπρυνομένων τοῖς ὅπλοις ἐκέχρητο...

8. АФРААТЪ.

...Скиѳы и другіе варвары безнаказанно грабили всю Ѳракію отъ Истра до Пропонтиды, а онъ даже слуха о нихъ не могъ выносить, какъ говорится, насторожеными ушами, но употреблялъ оружіе противъ *своихъ* единоплеменниковъ и подданныхъ, славившихся благочестіемъ...

Κς'. ΣΥΜΕΩΝΗΣ.

(M. v. 82 p. 1464 sq.). Συμεώνην τὸν πάνυ, τὸ μέγα θαῦμα τῆς οἰκουμένης, ἴσασι μὲν ἅπαντες οἱ τῆς Ῥωμαίων ἡγεμονίας ὑπήκοοι· ἔγνωσαν δὲ καὶ Πέρσαι καὶ Μῆδοι καὶ Αἰθίοπες καὶ πρὸς Σκύθας δὲ τοὺς νομάδας ἡ φήμη διαδραμοῦσα τὴν τοῦδε φιλοπονίαν καὶ φιλοσοφίαν ἐδίδαξεν...

...(p. 1472) Οὐ γὰρ μόνον οἱ τὴν καθ' ἡμᾶς οἰκουμένην οἰκοῦντες συρρέουσιν [πρὸς τὸν Συμεώνην], ἀλλὰ καὶ Ἰσμαηλῖται καὶ Πέρσαι καὶ Ἀρμένιοι οἱ τούτων ὑποχείριοι, καὶ Ἴβηρες καὶ Ὁμηρῖται καὶ οἱ ἐκείνων ἐνδότεροι...

(p. 1476) Ὥσπερ γὰρ ἐπί τινος λυχνίας τεθεὶς ὁ φανώτατος οὗτος λύχνος ἡλίου δίκην πάντοσε τὰς ἀκτῖνας ἐξέπεμψε· καὶ ἔστιν ἰδεῖν καὶ Ἴβηρας, ὡς ἔφην, καὶ Ἀρμενίους, καὶ Πέρσας ἀφικνουμένους καὶ τοῦ θείου βαπτίσματος ἀπολαύοντας...

26. СИМЕОНЪ (Столпникъ).

Знаменитаго Симеона, великое чудо вселенной, знаютъ всѣ подвластные Римской державѣ; его узнали и Персы, и Мидяне, и Эѳіопы, слава *о немъ* проникла и къ кочевымъ Скиѳамъ и возвѣстила объ его трудолюбіи и любомудріи...

...(Къ Симеону) стекаются не только жители нашей *части* вселенной, но и Измаильтане, и Персы, и подвластные имъ Арменійцы, и Иверы, и Омириты, и жители лежащихъ за ними *странъ*...

...Какъ бы поставленный на нѣкоемъ подсвѣщникѣ, этотъ блестящій свѣтильникъ подобно солнцу повсюду разсыпалъ *свои* лучи: можно видѣть, какъ я сказалъ, и Иверовъ, и Арменійцевъ, и Персовъ приходящихъ *къ нему* и удостоивающихся божественнаго крещенія...

V. 1: Ῥωΐλας] «Sic et Nicephorus l. c. [scil. l. XIV] c. 4 (quanquam apud eum scribitur Ῥωΐλᾶς) itemque Epiph. probante Valesio. Basil. Gr. cum Steph. habent Ῥοΐλος». M.

1) Scil. Imperator Iulianus.

Digitized by Google

ΕΛΛΗΝΙΚΩΝ ΘΕΡΑΠΕΥΤΙΚΗ ΠΑΘΗΜΑΤΩΝ ΗΤΟΙ ΕΥΑΓΓΕΛΙΚΗΣ ΑΛΗΘΕΙΑΣ ΕΞ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΓΝΩΣΙΣ.

ВРАЧЕВАНІЕ ЕЛЛИНСКИХЪ СТРАСТЕЙ ИЛИ ПОЗНАНІЕ ЕВАНГЕЛЬСКОЙ ИСТИНЫ ИЗЪ ЕЛЛИНСКОЙ ФИЛОСОФІИ.

(M. v. 83).

ΛΟΓΟΣ Α'.

Περὶ πίστεως.

[M. 83, c. 792)... Καὶ τέχνης μὲν ἑκάστης δρεπόμενοι τοὺς καρποὺς τὰς τῶν τεχνιτῶν οὐ περιεργάζονται γλώττας· οὐδὲ γὰρ Ἀττικοὺς εἶναι τοὺς σκυτοτόμους ἀπαιτοῦσιν, ἢ τοὺς χαλκέας, ἢ τοὺς τέκτονας, ἢ τοὺς ζωγράφους, ἢ τοὺς ναυπηγούς, ἢ [τοὺς] κυβερνήτας· ἀλλὰ κἂν Σκύθαι ὦσι, κἂν Σαυρομάται, [κἂν Ἴβηρες] κἂν Αἰγύπτιοι, μεθ' ἡδονῆς ἀπολαύουσι τῶν τεχνῶν, μόνην ἀπαιτοῦντες τὴν τούτων ἀκρίβειαν, τὴν δὲ τῶν ἐθνῶν διαφορὰν ἥκιστα δυσχεραίνουσι...

РѢЧЬ 1-я.

О вѣрѣ.

...И пользующіеся плодами всякаго ремесла не обращаютъ вниманія на языкъ ремесленниковъ: не требуютъ, напр., чтобы происходили изъ Аттики кожевники, или мѣдники, или плотники, или живописцы, или кораблестроители, или кормчіе; будутъ ли они Скиѳы, или Савроматы, (или Иверы), или Эгиптяне, *заказчики* съ удовольствіемъ пользуются ихъ ремеслами, требуя только аккуратности въ нихъ, а на различіе племенъ нисколько не сердятся...

[C. 797]... Εἰ δὲ ἄρα τοῦτό φατε, ὡς ἔξω μὲν τῆς Ἑλλάδος καὶ ἔφυσαν οἵδε οἱ ἄνδρες καὶ ἐτράφησαν, τὴν δέ γε Ἑλληνικὴν ἠσκήθησαν γλῶτταν, πρῶτον μὲν ὁμολογεῖτε καὶ ἐν ἄλλοις ἔθνεσιν ἄνδρας γεγενῆσθαι σοφούς· καὶ γὰρ δὴ καὶ Ζάμολξιν τὸν Θρᾷκα καὶ Ἀνάχαρσιν τὸν Σκύθην ἐπὶ σοφίᾳ θαυμάζετε...

...Если же вы говорите, что эти мужи [1]) и родились и воспитаны были внѣ Еллады, но пользовались греческимъ языкомъ, то во-первыхъ вы соглашаетесь, что и изъ другихъ народовъ происходили мудрые мужи: вѣдь вы удивляетесь и Замолксиду Ѳракійцу и Анахарсиду Скиѳу за ихъ мудрость...

ΛΟΓΟΣ Β'.

Περὶ ἀρχῆς.

[C. 842]... Ὀρφεὺς δὲ τῶν ποιητῶν ὁ πρῶτος μιᾷ γενεᾷ πρεσβύτερος τῶν Τρωικῶν· Ἰάσονι γὰρ καὶ Πηλεῖ καὶ Τελαμῶνι καὶ Ἡρακλεῖ καὶ Διοσκούροις εἰς τὴν Κολχίδα ξυνέπλευσεν· Ἰάσονος δέ ἐστιν υἱὸς ὁ Εὔνηος ὁ τὸν οἶνον εἰς Τροίαν πέμπων τοῖς Ἀχαιοῖς...

РѢЧЬ 2-я.

О началѣ.

...Орфей, первый изъ поэтовъ, однимъ поколѣніемъ старше Троянскихъ *событій:* ибо онъ вмѣстѣ съ Іасономъ, Пилеемъ, Теламономъ, Ираклемъ и Діоскурами совершилъ плаваніе въ Колхиду; а сыномъ Іасона былъ Евній, посылавшій подъ Трою вино Ахейцамъ...

ΛΟΓΟΣ Ε'.

Περὶ φύσεως ἀνθρώπου.

[C. 944]... Ὡς ἂν δὲ μή τις ὑπολάβῃ ἄλλως μὲν Ἕλληνας φῦναι, ἄλλως δὲ Ῥω-

РѢЧЬ 5-я.

О природѣ человѣка.

...Дабы никто не думалъ, что иначе произошли Еллины, иначе Римляне, особо

1) Которые были названы выше.

Digitized by Google

μαίους, καὶ Αἰγυπτίους ἑτέρως, καὶ Πέρσας καὶ Μασσαγέτας καὶ Σκύθας καὶ Σαυρομάτας ἄλλης οὐσίας μετειληχέναι, ἐδίδαξεν ὁ τὴν κοσμογένειαν ξυγγράψας τὴν ἡμετέραν, ὡς ἄνδρα ἕνα ἀπὸ γῆς ὁ Ποιητὴς διαπλάσας καὶ ἐκ τῆς τούτου πλευρᾶς τὴν γυναῖκα δημιουργήσας, ἐκ τῆς τούτων ὁμιλίας ἅπασαν τὴν οἰκουμένην ἀνθρώπων ἐπλήρωσε...

Египтяне, а Персы, Массагеты, Скиѳы и Савроматы получили въ удѣлъ особую сущность, описавшій наше міросозданіе объяснилъ, что Творецъ, создавъ одного мужчину изъ земли и сотворивъ женщину изъ ребра его, отъ *брачнаго* ихъ союза наполнилъ людьми всю вселенную...

[C. 945]... Οὐ μὲν τῶν γλωσσῶν τὸ διάφορον τῇ φύσει λυμαίνεται· καὶ γὰρ καὶ ἐν Ἕλλησι καὶ ἐν βαρβάροις ἔστιν ἰδεῖν καὶ ἀρετῆς φροντιστὰς καὶ κακίας ἐργάτας. Τῷδε μέντοι καὶ Ἕλληνες ξυμφωνοῦσι τῷ λόγῳ. Καὶ γὰρ Ἀνάχαρσιν θαυμάζουσιν, ἄνδρα Σκύθην, οὐκ Ἀθηναῖον οὐδὲ Ἀργεῖον, οὐδέ γε Κορίνθιον οὐδὲ Τεγεάτην ἢ Σπαρτιάτην· καὶ τοὺς Βραχμᾶνας ὑπεράγανται, Ἰνδοὺς ὄντας, οὐ Δωριέας οὐδὲ Αἰολέας, οὐδέ γε Ἴωνας· ἐπαινοῦσι δὲ καὶ Αἰγυπτίους ὡς σοφωτάτους· πολλὰς γάρ τοι καὶ παρὰ τούτων ἔμαθον ἐπιστήμας. Οὐκ οὖν ἡ τῶν γλωσσῶν ἑτερότης πημαίνει τὴν φύσιν· καὶ γὰρ τοὺς Ἱππημολγοὺς δικαιοτάτους ἐκάλεσεν Ὅμηρος· Θρᾳκικὸν δὲ τοῦτο [τὸ] ἔθνος...

...Различіе языковъ также не вредитъ природѣ: ибо какъ среди Еллиновъ, такъ и среди варваровъ можно видѣть и послѣдователей добродѣтели и рабовъ порока. Эту мысль подтверждаютъ и Еллины: они удивляются Анахарсиду, *родомъ* Скиѳу, а не Аѳинянину, не Аргейцу и даже не Коринѳянину, не Тегеату или Спартіату, и преклоняются предъ Браминами, *родомъ* Индійцами, а не Дорійцами, Эолійцами или Іонійцами; они хвалятъ и Египтянъ, какъ мудрѣйшихъ *людей*, потому что и у нихъ переняли много знаній. Итакъ, различіе языковъ не служитъ во вредъ природѣ: вѣдь и Иппимолговъ Омиръ [1]) назвалъ справедливѣйшими; а это — народъ ѳракійскій...

[ibid.]... Τῶν δὲ μετὰ τοὺς προφήτας γεγενημένων ἑπτὰ σοφῶν καὶ τῶν ἐκείνους διαδεξαμένων οὐδὲ οἱ τὴν Ἑλληνικὴν ἀσπαζόμενοι γλῶτταν ἴσασι τὰ ὀνόματα. Καὶ τί λέγω τοὺς νῦν; καὶ γὰρ τοῖς πάλαι πολλὴ περὶ τούτων ἀμφιβολία γεγένηται· οἱ μὲν γὰρ τούτοις Περίανδρον ξυντάττουσι τὸν Κορίνθιον, οἱ δὲ Ἐπιμενίδην τὸν Κρῆτα, οἱ δὲ Ἀκουσίλαον τὸν Ἀργεῖον, οἱ δὲ Ἀνάχαρσιν τὸν Σκύθην, ἄλλοι δὲ Φερεκύδην τὸν Σύριον· ὁ δέ γε Πλάτων Μύσωνα τὸν Χηνέα...

...*Что же касается до* семи мудрецовъ, жившихъ послѣ пророковъ, и ихъ преемниковъ, *то* даже говорящіе на греческомъ языкѣ не знаютъ ихъ именъ. Что мнѣ говорить о нашихъ современникахъ? даже у древнихъ было сомнѣніе относительно ихъ: одни причисляютъ къ нимъ Періандра Коринѳскаго, другіе — Епименида Критскаго, иные — Акусилая Аргосскаго, иные — Скиѳа Анахарсида, иные — Ферекида Сирскаго, а Платонъ—Мисона Хинейскаго...

[C. 948]... ἡμεῖς δὲ τῶν ἀποστολικῶν καὶ προφητικῶν δογμάτων τὸ κράτος ἐναργῶς ἐπιδείκνυμεν· πᾶσα γὰρ ἡ ὑφ' ἡλίῳ τῶνδε τῶν λόγων ἀνάπλεως· καὶ ἡ Ἑβραίων φωνὴ οὐ μόνον εἰς τὴν [τῶν] Ἑλλήνων μετεβλήθη, ἀλλὰ καὶ εἰς τὴν [τῶν] Ῥωμαίων καὶ Αἰγυπτίων καὶ Περσῶν καὶ Ἰνδῶν καὶ Ἀρμενίων καὶ Σκυθῶν καὶ Σαυροματῶν, καὶ ξυλλήβδην εἰπεῖν, εἰς πάσας τὰς γλώττας, αἷς ἅπαντα τὰ ἔθνη κεχρημένα διατελεῖ...

...Мы можемъ наглядно показать силу апостольскихъ и пророческихъ ученій; ибо вся подсолнечная полна этихъ рѣчей. И еврейскій языкъ переведенъ не только на греческій, но и на римскій, египетскій, персидскій, индійскій, армянскій, скиѳскій и савроматскій или, коротко говоря, на всѣ языки, на которыхъ продолжаютъ говорить всѣ народы...

---

1) *Л.* XIII, 5 (v. supra p. 299).

Digitized by Google

ΛΟΓΟΣ Η'.

Περὶ τῆς τῶν μαρτύρων τιμῆς.

[C. 1009]... Ἄγανται δὲ διαφερόντως ἅπαντες καὶ θαυμάζουσιν, ὅτι δὴ καὶ τεθνεῶτες ἐπιτελοῦσιν [οἱ ἀπόστολοι] ἅπερ δὴ καὶ περιόντες εἰώθεσαν ἐνεργεῖν, μᾶλλον δὲ πολλῷ μείζονα καὶ λαμπρότερα τὰ μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν παρ' ἐκείνων τελούμενα. Ἡνίκα μὲν γὰρ μετὰ τῶν σωμάτων ἐπολιτεύοντο, νῦν μὲν παρὰ τούτους, νῦν δὲ παρ' ἐκείνους ἐφοίτων καὶ ἄλλοτε μὲν Ῥωμαίοις, ἄλλοτε δὲ Ἰσπανοῖς ἢ Κελτοῖς διελέγοντο· ἐπειδὴ δὲ πρὸς ἐκεῖνον ἐξεδήμησαν, ὑφ' οὗ κατεπέμφθησαν, ἅπαντες αὐτῶν ἐνδελεχῶς ἀπολαύουσιν, οὐ μόνον Ῥωμαῖοι καὶ ὅσοι γε τὸν τούτων ἀγαπῶσι ζυγὸν καὶ ὑπὸ τούτων ἰθύνονται, ἀλλὰ καὶ Πέρσαι καὶ Σκύθαι καὶ Μασσαγέται καὶ Σαυρομάται καὶ Ἰνδοὶ καὶ Αἰθίοπες, καὶ ξυλλήβδην εἰπεῖν ἅπαντα τῆς οἰκουμένης τὰ τέρματα...

РѢЧЬ 8-я.

О почитаніи мучениковъ.

...Особенно всѣ восхищаются и изумляются тѣмъ, что (апостолы) и послѣ смерти совершаютъ то, что обычно творили при жизни, *или*, лучше *сказать*, совершаемое ими послѣ отшествія отсюда гораздо важнѣе и славнѣе. Ибо пока они имѣли тѣла, они ходили то къ однимъ, то къ другимъ и разъ бесѣдовали съ Римлянами, а другой разъ — съ Испанцами или Кельтами; но когда они отошли къ Тому, Которымъ были ниспосланы, то всѣ люди постоянно пользуются ихъ помощью, не только Римляне или тѣ *народы*, которые выносятъ ихъ иго и управляются ими, но и Персы, и Скиеы, и Массагеты, и Савроматы, и Индійцы, и Эѳіопы и, вообще говоря, всѣ предѣлы вселенной...

ΛΟΓΟΣ Θ'.

Περὶ νόμων.

[C. 1037]... Πολλοὶ δὲ καὶ τὸν τῆς δουλείας δεξάμενοι χαλινὸν βιοτεύειν κατὰ τοὺς τούτων οὐκ ἀνέχονται νόμους. Οὔτε γὰρ Αἰθίοπες οἱ Θηβῶν τῶν Αἰγυπτίων ὁμοτέρμονες, οὔτε τὰ πάμπολλα φῦλα τοῦ Ἰσμαηλ, οὐ Λάζοι, οὐ Σάννοι, οὐκ Ἀβασγοί, οὐχ οἱ ἄλλοι βάρβαροι, ὅσοι τὴν Ῥωμαίων ἀσπάζονται δεσποτείαν, κατὰ τοὺς Ῥωμαίων νόμους τὰ πρὸς ἀλλήλους ποιοῦνται ξυμβόλαια. Οἱ δὲ ἡμέτεροι ἁλιεῖς, καὶ οἱ τελῶναι, καὶ οἱ σκυτοτόμοι ἅπασιν ἀνθρώποις τοὺς εὐαγγελικοὺς προσενηνόχασι νόμους· καὶ οὐ μόνον Ῥωμαίους καὶ τοὺς ὑπὸ τούτοις τελοῦντας, ἀλλὰ καὶ τὰ Σκυθικὰ καὶ τὰ Σαυροματικὰ ἔθνη, καὶ Ἰνδοὺς καὶ Αἰθίοπας καὶ Πέρσας καὶ Σῆρας καὶ Ὑρκανίους καὶ Βακτριανοὺς καὶ Βρεττανοὺς καὶ Κιμμερίους καὶ Γερμανοὺς καὶ ἁπαξαπλῶς πᾶν ἔθνος καὶ γένος ἀνθρώπων δέξασθαι τοῦ σταυρωθέντος τοὺς νόμους ἀνέπεισαν...

...Πρὸς γάρ τοι Πέρσας καὶ Σκύθας καὶ τὰ ἄλλα βάρβαρα ἔθνη μετὰ τὴν ἐκείνων οἱ νόμοι διέβησαν τελευτήν· καὶ πάν-

РѢЧЬ 9-я.

О законахъ.

...Многіе, даже принявъ узду рабства, не могутъ жить по законамъ своихъ поработителей. Вѣдь ни пограничные съ эгипетскими Ѳивами Эѳіопы, ни многочисленныя племена измаильскія, ни Лазы, ни Санны, ни Авазги, ни прочіе варвары, подчинившіеся господству Римлянъ, не заключаютъ другъ съ другомъ договоровъ по римскимъ законамъ. А наши рыбари, мытари и кожевники принесли всѣмъ людямъ евангельскіе законы и убѣдили принять законы Распятаго не только Римлянъ и подвластные имъ народы, но и племена Скиескія и Савроматскія, и Индійцевъ, и Эѳіоповъ, и Персовъ, и Сировъ, и Ирканцевъ, и Вактрійцевъ, и Британцевъ, и Киммерійцевъ, и Германцевъ, и вообще всякое племя и родъ человѣческій...

...Къ Персамъ, Скиеамъ и прочимъ варварскимъ народамъ законы перешли послѣ ихъ (т. е. апостоловъ) кончины и

V. 35: «Ὑρκανούς. Ὑρκανίους B, Va, b. καὶ Βακτριανοὺς om. Va. || V. 37: Κίμβρους. Κιμμερίους B, Va. Κίμβρους ἴσως Vb.» M.

Digitized by Google

των πολεμούντων, οὐ μόνον βαρβάρων, ἀλλὰ καὶ αὐτῶν γε Ῥωμαίων, διέμειναν τὸ ἴσον ἔχοντες κράτος· καὶ πάντα κάλων [οἱ] Ῥωμαῖοι κινήσαντες ὥστε τῶν ἁλιέων καὶ τοῦ σκυτοτόμου καταλῦσαι τὴν μνήμην, λαμπροτέραν αὐτὴν καὶ περιφανεστέραν ἀπέφηναν...

[C. 1041]... Καὶ Τραϊανὸς δὲ καὶ Ἀδριανὸς σφόδρα κατὰ τῶνδε τῶν νόμων παρεταξάτην· ἀλλὰ τὴν μὲν Περσῶν ὁ Τραϊανὸς δυναστείαν κατέλυσε, καὶ Ἀρμενίους τῷ Ῥωμαίων ὑπέταξε χαλινῷ, καὶ μέντοι καὶ τὰ Σκυθικὰ ἔθνη τοῖς σκήπτροις ὑποκύπτειν ἠνάγκασε· τὴν δὲ τῶν ἁλιέων καὶ τοῦ σκυτοτόμου καταλῦσαι νομοθεσίαν οὐκ ἴσχυσε...

[C. 1045]... Καὶ Μασσαγέται δὲ, τρισαθλίους ἡγούμενοι πάλαι τοὺς ἄλλως πως καὶ μὴ διὰ σφαγῆς τελευτῶντας, καὶ τούτου εἵνεκα τοὺς γεγηρακότας θύειν καὶ θοινᾶσθαι ποιησάμενοι νόμον, ἐπειδὴ τῶν ἁλιευτικῶν καὶ σκυτοτομικῶν ἐπήκουσαν νόμων, ἐβδελύξαντο τὴν μυσαρὰν ταύτην ἐδωδὴν καὶ σφαγήν. Καὶ Τιβαρηνοὶ τοὺς πρεσβύτας κατὰ κρημνῶν βαθυτάτων εἰθικότες ὠθεῖν, τὸν παμπόνηρον τοῦτον κατέλυσαν νόμον τῶν εὐαγγελικῶν ἐπακούσαντες νόμων. Οὐκ ἔτι δ' οὔτε Ὑρκανοὶ οὔτε Κάσπιοι τοὺς κύνας τοῖς τῶν τεθνεώτων ἐκτρέφουσι σώμασιν, οὔτε Σκύθαι τοῖς τετελευτηκόσι συγκατορύττουσι ζῶντας οὓς ἠγάπων ἐκεῖνοι. Τοσαύτην εἰργάσαντο τῶν ἐθῶν μεταβολὴν τῶν ἁλιέων οἱ νόμοι.

несмотря на противодѣйствіе всѣхъ не только варваровъ, но и самихъ Римлянъ, продолжали сохранять одинаковую силу; и Римляне, принимая всевозможныя мѣры для того, чтобы истребить память рыбарей и кожевника, сдѣлали ее болѣе блестящею и славною...

...Траянъ и Адріанъ сильно боролись противъ этихъ законовъ; но Траянъ уничтожилъ Персидскую державу, подчинилъ Арменцевъ уздѣ Римлянъ, принудилъ и скиѳскія племена склониться предъ *своимъ* скипетромъ, а уничтожить законодательство рыбарей и кожевника не имѣлъ силы...

...И Массагеты, прежде считавшіе весьма несчастными умершихъ какъ нибудь иначе, нежели отъ зарѣзанія, и поэтому установившіе законъ приносить старцевъ въ жертву и угощаться *ихъ мясомъ*, получили отвращеніе къ этой гнусной пищѣ и рѣзнѣ, когда услышали рыбацкіе и кожевническіе законы. И Тиварины, имѣвшіе обычай сталкивать стариковъ съ высочайшихъ утесовъ, уничтожили этотъ безобразный законъ, приявши законы евангельскіе. Уже ни Ирканцы съ Каспійцами не откармливаютъ псовъ тѣлами умершихъ, ни Скиѳы не зарываютъ живьемъ вмѣстѣ съ умершими любимыхъ ими *лицъ*. Такую перемѣну обычаевъ произвели законы рыбарей.

ΛΟΓΟΣ ΙΒ'.

Περὶ πρακτικῆς ἀρετῆς.

[C. 1136]... οὐ μόνον Σωκράτης καὶ Πλάτων καὶ Ἀριστείδης ὁ Λυσιμάχου καὶ ἄλλοι τινὲς τῶν Ἑλλήνων τὸν ἄδικον ἐβδελύξαντο βίον, ἀλλὰ καὶ τῶν βαρβάρων πολλοί. Καὶ γὰρ Ἑλλάνικος ἐν ταῖς ἱστορίαις ἔφη· «Τοὺς Ὑπερβορέους οἰκεῖν μὲν ὑπὲρ τὰ Ῥίπαια ὄρη, ἀσκεῖν δὲ δικαιοσύνην μὴ κρεφαγοῦντας ἀλλ' ἀκροδρύοις χρωμένους» [1])... Καὶ Ἀνάχαρσιν δὲ τὸν Σκύθην φιλόσοφον γεγενῆσθαί φασιν. Οὗτος δὲ αὐτὸν ὁ τῆς φιλοσοφίας ἐπυρπόλησεν ἔρως, ὡς ὀνομαστότατον γενέσθαι καὶ παρὰ πᾶσιν ἀοίδι-

РѢЧЬ 12-я.

О дѣятельной доблести.

...Неправедную жизнь презирали не только Сократъ, Платонъ, Аристидъ Лисимаховъ и нѣкоторые другіе Эллины, но и многіе изъ варваровъ. Такъ, Елланикъ въ «Исторіи» говоритъ, что Иперборен живутъ выше Рипейскихъ горъ и что они упражняются въ праведности, не употребляя въ пищу мяса, но питаясь древесными плодами... Говорятъ также, что Скиѳъ Анахарсидъ былъ философомъ. Его до такой степени жгла любовь къ философіи, что онъ сталъ весьма извѣстнымъ и у всѣхъ

1) Hellanici fragmentum supra iam dedimus p. 348.

Digitized by Google

μον· οὐ γὰρ μόνον ἐγρηγορὼς πρὸς τὰ τῆς ψυχῆς ἠγωνίζετο πάθη, ἀλλὰ καὶ καθεύδων τὰ τῆς ἐγκρατείας παρεδήλου σημεῖα· εἰώθει γὰρ τῇ μὲν λαιᾷ τὰ αἰδοῖα κατέχειν, τῇ δεξιᾷ δὲ τὰ χείλη συνέχειν, ταύτῃ πη δηλῶν, ὡς πολλῷ μείζων ἐστὶν ἡ ἀγωνία τῆς γλώττης καὶ μείζονος ἐπικουρίας εἰς ἀσφάλειαν δεῖται. Καὶ Χείρωνα δὲ τὸν Κένταυρον Ἑρμιππός φησιν ὁ Βηρύτιος δικαιοσύνης γενέσθαι διδάσκαλον, καὶ Ὅμηρος δὲ αὐτὸν δικαιότατον τῶν Κενταύρων ἐκάλεσεν. Οὐ τοίνυν μάλα προσήκει θαυμάζειν οὔτε Ἡσίοδον τραχεῖαν λέγοντα τῆς ἀρετῆς τὴν ὁδὸν καὶ προσάντη καὶ δύσβατον, οὔτε Σιμωνίδην [Τὰν ἀρετὰν εἰρηκότα ναίειν δυσβάτοις ἐπὶ πέτραις]. Ἃ γὰρ δὴ τῷ Χείρωνι καὶ τοῖς Ἱππημολγοῖς προσεμαρτύρησεν Ὅμηρος καὶ ὅπερ Ἀνάχαρσις ὁ Σκύθης ἔργῳ μετῆλθε, ταῦτα λόγῳ παρῄνεσαν οἱ ἐπαινούμενοι ποιηταί...

прославленнымъ. Онъ не только бодрствуя боролся съ душевными страстями, но и во время сна показывалъ признаки воздержности: онъ обыкновенно лѣвою рукою сдерживалъ срамные *органы*, а правою сжималъ губы, показывая этимъ, что борьба съ языкомъ гораздо больше и требуетъ бо́льшаго усилія для безопасности. Ерминпъ Виритскій говоритъ, что и кентавръ Хиронъ былъ учителемъ праведности, а Омиръ назвалъ его праведнѣйшимъ изъ кентавровъ. Однако не слѣдуетъ особенно удивляться ни Исіоду, называющему дорогу къ добродѣтели каменистою, крутою и неприступною, ни Симониду [сказавшему, что добродѣтель живетъ на неприступныхъ скалахъ]. Вѣдь то, что Омиръ приписалъ Хирону и Иппимолгамъ и что Скиѳъ Анахарсидъ представилъ на дѣлѣ,—это на словахъ совѣтовали прославляемые поэты...

ΕΠΙΣΤΟΛΑΙ. ПИСЬМА.

In epistola CXLVII ad Ioannem episcopum Germaniciae scripta commemorantur Hamaxobii in comparatione (Ὅτι γὰρ τὴν πρακτικὴν ἀρετὴν τοῖς Ἁμαξοβίοις μᾶλλον ἢ αὐτοῖς νομοθετεῖσθαι παρὰ τοῦ Σωτῆρος ὑπέλαβον, αὐτὰ βοᾷ τὰ πράγματα).

ΕΥΔΟΚΙΑ. ЕВДОКІЯ.

[Элія Евдокія (въ язычествѣ Аѳинаида), дочь софиста Леонтія и супруга императора Ѳеодосія II (съ 421 г.), писала различныя стихотворенія, отъ которыхъ сохранились лишь фрагменты. Самое большое изъ дошедшихъ до насъ произведеній ея—«Λόγοι εἰς μάρτυρα τὸν Κυπριανόν», какъ называетъ его Фотій (Bibl. cod. 184). Онъ говоритъ о *трехъ* словахъ, но до насъ дошло только *два*.—Текстъ: Eudociae Augustae, Procli Lycii, Claudiani carminum graecorum reliquiae. Accedunt Blemyomachiae fragmenta. Rec. Arth. Ludwich. Lips. 1897. Cf. A. Ludwich, Eudokia, die Gattin des Kaisers Theodosius II, als Dichterin, *Rhein. Mus.* v. 37].

Извлеченія и переводъ **С. А. Селиванова.**

ΛΟΓΟΙ ΕΙΣ ΜΑΡΤΥΡΑ ΤΟΝ ΚΥΠΡΙΑΝΟΝ. СЛОВА О МУЧЕНИКѢ КИПРІАНѢ.

Λόγος Β', σττ. 65—71. Слово 2-е, стт. 65—71.

(Слова Киприана о себѣ самомъ):

. . . . . ἐγὼν ἐδάην . . .
ἐκ Σκυθέων δ' οἰωνοὺς σήματά τ' ἠχήεντα
ἠδ' ἄρα καὶ ζῴων καμπτὰς ἐπὶ τοῖσι πορείας,

...Я вынесъ изъ Скиѳіи знаніе птицегаданій, знаменій по звукамъ, сверхъ того *научился понимать* извилистые слѣды жи-

Digitized by Google

κληδόνας αἰζηῶν, τοί κεν τὰ ἔπειθ' ὁρόωσι,
βόμβους δουρατέων σανίδων, πετρῶν δέ θ' ὁμοίως,
φωνὰς δ' ἐκ τύμβων πρόπαλαι κατατεθνηώτων,
δοῦπον δ' αὖ θυρέων, παλμοὺς βροτέων μελεδωνῶν,
ὄγκους δ' αἱματόεντας, ὅσοι μέλεα χραίνουσιν...

вотныхъ, вѣщіе голоса могучихъ *людей*, которые способны провидѣть будущее, трескъ деревянныхъ досокъ, а также и скалъ, голоса изъ могилъ давно умершихъ *людей*, скрипъ дверей, трепещущіе переливы людскихъ пѣсенъ, кровавыя опухоли, оскверняющія члены...

Ad vs. 68. Exstat «Confessio S. Cypriani martyris atque pontificis», ubi interdum eaedem res narrantur, quas Eudocia tetigit, quam ob causam homines docti haud raro in lectionibus corrigendis hac «Confessione» adiuvari possunt. De «Confessione» vide Ludwichianae editionis pp. 21 sqq. Καὶ φωνὴν τρισμοῦ παντὸς ξύλου καὶ λίθου, καὶ νεκρῶν ἐν τάφοις καὶ θυρῶν ψόφους, καὶ παλμοὺς μελῶν ἔγνων, καὶ αἱμάτων φορὰς ἐν τοῖς σώμασι κατ' ἐνέργειαν κτλ. Conf. c. 2. Qui sequuntur Eudociae versus perquam corrupti sunt.

ΟΛΥΜΠΙΟΔΩΡΟΣ. ОЛИМПІОДОРЪ.

[Уроженецъ эгипетскихъ Ѳивъ, жилъ въ 1-й половинѣ V в. Онъ написалъ и посвятилъ Ѳеодосію младшему 22 книги исторіи, обнимавшія время съ 407 по 425 г. Отрывки изъ нихъ сохранены Фотіемъ (Bibl. cod. 80). — Текстъ: Historici Graeci minores. Ed. L. Dindorfius, v. I (1870), p. 450—472].

Переводъ В. Л.

ΙΣΤΟΡΙΚΟΙ ΛΟΓΟΙ. ИСТОРИЧЕСКІЯ СКАЗАНІЯ.

Fr. 27. Ὅτι ὁ ἱστορικός φησι παρὰ Οὐαλερίου τινὸς τῶν ἐπισήμων ἀκοῦσαι περὶ ἀνδριάντων ἀργυρῶν τετελεσμένων εἰς βαρβάρων ἀποκώλυσιν. ἐν γὰρ ταῖς ἡμέραις, φησί, Κωνσταντίου τοῦ βασιλέως, ἐν τῇ Θράκῃ Οὐαλερίου ἄρχοντος, μήνυσις γέγονεν ὡς θησαυρὸς εὑρεθείη. Οὐαλέριος δὲ παρὰ τὸν τόπον παραγενόμενος μανθάνει παρὰ τῶν ἐπιχωρίων ἱερὸν εἶναι τὸν τόπον, καὶ ἐξ ἀρχαίας τελετῆς ἀνδριάντας ἐν αὐτῷ ἀφιερῶσθαι. εἶτα ἀναφέρει ταῦτα τῷ βασιλεῖ καὶ δέχεται γράμμα ἐπιτρέπον ἀναλαβεῖν τὰ μηνυθέντα. ἀνορυχθέντος τοίνυν τοῦ τόπου εὑρίσκονται τρεῖς ἀνδριάντες διόλου ἐξ ἀργύρου πεποιημένοι, ἐν σχήματι βαρβαρικῷ κατακείμενοι καὶ ἐξηγκωνισμένοι κατ' ἀμφοῖν ταῖν χεροῖν, ἐνδεδυμένοι δὲ βάρβαρον πεποικιλμένην ἐσθῆτα καὶ κομῶντες τὰς κεφαλάς, νεύοντες ἐπὶ τὸ ἀρκτῷον μέρος, τουτέστι κατὰ τοῦ βαρβαρικοῦ χώρου. ὧν ἀνδριάντων ἀναληφθέντων, πά-

Историкъ говоритъ, что онъ слышалъ отъ нѣкоего Валерія, *принадлежащаго* къ знати, *извѣстіе* о серебряныхъ кумирахъ, посвященныхъ *богамъ* для отвращенія *нашествія* варваровъ. Во дни царя Констанція [1]), говоритъ онъ, когда Валерій управлялъ Ѳракіею, получено донесеніе, что найденъ кладъ. Валерій, придя на *указанное* мѣсто, узналъ отъ тамошнихъ жителей, что это мѣсто священно и что въ немъ посвящены кумиры по старинному обряду. Онъ донесъ объ этомъ царю и получилъ письменный приказъ взять объявленное. Итакъ, когда *это* мѣсто было раскопано, найдены три кумира, сдѣланные изъ цѣльнаго серебра; они лежали по варварскому обычаю, подбоченившись обѣими руками, одѣты были въ пеструю варварскую одежду, головы имѣли косматыя и обращены были къ сѣверу, т. е. къ странѣ варварской. Недолго спустя послѣ взятія этихъ куми-

1) 353—361 p. Chr.

Digitized by Google

αυτα καὶ μετ' ὀλίγας ἡμέρας πρῶτον μὲν τὸ Γότθων ἔθνος πᾶσαν ἐπιτρέχει τὴν Θρᾴκην, ἔμελλε δὲ μικρὸν ὕστερον καὶ τὸ τῶν Οὔννων καὶ τὸ τῶν Σαρματῶν καταδραμεῖσθαι· τό τε Ἰλλυρικὸν καὶ αὐτὴν τὴν Θρᾴκην· ἐν μέσῳ γὰρ αὐτῆς τε Θρᾴκης καὶ τοῦ Ἰλλυρικοῦ κατέκειτο τὰ τῆς τελετῆς, καὶ ἐῴκει τῶν τριῶν ἀνδριάντων ὁ ἀριθμὸς κατὰ παντὸς ἔθνους τετελέσθαι βαρβάρου.

ровъ, *всего лишь* чрезъ нѣсколько дней Готеское племя первое совершаетъ набѣгъ на всю Оракію, а немного позднѣе и Унны и Сарматы намѣревались напасть на Иллирію и на самую Оракію; ибо посвященные *кумиры* лежали между Оракіею и Иллирикомъ; повидимому, число кумировъ—три—служило заклятіемъ противъ всякаго варварскаго народа.

ΩΡΙΩΝ.

ОРІОНЪ.

[Грамматикъ Оріонъ, уроженецъ египетскихъ Ѳивъ, жилъ около средины V вѣка въ Константинополѣ, гдѣ его грамматическія чтенія пользовались такою славою, что ихъ удостоивала своимъ посѣщеніемъ даже императрица Евдокія, супруга Ѳеодосія II. Впрочемъ главнымъ мѣстомъ его дѣятельности была, вѣроятно, Кесарія, такъ какъ въ рукописяхъ онъ называется γραμματικὸς Καισαρείας. До насъ сохранились отрывки его главнаго труда Περὶ ἐτυμολογιῶν. — Текстъ: Orionis Etymologica ed. Sturz. Lips. 1816—20].

ΠΕΡΙ ΕΤΥΜΟΛΟΓΙΩΝ.

ОБЪ ЭТИМОЛОГІЯХЪ.

Ed. Sturz., p. 148. Σκυθρωπάσαι πλεονασμῷ τοῦ ρ̄, σκυθωπάσαι δὲ ἐστὶ παρὰ τὸ Σκυθικὸν ἔχειν ὤπας, ὅ ἐστι καταπληκτικούς.

Σκυθρωπάσαι *говорится* со вставкою излишняго ρ, а σκυθωπάσαι значитъ имѣть взгляды скиѳскіе, т. е. поражающіе.

ΖΩΣΙΜΟΣ.

ЗОСИМЪ.

[Авторъ сочиненія Ἱστορία νέα въ 6 книгахъ, написаннаго между 450 и 502 годами (по мнѣнію Fr. Rühl'я въ *Rhein. Mus.* 46 p. 146 сл. — послѣ 501 г.) и содержащаго въ себѣ общій очеркъ древней исторіи до 270 г. по Р. Хр. (I, 1—35) и подробное изложеніе исторіи 270—410 годовъ. — Текстъ: Zosimi comitis et exadvocati fisci Historia nova. Ed. L. Mendelssohn. Lips. Teubn. 1887].

ΙΣΤΟΡΙΑ ΝΕΑ.

ΒΙΒΛ. Α'.

НОВАЯ ИСТОРІЯ.

КН. 1-Я.

20... [Φίλιππος] ἐπὶ Κάρπους ἐστράτευεν ἤδη τὰ περὶ τὸν Ἴστρον λῃσαμένους. μάχης δὲ γενομένης οὐκ ἐνεγκόντες οἱ βάρβαροι τὴν προσβολήν, εἴς τι φρούριον συμφυγόντες ἐν πολιορκίᾳ καθίσταντο. θεασάμενοι δὲ τοὺς ἐξ αὐτῶν ἄλλους ἄλλῃ διασπαρέντας αὖθις συνειλεγμένους ἅμα τε ἀνεθάρρησαν καὶ ὑπεξελθόντες τῷ Ρωμαικῷ

20... (Филиппъ) выступилъ походомъ на Карповъ, уже опустошившихъ побережья Истра. Въ происшедшемъ сраженіи варвары не выдержали нападенія и, сбѣжавшись въ одно укрѣпленіе, подверглись осадѣ. Видя, что ихъ *воины*, разсѣявшіеся въ разныя стороны, снова собрались, они ободрились и, выйдя *изъ укрѣпленія*, на-

Digitized by Google

στρατοπέδῳ συνέπιπτον. (2) οὐχ ὑποστάντες δὲ τὴν τῶν Μαυρουσίων ὁρμὴν λόγους περὶ σπονδῶν ἐποιήσαντο, οἷς ὁ Φίλιππος ῥᾷον ϑέμενος ἀνεχώρει...

пали на римскій лагерь, но, не выдержавъ натиска Мавровъ, завели переговоры о перемиріи, на которое Филиппъ легко согласился и отступилъ [1])...

---

23. Τῶν δὲ πραγμάτων διὰ τὴν Φιλίππου περὶ πάντα ἐκμέλειαν ταραχῆς πληρωϑέντων, Σκύϑαι τὸν Τάναϊν διαβάντες ἐλῄζοντο τὰ περὶ τὴν Θράκην χωρία· οἷς ἐπεξελϑὼν Δέκιος καὶ ἐν πάσαις κρατήσας ταῖς μάχαις, παρελόμενος δὲ καὶ τῆς λείας ἣν ἔτυχον εἰληφότες, ἀποκλείειν αὐτοῖς ἐπειρᾶτο τὴν οἰκάδε ἀναχώρησιν, διαφϑεῖραι πανωλεϑρίᾳ διανοούμενος, ὡς ἂν μὴ καὶ αὖϑις ἑαυτοὺς συναγαγόντες ἐπέλϑοιεν. (2) Γάλλον δὴ ἐπιστήσας τῇ τοῦ Τανάϊδος ὄχϑῃ μετὰ δυνάμεως ἀρκούσης αὐτὸς τοῖς λειπομένοις ἐπῄει. χωρούντων δὲ τῶν πραγμάτων αὐτῷ κατὰ νοῦν, εἰς τὸ νεωτερίζειν ὁ Γάλλος τραπεὶς ἐπικηρυκεύεται πρὸς τοὺς βαρβάρους, κοινωνῆσαι τῆς ἐπιβουλῆς τῆς κατὰ Δεκίου παρακαλῶν. ἀσμενέστατα δὲ τὸ προταϑὲν δεξαμένων, ὁ Γάλλος μὲν τῆς ἐπὶ ⟨τῇ⟩ τοῦ Τανάϊδος ὄχϑῃ φυλακῆς εἴχετο, οἱ δὲ βάρβαροι διελόντες αὐτοὺς τριχῇ διέταξαν ἔν τινι τόπῳ τὴν πρώτην μοῖραν, οὗ προβέβλητο τέλμα. (3) τοῦ Δεκίου δὲ τοὺς πολλοὺς αὐτῶν διαφϑείραντος, τὸ δεύτερον ἐπεγένετο τάγμα· τραπέντος δὲ καὶ τούτου, ἐκ τοῦ τρίτου τάγματος ὀλίγοι πλησίον τοῦ τέλματος ἐπεφάνησαν. τοῦ δὲ Γάλλου διὰ τοῦ τέλματος ἐπ' αὐτοὺς ὁρμῆσαι τῷ Δεκίῳ σημήναντος, ἀγνοίᾳ τῶν τόπων ἀπερισκέπτως ἐπελϑών, ἐμπαγείς τε ἅμα τῇ σὺν αὐτῷ δυνάμει τῷ πηλῷ καὶ πανταχόϑεν ὑπὸ τῶν βαρβάρων ἀκοντιζόμενος μετὰ τῶν συνόντων αὐτῷ διεφϑάρη, διαφυγεῖν οὐδενὸς δυνηϑέντος. Δεκίῳ μὲν οὖν ἄριστα βεβασιλευκότι τέλος τοιόνδε συνέβη· (24) παρελϑόντος δὲ εἰς τὴν ἀρχὴν τοῦ Γάλλου καὶ συναναδείξαντος ἑαυτῷ τὸν παῖδα Οὐολουσιανὸν βασιλέα,

23. Когда дѣла вслѣдствіе крайней безпечности Филиппа пришли въ полное разстройство, Скиѳы [2]), перейдя черезъ Танаидъ [3]), стали опустошать *разныя* мѣстности во Ѳракіи. Выступивъ противъ нихъ, Децій одержалъ побѣду во всѣхъ битвахъ [4]), взялъ даже *часть* захваченной ими добычи и пытался отрѣзать имъ возвращеніе на родину, намѣреваясь совершенно истребить ихъ, чтобы они не могли снова собраться и напасть. (2) Итакъ, поставивъ Галла съ достаточными силами на берегу Танаида, онъ самъ съ остальнымъ *войскомъ* пошелъ *на варваровъ*. Дѣла его шли удачно, но Галлъ, рѣшившись измѣнить ему, вошелъ въ сношеніе съ варварами, приглашая ихъ къ участію въ замыслахъ противъ Деція. Когда они весьма охотно приняли предложеніе, Галлъ остался на стражѣ на берегу Танаида, а варвары, раздѣлившись на три части, поставили первый отрядъ въ одномъ мѣстѣ, передъ которымъ разстилалось болото. (3) Когда Децій истребилъ большинство ихъ, приблизился второй отрядъ, но также былъ обращенъ въ бѣгство; тогда появились вблизи болота немногіе *люди* изъ третьяго отряда. Когда Галлъ подалъ Децію сигналъ двинуться на нихъ чрезъ *это* болото, послѣдній, неосторожно выступивъ вслѣдствіе незнакомства съ мѣстностью, завязъ въ грязи вмѣстѣ съ своимъ войскомъ и, отовсюду осыпаемый дротиками варваровъ, погибъ вмѣстѣ съ окружающими, ибо никто не могъ спастись бѣгствомъ. Таковъ былъ конецъ Деція послѣ прекраснаго царствованія [5]). (24) Галлъ получилъ власть, объявивъ вмѣстѣ

---

1) «Carpica haec Philippi expeditio ad Dexippi (ᾧ συνανείληπται περὶ ὧν Κάρποι ... ἔπραξαν: Euagr. h. e. V, 24) Σκυθικὰ redire videtur». Mendelss. Facta autem est a. 245—247. Cf. *Schiller*, Gesch. d. röm. Kaiserzeit v. I. p. 801; *Wietersheim-Dahn*, Gesch. d. Völkerwanderung² v. I, p. 196. 2) «De Gothis haec quamvis admodum neglegenter excerpta ad Dexippi Σκυθικὰ referri possunt. cf. Mommsen h. R. t. V p. 219, 1». M. 3) «Τάναϊν] errorem Zosimi—qui nimirum, cum in fonte suo legisset Gothorum *sedes* tum circa Tanain fuisse, pro festinatione sua hoc nomen per totam narrationem servavit—iam notavit Wesseling ad Itin. Anton. Aug. p. 225». M. 4) «At Philippopolim a Gothis captam (v. Dexipp. ap. Sync. I p. 705, 14 [supra, p. 652]; Amm. M. XXXI, 5, 17) ipse Zosimus I, 24, 2 memorat». M. 5) Anno 251 p. Chr.

Digitized by Google

όνον τε οὐχὶ βρῶντος ὡς ἐξ ἐπιβουλῆς
ὑτοῦ Δέκιος μετὰ τοῦ στρατεύματος δι-
ρθάρη, τὰ τῆς εὐημερίας τῶν βαρβάρων
ὔξησιν ἐλάμβανεν· (2) οὐ γὰρ μόνον ἐπα-
ελθεῖν αὐτοῖς εἰς τὰ οἰκεῖα ξυνεχώρει μετὰ
τῆς λείας ὁ Γάλλος, ἀλλὰ καὶ χρημάτων
τ μέτρον ἔτους ἑκάστου χορηγεῖν ὑπέσ-
ετο, καὶ τοὺς αἰχμαλώτους, οἳ μάλιστα
τῶν εὐπατριδῶν ἦσαν, ἐνεδίδου κατ' ἐξου-
σίαν ἀπάγειν, ὧν οἱ πλείους ἐκ τῆς ἐν Θράκῃ
Φιλιππουπόλεως ἁλούσης ἔτυχον εἰλημμέ-
νοι.

съ собою царемъ[1]) своего сына Волузіана, и чуть не кричалъ, что Децій съ войскомъ погибъ вслѣдствіе его замысла. Благоденствіе варваровъ *при немъ очень* увеличилось: (2) Галлъ не только позволилъ имъ возвратиться на родину съ добычей, но и обѣщалъ ежегодно давать имъ нѣкоторую сумму денегъ и предоставилъ возможность увести *съ собою* плѣнныхъ, особенно *тѣхъ*, которые происходили изъ знатныхъ фамилій и большинство которыхъ было захвачено при взятіи оракійскаго *города* Филиппополя.

---

26. ἐκμελῶς δὲ τοῦ Γάλλου τὴν ἀρχὴν
μεταχειριζομένου, Σκύθαι πρῶτον μὲν τὰ
πλησιόχωρα σφίσι συνετάραττον ἔθνη,
προϊόντες δὲ ὁδῷ καὶ τὰ μέχρι θαλάττης
αὐτῆς ἐλῄζοντο, ὥστε μηδὲ ἓν ἔθνος Ῥω-
μαίοις ὑπήκοον ἀπόρθητον ὑπὸ τούτων κα-
ταλειφθῆναι, πᾶσαν δὲ ὡς εἰπεῖν ἀτείχιστον
πόλιν καὶ τῶν ὠχυρωμένων τείχεσι τὰς
πλείους ἁλῶναι...

26. Во время безпечнаго правленія Галла Скиѳы сначала тревожили сосѣдніе съ ними народы, а *затѣмъ*, двигаясь дальше, опустошили *всѣ* области до самаго моря, такъ что ни одинъ изъ подвластныхъ Римлянамъ народовъ не остался нетронутымъ ими и всякій, можно сказать, неукрѣпленный городъ и большинство укрѣпленныхъ стѣнами были *ими* взяты...

---

27. Ἐν τούτοις δὲ τῶν πραγμάτων
ὄντων... αὖθις Γότθοι καὶ Βορανοὶ καὶ Οὐ-
ρουγοῦνδοι καὶ Κάρποι τὰς κατὰ τὴν Εὐ-
ρώπην ἐλῄζοντο πόλεις, εἴ τι περιλελειμμέ-
νον ἦν οἰκειούμενοι...

27. При такомъ положеніи дѣлъ... снова Готѳы, Воланы, Уругунды и Карны стали опустошать европейскіе города, подчиняя себѣ все, что осталось *отъ прежнихъ разгромовъ*...

---

28. τῶν δὲ Σκυθῶν ὅσον ἦν τῆς Εὐρώ-
πης[2]) ἐν ἀδείᾳ πολλῇ νεμομένων, ἤδη δὲ
καὶ διαβάντων εἰς τὴν Ἀσίαν καὶ τὰ μέχρι
Καππαδοκίας καὶ Πισινοῦντος καὶ Ἐφέσου
λῃσαμένων, Αἰμιλιανὸς Παιονικῶν ἡγούμε-
νος τάξεων, ἀτόλμους ὄντας τοὺς ὑφ' ἑαυ-
τὸν στρατιώτας ἀντιστῆναι τῇ τῶν βαρβά-
ρων εὐημερίᾳ παραθαρσύνας ὡς οἷόν τε ἦν
καὶ τοῦ Ῥωμαίων ἀξιώματος ἀναμνήσας,
ἐπῆει τοῖς εὑρεθεῖσιν ἐκεῖσε βαρβάροις
ἀπροσδοκήτως. (2) καὶ τοὺς πολλοὺς ἀνελών,
ἤδη δὲ καὶ ἐπὶ τὴν ἐκείνων γῆν τοὺς στρα-
τιώτας διαβιβάσας καὶ παραδόξως πᾶν τὸ
προσπεσὸν διαφθείρας, παρὰ πᾶσάν τε ἐλ-
πίδα τὰ Ῥωμαίοις ὑπήκοα τῆς ἐκείνων μα-
νίας ἐλευθερώσας, αἱρεῖται παρὰ τῶν τῇδε
στρατιωτῶν αὐτοκράτωρ...

28. Когда Скиѳы въ полномъ спокойствіи владѣли всѣмъ, что захватили въ Европѣ, а также перешли уже и въ Азію и опустошили области до Каппадокіи, Питіунта и Ефеса, начальникъ паонійскихъ войскъ Эмиліанъ, возбудивъ на сколько было возможно мужество своихъ солдатъ, не смѣвшихъ противостать силѣ варваровъ, и напомнивъ *имъ* о достоинствѣ Римлянъ, неожиданно выступилъ противъ находившихся тамъ варваровъ. (2) Уничтоживъ большинство ихъ, онъ затѣмъ переправилъ войско въ ихъ землю, нежданно истребилъ все, что попалось *на пути*, и, вопреки всякому ожиданію освободивъ подвластныя Римлянамъ области отъ свирѣпости варваровъ, былъ избранъ мѣстными войсками въ императоры...

---

1) «βασιλέα] immo Caesarem. eodem modo errasse videtur Dexippus, cf. Sync. I p. 705, 20». Mend. Regnavit Gallus a. 251—253. 2) «ὅσον ἦν τῆς Εὐρώπης mihi dubia. sententia vel ὅσ' ἤθελον vel ὅσα κατέσχον τ. E. postulat.' quicquid occuparant in Europa' vertit Leunclavius». Mend.

Digitized by Google

...καὶ τὰ μὲν παροικοῦντα τὸν Ῥῆνον ἐν τούτοις ἦν, (31) Βορανοὶ δὲ καὶ Γότθοι καὶ Κάρποι καὶ Οὐρουγοῦνδοι (γένη δὲ ταῦτα περὶ τὸν Ἴστρον οἰκοῦντα) μέρος οὐδὲν τῆς Ἰταλίας ἢ τῆς Ἰλλυρίδος καταλείποντες ἀδῄωτον διετέλουν, οὐδενὸς ἀνθισταμένου πάντα ἐπινεμόμενοι. Βορανοὶ δὲ καὶ τῆς εἰς τὴν Ἀσίαν διαβάσεως ἐπειρῶντο, καὶ ῥᾷόν γε κατεπράξαντο ταύτην διὰ τῶν οἰκούντων τὸν Βόσπορον, δέει μᾶλλον ἢ γνώμῃ πλοιά τε δεδωκότων καὶ ἡγησαμένων τῆς διαβάσεως. (2) ἕως μὲν γὰρ βασιλεῖς αὐτοῖς ἦσαν παῖς παρὰ πατρὸς ἐκδεχόμενοι τὴν ἀρχήν, διὰ τε τὴν πρὸς Ῥωμαίους φιλίαν καὶ τὸ τῶν ἐμποριῶν εὐσύμβολον καὶ τὰ παρὰ τῶν βασιλέων αὐτοῖς ἔτους ἑκάστου πεμπόμενα δῶρα διετέλουν εἴργοντες ἐπὶ τὴν Ἀσίαν διαβῆναι βουλομένους τοὺς Σκύθας· (3) ἐπεὶ δὲ τοῦ βασιλείου γένους διαφθαρέντος ἀνάξιοί τινες καὶ ἀπερριμμένοι τῆς ἡγεμονίας κατέστησαν κύριοι, δεδιότες ἐφ' ἑαυτοῖς τὴν διὰ τοῦ Βοσπόρου τοῖς Σκύθαις ἐπὶ τὴν Ἀσίαν δεδώκασιν πάροδον, πλοίοις αὐτοὺς οἰκείοις διαβιβάσαντες, ἃ πάλιν ἀναλαβόντες ἀνεχώρησαν ἐπ' οἴκου. (32) τῶν δὲ Σκυθῶν τὰ ἐν ποσὶ πάντα λῃζομένων οἱ μὲν τὴν παραλίαν οἰκοῦντες τοῦ Πόντου πρὸς τὰ μεσόγεια καὶ ὀχυρώτατα ἀνεχώρουν, οἱ δὲ βάρβαροι τῷ Πιτυοῦντι πρώτῳ προσέβαλλον, τείχει τε μεγίστῳ περιβεβλημένῳ καὶ λιμένα εὐορμότατον ἔχοντι. Σουκεσσιανοῦ δὲ τῶν ἐκεῖσε στρατιωτῶν ἡγεμόνος καθεσταμένου μετὰ τῆς οὔσης αὐτόθι δυνάμεως ἀντιστάντος καὶ τοὺς βαρβάρους ἀποδιώξαντος, δεδιότες οἱ Σκύθαι μή ποτε καὶ ἐν τοῖς ἄλλοις φρουρίοις πυθόμενοι καὶ συστάντες τοῖς ἐν τῷ Πιτυοῦντι στρατιώταις ἅρδην αὐτοὺς ἀπολέσωσιν, ὅσων δεδύνηντο πλοίων ἐπιλαβόμενοι, σὺν κινδύνῳ μεγίστῳ τὰ οἰκεῖα κατέλαβον, ἐν τῷ κατὰ Πιτυοῦντα πολέμῳ πολλοὺς τῶν σφετέρων ἀποβαλόντες. (2) οἱ μὲν οὖν τὸν Εὔξεινον πόντον οἰκοῦντες τῇ Σουκεσσιανοῦ στρατηγίᾳ περισωθέντες, ὡς διεξῆλθομεν, οὐδεπώποτε τοὺς Σκύθας ἤλπισαν αὖθις περαιωθήσεσθαι, τὸν εἰρημένον μοι τρόπον ἀποκρουσθέντας· Οὐαλεριανοῦ δὲ Σουκεσσιανὸν μετάπεμπτον ποιησαμένου καὶ ὕπαρχον τῆς αὐλῆς ἀναδείξαντος καὶ σὺν αὐτῷ τὰ περὶ τὴν Ἀντιόχειαν καὶ τὸν ταύτης οἰκισμὸν οἰκονομοῦντος, αὖθις οἱ

... Таковы были дѣла въ приморскихъ областяхъ. (31) *Между тѣмъ* Вораны, Готоы, Карпы и Уругунды (племена, живущія по Истру) не оставили неопустошенною ни одной части Италіи и Иллиріды, всѣмъ завладѣвая безъ всякаго противодѣйствія. Вораны попытались даже переправиться въ Азію и легко устроили это при посредствѣ жителей Воспора, скорѣе изъ страха, чѣмъ изъ расположенія давшихъ имъ суда и показавшихъ путь при переправѣ. (2) Пока у нихъ были цари, получавшіе власть *по праву наслѣдства* отъ отца къ сыну, то вслѣдствіе дружбы съ Римлянами, правильно организованныхъ торговыхъ сношеній и ежегодно посылаемыхъ имъ императорами даровъ они постоянно удерживали Скиѳовъ, желавшихъ переправиться въ Азію. (3) Когда же по исчезновеніи царскаго рода во главѣ правленія стали недостойные и потерянные люди, то, боясь за себя, они предоставили Скиѳамъ проходъ чрезъ Боспоръ въ Азію, переправивъ ихъ на собственныхъ судахъ, которыя они взяли обратно и возвратились домой [1]). (32) Когда Скиѳы стали опустошать все, *что было* на пути, жители побережья Понта удалились въ глубь страны и въ лучшія укрѣпленія, а варвары прежде всего напали на Питіунтъ, окруженный огромной стѣной и имѣвшій весьма удобную гавань. Когда Сукессіанъ, стоявшій во главѣ мѣстнаго гарнизона, выступилъ съ бывшими тамъ силами и прогналъ варваровъ, то Скиѳы, опасаясь, чтобы гарнизоны другихъ укрѣпленій, узнавъ *объ этомъ* и соединившись съ Питіунтскимъ отрядомъ, не уничтожили ихъ окончательно, захватили какія могли суда и съ величайшею опасностью удалились восвояси, потерявъ подъ Питіунтомъ многихъ *изъ* своихъ. (2) Жители *побережья* Евксинскаго Понта спасенные, какъ мы разсказали, искусными дѣйствіями Сукессіана, надѣялись, что Скиѳы, отбитые сказаннымъ способомъ, никогда больше не *осмѣлятся* переправиться. Но когда Валеріанъ [2]) отозвалъ Сукессіана, далъ ему должность при дворѣ и вмѣстѣ съ нимъ занялся дѣлами Антіохіи и ея заселеніемъ, Скиѳы снова взяли у Воспоранцевъ суда и переправились въ

1) A. 255 p. Chr. 2) 253—260.

Digitized by Google

Σκύθαι πλοῖα παρὰ τῶν Βοσπορανῶν λαβόντες ἐπειραιώθησαν. (3) κατασχόντες δὲ τὰ πλοῖα, καὶ οὐχ ὥσπερ πρότερον τοῖς Βοσπορανοῖς ἐνδόντες μετὰ τούτων ἐπανελθεῖν οἴκαδε, πλησίον τοῦ Φάσιδος ὡρμίσθησαν, ἔνθα καὶ τὸ τῆς Φασιανῆς Ἀρτέμιδος ἱδρῦσθαι λέγουσιν ἱερὸν καὶ τὰ τοῦ Αἰήτου βασίλεια. πειραθέντες δὲ τὸ ἱερὸν ἑλεῖν καὶ οὐ δυνηθέντες εὐθὺ Πιτυοῦντος ἐχώρουν. (33) ἐλόντες δὲ ῥᾷστα τὸ φρούριον καὶ τῆς ἐν αὐτῷ φυλακῆς ἐρημώσαντες ἐχώρουν εἰς τὸ πρόσω. πλοίων δὲ πολλῶν εὐπορήσαντες καὶ τῶν αἰχμαλώτων τοῖς ἐρέττειν ἐπισταμένοις εἰς ναυτιλίαν χρησάμενοι, γαλήνης παρὰ πάντα σχεδὸν τὸν τοῦ θέρους καιρὸν γενομένης τῷ Τραπεζοῦντι προσέπλευσαν, πόλει μεγάλῃ καὶ πολυανθρώπῳ καὶ πρὸς τοῖς ἑῴοις στρατιώταις μυρίων ἑτέρων δύναμιν προσλαβούσῃ. (2) καταστάντες δὲ εἰς πολιορκίαν κρατῆσειν μὲν ἤλπιζον οὐδὲ ὄναρ τῆς πόλεως δυοτείχεσι περιειλημμένης· αἰσθανόμενοι δὲ τοὺς στρατιώτας ῥᾳθυμίᾳ καὶ μέθῃ κατειλημμένους καὶ οὔτε εἰς τὸ τεῖχος λοιπὸν ἀνιόντας, οὐδένα δὲ καιρὸν τὴν τρυφὴν καὶ τὰ συμπόσια παριέντας, δένδρα πάλαι πρὸς τοῦτο εὐτρεπισθέντα προσθέντες τῷ τείχει καθ' ὃ βάσιμον ἦν, κατ' ὀλίγους τε διὰ τούτων νυκτὸς οὔσης ἀναβάντες αἱροῦσι τὴν πόλιν, τῶν μὲν στρατιωτῶν τῷ αἰφνιδίῳ καὶ ἀπροσδοκήτῳ τῆς ἐφόδου καταπλαγέντων καὶ τοῦ ἄστεως ὑποδραμόντων δι' ἑτέρας πύλης, τῶν δὲ ἄλλων παρὰ τῶν πολεμίων ἀναιρεθέντων. (3) τῆς δὲ πόλεως τοῦτον τὸν τρόπον ἁλούσης γεγόνασι πλήθους ἀφάτου χρημάτων καὶ αἰχμαλώτων οἱ βάρβαροι κύριοι· πάντας γὰρ σχεδὸν τοὺς πέριξ οἰκοῦντας συνέβη κατ' αὐτὴν ὡς εἰς ὀχυρὸν χωρίον συναλισθῆναι. διαφθείραντες δὲ τά τε ἱερὰ καὶ τὰ οἰκοδομήματα καὶ πᾶν ὅ τι πρὸς κάλλος ἢ μεγέθος ἤσκητο, καὶ προσέτι τὴν ἄλλην χώραν καταδραμόντες ἅμα πλήθει παμπόλλῳ νεῶν ἀνεχώρησαν ἐπ' οἴκου.

34. Τῶν δὲ ὁμορούντων Σκυθῶν θεασαμένων τὸν πλοῦτον ὃν ἐπηγάγοντο καὶ εἰς ἐπιθυμίαν ἐλθόντων τοῦ δρᾶσαι τὰ παραπλήσια, πλοῖα μὲν κατεσκευάζετο, τῶν συνόντων αὐτοῖς αἰχμαλώτων ἢ ἄλλως κατ' ἐμπορίαν ἐπιμιγνυμένων ὑπουργησάντων εἰς τὴν τούτων δημιουργίαν, τὸν αὐτὸν δὲ τοῖς Βορανοῖς τρόπον ποιήσασθαι τὸν ἔκπλουν

Азію. (3) Удержавъ суда и не позволивъ Воспоранцамъ, какъ прежде, возвратиться съ ними домой, они пристали вблизи Фасида, гдѣ, какъ говорятъ, было построено святилище Фасіанской Артемиды и дворецъ Эета. Сдѣлавъ безуспѣшную попытку взять святилище, они пошли прямо на Питіунтъ. (33) Безъ малѣйшаго затрудненія взявъ *это* укрѣпленіе и вырѣзавъ бывшій въ немъ гарнизонъ, они двинулись дальше. Раздобывъ большое количество судовъ и воспользовавшись для плаванія плѣнными, умѣвшими грести, они при тихой погодѣ, простоявшей почти все лѣто, подступили съ моря къ Трапезунту, большому и многолюдному городу, имѣвшему кромѣ мѣстныхъ солдатъ 10000 другихъ. (2) Начавши осаду, они даже во снѣ не надѣялись взять *силою* городъ, обнесенный двумя стѣнами, но, узнавъ, что солдаты преданы лѣни и пьянству, не всходятъ даже на стѣну и не упускаютъ ни одного случая понѣжиться и попировать, они приставили къ стѣнѣ въ доступномъ мѣстѣ заранѣе приготовленныя для этого бревна и, небольшими кучками взобравшись по нимъ ночью, взяли городъ; одни изъ солдатъ, пораженные внезапнымъ и неожиданнымъ нападеніемъ, бѣжали изъ города чрезъ другія ворота, а другіе были перебиты непріятелями. (3) Взявъ городъ такимъ способомъ, варвары овладѣли безчисленнымъ множествомъ сокровищъ и плѣнныхъ; ибо почти всѣ окрестные жители собрались въ этотъ городъ, какъ въ безопасное убѣжище. Истребивъ храмы и жилища и *вообще* все, что служило къ украшенію или увеличенію *города*, а затѣмъ опустошивъ и *всю* его область, варвары возвратились на родину съ огромнымъ количествомъ кораблей [1]).

34. Сосѣдніе Скиѳы, увидѣвъ привезенныя богатства, возымѣли желаніе совершить *нѣчто* подобное и стали заготовлять суда, воспользовавшись при ихъ постройкѣ помощью бывшихъ у нихъ плѣнниковъ или *людей*, прибывшихъ съ торговыми цѣлями. Они не признали возможнымъ совершить экспедицію одинаковымъ съ Воранами спо-

1) A. 256 p. Chr.

Digitized by Google

οὐκ ἔγνωσαν ὡς μακρὸν ὄντα καὶ δύσκολον καὶ διὰ τόπων ἤδη πεπορθημένων. (2) ἀναμείναντες δὲ τὸν χειμῶνα, τὸν Εὔξεινον πόντον ἐν ἀριστερᾷ καταλιπόντες, τῆς πεζῆς δυνάμεως αὐτοῖς διὰ τῶν ἠόνων κατὰ τὸ παρεῖκον συμπαραθεούσης, Ἴστρον καὶ Τομέα καὶ Ἀγχίαλον κατὰ τὸ δεξιὸν παραμείψαντες μέρος ἐπὶ τὴν Φιλεατίναν ἔβησαν λίμνην, ἣ κατὰ δυτικὰς τροπὰς Βυζαντίου πρὸς τῷ Πόντῳ διάκειται. γνόντες δὲ τοὺς ταύτῃ ἁλιέας ἐν τοῖς ἔλεσιν τοῖς ἐπικειμένοις τῇ λίμνῃ μετὰ τῶν ὄντων αὐτοῖς πλοίων ἀποκρυβέντας, ὁμολογίᾳ παραστησάμενοι καὶ τὴν πεζὴν δύναμιν ἐμβιβάσαντες ἐπὶ τὴν διὰ τοῦ πορθμοῦ τοῦ μεταξὺ Βυζαντίου καὶ Χαλκηδόνος ἐχώρουν διάβασιν. (3) οὔσης δὲ φυλακῆς ἔν τε αὐτῇ Χαλκηδόνι καὶ μέχρι τοῦ ἱεροῦ τοῦ πρὸς τῷ στόματι τοῦ Πόντου πολλῷ τοὺς ἐπιόντας ὑπεραιρούσης, οἱ μὲν τῶν στρατιωτῶν ἀνεχώρησαν ὑπαντῆσαι δῆθεν τῷ πεμφθέντι παρὰ βασιλέως ἡγεμόνι βουλόμενοι, οἱ δὲ εἰς τοσοῦτον κατέστησαν δέος ὥστε ἅμα τῇ ἀκοῇ προτροπάδην φυγεῖν. οὐ δὴ γενομένου ἅμα τε ἐπεραιώθησαν οἱ βάρβαροι καὶ Χαλκηδόνα μηδενὸς ἀντιστάντος ἑλόντες χρημάτων καὶ ὅπλων καὶ ἄλλης ὅτι πλείστης ἀποσκευῆς γεγόνασιν ἐγκρατεῖς.

35. ἐπὶ δὲ τὴν Νικομήδειαν ἐχώρουν, μεγίστην οὖσαν καὶ εὐδαίμονα, διά τε πλοῦτον καὶ τὴν εἰς ἅπαντα εὐπορίαν ὀνομαστοτάτην. ἐπεὶ δὲ τῆς φήμης προκαταλαβούσης ἔφθασαν οἱ ταύτης οἰκήτορες ἀποδρᾶναι, τῶν χρημάτων, ὅσα περ οἷοί τε γεγόνασιν, ἐπικομισάμενοι, τῶν μὲν εὑρεθέντων οἱ βάρβαροι τὸ πλῆθος ἐθαύμασαν, διὰ δὲ τιμῆς πάσης καὶ θεραπείας Χρυσόγονον ἦγον τὸν ἐπὶ τὴν Νικομήδειαν αὐτοὺς ἐλθεῖν ἐκ πολλοῦ παρορμήσαντα. (2) ἐπιδραμόντες δὲ Νικαίᾳ καὶ Κίῳ καὶ Ἀπαμείᾳ καὶ Προύσῃ τὰ παραπλήσιά τε καὶ ἐν ταύταις πεποιηκότες ἐπὶ τὴν Κύζικον ὥρμησαν. τοῦ Ῥυνδάκου δὲ ποταμοῦ πολλοῦ ῥεύσαντος ἐκ τῶν γενομένων ὄμβρων, περαιωθῆναι τοῦτον ἀδυνατήσαντες ἀνεχώρησαν ὀπίσω, καὶ τὴν μὲν Νικομήδειαν ἐνέπρησαν καὶ τὴν Νίκαιαν, ἁμάξαις δὲ καὶ πλοίοις ἐμβαλόντες τὰ λάφυρα περὶ τῆς οἴκαδε ἐπανόδου διενοοῦντο, τοῦτο τῆς δευτέρας ἐφόδου ποιησάμενοι τέλος.

36. Οὐαλεριανὸς δὲ πυθόμενος τὰ κατὰ τὴν Βιθυνίαν, στρατηγῶν μὲν οὐδενὶ τὴν κατὰ τῶν βαρβάρων ἄμυναν ὑπὸ ἀπισ-

собомъ, какъ продолжительную, трудную и по опустошеннымъ уже мѣстностямъ. (2) Выждавъ зимняго времени, они оставили Евксинскій Понтъ влѣво, при чемъ сухопутныя силы пошли параллельно *съ судами* по берегамъ чрезъ удобныя мѣста, миновали по правую руку Истръ, Томей и Анхіалъ и пристали къ Филеатинскому озеру, лежащему у Понта на западномъ поворотѣ къ Византіи. Узнавъ, что мѣстные рыбаки съ имѣвшимися у нихъ лодками спрятались въ прилегающихъ къ озеру болотахъ, *варвары* мирнымъ путемъ привлекли ихъ на свою сторону, посадили *на суда* сухопутную рать и двинулись къ переправѣ черезъ проливъ между Византіею и Халкидономъ. (3) Хотя въ самомъ Халкидонѣ и *затѣмъ* до святилища у устья Понта была стража, значительно превышавшая *численностью* напавшихъ, но одни изъ солдатъ удалились, якобы желая встрѣтить посланнаго императоромъ воеводу, а другіе пришли въ такой ужасъ, что при *первомъ* слухѣ *о нашествіи* бѣжали безъ оглядки. Послѣ этого варвары переправились и, взявъ Халкидонъ безъ всякаго сопротивленія, овладѣли деньгами, оружіемъ и разной утварью въ огромномъ количествѣ.

35. *Затѣмъ* они пошли на Никомидію, огромный и благоустроенный *городъ*, пользовавшійся широкою извѣстностью по богатству и благоденствію во всемъ. Такъ какъ ея жители, заранѣе узнавъ *о нашествіи*, успѣли спастись бѣгствомъ, то варвары, захвативъ сокровища, какія только могли, изумились изобилію найденныхъ *богатствъ* и всячески чтили и ублажали Хрисогона, давно склонявшаго ихъ пойти на Никомидію. (2) Сдѣлавъ набѣгъ на Никею, Кіосъ, Апамію и Прусу и поступивъ подобнымъ образомъ въ этихъ *городахъ*, они устремились на Кизикъ, но не могли переправиться чрезъ рѣку Риндакъ, широко разлившуюся вслѣдствіе бывшихъ дождей, и отступили назадъ. Предавъ пламени Никомидію и Никею и сложивъ добычу на повозки и суда, они стали думать о возвращеніи на родину, положивъ такимъ образомъ конецъ второму нашествію.

36. Валеріанъ, узнавъ о событіяхъ въ Виѳиніи, вслѣдствіе недовѣрія не рѣшался поручить ни одному изъ воеводъ за-

Digitized by Google

τίας ἐθάρρει καταπιστεῦσαι, Φήλικα δὲ φυλάξοντα τὸ Βυζάντιον στείλας αὐτὸς ἀπὸ τῆς Ἀντιοχείας ἄχρι Καππαδοκίας ἐχώρει...

щиту противъ варваровъ и, пославъ Феликса охранять Византію, самъ прошелъ отъ Антіохіи до Каппадокіи...

---

37. Ὄντων δὲ τῶν ἀμφὶ τὴν ἑῴαν ἐν τούτοις, πάντα μὲν ἦν ἀναρχά τε καὶ ἀβοήθητα, Σκύθαι δὲ ὁμογνωμονήσαντες καὶ ἐκ παντὸς ἔθνους τε καὶ γένους εἰς ἓν συνελθόντες τὴν τε Ἰλλυρίδα μοίρᾳ τινὶ σφῶν ἐλήζοντο καὶ τὰς ἐν ταύτῃ πόλεις ἐπόρθουν, μοίρᾳ δὲ ἄλλῃ τὴν Ἰταλίαν καταλαβόντες καὶ ἄχρι τῆς Ῥώμης ἐπῆσαν...

37. При такомъ положеніи дѣлъ на Востокѣ, когда все было безвластно и безпомощно, Скиѳы, вступивъ въ соглашеніе и сплотившись воедино изъ всякаго племени и рода, одною частью своихъ *полчищъ* опустошали Иллирію и разоряли въ ней города, а другая часть заняла Италію и дошла до Рима...

---

38. Ἐπὶ πᾶσι τούτοις ὁ Γαλλιηνὸς συνταραχθεὶς εἰς τὴν Ῥώμην ἐπανήει, τὸν ὑπὸ Σκυθῶν ἐπαχθέντα τῇ Ἰταλίᾳ πόλεμον διαθήσων...

38. Испуганный всѣмъ этимъ Галліенъ[1]) возвратился въ Римъ, чтобы распорядиться веденіемъ войны, принесенной Скиѳами въ Италію...

---

39. Τῶν δὲ Σκυθῶν τὴν Ἑλλάδα κάκιστα διαθέντων καὶ τὰς Ἀθήνας αὐτὰς ἐκπολιορκησάντων, Γαλλιηνὸς μὲν ἐπὶ τὴν πρὸς τούτους μετῄει μάχην ἤδη τὴν Θρᾴκην καταλαβόντας...

39. Когда Скиѳы опустошили Элладу, взяли приступомъ самыя Аѳины и уже заняли Ѳракію, Галліенъ выступилъ на борьбу съ ними...

---

40. Οὕσης δὲ τοιαύτης τῆς ἀμφὶ τὴν ἀνατολὴν καταστάσεως ἀγγέλλεται Γαλλιηνῷ τῷ πρὸς Σκύθας ἐγκαρτεροῦντι πολέμῳ τὸν τῆς ἵππου πάσης ἡγούμενον Αὐρίολον, ἐν Μεδιολάνῳ τῇ πόλει τὴν ἐπὶ τὴν Ἰταλίαν πάροδον Ποστούμου τεταγμένον παραφυλάττειν, εἰς τὸ νεωτερίζειν τετράφθαι καὶ μνᾶσθαι τῆν τῶν ὅλων ἀρχὴν ἑαυτῷ. συνταραχθεὶς δὲ πρὸς τοῦτο παραχρῆμα τῆς ἐπὶ τὴν Ἰταλίαν ὁδοιπορίας εἴχετο, τὴν στρατηγίαν τοῦ πρὸς Σκύθας πολέμου Μαρκιανῷ παραδούς, ἀνδρὶ τὰ πολέμια σφόδρα ἐξησκημένῳ. (2) τούτου δὲ τὸν πόλεμον εὖ διατιθέντος, Γαλλιηνὸς ἐχόμενος τῆς ἐπὶ τὴν Ἰταλίαν ὁδοῦ εἰς τοιάνδε ἐπιβουλὴν ἐμπίπτει... (sequitur narratio de morte Gallieni et Aureoli).

40. При такомъ положеніи *дѣлъ* на Востокѣ Галліенъ, занятый войною со Скиѳами, получаетъ извѣстіе, что начальникъ всей конницы Авреолъ, поставленный въ городѣ Медіоланѣ стеречь проходъ Постума въ Италію, задумалъ измѣну и стремится къ присвоенію верховной власти. Испуганный этимъ *Галліенъ* немедленно отправился въ Италію, передавъ главное начальство въ войнѣ со Скиѳами Маркіану, человѣку весьма искусному въ военномъ дѣлѣ. (2) Между тѣмъ какъ послѣдній удачно велъ войну, Галліенъ по пути въ Италію дѣлается жертвою слѣдующаго замысла...

---

42. Κατὰ τοῦτον δὴ τὸν χρόνον Σκυθῶν οἱ περιλειφθέντες, ἐκ τῶν προλαβουσῶν ἐπαρθέντες ἐφόδων, Ἐρούλους καὶ Πεύ-

42. Въ это самое время остальные Скиѳы, ободренные предыдущими *удачными* набѣгами, соединившись съ Геру-

1) A. 260—268.

Digitized by Google

κας [1])καὶ Γότθους παραλαβόντες καὶ περὶ τὸν Τύραν ποταμὸν ἀθροισθέντες, ὃς εἰς τὸν Πόντον εἰσβάλλει, ναυπηγησάμενοι πλοῖα ἑξακισχίλια [2]) καὶ τούτοις ἐμβιβάσαντες δύο καὶ τριάκοντα μυριάδας, ἅραντες διὰ τοῦ Πόντου, Τομεῖ μὲν τειχήρει πόλει προσβαλόντες ἀπεκρούσθησαν, προελθόντες δὲ καὶ ἐπὶ Μαρκιανούπολιν, ἣ Μυσίας ἐστίν, ἀναβάντες καὶ ταύτης διαμαρτόντες ἔπλεον ἐπὶ τὸ πρόσω, κατὰ πρύμναν τὸν ἄνεμον ἔχοντες. (2) ἐπεὶ δὲ τὰ στενὰ τῆς Προποντίδος κατέλαβον, τότε δὴ τῶν νεῶν τὸ πλῆθος ἐνεγκεῖν τὴν τοῦ ῥοῦ ταχυτῆτα μὴ δυνάμενον ἀλλήλοις τὰ πλοῖα προσήραττεν, καὶ ἐφέρετο τὰ σκάφη σὺν οὐδενὶ κόσμῳ, τῶν κυβερνητῶν μεθιέντων τοὺς οἴακας, ὥστε τὰς μὲν καταδῦναι αὐτάνδρους, τινὰς δὲ καὶ ἀνδρῶν ἐρήμους ὀκεῖλαι, πλήθους πολλοῦ καὶ ἀνθρώπων καὶ πλοίων ἀπολομένου. (43) διὰ δὲ τοῦτο τοῦ μὲν στενοῦ τῆς Προποντίδος ὑπανεχώρουν οἱ βάρβαροι, τὴν δὲ ἐπὶ Κύζικον ἔπλεον. ἄπρακτοι δὲ διεκπεσόντες καὶ παραπλεύσαντες τὸν Ἑλλήσποντον, ἄχρι τε τοῦ Ἄθω παρενεχθέντες κἀκεῖσε τῶν πλοίων ἐπιμέλειαν ποιησάμενοι Κασσάνδρειαν καὶ Θεσσαλονίκην ἐπολιόρκουν. μηχανὰς δὲ τοῖς τείχεσι προσαγαγόντες καὶ παρὰ βραχὺ τοῦ ταύτας ἑλεῖν ἐλθόντες, ἐπειδὴ τὸν βασιλέα προσάγειν ἐπύθοντο, εἰς τὴν μεσόγειαν ἀναβάντες τὰ περὶ Δόβηρον καὶ Πελαγονίαν ἐλήζοντο πάντα χωρία. (2) ἐς ἃ δὴ τρισχιλίους ἀποβαλόντες εἰς τὴν τῶν Δαλματῶν ἵππον ἐμπεπτωκότες, τοῖς λειπομένοις πρὸς τὴν οὖσαν ἅμα τῷ βασιλεῖ διηγωνίζοντο δύναμιν. μάχης δὲ γενομένης, ἐξ ἑκατέρου τε μέρους πεσόντων..., ἐτρέποντο μὲν οἱ Ῥωμαῖοι, διὰ δὲ ἀτρίπτων αὐτοῖς ὁδῶν ἀπροσδοκήτοις ἐπιπεσόντες πέντε τῶν βαρβάρων μυριάδας διέφθειραν. μοῖρα δὲ τῶν Σκυθῶν Θεσσαλίαν καὶ τὴν Ἑλλάδα περιπλεύσασα τοὺς ταύτῃ τόπους ἐλῄζετο, πόλεσιν μὲν ἐπιέναι μὴ δυναμένη τῷ φθῆναι ταύτας τειχῶν τε καὶ τῆς ἄλλης ἀσφαλείας φροντίδα ποιήσασθαι, τοὺς δὲ ἐν τοῖς ἀγροῖς εὑρισκομένους ἀπάγουσα.

лами, Певками и Готѳами и собравшись у рѣки Тиры, впадающей въ Понтъ, построили 6000 судовъ и, сѣвъ на нихъ въ *количествѣ* 320000 человѣкъ, двинулись по Понту. Нападеніе на укрѣпленный стѣнами городъ Томей было отбито; пройдя впередъ, они напали на мезійскій городъ Маркіанополь, но тоже неудачно, и *затѣмъ* съ попутнымъ вѣтромъ двинулись дальше. (2) Когда они достигли узкаго пролива Пропонтиды, множество кораблей не въ состояніи было справиться съ быстротою теченія и поэтому суда сталкивались другъ съ другомъ и неслись по волнамъ въ полномъ безпорядкѣ, такъ какъ кормчіе покинули рули; вслѣдствіе этого нѣкоторыя суда потонули вмѣстѣ съ экипажемъ, другія разбились пустыми, при чемъ погибло большое количество людей и судовъ. (43) Поэтому варвары удалились изъ тѣснинъ Пропонтиды и поплыли на Кизикъ, но должны были отступить отъ него безъ *всякаго* успѣха. Миновавъ *затѣмъ* Геллеспонтъ, они были занесены теченіемъ до Аѳона и, исправивъ тамъ свои суда, осадили Кассандрію и Ѳессалонику. Они придвинули къ стѣнамъ осадныя машины и едва не взяли эти *города*, но, узнавъ о приближеніи императора, удалились внутрь страны и опустошили всѣ селенія по Довиру и Пелагоніи. (2) Потерявъ тамъ три тысячи *людей* въ стычкѣ съ конницею Далматовъ, они съ остальными *силами* вступили въ борьбу съ императорской ратью. Когда произошло сраженіе и съ обѣихъ сторонъ пали..., Римляне отступили, но затѣмъ, неожиданно напавши на варваровъ по неизвѣстнымъ имъ дорогамъ, истребили 50000 человѣкъ. Часть Скиѳовъ, объѣхавъ моремъ Ѳессалію и Элладу, стала опустошать тамошнія мѣстности, не имѣя возможности нападать на города, успѣвшіе позаботиться о стѣнахъ и прочихъ средствахъ защиты, но захватывая всѣхъ, кто попадался въ поляхъ.

V. 37: «lacunam indicavit Steph. excidit πολλῶν, παμπόλλων vel sim.». Mend.

1) Cap. 42 excerpsit Suidas v. Σκύθαι. — «Ἐρούλους] Ἐρούλους editur in Suida. Ἕλουροι forma Dexippus, ex quo proxima fluxerunt, in Chronicis saltem usus erat; suntque ea forma alii quoque usi, cf. Gelzer Jahrb. f. prot. Theol. a. 1884 p. 318 sq. Αἴρουλοι tamen Syncell. I p. 717, 9 et p. 720, 15, qui item Dexippum secutus est». — «Πεύκας] Πευκέστας (Πευκέτας) Suidas. 'Peuci' v. Claud. 6, 2, ubi Dexippea item expressa sunt. Πευκίτους Casaubonus». Mend. 2) «ἑξακισχίλια] ἑνακόσια Suidas. ἑς vel ὡς δισχίλια Casaubonus adv. Claud. 6, 5, quod probandum videtur, cf. Wietersheim-Dahn I p. 557, 4. etiam 'duo navium milia' Ammiani XXXI, 5, 15 cum Mommseno h. R. t. V p. 221, 1 huc trahenda videntur.» Mend.

Digitized by Google

45. Τῆς Αἰγύπτου τοίνυν ὑπὸ Παλμυρηνοῖς γενομένης, οἱ ἐκ τῆς ἐν Ναίσσῳ Κλαυδίου καὶ Σκυθῶν μάχης περιλειφθέντες, προβαλλόμενοι τὰς ἀμάξας, ὡς ἐπὶ Μακεδονίαν ἐχώρουν, σπάνει δὲ τῶν ἐπιτηδείων λιμῷ πιεζόμενοι διεφθείροντο αὐτοί τε καὶ ὑποζύγια. προάγουσι δὲ αὐτοῖς ἡ Ῥωμαίων ἵππος ὑπαντιάσασα, πολλούς τε ἀνελοῦσα, τοὺς λοιποὺς ἐπὶ τὸν Αἶμον ἀπέτρεψεν. (2) κυκλωθέντες δὲ τοῖς Ῥωμαίων στρατοπέδοις οὐκ ὀλίγους ἀπέβαλον. ἐπεὶ δὲ διαστάντων πρὸς ἑαυτοὺς πεζῶν καὶ ἱππέων ἐδόκει βασιλεῖ τοὺς πεζοὺς τοῖς βαρβάροις διαμαχέσασθαι, καρτερᾶς γενομένης μάχης ἐτρέποντο Ῥωμαῖοι· καὶ ἀναιρεθέντων οὐκ ὀλίγων, ἡ ἵππος ἐπιφανεῖσα μετρίαν αὐτοῖς τὴν τοῦ πταίσματος πεποίηκεν αἴσθησιν. (46) πρόσω δὲ τῶν Σκυθῶν ἐλασάντων καὶ Ῥωμαίων αὐτοῖς ἐπακολουθούντων, οἱ Κρήτην καὶ Ῥόδον περιπλεύσαντες βάρβαροι πράξαντες οὐδὲν ἀφηγήσεως ἄξιον ἀνεχώρησαν. λοιμοῦ δὲ κατασχόντος ἅπαντας αὐτοὺς οἱ μὲν κατὰ Θρᾴκην οἱ δὲ κατὰ Μακεδονίαν ἐφθάρησαν. (2) ὅσοι δὲ διεσώθησαν, ἢ τάγμασιν Ῥωμαίων συνηριθμήθησαν ἢ γῆν λαβόντες εἰς γεωργίαν ταύτῃ προσεκαρτέρησαν...

45. Когда Египетъ такимъ образомъ подпалъ подъ власть Пальмиренцевъ, оставшіеся въ живыхъ послѣ битвы Клавдія со Скиѳами при Наиссѣ[1]), выдвинувъ впередъ повозки, двинулись въ Македонію, но вслѣдствіе недостатка продовольствія мучимые голодомъ гибли вмѣстѣ съ упряжными животными. Римская конница, встрѣтивъ ихъ при ихъ движеніи впередъ, многихъ перебила и остальныхъ отбросила на Эмъ. (2) Окруженные Римскими войсками, они потеряли не малое *количество людей*, но когда послѣ раздѣленія пѣхоты и конницы императоръ рѣшилъ, чтобы пѣхота сражалась съ варварами, произошло жаркое сраженіе, въ которомъ Римляне обратили тылъ и многіе были убиты; но появившаяся *во время* конница умѣрила тяжесть понесеннаго пораженія. (46) Когда Скиѳы двинулись впередъ и Римляне слѣдовали за ними, варвары объѣхали моремъ Критъ и Родосъ, но не сдѣлали ничего достойнаго вниманія и возвратились. *Затѣмъ* всѣ они подверглись заразной болѣзни и одни погибли во Ѳракіи, другіе въ Македоніи. (2) Уцѣлѣвшіе *отъ нея* или были зачислены въ Римскіе легіоны, или получили тамъ землю и занялись земледѣліемъ...

---

48. Αὐρηλιανὸς[2]) δέ, κρατυνάμενος τὴν ἀρχήν, ἐκ τῆς Ῥώμης ἐλάσας ἐπὶ τὴν Ἀκυληίαν ἐχώρει κἀκεῖθεν ἤλαυνεν ἐπὶ τὰ Παιόνων ἔθνη, τούτοις τοὺς Σκύθας μαθὼν ἐπιθέσθαι[3]). πέμψας δὲ σκόπους ἀπαγγελοῦντας εἰσάγειν εἰς τὰς πόλεις σιτία καὶ ζῷα καὶ πᾶν ὅτι οὖν τοὺς ἐναντίους ἔμελλεν ὠφελήσειν, ταύτῃ τὸν ἐπικείμενον αὐτοῖς λιμὸν αὔξειν διενοεῖτο. (2) περαιωθέντων δὲ τῶν βαρβάρων καὶ μάχης ἐν τῇ Παιονίᾳ γενομένης ἰσοπαλοῦς, νὺξ ἐπιγενομένη τὴν νίκην ἀμφήριστον ἀμφοτέροις πεποίηκεν. ἐν δὲ τῇ νυκτὶ τὸν ποταμὸν οἱ βάρβαροι διαβάντες ἅμα ἡμέρᾳ περὶ σπονδῶν ἐπεκηρυκεύοντο.

48. Авреліанъ, укрѣпивъ свою власть, выступилъ изъ Рима и пошелъ на Аквилею, а оттуда двинулся къ Пэонійскимъ племенамъ, узнавъ о нападеніи на нихъ Скиѳовъ. Разославъ лазутчиковъ съ извѣщеніемъ, чтобы въ города свозился хлѣбъ, скотъ и вообще все, что могло быть полезно непріятелямъ, онъ надѣялся этимъ увеличить грозившій имъ голодъ. (2) Когда варвары переправились и въ Пэоніи произошло нерѣшительное сраженіе, наступившая ночь сдѣлала побѣду сомнительною для обѣихъ *сторонъ*; ночью варвары перешли рѣку и съ наступленіемъ дня завели переговоры о перемиріи.

V. 32: «σκόπους] accentum non mutavi, cum corruptelam subesse credam, quandoquidem 'exploratores' Zosimo ubique sunt κατάσκοποι. conieci πανταχόσε τούς». Mend.

1) Hodie Nisch, oppidum Serbiae. Pugna fuit a. 269. 2) A. 270—275. 3) Haec «tam neglegenter a Zosimo concepta sunt ut utrum priorem Iuthungorum invasionem (Dexippi fr. 24 F. H. G. t. III p. 682) — quae Wietersheimii t. I² p. 558 sq. aliorumque est opinio—an Vandalorum (Dexipp. ib. p. 685) ille significet ambigi possit. equidem cum Schillero t. I p. 852, Vandalos intellegendos puto». Mend.

Digitized by Google

49. Πυθόμενος δὲ ὁ βασιλεὺς ὡς Ἀλαμαννοὶ καὶ τὰ πρόσοικα τούτοις ἔθνη γνώμην ποιοῦνται τὴν Ἰταλίαν ἐπιδραμεῖν, ἐπὶ τῇ Ῥώμῃ καὶ τοῖς περὶ ταύτην τόποις εἰκότως πλέον πεφροντικώς, ἱκανὴν τῇ Παιονίᾳ καταλιπὼν ἐπικουρίαν ἐπὶ τὴν Ἰταλίαν ἐτράπη...

49. Императоръ, узнавъ, что Аламанны и сосѣднія съ ними племена намѣреваются вторгнуться въ Италію, и естественно заботясь болѣе о Римѣ и окружающихъ его мѣстностяхъ, направился въ Италію, оставивъ въ Пэоніи достаточныя силы для ея защиты...

---

63. Τακίτου δὲ τὰ τῆς Ῥώμης ἀναδησαμένου βασίλεια καὶ τὴν ἀρχὴν ἔχοντος [1]), Σκύθαι διὰ τῆς Μαιώτιδος λίμνης περαιωθέντες διὰ τοῦ Πόντου τὰ μέχρι Κιλικίας ἐπέδραμον· οἷς ἐπεξελθὼν Τάκιτος τοὺς μὲν αὐτὸς καταπολεμήσας ἐξέλιπεν, τοὺς δὲ Φλωριανῷ προβεβλημένῳ τῆς αὐλῆς ἐπάρχῳ παραδοὺς ἐπὶ τὴν Εὐρώπην ἐξώρμησεν... (Sequitur narratio de morte Taciti et de bello civili inter Florianum et Probum).

63. Когда Тацитъ вступилъ на престолъ Римскій и получилъ власть, Скиѳы, переправившись чрезъ Меотійское озеро и Понтъ, совершили набѣгъ до Киликіи. Выступивъ противъ нихъ, Тацитъ однихъ одолѣлъ и истребилъ самъ, а другихъ передалъ назначенному начальникомъ дворца Флоріану и двинулся въ Европу...

64,2... παρεσκευασμένων δὲ εἰς πόλεμον ἀμφοτέρων εἰς τὴν Ταρσὸν ὁ Φλωριανὸς ἀφικόμενος αὐτῇ στρατοπεδεύειν ἐγνώκει, τὴν κατὰ τῶν ἐν Βοσπόρῳ Σκυθῶν νίκην ἡμιτελῆ καταλελοιπώς...

64,2... Когда обѣ *стороны* изготовились къ войнѣ, Флоріанъ, прибывъ въ Тарсъ, рѣшилъ стать здѣсь лагеремъ, оставивъ не оконченною побѣдоносную борьбу противъ воспорскихъ Скиѳовъ...

71... [Πρόβος] Βαστέρνας, Σκυθικὸν ἔθνος, ὑποπεσόντας αὐτῷ προσέμενος κατῴκισε Θρᾳκίοις χωρίοις· καὶ διετέλεσαν τοῖς Ῥωμαίων βιοτεύοντες νόμοις...

71... [Пробъ], принявъ скиѳское племя Бастерновъ, изъявившее ему покорность, поселилъ въ ѳракійскихъ мѣстностяхъ, и они стали жить по римскимъ обычаямъ...

ВІВА. В'. КН. 2-Я.

21. Κωνσταντῖνος δὲ πυθόμενος Σαυρομάτας τῇ Μαιώτιδι προσοικοῦντας λίμνῃ, ναυσὶ διαβάντας τὸν Ἴστρον, τὴν οὖσαν ὑπ' αὐτῷ λῃζεσθαι χώραν, ἦγεν ἐπ' αὐτοὺς τὰ στρατόπεδα. συναντησάντων δὲ καὶ τῶν βαρβάρων αὐτῷ μετὰ Ῥαυσιμόδου τοῦ σφῶν βασιλεύοντος, τὴν ἀρχὴν οἱ Σαυρομάται προσέβαλλον πόλει φρουρὰν ἀρκοῦσαν ἐχούσῃ, ἧς τὸ μὲν ἀπὸ γῆς ἀνατρέχον ἐς ὕψος τοῦ τείχους ἐκ λίθων ᾠκοδόμητο, τὸ δὲ ἀνωτέρω ξύλινον ἦν. (2) οἰηθέντες τοίνυν οἱ Σαυρομάται ῥᾷστα τὴν πόλιν αἱρήσειν, εἰ τοῦ τείχους ὅσον ξύλινον ἦν καταφλέξαιεν, πῦρ τε προσῆγον καὶ

21. Константинъ, узнавши, что Савроматы, живущіе у Меотійскаго озера, переправившись на судахъ черезъ Истръ, опустошаютъ подвластную ему землю, повелъ противъ нихъ войска. Варвары выступили противъ него подъ предводительствомъ своего царя Равсимода [2]). Сначала Савроматы приступили къ городу, снабженному достаточнымъ гарнизономъ; поднимающаяся отъ земли вверхъ часть стѣны его была построена изъ камня, а верхняя *часть* была деревянная. (2) Поэтому Савроматы, разсчитывая безъ всякаго труда взять городъ, если сожгутъ деревянную часть стѣ-

V. 34: «πόλει] fort. nomen intercidit». Mend.
1) A. 275. 2) A. 422. Cf. *Schiller*, Gesch. d. röm. Kaiserzeit II p. 199.

Digitized by Google

τοὺς ἐπὶ τοῦ τείχους ἐτόξευον. ἐπεὶ δὲ οἱ ἐφεστῶτες τοῖς τείχεσι βέλεσί τε καὶ λίθοις τοὺς βαρβάρους ἐξ ὑπερδεξίων βάλλοντες ἔκτεινον, ἀπαντήσας Κωνσταντῖνος καὶ κατὰ νώτου τοῖς βαρβάροις ἐπιπεσὼν πολλοὺς μὲν ἀπέκτεινεν, τοὺς δὲ πλείους ἐζώγρησεν, ὥστε τοὺς λειπομένους φυγεῖν. (3) Ῥαυσίμοδος δὴ τὸ πολὺ μέρος ἀποβαλὼν τῆς δυνάμεως, ἐς τὰς ναῦς ἐμβὰς ἐπεραιοῦτο τὸν Ἴστρον, διανοούμενος καὶ αὖθις τὴν Ῥωμαίων λῄζεσθαι χώραν. ὅπερ ἀκούσας Κωνσταντῖνος ἐπηκολούθει, τὸν Ἴστρον καὶ αὐτὸς διαβάς, καὶ συμφυγοῦσι πρός τινα λόφον ὕλας ἔχοντα πυκνὰς ἐπιτίθεται, καὶ πολλοὺς μὲν ἀνεῖλεν, ἐν οἷς καὶ Ῥαυσίμοδον αὐτόν, πολλοὺς δὲ ζωγρίας ἑλὼν τὸ περιλειφθὲν πλῆθος χεῖρας ἀνατείναν ἐδέξατο, καὶ μετὰ πλήθους αἰχμαλώτων ἐπανῄει πρὸς τὰ βασίλεια.

ны, стали подпускать огонь и стрѣлять въ *стоявшихъ* на стѣнѣ. Когда же стоявшіе на стѣнѣ поражали варваровъ сверху стрѣлами и камнями и убивали *ихъ*, Константинъ приблизился, напалъ на варваровъ съ тыла, многихъ перебилъ и еще большее число взялъ живьемъ, такъ что остальные обратились въ бѣгство. (3) Равсимодъ, потерявъ большую часть своихъ полчищъ, сѣлъ на суда и переправился черезъ Истръ съ намѣреніемъ снова опустошить Римскую область. Услышавъ объ этомъ, Константинъ послѣдовалъ *за нимъ*, также переправившись черезъ Истръ, и напалъ на *варваровъ*, сбѣжавшихся на одинъ холмъ, покрытый густымъ лѣсомъ. Онъ многихъ убилъ, въ томъ числѣ и самого Равсимода, и многихъ взялъ живыми, а остальную часть, протянувшую руки, принялъ *подъ свою власть* и съ *большимъ* количествомъ плѣнныхъ возвратился въ столицу.

31,5... ἐπελθόντων δὲ Θαϊφάλων, Σκυθικοῦ γένους, ἱππεῦσι πεντακοσίοις οὐ μόνον οὐκ ἀντετάξατο τούτοις [Κωνσταντῖνος], ἀλλὰ τὸ πολὺ τῆς δυνάμεως ἀποβαλὼν καὶ τὰ μέχρι τοῦ χάρακος αὐτοὺς λῃζομένους ἰδὼν ἀγαπητῶς ἀποδρὰς διεσώθη.

31,5 ...Когда скиѳскій родъ Ѳанфаловъ сдѣлалъ набѣгъ въ количествѣ 500 всадниковъ, [Константинъ] не только не сразился съ ними, но, потерявъ большую часть своего войска и увидѣвъ, какъ они опустошали область до *самаго* рва, самодовольно спасся бѣгствомъ.

---

33. Κωνσταντῖνος δὲ τὰ καλῶς καθεστῶτα κινῶν μίαν οὖσαν ἐς τέσσαρας διεῖλεν ἀρχάς. ὑπάρχῳ γὰρ ἐνὶ τὴν Αἴγυπτον ἅπασαν... καὶ τὴν ἑῴαν ἄχρι Μεσοποταμίας καὶ προσέτι γε Κίλικας καὶ Καππάδοκας καὶ Ἀρμενίους καὶ τὴν παράλιον ἅπασαν ἀπὸ Παμφυλίας ἄχρι Τραπεζοῦντος καὶ τῶν παρὰ τὸν Φᾶσιν φρουρίων παρέδωκεν, τῷ αὐτῷ καὶ Θράκην ἐπιτρέψας, Μυσίᾳ τε μέχρις Ἀσήμου καὶ Ῥοδόπῃ μέχρι Τοπήρου πόλεως ὁριζομένην... (2) ἑτέρῳ δὲ Μακεδόνας καὶ Θεσσαλούς... καὶ πρὸς ταύταις Ἰλλυριοὺς καὶ Δάκας καὶ Τριβαλλοὺς καὶ τοὺς ἄχρι τῆς Βαλερίας Παίονας, καὶ ἐπὶ τούτοις τὴν ἄνω Μυσίαν...

33. Константинъ, измѣняя прекрасно установленное, раздѣлилъ единое *царство* на четыре области: одному намѣстнику онъ передалъ весь Египетъ,... Востокъ до Месопотаміи, кромѣ того Киликію, Каппадокію, Арменію и все поморье отъ Памфиліи до Трапезунта и укрѣпленій на Фасидѣ; ему же поручилъ онъ и Ѳракію, ограничиваемую Мезіей до Асима и Родопой до города Топира... (2) Другому *поручилъ* Македонію, Ѳессалію,... сверхъ того Иллирійцевъ, Даковъ, Тривалловъ и Пэоновъ до Валеріи, а кромѣ того Верхнюю Мезію...

V. 20: «Θαιφαλων] sine acc. V. de scriptura v. Zeuss p. 433. ipsa narratio subobscura et fortasse corrupta est, invidiosa certe». Mend. || V. 35: «ἀσήμου ex ἀσίμου V'. Αἴμου posuit Steph., cf. W. Tomaschek Z. f. oesterr. Gymn. t. XVIII (a. 1867) p. 721». || V. 36: «τοπηρου (sine acc.) V, Δοβήρου Steph. cf. Tomaschek l. d. et C. Müller ad Ptol. t. I p. 486». Mend.

Digitized by Google

ΒΙΒΛ. Γ΄.

1. Ταῦτα ἐπὶ Γάλλῳ τῷ Καίσαρι πεπρακὼς ὁ Κωνστάντιος αὐτὸς μὲν κατὰ τὴν Ἰταλίαν ἐκ Παιονίας διέβη, θεώμενος δὲ τὰ πανταχοῦ Ῥωμαίοις ὑπήκοα βαρβαρικαῖς ἐφόδοις ἀπειλημμένα, καὶ Φράγκους μὲν καὶ Ἀλαμαννοὺς καὶ Σάξονας ἤδη τεσσαράκοντα πόλεις ἐπικειμένας τῷ Ῥήνῳ κατειληφότας, καὶ αὐτὰς μὲν ἀναστάτους πεποιηκότας, τοὺς δὲ τούτων οἰκήτορας ἄπειρον ὄντας πλῆθος λῃσαμένους μετὰ πλούτου λαφύρων ἀναριθμήτου, Κουάδους δὲ καὶ Σαυρομάτας ἐπὶ πολλῆς ἀδείας Παιονίαν κατατρέχοντας καὶ τὴν ἀνωτέρω Μυσίαν... ταῦτα τοίνυν λαβὼν κατὰ νοῦν καὶ ἀπορῶν ὅ τι πράξειε, μόνος ἀρκέσειν οὐκ ἤλπετο δυνήσεσθαι πεπονηκόσιν οὕτω τοῖς πράγμασι βοηθήσειν...

КН. 3-Я.

1. Послѣ такого поступка съ Кесаремъ Галломъ самъ Констанцій изъ Пэоніи переправился въ Италію [1]). Видя, что подвластныя Римлянамъ области повсюду отняты варварскими нашествіями, что Франки, Аламанны и Саксы заняли уже сорокъ лежащихъ по Рейну городовъ и самые *города* разорили, а жителей ихъ въ безчисленномъ количествѣ захватили *въ плѣнъ* съ неисчислимымъ богатствомъ добычи, а Квады и Савроматы безбоязненно совершаютъ набѣги на Пэонію и верхнюю Мезію,... принявъ *все* это въ соображеніе и не зная, что дѣлать, онъ полагалъ, что одинъ не въ состояніи будетъ помочь столь печальному положенію дѣлъ...

2,1... ταύτῃ τὰ κατὰ Ἰουλιανὸν διαθεὶς ὁ Κωνστάντιος αὐτὸς μὲν ἐπὶ Παιονίαν καὶ Μυσίαν ἐχώρει κἀνταῦθα τὰ περὶ Κουάδους καὶ Σαυρομάτας οἰκονομήσας ἐπὶ τὴν ἑῴαν ἐτρέπετο...

2,1 ...Устроивъ такимъ образомъ дѣло съ Юліаномъ, самъ Констанцій отправился въ Пэонію и Мезію и, уладивъ тамъ дѣла съ Квадами и Савроматами, обратился на Востокъ...

10,1. ἐλθὼν δὲ εἰς Ῥαιτούς [ὁ Ἰουλιανός], ὅθεν ὁ Ἴστρος ἀρχόμενος Νωρικούς τε καὶ Παιονίαν πᾶσαν παραμείβεται καὶ προσέτι γε Δάκας καὶ τοὺς ἐν Θράκῃ Μυσοὺς καὶ Σκύθας, οὕτω τε εἰς τὸν Εὔξεινον ἐξίησι πόντον, πλοῖα ποταμία κατασκευάσας αὐτὸς μὲν ἅμα τρισχιλίοις εἰς τὸ πρόσω διὰ τοῦ Ἴστρου παρῆγε...

10,1. Прибывъ въ Рэты, откуда беретъ начало Истръ и, минуя Норикъ и всю Пэонію, а кромѣ того Даковъ, оракійскихъ Мезійцевъ и Скиѳовъ, впадаетъ въ Евксинскій Понтъ, [Юліанъ] заготовилъ рѣчныя суда и самъ съ тремя тысячами двинулся впередъ по Истру [2])...

ΒΙΒΛ. Δ΄.

5,1 [3])... [Προκόπιος] ἅμα τοῖς οἰκείοις ἅπασιν ἐπὶ τὸν Εὔξεινον ἔδραμε πόντον, ἐκεῖθέν τε νεὼς ἐπιβὰς ἐπὶ τὴν Ταυριανὴν διῄει Χερρόνησον. χρόνον δέ τινα διατρίψας αὐτόθι καὶ τοὺς οἰκήτορας θεασάμενος οὐδεμίαν ἐν αὐτοῖς ἔχοντας πίστιν, δεδιὼς μή ποτε τοῖς ἐπὶ ζήτησιν ἀφικνουμένοις αὐτοῦ παραδοθείη, παραπλέουσαν ἰδὼν ὁλκάδα καὶ ταύτῃ παραδοὺς ἑαυτὸν καὶ τοὺς οἰκείους τὴν Κωνσταντινούπολιν καταλαμβάνει νυκτὸς οὔσης ἔτι...

КН. 4-Я.

5,1 ...[Проколій] вмѣстѣ со всѣми домашними бѣжалъ къ Евксинскому Понту и оттуда, сѣвъ на корабль, переправился въ Херсонисъ Таврическій. Пробывъ тамъ нѣкоторое время, онъ замѣтилъ, что жители его не заслуживаютъ никакого довѣрія, и, боясь быть выданнымъ лицамъ, прибывшимъ искать его, увидѣвъ шедшее мимо грузовое судно, ввѣрилъ ему себя и домашнихъ и достигъ Константинополя еще ночью...

V. 17: βοηθήσειν delendum putat Mend. collatis III, 36,1 et IV, 34,1.

1) A. 355. Cf. *Schiller* l. l. II, p. 303 sq. 2) A. 361. Cf. *Schiller* l. l. II, p. 320. 3) Lib. IV c. 4—9 narrat Zosimus de seditione a Procopio Iuliani cognato contra Valentinianum et Valentem mota.

Digitized by Google

7,2... [Προκόπιος] τῶν ἐπιφανῶν τινας ἔστελλε πρὸς τὸν ἔχοντα τὴν τῶν ὑπὲρ τὸν Ἴστρον Σκυθῶν ἐπικράτειαν· ὁ δὲ μυρίους ἀκμάζοντας ἔπεμπε συμμάχους αὐτῷ. καὶ ἄλλα δὲ βάρβαρα ἔθνη συνήει μεθέξοντα τῆς ἐγχειρήσεως...

7,2 ...[Прокопій] послалъ нѣкоторыхъ знатныхъ *лицъ* къ предводителю Скиѳовъ, жившихъ выше Истра. Послѣдній прислалъ ему *въ качествѣ* союзниковъ 10000 *человѣкъ* цвѣтущаго возраста. Другія варварскія племена также собрались, чтобы принять участіе въ замыслѣ *Прокопія*...

---

10. Οὐάλης δὲ ὁ βασιλεὺς πολλοὺς μετὰ τὴν Προκοπίου τελευτὴν ἀνελών, πλειόνων δὲ τὰς οὐσίας εἰς τὸ δημόσιον ἐνεγκών, ἀνεκόπτετο τῆς ἐπὶ Πέρσας ἐλάσεως, μοίρας τῶν ὑπὲρ τὸν Ἴστρον Σκυθῶν τὰ Ῥωμαίων ὅρια ταραττούσης. ἐφ' οὓς δύναμιν ἀρκοῦσαν ἐκπέμψας τῆς ἐπὶ τὸ πρόσω πορείας ἀνεῖχε, καὶ τὰ ὅπλα παραδοῦναι συναναγκάσας διένειμε ταῖς παρὰ τὸν Ἴστρον αὐτοῦ πόλεσιν, ἐν ἀδέσμῳ φρουρεῖσθαι παρακελευσάμενος φυλακῇ. οὗτοι δὲ ἦσαν οὓς ὁ τῶν Σκυθῶν ἡγούμενος ἔτυχε Προκοπίῳ συμμάχους ἐκπέμψας. (2) ἐπεὶ οὖν τούτους ἀφεθῆναι παρὰ τοῦ βασιλέως ἀπῄτει κατὰ πρεσβείαν τοῦ τότε κρατοῦντος αὐτοὺς φήσας ἐκπεπομφέναι, πρὸς οὐδὲν αὐτῷ ὁ βασιλεὺς Οὐάλης ὑπήκουε· μήτε γὰρ πρὸς αὐτὸν τούτους ἐστάλθαι ἔλεγε, μήτε φίλους ὄντας ἀλλὰ πολεμίους ἁλῶναι. αὕτη τὸν Σκυθικὸν πόλεμον ἀνερρίπισεν ἡ αἰτία. (3) διανοουμένους δὲ αὐτοὺς ἐπέναι τοῖς Ῥωμαίων ὁρίοις αἰσθόμενος ὁ βασιλεύς, καὶ πρὸς αὐτὸ ἤδη συνειλεγμένους ἅπαντας σὺν ὀξύτητι πάσῃ, τὸ μὲν στρατόπεδον τῇ ὄχθῃ τοῦ Ἴστρου συμπαρατείνας, αὐτὸς δὲ ἐπὶ τῆς Μαρκιανουπόλεως, ἣ μεγίστη τῶν ἐν Θράκῃ πόλεών ἐστι, διατρίβων, τῆς τε τῶν στρατιωτῶν ἐν ὅπλοις ἀσκήσεως ἐπιμέλειαν ἐποιεῖτο καὶ μάλιστα τοῦ μηδεμίαν αὐτοῖς ἐπιλεῖψαι τροφήν. (4) ὕπαρχον μὲν οὖν τῆς αὐλῆς Αὐξόνιον ἐπεδείκνυ, Σαλούστιον ταύτης διὰ τὸ γῆρας ἀφείς, ἤδη δεύτερον ταύτην μεταχειρισάμενον τὴν ἀρχήν· Αὐξόνιος δέ, καίπερ ἐνεστῶτος οὕτω μεγάλου πολέμου, περί τε τὴν τῶν εἰσφορῶν εἴσπραξιν δίκαιος ἦν, οὐδένα βαρύνεσθαι παρὰ τὸ καθῆκον καὶ ὀφειλόμενον ἀνεχόμενος, καὶ ὁλκάδων πλήθει τὴν στρατιωτικὴν σίτησιν διὰ τοῦ Εὐξείνου πόντου ταῖς ἐκβολαῖς τοῦ Ἴστρου παραδιδούς, κἀντεῦθεν διὰ τῶν ποταμίων πλοίων ταῖς ἐπικειμέναις τῷ ποταμῷ πόλεσιν ἐναποτιθέμενος, ὥστε ἐξ ἑτοίμου γίνεσθαι τῷ στρα-

10. Императоръ Валентъ послѣ кончины Прокопія многихъ казнилъ и еще бо́льшее количество *лицъ* наказалъ конфискаціей имущества. Къ походу противъ Персовъ явилось препятствіе въ томъ, что отрядъ жившихъ выше Истра Скиѳовъ безпокоилъ Римскія границы. Выславъ противъ нихъ достаточную силу, онъ удержалъ ихъ отъ движенія впередъ и, принудивъ выдать оружіе, распредѣлилъ ихъ по своимъ городамъ, лежащимъ при Истрѣ, приказавъ держать ихъ на свободѣ подъ надзоромъ. Это были тѣ *люди*, которыхъ предводитель Скиѳовъ послалъ въ качествѣ союзниковъ къ Прокопію. (2) Поэтому *предводитель* просилъ императора отпустить ихъ, говоря, что выслалъ ихъ по просьбѣ тогдашняго владыки; но Валентъ не обратилъ никакого вниманія на его просьбу: онъ говорилъ, что эти *люди* были посланы не къ нему и взяты не какъ друзья, а какъ враги. Эта причина раздула Скиѳскую войну[1]). (3) Императоръ, узнавъ, что Скиѳы намѣреваются сдѣлать набѣгъ на Римскіе предѣлы и для этой цѣли уже собрались всѣ съ величайшей готовностью, разставилъ войско по берегу Истра, а самъ поселился въ Маркіанополѣ, величайшемъ изъ ѳракійскихъ городовъ, и заботился о военныхъ упражненіяхъ солдатъ и главнымъ образомъ о томъ, чтобы у нихъ не было недостатка ни въ какомъ провіантѣ. (4) Онъ назначилъ начальникомъ двора Авксонія, отпустивъ отъ двора за старостью Салустія, уже во второй разъ исполнявшаго эту должность. Авксоній, несмотря на предстоявшую столь важную войну, дѣйствовалъ справедливо при взысканіи податей, не допуская, чтобы кто-либо былъ обремененъ вопреки закону и долгу, и на множествѣ грузовыхъ судовъ подвозилъ продовольствіе для войскъ по Евксинскому Понту къ устьямъ Истра,

1) Cf. Eunap. fr. 37 (supra, p. 725).

Digitized by Google

τοπέδῳ τὴν χορηγίαν. (11) τούτων δὲ οὕτω χειμῶνος ὄντος ἔτι διῳκημένων, ἔαρος ἀρχομένου τῆς Μαρκιανουπόλεως ὁ βασιλεὺς ἀναστὰς ἅμα τοῖς εἰς τὸν Ἴστρον φυλάττουσι στρατιώταις περαιωθεὶς ἐν τῇ πολεμίᾳ τοῖς βαρβάροις ἐπῆει. (2) τῶν δὲ στῆναι πρὸς μάχην σταδίαν οὐ θαρρησάντων, ἐγκεκρυμμένων δὲ τοῖς ἕλεσι καὶ ἐκ τούτων λαθραίας ποιουμένων ἐπιδρομάς, τοῖς μὲν στρατιώταις κατὰ χώραν ἐπέταττε μένειν, ὅσον δὲ ἦν οἰκετικὸν συναγαγών, καὶ ὅσον μέντοι τὴν τῆς ἀποσκευῆς ἐπετέτραπτο φυλακήν, ῥητόν τι χρυσίον ὑπισχνεῖτο δωρεῖσθαι τῷ βαρβάρου φέροντι κεφαλήν. (3) εὐθὺς οὖν ἅπαντες ἐπηρμένοι τῇ τοῦ κέρδους ἐλπίδι, ταῖς ὕλαις καὶ τοῖς ἕλεσιν εἰσδυόμενοι τούς τε προσπίπτοντας ἀναιροῦντες, ἐπιδεικνύντες τε τῶν κατασφαττομένων τὰς κεφαλὰς τὸ ταχθὲν ἐκομίζοντο. πολλοῦ δὲ πλήθους τοῦτον τὸν τρόπον ἀπολομένου, περὶ σπονδῶν οἱ λελειμμένοι τοῦ βασιλέως ἐδέοντο. (4) τοῦ δὲ οὐκ ἀποσεισαμένου τὴν αἴτησιν ἐγίνοντο σπονδαὶ μὴ καταισχύνουσαι τὴν Ῥωμαίων ἀξίωσιν· ἐδόκει γὰρ Ῥωμαίους μὲν ἔχειν μετὰ πάσης ἀσφαλείας ὅσα πρότερον εἶχον, βαρβάροις τε ἀπέγνωστο μὴ περαιοῦσθαι μηδὲ ὅλως ποτὲ τοῖς Ῥωμαίων ἐπιβαίνειν ὁρίοις...

а оттуда на рѣчныхъ судахъ развозилъ въ склады лежащихъ по рѣкѣ городовъ, такъ что все нужное для войска было наготовѣ. (11) Когда все это было устроено еще зимою, съ началомъ весны императоръ выступилъ изъ Маркіанополя и, переправившись вмѣстѣ съ охранявшими Истръ войсками, напалъ на варваровъ въ ихъ собственной землѣ. (2) Послѣдніе не осмѣлились противостать въ открытомъ бою, а спрятались въ болота и оттуда тайкомъ дѣлали нападенія. *Тогда императоръ* приказалъ войскамъ стоять на мѣстѣ, созвалъ сколько было рабовъ и людей, которымъ была поручена охрана обоза, и обѣщалъ давать опредѣленную сумму золота всякому, кто принесетъ голову варвара. (3) Немедленно всѣ, возбужденные надеждою на прибыль, разсыпались по лѣсамъ и болотамъ, убивали встрѣчныхъ *варваровъ* и, показывая головы убитыхъ, получали установленную *плату*. Когда такимъ образомъ погибло большое количество *варваровъ*, остальные стали просить у императора перемирія. (4) Послѣдній не отвергъ просьбы и *такимъ образомъ* состоялся договоръ, не постыдный для римскаго достоинства: было рѣшено, чтобы Римляне владѣли въ полной безопасности *всѣмъ* тѣмъ, чѣмъ владѣли прежде, а варварамъ было запрещено переправляться *чрезъ Истръ* и вообще нападать когда-либо на римскія владѣнія...

---

20. Οὐάλεντα δὲ τὸν βασιλέα πολλαὶ πολλαχόθεν περιειστήκεσαν πολέμων ἐπιφοραί... (3) τούτων δὲ ὄντων ἐν τούτοις φῦλόν τι βάρβαρον τοῖς ὑπὲρ τὸν Ἴστρον Σκυθικοῖς ἔθνεσιν ἐπανέστη, πρότερον μὲν οὐκ ἐγνωσμένον, τότε δὲ ἐξαίφνης ἀναφανέν. Οὔννους τε τούτους ἐκάλουν, εἴτε βασιλείους αὐτοὺς ὀνομάζειν προσήκει Σκύθας, εἴτε οὓς Ἡρόδοτός φησι παροικεῖν τὸν Ἴστρον σιμοὺς καὶ ἀσθενέας ἀνθρώπους, εἴτε ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην διέβησαν· καὶ τοῦτο γὰρ εὗρον ἱστορημένον, ὡς ἐκ τῆς

20. Императору Валенту представились съ разныхъ сторонъ многія войны... (3) При такомъ положеніи дѣлъ на живущія выше Истра скиѳскія племена напало нѣкое варварское племя, раньше не извѣстное и тогда внезапно появившееся. Ихъ называли Униами; *остается неизвѣстнымъ*, слѣдуетъ ли называть ихъ царскими Скиѳами, или *признать* за тѣхъ курносыхъ и безсильныхъ людей, которые, по словамъ Иродота [1]), жили по Истру, или они пешли въ Европу изъ Азіи. Я нашелъ и

20,3 sq. «Eunap. fr. 41, Wietersheim-Dahn t. II² p. 14 sq. quae de Hunnorum origine profert Zosimus, ipsa quoque ex Eunapio ἐκ τῶν παλαιῶν συντιθέντι κατὰ τοὺς εἰκότας λογισμούς transcripta sunt (emendatam relationem, quam ibidem promittit Eunapius, numquam prodiisse certum est: altera enim editio a Photio memorata sine dubio a bibliopola aliquo Christiano profecta est)». Mend.

1) «Cf. intp. ad Herod. V, 9». Mend.

Digitized by Google

ὑπὸ τοῦ Ταναΐδος καταφερομένης ἰλύος ὁ Κιμμέριος ἀπογαιωθεὶς Βόσπορος ἐνέδωκεν αὐτοῖς ἐκ τῆς Ἀσίας ἐπὶ τὴν Εὐρώπην πεζῇ διαβῆναι. (4) παρελθόντες δὲ ὅμως τοῖς ἵπποις καὶ γυναιξὶ καὶ παισὶ καὶ οἷς ἐπεφέροντο, τοῖς ὑπὲρ τὸν Ἴστρον κατῳκημένοις ἐπῆλθον Σκύθαις, μάχην μὲν σταδίαν οὔτε δυνάμενοι τὸ παράπαν οὔτε εἰδότες ἐπαγαγεῖν (πῶς γὰρ οἱ μήτε εἰς γῆν πῆξαι τοὺς πόδας οἷοί τε ὄντες ἑδραίως, ἀλλ' ἐπὶ τῶν ἵππων καὶ διαιτώμενοι καὶ καθεύδοντες), περιελάσεσι δὲ καὶ ἐκδρομαῖς καὶ εὐκαίροις ἀναχωρήσεσιν, ἐκ τῶν ἵππων κατατοξεύοντες, ἄπειρον τῶν Σκυθῶν εἰργάσαντο φόνον. (5) τοῦτο συνεχῶς ποιοῦντες εἰς τοῦτο τὸ Σκυθικὸν περιέστησαν τύχης ὥστε τοὺς περιλελειμμένους, ὧν εἶχον ἐκστάντας οἰκήσεων, ἐνδοῦναι μὲν τοῖς Οὔννοις ταύτας οἰκεῖν, αὐτοὶ δὲ φεύγοντες ἐπὶ τὴν ἀντιπέρας ὄχθην διαβῆναι τοῦ Ἴστρου, καὶ τὰς χεῖρας ἀνατείναντες ἱκετεύειν δεχθῆναι παρὰ βασιλέως, ὑπισχνεῖσθαί τε πληρώσειν ἔργον αὐτῷ συμμάχων πιστῶν καὶ βεβαίων. (6) τῶν δὲ τὰς ἐπὶ τοῦ Ἴστρου πόλεις φρουρεῖν τεταγμένων εἰς τὴν τοῦ βασιλεύοντος γνώμην ἀναβαλλομένων τὰ περὶ τούτου, δέχεσθαι τούτους Οὐάλης ἐπέτρεπε πρότερον ἀποθεμένους τὰ ὅπλα. τῶν δὲ ταξιάρχων, καὶ ὅσοι στρατιωτῶν ἡγεμονίαν εἶχον, διαβάντων μὲν ἐφ' ᾧτε ὅπλων δίχα τοὺς βαρβάρους ἐπὶ τὰ Ῥωμαίων ὅρια παραπέμψαι, μηδενὸς δὲ γενομένων ἑτέρου πλὴν γυναικῶν εὐπροσώπων ἐπιλογῆς καὶ παίδων ὡραίων εἰς αἰσχρότητα θήρας ἢ οἰκετῶν ἢ γεωργῶν κτήσεως, οἷς τισι μόνοις προσσχόντες τῶν ἄλλων ὅσα πρὸς κοινὸν ὄφελος ἔφερον ὑπερεῖδον, ὥστε ἀμέλει μετὰ τῶν ὅπλων ἔλαθον οἱ πλείους περαιωθέντες. (7) καὶ ἅμα τῆς ὑπὸ Ῥωμαίους γῆς ἐπιβάντες οὔτε ἱκεσιῶν οὔτε ὅρκων ἐμνήσθησαν, ἀλλ' ἡ Θρᾴκη τε ἅπασα καὶ ἡ Παιονία καὶ τὰ μέχρι Μακεδονίας καὶ Θετταλίας ἐπληροῦντο βαρβάρων τὰ προσπεσόντα λῃζομένων. (21) κινδύνου δὲ τοῖς ταύτῃ πράγμασιν ἐπικειμένου μεγίστου, δραμόντες ἐπὶ βασιλέα τὸ συμβὰν ἀπαγγέλλουσιν. ὁ δὲ τὰ πρὸς Πέρσας ὡς ἐνῆν διαθέμενος, ἀπὸ τῆς Ἀντιοχείας διа-

такое извѣстіе, что Киммерійскій Воспоръ, занесенный иломъ изъ Танаида [1]), далъ имъ *возможность* перейти сухимъ путемъ изъ Азіи въ Европу. (4) Явившись вмѣстѣ съ конями, женами, дѣтьми и всѣмъ имуществомъ, они напали на живущихъ выше Истра Скиѳовъ. Они совсѣмъ не могли и не умѣли вступать въ правильную битву (да и какъ *могли бы сдѣлать это люди*, не могущіе даже твердо стоять на ногахъ, а живущіе и спящіе на лошадяхъ?), но дѣлая объѣзды, вылазки и въ нужномъ случаѣ отступленія, выстрѣлами *изъ луковъ* съ лошадей перебили безчисленное множество Скиѳовъ. (5) Дѣлая это непрерывно, они довели Скиѳовъ до такого *отчаяннаго* положенія, что оставшіеся въ живыхъ, покинувъ свои жилища, предоставили ихъ для жительства Уннамъ, а сами въ бѣгствѣ переправились на другой берегъ Истра и, простирая руки, умоляли, чтобы императоръ принялъ ихъ, обѣщая исполнять *всѣ* обязанности вѣрныхъ и надежныхъ союзниковъ. (6) Когда начальники гарнизоновъ въ *лежащихъ* на Истрѣ городахъ предоставили этотъ вопросъ на волю императора, Валентъ позволилъ принять *Скиѳовъ*, если они предварительно сложатъ оружіе. Начальники отрядовъ и низшіе военные чины, переправившись *за* Истръ съ тѣмъ, чтобы препроводить варваровъ безъ оружія въ Римскіе предѣлы, занялись исключительно выборомъ красивыхъ женщинъ, охотою на взрослыхъ мальчиковъ для гнусныхъ цѣлей и пріобрѣтеніемъ рабовъ или земледѣльцевъ и, обративъ вниманіе только на это, пренебрегли *всѣмъ* другимъ, что относилось къ общественной пользѣ, вслѣдствіе чего большинство *варваровъ* незамѣтно переправилось съ оружіемъ. (7) Лишь только вступили они на Римскую землю, какъ забыли свои мольбы и клятвы, и вся Ѳракія, Пеонія и области до Македоніи и Ѳессаліи наполнились варварами, опустошавшими *все* на своемъ пути. (21) При видѣ величайшей опасности, грозившей этимъ областямъ, поспѣшили къ императору съ извѣстіемъ о случившемся. По-

V. 42: «Παιονία] Μυσία volebat Reitemeier. at nomen, ineptum sane, de suo adiecisse videtur Zosimus, ideoque nil mutandum. ἡ Θρᾳκὴ πᾶσα καὶ ἡ συνεχὴς αὐτῇ χώρα Μακεδονία καὶ Θεσσαλία: Eunap. fr. 42». M.

1) Ταναΐδος] «Ὑπάνις (Kuban' fl.) aut scripsit Zosimus aut scribere debebat. sin ipse Tanain posuit, neglegenter fontem, in quo erat illos olim supra Tanain habitasse (cf. Agath. V, 11) excerpsit». Mend. De re cf. Eunap. fr. 42 (supra p. 726 sq.)

Digitized by Google

δραμὼν ἐπὶ τὴν Κωνσταντινούπολιν ἦει, κἀντεῦθεν ἐπὶ Θρᾴκης ἐχώρει τὸν πρὸς τοὺς αὐτομόλους Σκύθας ἀγωνισόμενος πόλεμον...

слѣдній, уладивъ по возможности дѣла съ Персами, поспѣшно отправился изъ Антіохіи въ Константинополь и оттуда хотѣлъ двинуться во Ѳракію на войну съ перебѣжавшими Скиѳами...

---

22. ὁ δὲ βασιλεὺς Οὐάλης ληζομένους ἤδη τὴν Θρᾴκην πᾶσαν τοὺς Σκύθας θεώμενος, ἔγνω τοὺς ἐκ τῆς ἑῴας σὺν αὐτῷ παραγενομένους καὶ μάχεσθαι μεθ' ἵππων ἐμπειροτάτους τῇ τῶν Σκυθῶν ἵππῳ πρότερον ἐπιπέμψαι. (2) λαβόντες οὖν οὗτοι παρὰ τοῦ βασιλέως τὸ σύνθημα κατ' ὀλίγους ἐκ τῶν τῆς Κωνσταντινουπόλεως πυλῶν ὑπεξῄεσαν, καὶ τοὺς ἐκλείποντας Σκυθῶν τοῖς κοντοῖς περονῶντες πολλῶν ἡμέρας ἑκάστης ἔφερον κεφαλάς. ἐπεὶ δὲ ἡ τῶν ἵππων ταχυτὴς καὶ ἡ τῶν κοντῶν ἐπιφορὰ δύσμαχος εἶναι τοῖς Σκύθαις ἐδόκει, κατασκευάσαι τὸ Σαρακηνικὸν διενοήθησαν φῦλον. ἐνέδραν τινὰ κοίλοις ἐναποκρύψαντες τόποις τρεῖς ἑνὶ Σκύθᾳ ἐπιέναι συνεῖδον Σαρακηνῷ. (3) καὶ ταύτης δὲ διαμαρτόντες τῆς πείρας, τῶν Σαρακηνῶν διὰ τὸ τῶν σφετέρων ἵππων ταχὺ καὶ εὐάγωγον κατ' ἐξουσίαν ἀποφευγόντων, ἡνίκα ἂν τὸ πλῆθος ἐπιὸν ἴδοιεν, ἐπελαυνόντων δὲ σχολαίοις καὶ τοῖς κοντοῖς ἀναιρούντων, τοσοῦτος ἐγένετο Σκυθῶν φόνος ὥστε ἀπαγορεύσαντας αὐτοὺς ἐθελῆσαι περαιωθῆναι τὸν Ἴστρον καὶ σφᾶς ἐκδοῦναι τοῖς Οὔννοις μᾶλλον ἢ ὑπὸ Σαρακηνῶν πανωλεθρίᾳ διαφθαρῆναι. καταλιπόντων δὲ αὐτῶν τοὺς περὶ Κωνσταντίνου τὴν πόλιν τόπους καὶ πορρωτέρω προελθόντων γέγονεν εὐρυχωρία τῷ βασιλεῖ παραγαγεῖν εἰς τὸ πρόσω τὸ στράτευμα. (4) Σκοπουμένῳ δὲ αὐτῷ τίνι δέοι τρόπῳ διαθεῖναι τὸν πόλεμον πλήθους ἐπικειμένου τοσούτου βαρβάρων,... καταλιπὼν Σευαστιανὸς τὴν ἑσπέραν... εἰς τὴν Κωνσταντινούπολιν παρεγένετο. (23) τοῦτο μαθὼν Οὐάλης καὶ τὰς ἐν πολέμοις καὶ τῇ πάσῃ πολιτείᾳ τοῦ ἀνδρὸς ἀρετὰς ἐπιστάμενος αἱρεῖται στρατηγὸν αὐτὸν καὶ τὴν ἡγεμονίαν τοῦ παντὸς πιστεύει πολέμου... (4) οὕτω δὲ τοὺς σὺν αὐτῷ πρὸς πᾶσαν πολεμικὴν ἐπιστήμην ἀσκήσας [ὁ Σευαστιανὸς] τὰς μὲν τειχήρεις κατελάμβανε πόλεις, τῆς ἀσφαλείας ὅτι μάλιστα τοῦ στρατοπέδου

22. Императоръ Валентъ, видя, что Скиѳы уже опустошаютъ всю Ѳракію, рѣшилъ сначала выслать противъ скиѳской конницы прибывшихъ съ нимъ съ Востока и весьма искусныхъ въ кавалерійскихъ битвахъ [Сарациновъ]. (2) Послѣдніе, получивъ приказъ отъ императора, стали выѣзжать небольшими группами изъ воротъ Константинополя и, поражая дротиками отсталыхъ Скиѳовъ, ежедневно приносили много головъ *убитыхъ*. Скиѳы, видя трудность борьбы съ быстротою ихъ коней и мѣткостью дротиковъ, задумали перехитрить Сарацинское племя: спрятавшись въ засаду въ низменныхъ мѣстахъ, они рѣшили напасть по трое на одного Сарацина. (3) Но и эта попытка не удалась, такъ какъ Сарацины, благодаря быстротѣ и понятливости своихъ коней, имѣли возможность убѣгать при видѣ большаго количества нападающихъ, но въ свою очередь нападали на отсталыхъ и поражали ихъ дротиками. *Вслѣдствіе этого* произошло такое избіеніе Скиѳовъ, что они въ отчаяніи предпочли лучше переправиться *обратно* за Истръ и предаться Уннамъ, нежели всѣмъ погибнуть отъ *рукъ* Сарациновъ. Когда они покинули окрестности Константинополя и ушли дальше, императору представилась возможность провести впередъ свое войско. (4). Когда онъ раздумывалъ, какимъ образомъ слѣдуетъ вести *эту* войну при нашествіи такого множества варваровъ,... Севастіанъ, покинувъ Западъ,... прибылъ въ Константинополь. (23) Валентъ, узнавъ объ этомъ и зная доблести Севастіана въ военномъ дѣлѣ и во всѣхъ дѣлахъ государственныхъ, избираетъ его полководцемъ и ввѣряетъ ему главное начальство въ войнѣ... (4) *Севастіанъ*, давъ своимъ *солдатамъ* такую подготовку во всѣхъ военныхъ дѣлахъ, сталъ занимать укрѣпленные стѣнами города, всячески заботясь о безо-

V. 9: «Saracenorum nomen intercidisse videtur». M.

Digitized by Google

ποιούμενος λόγον, ἐνέδρας δὲ συνεχέσι τοῖς προνομεύουσι τῶν βαρβάρων ἐπῄει, καὶ νῦν μὲν τῷ πλήθει τῶν λαφύρων εὑρίσκων βαρυνομένους ἀνῄρει, τῆς λείας γενόμενος κύριος, νῦν δὲ μεθύοντας, ἄλλους δὲ τῷ ποταμῷ λουομένους ἀπέσφαζεν. (5) ὡς δὲ τὸ πολὺ τῶν βαρβάρων τοῖς τοιούτοις στρατηγήμασιν ἐδαπάνησε μέρος, καὶ τὸ λειπόμενον δέει τοῦ στρατηγοῦ τοῦ προνομεύειν ἀπέσχετο, φθόνος ἐξανίσταται κατ' αὐτοῦ μέγιστος. οὗτος δὲ ἔτικτε μῖσος, ἐντεῦθέν τε διαβολαὶ πρὸς βασιλέα, τῶν τοῦ ἄρχειν ἐκπεπτωκότων τοὺς κατὰ τὴν αὐλὴν εὐνούχους παρορμώντων εἰς τοῦτο. (6) οὕτω δὲ τοῦ βασιλέως εἰς ἄλογον ὑποψίαν παρατραπέντος Σευαστιανὸς μὲν ἐδήλου κατὰ χώραν μένειν τῷ βασιλεῖ καὶ μὴ περαιτέρω προβαίνειν· οὐδὲ γὰρ εἶναι ῥᾴστον πλήθει τοσούτῳ πόλεμον ἐκ τοῦ προφανοῦς ἐπάγειν, ἀλλ' ἐκ περιδρομῆς καὶ λαθραίαις ἐπιθέσεσι τρίβειν τὸν χρόνον, ἕως ἂν σπάνει τῶν ἐπιτηδείων ἀπειπόντες ἢ παραδοῖεν αὑτοὺς, ἢ τῶν ὑπὸ Ῥωμαίους χωρίων ἀναχωρήσαιεν, τοῖς Οὔννοις ἐκδιδόντες τὸ καθ' ἑαυτοὺς μᾶλλον ἢ τοῖς ἐκ τοῦ λιμοῦ συμβαίνειν εἰωθόσιν οἰκτροτάτοις ὀλέθροις.

24. ἀλλ' ἐκείνου ταῦτα παραινοῦντος οἱ τἀναντία σπουδάζοντες ἐξιέναι τὸν βασιλέα πανστρατιᾷ παρεκάλουν ἐπὶ τὸν πόλεμον ὡς ἤδη τῶν βαρβάρων ὡς ἐπίπαν ἀπολωλότων καὶ ἀκονιτὶ τοῦ βασιλέως τῇ νίκῃ παρισταμένου. κρατησάσης δὲ τῆς χείρονος γνώμης, ἐπειδὴ καὶ πρὸς τὸ χεῖρον ἦγεν ἡ τύχη τὰ πράγματα, τὸν στρατὸν ἅπαντα σὺν οὐδενὶ κόσμῳ πρὸς τὴν μάχην ἐξῆγεν ὁ βασιλεύς. (2) οἷς ἀπαντήσαντες ἀπροφασίστως οἱ βάρβαροι καὶ παρὰ πολὺ τῇ μάχῃ κρατήσαντες μικροῦ μὲν ἅπαντας πανωλεθρίᾳ διέφθειραν· σὺν ὀλίγοις δὲ πεφευγότος εἴς τινα κώμην τοῦ βασιλέως, οὐκ οὖσαν τειχήρη, περιθέντες ὕλην πανταχόθεν τῇ κώμῃ καὶ πῦρ ἐνέντες τοὺς ἐν αὐτῇ συμφυγόντας μετὰ τῶν ἐνοικούντων ἐνέπρησαν, ὡς μηδὲ τῷ τοῦ βασιλέως σώματι δυνηθῆναί τινα παντάπασιν ἐπιστῆναι...

пасности своего войска, постоянно нападалъ изъ засадъ на фуражные отряды варваровъ и то истреблялъ ихъ, застигая обремененныхъ множествомъ добычи и овладѣвая *этою* добычею, то рѣзалъ пьяныхъ или купающихся въ рѣкѣ. (5) Когда онъ истребилъ большую часть варваровъ при помощи такихъ хитростей и остальная *часть* перестала выходить на фуражировку изъ страха предъ *такимъ* полководцемъ, противъ него возбуждается величайшая зависть. Она породила ненависть, а слѣдствіемъ ея *явились* клеветы предъ императоромъ, къ которымъ побуждали дворцовыхъ евнуховъ отставленные отъ должностей. (6) Когда императоръ такимъ образомъ былъ увлеченъ къ неосновательнымъ подозрѣніямъ, Севастіанъ совѣтовалъ ему оставаться на мѣстѣ и не выступать дальше впередъ, *говоря*, что не легко вести открытую войну съ такими полчищами и слѣдуетъ объѣздами и неожиданными нападеніями затягивать время до тѣхъ поръ, пока варвары, доведенные до отчаянія недостаткомъ продовольствія, или сдадутся, или выйдутъ изъ подвластныхъ Римлянамъ мѣстностей, предпочитая лучше предаться Уннамъ, чѣмъ погибнуть въ страшныхъ мученіяхъ, которыя обыкновенно бываютъ слѣдствіемъ голода.

24. Между тѣмъ какъ онъ давалъ такіе совѣты, его противники просили императора выступить на войну со всѣми силами, такъ какъ варвары де совершенно уже погибли и императоръ безъ труда одержитъ побѣду. Когда это худшее мнѣніе одержало верхъ, такъ какъ *сама* судьба вела дѣла къ худшему, императоръ вывелъ все войско въ полномъ безпорядкѣ на битву. (2) Варвары, напавъ на него врасплохъ и одержавъ въ битвѣ рѣшительный перевѣсъ, перебили почти всѣхъ поголовно. Императоръ съ немногими *людьми* спасся бѣгствомъ въ одну неукрѣпленную деревню; но варвары, отовсюду обложивши деревню горючимъ матеріаломъ и подложивши огонь, сожгли бѣжавшихъ въ нее вмѣстѣ съ жителями, такъ что никто не могъ даже отыскать трупа императора [1])...

1) A. 378. Cf. Philost. IX, 17 (supra, p. 741); Socr. IV, 34, 35, 38 (supra, p. 752 sq.); Theodor. IV, 32 (supra, p. 776).

Digitized by Google

25. Θεοδοσίου δὲ τοῦ βασιλέως κατὰ τὴν Θεσσαλονίκην διατρίβοντος πολλοὶ πανταχόθεν κατὰ κοινὰς καὶ ἰδίας συρρέοντες χρείας τῶν προσηκόντων τυγχάνοντες ἀπηλλάττοντο· πλήθους δὲ πολλοῦ τῶν ὑπὲρ τὸν Ἴστρον Σκυθῶν, Γότθων λέγω καὶ Ταϊφάλων καὶ ὅσα τούτοις ἦν ὁμοδίαιτα πρότερον ἔθνη περαιωθέντων καὶ ταῖς ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν οὔσαις πόλεσιν ἐνοχλεῖν ἀναγκαζομένων διὰ τὸ πλῆθος Οὔννων τὰ παρ' αὐτῶν οἰκούμενα κατασχεῖν, ὁ μὲν βασιλεὺς Θεοδόσιος ἐς πόλεμον παστρατιᾷ παρεσκευάζετο· (2) πάσης δὲ τῆς Θρᾴκης ὑπὸ τῶν εἰρημένων ἐθνῶν ἤδη κατειλημμένης καὶ τῶν ἐπὶ τῇ φυλακῇ τῶν πόλεων καὶ τῶν αὐτόθι φρουρίων οὐδὲ ἐπὶ βραχὺ θαρρούντων ἔξω τῶν τειχῶν προελθεῖν, μήτι γε καὶ ἐν τοῖς ὑπαίθροις εἰς χεῖρας ἐλθεῖν, Μοδάρης ὢν μὲν ἐκ τοῦ βασιλείου τῶν Σκυθῶν γένους, οὐ πρὸ πολλοῦ δὲ πρὸς Ῥωμαίους αὐτομολήσας καὶ δι' ἣν ἐπεδείξατο πίστιν στρατιωτικῆς προβεβλημένος ἀρχῆς, ἐπί τινος ἀναβιβάσας λόφου τοὺς στρατιώτας, ὁμαλοῦ μὲν καὶ γεώδους, ἐκτεινομένου δὲ εἰς μῆκος καὶ πεδία μέγιστα ὑποκείμενα ἔχοντος, ἔλαθε μὲν τοὺς βαρβάρους τοῦτο πεποιηκώς, ἐπεὶ δὲ διὰ τῶν κατασκόπων ἔγνω πάντας ἐν τοῖς ὑποκειμένοις τῷ λόφῳ πεδίοις τοὺς πολεμίους ἀποχρησαμένους τῇ κατὰ τοὺς ἀγροὺς καὶ τὰς ἀτειχίστους κώμας εὐρεθείσῃ τρυφῇ κεῖσθαι μεθύοντας, ἡσυχῇ παραγγέλλει τοῖς στρατιώταις ξίφη μόνα καὶ ἀσπίδας ἐπικομιζομένοις, μείζονος δὲ ἢ βαρυτέρας ὑπεριδόντας ὁπλίσεως καὶ τοὺς συνασπισμοὺς τοὺς συνήθεις ἐάσαντας ἐπελθεῖν τοῖς βαρβάροις ἤδη τῇ τρυφῇ παρειμένοις· (3) οὑπερ γεγενημένου βραχύ τι πρὸ τῆς ἡμέρας ἐπιθέμενοι τοῖς βαρβάροις οἱ στρατιῶται πάντας κατέσφαξαν, τοὺς μὲν οὐδὲ αἰσθανομένους, τοὺς δὲ ἅμα τῇ αἰσθήσει τρωθέντας καὶ ἄλλους ἄλλοις θανάτων τρόποις ἀναιρεθέντας. ἐπεὶ δὲ τῶν ἀνδρῶν οὐδὲν ὑπελείφθη, τοὺς μὲν πεσόντας ἐσκύλευον, ἐπὶ δὲ τὰς γυναῖκας καὶ τοὺς παῖδας ὁρμήσαντες ἁμάξας μὲν εἶλον τετρακισχιλίας, αἰχμαλώτους δὲ ὅσους ἦν εἰκὸς ἐπὶ τοσούτων ἁμαξῶν φέρεσθαι, δίχα τῶν βάδην ταύταις ἀκολουθούντων καὶ ἐξ ἁμοιβῆς, οἷα φιλεῖ γίνεσθαι, τὰς ἀναπαύσεις ἐπ' αὐτῶν ποιουμένων. (4) οὕτω τοῖς ἀπὸ τῆς τύχης πορισθεῖσι τοῦ στρατηγοῦ χρησαμένου τὰ μὲν τῆς Θρᾴκης, εἰς ἑσχατὸν ἀπωλείας ἐλάσειν κινδυνεύσαντα, τέως ἦν ἐν

25. Когда императоръ Θеодосій пребывалъ въ Θессалоникѣ, многіе отовсюду стекались *туда* съ общественными и частными нуждами и, получивъ удовлетвореніе, удалялись. *Между тѣмъ* большое количество жившихъ выше Истра Скиѳовъ, именно Готѳовъ, Таифаловъ и другихъ племенъ, раньше ведшихъ одинаковый съ ними образъ жизни, переправившись *чрезъ Истръ*, принуждено было безпокоить бывшіе подъ властью Римлянъ города вслѣдствіе того, что множество Уннонъ заняло обитаемыя ими *области*; императоръ Θеодосій сталъ готовиться со всѣмъ войскомъ къ войнѣ. (2) Вся Ѳракія была уже занята вышеупомянутыми племенами и гарнизоны городовъ и мѣстныхъ крѣпостей не смѣли выйти даже недалеко изъ за стѣнъ, не говоря уже о рукопашныхъ схваткахъ въ открытомъ полѣ. Тогда Модаръ, происходившій изъ скиѳскаго царскаго рода, но незадолго *передъ тѣмъ* перебѣжавшій къ Римлянамъ и за выказанную вѣрность получившій начальническую должность въ войскѣ, незамѣтно для варваровъ поднялся съ своими солдатами на одинъ ровный и покрытый землею холмъ, растянутый въ длину и имѣвшій у подошвы огромныя равнины; узнавши чрезъ лазутчиковъ, что на разстилавшихся подъ холмомъ равнинахъ всѣ непріятели, воспользовавшись богатствами, найденными въ поляхъ и неукрѣпленныхъ деревняхъ, лежатъ пьяными, *Модаръ* тихо приказываетъ солдатамъ захватить съ собою только мечи и щиты, бросивъ остальные, болѣе тяжелые доспѣхи, и, оставивъ обычный сомкнутый строй, *вразсыпную* напасть на варваровъ, уже совершенно предавшихся нѣгѣ. (3) Когда это было исполнено, солдаты, напавши на варваровъ незадолго до разсвѣта, всѣхъ ихъ перебили, причемъ одни даже не пришли въ сознаніе, другіе были изранены, приходя въ себя, и всѣ были истреблены разными способами. Когда не осталось *въ живыхъ* ни одного мужчины, *солдаты Модара* сняли оружіе съ павшихъ, *затѣмъ* устремились на женщинъ и дѣтей и взяли 4000 повозокъ и плѣнныхъ столько, сколько можно было везти на стольнихъ повозкахъ, исключая слѣдовавшихъ за ними пѣшкомъ и отдыхавшихъ на нихъ попеременно, какъ это въ обычаѣ *у варваровъ*. (4) Когда полко-

Digitized by Google

ἡσυχίᾳ παρὰ πᾶσαν ἐλπίδα τῶν ἐν ταύτῃ βαρβάρων ἀπολομένων.

26... τῶν Οὔννων, ὃν τρόπον διεξῆλθον, τοῖς ὑπὲρ τὸν Ἴστρον κατῳκημένοις ἔθνεσιν ἐπελθόντων, οὐκ ἐνεγκόντες οἱ Σκύθαι τὰς τούτων ἐφόδους Οὐάλεντος τηνικαῦτα βασιλεύοντος ἐδεήθησαν κατὰ τὴν Θρᾴκην δέξασθαι αὐτούς, συμμάχων τε καὶ ὑπηκόων πληρώσοντας χρείαν, ὑπηρετησομένους δὲ πᾶσιν οἷς ἂν ὁ βασιλεὺς ἐπιτάξειεν. (2) τούτοις ἐπαχθεὶς τοῖς λόγοις Οὐάλης δέχεται μὲν αὐτούς, οἰηθεὶς δὲ τῆς αὐτῶν πίστεως ἐχέγγυον ἀσφάλειαν ἔχειν εἰ τοὺς αὐτῶν παῖδας εἰς ἥβην οὔπω προελθόντας ἐν ἑτέρᾳ που διαιτᾶσθαι παρασκευάσειεν χώρᾳ πλῆθος πολύ τι παιδαρίων εἰς τὴν ἑῴαν ἐκπέμψας Ἰούλιον ἐπέστησε τῇ τούτων ἀνατροφῇ τε καὶ φυλακῇ...

водецъ такимъ образомъ воспользовался удобнымъ случаемъ, Ѳракія, которой грозила самая печальная участь, на время успокоилась послѣ столь неожиданной гибели *пребывавшихъ* въ ней варваровъ[1]).

26... Когда Унны, какъ я разсказалъ *выше*[2]), сдѣлали нашествіе на живущія за Истромъ племена, Скиѳы, не выдержавъ ихъ набѣговъ, еще въ царствованіе Валента обратились съ просьбою принять ихъ во Ѳракію *съ условіемъ*, что они будутъ исполнять обязанности союзниковъ и подданныхъ и повиноваться всѣмъ повелѣніямъ императора. (2) Тронутый этими словами, Валентъ принялъ ихъ, но, полагая, что будетъ имѣть надежный залогъ ихъ вѣрности, если прикажетъ воспитывать ихъ дѣтей, еще не достигшихъ возмужалости, гдѣ-нибудь въ другой странѣ, выслалъ на Востокъ большое количество мальчиковъ и поставилъ Юлія *слѣдить* за ихъ воспитаніемъ и охраною...

---

34. Γρατιανὸς ὁ βασιλεὺς ἐκπέμπει τοῖς κατὰ τὸ Ἰλλυριῶν κλῖμα στρατιωτικοῖς τάγμασι στρατηγὸν Βιταλιανόν, ἄνδρα πεπονηκόσι τοῖς πράγμασι κατ' οὐδὲν ἀρκέσαι δυνάμενον. (2) τούτου δὲ ἡγουμένου δύο μοῖραι τῶν ὑπὲρ τὸν Ῥῆνον Γερμανικῶν ἐθνῶν, ἡ μὲν ἡγεμόνι Φριτιγέρνῳ χρωμένη, ἡ δὲ ὑπὸ Ἀλλόθεον καὶ Σάφρακα τεταγμένη, τοῖς Κελτικοῖς ἔθνεσιν ἐπιχείμεναι κατέστησαν εἰς ἀνάγκην τὸν βασιλέα Γρατιανὸν ἐνδοῦναι σφίσιν, ἀπολιπούσαις τὰ ἐν Κελτοῖς, διὰ τοῦ Ἴστρου Παιονίαν καὶ τὴν ἄνω Μυσίαν καταλαβεῖν· ἦν γὰρ αὐτῷ λόγος τε καὶ σπουδὴ τέως ἀπαλλαγῆναι τῆς συνεχοῦς τούτων ἐφόδου. (3) διαπλεύσαντες οὖν ἐπὶ τούτοις τὸν Ἴστρον, διανοούμενοί τε διὰ Παιονίας ἐπὶ τὴν Ἤπειρον διαβῆναι, περαιωθῆναι δὲ τὸν Ἀχελῷον καὶ ταῖς Ἑλληνικαῖς πόλεσιν ἐπιθέσθαι, τροφὰς πορίσασθαι ᾠήθησαν πρότερον, Ἀθανάριχόν ‹τε› παντὸς τοῦ βασιλείου τῶν Σκυθῶν ἄρχοντα γένους ἐκποδὼν ποιήσασθαι πρὸς τὸ μηδένα κατὰ νώτου τὸν κω-

34. Императоръ Граціанъ назначилъ начальникомъ расположенныхъ въ Иллирійской области военныхъ отрядовъ Виталіана, человѣка совершенно неспособнаго справиться съ затруднительнымъ положеніемъ дѣлъ. (2) Во время его командованія двѣ части жившихъ за Рейномъ германскихъ племенъ, одна подъ предводительствомъ Фритигерна, а другая подъ начальствомъ Аллоѳея и Сафрака, нападая на кельтическія племена, поставили императора Граціана въ необходимость предоставить имъ, покинувъ Кельтику и *переправившись* черезъ Истръ, занять Пэонію и верхнюю Мезію: у него былъ разсчетъ и стараніе освободиться на время отъ постоянныхъ ихъ набѣговъ. (3) Переправившись на этихъ *условіяхъ* черезъ Истръ и намѣревались чрезъ Пэонію перейти въ Эпиръ, *затѣмъ* переправиться чрезъ Ахелой и напасть на эллинскіе города, они рѣшили сначала запастись продовольствіемъ и устранить Аѳанариха, начальника всего

Cap. 34 «confuse admodum narrata sunt, ipsius quidem Zosimi culpa, qui Alamannorum (cf. Mommsen ed. Iordan. p. 95, 9) Gallias infestantium et Gothorum res temere miscuit». Mend. Cf. de his *Schiller* l. l. II, p. 399 sq. || V. 38: Ἀθανάρχιον Sylburg, ὅθεν ἄριχον V, ὅθεν ἄριχον (in mg. ἴσως ἀλάριχον) AB.

1) A. 379. 2) V. supra c. 20.

Digitized by Google

λύσοντα τὴν αὐτῶν ἐπιχείρησιν ἔχειν. (4) ἐπιθέμενοι τοίνυν αὐτῷ σὺν οὐδενὶ πόνῳ τῶν τόπων ἐν οἷς ἦν ἀπανέστησαν. ὁ δὲ ὡς Θεοδόσιον ἔδραμεν... ὁ δὲ φιλοφρόνως μετὰ τῶν σὺν αὐτῷ βαρβάρων ἐδέξατο, πόρρω που τῆς Κωνσταντινουπόλεως προελθών, καὶ παραχρῆμα τελευτήσαντα ταφῇ βασιλικῇ περιέστειλε. (5) τοσαύτη δὲ ἦν ἡ περὶ τὴν ταφὴν πολυτέλεια ὥστε τοὺς βαρβάρους ἅπαντας καταπλαγέντας τῇ ταύτης ὑπερβολῇ, τοὺς μὲν Σκύθας ἐπανελθεῖν οἴκαδε καὶ μηκέτι Ῥωμαίοις παρενοχλεῖν, τὴν εὐγνωμοσύνην τοῦ βασιλέως θαυμάσαντας, ὅσοι δὲ ἅμα τῷ τελευτήσαντι παρεγένοντο, τῇ τῆς ὄχθης φυλακῇ προσεγκαρτερήσαντας ἐπὶ πολὺ κωλῦσαι τὰς κατὰ Ῥωμαίων ἐφόδους. ἐν ταὐτῷ δὲ καὶ ἄλλα προσεγένετο τῷ Θεοδοσίῳ τύχης πλεονεκτήματα· (6) Σκύρους γὰρ καὶ Καρποδάκας Οὔννοις ἀναμεμιγμένους ἠμύνατο, καὶ ἐλαττωθέντας τῇ μάχῃ περαιωθῆναι τὸν Ἴστρον καὶ τὰ οἰκεῖα καταλαβεῖν συνηνάγκασεν...

35. Ὁ μὲν οὖν βασιλεὺς Θεοδόσιος οὕτω πως ἔδοξεν ἰᾶσθαι τὰ ἐλαττώματα· Πρόμωτος δὲ ὁ στρατηγὸς τῶν κατὰ Θρᾴκην πεζῶν Οἰδοθέῳ, δύναμιν συναγαγόντι πλείστην οὐ μόνον ἐκ τῶν τῷ Ἴστρῳ προσοίκων ἐθνῶν, ἀλλὰ καὶ τῶν πορρωτάτω που καὶ ἀγνώστων. καὶ ἐπελθόντι παστρατιᾷ καὶ περαιουμένῳ τὸν ποταμόν, ἀπαντήσας πεζῇ τε καὶ ποταμίαις ναυσὶ τοσοῦτον εἰργάσατο φόνον ὥστε καὶ τὸν ποταμὸν πλησθῆναι νεκρῶν καὶ τοὺς ἐν γῇ πεσόντας μὴ ῥᾳδίως ἀριθμηθῆναι...

царскаго рода Скиѳовъ, чтобы не имѣть съ тыла никакой помѣхи своему намѣренію. (4) Итакъ, напавъ на него, они безъ всякаго труда выгнали его изъ занятой имъ области. Аѳанарихъ бѣжалъ къ Ѳеодосію... Послѣдній благосклонно принялъ его вмѣстѣ съ *бывшими* съ нимъ варварами, выйдя далеко впередъ изъ Константинополя, и, когда *Аѳанарихъ* немедленно *послѣ этого* умеръ, почтилъ его царскимъ погребеніемъ. (5) Роскошь погребенія была столь велика, что всѣ варвары были поражены ея чрезмѣрностью, и Скиѳы, изумленные великодушіемъ императора, возвратились домой и перестали безпокоить Римлянъ, а всѣ прибывшіе вмѣстѣ съ покойнымъ стали усердно охранять берегъ и надолго воспрепятствовали *варварамъ дѣлать* набѣги на Римлянъ. Въ то же время судьба послала Ѳеодосію и другія удачи: (6) онъ отразилъ Скировъ и Карподаковъ, соединившихся съ Уннами, и, побѣдивъ въ бою, принудилъ переправиться *назадъ* за Истръ и занять свои области...

35. Такъ императоръ Ѳеодосій, казалось, поправилъ неудачи. *Между тѣмъ* Идоѳей, собравъ огромныя полчища *не* только изъ сосѣднихъ съ Истромъ племенъ, но и изъ весьма отдаленныхъ и неизвѣстныхъ, сталъ наступать со всѣми *этими* полчищами и хотѣлъ переправиться черезъ рѣку; но начальникъ ѳракійской пѣхоты Промотъ, выступивъ навстрѣчу сухимъ путемъ и на рѣчныхъ судахъ, совершилъ такую рѣзню, что и рѣка наполнилась трупами и павшихъ на сушѣ не легко было пересчитать [1])...

38... ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους ἔθνος τι Σκυθικὸν ὑπὲρ τὸν Ἴστρον ἐφάνη πᾶσιν ἄγνωστον τοῖς ἐκεῖσε νομάσιν· ἐκάλουν δὲ Γροθίγγους αὐτοὺς οἱ ταύτῃ βάρβαροι. πλῆθος τοίνυν ὄντες καὶ ὡπλισμένοι κατὰ τὸ δέον καὶ προσέτι γε ῥώμῃ διαφέροντες, ῥᾷστα διαδραμόντες τοὺς ἐν μέσῳ βαρβάρους παρ' αὐτὴν ἐληλύθασι τοῦ Ἴστρου τὴν ὄχθην καὶ τὴν διάβασιν αὐτοῖς ᾔτουν ἐπιτραπῆναι τοῦ ποταμοῦ. (2) Πρόμωτος

38... Около того же времени появилось за Истромъ нѣкое скиѳское племя, неизвѣстное всѣмъ тамошнимъ кочевникамъ; мѣстные варвары называли ихъ Гроѳингами. Будучи въ *большомъ* количествѣ, имѣя надлежащее вооруженіе и кромѣ того отличаясь тѣлесной силой, они легко прошли лежавшія по дорогѣ варварскія земли, появились на самомъ берегу Истра и потребовали дозволенія переправиться чрезъ

V. 39: «Γροθίγγους Salmasius ad v. Probi 18,2 et Valesius ad Amm. XXXI, 3, 5, προθίγγους V. cf. Zeuss p. 407, 1 et p. 422». Mend.

1) A. 386. Cf. *Schiller* l. l. II, p. 404.

Digitized by Google

δὲ τὴν τῶν ἐκεῖσε στρατοπέδων ἐπιτεταμμένος ἀρχήν, συμπαρατείνας ἐπὶ μήκιστον τῇ ἠόνι τοῦ ποταμοῦ τὰ στρατόπεδα τὴν πάροδον τοῖς βαρβάροις ἀπέκλειε. ταῦτα δὲ πράττων καὶ ἐφ' ἑτέραν ὁδὸν ἦλθε τοιάνδε. συγκαλέσας τῶν αἰσθανομένων τῆς ἐκείνων διαλέκτου τινάς, οἷς μάλιστα ἐγνώκει τὰ τοιαῦτα θαρρεῖν, ἐπὶ προδοσίᾳ καθεῖναι λόγους τοῖς βαρβάροις τούτοις ἀφίησιν. (3) οἱ δὲ ὑπὲρ τοῦ δοθῆναι τὸν Ῥωμαίων στρατηγὸν μετὰ τοῦ στρατεύματος ἀδρὸν ἀπήτουν μισθόν. τῶν δὲ βαρβάρων πρὸς τὸ τοῦ μισθοῦ πλῆθος ἀρκεῖν οὐ φησάντων, πίστιν τοῖς οἰκείοις λόγοις ἐμποιοῦντες οἱ ἐσταλμένοι παρὰ τοῦ στρατηγοῦ τοῖς ἐξ ἀρχῆς προταθεῖσιν ἐπέμενον, σμικρῦναι κατά τι τὸ κέρδος οὐκ ἀνεχόμενοι. συνδραμόντων δὲ εἴς τι ποσὸν ἀμφοτέρων ἐγίνοντο μὲν ἐν παραβύστῳ περὶ προδοσίας συνθῆκαι καὶ συνεδόκει μέρος μέν τι τοῦ μισθοῦ παραχρῆμα κομίσασθαι τοὺς προδότας, τὸ δὲ λειπόμενον τῷ καιρῷ φυλάξαι τῆς νίκης. ἐπεὶ δὲ καὶ ὅπως ἀρθῆναι τὰ σημεῖα ἔδει καὶ τὸν καιρὸν ἔταξαν καθ' ὃν ἐχρῆν τὰς προδοσίας εἰς ἔργον ἐλθεῖν, ἀπαγγέλλουσι τῷ στρατηγῷ τὸ συγκείμενον καὶ ὡς νυκτὸς ἐπιγενομένης οἱ βάρβαροι μέλλοιεν ἔργου τε ἅπτεσθαι καὶ τὴν διάβασιν κατὰ τοῦ Ῥωμαϊκοῦ ποιεῖσθαι στρατεύματος. (5) οἱ μὲν οὖν βάρβαροι τὸ τῆς δυνάμεως ἀκμαιότατον πλήθει μονοξύλων ἐμβιβάσαντες ἔταξαν πρῶτον διαβῆναι καὶ τοῖς στρατιώταις ἔτι καθεύδουσιν ἐπελθεῖν, εἶτα ἐπὶ τούτοις τοὺς ἐν ἰσχύϊ μέσην ἔχοντας τάξιν, ὡς ἂν τοῖς πρώτοις ἤδη τῆς ἐπιθέσεως ἀρξαμένοις συνεπιλάβοιντο, καὶ οὕτως ἐξῆς τὴν ἄχρηστον ἅπασαν ἡλικίαν, ἐπὶ κατωρθωμένοις ἤδη πράγμασιν ὡράζεσθαι μέλλουσαν.

рѣку. (2) Промотъ, которому было ввѣрено начальство надъ мѣстными войсками, растянулъ войска по берегу рѣки на возможно большее разстояніе и старался загородить доступъ варварамъ. Вмѣстѣ съ этимъ онъ избралъ и другой путь, *именно* слѣдующій. Созвавъ изъ понимающихъ варварскій языкъ нѣсколько *лицъ*, которымъ онъ рѣшилъ особенно довѣриться въ подобномъ *дѣлѣ*, онъ предоставилъ имъ завести съ варварами переговоры объ измѣнѣ. (3) Послѣдніе потребовали у *варваровъ* значительную сумму денегъ за выдачу римскаго полководца *вмѣстѣ* съ его войскомъ. Когда варвары сказали, что у нихъ не хватитъ такой суммы, подосланные полководцемъ, чтобы внушить довѣріе къ своимъ словамъ, настаивали на *своемъ* первоначальномъ предложеніи, не допуская *возможности* сколько-нибудь уменьшить прибыль. Наконецъ обѣ *стороны* сошлись на извѣстной суммѣ, было заключено тайное условіе касательно измѣны и рѣшено было, чтобы одну часть платы предатели получили немедленно, а остальная была сбережена до времени побѣды. Когда они опредѣлили и способъ, какимъ слѣдовало подать сигналъ, и время, въ которое слѣдовало привести въ исполненіе измѣну, *мнимые измѣнники* сообщаютъ полководцу *о томъ*, что варвары съ наступленіемъ ночи примутся за дѣло и совершатъ переправу противъ римскаго войска. (5) Итакъ варвары, посадивъ самую цвѣтущую часть своихъ полчищъ на однодеревки, приказали ей переправиться первой и напасть на спящихъ еще солдатъ; затѣмъ было приказано *воинамъ* среднихъ силъ присоединиться къ первымъ, когда они уже начнутъ нападеніе, а за ними *должны были* переправиться всѣ наименѣе пригодные люди, чтобы порадоваться достигнутымъ уже успѣхамъ.

39. ὁ δὲ στρατηγὸς Πρόμωτος ἐκ τῶν ἐπὶ προδοσίᾳ σταλέντων ἅπαντα ταῦτα προδιδαχθεὶς πρὸς τὰ τοῖς βαρβάροις σκεφθέντα παρεσκευάζετο, τὰς ναῦς ἀντιπρῴρους στήσας ἀλλήλαις καὶ τὸ μὲν βάθος πλοίοις τρισὶ πληρώσας, φροντίσας δὲ μήκους ὅτι μάλιστα πλείονος ἐπὶ σταδίους εἴκοσι τοῦ ποταμοῦ τὴν ἠόνα κατέλαβε,

39. Полководецъ Промотъ, предувѣдомленный обо всемъ этомъ посланными для измѣны, приготовился *разрушить* всѣ планы варваровъ: онъ поставилъ корабли носами другъ къ другу, по три судна въ глубину, и, позаботившись о возможно большей длинѣ *ихъ линій*, занялъ рѣчной берегъ на 20 стадій съ тѣмъ, чтобы загра-

V. 24—5: «τὰς προδοσίας] τὰ τῆς προδοσίας conieci». Mend. || V. 46: «πλείονος] videtur lacuna. πλείστου πλοίοις καὶ πεζοῖς ἐπὶ conieci. Πλοῖα recurrunt vs. 19 [=p. 808 v. 25], πεζοί vs. 26 [=p. 808 v. 30] et cap. 35,1, ubi eadem res narratur». Mend.

Digitized by Google

τοῖς ἐναντίοις ἐπὶ τοσοῦτο τὴν διάβασιν ἀποκλείων, τοῖς δὲ λοιποῖς ἁπάντων μονοξύλοις ἤδη διαβαίνειν ἐπιχειροῦσι καὶ οἷς ἐνετύγχανε καταδύων. ἀσελήνου δὲ τῆς νυκτὸς οὔσης ἀγνοοῦντες οἱ βάρβαροι τὴν τῶν Ῥωμαίων παρασκευὴν ἔργου τε ἥπτοντο καὶ σιγῇ καὶ ἡσυχίᾳ πολλῇ τοῖς μονοξύλοις ἐνέβαινον, ἀγνοεῖν πάντῃ τὰ βεβουλευμένα τοὺς Ῥωμαίους ἡγούμενοι. (2) τῶν δὲ σημείων ἀρθέντων οἱ τὴν προδοσίαν μηχανησάμενοι, τῷ στρατηγῷ προμηνύσαντες ἕκαστα καὶ ἁρμοσάμενοι τῇ τῶν πολεμίων παρασκευῇ, ταῖς τε ναυσὶ μεγάλαις οὔσαις καὶ εἰρεσίᾳ καρτερωτάτῃ χρωμέναις ἐπέπλεον καὶ τὰ προστυγχάνοντα πάντα κατέδυον, οὐδενὸς τῶν ἀποπιπτόντων διὰ τὸ τῆς πανοπλίας βάρος οἵου τε γενομένου σωθῆναι. (3) τὰ δὲ τοὺς ταῖς ναυσὶ περιπλέοντας διαφυγόντα μονόξυλα καὶ τοῖς εἰς μῆκος συγκειμένοις πλοίοις περιπεσόντα, παντὶ τῷ προσπεσόντι βαλλόμενα σὺν αὐτοῖς ἀπώλετο τοῖς ἀνδράσιν, οὐδενὸς ὑπερβῆναι τὸ τῶν Ῥωμαίων πλοίων διάφραγμα δυνηθέντος. φόνου δὲ πολλοῦ γενομένου καὶ οἷος οὔπω πρότερον ἐν ναυμαχίᾳ συνέβη, σωμάτων μὲν ὁ ποταμὸς ἐπληροῦτο καὶ ὅπλων οἷα φύσιν εἶχεν ὑπὲρ τοῦ ὕδατος αἰωρεῖσθαι, εἰ δέ που τινες οἷοί τε γεγόνασι διαβῆναι νηχόμενοι, τοῖς περὶ τὴν ἠόνα τοῦ ποταμοῦ πεζοῖς ἐμπεσόντες ἀπώλοντο. (4) τοῦ δὲ ἀκμάζοντος παντὸς ἐν τοῖς βαρβάροις διαφθαρέντος ἐπὶ τὴν λείαν ἐχώρουν οἱ στρατιῶται, παιδάρια μὲν ἀπάγοντες καὶ γύναια καὶ τῆς ἀποσκευῆς γενόμενοι κύριοι. τότε δὴ καὶ ὁ στρατηγὸς Πρόμωτος οὐ πόρρω που τὸν βασιλέα Θεοδόσιον ὄντα μεταπεμψάμενος ἐποιεῖτο μάρτυρα τοῦ κατορθώματος. (5) ὁ δὲ τῶν αἰχμαλώτων τὸ πλῆθος καὶ τὸν ὄγκον τῶν λαφύρων τεθεαμένος ἀνῆκέ τε τοὺς αἰχμαλώτους ἀδέτους καὶ δωρεαῖς ἐφιλοφρονεῖτο, διὰ τῆς τοιαύτης φιλανθρωπίας εἰς τὸ αὐτομολῆσαι προτρέπων, καὶ ἄλλως εἰς τὸν κατὰ Μαξίμου συνοίσοντάς οἱ πόλεμον. ὁ μὲν οὖν Πρόμωτος ἐπέμενε τῇ τῆς Θρᾴκης ἐφεστὼς φυλακῇ καὶ πρὸς τὸν εἰρημένον πόλεμον ἐν παραβύστῳ γενόμενος εὐτρεπής...

дить переправу врагамъ на такомъ *пространствѣ*, а остальныхъ встрѣтить уже при попыткѣ переправиться на однодеревкахъ и потопить всѣхъ встрѣчныхъ. Такъ какъ ночь была безлунная, то варвары не могли узнать о приготовленіяхъ Римлянъ; они принялись за дѣло и въ полномъ молчаніи и тишинѣ стали садиться на однодеревки, полагая, что Римляне вовсе не знаютъ объ ихъ планахъ. (2) Когда были поданы сигналы, мнимые измѣнники, заранѣе все сообщивъ полководцу и сдѣлавъ соотвѣтственныя приготовленіямъ распоряженія, на большихъ корабляхъ съ силачами-гребцами поплыли противъ нихъ и стали топить все, что попадалось *навстрѣчу*, при чемъ никто изъ падавшихъ *въ воду* не могъ спастись вслѣдствіе тяжести вооруженія. (3) Однодеревки, ускользнувшія отъ плывшихъ на корабляхъ и попавшіяся судамъ, вытянутымъ по длинѣ *реки*, гибли вмѣстѣ съ людьми, будучи поражаемы чѣмъ попало, такъ что никто не могъ перейдти за заграждение изъ римскихъ судовъ. *Такимъ образомъ* произошло страшное избіеніе *варваровъ*, какого раньше еще не бывало въ морской битвѣ; рѣка наполнилась трупами и оружіемъ, которое по матеріалу могло оставаться на поверхности воды; если же кое-гдѣ нѣкоторые оказались въ состояніи пробиться вплавь, то они гибли, попадая *въ руки стоявшихъ* на берегу рѣки пѣхотинцевъ. (4) Когда *такимъ образомъ* былъ истребленъ весь цвѣтъ варварскихъ *полчищъ*, солдаты бросились на добычу, стали уводить дѣтей и женщинъ и овладѣли обозомъ. Тогда полководецъ Промотъ пригласилъ находившагося неподалеку императора Ѳеодосія и сдѣлалъ свидѣтелемъ удачи. (5) Послѣдній, увидѣвъ множество плѣнныхъ и массу добычи, отпустилъ плѣнныхъ на свободу и любезно наградилъ ихъ дарами, располагая ихъ такимъ ласковымъ обращеніемъ къ переходу на его сторону, такъ какъ они могли быть ему полезны въ войнѣ съ Максимомъ. Промотъ остался во главѣ охранныхъ войскъ во Ѳракіи, выказавъ свою пригодность къ вышеизложенной войнѣ изъ засады...

Digitized by Google

ΒΙΒΛ. Ε'.

21,6... Γαΐννης δὲ... μετὰ τῶν λειπομένων ἐπὶ τὸν Ἴστρον ἀπέτρεχε, πεπορθημένην δὴ τὴν Θράκην ἐκ τῶν προλαβουσῶν ἐφόδων εὑρών, τὰ δὲ ἐν ποσὶ λῃζόμενος. δεδιὼς δὲ μή ποτε στρατόπεδον ἕτερον Ῥωμαϊκὸν ἐπακολουθῆσαν ἐπίθοιτο τοῖς σὺν αὐτῷ βαρβάροις οὐ πολλοῖς οὖσιν, οὐκ ἔξω δὲ ὑποψίας ἔχων τοὺς ἑπομένους αὐτῷ Ῥωμαίους, ἐκείνους μὲν οὐ προϊδομένους τὸ βούλευμα πάντας ἀπέκτεινεν, ἅμα δὲ τοῖς βαρβάροις ἐπεραιώθη τὸν Ἴστρον, εἰς τὰ οἰκεῖα ἐπανελθεῖν διανοούμενος, αὐτόθι δὲ τοῦ λοιποῦ βιοτεύειν.

22. Ἀλλ' ὁ μὲν Γαΐννης ἐν τούτοις ἦν. Οὔλδης δὲ ὁ τὴν Οὔννων ἔχων κατ' ἐκείνους τοὺς χρόνους ἡγεμονίαν, οὐκ ἀσφαλὲς ἡγησάμενος εἶναι βαρβάρῳ στρατόπεδον οἰκεῖον ἔχοντι συγχωρῆσαι πέραν τοῦ Ἴστρου τὴν οἴκησιν ἔχειν, ἅμα δὲ καὶ τῷ Ῥωμαίων οἰόμενος βασιλεῖ χαριεῖσθαι τοῦτον ἀποδιώκων, εἰς μάχην αὐτῷ καταστῆναι παρεσκευάζετο καὶ συναγαγὼν τὴν δύναμιν ἀντετάττετο. (2) καὶ Γαΐννης δὲ οὔτε πρὸς Ῥωμαίους ἐπανελθεῖν ἔτι δυνάμενος οὔτε ἄλλως τὴν ἀπειλουμένην ἔφοδον διαφυγεῖν, ὁπλίσας τοὺς σὺν αὐτῷ τοῖς Οὔννοις ἀπήντα. συμπλακέντων δὲ τῶν στρατοπέδων οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις ἀλλήλοις, ἀντέσχε μὲν εἴς τινας μάχας ἡ Γαΐνου μερίς, ἐπεὶ δὲ πολλοί τε ἐξ αὐτῶν ἔπεσον, ἀνῃρέθη καὶ αὐτὸς Γαΐννης καρτερῶς καὶ γενναίως ἀγωνισάμενος.

КН. 5-Я.

21,6... Гаинъ... съ остальными *воинами* бѣжалъ къ Истру, найдя Ѳракію опустошенною предыдущими нашествіями и разграбляя *все* на *своемъ* пути. Боясь, чтобы другое римское войско, послѣдовавъ *за нимъ*, не напало на бывшихъ съ нимъ немногочисленныхъ варваровъ, и подозрительно относясь къ сопровождавшимъ его Римлянамъ, онъ всѣхъ ихъ перебилъ, пока они не провѣдали его плана, а съ варварами переправился за Истръ, намѣреваясь возвратиться на родину и прожить тамъ остальную жизнь.

22. Таково было намѣреніе Ганна; но Ульдъ, предводительствовавшій въ то время Уннами, считая не безопаснымъ дозволить варвару, имѣющему собственное войско, имѣть жительство за Истромъ и вмѣстѣ съ тѣмъ думая угодить римскому императору его преслѣдованіемъ, сталъ готовиться къ борьбѣ съ нимъ; собравъ свои полчища, онъ выступилъ противъ *него*. (2) Гаинъ, не имѣя уже возможности ни возвратиться къ Римлянамъ, ни иначе избѣжать угрожающаго ему нашествія, вооружилъ своихъ и пошелъ противъ Унновъ. Войска неоднократно вступали между собою въ схватки и Гаиновъ отрядъ въ нѣсколькихъ битвахъ отразилъ *враговъ*, но когда многіе изъ нихъ пали, то былъ убитъ и самъ Гаинъ послѣ упорной и мужественной борьбы.

---

29. Στελίχων δέ, ἀγγείλαντος αὐτῷ τινος ὡς τὰς Ἠπείρους Ἀλλάριχος καταλιπών, ὑπερβάς τε τὰ διείργοντα στενὰ τὴν ἀπὸ Παιονίας ἐπὶ Οὐενετοὺς διάβασιν, τὰς σκηνὰς εἰς Ἡμῶνα πόλιν ἐπήξατο μεταξὺ Παιονίας τῆς ἀνωτάτω καὶ Νωρικοῦ κειμένην· ἄξιον δὲ μὴ παραδραμεῖν ὅσα τῆς πόλεώς ἐστι ταύτης καὶ ὅπως τὴν ἀρχὴν ἔτυχεν οἰκισμοῦ. (2) τοὺς Ἀργοναύτας φασὶν ὑπὸ τοῦ Αἰήτου διωκομένους ταῖς εἰς τὸν Πόντον ἐκβολαῖς τοῦ Ἴστρου προσορμισθῆναι, κρῖναί τε καλῶς ἔχειν διὰ τούτου πρὸς ἀντίον τὸν ῥοῦν ἀναχθῆναι καὶ μέχρι τοσούτου διαπλεῦσαι τὸν ποταμὸν εἱρεσίᾳ καὶ πνεύματος ἐπιτηδείου φορᾷ, μέχρις ἂν

29. Стилихонъ получилъ отъ кого-то извѣстіе, что Аллархъ, покинувъ Епиръ и перейдя тѣснины, запирающія проходъ изъ Паоніи къ Венетамъ, сталъ лагеремъ у города Имона, лежащаго между верхней Паоніей и Норикомъ. Стоитъ упомянуть о *преданіяхъ*, относящихся къ этому городу, и о началѣ его заселенія. (2) Говорятъ, что Аргонавты, преслѣдуемые Эитомъ, пристали къ *мысту* впаденія Истра въ Понтъ и признали удобнымъ подняться по этой *рѣкѣ* противъ теченія и проплыть по ней на веслахъ и съ попутнымъ вѣтромъ до тѣхъ поръ, пока они не очутятся ближе къ морю. (3) Приведя въ исполне-

V. 1: de Gaina v. Zos. IV, 57; V, 7 et 13 sq. || V. 15: «Οὔλδης] Οὐλδὶς Sozom. IX, 5, 'Vldin' Oros. VII, 37, 12 Z., 'Huldin' Iord. p. 41, 20 M. Hunnis Zosimi et Philostorgii Romanos substituit Socrates». Mend. || V. 37: «μεταξὺ κτέ.] offendit Valesius ad Ammian. XXVIII, 1, 45. at cf. Mommsen C. I. L. III, 1 p. 489 (de Ptolem. II, 14, 5 v. Detlefsen Herm. t. XXI p. 554)». Mend.

Digitized by Google

τῇ θαλάττῃ πλησιαίτεροι γένοιντο. (3) πράξαντες δὲ ὅπερ ἔγνωσαν, ἐπειδὴ κατὰ τοῦτον ἐγένοντο τὸν τόπον, μνήμην καταλιπόντες τῆς σφετέρας ἀφίξεως τὸν τῆς πόλεως οἰκισμόν, μηχαναῖς ἐπιθέντες τὴν Ἀργὼ καὶ τετρακοσίων ὁδὸν σταδίων ἄχρι θαλάσσης ἑλκύσαντες οὕτως ταῖς Ἰταλῶν ἀκταῖς προσωρμίσθησαν, ὡς ὁ ποιητὴς ἱστορεῖ Πείσανδρος ὁ τῇ τῶν ἡρωικῶν θεογαμιῶν ἐπιγραφῇ πᾶσαν ὡς εἰπεῖν ἱστορίαν περιλαβών [1]).

ніе свое рѣшеніе и добравшись до этого мѣста, они оставили память о своемъ прибытіи *въ* основаніи города и *затѣмъ*, поставивъ Арго на катки и протащивъ ее *на пространствѣ* 400 стадій до моря, пристали къ берегамъ Италіи, какъ разсказываетъ поэтъ Писандръ, обнявшій, можно сказать, всю миѳологію подъ заглавіемъ браковъ героевъ съ божествами.

ΠΡΙΣΚΟΣ ΠΑΝΙΤΗΣ. ПРИСКЪ ПАНІЙСКІЙ.

[Риторъ и софистъ, уроженецъ ѳракійскаго города Πάνιον, жилъ въ V в. О жизни его извѣстно только то, что онъ самъ сообщаетъ въ своихъ произведеніяхъ. Между прочимъ въ 448 г. онъ участвовалъ въ посольствѣ Максимина къ знаменитому гуннскому царю Аттилѣ, а въ 452 г. сопровождалъ того же Максимина въ Аравію и Египетъ. По свидѣтельству Свиды онъ писалъ «Риторическія упражненія», письма и «Византійскую исторію» (ἱστορία Βυζαντιακή) въ 8 книгахъ, первая часть которой, повидимому, носила частное заглавіе ἱστορία Γοτθική. Исторія его, о которой съ большими похвалами отзываются ученые, обнимала собою, по мнѣнію Нибура, періодъ времени съ 433 по 474 г. Собраніе отрывковъ — Müller, FHG. IV, p. 69 — 110; L. Dindorf, Historici Graeci minores, v. I, p. 275—352. Мы даемъ текстъ по послѣднему изданію [2])].

ΙΣΤΟΡΙΑ ΓΟΤΘΙΚΗ. ГОТѲСКАЯ ИСТОРІЯ.

1. Ὅτι Ῥοὺα βασιλεύοντος Οὔννων Ἀμιλζούροις καὶ Ἰτιμάροις καὶ Τονώσουρσι καὶ Βοίσκοις καὶ ἑτέροις ἔθνεσι προσοικοῦσι τὸν Ἴστρον καὶ ἐς τὴν Ῥωμαίων ὁμαιχμίαν καταφυγγάνουσιν ἐς μάχην ἐλθεῖν προῃρημένος ἐκπέμπει Ἥσλαν, εἰωθότα τοῖς διαφόροις αὐτῷ τε καὶ Ῥωμαίοις διακονεῖσθαι, λύειν τὴν προϋπάρχουσαν εἰρήνην ἀπειλῶν, εἰ μή γε πάντας τοὺς παρὰ σφᾶς καταφυγόντας ἐκδοῖεν. βουλευομένων δὲ Ῥωμαίων στεῖλαι πρεσβείαν παρὰ τοὺς Οὔννους, πρεσβεύειν μὲν ἤθελον Πλίνθας καὶ Διονύσιος,

1. Руя, царь Унновъ, рѣшивъ вступить въ войну [3]) съ Амилзурами, Итимарами, Тоносурами, Воисками и другими народами, жившими по Истру и прибѣжавшими подъ защиту Римлянъ, посылаетъ Ислу, обыкновенно служившаго ему при распряхъ съ Римлянами, угрожая нарушить раньше заключенный миръ, если они не выдадутъ всѣхъ перебѣжавшихъ къ нимъ. Римляне предположили послать посольство къ Уннамъ; быть послами выразили желаніе Плинѳа и Діонисій, *изъ коихъ* Плинѳа

1) «Ex Olympiodoro fabulam tam a Zosimo quam a Sozomeno 1,6 desumptam esse recte vidit Reitemeier. (ex Sozomeno Niceph. Call. h. e. VII, 50). Olympiodorus autem aperte eam hausit e Pisandro. quem non esse Pisandrum illum veterem Camirensem—id quod post alios (cf. Bernhardy hist. litt. Gr. t. II³, 1 p. 375) putavit Ieep 'quaest. Frideric.' (Aug. Taur. a. 1881) p. 16 sq. (sive rivista di filol. class. X p. 387 sq.) et ann. phil. suppl. t. XIV p. 153—ex ipsa Emonae mentione adparet, quippe ab Augusto demum Emona condita est. vetustior fabulae conformatio (ap. Plin. n. h. III, 128) pro Emona habuit Nauportum (cf. Mommsen l. c. p. 483). Pisander igitur argumentum quidem e vetustiore aliquo historiae fabularis scriptore vel poeta sumpsit, sed pro Nauporto urbe s. III p. Chr. prope modum obsoleta Emonam vicinam florentissimamque substituit». Mend.—αἱστορίαν] fabularem ni mirum. cf. Macrob. sat. V, 2, 5—qui tamen miro errore Vergilium e Pisandro pendentem facit—et Duebner adp. ad Hesiodum Didotianum p. 8 sq. fort. μυθικὴν post ἱστορίαν intercidit». Mend.

2) Изъ исторіи Приска заимствованы главнымъ образомъ отрывки этнографическаго характера, а нѣкоторыя подробности историческихъ событій опущены, такъ какъ событія эти происходили не на территоріи собственной Скиѳіи. Полное собраніе отрывковъ Приска переведено на русскій языкъ, съ введеніемъ и примѣчаніями, Г. С. Дестуниса въ «Ученыхъ Зап. 2-го Отд. Имп. Ак. Наукъ» кн. VII, вып. 1 (Спб. 1861), стр. 1—112.

3) A. 433 p. Chr. De gentibus cf. Iord. *Goth.* c. 24.

Digitized by Google

Πλίνθας μὲν τοῦ Σκυθικοῦ, Διονύσιος δὲ τοῦ Θρᾳκίου γένους, ἀμφότεροι δὲ στρατοπέδων ἡγούμενοι καὶ ἄρξαντες τὴν ὕπατον παρὰ Ῥωμαίοις ἀρχήν. ἐπειδὴ δὲ ἐδόκει Ἧσλαν παρὰ τὸν Ῥούαν ἀφικνεῖσθαι πρότερον τῆς ἐκπεμφθησομένης πρεσβείας, συνεκπέμπει Πλίνθας Σηγγίλαχον, ἄνδρα τῶν ἐπιτηδείων, πεῖσαι τὸν Ῥούαν αὐτῷ καὶ μὴ ἑτέροις Ῥωμαίων ἐς λόγους ἐλθεῖν. τελευτήσαντος δὲ Ῥούα καὶ περιστάσης τῆς Οὔννων βασιλείας ἐς Ἀττήλαν καὶ Βλήδαν, ἐδόκει τῇ Ῥωμαίων βουλῇ Πλίνθαν πρεσβεύεσθαι παρ' αὐτούς. καὶ κυρωθείσης ἐπ' αὐτῷ παρὰ βασιλέως ψήφου, ἐβούλετο καὶ Ἐπιγένην ὁ Πλίνθας συμπρεσβεύειν αὐτῷ ὡς μεγίστην ἐπὶ σοφίᾳ δόξαν ἐπιφερόμενον καὶ τὴν ἀρχὴν ἔχοντα τοῦ κοιαίστωρος. χειροτονίας δὲ καὶ ἐπ' αὐτῷ γενομένης, ἄμφω ἐπὶ τὴν πρεσβείαν ἐξώρμησαν, καὶ παραγίγνονται ἐς Μάργον. ἡ δὲ πόλις τῶν ἐν Ἰλλυρίᾳ Μυσῶν πρὸς τῷ Ἴστρῳ κειμένη ποταμῷ ἀντικρὺ Κωνσταντίας φρουρίου κατὰ τὴν ἑτέραν ὄχθην διακειμένου, ἐς ἣν καὶ οἱ βασίλειοι συνήεσαν Σκύθαι. καὶ τὴν σύνοδον ἔξω τῆς πόλεως ἐποιοῦντο, ἐπιβεβηκότες ἵππων· οὐ γὰρ ἐδόκει τοῖς βαρβάροις ἀποβᾶσι λογοποιεῖσθαι, ὥστε καὶ τοὺς Ῥωμαίων πρέσβεις τῆς σφῶν αὐτῶν ἀξίας προνοουμένους ἀπὸ τῆς αὐτῆς προαιρέσεως ἐς ταὐτὸν τοῖς Σκύθαις ἐλθεῖν, πρὸς τὸ μὴ τοὺς μὲν ἀφ' ἵππων, τοὺς δὲ πεζοὺς διαλέγεσθαι.... (*** Ῥωμαίους οὐ μόνον ἐς τὸ μέλλον μὴ δέχεσθαι supplet Nieb.) τοὺς ἀπὸ τῆς Σκυθικῆς καταφεύγοντας, ἀλλὰ καὶ τοὺς ἤδη πεφευγότας, σὺν καὶ τοῖς αἰχμαλώτοις Ῥωμαίοις τοῖς ἄνευ λύτρων ἐς τὰ σφέτερα ἀφιγμένοις ἐκδίδοσθαι, εἰ μή γε ὑπὲρ ἑκάστου πεφευγότος τοῖς κατὰ πόλεμον κτησαμένοις ὀκτὼ δοθεῖεν χρυσοῦ· ἔθνει δὲ βαρβάρῳ μὴ συμμαχεῖν Ῥωμαίους πρὸς Οὔννους αἱρομένῳ πόλεμον· εἶναι δὲ καὶ τὰς πανηγύρεις ἰσονόμους καὶ ἀκινδύνους Ῥωμαίοις τε καὶ Οὔννοις· φυλάττεσθαι δὲ καὶ διαμένειν τὰς συνθήκας ἐπτακοσίων λιτρῶν χρυσίου ἔτους ἑκάστου τελουμένων παρὰ Ῥωμαίων τοῖς βασιλείοις Σκύθαις· πρότερον δὲ πεντήκοντα καὶ τριακόσιαι αἱ τοῦ τέλους ἐτύγχανον οὖσαι. ἐπὶ τούτοις ἐσπένδοντο Ῥωμαῖοί τε καὶ Οὖννοι, καὶ πάτριον ὅρκον ὁμόσαντες ἐς τὰ σφέτερα

был родомъ Скиѳъ, а Діонисій—Ѳракіецъ; оба они предводительствовали войсками и исправляли у Римлянъ консульскую должность. Но такъ какъ предполагалось, что Исла возвратится къ Руѣ раньше этого посольства, то Плинѳа послалъ вмѣстѣ *съ нимъ* одного изъ *своихъ* родственниковъ Сингилаха, чтобы уговорить Рую вести переговоры съ нимъ, а не съ другими Римлянами. Когда же Руя скончался и царская власть надъ Уннами перешла къ Аттилѣ и Влидѣ, римскій сенатъ рѣшилъ отправить Плинѳу посломъ къ нимъ. По утвержденіи этого рѣшенія императоромъ Плинѳа выразилъ желаніе, чтобы вмѣстѣ съ нимъ отправился посломъ Епигенъ, пользовавшійся величайшей славой за свой умъ и занимавшій должность квестора. Когда его избраніе также состоялось, они оба отправились послами и прибыли въ Маргъ; это былъ городъ иллирійскихъ Мисійцевъ, лежавшій на рѣкѣ Истрѣ противъ крѣпости Константіи, расположенной на другомъ берегу; сюда собрались и царскіе Скиѳы. Они устроили съѣздъ внѣ города, сидя на коняхъ, такъ какъ у варваровъ не было въ обычаѣ вести совѣщанія спѣшившись; поэтому и римскіе послы, заботясь о своемъ достоинствѣ, явились къ Скиѳамъ съ соблюденіемъ этого же обычая, чтобы не пришлось бесѣдовать однимъ на коняхъ, а другимъ пѣшими... [что Римляне не только на будущее время не будутъ принимать] прибѣгающихъ изъ скиѳской *земли*, но выдаютъ и перебѣжавшихъ уже вмѣстѣ съ римскими военноплѣнными, прибывшими въ свою страну безъ выкупа, если не будетъ дано по восьми золотыхъ за каждаго бѣглеца пріобрѣвшимъ *ихъ* во время войны; Римляне *обязуются* не вступать въ союзъ съ варварскимъ народомъ, поднимающимъ войну противъ Унновъ; торговыя собранія должны быть равноправны и безопасны для Римлянъ и для Унновъ; договоръ долженъ соблюдаться и оставаться въ силѣ съ тѣмъ, чтобы со стороны Римлянъ ежегодно уплачивалось по 700 литръ золота царскимъ Скиѳамъ (а раньше *сумма* дани равнялась 350 *литрамъ*). На этихъ условіяхъ Римляне заключили договоръ съ Уннами и, поклявшись отеческой клятвой,

V. 12: καὶ Βλήδαν addidit Niebuhr. || V. 32: desunt nonnulla in cod. || V. 42: αἱρομένῳ Nieb., αἱρουμένους cod. || V. 51: ἐς τὰ ἀμφότερα cod.: emend. Bekker.

Digitized by Google

ἀμφότεροι ἐπανήεσαν. οἱ δὲ παρὰ Ῥωμαίους καταφυγόντες ἐξεδόθησαν βαρβάροις, ἐν οἷς καὶ παῖδες Μάμα καὶ Ἀτακὰμ τοῦ βασιλείου γένους, οὓς ἐν Καρσῷ φρουρίῳ Θρᾳκίῳ οἱ παρειληφότες ἐσταύρωσαν, δίκας αὐτοὺς πραττόμενοι τῆς φυγῆς. οἱ δὲ περὶ Ἀττήλαν καὶ Βλήδαν τὴν εἰρήνην πρὸς Ῥωμαίους θέμενοι διεξῆεσαν τὰ ἐν τῇ Σκυθικῇ ἔθνη χειρούμενοι, καὶ πόλεμον πρὸς Σορόσγους συνεστήσαντο. [Exc. de legat. p. 47—48 ed. Par., 166—169 Niebuhr].

обѣ стороны возвратились во-свояси. Перебѣжавшіе къ Римлянамъ были выданы варварамъ, въ томъ числѣ и дѣти Мама и Атакама *изъ* царскаго рода, которыхъ получившіе распяли въ оракійскомъ укрѣпленіи Карсѣ въ наказаніе за бѣгство. По заключеніи мира съ Римлянами Аттила и Влида обратились къ покоренію народовъ, *обитавшихъ* въ Скиѳіи, и вступили въ войну съ Сорогами.

1b. Ἐπολιόρκουν οἱ Σκύθαι τὴν Ναϊσσόν· πόλις δὲ αὕτη τῶν Ἰλλυριῶν ἐπὶ Δανουβα κειμένη ποταμῷ. Κωνσταντῖνον αὐτῆς εἶναι οἰκιστήν φασιν, ὃς καὶ τὴν ὁμώνυμον ἑαυτῷ πόλιν ἐπὶ τῷ Βυζαντίῳ ἐδείματο. οἷα δὴ οὖν πολυάνθρωπόν τε πόλιν αἱρήσειν οἱ βάρβαροι μέλλοντες καὶ ἄλλως ἐρυμνὴν διὰ πάσης ἐχώρουν πείρας. τῶν δὲ ἀπὸ τοῦ ἄστεως οὐ θαρρούντων ἐπεξιέναι πρὸς μάχην, τὸν ποταμὸν ὥστε ῥᾳδίαν εἶναι πλῆθει τὴν διάβασιν ἐγεφύρωσαν κατὰ τὸ μεσημβρινὸν μέρος, καθ' ὃ καὶ τὴν πόλιν παραρρεῖ, καὶ μηχανὰς τῷ περιβόλῳ προσῆγον, πρῶτον μὲν δοκοὺς ἐπὶ τροχῶν κειμένας διὰ τὸ πρόχειρον αὐτῶν εἶναι τὴν προσαγωγήν· αἷς ἑφεστῶτες ἄνθρωποι ἐς τοὺς ἀπὸ τῶν ἐπάλξεων ἀμυνομένους ἐτόξευον, τῶν ἐξ ἑκατέρας κεραίας ἑστώτων ἀνδρῶν ὠθούντων τοῖς ποσὶ τοὺς τροχοὺς καὶ προσαγόντων ὅπῃ καὶ δέοι τὰς μηχανάς, ὡς ἂν εἴη βάλλειν ἐπίσκοπα διὰ τῶν ἐν ταῖς ἐφεστρίσι πεποιημένων θυρίδων. ὥστε γὰρ τοῖς ἐπὶ τῆς δοκοῦ ἀνδράσιν ἀκίνδυνον εἶναι τὴν μάχην, λύγοις διαπλόκοις ἐκαλύπτοντο δέρρεις καὶ διφθέρας ἐχούσαις, κώλυμα τῶν τε ἄλλων βελῶν καὶ ὅσα ἐπὶ σφᾶς πυρφόρα ἐκπέμποιτο. πολλῶν δὲ τῷ τρόπῳ τούτῳ ἐπιτειχισθέντων ὀργάνων τῇ πόλει, ὥστε διὰ πλῆθος βελῶν ἐνδοῦναι καὶ ὑποχωρῆσαι τοὺς ἐπὶ τῶν ἐπάλξεων, προσήγοντο καὶ οἱ καλούμενοι κριοί. μεγίστη δὲ ἆρα καὶ ἥδε ἡ μηχανή. δοκὸς ἐκ ξύλων πρὸς ἄλληλα νευόντων χαλαραῖς ἁπῃωρημένη ἁλύσεσιν, ἐπιδορατίδα καὶ προκαλύμματα ὃν εἴρηται τρόπον ἔχουσα, ἀσφαλείας ἕνεκα τῶν ἐργαζομένων. καλῳδίοις γὰρ ἐκ τῆς ὄπισθεν κεραίας εἵλκον βιαίως ἄνδρες αὐτὴν ἐς τὸ ἐναντίον τοῦ δεξομένου τὴν πληγήν, καὶ

1b. Скиѳы осаждали Наиссъ, иллирійскій городъ на рѣкѣ Дунаѣ. Говорятъ, что основателемъ его былъ Константинъ, который воздвигъ и соименный себѣ городъ у Византія. Варвары, желая взять этотъ многолюдный и укрѣпленный городъ, дѣлали всевозможныя попытки. Такъ какъ горожане не осмѣливались выступать для битвы, то *осаждающіе*, съ цѣлью устроить своимъ полчищамъ легкій переходъ черезъ рѣку, построили на ней мостъ съ южной стороны, съ которой она обтекаетъ городъ, и подвели къ стѣнѣ машины, *именно* прежде всего лежащія на колесахъ бревна вслѣдствіе удобства ихъ подвоза; стоявшіе на нихъ люди стрѣляли въ защитниковъ, находившихся на брустверахъ, при чемъ люди, стоявшіе на обоихъ краяхъ, толкали ногами колеса и подвозили машины куда нужно, чтобы возможно было стрѣлять съ прицѣломъ чрезъ продѣланныя въ прикрытіяхъ окна: ибо для того, чтобы *стоявшимъ* на бревнахъ людямъ можно было сражаться безопасно, *эти машины* покрывались плетнями изъ прутьевъ съ кожами и шкурами для защиты какъ отъ прочихъ снарядовъ, такъ и отъ огненосныхъ, которые бросали въ нихъ *враги*. Послѣ того какъ было построено такимъ образомъ большое количество орудій противъ города, такъ что защитники на брустверахъ *принуждены были* податься и отступить предъ множествомъ метательныхъ снарядовъ, стали подвозиться и такъ называемые бараны. Это также очень большая машина: *это было* бревно, свободно висѣвшее на цѣпяхъ между склоненными одинъ къ другому брусьями и имѣвшее острый наконечникъ и покрышки, *устроен-*

V. 14: fluminis nomen corruptum. Flumen, cui Naissus (h. Nisch) adiacet, hodie vocatur Nischava.

Digitized by Google

μετὰ ταῦτα ἠφίεσαν, ὥστε τῇ ῥύμῃ πᾶν τὸ ἐμπῖπτον τοῦ τείχους ἀφανίζεσθαι μέρος. οἱ δὲ ἀπὸ τῶν τειχῶν ἀμυνόμενοι ἀμαξιαίους λίθους πρὸς τοῦτο ἤδη παρεσκευασμένους, ἡνίκα τῷ περιβόλῳ προσαχθείη τὰ ὄργανα, ἐνέβαλλον, καὶ τινὰ μὲν αὐτοῖς ἀνδράσι συνέτριψαν, πρὸς δὲ τὸ πλῆθος οὐκ ἀντήρκουν τῶν μηχανῶν. καὶ γάρ δὴ προσῆγον καὶ κλίμακας, ὥστε πῇ μὲν ἐκ τῶν κριῶν λυθέντος τοῦ τείχους, πῇ δὲ τῶν ἐν ταῖς ἐπάλξεσι βιαζομένων ὑπὸ τοῦ πλήθους τῶν μηχανῶν, ἁλῶναι τὴν πόλιν, τῶν βαρβάρων ἐσφρησάντων κατὰ τὸ ῥαγὲν τοῦ περιβόλου μέρος ἐκ τῆς τοῦ κριοῦ πληγῆς. τοῦτο δὲ καὶ διὰ τῶν κλιμάκων, αἳ τῷ μήπω πεσόντι τοῦ τείχους προσήγοντο. [Ex iisdem ib. p. 305—306. Hoc loco ponendum hoc fragmentum coniecit R. Roeslerus in ephem. gymn. Austr. a. 1869, p. 844, ad a. Chr. 441 referens].

ная вышеуказаннымъ образомъ для безопасности рабочихъ. *Именно*, люди сильно натягивали его канатами съ задняго конца въ противоположную *сторону* отъ *предмета*, имѣвшаго получить ударъ, и затѣмъ отпускали, такъ что отъ силы удара уничтожалась вся подвергшаяся *ему* часть стѣны. Стоявшіе на стѣнахъ защитники *въ свою очередь* бросали заранѣе для этого приготовленные тяжелые камни, когда орудія подвозились къ оградѣ, и нѣкоторыя изъ нихъ разбили вдребезги вмѣстѣ съ людьми, но противъ множества машинъ силъ ихъ не хватало. *Осаждавшіе* подвозили и лѣстницы, такъ что городъ былъ взятъ послѣ того, какъ въ иныхъ мѣстахъ стѣна была разбита баранами, а въ другихъ — стоявшіе на брустверахъ принуждены были отступить предъ множествомъ машинъ, и варвары пробрались *въ городъ* чрезъ разбитую ударомъ барана часть ограды, а также и по лѣстницамъ, которыя подвозились къ не упавшей еще *части* стѣны.

---

2. Ὅτι τῶν Σκυθῶν κατὰ τὸν τῆς πανηγύρεως καιρὸν καταστρατηγησάντων Ῥωμαίους καὶ πολλοὺς ἀνελόντων, οἱ Ῥωμαῖοι ἐπέστελλον πρὸς τοὺς Σκύθας, ἐν αἰτίᾳ σφᾶς ποιούμενοι τῆς τοῦ φρουρίου αἱρέσεως ἕνεκεν καὶ τῆς τῶν σπονδῶν ὀλιγωρίας. οἱ δὲ ἀπεκρίναντο ὡς οὐκ ἀρξάμενοι, ἀλλ' ἀμυνόμενοι ταῦτα δράσειαν· τὸν γὰρ τῆς Μάργου ἐπίσκοπον ἐς ἑαυτῶν ἀναβεβηκότα γῆν καὶ διερευνησάμενον τὰς παρὰ σφίσι βασιλείους θήκας σεσυληκέναι τοὺς ἀποκειμένους θησαυρούς· καὶ εἰ μὴ τοῦτον ἐκδοῖεν, ἐκδοῖεν δὲ καὶ τοὺς φυγάδας κατὰ τὰ ὑποκείμενα· εἶναι γὰρ παρὰ Ῥωμαίοις πλείστους· τὸν πόλεμον ἐπάξειν. Ῥωμαίων δὲ τὴν αἰτίαν οὐκ ἀληθῆ φαμένων εἶναι, ἐν τοῖς σφετέροις λόγοις τὸ πιστὸν οἱ βάρβαροι θέμενοι κρίσεως μὲν τῶν ἀμφιβόλων κατωλιγώρουν, πρὸς πόλεμον δὲ ἐτράπησαν, καὶ περαιωθέντες τὸν Ἴστρον πόλεις καὶ φρούρια πλεῖστα ἐπὶ τῷ ποταμῷ ἐκάκωσαν. ἐν οἷς καὶ τὸ Βιμινάκιον εἶλον· πόλις δὲ αὕτη τῶν ἐν Ἰλλυριοῖς Μυσῶν· ὧν γιγνομένων, καί τινων λογοποιούντων ὡς ὁ τῆς Μάργου ἐπίσκοπος ἐκδοθείη, ὥστε μὴ ἑνὸς ἀνδρὸς πέρι τῷ παντὶ Ῥωμαίων τὸν ἐκ τοῦ πολέμου ἐπαχθῆναι κίνδυνον, ὑπο-

2. Когда Скиѳы во время ярмарки напали на Римлянъ [1]) и многихъ перебили, Римляне отправили къ нимъ пословъ, обвиняя ихъ во взятіи укрѣпленія и пренебреженіи къ перемирію. Скиѳы отвѣчали, что въ этомъ дѣлѣ они не были зачинщиками, а только оборонялись; ибо епископъ города Марга, явившись въ ихъ землю и обыскавъ *находящіяся* у нихъ царскія гробницы, похитилъ положенныя *въ нихъ* сокровища; и если Римляне не выдадутъ его, а также и бѣглецовъ согласно договору — ибо у Римлянъ было *еще* огромное количество *ихъ*, — то они начнутъ войну. Когда же Римляне отвергли справедливость *этого* обвиненія, то варвары, настаивая на вѣрности своихъ словъ, не захотѣли передать на судъ *возникшія* недоразумѣнія, а предпочли войну и, переправившись черезъ Истръ, опустошили по рѣкѣ множество городовъ и укрѣпленій, въ числѣ которыхъ взяли и Виминакій, городъ иллирійскихъ Мисійцевъ. Послѣ этого, когда нѣкоторые стали говорить, что слѣдуетъ выдать епископа Маргскаго, чтобы изъ-за одного человѣка не навлекать опасности войны на всю римскую

1) A. 442.

Digitized by Google

τοπήσας ὁ ἄνθρωπος ἐκδοθήσεσθαι, λαθὼν τοὺς ἐν τῷ ἄστει πρὸς τοὺς πολεμίους παραγίγνεται, καὶ αὐτοῖς παραδώσειν ὑπισχνεῖται τὴν πόλιν, εἴ γε ἐπιεικές τι οἱ τῶν Σκυθῶν βουλεύσαιντο βασιλεῖς. οἱ δὲ ἔφασαν πάντα ποιήσειν τὰ ἀγαθά, εἰ τὴν αὐτοῦ ἄγοι ἐς ἔργον ὑπόσχεσιν. δεξιῶν δὲ καὶ ὅρκων ἐπὶ τοῖς εἰρημένοις δοθέντων, μετὰ βαρβαρικῆς πολυπληθίας ἐς τὴν Ῥωμαϊκὴν ἐπάνεισι γῆν, καὶ ταύτην προλοχίσας ἀντικρὺ τῆς ὄχθης νυκτὸς διανίστησιν ἐκ συνθήματος, καὶ ὑπὸ τοῖς ἀντιπάλοις τὴν πόλιν ποιεῖ. δῃωθείσης δὲ τῆς Μάργου τὸν τρόπον τοῦτον, ἐπὶ μεῖζον ηὐξήθη τὰ τῶν βαρβάρων πράγματα. [Exc. de legat. p. 33—34 Par., 140—141 Niebuhr].

державу, то этотъ человѣкъ, подозрѣвая *возможность* своей выдачи, тайно отъ горожанъ пришелъ къ врагамъ и обѣщалъ предать имъ городъ, если скиѳскіе цари дадутъ ему приличную *награду*. Они отвѣчали, что осыплютъ его всякими благами, если онъ приведетъ въ дѣйствіе свое обѣщаніе. Обмѣнявшись рукопожатіями и клятвами въ *исполненіи* сказаннаго, онъ возвращается на римскую землю съ варварскимъ полчищемъ и, посадивъ его въ засаду противъ берега, ночью поднимаетъ условнымъ сигналомъ и предаетъ городъ врагамъ. Когда Маргъ былъ опустошенъ такимъ образомъ, могущество варваровъ еще болѣе возросло.

---

3. Ὅτι ἐπὶ Θεοδοσίου τοῦ μικροῦ βασιλέως Ἀττήλας ὁ τῶν Οὔννων βασιλεὺς τὸν οἰκεῖον στρατὸν ἀγείρας γράμματα πέμπει παρὰ τὸν βασιλέα τῶν τε φυγάδων καὶ τῶν φόρων πέρι, ὅσοι προφάσει τοῦδε τοῦ πολέμου οὐκ ἐδέδοντο, τὴν ταχίστην οἱ ἐκπέμπεσθαι παρακελευόμενος· συντάξεως δὴ ἕνεκα * μέλλοντος φόρου παρ' αὐτὸν πρέσβεις τοὺς διαλεξομένους ἀφικνεῖσθαι, ὡς, εἰ μελλήσειαν ἢ πρὸς πόλεμον ὁρμήσειαν, οὐδὲ αὐτὸν ἔτι ἐθέλοντα τὸ Σκυθικὸν ἐφέζειν πλῆθος. ταῦτα ἀναγνόντες οἱ ἀμφὶ τὰ βασίλεια οὐδαμῶς τοὺς παρὰ σφᾶς καταφυγόντας ἐκδώσειν ἔφασαν, ἀλλὰ σὺν ἐκείνοις τὸν πόλεμον ὑποστήσεσθαι, πέμψειν δὲ πρέσβεις τοὺς τὰ διάφορα λύσοντας. ὡς δὲ τῷ Ἀττήλᾳ τὰ δεδογμένα Ῥωμαίοις ἠγγέλλετο, ἐν ὀργῇ τὸ πρᾶγμα ποιούμενος τὴν Ῥωμαϊκὴν ἐδῄου γῆν, καὶ φρούριά τινα καθελὼν τῇ Ῥατιαρίᾳ προσέβαλλε μεγίστῃ καὶ πολυανθρώπῳ. [Ibid. p. 34 Par., 141 Niebuhr].

3. При императорѣ Ѳеодосіи младшемъ уннскій царь Аттила, собравши свое войско, послалъ къ императору письмо [1]) съ требованіемъ, чтобы къ нему немедленно были высланы бѣглецы и *взносы* дани, которые не были выданы подъ предлогомъ этой войны, а для улаженія *вопроса* о будущей дани были присланы къ нему послы для переговоровъ; *онъ прибавилъ*, что если *Римляне* будутъ медлить или готовиться къ войнѣ, то онъ даже при желаніи не въ состояніи будетъ удержать скиѳскія полчища. Прочитавъ это, царедворцы сказали, что никоимъ образомъ не выдадутъ прибѣжавшихъ подъ ихъ защиту, но съ ними вмѣстѣ выдержатъ войну, и *рѣшили* послать пословъ для разрѣшенія недоразумѣній. Когда до Аттилы дошло рѣшеніе Римлянъ, онъ въ гнѣвѣ сталъ опустошать римскую землю и, разрушивъ нѣсколько укрѣпленій, приступилъ къ огромнѣйшему и многолюдному *городу* Ратіаріи.

---

4. Ὅτι Θεοδόσιος ἔπεμπε Σηνάτωρα, ἄνδρα ὑπατικόν, παρὰ τὸν Ἀττήλαν πρεσβευσόμενον. ὃς οὐδὲ τὸ τοῦ πρεσβευτοῦ ἔχων ὄνομα ἐθάρρησε πεζὸς παρὰ τοὺς Οὔννους ἀφικέσθαι, ἀλλ' ἐπὶ τὸν Πόντον καὶ τὴν Ὀδησσηνῶν ἔπλευσε πόλιν, ἐν ᾗ καὶ Θεόδουλος στρατηγὸς ἐκπεμφθεὶς διέτριβεν. [Exc. de legat. p. 48 Par., 169 Niebuhr].

4. Ѳеодосій послалъ консуляра Сенатора въ качествѣ посла къ Аттилѣ. Онъ, даже нося имя посла, не рѣшился прибыть къ Уннамъ сухимъ путемъ, а отплылъ къ Понту и городу Одиссу, въ которомъ пребывалъ и высланный *ранѣе* воевода Ѳеодулъ [2]).

---

1) A. 442. 2) «Senator consul fuerat a. 436. Legatio haec ad quemnam annum pertineat accuratius dici nequit. Ante Chersonesium proelium, quod in fr. 5 memoratur, collocandam esse probabiliter censet Valesius». Müller.

Digitized by Google

5. Ὅτι μετὰ τὴν ἐν Χερρονήσῳ μάχην Ῥωμαίων πρὸς Οὔννους ἐγίγνοντο καὶ αἱ συμβάσεις, Ἀνατολίου πρεσβευσαμένου. καὶ ἐπὶ τοῖσδε ἐσπένδοντο, ὅπως ἐκδοθεῖεν μὲν τοῖς Οὔννοις οἱ φυγάδες καὶ ἓξ χιλιάδες χρυσίου λιτρῶν ὑπὲρ τῶν πάλαι συντάξεων δοθεῖεν αὐτοῖς· φόρον δὲ ἔτους ἑκάστου δισχιλίας καὶ ἑκατὸν λίτρας χρυσοῦ σφισι τεταγμένον εἶναι· ὑπὲρ δὲ αἰχμαλώτου Ῥωμαίου φεύγοντος καὶ ἐς τὴν σφετέραν γῆν ἄνευ λύτρων διαβαίνοντος δώδεκα χρυσοῦς εἶναι ἀποτίμησιν, μὴ καταβάλλοντας δὲ τοὺς ὑποδεχομένους ἐκδιδόναι τὸν φεύγοντα· μηδένα δὲ βάρβαρον Ῥωμαίους παρὰ σφᾶς φεύγοντα δέχεσθαι. ταύτας προσεποιοῦντο μὲν ἐθελονταὶ Ῥωμαῖοι τὰς συνθήκας τίθεσθαι· ἀνάγκῃ δὲ καὶ ὑπερβάλλοντι δέει, ὅπερ κατεῖχε τοὺς σφῶν ἄρχοντας, πᾶν ἐπίταγμα καίπερ ὂν χαλεπόν, τυχεῖν τῆς εἰρήνης ἐσπουδακότες, ἠσμένιζον, καὶ τὴν τῶν φόρων σύνταξιν βαρυτάτην οὖσαν προσίεντο, τῶν χρημάτων αὐτοῖς καὶ τῶν βασιλικῶν θησαυρῶν οὐκ ἐς δέον ἐκδεδαπανημένων, ἀλλὰ περὶ θέας ἀτόπους καὶ φιλοτιμίας οὐκ εὐλόγους καὶ ἡδονὰς καὶ δαπάνας ἀνειμένας, ἃς οὐδεὶς τῶν εὖ φρονούντων οὐδὲ ἐν εὐπραγίαις ἂν ὑποσταίη, μήτι γε δὴ οἱ τῶν ὅπλων ὀλιγωρήσαντες, ὥστε μὴ μόνον Σκύθαις, ἀλλὰ γὰρ καὶ τοῖς λοιποῖς βαρβάροις τοῖς παροικοῦσι τὴν Ῥωμαίων ὑπακούειν ἐς φόρου ἀπαγωγήν... [Exc. de legat. p. 34—35 Par., 142—145 Nieb.].

5. Послѣ битвы Римлянъ съ Уннами при Херсонисѣ былъ заключенъ мирный договоръ при посредствѣ посла Анатолія[1]). Они помирились на томъ, чтобы Уннамъ были выданы бѣглецы и дано было 6000 литръ золота согласно прежнимъ условіямъ; ежегодная дань была условлена въ 2100 литръ золота; за каждаго римскаго военноплѣннаго, бѣжавшаго и перешедшаго безъ выкупа въ свою землю, должно быть выдаваемо по оцѣнкѣ 12 золотыхъ, а въ случаѣ неуплаты принявшіе бѣглеца обязаны выдавать его; Римляне не должны принимать ни одного варвара, бѣжавшаго къ нимъ. Римляне притворялись, что добровольно заключаютъ такой договоръ; но *на дѣлѣ* они, благодаря необходимости и отчаянному страху, который обуялъ ихъ начальниковъ, стремились къ заключенію мира и готовы были принять всякое, даже *самое* тягостное требованіе; поэтому они согласились на условія дани весьма *для нихъ* тяжкія, такъ какъ ихъ доходы и царскія сокровища были растрачены не на дѣло, а на безцѣльныя зрѣлища, безразсудную пышность, распущенныя удовольствія и *другіе* расходы, которыхъ ни одинъ благоразумный *человѣкъ* не выдержалъ бы даже при благопріятныхъ обстоятельствахъ, не говоря уже о тѣхъ, кто пренебрегалъ оружіемъ. Поэтому они повиновались требованіямъ дани не только со стороны Скиѳовъ, но и прочихъ варваровъ, жившихъ на границахъ римскихъ *областей*....

---

8. Ὅτι τοῦ Χρυσαφίου τοῦ εὐνούχου παραινέσαντος Ἐδέκωνι ἀνελεῖν τὸν Ἀττήλαν, ἐδόκει τῷ βασιλεῖ Θεοδοσίῳ καὶ τῷ μαγίστρῳ Μαρτιαλίῳ βουλευομένοις τῶν προκειμένων περὶ μὴ μόνον Βιγίλαν, ἀλλὰ καὶ Μαξιμῖνον ἐκπέμπειν πρεσβευόμενον παρὰ τὸν Ἀττήλαν, καὶ Βιγίλαν μὲν τῷ φαινομένῳ τὴν τοῦ ἑρμηνέως ἐπέχοντα τάξιν πράττειν ἅπερ Ἐδέκωνι δοκεῖ, τὸν δὲ Μαξιμῖνον μηδὲν τῶν αὐτοῖς βουλευθέντων ἐπιστάμενον τὰ βασιλέως ἀποδιδόναι γράμματα. ἐνεγέγραπτο δὲ τῶν πρεσβευομένων ἀνδρῶν ἕνεκα ὡς ὁ μὲν Βιγίλας ἑρμηνεύς, ὁ δὲ Μαξιμῖνος μείζονος ἢπερ ὁ Βιγίλας ἀξίας γένους τε περιφανοῦς καὶ ἐπιτηδειος ἐς τὰ μάλιστα βασιλεῖ, ἔπειτα ὡς οὐ δεῖ

8. Когда евнухъ Хрисафій уговорилъ Едекона убить Аттилу[2]), императоръ Ѳеодосій и магистръ Марціалій на совѣщаніи о предстоящихъ дѣлахъ рѣшили отправить послами къ Аттилѣ не только Вигилу, но и Максимина съ тѣмъ, чтобы Вигила, подъ видомъ исполненія должности переводчика дѣлалъ *все*, что прикажетъ *ему* Едекоинъ, а Максиминъ, ничего не знавшій объ ихъ замыслѣ, передалъ письмо императора. Относительно посылаемыхъ лицъ въ немъ было написано, что Вигила—переводчикъ, а Максиминъ выше Вигилы по достоинству, изъ знатнаго рода и очень близокъ къ императору; затѣмъ *императоръ писалъ*, что не слѣдуетъ *Аттилѣ*, нарушая перемиріе,

V. 17: καὶ addidit Nieb.

1) A. 447. 2) De his v. fragm. 7. Quae hic narrantur pertinent ad a. 448.

Digitized by Google

παρασαλεύοντα τὰς σπονδὰς τῇ Ῥωμαίων ἐμβατεύειν γῇ. φυγάδας δὲ μετὰ τοὺς ἤδη ἐκδοθέντας ἑπτακαίδεκα ἀπέσταλκά σοι, ὡς ἑτέρων οὐκ ὄντων. καὶ ταῦτα μὲν ἦν ἐν τοῖς γράμμασι· φράζειν δὲ τὸν Μαξιμῖνον ἀπὸ στόματος τῷ Ἀττήλᾳ μὴ χρῆναι αἰτεῖν πρέσβεις μεγίστης ἀξίας παρ' αὐτὸν διαβῆναι· τοῦτο γὰρ οὔτε ἐπὶ τῶν αὐτοῦ προγόνων οὔτε ἐπὶ ἑτέρων τῶν ἀρξάντων τῆς Σκυθικῆς γενέσθαι, ἀλλὰ πρεσβεύσασθαι τόν τε ἐπιτυχόντα στρατιώτην καὶ ἀγγελιαφόρον. ἐς δὲ τὸ διευκρινῆσαι τὰ ἀμφιβαλλόμενα ἐδόκει πέμπειν Ὀνηγήσιον παρὰ Ῥωμαίους· μὴ οἷόν τε γὰρ αὐτὸν Σερδικῆς δῃωθείσης σὺν ὑπατικῷ ἀνδρὶ ἐς αὐτὴν προϊέναι. ἐπὶ ταύτην τὴν πρεσβείαν ἐκλιπαρήσας πείθει με Μαξιμῖνος αὐτῷ συναπᾶραι. καὶ δῆτα ἅμα τοῖς βαρβάροις ἐχόμενοι τῆς ὁδοῦ ἐς Σερδικὴν ἀφικνούμεθα, τρισκαίδεκα ὁδὸν ἀνδρὶ εὐζώνῳ τῆς Κωνσταντίνου ἀπέχουσαν. ἐν ᾗ καταλύσαντες καλῶς ἔχειν ἡγησάμεθα ἐπὶ ἑστίαν Ἐδέκωνα καὶ τοὺς μετ' αὐτοῦ βαρβάρους καλεῖν. πρόβατα οὖν καὶ βόας ἀποδομένων τῶν ἐπιχωρίων ἡμῖν, κατασφάξαντες ἀριστοποιούμεθα. καὶ παρὰ τὸν τοῦ συμποσίου καιρὸν τῶν μὲν βαρβάρων τὸν Ἀττήλαν, ἡμῶν δὲ τὸν βασιλέα θαυμαζόντων, ὁ Βιγίλας ἔφη ὡς οὐκ εἴη θεὸν καὶ ἄνθρωπον δίκαια συγκρίνειν, ἄνθρωπον μὲν τὸν Ἀττήλαν, θεὸν δὲ τὸν Θεοδόσιον λέγων. ἧσχαλλον οὖν οἱ Οὖννοι, καὶ κατὰ μικρὸν ὑποθερμαινόμενοι ἐχαλέπαινον. ἡμῶν δὲ ἐς ἕτερα τρεψάντων τὸν λόγον καὶ φιλοφροσύνῃ τὸν σφῶν αὐτῶν καταπραϋνόντων θυμόν, μετὰ τὸ δεῖπνον ὡς διανέστημεν, δώροις ὁ Μαξιμῖνος Ἐδέκωνα καὶ Ὀρέστην ἐθεράπευσε, σηρικοῖς ἐσθήμασι καὶ λίθοις Ἰνδικοῖς. ἀναμείνας δὲ τὴν Ἐδέκωνος Ὀρέστης ἀναχώρησιν, πρὸς τὸν Μαξιμῖνον φράζει ὡς σοφός τε εἴη καὶ ἄριστος, μὴ ὅμοια σὺν τοῖς ἀμφὶ βασίλεια πλημμελήσας· χωρὶς γὰρ αὐτοῦ ἐπὶ δεῖπνον τὸν Ἐδέκωνα καλοῦντες δώροις ἐτίμων. ἀπόρου δὲ τοῦ λόγου ὡς μηδὲν ἐπισταμένοις φανέντος, καὶ ἀνερωτήσασιν ὅπως καὶ κατὰ ποῖον καιρὸν περιῶπται μὲν αὐτός, τετίμηται δὲ ὁ Ἐδέκων, οὐδὲν ἀποκρινάμενος ἐξῆλθε. τῇ δὲ ὑστεραίᾳ ὡς ἐβαδίζομεν, φέρομεν ἐπὶ Βιγίλαν ἅπερ ἡμῖν Ὀρέστης εἰρήκει. ὃς δὲ ἐκεῖνον μὴ δεῖν χαλεπαίνειν ὡς τῶν αὐτῶν Ἐδέκωνι μὴ τυγχάνοντα· αὐτὸν μὲν γὰρ ὀπάονά τε καὶ ὑπογραφέα εἶναι Ἀττήλα, Ἐδέκωνα δὲ τὰ κατὰ πόλεμον ἄριστον, ὡς τοῦ Οὔννου γέ-

высаживаться на римскую землю; «а бѣглецовъ, сверхъ выданныхъ уже, я отправилъ къ тебѣ семнадцать, такъ какъ другихъ нѣтъ». Таково было содержаніе письма; *кромѣ того* Максимину *было приказано* сказать на словахъ Аттилѣ, что не слѣдуетъ ему требовать, чтобы къ нему приходили послы высшаго достоинства, такъ какъ это не дѣлалось ни при его предкахъ, ни при другихъ владѣтеляхъ Скиѳіи, а бывали послами первый попавшійся солдатъ или вѣстникъ; что для разрѣшенія недоразумѣній слѣдовало послать къ Римлянамъ Онигисія, такъ какъ *Аттилѣ* неприлично было послѣ опустошенія Сердики прибыть въ нее съ лицомъ консульскаго званія. Максиминъ просьбами убѣдилъ меня сопутствовать ему въ этомъ посольствѣ. И вотъ мы, совершая путь вмѣстѣ съ варварами, пріѣзжаемъ въ Сердику, отстоящую отъ Константинополя на 13 *дней* пути для хорошаго пѣшехода. Остановившись здѣсь, мы сочли приличнымъ пригласить на обѣдъ Едекона съ сопровождавшими его варварами. Купивъ у туземцевъ овецъ и быковъ и зарѣзавъ ихъ, мы приготовили обѣдъ. Когда во время пира варвары стали восхвалять Аттилу, а мы—императора, Вигила сказалъ, что несправедливо сравнивать бога съ человѣкомъ, разумѣя подъ человѣкомъ Аттилу, а подъ богомъ—Ѳеодосія. Унны обидѣлись на это и, понемногу разгорячаясь, стали сердиться. Мы перевели разговоръ на другой *предметъ* и старались любезностью смягчить ихъ гнѣвъ. Когда мы встали послѣ обѣда, Максиминъ почтилъ Едекона и Ореста подарками, *именно* шелковыми одеждами и индійскими камнями. Орестъ, выждавъ удаленія Едекона, говоритъ Максимину, что онъ *человѣкъ* умный и прекрасный, такъ какъ не пренебрегъ *имъ* подобно царедворцамъ: ибо они безъ него приглашали Едекона на обѣдъ и оказывали почетъ дарами. Такъ какъ его рѣчь показалась намъ, ничего не знавшимъ, неясною и мы спросили, какимъ образомъ и когда *именно* онъ былъ обиженъ, а Едеконъ почтенъ, онъ вышелъ безъ всякаго отвѣта. На слѣдующій день мы дорогою сообщили Вигилѣ, что̀ намъ сказалъ Орестъ. *Вигила отвѣчалъ*, что *Орестъ* не долженъ обижаться, не получая одинаковыхъ съ Едекономъ *почестей*, такъ какъ онъ только прислужникъ и писецъ Аттилы, а Едеконъ,

Digitized by Google

νους, ἀναβεβηκέναι τὸν Ὀρέστην πολύ. ταῦτα εἰπὼν καὶ τῷ Ἐδέκωνι ἰδιολογησάμενος ἔφασκεν ὕστερον πρὸς ἡμᾶς, εἴτε ἀληθιζόμενος εἴτε ὑποκρινόμενος, ὡς εἶποι μὲν αὐτῷ τὰ εἰρημένα, μόγις δὲ αὐτὸν καταπραῦναι τραπέντα ἐπὶ τοῖς λεχθεῖσιν ἐς ὀργήν. ἀφικόμενοι δὲ ἐς Ναϊσσὸν ἔρημον μὲν εὕρομεν ἀνθρώπων τὴν πόλιν, ὡς ὑπὸ τῶν πολεμίων ἀνατραπεῖσαν· ἐν δὲ τοῖς ἱεροῖς καταλύμασι τῶν ὑπὸ νόσων κατεχομένων τινὲς ἐτύγχανον ὄντες. μικρὸν δὲ ἄνω τοῦ ποταμοῦ ἐν καθαρῷ καταλύσαντες· σύμπαντα γὰρ τὰ ἐπὶ τὴν ὄχθην ὀστέων ἦν πλέα τῶν ἐν πολέμῳ ἀναιρεθέντων· τῇ ἐπαύριον πρὸς Ἀγίνθεον τῶν ἐν Ἰλλυριοῖς ταγμάτων ἡγούμενον ἀφικόμεθα, οὐ πόρρω ὄντα τῆς Ναϊσσοῦ, ἐφ' ᾧ τὰ παρὰ βασιλέως ἀγγεῖλαι καὶ τοὺς φυγάδας παραλαβεῖν· τοὺς γὰρ πέντε τῶν ἑπταικαίδεκα, περὶ ὧν Ἀττήλᾳ ἐγέγραπτο, αὐτὸν ἔδει παραδιδόναι. ἦλθομεν οὖν ἐς λόγους, καὶ τοὺς πέντε φυγάδας παραδοῦναι αὐτὸν τοῖς Οὔννοις παρεσκευάσαμεν· οὓς φιλοφρονησάμενος σὺν ἡμῖν ἀπέπεμψε. διανυκτερεύσαντες δὲ καὶ ἀπὸ τῶν ὁρίων τῆς Ναϊσσοῦ τὴν πορείαν ποιησάμενοι ἐπὶ τὸν Ἴστρον ποταμόν, ἔς τι χωρίον ἐσβάλλομεν συνηρεφές, καμπὰς δὲ καὶ ἑλιγμοὺς καὶ περιαγωγὰς πολλὰς ἔχον. ἐν ᾧπερ τῆς ἡμέρας διαφαυούσης, οἰομένοις ἐπὶ δυσμὰς πορεύεσθαι ἡ τοῦ ἡλίου ἀνατολὴ κατεναντίον ὤφθη, ὥστε τοὺς ἀπείρως ἐχοντας τῆς τοῦ χωρίου θέσεως ἀναβοῆσαι, οἷα δὴ τοῦ ἡλίου τὴν ἐναντίαν ποιουμένου πορείαν καὶ ἕτερα παρὰ τὰ καθεστῶτα σημαίνοντος. ὑπὸ δὲ τῆς τοῦ τόπου ἀνωμαλίας ἐπὶ ἀνατολὰς ἐκεῖνο τὸ μέρος ἔβλεπε τῆς ὁδοῦ. μετὰ δὲ τὴν δυσχωρίαν ἐν πεδίῳ καὶ αὐτῷ ὑλώδει παρεγενόμεθα. ἐντεῦθεν βάρβαροι πορθμεῖς ἐν σκάφεσι μονοξύλοις, ἅπερ αὐτοὶ δένδρα ἐκτέμνοντες καὶ διαγλύφοντες κατασκευάζουσιν, ἐδέχοντο ἡμᾶς καὶ διεπόρθμευον τὸν ποταμόν, οὐχ ἡμῶν ἕνεκα παρασκευασάμενοι, ἀλλὰ διαπορθμεύσαντες πλῆθος βαρβαρικόν, ὅπερ ἡμῖν κατὰ τὴν ὁδὸν ἀπηντήκει, οἷα δὴ βουλομένου ὡς ἐπὶ θήραν Ἀττήλα διαβαίνειν ἐς τὴν Ῥωμαίων γῆν. τοῦτο δὲ ἦν πολέμου παρασκευὴν ποιουμένῳ τῷ βασιλείῳ Σκύθῃ, προφάσει τοῦ μὴ πάντας αὐτῷ τοὺς φυγάδας δεδόσθαι. περαιωθέντες δὲ τὸν Ἴστρον καὶ σὺν τοῖς βαρβάροις ὡς ἑβδομήκοντα πορευθέντες σταδίους, ἐν πεδίῳ τινὶ ἐπιμένειν ἠναγκάσθημεν, ὥστε τοὺς ἀμφὶ τὸν Ἐδέκωνα τῷ Ἀττήλᾳ γενέσθαι

как извѣстный храбрецъ на войнѣ и природный Уннъ, многимъ превышаетъ Ореста. Сказавъ это и переговоривъ наединѣ съ Едекономъ, онъ позже говорилъ намъ, вправду или притворно, что передалъ ему нашъ разговоръ и едва успокоилъ его, такъ какъ онъ пришелъ въ гнѣвъ отъ сказаннаго. Прибывъ въ Наиссъ, мы нашли *этотъ* городъ лишеннымъ населенія, такъ какъ онъ былъ разрушенъ непріятелями; лишь въ священныхъ обителяхъ оставалось нѣсколько одержимыхъ болѣзнями. Мы остановились немного выше рѣки на чистомъ *мѣстѣ*, такъ какъ весь берегъ былъ покрытъ костями убитыхъ на войнѣ. На слѣдующій день мы прибыли къ Агинѳею, предводителю расположенныхъ въ Иллиріи войскъ, находившемуся недалеко отъ Наисса, съ тѣмъ чтобы сообщить *ему* распоряженія императора и взять бѣглецовъ: онъ долженъ былъ передать пятерыхъ изъ семнадцати, о которыхъ было написано Аттилѣ. Мы переговорили съ нимъ и упросили передать Уннамъ пятерыхъ бѣглецовъ; онъ обласкалъ ихъ и отпустилъ съ нами. Переночевавъ и отъ предѣловъ Наисса направивъ путь къ рѣкѣ Истру, мы вступили въ узкую долину, имѣвшую много поворотовъ, извилинъ и обходовъ; здѣсь на разсвѣтѣ, когда мы думали, что идемъ къ западу, восходъ солнца оказался противъ *насъ*, такъ что незнакомые съ положеніемъ долины закричали *отъ удивленія*, какъ будто бы солнце шло по обратному пути и представляло явленіе противное естественному. *На самомъ же дѣлѣ* вслѣдствіе извилинъ мѣстности эта часть дороги была обращена къ востоку. Послѣ трудной дороги мы вышли въ болотистую равнину. Варвары-перевозчики приняли насъ и перевезли черезъ рѣку [т. е. Истръ] на челнокахъ-однодеревкахъ, которые они изготовляютъ сами, срубая деревья и выдалбливая *ихъ*. Они приготовились не ради насъ, а *уже раньше* перевезли толпу варваровъ, которая встрѣтилась намъ по дорогѣ, такъ какъ Аттила хотѣлъ перейдти на римскую землю подъ предлогомъ охоты. Это было для царственнаго Скиѳа приготовленіемъ къ войнѣ подъ тѣмъ предлогомъ, что не всѣ бѣглецы были ему выданы. Переправившись черезъ Истръ и пройдя съ варварами около 70 стадій, мы принуждены были ждать въ одной равнинѣ, пока Едеконъ со

Digitized by Google

τῆς ἡμετέρας ἀφίξεως μηνυτάς. καταμεινάντων δὲ σὺν ἡμῖν καὶ τῶν ξεναγησάντων ἡμᾶς βαρβάρων, ἀμφὶ δείλην ὀψίαν δεῖπνον ἡμῶν αἱρουμένων, κρότος ἵππων ὡς ἡμᾶς ἐρχομένων ἠκούετο. καὶ δὴ ἄνδρες δύο Σκύθαι παρεγίγνοντο ὡς τὸν Ἀττήλαν ἡμᾶς ἀπιέναι παρακελευόμενοι. ἡμῶν δὲ πρότερον ἐπὶ τὸ δεῖπνον αὐτοὺς ἐλθεῖν αἰτησάντων, ἀποβάντες τῶν ἵππων εὐωχήθησαν, καὶ ἡμῖν τῆς ὁδοῦ τῇ ὑστεραίᾳ ἡγήσαντο. παραγενομένων δὲ ἐς τὰς Ἀττήλα σκηνὰς ἀμφὶ ἐνάτῃ τῆς ἡμέρας ὥρᾳ, πολλαὶ δὲ αὐτῷ ἐτύγχανον οὖσαι, ἐπί τε λόφου τινὸς σκηνοποιῆσαι βουληθέντων, οἱ ἐπιτυχόντες διεκώλυσαν βάρβαροι, ὡς τῆς Ἀττήλα ἐν χθαμαλῷ ὑπαρχούσης σκηνῆς. καταλυσάντων δὲ ὅπου τοῖς Σκύθαις ἐδόκει, Ἐδέκων καὶ Ὀρέστης καὶ Σκόττας καὶ ἕτεροι τῶν ἐν αὐτοῖς λογάδων ἦκον ἀνερωτῶντες τίνων τυχεῖν ἐσπουδακότες τὴν πρεσβείαν ποιούμεθα. ἡμῶν δὲ τὴν ἄλογον ἀποθαυμαζόντων ἐρώτησιν καὶ ἐς ἀλλήλους ὁρώντων, διετέλουν πρὸς ὄχλου τῆς ἀποκρίσεως ἕνεκα γιγνόμενοι. εἰπόντων δὲ Ἀττήλα καὶ οὐχ ἑτέροις λέγειν βασιλέα παρακελεύσασθαι, χαλεπήνας ὁ Σκόττας ἀπεκρίνατο τοῦ σφῶν αὐτῶν ἡγουμένου ἐπίταγμα εἶναι· οὐ γὰρ ἂν πολυπραγμοσύνῃ σφετέρᾳ παρ' ἡμᾶς ἐληλυθέναι. φησάντων δὲ μὴ τοῦτον ἐπὶ τοῖς πρέσβεσι κεῖσθαι τὸν νόμον, ὥστε μὴ ἐντυγχάνοντας μηδὲ ἐς ὄψιν ἐρχομένους παρ' οὓς ἐστάλησαν δι' ἑτέρων ἀνακρίνεσθαι ὧν ἕνεκα πρεσβεύοιντο, καὶ τοῦτο μηδὲ αὐτοὺς ἀγνοεῖν Σκύθας θαμινὰ παρὰ βασιλέα πρεσβευομένους· χρῆναι δὲ τῶν ἴσων κυρεῖν· μὴ γὰρ ἄλλως τὰ τῆς πρεσβείας ἐρεῖν· ὡς τὸν Ἀττήλαν ἀνέζευξαν, καὶ αὖθις ἐπανῆκον Ἐδέκωνος χωρίς, καὶ ἅπαντα, περὶ ὧν ἐπρεσβευόμεθα, ἔλεγον, προστάττοντες τὴν ταχίστην ἀπιέναι, εἰ μὴ ἕτερα φράζειν ἔχοιμεν. ἐπὶ δὲ τοῖς λεχθεῖσι πλέον ἔτι ἀποροῦντες—οὐ γὰρ ἦν ἐφικτὸν γιγνώσκειν ὅπως ἐκδηλα ἐγεγόνει τὰ ἐν παραβύστῳ δεδογμένα βασιλεῖ—συμφέρειν ἡγούμεθα μηδὲν περὶ τῆς πρεσβείας ἀποκρίνεσθαι, εἰ μὴ τῆς παρὰ τὸν Ἀττήλαν ἐσόδου τύχοιμεν. διὸ ἐφάσκομεν, εἴτε τὰ εἰρημένα τοῖς Σκύθαις εἴτε καὶ ἕτερα ἥκομεν πρεσβευόμενοι, τοῦ σφῶν αὐτῶν ἡγουμένου τὴν πεῦσιν εἶναι, καὶ μηδαμῶς ἄλλοις τούτου χάριν διαλεχθήσεσθαι. οἱ δὲ ἡμᾶς παραχρῆμα ἀναχωρεῖν προσέταττον. ἐν παρα-

своими спутниками возвѣстилъ Аттилѣ о нашемъ прибытіи. Вмѣстѣ съ нами остановились и провожавшіе насъ варвары. Въ сумерки, когда мы сидѣли за ужиномъ, послышался топотъ приближающихся къ намъ коней. Это прибыли два Скиеа, съ приказаніемъ отправиться къ Аттилѣ. Мы предложили имъ сначала поужинать съ нами и они, сойдя съ лошадей, получили угощеніе, а на другой день показывали намъ дорогу. Когда мы въ девятомъ часу дня прибыли къ шатрамъ Аттилы, которыхъ было у него *очень* много, и хотѣли поставить наши шатры на холмѣ, случившіеся *тутъ* варвары не позволили *этою*, такъ какъ шатеръ *самого* Аттилы стоялъ въ низинѣ. Когда мы остановились, гдѣ указали Скиеы, къ *намъ* пришли Едеконъ, Орестъ, Скотта и другіе знатные у нихъ лица съ вопросомъ, съ какою цѣлью явилось наше посольство. Пока мы удивлялись *этому* странному вопросу и переглядывались другъ съ другомъ, они продолжали настаивать на отвѣтѣ. *Наконецъ* мы сказали, что императоръ приказалъ объяснить *эту* цѣль Аттилѣ, а не другимъ; *тогда* Скотта съ сердцемъ отвѣчалъ, что таково приказаніе ихъ повелителя, — ибо они не пришли бы къ намъ ради своего любопытства. Мы отвѣчали, что нѣтъ такого обычая относительно пословъ, чтобы они, не представившись лично тѣмъ, къ кому посланы, посредствомъ другихъ *лицъ* были допрашиваемы о цѣли посольства, и что это не безъизвѣстно и самимъ Скиеамъ, часто посылавшимъ посольства къ императору; что мы должны получить равное и иначе не скажемъ цѣли нашего посольства. Тогда они уѣхали къ Аттилѣ, но затѣмъ вернулись безъ Едекона и сообщили *намъ* все, изъ-за чего мы были посланы, приказывая *при этомъ* какъ можно скорѣе удалиться, если мы не имѣемъ сказать *ничего* другаго. Этими словами мы были приведены въ большее еще недоумѣніе, такъ какъ невозможно было узнать, какимъ образомъ стало извѣстно принятое втайнѣ рѣшеніе императора; мы признали, *однако*, полезнымъ ничего не отвѣчать насчетъ *цѣли* посольства, если не добьемся пріема у Аттилы; поэтому мы сказали, что было ли цѣлью нашего посольства сказан-

V. 44: τὰ θεῶν παράβυστα cod.: emend. Nieb.

Digitized by Google

σκευῇ δὲ τῆς ὁδοῦ γενομένους τῆς ἀποκρίσεως ἡμᾶς ὁ Βιγίλας κατεμέμφετο, ἐπὶ ψεύδει ἁλῶναι ἄμεινον λέγων ἢ ἀπράκτους ἀναχωρεῖν. «εἰ γὰρ ἐς λόγους τῷ Ἀττήλᾳ ἔτυχον, φησίν, ἐληλυθώς, ἐπεπείκειν ῥᾳδίως ἂν αὐτὸν τῆς πρὸς Ῥωμαίους ἀποστῆναι διαφορᾶς, οἷα δὴ ἐπιτήδειος αὐτῷ ἐν τῇ κατὰ Ἀνατόλιον πρεσβείᾳ γενόμενος». διὰ ταῦτα εὔνουν αὐτῷ τὸν Ἐδέκωνα ὑπάρχειν· ὥστε λόγῳ τῆς πρεσβείας καὶ τῶν ὁπωσοῦν, εἴτε ἀληθῶς εἴτε ψευδῶς, ῥηθησομένων προφάσεως τυχεῖν ἐπὶ τῷ βουλεύσασθαι περὶ τῶν αὐτοῖς κατ' Ἀττήλα δεδογμένων, καὶ ὅπως τὸ χρυσίον, οὗπερ ἔφασκε δεῖσθαι ὁ Ἐδέκων, κομίσαι τὸ διανεμηθησόμενον τοῖς ὑπ' αὐτὸν ταττομένοις ἀνδράσι. προδεδομένος δὲ ἐλελήθει· ὁ γὰρ Ἐδέκων, εἴτε δόλῳ ὑποσχόμενος εἴτε καὶ τὸν Ὀρέστην εὐλαβηθείς, μὴ ἐς τὸν Ἀττήλαν ἀγάγοι ἅπερ ἡμῖν ἐν τῇ Σαρδικῇ μετὰ τὴν ἑστίασιν εἰρήκει, ἐν αἰτίᾳ ποιούμενος τὸ χωρὶς αὐτοῦ βασιλεῖ καὶ τῷ εὐνούχῳ ἐς λόγους αὐτὸν ἐληλυθέναι, καταμηνύει τὴν μελετηθεῖσαν αὐτῷ ἐπιβουλὴν καὶ τὸ ποσὸν τοῦ ἐκπεμφθησομένου χρυσίου, ἐκλέγει δὲ καὶ ἐφ' οἷς τὴν πρεσβείαν ἐποιούμεθα. τῶν δὲ φορτίων ἤδη τοῖς ὑποζυγίοις ἐπιτεθέντων, καὶ ἀνάγκῃ τὴν πορείαν κατὰ τὸν τῆς νυκτὸς καιρὸν ποιεῖσθαι πειρώμενοι, μετεξέτεροι τῶν βαρβάρων παραγενόμενοι ἐπιμεῖναι ἡμᾶς τοῦ καιροῦ χάριν παρακελεύσασθαι τὸν Ἀττήλαν ἔλεγον. ἐν αὐτῷ οὖν τῷ χωρίῳ, ὅθεν καὶ διανέστημεν, ἦκον ἡμῖν βοῦν ἄγοντές τινες καὶ ποταμίους ἰχθύας παρὰ τοῦ Ἀττήλα διαπεμφθέντας. δειπνήσαντες οὖν ἐς ὕπνον ἐτράπημεν. ἡμέρας δὲ γενομένης ᾠόμεθα μὲν ἥμερόν τι καὶ πρᾶον παρὰ τοῦ βαρβάρου μηνυθήσεσθαι· ὁ δὲ πάλιν τοὺς αὐτοὺς ἔπεμπε, παρακελευόμενος ἀπιέναι, εἰ μὴ ἔχοιμέν τι παρὰ τὰ αὐτοῖς ἐγνωσμένα λέγειν. οὐδὲν οὖν ἀποκρινάμενοι πρὸς τὴν ὁδὸν παρασκευαζόμεθα, καίπερ τοῦ Βιγίλα διαφιλονεικοῦντος λέγειν εἶναι ἕτερα ἡμῖν ῥηθησόμενα. ἐν πολλῇ δὲ κατηφείᾳ τὸν Μαξιμῖνον ἰδών, παραλαβὼν Ῥουστίκιον ἐξεπιστάμενον τὴν βαρβάρων φωνήν, ὃς σὺν ἡμῖν ἐπὶ τὴν Σκυθικὴν ἐληλύθει, οὐ τῆς πρεσβείας ἕνεκα, ἀλλὰ κατὰ πρᾶξίν τινα πρὸς Κωνστάντιον, ὃν Ἰταλιώτην ὄντα ὑπογραφέα Ἀττήλᾳ ἀπεστάλκει Ἀέτιος ὁ τῶν ἑσπερίων Ῥωμαίων

ное Скиѳамъ, или *что-нибо* другое,—объ этомъ долженъ узнать ихъ повелитель и что мы не будемъ разговаривать объ этомъ съ другими. *Тогда* они приказали намъ тотчасъ удалиться. Во время приготовленій къ пути Вигила сталъ бранить насъ за отвѣтъ, говоря, что лучше быть уличенными во лжи, нежели удалиться ни съ чѣмъ. «Если бы мнѣ удалось поговорить съ Аттилою,— сказалъ онъ,— то я легко убѣдилъ бы его прекратить вражду съ Римлянами, такъ какъ я подружился съ нимъ во время посольства при Анатоліи». Поэтому-де Едеконъ къ нему расположенъ и подъ видомъ посольства и рѣчей, которыя должны быть сказаны такъ или иначе, вправду или ложно, онъ найдетъ предлогъ переговорить относительно плана, принятаго ими противъ Аттилы, и принести золото, въ которомъ нуждался Едеконъ, по его собственнымъ словамъ, для раздачи подчиненнымъ ему людямъ. *Вигила* не зналъ, что уже былъ преданъ *Едеконом*. Дѣло въ томъ, что Едеконъ, или коварно давшій свое обѣщаніе, или испугавшійся, чтобы Орестъ не довелъ *до свѣдѣнія* Аттилы то, что онъ сказалъ намъ въ Сердикѣ послѣ пира (когда онъ обвинялъ Едекона въ томъ, что онъ безъ него велъ переговоры съ царемъ и съ евнухомъ), донесъ Аттилѣ о составленномъ противъ него заговорѣ и о количествѣ золота, которое должны были выслать *Римляне*, а также выяснилъ и цѣль нашего посольства. Когда поклажа была уже навьючена на животныхъ и мы по необходимости хотѣли попытаться двинуться въ путь въ ночное время, пришли нѣкоторые варвары и сказали, что Аттила приказалъ намъ подождать въ виду *ночнаго* времени. Въ ту самую деревню, изъ которой мы поднялись *въ путь*, пришли какіе-то *люди* съ быкомъ и рѣчными рыбами, присланными отъ Аттилы. Мы поужинали и легли спать. Съ наступленіемъ дня мы надѣялись получить отъ варвара что-либо благосклонное и любезное; но онъ снова прислалъ тѣхъ самыхъ *людей* съ приказаніемъ удалиться, если мы не имѣемъ ничего сказать кромѣ извѣстнаго имъ. Мы, ничего не отвѣчая, стали готовиться въ путь, хотя Вигила настоятельно совѣтовалъ сказать, что у насъ

V. 8: διὰ addidit Hoesch. (ταῦτα δ' ἔλεγεν ἐλπίζων Bekk.).||V. 16: τοῖς ὑπ' αὐτὸν supplevit Bekk.

Digitized by Google

στρατηγός, παρὰ τὸν Σκότταν ἀφικνούμενος (οὐ γὰρ Ὀνηγήσιος τηνικαῦτα παρῆν) καὶ αὐτὸν προσειπὼν ὑπὸ ἑρμηνεῖ τῷ Ῥουστικίῳ ἔλεγον δῶρα πλεῖστα παρὰ τοῦ Μαξιμίνου λήψεσθαι, εἴπερ αὐτὸν τῆς παρὰ τὸν Ἀττήλαν ἐσόδου παρασκευάσοι τυχεῖν. τὴν γὰρ αὐτοῦ πρεσβείαν οὐ μόνον Ῥωμαίοις καὶ Οὔννοις συνοίσειν, ἀλλὰ καὶ Ὀνηγησίῳ, ὃν παρ' αὐτὸν βασιλέα ἰέναι βούλεσθαι καὶ τὰ τοῖς ἔθνεσι διευκρινῆσαι ἀμφίβολα· ἀφικόμενον δὲ μεγίστων τεύξεσθαι δωρεῶν. χρῆναι οὖν μὴ παρόντος Ὀνηγησίου ἡμῖν, μᾶλλον δὲ τἀδελφῷ ἐπὶ τῇ ἀγαθῇ συναγωνίζεσθαι πράξει. πείθεσθαι δὲ καὶ αὐτῷ τὸν Ἀττήλαν μεμαθηκέναι ἔλεγον· οὐκ ἐν ἀκοῇ δὲ ἔσεσθαι βεβαίως τὰ κατ' αὐτόν, εἰ μή γε πείρᾳ τὴν αὐτοῦ γνοίημεν δύναμιν. ὃς δὲ ὑπολαβὼν μηκέτι ἀμφιβόλους εἶναι ἔφη τοῦ καὶ αὐτὸν ἴσα τῷ ἀδελφῷ παρὰ Ἀττήλᾳ λέγειν τε καὶ πράττειν. καὶ παραχρῆμα τὸν ἵππον ἀναβὰς ἐπὶ τὴν Ἀττήλα διήλασε σκηνήν. πρὸς δὲ τὸν Μαξιμῖνον ἐπανελθὼν ἀλύοντα ἅμα τῷ Βιγίλᾳ καὶ διαπορούμενον ἐπὶ τοῖς καθεστῶσιν ἔλεγον ἃ τε τῷ Σκόττᾳ διείλεγμαι καὶ ἅπερ παρ' αὐτοῦ ἠκηκόειν, καὶ ὡς δεῖ τὰ τῷ βαρβάρῳ δοθησόμενα παρασκευάζειν δῶρα καὶ τὰ αὐτῷ παρ' ἡμῶν ῥηθησόμενα ἀναλογίζεσθαι. ἀμφότεροι οὖν ἀναπηδήσαντες—ἐπὶ γὰρ τοῦ ἐδάφους καὶ τῆς πόας κεῖσθαι σφᾶς συνέβαινεν—ἐπῄνεσάν τε τὴν πρᾶξιν καὶ τοὺς ἤδη μετὰ τῶν ὑποζυγίων ἐξορμήσαντας ἀνεκάλουν, καὶ διεσκέψαντο ὅπως τε προσείποιεν τὸν Ἀττήλαν καὶ ὅπως αὐτῷ τά τε βασιλέως δῶρα δοῖεν καὶ ἅπερ αὐτῷ ὁ Μαξιμῖνος ἐκόμιζεν. ἀμφὶ δὲ ταῦτα πονουμένους διὰ τοῦ Σκόττα ὁ Ἀττήλας μετεπέμψατο, καὶ δῆτα ἐς τὴν ἐκείνου παρεγενόμεθα, ὑπὸ βαρβαρικοῦ κύκλῳ πεφρουρημένην πλήθους. ὡς δὲ ἐσόδου ἐτύχομεν, εὕρομεν ἐπὶ ξυλίνου δίφρου τὸν Ἀττήλαν καθήμενον. στάντων δὲ ἡμῶν μικρὸν ἀπωτέρω τοῦ θρόνου, προσελθὼν ὁ Μαξιμῖνος ἠσπάσατο τὸν βάρβαρον, τά τε παρὰ βασιλέως γράμματα δοὺς ἔλεγεν ὡς σῶν εἶναι αὐτὸν καὶ τοὺς ἀμφ' αὐτὸν εὔχεται βασιλεύς. ὁ δὲ ἀπεκρίνατο ἔσεσθαι Ῥωμαίοις ἅπερ αὐτῷ βούλοιντο. καὶ ἐπὶ τὸν Βιγίλαν εὐθὺς τρέπει τὸν λόγον, θηρίον ἀναιδὲς ἀποκαλῶν, ὅτου χάριν παρ' αὐτὸν ἐλθεῖν ἠθέλησεν ἐπιστάμενος τά τε αὐτῷ καὶ Ἀνατολίῳ ἐπὶ τῇ εἰρήνῃ δόξαντα, ὡς εἴρητο μὴ πρότερον πρέσβεις παρ' αὐτὸν ἐλθεῖν πρὶν ἢ πάντες οἱ φυγάδες ἐκδοθεῖεν

есть и другія заявленія. Видя Максимина въ большомъ унынін, я взялъ Рустикія, знавшаго варварскій языкъ и прибывшаго съ нами въ Скиѳію (не въ составѣ посольства, а по какому-то дѣлу къ Констанцію, родомъ Итальянцу, котораго полководецъ западныхъ Римлянъ Аетій прислалъ къ Аттилѣ *въ качествѣ* секретаря), и, придя къ Скоттѣ (такъ какъ Онигисія въ то время не было), обратился къ нему и чрезъ переводчика Рустикія сказалъ, что онъ получитъ отъ Максимина множество даровъ, если выхлопочетъ ему аудіенцію у Аттилы, такъ какъ его посольство будетъ полезно не только Римлянамъ и Уннамъ, но и Онигисію, который хочетъ идти къ самому императору для разъясненія возникшихъ между *нашими* народами недоразумѣній и по прибытіи получитъ величайшіе дары. Поэтому онъ, *Скотта*, долженъ въ отсутствіи Онигисія оказать намъ, а еще болѣе брату, содѣйствіе въ добромъ дѣлѣ. Я говорилъ *ему*, что, какъ мнѣ сообщили, Аттила слушается и его, но что сказанное о немъ не будетъ заслуживать довѣрія, если мы не узнаемъ на опытѣ его силу. Скотта, прервавъ меня, сказалъ, чтобы мы не сомнѣвались, что и онъ говоритъ и дѣйствуетъ у Аттилы одинаково съ братомъ, и, тотчасъ вскочивъ на коня, поскакалъ къ шатру Аттилы. Возвратившись къ Максимину, предававшемуся унынію вмѣстѣ съ Вигилой и крайне разстроенному положеніемъ дѣлъ, я передалъ *ему* свой разговоръ со Скоттой и полученный отъ него отвѣтъ и *прибавилъ*, что нужно приготовить дары для передачи варвару и обдумать, что мы ему скажемъ. Оба они, вскочивши (я засталъ ихъ лежащими на травѣ), похвалили мой поступокъ, отозвали назадъ *людей*, уже выступившихъ съ вьючными животными, и стали обсуждать, какъ будутъ привѣтствовать Аттилу и какъ передадутъ ему дары императора и тѣ, которые привезъ *самъ* Максиминъ. Пока мы занимались этимъ, Аттила пригласилъ *насъ* черезъ Скотту и вотъ мы явились къ его *шатру*, охраняемому кругомъ толпою варваровъ. Получивъ позволеніе войдти, мы застали Аттилу сидящимъ на деревянномъ креслѣ. Мы стали немного поодаль трона; Максиминъ, приблизившись, привѣтствовалъ варвара и, передавъ *ему* письмо им-

Digitized by Google

βαρβάροις. τοῦ δὲ φήσαντος ὡς ἐκ Σκυθικοῦ γένους παρὰ Ῥωμαίοις οὐκ εἴη φυγάς, τοὺς γὰρ ὄντας ἐδεδόσθαι, χαλεπήνας μᾶλλον καὶ αὐτῷ πλεῖστα λοιδορησάμενος μετὰ βοῆς ἔλεγεν ὡς αὐτὸν ἀνασκολοπίσας πρὸς βορὰν οἰωνοῖς ἐδεδώκει ἄν, εἰ μή γε τῷ τῆς πρεσβείας θεσμῷ λυμαίνεσθαι ἐδόκει τῷ ταύτην αὐτῷ ἐπὶ τῇ ἀναδείᾳ καὶ τῇ τῶν λόγων ἰταμότητι ἐπιθεῖναι δίκην· φυγάδας γὰρ τοῦ σφετέρου ἔθνους παρὰ Ῥωμαίοις εἶναι πολλούς, ὧν ἐκέλευε τὰ ὀνόματα ἐγγεγραμμένα χάρτῃ τοὺς ὑπογραφέας ἀναγιγνώσκειν. ὡς δὲ διεξῆλθον ἅπαντας, προσέταττε μηδὲν μελλήσαντα ἀπιέναι· συμπέμψειν δὲ αὐτῷ καὶ Ἥσλαν Ῥωμαίοις λέξοντα πάντας τοὺς παρὰ σφίσι καταφυγόντας βαρβάρους ἀπὸ τῶν Καρπιλεόνος χρόνων, ὃς ὠμήρευσε παρ' αὐτῷ παῖς ὢν Ἀετίου τοῦ ἐν τῇ ἑσπέρᾳ Ῥωμαίων στρατηγοῦ, ἐκπέμψαι παρ' αὐτόν. καὶ γὰρ οὐ συγχωρήσειν τοὺς σφετέρους θεράποντας ἀντίον αὐτοῦ ἐς μάχην ἰέναι, καίπερ μὴ δυναμένους ὠφελεῖν τοὺς τὴν φυλακὴν αὐτοῖς τῆς οἰκείας ἐπιτρέψαντες γῆς. τίνα γὰρ πόλιν ἢ ποῖον φρούριον σεσῶσθαι, ἔλεγεν, ὑπ' ἐκείνων, οὓπερ αὐτὸς ποιῆσαι τὴν αἵρεσιν ὥρμησεν; ἀπαγγείλαντας δὲ τὰ αὐτῷ περὶ τῶν φυγάδων δεδογμένα αὖθις ἐπανήκειν μηνύοντας πότερον αὐτοὺς ἐκδιδόναι βούλονται ἢ τὸν ὑπὲρ αὐτῶν ἀναδέχονται πόλεμον. παρακελευσάμενος δὲ πρότερον καὶ τὸν Μαξιμῖνον ἐπιμένειν, ὡς δι' αὐτοῦ περὶ τῶν γεγραμμένων ἀποκρινούμενος βασιλεῖ, ἐπέτρεπε τὰ δῶρα. δόντες τοίνυν καὶ ἐπανιόντες ἐς τὴν σκηνήν, ἑκάστου τῶν λεχθέντων πέρι ἰδιολογούμεθα. καὶ Βιγίλα θαυμάζοντος ὅπως πάλαι αὐτῷ πρεσβευομένῳ ἠπιός τε καὶ πρᾷος νομισθεὶς τότε χαλεπῶς ἐλοιδορήσατο, ἔλεγον, μήποτέ τινες τῶν βαρβάρων τῶν ἐν Σερδικῇ ἑστιαθέντων σὺν ἡμῖν δυσμενῆ αὐτῷ τὸν Ἀττήλαν παρεσκεύασαν, ἀπαγγείλαντες ὡς θεὸν μὲν τὸν Ῥωμαίων ἐκάλει βασιλέα, ἄνθρωπον δὲ τὸν Ἀττήλαν. τοῦτον τὸν λόγον ὁ Μαξιμῖνος ὡς πιθανὸν ἐδέχετο, οἷα δὴ ἀμέτοχος ὢν τῆς συνωμοσίας, ἣν κατὰ τοῦ βαρβάρου ὁ εὐνοῦχος ἐποιήσατο. ὁ δὲ Βιγίλας ἀμφίβολός τε ἦν καὶ ἐμοὶ ἐδόκει προφάσεως ἀπορεῖν, δι' ἣν αὐτῷ ὁ Ἀττήλας ἐλοιδορήσατο· οὔτε γὰρ τὰ ἐν Σερδικῇ, ὡς ὕστερον ἡμῖν διηγεῖτο, οὔτε τὰ τῆς ἐπιβουλῆς εἰρῆσθαι τῷ Ἀττήλᾳ ἐνόμιζε, μηδενὸς μὲν ἑτέρου τῶν ἐκ τοῦ πλήθους διὰ τὸν ἐπικρατοῦντα κατὰ πάντων φόβον ἐς λό-

ператора, сказалъ, что императоръ желаетъ *добраго* здоровья ему и окружающимъ его. *Аттила* отвѣтилъ *пожеланіемъ* Римлянамъ того же, чего они ему желаютъ, и тотчасъ обратился къ Вигилѣ, обзывая его безстыднымъ животнымъ и *спрашивая*, съ какой стати онъ пожелалъ явиться къ нему, зная рѣшеніе его и Анатолія о мирѣ, *при чемъ* было сказано, чтобы къ нему не являлись послы прежде, чѣмъ всѣ бѣглецы будутъ выданы варварамъ. Когда же Вигила отвѣтилъ, что у Римлянъ нѣтъ бѣглецовъ изъ скиескаго народа, такъ какъ *всѣ* бывшіе *уже* выданы, Аттила, *еще* больше разсердившись и осыпавъ его бранью, крикнулъ, что онъ посадилъ бы его на колъ и отдалъ на съѣденіе хищнымъ птицамъ, если бы не показалось нарушеніемъ посольскаго устава то, что онъ подвергъ бы его такому наказанію за безстыдство и дерзость его словъ; *онъ прибавилъ*, *что* у Римлянъ есть много бѣглецовъ изъ его племени, и приказалъ секретарямъ прочитать ихъ имена, записанныя на хартіи. Когда они прочитали всѣхъ, онъ приказалъ *Вигилѣ* удалиться безъ всякаго промедленія, *прибавляя*, *что* онъ пошлетъ вмѣстѣ съ нимъ и Ислу сказать Римлянамъ, чтобы они выслали къ нему всѣхъ варваровъ, перебѣжавшихъ къ нимъ со временъ Карпилеона (сына Аетія, римскаго полководца на Западѣ), бывшаго у него заложникомъ; ибо онъ-де не допуститъ, чтобы его рабы выступали въ битву противъ него, хотя бы они и не могли быть полезны ввѣрившимъ имъ охрану своей земли: въ самомъ дѣлѣ, говорилъ онъ,—какой городъ или какое укрѣпленіе, которымъ онъ вознамѣрился овладѣть, спасены ими? Возвѣстивъ *императору* его рѣшеніе относительно бѣглецовъ, *послы* должны тотчасъ возвратиться съ извѣстіемъ, желаютъ ли *Римляне* выдать ихъ, или берутъ на себя войну изъ-за нихъ. Приказавъ раньше Максимину подождать, чтобы черезъ него отвѣтить императору на его письмо, онъ потребовалъ дары. Передавъ ихъ и возвратившись въ *нашъ* шатеръ, мы стали обсуждать каждое слово *Аттилы*. Когда Вигила выражалъ удивленіе тому, что *Аттила*, показавшійся ему въ прежнемъ посольствѣ *человѣкомъ* кроткимъ и спокойнымъ, теперь *такъ* грубо бранилъ его, я высказалъ предположеніе, не вну-

Digitized by Google

γους αὐτῷ θαρροῦντος ἐλθεῖν, Ἐδέκωνος δὲ πάντως ἐχεμυθήσοντος διά τε τοὺς ὅρκους καὶ τὴν ἀδηλίαν τοῦ πράγματος, μήποτε καὶ αὐτός, ὡς τοιούτων μέτοχος λόγων, ἐπιτήδειος νομισθεὶς θάνατον ὑφέξει ζημίαν. ἐν τοιαύτῃ οὖν ἀμφιβολίᾳ τυγχάνουσιν ἐπιστὰς Ἐδέκων, καὶ τὸν Βιγίλαν ἔξω τῆς ἡμετέρας ἀπαγαγὼν συνόδου, ὑποκρινάμενός τε ἀληθίζεσθαι τῶν αὐτοῖς βεβουλευμένων ἕνεκα, καὶ τὸ χρυσίον κομισθῆναι παρακελευσάμενος τὸ δοθησόμενον τοῖς ἅμα αὐτῷ περὶ τὴν πρᾶξιν ἐλευσομένοις, ἀνεχώρει. πολυπραγμονοῦντα δὲ τίνες οἱ τοῦ Ἐδέκωνος πρὸς αὐτὸν λόγοι ἀπατᾶν ἔσπευδεν ἠπατημένος αὐτός, καὶ τὴν ἀληθῆ αἰτίαν ἀποκρυψάμενος ἔφασκε παρ' αὐτοῦ Ἐδέκωνος εἰρῆσθαι ὡς καὶ αὐτῷ ὁ Ἀττήλας περὶ τῶν φυγάδων χαλεπαίνοι· ἔδει γὰρ ἢ πάντας ἀπολαβεῖν ἢ πρέσβεις ἐκ τῆς μεγίστης ἐξουσίας ἀφικέσθαι πρὸς αὐτόν. ταῦτα διαλεγομένοις παραγενόμενοί τινες τῶν Ἀττήλα ἔλεγον μήτε Βιγίλαν μήτε ἡμᾶς Ῥωμαῖον αἰχμάλωτον ἢ βάρβαρον ἀνδράποδον ἢ ἵππους ἢ ἕτερόν τι πλὴν τῶν ἐς τροφὴν ὠνεῖσθαι, ἄχρις ὅτου τὰ μεταξὺ Ῥωμαίων καὶ Οὔννων ἀμφίβολα διακριθείη. σεσοφισμένως δὲ ταῦτα καὶ κατὰ τέχνην ἐγένετο τῷ βαρβάρῳ, ὥστε τὸν μὲν Βιγίλαν ῥᾳδίως ἐπὶ τῇ κατ' αὐτοῦ ἁλῶναι πράξει ἀποροῦντα αἰτίας, ἐφ' ἧπερ τὸ χρυσίον κομίζοι, ἡμᾶς δὲ προφάσει ἀποκρίσεως ἐπὶ τῇ πρεσβείᾳ δοθησομένης Ὀνηγήσιον ἀπεκδέξασθαι, τὰ δῶρα κομιούμενον ἅπερ ἡμεῖς τε διδόναι ἐβουλόμεθα καὶ βασιλεὺς ἀπεστάλκει. συνέβαινε γὰρ αὐτὸν σὺν τῷ πρεσβυτέρῳ τῶν Ἀττήλα παίδων ἐς τὸ τῶν Ἀκατζίρων ἔθνος ἐστάλθαι, ὅ ἐστι Σκυθικὸν ἔθνος, παρέστη δὲ τῷ Ἀττήλᾳ ἐξ αἰτίας τοιᾶσδε. πολλῶν κατὰ φῦλα καὶ γένη ἀρχόντων τοῦ ἔθνους, Θεοδόσιος ὁ βασιλεὺς ἐκπέμπει δῶρα, ὥστε ὁμονοίᾳ σφετέρᾳ ἀπαγορεῦσαι μὲν τῇ τοῦ Ἀττήλα συμμαχίᾳ, τὴν δὲ πρὸς Ῥωμαίους συμμαχίαν ἀσπάζεσθαι. ὁ δὲ τὰ δῶρα ἀποκομίζων οὐ κατὰ τάξιν ἑκάστῳ τῶν βασιλέων τοῦ ἔθνους δίδωσιν, ὥστε τὸν Κουρίδαχον πρεσβύτερον ὄντα τῇ ἀρχῇ τὰ δῶρα δεξάμενον δεύτερον, οἷα δὴ περιοφθέντα καὶ τῶν σφετέρων στερηθέντα γερῶν, ἐπικαλέσασθαι τὸν Ἀττήλαν κατὰ τῶν συμβασιλευόντων, τὸν δὲ μὴ μελλήσαντα πολλὴν ἐκπέμψαι δύναμιν, καὶ τοὺς

шили ли Аттилѣ нерасположеніе къ нему нѣкоторые изъ варваровъ, пировавшихъ вмѣстѣ съ нами въ Сердикѣ, сообщивъ, что онъ называлъ римскаго императора богомъ, а Аттилу — человѣкомъ. Максиминъ призналъ это предположеніе вѣроятнымъ, такъ какъ онъ не принималъ участія въ заговорѣ, который евнухъ составилъ противъ варвара; но Вигила оставался въ недоумѣніи и, какъ мнѣ казалось, не могъ уяснить себѣ повода, по которому вибранилъ его Аттила: онъ не думалъ, чтобы Аттилѣ были сообщены слова его въ Сердикѣ — какъ онъ позднѣе намъ разсказывалъ — или заговоръ, такъ какъ никто другой изъ посторонникъ вслѣдствіе обуявшаго всѣхъ страха не рѣшался вступать въ бесѣду съ нимъ, а Едеконъ во всякомъ случаѣ долженъ былъ хранить тайну по причинѣ клятвы и неизвѣстности дѣла, чтобы и самому, какъ участнику такихъ бесѣдъ, не быть признану заговорщикомъ и не подвергнуться смертной казни. Пока мы были въ такомъ недоумѣніи, *вдругъ* явился Едеконъ и, отведя Вигилу въ сторону отъ нашего собранія и притворяясь говорящимъ правду ради задуманнаго имъ *плана*, просилъ принести золото для раздачи *людямъ*, которые придутъ вмѣстѣ съ нимъ для исполненія *дѣла*, *а затѣмъ* ушелъ. Когда *я* полюбопытствовалъ узнать, что говорилъ Едеконъ, Вигила постарался обмануть *меня*, будучи обманутъ самъ, и, скрывъ истинную причину, сказалъ, что ему было сообщено самимъ Едекономъ, будто Аттила сердится на него изъ-за бѣглецовъ: слѣдовало-де или получить всѣхъ *ихъ* или придти къ нему послать изъ самой высшей знати. Пока мы бесѣдовали объ этомъ, явились нѣкоторые изъ людей Аттилы и сказали, чтобы ни Вигила, ни мы не покупали ни римскаго плѣнника, ни раба *изъ* варваровъ, ни лошадей, ни чего-либо другаго, кромѣ съѣстныхъ припасовъ, пока не будутъ разрѣшены недоразумѣнія между Римлянами и Уннами. Это было сдѣлано варваромъ умно и искусно, такъ что Вигила легко *могъ быть* изобличенъ въ своемъ замыслѣ противъ него, не умѣя объяснить причины, по которой онъ принесъ золото, а мы подъ предлогомъ отвѣта, который будетъ данъ по дѣламъ *нашего* посольства,

V. 37: Ἀκατζίρων] Ἀκατίρων p. 306, 11 et 310, 30 Dind. || V. 44: συμμαχίαν] εἰρήνην Hoesch.

Digitized by Google

μὲν ἀνελόντα, τοὺς δὲ παραστησάμενον καλεῖν τὸν Κουρίδαχον τῶν νικητηρίων μεθέξοντα. τὸν δὲ ἐπιβουλὴν ὑποτοπήσαντα εἰπεῖν ὡς χαλεπὸν ἀνθρώπῳ ἐλθεῖν ἐς ὄψιν θεοῦ· εἰ γὰρ οὐδὲ τὸν τοῦ ἡλίου δίσκον ἀτενῶς ἔστιν ἰδεῖν, πῶς τὸν μέγιστον τῶν θεῶν ἀπαθῶς τις ὄψοιτο; οὕτω μὲν ὁ Κουρίδαχος ἔμεινεν ἐπὶ τοῖς σφετέροις καὶ διεφύλαξε τὴν ἀρχήν, τοῦ λοιποῦ παντὸς τοῦ Ἀκατίρων ἔθνους τῷ Ἀττήλᾳ παραστάντος· οὗπερ ἔθνους βασιλέα τὸν πρεσβύτερον τῶν παίδων καταστῆσαι βουλόμενος Ὀνηγήσιον ἐπὶ ταύτην ἐκπέμπει τὴν πρᾶξιν. διὸ δὴ καὶ ἡμᾶς, ὡς εἴρηται, ἐπιμεῖναι παρακελευσάμενος, τὸν Βιγίλαν διαφῆκεν ἅμα Ἥσλᾳ προφάσει μὲν τῶν φυγάδων ἐς τὴν Ῥωμαίων διαβησόμενον, τῇ δὲ ἀληθείᾳ τῷ Ἐδέκωνι τὸ χρυσίον κομιοῦντα.

Τοῦ δὲ Βιγίλα ἐξορμήσαντος, μίαν μετὰ τὴν ἐκείνου ἀναχώρησιν ἡμέραν ἐπιμείναντες τῇ ὑστεραίᾳ ἐπὶ τὰ ἀρκτικώτερα τῆς χώρας σὺν Ἀττήλᾳ ἐπορεύθημεν. καὶ ἄχρι τινὸς τῷ βαρβάρῳ συμπροελθόντες ἑτέραν ὁδὸν ἐτράπημεν, τῶν ξεναγούντων ἡμᾶς Σκυθῶν τοῦτο ποιεῖν παρακελευσαμένων, ὡς τοῦ Ἀττήλα ἐς κώμην τινὰ παρεσομένου, ἐν ᾗ γαμεῖν θυγατέρα Ἐσκὰμ ἐβούλετο, πλείστας μὲν ἔχων γαμετάς, ἀγόμενος δὲ καὶ ταύτην κατὰ νόμον τὸν Σκυθικόν. ἐνθένδε ἐπορευόμεθα ὁδὸν ὁμαλήν, ἐν

должны были ждать Онигисія, чтобы онъ могъ получить дары, которые мы *сами* хотѣли дать и *которые* прислалъ императоръ. Онъ съ старшимъ сыномъ Аттилы *въ это время* былъ посланъ къ Акатирамъ, народу скиѳскаго племени, подчинившемуся Аттилѣ по слѣдующей причинѣ. У *этого* народа было много начальниковъ по колѣнамъ и родамъ; императоръ Ѳеодосій послалъ имъ дары для того, чтобы они по взаимному соглашенію отказались отъ союза съ Аттилою и предпочли союзъ съ Римлянами. Но посланный съ дарами роздалъ ихъ не по порядку каждому изъ царьковъ народа, такъ что Куридахъ, старшій по власти, получилъ дары вторымъ и, какъ обиженный и лишенный принадлежащихъ ему даровъ, призвалъ Аттилу противъ своихъ соправителей. Послѣдній не замедлилъ выслать большую рать и однихъ перебилъ, а другихъ склонилъ къ подчиненію; *затѣмъ онъ* пригласилъ Куридаха для участія въ празднованіи побѣды; но тотъ, заподозривъ злой умыселъ, отвѣтилъ, что трудно человѣку явиться предъ лицомъ бога: вѣдь если даже на солнечный дискъ нельзя посмотрѣть пристально, то какъ можетъ кто-либо невредимо лицезрѣть величайшаго изъ боговъ? Такимъ образомъ Куридахъ остался на родинѣ и сохранилъ свою власть, между тѣмъ какъ весь остальной народъ Акатирскій подчинился Аттилѣ. Желая поставить своего старшаго сына царемъ этого народа, онъ и послалъ Онигисія для *устройства* этого дѣла. Поэтому-то и намъ онъ, какъ сказано, приказалъ подождать, а Вигилу отправилъ вмѣстѣ съ Ислой въ Римскія владѣнія подъ предлогомъ *отысканія* бѣглецовъ, а на самомъ дѣлѣ для доставки золота Едекону.

Когда Вигила двинулся въ путь, мы оставались *на мѣстѣ* одинъ день послѣ его отъѣзда, а на слѣдующій *день* отправились съ Аттилою въ сѣверную часть его страны. Проѣхавъ нѣкоторое пространство вмѣстѣ съ варваромъ, мы свернули на другую дорогу по приказанію нашихъ проводниковъ Скиѳовъ, *объяснившихъ*, что Аттила долженъ заѣхать въ одну деревню, въ которой онъ хотѣлъ жениться на дочери Ескама; хотя онъ *уже* имѣлъ множество женъ, но хотѣлъ еще взять и эту

V. 10: Ἀκατίρων] Κατζίρων cod.

Digitized by Google

πεδίῳ κειμένην, ναυσιπόροις τε προσεβάλομεν ποταμοῖς, ὧν οἱ μέγιστοι μετὰ τὸν Ἴστρον ὅ τε Δρήκων λεγόμενος καὶ ὁ Τίγας καὶ ὁ Τιφήσας ἦν. καὶ τούτους μὲν ἐπεραιώθημεν τοῖς μονοξύλοις πλοίοις, οἷς οἱ προσοικοῦντες τοὺς ποταμοὺς κέχρηνται· τοὺς δὲ λοιποὺς ταῖς σχεδίαις διεπλεύσαμεν, ἃς ἐπὶ τῶν ἁμαξῶν οἱ βάρβαροι διὰ τοὺς λιμνάζοντας φέρουσι τόπους. ἐχορηγοῦντο δὲ ἡμῖν κατὰ κώμας τροφαί, ἀντὶ μὲν σίτου κέγχρος, ἀντὶ δὲ οἴνου ὁ μέδος ἐπιχωρίως καλούμενος. ἐκομίζοντο δὲ καὶ οἱ ἑπόμενοι ἡμῖν ὑπηρέται κέγχρον καὶ τὸ ἐκ κριθῶν χορηγούμενον πόμα· κάμον οἱ βάρβαροι καλοῦσιν αὐτό. μακρὰν δὲ ἀνύσαντες ὁδὸν περὶ δείλην ὀψίαν κατεσκηνώσαμεν πρὸς λίμνῃ τινί, πότιμον ὕδωρ ἐχούσῃ, ὅπερ οἱ τῆς πλησίου ὑδρεύοντο κώμης. πνεῦμα δὲ καὶ θύελλα ἐξαπίνης διαναστᾶσα μετὰ βροντῶν καὶ συχνῶν ἀστραπῶν καὶ ὄμβρου πολλοῦ οὐ μόνον ἡμῶν ἀνέτρεψε τὴν σκηνήν, ἀλλὰ καὶ τὴν κατασκευὴν σύμπασαν ἐς τὸ ὕδωρ ἐκύλισε τῆς λίμνης. ὑπὸ δὲ τῆς κρατούσης τὸν ἀέρα ταραχῆς καὶ τοῦ συμβάντος δειματωθέντες τὸ χωρίον ἀπελείπομεν καὶ ἀλλήλων ἐχωριζόμεθα, ὡς ἐν σκότῳ καὶ ὑετῷ, τραπέντες ὁδὸν ἣν αὐτῷ ῥᾳδίαν ἕκαστος ἔσεσθαι ᾤετο. ἐς δὲ τὰς καλύβας τῆς κώμης παραγενόμενοι—τὴν αὐτὴν δὲ πάντες διαφόρως ἐτράπημεν — ἐς ταὐτὸν συνήειμεν, καὶ τῶν ἀπολειπομένων σὺν βοῇ τὴν ζήτησιν ἐποιούμεθα. ἐκπηδήσαντες δὲ οἱ Σκύθαι διὰ τὸν θόρυβον τοὺς καλάμους, οἷς πρὸς τῷ πυρὶ κέχρηνται, ἀνέκαιον, φῶς ἐργαζόμενοι, καὶ ἀνηρώτων ὅτι βουλόμενοι κεκράγαμεν. τῶν δὲ σὺν ἡμῖν βαρβάρων ἀποκριναμένων ὡς διὰ τὸν χειμῶνα διαταραττόμεθα, πρὸς σφᾶς τε αὐτοὺς καλοῦντες ὑπεδέχοντο καὶ ἀλέαν παρεῖχον καλάμους πλείστους ἐναύοντες. τῆς δὲ ἐν τῇ κώμῃ ἀρχούσης γυναικός, μία δὲ αὕτη τῶν Βλήδα γυναικῶν ἐγεγόνει, τροφὰς ἡμῖν διαπεμψαμένης καὶ ἐπὶ συνουσίᾳ γυναῖκας εὐπρεπεῖς, Σκυθικὴ δὲ αὕτη τιμή, τὰς μὲν γυναῖκας ἐκ τῶν προκειμένων ἐδωδίμων φιλοφρονησάμενοι, τῇ πρὸς αὐτὰς ὁμιλίᾳ ἀπαγορεύσαντες, ἐγκαταμείναντες δὲ ταῖς καλύβαις ἅμα ἡμέρᾳ ἐς τὴν τῶν σκευῶν ἐτράπημεν ἀναζήτησιν, καὶ σύμπαντα εὑρηκότες, τὰ μὲν ἐν τῷ χωρίῳ, οὗπερ ἐν τῇ προτεραίᾳ καταλύσαντες ἐτύχομεν, τὰ δὲ

по скиѳскому обычаю. Оттуда мы продолжали путь по ровной дорогѣ, пролегавшей по равнинѣ, и встрѣтили судоходныя рѣки, изъ коихъ самыми большими послѣ Истра были Дриконъ, Тигасъ и Тифисасъ. Мы переправились черезъ нихъ на челнокахъ — однодеревкахъ, употребляемыхъ прибрежными жителями, а остальныя *рѣки* переплывали на плотахъ, которые варвары возятъ *съ собою* на повозкахъ для *употребленія* въ мѣстахъ, покрытыхъ разливами. Въ деревняхъ намъ доставлялось продовольствіе, *при томъ* вмѣсто пшеницы просо, а вмѣсто вина — такъ называемый по туземному медъ; слѣдовавшіе за нами слуги также получали просо и напитокъ, добываемый изъ ячменя; варвары называютъ его «камосъ»[1]). Совершивъ длинный путь, мы подъ вечеръ расположились на ночлегъ у одного озера съ годною для питья водою, которою пользовались жители близлежащей деревни. Вдругъ поднялась буря съ вихремъ, громомъ, частыми молніями и сильнымъ дождемъ; она не только опрокинула нашу палатку, но и покатила всѣ *наши* пожитки въ воду озера. Перепуганные разбушевавшеюся стихіею и *всѣмъ* случившимся, мы покинули это мѣсто и впотьмахъ, подъ дождемъ, потеряли другъ друга, такъ какъ каждый обратился на ту дорогу, которую считалъ для себя легкою. Добравшися до хижинъ деревни — *ибо оказалось*, *что* мы всѣ двинулись разными путями по одному *направленію*, — мы собрались вмѣстѣ и съ крикомъ стали разыскивать отставшихъ. Выскочившіе на шумъ Скиѳы зажгли тростникъ, который они употребляютъ какъ горючій матеріалъ, освѣтили мѣстность и спрашивали, изъ-за чего мы кричимъ. Когда *бывшіе* съ нами варвары отвѣтили, что мы испугались бури, они позвали *насъ* къ себѣ, оказали гостепріимство и обогрѣли, зажигая множество тростника. Правившая въ деревнѣ женщина, оказавшаяся одною изъ женъ Влиды, прислала намъ съѣстныхъ припасовъ и красивыхъ женщинъ для компаніи согласно скиѳскому обычаю почета. Этихъ женщинъ мы угостили предложенными *намъ* кушаньями, но отъ общенія съ ними отказались и провели ночь въ

1) Κάμον, qui cum potione nostra *квасъ* dicta solet comparari, iam Diocletiani aetate fuisse in usu probat edictum de pretiis rerum venalium: v. C. I. L. III suppl. fasc. 3 p. 1931.

Digitized by Google

καὶ πρὸς τῇ ὄχθῃ τῆς λίμνης, τὰ δὲ καὶ ἐν αὐτῷ τῷ ὕδατι, ἀνελάβομεν. καὶ ἐκείνην τὴν ἡμέραν ἐν τῇ κώμῃ διετρίψαμεν ἅπαντα διατερσαίνοντες· ὅ τε γὰρ χειμὼν ἐπέπαυτο καὶ λαμπρὸς ἥλιος ἦν. ἐπιμεληθέντες δὲ καὶ τῶν ἵππων καὶ τῶν λοιπῶν ὑποζυγίων παρὰ τὴν βασιλίδα ἀφικόμεθα, καὶ αὐτὴν ἀσπασάμενοι καὶ δώροις ἀμειψάμενοι, τρισί τε ἀργυραῖς φιάλαις καὶ ἐρυθροῖς δέρμασι καὶ τῷ ἐξ Ἰνδίας πεπέρει καὶ τῷ καρπῷ τῶν φοινίκων καὶ ἑτέροις τραγήμασι διὰ τὸ μὴ ἐπιχωριάζειν τοῖς βαρβάροις οὖσι τιμίοις, ὑπέξιμεν, εὐξάμενοι αὐτῇ ἀγαθὰ τῆς ξενίας πέρι. ἡμερῶν δὲ ἑπτὰ ὁδὸν ἀνύσαντες ἐν κώμῃ τινὶ ἐπεμείναμεν, τῶν ξεναγούντων παρακελευσαμένων Σκυθῶν, οἷα δὴ τοῦ Ἀττήλα ἐς αὐτὴν ἐμβαλοῦντος τὴν ὁδὸν καὶ ἡμῶν κατόπιν αὐτοῦ πορεύεσθαι ὀφειλόντων. ἔνθα δὴ ἐνετυγχάνομεν ἀνδράσι τῶν ἑσπερίων Ῥωμαίων καὶ αὐτοῖς παρὰ τὸν Ἀττήλαν πρεσβευομένοις· ὧν Ῥωμύλος ἦν, ἀνὴρ τῇ τοῦ κόμητος ἀξίᾳ τετιμημένος, καὶ Προμοῦτος τῆς Νωρικῶν ἄρχων χώρας, καὶ Ῥωμανὸς στρατιωτικοῦ τάγματος ἡγεμών. συνῆν δὲ αὐτοῖς Κωνστάντιος, ὃν ἀπεστάλκει Ἀέτιος παρὰ τὸν Ἀττήλαν ὑπογραφέως χάριν, καὶ Γατοῦλος ὁ Ὀρέστου πατὴρ τοῦ μετὰ Ἐδέκωνος, οὐ τῆς πρεσβείας ἕνεκα, ἀλλὰ οἰκειότητος χάριν ἅμα σφίσιν αὐτοῖς τὴν πορείαν ποιούμενοι, Κωνστάντιος μὲν διὰ τὴν ἐν ταῖς Ἰταλίαις προϋπάρξασαν πρὸς τοὺς ἄνδρας γνῶσιν, Γατοῦλος δὲ διὰ συγγένειαν. ὁ γὰρ αὐτοῦ παῖς Ὀρέστης Ῥωμύλου θυγατέρα ἐγεγαμήκει...

Ἐπὶ τῆς αὐτῆς οὖν ὁδοῦ γενόμενοι, προπορευθῆναι αὐτὸν ἀναμείναντες σὺν τῷ ταντὶ ἐπηκολουθήσαμεν πλήθει. καὶ ποταμούς τινας διαβάντες ἐν μεγίστῃ παρεγιγόμεθα κώμῃ, ἐν ᾗ τὰ τοῦ Ἀττήλα οἰκήματα περιφανέστερα τῶν ἁπανταχοῦ εἶναι λέγετο, ξύλοις τε καὶ σανίσιν εὐξέστοις ἡρμοσμένα καὶ περιβόλῳ ξυλίνῳ κυκλούμενα, οὐ πρὸς ἀσφάλειαν, ἀλλὰ πρὸς εὐπρέπειαν συλλαμβάνοντι. μετὰ δὲ τὰ τοῦ βασιλέως ἦν τὰ τοῦ Ὀνηγησίου διαπρεπῆ, καὶ περίβολον μὲν ἐκ ξύλων καὶ αὐτὰ

хижинахъ. Съ наступленіемъ дня мы обратились къ розыскамъ *своихъ* пожитковъ и, найдя все, частію на томъ мѣстѣ, гдѣ остановились наканунѣ, частію на берегу озера и частію даже въ водѣ, собрали вмѣстѣ. Этотъ день мы провели въ деревнѣ, просушивая всѣ *пожитки*; ибо буря прекратилась и солнце ярко свѣтило. Обрядивъ также лошадей и остальныхъ вьючныхъ животныхъ, мы пришли къ царицѣ, привѣтствовали ее и предложили отвѣтные дары, *именно* три серебряныя чаши, красныя кожи [1]), индійскій перецъ, финики и другія лакомства, которыя дорого цѣнятся, потому что не встрѣчаются у варваровъ; *затѣмъ* мы удалились, пожелавъ ей благополучія за ея гостепріимство. Совершивъ семидневный путь, мы остановились въ одной деревнѣ по приказанію провожавшихъ *насъ* Скиѳовъ, такъ какъ Аттила долженъ былъ заѣхать въ нее по пути и намъ слѣдовало ѣхать позади его. Здѣсь мы встрѣтились съ людьми изъ западныхъ Римлянъ, также прибывшими въ качествѣ пословъ къ Аттилѣ. Въ числѣ ихъ были: Ромулъ, удостоенный почетнаго званія комита, правитель Норикской области Промутъ и предводитель воинскаго отряда Романъ; съ ними былъ Константій, котораго Аетій послалъ къ Аттилѣ въ качествѣ секретаря, и Татулъ, отецъ Едеконова спутника Ореста. Послѣдніе двое путешествовали съ названными лицами не въ составѣ посольства, а по личнымъ отношеніямъ, *именно* Константій благодаря завязанному еще въ Италіи знакомству съ этими лицами, а Татулъ — по родству, такъ какъ сынъ его Орестъ былъ женатъ на дочери Ромула [2])...

Съѣхавшись *съ ними* на дорогѣ и выждавъ, чтобы Аттила проѣхалъ впередъ, мы послѣдовали за нимъ со всею его свитой. Переправившись чрезъ какія-то рѣки, мы пріѣхали въ огромное селеніе, въ которомъ, какъ говорили, находились хоромы Аттилы болѣе видныя, чѣмъ во всѣхъ другихъ мѣстахъ, построенныя изъ бревенъ и хорошо выстроганныхъ досокъ и окруженныя деревянной оградой, опоясывавшей ихъ не въ видахъ безопасности, а для красоты. За царскими *хоромами* выдавались

1) О красныхъ кожахъ см. объясненіе Г. С. Дестуниса, стр. 47, пр. 59.

2) Далѣе выпущено изложеніе причины этого посольства, какъ не имѣющее отношенія къ Скиѳіи.

Digitized by Google

ἔχοντα, οὐχ ὁμοίως δὲ ὥσπερ ὁ Ἀττήλα πύργοις ἐκοσμεῖτο. βαλανεῖον δὲ ἦν οὐ πόρρω τοῦ περιβόλου, ὅπερ Ὀνηγήσιος μετὰ τὸν Ἀττήλαν παρὰ Σκύθαις ἰσχύων μέγα ᾠκοδόμει, λίθους ἐκ τῆς Παιόνων διακομίσας γῆς· οὐδὲ γὰρ λίθος, οὐ δένδρον παρὰ τοῖς ἐκεῖνο τὸ μέρος οἰκοῦσι βαρβάροις ἐστίν, ἀλλὰ ἐπεσάκτῳ τῇ ὕλῃ κέχρηνται ταύτῃ. ὁ δὲ ἀρχιτέκτων τοῦ βαλανείου ἀπὸ τοῦ Σιρμίου αἰχμάλωτος ἀχθείς, μισθὸν τοῦ εὑρήματος ἐλευθερίαν λήψεσθαι προσδοκῶν, ἔλαθε μείζονι πόνῳ περιπεσὼν τῆς παρὰ Σκύθαις δουλείας· βαλανέα γὰρ αὐτὸν Ὀνηγήσιος κατέστησε, καὶ λουομένῳ αὐτῷ τε καὶ τοῖς ἀμφ' αὐτὸν διηκονεῖτο. ἐν ταύτῃ τῇ κώμῃ ἑσιόντα τὸν Ἀττήλαν ἀπήντων κόραι στοιχηδὸν προπορευόμεναι ὑπὸ ὀθόναις λεπταῖς τε καὶ λευκαῖς, ἐπὶ πολὺ ἐς μῆκος παρατεινούσαις, ὥστε ὑπὸ μιᾷ ἑκάστῃ ὀθόνῃ ἀνεχομένῃ ταῖς χερσὶ τῶν παρ' ἑκάτερα γυναικῶν κόρας ἑπτὰ ἢ καὶ πλείους βαδιζούσας, ἦσαν δὲ πολλαὶ τοιαῦται τῶν γυναικῶν ὑπὸ ταῖς ὀθόναις τάξεις, ᾄδειν ᾄσματα Σκυθικά. πλησίον δὲ τῶν Ὀνηγησίου οἰκημάτων γενόμενον, δι' αὐτῶν γὰρ ἡ ἐπὶ τὰ βασίλεια ἦγεν ὁδός, ὑπεξελθοῦσα ἡ τοῦ Ὀνηγησίου γαμετὴ μετὰ πλήθους θεραπόντων, τῶν μὲν ὄψα, τῶν δὲ καὶ οἶνον φερόντων, μεγίστη δὲ αὕτη παρὰ Σκύθαις ἐστὶ τιμή, ἠσπάζετό τε καὶ ἠξίου μεταλαβεῖν ὧν αὐτῷ φιλοφρονουμένη ἐκόμισεν. ὃς δὲ ἐπιτηδείου ἀνδρὸς χαριζόμενος γαμετῇ ἤσθιεν ἐπὶ τοῦ ἵππου ἡμένος, τῶν παρεπομένων τὸν πίνακα (ἀργυροῦς δὲ ἦν οὗτος) ἐς ὕψος ἀράντων βαρβάρων. ἀπογευσάμενος δὲ καὶ τῆς προσενεχθείσης αὐτῷ κύλικος ἐς τὰ βασίλεια ἐχώρει, ὄντα τῶν ἄλλων ὑπέρτερα καὶ ἐν ὑψηλῷ διακείμενα χωρίῳ. ἡμεῖς δὲ ἐν τοῖς Ὀνηγησίου, ἐκείνου παρακελευσαμένου, ἐγκατεμείναμεν· ἐπανεληλύθει γὰρ σὺν τῷ Ἀττήλα παιδί. καὶ ἱριστοποιησάμεθα, δεξιωσαμένης ἡμᾶς τῆς τε γαμετῆς καὶ τῶν κατὰ γένος αὐτῷ διαφερόντων· αὐτὸς γὰρ τῷ Ἀττήλᾳ μετὰ τὴν ἐπάνοδον τότε πρῶτον ἐς ὄψιν ἐλθών, καὶ αὐτῷ τὰ ἐπὶ τῇ πράξει, ἐφ' ἣν ἔσταλτο, ἀπαγγέλλων, καὶ τὸ πάθος τὸ τῷ Ἀττήλα παιδὶ συνενεχθέν, τὴν γὰρ δεξιὰν χεῖρα ἐξολισθήσας κατέαξεν, συνευωχεῖσθαι ἡμῖν οὐκ ἦγε σχολήν. μετὰ δὲ τὸ δεῖπνον ἀπολιπόντες τὰ τοῦ Ὀνηγησίου οἰκήματα πλησίον τῶν Ἀττήλα κατεσκηνώσαμεν, [ὥστε] ἢ παρὰ τὸν Ἀττήλαν ἀπιέναι τὸν Μαξιμῖνον ἢ γοῦν καὶ

хоромы Онигисія, также окруженныя деревянной оградой; но она не была украшена башнями подобно Аттилиной. Неподалеку отъ ограды была баня, которую устроилъ Онигисій, пользовавшійся у Скиѳовъ большимъ значеніемъ послѣ Аттилы. Камни *для нея* онъ перевозилъ изъ земли Пеоновъ, такъ какъ у варваровъ, населяющихъ эту область, нѣтъ ни камня, ни дерева, и они употребляютъ привозный матеріалъ. Строитель бани, привезенный изъ Сирміи плѣнникъ, ожидавшій освобожденія въ награду за свое искусство, неожиданно попалъ въ бѣду болѣе тяжкую, чѣмъ рабство у Скиѳовъ: Онигисій сдѣлалъ его банщикомъ, и онъ служилъ во время мытья ему самому и его домашнимъ. При въѣздѣ въ эту деревню Аттилу встрѣтили дѣвицы, шедшія рядами подъ тонкими бѣлыми и очень длинными покрывалами; подъ каждымъ покрываломъ, поддерживаемымъ руками *шедшихъ* съ обѣихъ сторонъ женщинъ, находилось по семи и болѣе дѣвицъ, пѣвшихъ скиѳскія пѣсни; такихъ рядовъ женщинъ подъ покрывалами было очень много. Когда Аттила приблизился къ дому Онигисія, мимо котораго пролегала дорога къ дворцу, навстрѣчу ему вышла жена Онигисія съ толпою слугъ, *изъ коихъ* одни несли кушанья, другіе — вино (это величайшая почесть у Скиѳовъ), привѣтствовала его и просила отвѣдать благожелательно принесеннаго ею угощенія. Желая доставить удовольствіе женѣ своего любимца, Аттила поѣлъ, сидя на конѣ, при чемъ слѣдовавшіе за нимъ варвары приподняли блюдо (оно было серебряное). Пригубивъ также и поднесенную ему чашу, онъ отправился во дворецъ, отличавшійся высотою отъ другихъ *строеній* и лежавшій на возвышенномъ мѣстѣ. Мы остановились въ домѣ Онигисія по его просьбѣ, — такъ какъ онъ уже возвратился съ сыномъ Аттилы, — и пообѣдали, при чемъ насъ принимала его жена и родственники, такъ какъ самъ онъ не имѣлъ времени пировать съ нами: онъ тогда впервые послѣ возвращенія увидѣлся съ Аттилой и докладывалъ ему объ устройствѣ дѣла, для котораго былъ посланъ, и о несчастіи, случившемся съ сыномъ Аттилы, который упалъ *съ коня* и сломалъ себѣ правую руку. Послѣ обѣда, покинувъ домъ Онигисія, мы разбили шатры вблизи *дворца* Аттилы для того, чтобы Максиминъ въ случаѣ на-

Digitized by Google

τοῖς ἄλλοις τοῖς ἀμφ' αὐτὸν ἐς λόγους ἰέναι ὀφείλοντα μὴ πολλῷ κεχωρίσθαι διαστήματι. διαγαγόντων δὲ ἡμῶν ἐκείνην τὴν νύκτα ἐν ᾗπερ κατελύσαμεν χωρίῳ, ὑποφαινούσης ἡμέρας ὁ Μαξιμῖνος στέλλει με παρὰ τὸν Ὀνηγήσιον τὰ δῶρα δώσοντα, ἃ τε αὐτὸς ἐδίδου ἃ τε βασιλεὺς ἀπεστάλκει, καὶ ὅπως γνοίη οἱ βούλεται αὐτῷ καὶ ὁπότε ἐς λόγους ἐλθεῖν. παραγενόμενος δὲ ἅμα τοῖς κομίζουσιν αὐτὰ ὑπηρέταις προσεκαρτέρουν, ἔτι τῶν θυρῶν κεκλειμένων ἄχρις ὅτου τις ὑπεξελθὼν τὴν ἡμετέραν μηνύσειεν ἄφιξιν.

Διατρίβοντι δέ μοι καὶ περιπάτους ποιουμένῳ πρὸ τοῦ περιβόλου τῶν οἰκημάτων προσελθών τις, ὃν βάρβαρον ἐκ τῆς Σκυθικῆς ᾠήθην εἶναι στολῆς, Ἑλληνικῇ ἀσπάζεταί με φωνῇ, "χαῖρε" προσειπών, ὥστε με θαυμάζειν ὅτι γε δὴ ἑλληνίζει Σκύθης ἀνήρ. ξύγκλυδες γὰρ ὄντες πρὸς τῇ σφετέρᾳ βαρβάρῳ γλώττῃ ζηλοῦσιν ἢ τὴν Οὔννων ἢ τὴν Γότθων ἢ καὶ τὴν Αὐσονίων, ὅσοις αὐτῶν πρὸς Ῥωμαίους ἐπιμιξία· καὶ οὐ ῥᾳδίως τις σφῶν ἑλληνίζει τῇ φωνῇ, πλὴν ὧν ἀπήγαγον αἰχμαλώτων ἀπὸ τῆς Θρᾳκίας καὶ Ἰλλυρίδος παράλου. ἀλλ' ἐκεῖνοι μὲν γνώριμοι τοῖς ἐντυγχάνουσιν ἐτύγχανον ἔκ τε τῶν διερρωγότων ἐνδυμάτων καὶ τοῦ αὐχμοῦ τῆς κεφαλῆς ὡς ἐς τὴν χείρονα μεταπεσόντες τύχην· οὗτος δὲ τρυφῶντι ἐῴκει Σκύθῃ εὐείμων τε ὢν καὶ ἀποκειράμενος τὴν κεφαλὴν περιτρόχαλα. ἀνταspασάμενος δὲ ἀνηρώτων τίς ὢν καὶ πόθεν ἐς τὴν βάρβαρον παρῆλθε γῆν καὶ βίον ἀναιρεῖται Σκυθικόν. ὁ δὲ ἀπεκρίνατο ὅ τι βουλόμενος ταῦτα γνῶναι ἐσπούδακα. ἐγὼ δὲ ἔφην αἰτίαν πολυπραγμοσύνης εἶναί μοι τὴν Ἑλλήνων φωνήν. τότε δὴ γελάσας ἔφη Γραικὸς μὲν εἶναι τὸ γένος, κατ' ἐμπορίαν δὲ ἐς τὸ Βιμινάκιον ἐληλυθέναι τὴν πρὸς τῷ Ἴστρῳ ποταμῷ Μυσῶν πόλιν. πλεῖστον δὲ ἐν αὐτῇ διατρῖψαι χρόνον καὶ γυναῖκα γήμασθαι ζάπλουτον. τὴν δὲ ἐντεῦθεν εὐπραγίαν ἐκδύσασθαι ὑπὸ τοῖς βαρβάροις τῆς πόλεως γενομένης, καὶ διὰ τὸν ὑπάρξαντα πλοῦτον αὐτῷ Ὀνηγησίῳ ἐν τῇ τῶν λαφύρων προκριθῆναι διανομῇ· τοὺς γὰρ ἁλόντας ἀπὸ τῶν εὐπόρων μετὰ τὸν Ἀττήλαν ἐκκρίτους εἶχον οἱ τῶν Σκυθῶν λογάδες διὰ τὸ ἐπὶ πλείστοις διατίθεσθαι. ἀριστεύσαντα δὲ ἐν ταῖς ὕστερον πρὸς Ῥωμαίους μάχαις καὶ τὸ τῶν Ἀκατίρων ἔθνος, δόντα τῷ βαρβάρῳ δεσπότῃ κατὰ τὸν παρὰ Σκύθαις νόμον τὰ

добности пойдти къ Аттилѣ или переговорить съ другими приближенными къ нему лицами не былъ раздѣленъ большимъ разстояніемъ. Мы провели эту ночь на томъ мѣстѣ, гдѣ остановились. Съ наступленіемъ дня Максиминъ послалъ меня къ Онигисію, чтобы передать ему дары, которые давалъ онъ самъ и которые прислалъ императоръ, и чтобы узнать, гдѣ и когда онъ желаетъ съ нимъ переговорить. Пришедши вмѣстѣ съ несшими дары слугами, я ждалъ (такъ какъ двери были еще заперты), чтобы кто-нибудь вышелъ и доложилъ о нашемъ прибытіи.

Пока я въ ожиданіи прогуливался передъ оградою хоромъ, ко мнѣ подошелъ какой-то *человѣкъ*, котораго я принялъ за варвара по скиѳской одеждѣ; но онъ привѣтствовалъ меня по-эллински, сказавъ «χαῖρε», такъ что я удивился, какъ это Скиѳъ говоритъ по-эллински. Представляя разноплеменную смѣсь, Скиѳы кромѣ своего варварскаго языка легко изучаютъ и унискій или готоскій, а также и авзонскій, если у кого изъ нихъ есть сношенія съ Римлянами, но мало кто изъ нихъ говоритъ по-эллински, кромѣ плѣнниковъ, уведенныхъ изъ Ѳракіи и съ Иллирійскаго побережья. Но этихъ послѣднихъ встрѣчные легко узнавали по изорваннымъ одеждамъ и нечесаннымъ головамъ, какъ попавшихъ въ худшую участь; а этотъ былъ похожъ на богатаго Скиѳа, такъ какъ былъ хорошо одѣтъ и обстриженъ въ кружокъ. Отвѣтивъ на его привѣтствіе, я спросилъ, кто онъ, откуда пришелъ въ варварскую землю и *почему* принялъ скиѳскій образъ жизни. Онъ отвѣтилъ *вопросомъ*, зачѣмъ я пожелалъ это узнать. Я сказалъ, что причиною моего любопытства былъ *его* эллинскій языкъ. Тогда онъ съ улыбкою сказалъ, что онъ родомъ Грекъ, но по торговымъ дѣламъ пріѣхалъ въ Виминакій, мисійскій городъ на рѣкѣ Истрѣ, прожилъ въ немъ очень долгое время и женился на очень богатой женщинѣ, но лишился своего состоянія при завоеваніи города варварами и, благодаря своему прежнему богатству, былъ выбранъ самимъ Онигисіемъ при дѣлежѣ добычи; ибо плѣнниковъ изъ числа зажиточныхъ послѣ Аттилы выбирали себѣ избранные Скиѳы вслѣдствіе свободы выбора изъ множества *плѣнныхъ*. Отличившись въ *происшед-*

Digitized by Google

κατὰ τὸν πόλεμον αὐτῷ κτηθέντα, ἐλευθερίας τυχεῖν. γυναῖκα δὲ γήμασθαι βάρβαρον, εἶναί τε αὐτῷ παῖδας· καὶ Ὀνηγησίῳ τραπέζης κοινωνοῦντα ἀμείνονα τοῦ πρότερου τὸν παρόντα βίον ἡγεῖσθαι...

Ταῦτα διαλεγομένων ἡμῶν, προσελθών τις τῶν ἔνδοθεν ἀνοίγει τὰς θύρας τοῦ περιβόλου. ἐγὼ δὲ προσδραμὼν ἐπυθόμην ὅ τι πράττων Ὀνηγήσιος τυγχάνοι· ἀπαγγεῖλαι γὰρ αὐτῷ με βούλεσθαί τι παρὰ τοῦ παρὰ Ῥωμαίων ἥκοντος πρεσβευτοῦ. ὃς δὲ ἀπεκρίνατο αὐτῷ μοι ἐντεύξεσθαι μικρὸν ἀναμείναντι· μέλλειν γὰρ αὐτὸν ὑπεξιέναι. καὶ δὴ οὐ πολλοῦ διαγενομένου χρόνου, ὡς προϊόντα εἶδον, προσελθὼν ἔλεγον ὡς ὁ Ῥωμαίων αὐτὸν ἀσπάζεται πρεσβευτής, καὶ δῶρα ἐξ αὐτοῦ ἥκω φέρων σὺν καὶ τῷ παρὰ βασιλέως πεμφθέντι χρυσίῳ· ἐσπουδακότι δὲ ἐς λόγους ἐλθεῖν οἱ καὶ πότε βούλεται διαλέγεσθαι. καὶ ὃς τό τε χρυσίον τά τε δῶρα ἐκέλευσε τοὺς προσήκοντας δέξασθαι, ἐμὲ δὲ ἀπαγγέλλειν Μαξιμίνῳ ὡς ἥξοι αὐτίκα παρ' αὐτόν. ἐμήνυον τοίνυν ἐπανελθὼν τὸν Ὀνηγήσιον παραγίγνεσθαι· καὶ εὐθὺς ἦκεν ἐς τὴν σκηνήν. προσειπὼν δὲ τὸν Μαξιμῖνον ἔφασκε χάριν ὁμολογεῖν ὑπὲρ τῶν δώρων αὐτῷ τε καὶ βασιλεῖ, καὶ ἀνηρώτα ὅ τι λέγειν βουλόμενος αὐτὸν μετεπέμψατο. ὁ δὲ ἔφασκεν ἥκειν καιρὸν ὥστε Ὀνηγήσιον μεῖζον ἐν ἀνθρώποις ἔξειν κλέος, εἴπερ παρὰ βασιλέα ἐλθὼν διευκρινήσει τὰ ἀμφίβολα τῇ σφετέρᾳ συνέσει καὶ ὁμόνοιαν Ῥωμαίοις καὶ Οὔννοις καταστήσεται. γενήσεται γὰρ ἐνθένδε οὐ μόνον τοῖς ἔθνεσιν ἀμφοτέροις συμφέρον, ἀλλὰ καὶ τῷ σφετέρῳ οἴκῳ ἀγαθὰ παρέξει πολλά, ἐπιτήδειος ἐς ἀεὶ αὐτός τε καὶ οἱ αὐτοῦ παῖδες βασιλεῖ τε καὶ τῷ ἐκείνου ἐσόμενοι γένει. ὁ δὲ Ὀνηγήσιος ἔφη "καὶ τί ποιοῦντες κεχαρισμένως βασιλεῖ ἢ ὅπως παρ' αὐτοῦ τὰ ἀμφίβολα λυθείη"; ἀποκριναμένου δὲ ὡς διαβὰς μὲν ἐς τὴν Ῥωμαίων βασιλεῖ τὴν χάριν καταθήσει, διευκρινήσει δὲ τὰ ἀμφίβολα τὰς αἰτίας διερευνῶν καὶ ταύτας κατὰ τὸν τῆς εἰρήνης λύων θεσμόν, ἔφασκεν ἐκεῖνα ἐρεῖν βασιλεῖ τε καὶ τοῖς ἀμφ' αὐτὸν ἅπερ Ἀττίλας βούλεται. ἢ οἴεσθαι ἔφη Ῥωμαίους τοσοῦτον ἐκλιπαρήσειν αὐτὸν ὥστε καταπροδοῦναι δεσπότην καὶ ἀνατροφῆς

ших впослѣдствіи битвахъ съ Римлянами и Анатпрскимъ пародомъ и отдавъ своему хозяину-варвару по скиескому обычаю пріобрѣтенныя на войнѣ *богатства*, онъ получилъ свободу, женился на варварской женщинѣ, имѣетъ дѣтей и, раздѣляя трапезу съ Онигисіемъ, считаетъ свою настоящую жизнь лучше прежней [1])...

Пока мы такъ разговаривали, одинъ изъ домочадцевъ подошелъ и отворилъ ворота ограды. Я подбѣжалъ и спросилъ, что дѣлаетъ Онигисій, *прося* доложить ему, что я желаю нѣчто *сказать* отъ *имени* пришедшаго отъ Римлянъ посланника. Тотъ отвѣчалъ, что я, немного подождавъ, встрѣчусь съ нимъ самимъ, такъ какъ онъ собирается выходить. И дѣйствительно, спустя немного времени я увидѣлъ его выходящимъ, подошелъ *къ нему* и сказалъ, что Римскій посланникъ привѣтствуетъ его и что я принесъ отъ него дары вмѣстѣ съ золотомъ, присланнымъ отъ императора; а такъ какъ посолъ желаетъ съ нимъ повидаться, то гдѣ и когда ему угодно будетъ переговорить. Онигисій приказалъ своимъ людямъ принять золото и подарки, а меня *просилъ* доложить Максимину, что онъ тотчасъ придетъ къ нему. Итакъ, возвратившись, я сообщилъ, что идетъ Онигисій; и онъ тотчасъ пришелъ въ *нашу* палатку. Поздоровавшись съ Максиминомъ, онъ выразилъ благодарность за дары ему и императору и спросилъ, *зачѣмъ* онъ его пригласилъ. Максиминъ отвѣтилъ, что настало время, когда Онигисій пріобрѣтетъ среди людей бо́льшую славу, если онъ, придя къ императору, своимъ умомъ уладитъ недоразумѣнія и установитъ согласіе между Римлянами и Уннами; ибо отсюда не только произойдетъ польза для обоихъ народовъ, но онъ и дому своему доставитъ всякія блага, такъ какъ и самъ онъ и потомки его навсегда будутъ пользоваться милостями императора и его рода. Онигисій спросилъ, что онъ можетъ сдѣлать въ угожденіе императору или какимъ образомъ чрезъ него могутъ быть разрѣшены недоразумѣнія? *Максиминъ* отвѣчалъ, что, отправившись въ Римскую *имперію*, онъ сдѣлаетъ угодное императору, а недоразумѣнія разрѣшитъ, если изслѣдуетъ ихъ причины и устранитъ ихъ по уставамъ мир-

1) Дальнѣйшій разговоръ автора съ этимъ грекомъ выпущенъ.

Digitized by Google

τῆς παρὰ Σκύθαις καὶ γαμετῶν καὶ παίδων κατολιγωρήσειν, μὴ μείζονα δὲ ἡγεῖσθαι τὴν παρὰ Ἀττίλᾳ δουλείαν τοῦ παρὰ Ῥωμαίοις πλούτου; συνοίσειν δὲ ἐπιμένοντα τῇ οἰκείᾳ τὸν τοῦ δεσπότου καταπραΰνειν θυμόν, ἐφ' οἷς αὐτὸν ὀργίζεσθαι κατὰ Ῥωμαίων συμβαίνει, ἢ παρὰ σφᾶς ἐλθόντα αἰτίᾳ ὑπάγεσθαι, ἕτερα ὑπὲρ ἐκείνῳ δοκεῖ διαπραξάμενον. ταῦτα εἰρηκὼς κἀμὲ ποιεῖσθαι τὴν πρὸς αὐτὸν ἡγησάμενος ἔντευξιν περὶ ὧν πυνθάνεσθαι αὐτοῦ βουλόμεθα, οὐ γὰρ τῷ Μαξιμίνῳ, ὡς ἐν ἀξίᾳ τελοῦντι, συνεχὴς πρόσοδος ἦν εὐπρεπής, ἀνεχώρει. ἐγὼ δὲ τῇ ὑστεραίᾳ ἐς τὸν Ἀττίλα περίβολον ἀφικνοῦμαι, δῶρα τῇ αὐτοῦ κομίζων γαμετῇ, Κρέκα δὲ ὄνομα αὐτῇ, ἐξ ἧς αὐτῷ παῖδες ἐγεγόνεσαν τρεῖς, ὧν ὁ πρεσβύτερος ἦρχε τῶν Ἀκατίρων καὶ τῶν λοιπῶν ἐθνῶν τῶν νεμομένων τὴν πρὸς τὸν Πόντον Σκυθικήν. ἔνδον δὲ τοῦ περιβόλου πλεῖστα ἐτύγχανεν οἰκήματα, τὰ μὲν ἐκ σανίδων ἐγγλύφων καὶ ἡρμοσμένων ἐς εὐπρέπειαν, τὰ δὲ ἐκ λόγων κεκαθαρμένων καὶ πρὸς εὐθύτητα ἀπεξεσμένων, ἐμβεβλημένων δὲ ξύλοις [κύκλους] ἀποτελοῦσιν· οἱ δὲ κύκλοι ἐκ τοῦ ἐδάφους ἀρχόμενοι ἐς ὕψος ἀνέβαινον μετρίως. ἐνταῦθα τῆς Ἀττίλα ἐνδιαιτωμένης γαμετῆς, διὰ τῶν πρὸς τῇ θύρᾳ βαρβάρων ἔτυχον ἐσόδου, καὶ αὐτὴν ἐπὶ στρώματος μαλακοῦ κειμένην κατέλαβον, τοῖς ἐκ τῆς ἑρέας πιλωτοῖς τοῦ ἐδάφους σκεπομένου, ὥστε ἐπ' αὐτῶν βαδίζειν. περιεῖπε δὲ αὐτὴν θεραπόντων πλῆθος κύκλῳ· καὶ θεράπαιναι ἐπὶ τοῦ ἐδάφους ἀντικρὺ αὐτῆς καθήμεναι ὀθόνας χρώμασι διεποίκιλλον, ἐπιβλεπόμενος πρὸς κόσμον ἐσθημάτων βαρβαρικῶν. προσελθὼν τοίνυν καὶ τὰ δῶρα μετὰ τὸν ἀσπασμὸν δοὺς ὑπεξῆειν, καὶ ἐπὶ τὰ ἕτερα ἐβάδιζον οἰκήματα, ἐν οἷς διατρίβειν τὸν Ἀττίλαν ἐτύγχανεν, ἀπεκδεχόμενος ὁπότε ἐπεξέλθοι Ὀνηγήσιος· ἤδη γὰρ ἀπὸ τῶν αὐτοῦ οἰκημάτων ἐξεληλύθει καὶ ἔνδον ἦν. μεταξὺ δὲ τοῦ παντὸς ἱστάμενος πλήθους (γνώριμός τε γὰρ ὢν τοῖς Ἀττίλα φρουροῖς καὶ τοῖς παρεπομένοις αὐτῷ βαρβάροις ὑπ' οὐδενὸς διεκωλυόμην) εἶδον πλῆθος πορευόμενον καὶ θροῦν καὶ θόρυβον περὶ τὸν τόπον γιγνόμενον, ὡς τοῦ Ἀττίλα ὑπεξιόντος. προῆει δὲ τοῦ οἰκήματος βαδίζων σοβαρῶς, τῇδε κἀκεῖ περιβλεπόμενος. ὡς δὲ ὑπεξελθὼν σὺν τῷ Ὀνηγησίῳ ἔστη

наго времени. *На это Онигисій* возразилъ, что онъ скажетъ императору и окружающимъ его *только* то, чего желаетъ Аттила; или Римляне думаютъ, продолжалъ онъ, настолько ублаготворить его, чтобы онъ измѣнилъ своему владыкѣ, пренебрегъ *полученнымъ* въ Скиѳіи воспитаніемъ, женами и дѣтьми и не считалъ рабство у Аттилы выше богатства у Римлянъ? Полезнѣе будетъ, если онъ, оставаясь на родинѣ, смягчитъ гнѣвъ владыки въ случаѣ, если онъ разсердится на Римлянъ, чѣмъ если пріѣдетъ къ намъ и навлечетъ на себя обвиненіе, что онъ сдѣлалъ не то, что угодно Аттилѣ. Сказавъ это и пригласивъ меня *приходить* и говорить съ нимъ о томъ, что мы желаемъ отъ него узнать — такъ какъ постоянныя посѣщенія *его* Максиминомъ, какъ лицомъ высшаго достоинства, были бы неприличны, — онъ удалился. На слѣдующій день я пришелъ ко двору Аттилы съ дарами для его жены, по имени Креки; отъ нея онъ имѣлъ троихъ дѣтей, изъ коихъ старшій стоялъ во главѣ Акатировъ и прочихъ народовъ, жившихъ въ припонтійской Скиѳіи. Внутри ограды было множество построекъ, *изъ коихъ* однѣ *были* изъ красиво прилаженныхъ досокъ, покрытыхъ рѣзьбою, а другія — изъ тесанныхъ и выскобленныхъ до прямизны бревенъ, вставленныхъ въ деревянные круги; эти круги, начинаясь отъ земли, поднимались до умѣренной высоты [1]). *Стоявшими* у двери варварами я былъ впущенъ къ жившей здѣсь женѣ Аттилы и засталъ ее лежащею на мягкомъ ложѣ; полъ былъ покрытъ войлочными коврами, по которымъ ходили. Царицу окружало множество слугъ; служанки, сидѣвшія противъ нея на полу, вышивали разноцвѣтные узоры на тканяхъ, которыя накидывались для украшенія *сверхъ* варварскихъ одеждъ. Приблизившись *къ царицѣ* и послѣ привѣтствія передавъ ей дары, я вышелъ и отправился къ другимъ хоромамъ, въ которыхъ жилъ *самъ* Аттила, чтобы подождать, когда выйдетъ Онигисій: онъ уже вышелъ изъ своего дома и находился у Аттилы. Стоя среди всей толпы, — такъ какъ я былъ *уже* извѣстенъ стражамъ Аттилы и окружавшимъ его варварамъ и *потому* никто мнѣ не препятствовалъ — я увидѣлъ

V. 23: λόγων] λίθων Hoesch., δοκῶν Cantocl.

1) См. объясненіе Г. С. Дестуниса, стр. 60, прим. 75,

Digitized by Google

πρὸ τοῦ οἰκήματος· πολλοὶ δὲ τῶν ἀμφισβητήσεις πρὸς ἀλλήλους ἐχόντων προσῆεσαν καὶ τὴν αὐτοῦ κρίσιν ἐδέχοντο· εἶτα ἐπανήει ὡς τὸ οἴκημα, καὶ πρέσβεις παρ' αὐτὸν ἥκοντας βαρβάρους ἐδέχετο.

Ἐμοὶ δὲ ἀπεκδεχομένῳ τὸν Ὀνηγήσιον Ῥωμύλος καὶ Προμοῦτος καὶ Ῥωμανὸς οἱ ἐξ Ἰταλίας ἐλθόντες παρὰ τὸν Ἀττίλαν πρέσβεις τῶν φιαλῶν ἕνεκα τῶν χρυσῶν, συμπαρόντος αὐτοῖς καὶ Ῥουστικίου τοῦ κατὰ Κωνστάντιον, καὶ Κωνσταντιόλου, ἀνδρὸς ἐκ τῆς Παιόνων χώρας τῆς ὑπὸ Ἀττίλᾳ ταττομένης, ἐς λόγους ἦλθον καὶ ἀνηρώτων πότερον διηφείθημεν ἢ ἐπιμένειν ἀναγκαζόμεθα. καὶ ἐμοῦ φήσαντος ὡς τούτου χάριν πευσόμενος τοῦ Ὀνηγησίου τοῖς περιβόλοις προσκαρτερῶ, καὶ ἀντερωτήσαντος εἰ αὐτοῖς ὁ Ἀττίλας ἡμερόν τι καὶ πρᾶον περὶ πρεσβείας ἀπεκρίνατο, ἔλεγον μηδαμῶς μετατρέπεσθαι τῆς γνώμης, ἀλλὰ πόλεμον καταγγέλλειν, εἰ μή γε αὐτῷ Σιλβανός ἢ τὰ ἐκπώματα πεμφθείη. ἀποθαυμαζόντων δὲ ἡμῶν τῆς ἀπονοίας τὸν βάρβαρον, ὑπολαβὼν ὁ Ῥωμύλος, πρεσβευτὴς ἀνὴρ καὶ πολλῶν πραγμάτων ἔμπειρος, ἔλεγε τὴν αὐτοῦ μεγίστην τύχην καὶ τὴν ἐκ τῆς τύχης δύναμιν ἐξαίρειν αὐτόν, ὥστε μὴ ἀνέχεσθαι δικαίων λόγων, εἰ μὴ πρὸς αὐτοῦ νομίσῃ ὑπάρχειν αὐτούς. οὐδενὶ γὰρ τῶν πώποτε τῆς Σκυθικῆς ἢ καὶ ἑτέρας ἀρξάντων γῆς τοσαῦτα ἐν ὀλίγῳ καταπεπρᾶχθαι, ὥστε καὶ τῶν ἐν τῷ Ὠκεανῷ νήσων ἄρχειν καὶ πρὸς πάσῃ τῇ Σκυθικῇ καὶ Ῥωμαίους ἔχειν ἐς φόρου ἀπαγωγήν. ἐφιέμενον δὲ πρὸς τοῖς παροῦσι πλειόνων καὶ ἐπὶ μεῖζον αὔξοντα τὴν ἀρχὴν καὶ ἐς Πέρσας ἀπιέναι βούλεσθαι. τῶν δὲ ἐν ἡμῖν τινος πυθομένου ποίαν ὁδὸν τραπεὶς ἐς Πέρσας ἐλθεῖν δυνήσεται, ἔλεγεν ὁ Ῥωμύλος μὴ πολλῷ διαστήματι τὴν Μήδων ἀφεστάναι τῆς Σκυθικῆς, οὐδὲ Οὔννους ἀπείρους τῆς ὁδοῦ ταύτης εἶναι, ἀλλὰ πάλαι ἐς αὐτὴν ἐμβεβληκέναι, λιμοῦ τε τὴν χώραν κρατήσαντος καὶ Ῥωμαίων διὰ τὸν τότε συνιστάμενον πόλεμον μὴ συμβαλλόντων. παρελκυθέναι δὲ ἐς τὴν Μήδων τόν τε Βασίχ καὶ Κουρσίχ τοὺς ὕστερον ἐς τὴν Ῥώμην ἐλκυθότας ἐς ὁμαιχμίαν, ἄνδρας τῶν βασιλείων Σκυθῶν καὶ πολλοῦ πλήθους

шедшую массу *народа*, при чемъ на этомъ мѣстѣ поднялся говоръ и шумъ, *возбудившій* о выходѣ Аттилы; онъ появился изъ дворца, выступая гордо и бросая взоры туда и сюда. Когда онъ, выйдя съ Онигисіемъ, сталъ передъ дворцомъ, къ нему стали подходить многіе, имѣвшіе тяжбы между собою, и получали его рѣшеніе. Затѣмъ онъ возвратился во дворецъ и сталъ принимать прибывшихъ къ нему варварскихъ пословъ.

Пока я ждалъ Онигисія, Ромулъ, Промутъ и Романъ, прибывшіе изъ Италіи послами къ Аттилѣ по дѣлу о золотыхъ чашахъ, въ присутствіи Констанціева спутника Рустикія и Констаптіола, уроженца подвластной Аттилѣ области Пэоновъ, вступили со мной въ разговоры и спросили, отпущены ли мы, или принуждены оставаться? Я сказалъ, что *именно* объ этомъ хочу спросить Онигисія и *потому* жду у ограды, а *затѣмъ* въ свою очередь спросилъ, далъ ли имъ Аттила благопріятный и дружественный отвѣтъ по ихъ посольскому дѣлу? Они отвѣчали, что онъ рѣшительно не измѣняетъ своего мнѣнія и объявляетъ войну, если ему не будутъ высланы Сильванъ или кубки. Пока мы удивлялись безумію варвара, посолъ Ромулъ, человѣкъ опытный во многихъ дѣлахъ, прервавъ *наши* рѣчи, сказалъ, что величайшее счастье Аттилы и *происходящее* отъ счастья могущество *слишкомъ* возвышаютъ его *самонадѣянность*, такъ что онъ не терпитъ справедливыхъ рѣчей, если не признаетъ ихъ выгодными для себя. Никогда никому изъ прежнихъ владыкъ Скиѳіи или даже другихъ *странъ* не *удавалось* столько совершить въ короткое *время*, чтобы владѣть и островами на океанѣ и, сверхъ всей Скиѳіи, даже Римлянъ имѣть своими данниками. Стремясь *достигнуть* еще большаго сверхъ существующаго и увеличить свои владѣнія, онъ желаетъ двинуться даже въ Персію. Когда кто-то изъ насъ спросилъ, какимъ путемъ можетъ онъ придти въ Персію, Ромулъ сказалъ, что Мидія находится не въ большомъ разстояніи отъ Скиѳіи и что Уннамъ не безъизвѣстенъ этотъ путь, такъ какъ они уже давно дѣлали вторженіе въ Мидію, когда ихъ родина была застигнута голодомъ и Римляне не оказали имъ сопротивленія вслѣдствіе случившейся тогда *другой* войны. *Такимъ образомъ*

Digitized by Google

ἄρχοντας. καὶ τοὺς διαβεβηκότας λέγειν ὡς ἔρημον ἐπελθόντες χώραν καὶ λίμνην τινὰ περαιωθέντες, ἣν ὁ Ῥωμύλος τὴν Μαιῶτιν εἶναι ᾤετο, πεντεκαίδεκα διαγενομένων ἡμερῶν ὄρη τινὰ ὑπερβάντες ἐς τὴν Μηδικὴν ἐσέβαλον. λῃζομένοις δὲ καὶ τὴν γῆν καταστρέχουσι πλῆθος Περσικὸν ἐπελθὸν τὸν σφῶν ὑπερκείμενον ἀέρα πλῆσαι βελῶν, ὥστε σφᾶς δέει τοῦ κατασχόντος κινδύνου ἀναχωρῆσαι ἐς τοὐπίσω καὶ τὰ ὄρη ὑπεξελθεῖν, ὀλίγην ἄγοντας λείαν· ἡ γὰρ πλείστη ὑπὸ τῶν Μήδων ἀφῄρητο. εὐλαβουμένους δὲ τὴν τῶν πολεμίων δίωξιν ἑτέραν τραπῆναι ὁδόν, καὶ μετὰ τὴν ἐκ τῆς ὑφάλου πέτρας ἀναφερομένην φλόγα ἐκεῖθεν πορευθέντας.... ἡμερῶν ὁδὸν ἐς τὰ οἰκεῖα ἀφικέσθαι, καὶ γνῶναι οὐ πολλῷ διαστήματι τὴν Μήδων ἀφεστάναι τῆς Σκυθικῆς. τὸν οὖν Ἀττίλαν ἐπ' αὐτὴν ἰέναι βουλόμενον οὐ πονήσειν πολλὰ οὐδὲ μακρὰν ἀνύσειν ὁδόν, ὥστε καὶ Μήδους καὶ Πάρθους καὶ Πέρσας παραστήσεσθαι καὶ ἀναγκάσειν ἐλθεῖν ἐς φόρου ἀπαγωγήν· παρεῖναι γὰρ αὐτῷ μάχιμον δύναμιν, ἣν οὐδὲν ἔθνος ὑποστήσεται. ἡμῶν δὲ κατὰ Περσῶν ἐλθεῖν αὐτὸν ἐπευξαμένων καὶ ἐπ' ἐκείνους τρέψαι τὸν πόλεμον, ὁ Κωνσταντίολος ἔλεγε δεδιέναι μήποτε καὶ Πέρσας ῥᾳδίως παραστησάμενος ἀντὶ φίλου δεσπότης ἐπανήξει. νῦν μὲν γὰρ τὸ χρυσίον κομίζεσθαι παρ' αὐτῶν τῆς ἀξίας ἕνεκα· εἰ δὲ καὶ Πάρθους καὶ Μήδους καὶ Πέρσας παραστήσοιτο, οὐκέτι Ῥωμαίων ἀνέξεσθαι τὴν αὐτοῦ νοσφιζομένων ἀρχήν, ἀλλὰ θεράποντας περιφανῶς ἡγησάμενον χαλεπώτερα ἐπιτάξειν καὶ οὐκ ἀνεκτὰ ἐκείνοις ἐπιτάγματα. ἦν δὲ ἡ ἀξία, ἣς ὁ Κωνσταντίολος ἐπεμνήσθη, στρατηγοῦ Ῥωμαίων, ἧς χάριν ὁ Ἀττίλας παρὰ βασιλέως ἐδέδεκτο τὸ τοῦ φόρου ἐπικαλύπτοντος ὄνομα, ὥστε αὐτῷ σιτηρεσίου προφάσει τοῦ τοῖς στρατηγοῖς χορηγουμένου τὰς συντάξεις ἐκπέμπεσθαι· ἔλεγεν οὖν μετὰ Μήδους καὶ Πάρθους καὶ Πέρσας τοῦτο τὸ ὄνομα, ὅπερ αὐτὸν βούλονται Ῥωμαῖοι καλεῖν, καὶ τὴν ἀξίαν, ἣ αὐτὸν τετιμηκέναι νομίζουσιν ἀποσεισάμενον ἀναγκάσειν σφᾶς ἀντὶ στρατηγοῦ βασιλέα προσαγορεύειν. ἤδη γὰρ καὶ χαλεπαίνοντα εἰπεῖν ὡς ἐκείνῳ μὲν οἱ αὐτοῦ θεράποντές εἰσι στρατηγοί, αὐτῷ δὲ οἱ τοῖς βασιλεύουσι Ῥωμαίων ὁμότιμοι. ἔσεσθαι δὲ οὐκ ἐς μακρὰν τῆς παρούσης αὐτῷ δυνάμεως αὔξησιν·

прошли *тогда* въ Мидію Васпхъ и Курсихъ изъ *племени* царскихъ Скиѳовъ, предводители большихъ скопищъ *народа*, впослѣдствіи прибывшіе въ Римъ для заключенія военнаго союза. Перешедшіе говорили *тогда*, что они прошли пустынную страну, переправились черезъ озеро, которое Ромулъ считалъ Меотидою, и черезъ 15 дней пути, переваливъ чрезъ какія-то горы, вступили въ Мидію. Пока они опустошали страну своими набѣгами, выступившія противъ *нихъ* полчища Персовъ наполнили стрѣлами разлитое надъ ними воздушное пространство, такъ что Унны изъ страха предъ наступившею опасностью обратились вспять и перевалили чрезъ горы съ небольшою добычею, такъ какъ большая часть ея была отнята Мидянами. Опасаясь преслѣдованія *со стороны* пріятелей, они повернули на другую дорогу и послѣ пламени, поднимавшагося изъ подводной скалы, отправившись оттуда... дней пути прибыли на родину. *Такъ* и узнали *они*, что Мидія находится не въ большомъ разстояніи отъ Скиѳіи[1]). Итакъ Аттила въ случаѣ желанія пойдти на нее *походомъ* не понесетъ большихъ трудовъ и не совершитъ длиннаго пути, такъ что покоритъ и Мидянъ, и Парѳянъ, и Персовъ и принудитъ ихъ къ уплатѣ дани; ибо онъ располагаетъ воинскою силою, противъ которой не устоитъ ни одинъ народъ. Когда мы выразили желаніе, чтобы онъ пошелъ противъ Персовъ и обратилъ на нихъ оружіе, Константіолъ сказалъ, что онъ боится, чтобы *Аттила*, легко подчинивъ и Персовъ, не возвратился владыкою вмѣсто друга: теперь-де отъ Римлянъ привозится *ему* золото ради его почетнаго званія, а если онъ подчинитъ Парѳянъ, Мидянъ и Персовъ, то онъ уже не потерпитъ, чтобы Римляне присваивали себѣ его власть, но открыто признаетъ ихъ *своими* рабами и предъявитъ къ нимъ болѣе тяжкія и невыносимыя требованія. Почетъ, о которомъ упомянулъ Константіолъ, состоялъ въ званіи Римскаго полководца, ради котораго Аттила принялъ отъ императора имя прикрывающей дани (?), такъ что сборы высылались ему подъ именемъ столовыхъ денегъ, выдаваемыхъ полководцами. Итакъ *Константіолъ* говорилъ, что

1) Ср. объ этомъ походѣ Унновъ примѣчанія Г. С. Дестунпса, стр. 62 сл.

Digitized by Google

σημαίνειν καὶ τοῦτο τὸν θεὸν τὸ τοῦ Ἄρεος ἀναφήναντα ξίφος, ὅπερ ὂν ἱερὸν καὶ παρὰ τῶν Σκυθικῶν βασιλέων τιμώμενον, οἷα δὴ τῷ ἐφόρῳ τῶν πολέμων ἀνακείμενον, ἐν τοῖς πάλαι ἀφανισθῆναι χρόνοις, εἶτα διὰ βοὸς εὑρεθῆναι.

послѣ *покоренія* Мидянъ, Парѳянъ и Персовъ *Аттила* сбросилъ съ себя это имя, которымъ Римляне желаютъ его называть, и званіе, которымъ, какъ они полагаютъ, они оказали ему почетъ, и принудилъ называть себя вмѣсто полководца царемъ. Вѣдь онъ уже разъ сказалъ въ сердцахъ, что для того [т. е. императора] его слуги — полководцы, а его полководцы равны по чести съ Римскими императорами. Недолго спустя послѣдуетъ и увеличеніе настоящаго его могущества. Знаменіе этого далъ *самъ* богъ, открывшій Ареевъ мечъ, который считался священнымъ и чтился скиѳскими царями, какъ посвященный владыкѣ войнъ, но *еще* въ древнія времена исчезъ, а затѣмъ былъ *вновь* найденъ при помощи коровы [1]).

Καὶ ἑκάστου λέγειν τι περὶ τῶν καθεστώτων βουλομένου, Ὀνηγησίου ὑπεξελθόντος, παρ' αὐτὸν ἤλθομεν καὶ ἐπειρώμεθα περὶ τῶν ἐσπουδασμένων μανθάνειν. ὁ δέ τισι πρότερον βαρβάροις διαλεχθεὶς πυθέσθαι με παρὰ Μαξιμίνου ἐπέτρεπε τίνα Ῥωμαῖοι ἄνδρα τῶν ὑπατικῶν παρὰ τὸν Ἀττίλαν πρεσβευόμενον στέλλουσιν. ὡς δὲ παρελθὼν ἐς τὴν σκηνὴν ἔφραζον ἅπερ εἰρητό μοι, καὶ ὅτι δεῖ λέγειν ὧν χάριν ὁ βάρβαρος ἡμῶν ἐπύθετο ἅμα τῷ Μαξιμίνῳ βουλευσάμενος ἐπανῆλθον ὡς τὸν Ὀνηγήσιον, λέγων ὡς ἐθέλουσι μὲν Ῥωμαῖοι αὐτὸν παρὰ σφᾶς ἐλθόντα τῶν ἀμφιβόλων ἕνεκα διαλέγεσθαι, εἰ δὲ τούτου διαμάρτοιεν, ἐκπέμψειν βασιλέα ὃν βούλεται πρεσβευσόμενον. καὶ εὐθὺς μετιέναι με τὸν Μαξιμῖνον παρεκελεύσατο καὶ ἥκοντα αὐτὸν ἦγε παρὰ τὸν Ἀττίλαν. καὶ μικρὸν ὕστερον ὑπεξελθὼν ὁ Μαξιμῖνος ἔλεγεν ἐθέλειν τὸν βάρβαρον Νόμον ἢ Ἀνατόλιον ἢ Σενάτωρα πρεσβεύεσθαι· μὴ γὰρ ἂν ἄλλον παρὰ τοὺς εἰρημένους δέξασθαι. καὶ ὡς αὐτοῦ ἀποκριναμένου μὴ χρῆναι ἐπὶ τὴν πρεσβείαν τοὺς ἄνδρας καλοῦντα ὑπόπτους καθιστᾶν βασιλεῖ, εἰρηκέναι τὸν Ἀττίλαν, εἰ μὴ ἕλοιντο ποιεῖν ἃ βούλεται, ὅπλοις τὰ ἀμφίβολα διακριθήσεσθαι. ἐπανελθόντων δὲ ἡμῶν ἐς τὴν σκηνὴν ὁ τοῦ Ὀρέστου πατὴρ ἦκε λέγων ὡς ἀμφοτέρους ὑμᾶς Ἀττίλας ἐπὶ τὸ συμπόσιον παρακαλεῖ γενήσεσθαι δὲ αὐτὸ περὶ ἑνάτην τῆς ἡμέρας. ὡς δὲ τὸν καιρὸν ἐφυλάξαμεν καὶ ἐπὶ τὸ δεῖπνον κληθέντες παρεγενόμεθα ἡμεῖς τε καὶ οἱ ἀπὸ τῶν

Каждый желалъ сказать что-либо о настоящемъ положеніи дѣлъ, но такъ какъ *въ это время* вышелъ Онигисій, то мы отправились къ нему и предложили вопросы о томъ, что намъ интересно было узнать. Онъ, переговоривъ сначала съ нѣкоторыми варварами, поручилъ мнѣ узнать отъ Максимина, кого изъ людей консульскаго достоинства Римляне пришлютъ въ качествѣ посла къ Аттилѣ. Придя въ палатку, я доложилъ, что было мнѣ сказано, и условился съ Максиминомъ, что̀ слѣдуетъ отвѣчать на вопросъ варвара, а *затѣмъ* возвратился къ Онигисію и заявилъ, что Римляне желали бы, чтобы онъ прибылъ къ нимъ для переговоровъ о недоразумѣніяхъ, но что если это не удастся, то императоръ пришлетъ посла, какого *самъ* захочетъ. Онъ попросилъ меня тотчасъ позвать Максимина и, когда онъ явился, повелъ его къ Аттилѣ. Немного спустя Максиминъ вышелъ и сказалъ, что варваръ желаетъ, чтобы посломъ былъ либо Номъ, либо Анатолій, либо Сенаторъ, а другого, кромѣ названныхъ лицъ, не приметъ. На отвѣтъ его, что не годится, приглашая людей къ посольству, выставлять ихъ подозрительными передъ императоромъ, Аттила сказалъ, что если они не согласятся исполнить его желанія, то придется разрѣшить недоразумѣнія *силою* оружія. Когда мы возвратились въ палатку, пришелъ Орестовъ отецъ съ извѣстіемъ, что Аттила приглашаетъ насъ обоихъ на пиръ, который начнется въ де-

1) Cf. infra fragm. 10 (p. 839).

Digitized by Google

ἑσπερίων Ῥωμαίων πρέσβεις, ἔστημεν ἐπὶ τοῦ οὐδοῦ ἀντία Ἀττίλα. καὶ κύλικα οἱ οἰνοχόοι κατὰ τὸ ἐπιχώριον ἐπέδοσαν ἔθος, ὡς καὶ ἡμᾶς πρὸ τῆς ἕδρας ἐπεύξασθαι. οὐ δὴ γενομένου, τῆς κύλικος ἀπογευσάμενοι ἐπὶ τοὺς θρόνους ἤλθομεν, οὗ ἔδει καθεσθέντας δειπνεῖν. πρὸς δὲ τοῖς τοίχοις τοῦ οἰκήματος πάντες ὑπῆρχον οἱ δίφροι ἐξ ἑκατέρας πλευρᾶς. ἐν μεσωτάτῳ δὲ ἦστο ἐπὶ κλίνης ὁ Ἀττίλας, ἑτέρας ἐξόπισθεν κλίνης ὑπαρχούσης αὐτῷ, μεθ' ἣν βαθμοί τινες ἐπὶ τὴν αὐτοῦ ἀνῆγον εὐνήν, καλυπτομένην ὀθόναις καὶ ποικίλοις παραπετάσμασι κόσμου χάριν, καθάπερ ἐπὶ τῶν γαμούντων Ἕλληνές τε καὶ Ῥωμαῖοι κατασκευάζουσι. καὶ πρώτην μὲν ἐνόμιζον τῶν δειπνούντων τάξιν τὴν ἐν δεξιᾷ τοῦ Ἀττίλα, δευτέραν δὲ τὴν εὐώνυμον, ἐν ᾗ ἐτυγχάνομεν ὄντες, προκαθεσθέντος ἡμῶν Βερίχου, παρὰ Σκύθαις εὖ γεγονότος ἀνδρός. ὁ γὰρ Ὀνηγήσιος ἐπὶ δίφρου ἦστο ἐν δεξιᾷ τῆς τοῦ βασιλέως κλίνης. ἀντικρὺ δὲ τοῦ Ὀνηγησίου ἐπὶ δίφρου ἐκαθέζοντο δύο τῶν Ἀττίλα παίδων· ὁ γὰρ πρεσβύτερος ἐπὶ τῆς ἐκείνου ἦστο κλίνης, οὐκ ἐγγύς, ἀλλ' ἐπ' ἄκρου, αἰδοῖ τοῦ πατρὸς βλέπων ἐς γῆν. πάντων δὲ ἐν κόσμῳ καθεστώτων, παρελθὼν οἰνοχόος τῷ Ἀττίλᾳ οἴνου κισσύβιον ἐπιδίδωσι. δεξάμενος δὲ τὸν τῇ τάξει πρῶτον ἠσπάζετο. ὁ δὲ τῷ ἀσπασμῷ τιμηθεὶς διανίστατο· καὶ οὐ πρότερον ἰζῆσαι θέμις ἦν πρὶν ἢ τῷ οἰνοχόῳ ἀπογευσάμενος ἢ καὶ ἐκπιὼν ἀπέδωκε τὸ κισσύβιον. καθεσθέντα δὲ αὐτὸν τῷ [αὐτῷ] τρόπῳ οἱ παρόντες ἐτίμων, δεχόμενοι τὰς κύλικας καὶ μετὰ τὸν ἀσπασμὸν ἀπογευόμενοι. ἑκάστῳ δὲ εἷς οἰνοχόος παρῆν, ὃν ἔδει κατὰ στοῖχον ἐσιέναι, τοῦ Ἀττίλα οἰνοχόου ὑπεξιόντος. τιμηθέντος δὲ καὶ τοῦ δευτέρου καὶ τῶν ἑξῆς, καὶ ἡμᾶς τοῖς ἴσοις ὁ Ἀττίλας ἐδεξιώσατο κατὰ τὴν τῶν θάκων τάξιν. ᾧ δὴ ἀσπασμῷ πάντων τιμηθέντων, ὑπεξῆσαν μὲν οἱ οἰνοχόοι, τράπεζαι δὲ μετὰ τὴν τοῦ Ἀττίλα παρετίθεντο κατὰ τρεῖς καὶ τέτταρας ἄνδρας ἢ καὶ πλείους· ὅθεν ἕκαστος οἷός τε ἦν τῶν τῇ μαγίδι [τοδι] ἐπιτιθεμένων μεταλαβεῖν μὴ ὑπεξιὼν τῆς τῶν θρόνων τάξεως. καὶ πρῶτος ἐσῄει ὁ τοῦ Ἀττίλα ὑπηρέτης, κρεῶν πλήρη πίνακα φέρων, καὶ οἱ πᾶσι διακονούμενοι μετ' αὐτὸν σῖτον καὶ ὄψα ταῖς τραπέζαις ἐπέθεσαν. ἀλλὰ τοῖς μὲν ἄλλοις βαρβάροις καὶ ἡμῖν πολυτελῆ δεῖπνα κατεσκευαστο, κύκλοις ἐπικείμενα ἀργυροῖς· τῷ δὲ Ἀττίλᾳ ἐπὶ τοῦ ξυλίνου πίνακος ἦν

вятомъ часу дня. Въ назначенное время мы явились на обѣдъ вмѣстѣ съ послами отъ западныхъ Римлянъ и остановились на порогѣ противъ Аттилы. Виночерпіи подали намъ по туземному обычаю кубокъ, чтобы и мы помолились прежде чѣмъ садиться. Сдѣлавъ это и отвѣдавъ *изъ* кубка, мы подошли къ креслами, на которыхъ слѣдовало сидѣть за обѣдомъ. У стѣнъ комнаты съ обѣихъ сторонъ стояли стулья. Посреднѣ сидѣлъ на ложѣ Аттила, а сзади стояло другое ложе, за которымъ нѣсколько ступеней вело къ его постели, закрытой простынями и пестрыми запавѣсами для украшенія, какъ это дѣлаютъ Эллины и Римляне для новобрачныхъ. Первымъ рядомъ пирующихъ считали *сидѣвшій* направо отъ Аттилы, а вторымъ—лѣвый, въ которомъ сидѣли и мы, при чемъ выше насъ сидѣлъ знатный Скиѳъ Верихъ. Онигисій сидѣлъ на стулѣ вправо отъ царскаго ложа. Противъ Онигисія сидѣли на стульяхъ два сына Аттилы, а старшій сидѣлъ на его ложѣ, но не близко *къ отцу*, а на краю, смотря въ землю изъ уваженія къ отцу. Когда все было приведено въ порядокъ, пришелъ виночерпій и подалъ Аттилѣ кубокъ вина. Принявъ его, онъ привѣтствовалъ перваго по порядку; удостоенный чести привѣта всталъ *съ мѣста*; садиться слѣдовало лишь послѣ того какъ, пригубивъ кубокъ или выпивъ, *Аттила* отдавалъ его виночерпію. Сѣвшему оказывали такимъ же образомъ честь *всѣ* присутствующіе, беря кубки и послѣ привѣтствія отпивая *изъ нихъ*. У каждаго былъ одинъ виночерпій, который долженъ былъ входить по порядку послѣ выхода виночерпія Аттилы. Послѣ того какъ удостоился почести второй *гость* и слѣдующіе, Аттила почтилъ и насъ такимъ же привѣтомъ по порядку мѣстъ. Послѣ того какъ всѣ были удостоены этого привѣтствія, виночерпіи вышли и были поставлены столы послѣ стола Аттилы для каждыхъ трехъ или четырехъ гостей или даже бо́льшаго числа; такимъ образомъ каждый имѣлъ возможность брать себѣ наложенныхъ на блюда кушаній, не выходя изъ ряда сѣдалищъ. Первымъ вошелъ слуга Аттилы съ блюдомъ, наполненнымъ мясомъ, а за нимъ служившіе гостямъ поставили на столы хлѣбъ и закуски. Для прочихъ варваровъ и для насъ были приготовлены роскошныя кушанья, сервиро-

Digitized by Google

οὐδὲν πλέον κρεῶν. μέτριον δὲ ἑαυτὸν καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἐδείκνυ. τοῖς γὰρ τῆς εὐωχίας ἀνδράσι κύλικες χρυσαῖ τε καὶ ἀργυραῖ ἐπεδίδοντο, τὸ δὲ αὐτοῦ ἔκπωμα ξύλινον ἦν. λιτὴ δὲ αὐτῷ καὶ ἡ ἐσθὴς ἐτύγχανεν οὖσα, μηδὲν τῶν ἄλλων πλὴν τοῦ καθαρὰ εἶναι διαφυλάττουσα· καὶ οὔτε τὸ παρῃωρημένον αὐτῷ ξίφος οὔτε οἱ τῶν βαρβαρικῶν ὑποδημάτων δεσμοὶ οὔτε τοῦ ἵππου ὁ χαλινός, ὥσπερ τῶν ἄλλων Σκυθῶν, χρυσῷ ἢ λίθοις ἢ τινι τῶν τιμίων ἐκοσμεῖτο. τῶν δὲ ὄψων τῶν ἐν τοῖς πρώτοις πίναξιν ἐπιτεθέντων ἀναλωθέντων, πάντες διανέστημεν, καὶ οὐ πρότερον ἐπὶ τὸν δίφρον ἀναστὰς ἦλθε πρὶν ἢ κατὰ τὴν προτέραν τάξιν ἕκαστος τὴν ἐπιδιδομένην αὐτῷ οἴνου πλήρη ἐξέπιε κύλικα, τὸν Ἀττίλαν σῶν εἶναι ἐπευξάμενος. καὶ τοῦτον τιμηθέντος αὐτοῦ τὸν τρόπον ἐκαθέσθημεν, καὶ δεύτερος ἑκάστῃ τραπέζῃ ἐπετίθετο πίναξ ἕτερα ἔχων ἐδώδιμα. ὡς δὲ καὶ αὐτοῦ οἱ πάντες μετέλαβον, καὶ τῷ αὐτῷ ἐξαναστάντες τρόπῳ αὖθις ἐκπιόντες ἐκαθέσθημεν. ἐπιγενομένης δὲ ἑσπέρας δᾷδες ἀνήφθησαν, δύο δὲ ἀντικρὺ τοῦ Ἀττίλα παρελθόντες βάρβαροι ᾄσματα πεποιημένα ἔλεγον, νίκας αὐτοῦ καὶ τὰς κατὰ πόλεμον ἀρετὰς ἐς οὓς οἱ τῆς εὐωχίας ἀπέβλεπον, καὶ οἱ μὲν ἥδοντο τοῖς ποιήμασιν, οἱ δὲ τῶν πολέμων ἀναμιμνησκόμενοι διηγείροντο τοῖς φρονήμασιν, ἄλλοι δὲ ἐχώρουν ἐς δάκρυα, ὧν ὑπὸ τοῦ χρόνου ἠσθένει τὸ σῶμα καὶ ἡσυχάζειν ὁ θυμὸς ἠναγκάζετο. μετὰ δὲ τὰ ᾄσματα Σκύθης τις παρελθὼν φρενοβλαβής, ἀλλόκοτα καὶ παράσημα καὶ οὐδὲν ὑγιὲς φθεγγόμενος, ἐς γέλωτα πάντας παρεσκεύασε παρελθεῖν. μεθ' ὃν ὑπεσῆλθε Ζέρκων ὁ Μαυρούσιος (vid. fr. 11)· ὁ γὰρ Ἐδέκων αὐτὸν παρὰ τὸν Ἀττίλαν ἐλθεῖν παρέπεισεν, ὡς τῇ ἐκείνου σπουδῇ τὴν γαμετὴν ἀπολη-ψόμενον, ἣν κατὰ τὴν τῶν βαρβάρων εἰλήφει χώραν, τῷ Βλήδᾳ περισπούδαστος ὤν. ἀπελελοίπει δὲ αὐτὴν ἐν τῇ Σκυθικῇ παρὰ τοῦ Ἀττίλα δῶρον Ἀετίῳ πεμφθείς. ἀλλὰ τῆς μὲν τοιαύτης διήμαρτεν ἐλπίδος, τοῦ Ἀττίλα χαλεπήναντος, ὅτι γε δὴ ἐς τὴν αὐτοῦ ἐπανῆλθε. τότε δὲ διὰ τὸν τῆς εὐωχίας καιρὸν παρελθὼν τῷ τε εἴδει καὶ τοῖς ἐσθήμασι καὶ τῇ φωνῇ καὶ τοῖς συγκεχυμένως παρ' αὐτοῦ προφερομένοις ῥήμασι· τῇ γὰρ Αὐσονίων τὴν τῶν Οὔννων καὶ τὴν τῶν Γότθων παραμιγνὺς γλῶτταν πάντας διέχεε καὶ ἐς ἄσβεστον ὁρμῆσαι γέλωτα παρεσκεύασε πλὴν Ἀττίλα· οὗτος γὰρ ἔμε-

ванныя на круглыхъ серебряныхъ блюдахъ, а Аттилѣ не подавалось ничего кромѣ мяса на деревянной тарелкѣ. И во всемъ прочемъ онъ выказывалъ умѣренность: такъ напр. гостямъ подавались чаши золотыя и серебряныя, а его кубокъ былъ деревянный. Одежда его также была скромна и ничѣмъ не отличалась отъ другихъ, кромѣ чистоты; ни висѣвшій у него сбоку мечъ, ни перевязи варварской обуви, ни узда его коня не были украшены, какъ у другихъ Скиѳовъ, золотомъ, камешками или чѣмъ-нибудь *другимъ* цѣннымъ. Когда были съѣдены кушанья, наложенныя на первыхъ блюдахъ, мы всѣ встали, и вставшій не возвращался къ своему креслу прежде чѣмъ каждый *гость* изъ перваго ряда выпилъ поданный ему полный кубокъ вина, пожелавъ *добраго* здоровья Аттилѣ. Почтивъ его такимъ образомъ, мы сѣли и на каждый столъ было поставлено второе блюдо съ другимъ кушаньемъ. Когда всѣ взяли и этого *кушанья*, то *снова* встали такимъ же образомъ, выпили и опять сѣли. При наступленіи вечера были зажжены факелы и два варвара, выступивъ *на средину* противъ Аттилы, запѣли сложенныя пѣсни, въ которыхъ воспѣвали его побѣды и военныя доблести; участники пира смотрѣли на нихъ и одни восхищались пѣснями, другіе, вспоминая о войнахъ, ободрялись духомъ, иные, у которыхъ тѣлесная сила ослабѣла отъ времени и духъ вынуждался къ спокойствію, проливали слезы. Послѣ пѣнія выступилъ какой-то скиѳскій шутъ [дос. поврежденный разсудкомъ Скиѳъ] и началъ молоть всевозможный вздоръ, которымъ всѣхъ разсмѣшилъ. Послѣ него вошелъ Маврусіецъ Зерконъ: Едекопъ убѣдилъ его пріѣхать къ Аттилѣ, чтобы при его посредствѣ получить обратно свою жену, которую онъ взялъ въ варварской землѣ, будучи въ тѣсной дружбѣ съ Влидою; онъ покинулъ ее въ Скиѳіи, когда былъ посланъ Аттилою къ Аетію *въ видѣ* дара. Но онъ обманулся въ этой надеждѣ, такъ какъ Аттила разсердился *за то*, что онъ возвратился въ его землю. На этотъ разъ онъ пришелъ во время пира и своимъ видомъ, одѣяніемъ, голосомъ и странною смѣсью произносимыхъ имъ словъ (онъ смѣшивалъ съ авзонскимъ языкомъ гуннскій и готескій) всѣхъ развлекъ и *во всѣхъ* возбудилъ неугасимый смѣхъ, кромѣ Ат-

Digitized by Google

νεν ἀστεμφὴς καὶ τὸ εἶδος ἀμετάτρεπτος καὶ οὐδὲν οὔτε λέγων οὔτε ποιῶν γέλωτος ἐχόμενον ἐφαίνετο, πλὴν ὅτι τὸν νεώτατον τῶν παίδων, Ἱρνᾶς δὲ ὄνομα τούτῳ, ἐσιόντα καὶ παρεστῶτα εἶλκε τῆς παρειᾶς, γαληνοῖς ἀποβλέπων ὄμμασι πρὸς αὐτόν. ἐμοῦ δὲ θαυμάζοντος ὅπως τῶν μὲν ἄλλων παίδων ὀλιγωροίη, πρὸς δὲ ἐκεῖνον ἔχοι τὸν νοῦν, ὁ παρακαθήμενος βάρβαρος, συνιεὶς τῆς Αὐσονίων φωνῆς καὶ τῶν παρ' αὐτοῦ μοι ῥηθησομένων μηδὲν ἐκλέγειν προειπών, ἔφασκε τοὺς μάντεις τῷ Ἀττίλᾳ προηγορευκέναι τὸ μὲν αὐτοῦ πεσεῖσθαι γένος, ὑπὸ δὲ τοῦ παιδὸς ἀναστήσεσθαι τούτου. ὡς δὲ ἐν τῷ συμποσίῳ εἶκον τὴν νύκτα, ὑπεξήλθομεν, ἐπὶ πολὺ μὴ βουληθέντες τῷ πότῳ προσκαρτερεῖν.

Ἡμέρας δὲ γενομένης ἐπὶ τὸν Ὀνηγήσιον ἤλθομεν, χρῆναι ἡμᾶς διαφθῆναι λέγοντες καὶ μὴ τηνάλλως τρίβειν τὸν χρόνον. καὶ ὃς ἔφη ἐθέλειν καὶ τὸν Ἀττίλαν ἀποπέμπειν ἡμᾶς. καὶ μικρὸν διαλιπὼν ἅμα τοῖς λογάσιν ἐβουλεύετο περὶ τῶν Ἀττίλᾳ δεδογμένων, καὶ τὰ βασιλεῖ ἀποδοθησόμενα συνέταττε γράμματα, ὑπογραφέων αὐτῷ παρόντων καὶ Ῥουστικίου, ἀνδρὸς ὁρμωμένου μὲν ἐκ τῆς ἄνω Μυσίας, ἁλόντος δὲ ἐν τῷ πολέμῳ καὶ διὰ λόγων ἀρετὴν τῷ βαρβάρῳ ἐπὶ τῇ τῶν γραμμάτων διαπονουμένου συντάξει. ὡς δὲ ἐκ τῆς συνόδου διανέστη, ἐδεήθημεν αὐτοῦ περὶ λύσεως τῆς Σύλλου γαμετῆς καὶ τῶν ἐκείνης παίδων, ἐν τῇ Ῥατιαρίας ἀνδραποδισθέντων ἁλώσει. καὶ πρὸς μὲν τὴν αὐτῶν οὐκ ἀπηγόρευσε λύσιν, ἐπὶ πολλοῖς δὲ σφᾶς ἐβούλετο χρήμασιν ἀπεμπολᾶν. ἡμῶν δὲ ἐλεεῖν αὐτοὺς τῆς τύχης ἱκετευσάντων, τὴν προτέραν εὐδαιμονίαν λογιζόμενον, διέβη τε πρὸς τὸν Ἀττίλαν καὶ τὴν μὲν γυναῖκα ἐπὶ πεντακοσίοις διαφῆκε χρυσοῖς, τοὺς δὲ παῖδας δῶρον ἔπεμπε βασιλεῖ. ἐν τούτῳ δὲ καὶ ἡ Ῥέκαν ἡ τοῦ Ἀττίλα γαμετὴ παρὰ Ἀδάμει τῶν αὐτῆς πραγμάτων τὴν ἐπιτροπὴν ἔχοντι δειπνεῖν ἡμᾶς παρεκάλει. καὶ παρ' αὐτὸν ἐλθόντες ἅμα τισὶ τῶν ἐκ τοῦ ἔθνους λογάδων φιλοφροσύνης ἐτύχομεν. ἐδεξιοῦτο δὲ ἡμᾶς μειλιχίοις τε λόγοις καὶ τῇ τῶν ἐδωδίμων παρασκευῇ. καὶ ἕκαστος τῶν παρόντων Σκυθικῇ φιλοτιμίᾳ κύλικα ἡμῖν πλήρη διανιστάμενος ἐδίδου, καὶ τὸν ἐκπιόντα πε-

типы. Послѣдній оставался неподвижнымъ, не мѣняясь въ лицѣ и никакимъ словомъ или поступкомъ не обнаруживалъ своего веселаго настроенія. Только когда самый младшій изъ сыновей, по имени Ирна, вошелъ и всталъ около него, онъ потрепалъ его по щекѣ, смотря на него нѣжными глазами. Когда я выразилъ удивленіе тому, что онъ не обращаетъ вниманія на другихъ дѣтей, а къ этому относится ласково, сидѣвшій рядомъ со мною варваръ, понимавшій по-аввонски и предупредившій, чтобы я *никому* не передавалъ его словъ, объяснилъ, что кудесники предсказали Аттилѣ, что его родъ падетъ, но будетъ возстановленъ этимъ сыномъ. Пока *гости* проводили ночь въ пирѣ, мы потихоньку вышли, не желая слишкомъ долго засиживаться за попойкой.

Съ наступленіемъ дня мы пришли къ Онигисію, говоря, что насъ нужно отпустить и не *заставлять* понапрасну тратить время. Онъ сказалъ, что и Аттила хочетъ насъ отослать. Немного спустя, онъ сталъ совѣщаться съ избранными *людьми* о желаніяхъ Аттилы и составлять письмо для передачи императору въ присутствіи секретарей и Рустикія, уроженца Верхней Мисіи, взятаго въ плѣнъ на войнѣ и, благодаря своему образованію, служившаго варвару при составленіи писемъ. Когда онъ вышелъ изъ собранія, мы обратились къ нему съ просьбою объ освобожденіи жены Силлы и дѣтей ея, взятыхъ въ рабство при взятіи Ратіарія. Онъ не отказалъ въ ихъ освобожденіи, но хотѣлъ выдать ихъ за большую сумму денегъ. Когда мы стали умолять его пожалѣть ихъ участь, принявъ во вниманіе прежнее *ихъ* благополучіе, онъ сходилъ къ Аттилѣ и отпустилъ женщину за 500 золотыхъ, а дѣтей отослалъ *въ видѣ* дара императору. Въ это время и Крека, супруга Аттилы, пригласила насъ отобѣдать у Адамія, завѣдывающаго ея дѣлами. Придя къ нему вмѣстѣ съ нѣсколькими избранными *лицами* изъ туземцевъ, мы встрѣтили *радушное* гостепріимство. *Адамій* почтилъ насъ ласковыми словами и приготовленными кушаньями. Каждый изъ присутствующихъ по скиѳской учтивости вставалъ и подавалъ намъ полный кубокъ, *затѣмъ*, обнявъ и поцѣло-

V. 42: leg. καὶ Κρέκα ut p. 829, 16.

Digitized by Google

ριβαλὼν καὶ φιλήσας ταύτην ἐδέχετο. μετὰ δὲ τὸ δεῖπνον ἐπὶ τὴν σκηνὴν ἐλθόντες ἐς ὕπνον ἐτράπημεν. τῇ δὲ ὑστεραίᾳ ἐπὶ συμπόσιον αὖθις ἡμᾶς Ἀττίλας ἐκάλει, καὶ τῷ προτέρῳ τρόπῳ παρά τε αὐτὸν ἐσήλθομεν καὶ ἐς τὴν εὐωχίαν ἐτράπημεν. συνέβαινε δὲ ἐπὶ τῆς κλίνης ἅμα αὐτῷ μὴ τὸν πρεσβύτερον τῶν παίδων ἧσθαι, ἀλλὰ γὰρ Ὠηβάρσιον, θεῖον αὐτῷ τυγχάνοντα πρὸς πατρός. παρὰ πᾶν δὲ τὸ συμπόσιον λόγοις φιλοφρονούμενος φράζειν ἡμᾶς βασιλεῖ παρεκελεύετο τῷ Κωνσταντίῳ, ὃς αὐτῷ παρὰ Ἀετίου ἀπέσταλτο ὑπογραφέως χάριν, διδόναι ἣν αὐτῷ γυναῖκα [καὶ] ὑπέσχετο. παρὰ γὰρ τὸν βασιλέα Θεοδόσιον ἅμα τοῖς σταλεῖσι παρὰ τοῦ Ἀττίλα πρέσβεσιν ἀφικόμενος ὁ Κωνστάντιος τὴν εἰρήνην Ῥωμαίοις καὶ Σκύθαις ἔφησεν ἐπὶ μακρὸν φυλάττεσθαι φρόνον παρασκευάσειν, ἂν αὐτῷ γυναῖκα εὔπορον δοίη. καὶ πρὸς τοῦτο ἐπένευσε βασιλεύς, καὶ Σατορνίλου περιουσίᾳ καὶ γένει κοσμουμένου θυγατέρα εἰρήκει δώσειν. τὸν δὲ Σατορνίλον ἀνηρήκει Ἀθηναΐς ἡ καὶ Εὐδοκία· ἀμφοτέροις γὰρ ἐκαλεῖτο τοῖς ὀνόμασιν. ἐς ἔργον δὲ τὴν αὐτοῦ οὐ συνεχώρησεν ἀχθῆναι ὑπόσχεσιν Ζήνων, ὑπατικὸς ἀνὴρ καὶ πολλὴν ἀμφ' αὐτὸν ἔχων Ἰσαύρων δύναμιν, μεθ' ἧς καὶ τὴν Κωνσταντίνου κατὰ τὸν τοῦ πολέμου καιρὸν φυλάττειν ἐπετέτραπτο. τότε δὴ τῶν ἐν τῇ ἕῳ στρατιωτικῶν ἄρχων ταγμάτων ὑπεξάγει τοῦ φρουρίου τὴν κόρην καὶ Ῥούφῳ τινί, ἑνὶ τῶν ἐπιτηδείων, κατεγγυᾷ. ταύτης δὲ ἀφῃρημένης ὁ Κωνστάντιος ἐδεῖτο τοῦ βαρβάρου ἐνυβρισμένον αὐτὸν μὴ περιορᾶσθαι, ἀλλὰ ἢ τὴν ἀφαιρεθεῖσαν ἢ καὶ ἄλλην αὐτῷ δίδοσθαι γαμετὴν φερνὴν ἐσοίσουσαν. παρὰ τὸν τοῦ δείπνου τοίνυν καιρὸν ὁ βάρβαρος λέγειν τῷ βασιλεύοντι τὸν Μαξιμῖνον ἐκέλευε μὴ χρῆναι τῆς ἐξ αὐτοῦ τὸν Κωνστάντιον ἐλπίδος διαμαρτεῖν· οὔτε γὰρ βασιλεῖ τὸ ψεύδεσθαι.... ταῦτα δὲ ὁ Ἀττίλας ἐνετέλλετο, ὑποσχομένου Κωνσταντίου χρήματα δώσειν, εἰ τῶν ζαπλούτων αὐτῷ παρὰ Ῥωμαίοις κατεγγυηθείη γυνή.

Τοῦ δὲ συμποσίου ὑπεξελθόντες μετὰ τὴν νύκτα ἡμερῶν διαγενομένων τριῶν διηφείθημεν δώροις τοῖς προσήκουσι τιμηθέντες· ἔπεμπε δὲ ὁ Ἀττίλας καὶ Βέριχον τὸν

вавъ выпившаго, принималъ кубокъ обратно. Послѣ обѣда мы возвратились въ *нашу* палатку и легли спать.

На слѣдующій день Аттила снова пригласилъ насъ на пиръ и мы по прежнему пришли къ нему и стали пировать. На ложѣ вмѣстѣ съ нимъ сидѣлъ уже не старшій сынъ, а Онвирсій, дядя его по отцу. Въ теченіе всего пира ласково разговаривая *съ нами*, онъ просилъ насъ передать императору, чтобы онъ далъ Констанцію (который былъ посланъ къ нему Аетіемъ въ качествѣ секретаря) жену, которую обѣщалъ. Дѣло въ томъ, что Констанцій, прибывъ къ императору Ѳеодосію вмѣстѣ съ отправленными отъ Аттилы послами, обѣщалъ устроить нерушимый миръ Римлянъ со Скиѳами на долгое время, если *императоръ* дастъ ему богатую жену. Императоръ согласился на это и обѣщалъ выдать за него дочь Саторнила, извѣстнаго богатствомъ и знатностью рода. Но этого Саторнила приказала убить Аѳинаида или Евдокія (она называлась обоими *этими* именами [1]). Привести въ исполненіе обѣщаніе императора не допустилъ Зинонъ, бывшій консулъ, имѣвшій подъ своею властью большую рать Исавровъ, съ которою онъ во время войны охранялъ даже Константинополь. Тогда, начальствуя надъ военными силами на Востокѣ, онъ вывелъ *эту* дѣвушку изъ-подъ стражи и обручилъ ее одному изъ своихъ приближенныхъ, нѣкоему Руфу. Послѣ ея отнятія Констанцій просилъ варвара не оставить безъ возмездія нанесеннаго ему оскорбленія и дать ему въ жены или отнятую *дѣвушку* или другую, которая принесла бы приданое. Поэтому-то во время пира варваръ и поручилъ Максимину передать императору, что Констанцій не долженъ быть обманутъ въ *поданной* имъ надеждѣ, такъ какъ царю не приличествуетъ лгать.... Такое порученіе далъ Аттила, потому что Констанцій обѣщалъ дать *ему* денегъ, если за него будетъ сговорена жена изъ очень богатыхъ у Римлянъ *домовъ*.

Выйдя съ пира, по прошествіи трехъ дней послѣ *этой* ночи мы были отпущены съ приличными дарами. *Вмѣстѣ съ нами* Аттила послалъ и Верниха, сидѣвшаго выше

V. 42: βασιλεῖ] βασιλικὸν Bekk., πρέπειν supplet Nieb.

1) Супруга Ѳеодосія II. Убіеніе Саторнила по *Chron. Marcell.* относится къ 444 г.

Digitized by Google

ἡμῶν ἐν τῷ συμποσίῳ προκαθεσθέντα, ἄνδρα τῶν λογάδων καὶ πολλῶν ἐν τῇ Σκυθικῇ κωμῶν ἄρχοντα, παρὰ βασιλέα πρεσβευσόμενον, ἄλλως τε καὶ αὐτόν, οἷα δὴ πρέσβιν, [δῶρα] παρὰ Ῥωμαίων δέξασθαι [βουλόμενος]. ποιουμένων δὲ ἡμῶν τὴν πορείαν καὶ πρὸς κώμῃ καταλυσάντων τινί, ἦλω Σκύθης ἀνὴρ κατασκοπῆς ἕνεκα ἐκ τῆς Ῥωμαίων ἐς τὴν βάρβαρον διαβεβηκὼς χώραν· καὶ αὐτὸν Ἀττίλας ἀνασκολοπισθῆναι παρεκελεύσατο. τῇ δὲ ἐπιούσῃ δι' ἑτέρων κωμῶν πορευομένων ἡμῶν, ἄνδρες δύο τῶν παρὰ Σκύθαις δουλευόντων ἤγοντο ὀπίσω τὼ χεῖρε δεδεμένω, ὡς τοὺς κατὰ πόλεμον ἀνελόντες δεσπότας· καὶ ἐπὶ ξύλων δύο κεραίας ἐχόντων ἀμφοῖν τὰς κεφαλὰς ἐμβαλόντες ἀνεσταύρωσαν. ἐφ' ὅσον δὲ τὴν Σκυθικὴν διεξῄειμεν, ὁ Βέριχος ἐκοινώνει τε ἡμῖν τῆς ὁδοῦ καὶ ἥσυχός τις καὶ ἐπιτήδειος ἐνομίζετο. ὡς δὲ τὸν Ἴστρον ἐπεραιώθημεν, ἐν ἐχθροῦ ἡμῖν ἐγένετο μοίρᾳ διά τινας ἑώλους προφάσεις ἐκ τῶν θεραπόντων συνενεχθείσας. καὶ πρότερον μὲν τὸν ἵππον ἀφείλετο, ᾧ τὸν Μαξιμῖνον δωρησάμενος ἦν. ὁ γὰρ Ἀττίλας πάντας τοὺς ἀμφ' αὐτὸν λογάδας παρεκελεύσατο δώροις τὸν Μαξιμῖνον φιλοφρονήσασθαι, καὶ ἕκαστος ἐπεπόμφει ἵππον αὐτῷ, μεθ' ὧν καὶ ὁ Βέριχος. ὀλίγους δὲ λαβὼν τοὺς ἄλλους ἀπέπεμπε, τὸ σῶφρον δηλῶσαι ἐκ τῆς μετριότητος ἐσπουδακώς. τοῦτον οὖν ἀφείλετο τὸν ἵππον, καὶ οὔτε συνοδοιπορεῖν οὔτε συνεστιᾶσθαι ἠνέσχετο· ὥστε ἡμῖν ἐν τῇ βαρβάρων χώρᾳ γενομένου συμβόλου ἐς τοῦτο προελθεῖν. καὶ ἐντεῦθεν διὰ τῆς Φιλίππου ἐπὶ τὴν Ἀδριανούπολιν τὴν πορείαν ἐποιησάμεθα. ἐν ᾗ διαναπαυσάμενοι ἐς λόγους ἤλθομεν τῷ Βερίχῳ, καὶ αὐτὸν τῆς πρὸς ἡμᾶς σιωπῆς κατεμεμψάμεθα, ὅτι γε δὴ ὀργίζεται οὐκ ἀδικοῦσιν οὐδέν. θεραπεύσαντες οὖν αὐτὸν καὶ ἐπὶ ἑστίασιν καλέσαντες ἐξωρμήσαμεν. καὶ τῷ Βιγίλᾳ ἐν τῇ ὁδῷ ἀπαντήσαντες ἐπὶ τὴν Σκυθικὴν ἐπαναζευγνύντι, καὶ τὰ παρὰ Ἀττίλα ἡμῖν τῆς ἐπὶ τῇ πρεσβείᾳ ἀποκρίσεως εἰρημένα ἀφηγησάμενοι, τῆς ἐπανόδου εἰχόμεθα. ὡς δὲ ἐς τὴν Κωνσταντίνου παρεγενόμεθα μεταβεβλῆσθαι μὲν ᾠόμεθα τὸν Βέριχον τῆς ὀργῆς· ὃς δὲ τῆς ἀγρίας οὐκ ἐπελέλησετο φύσεως, ἀλλ' ἐς διαφορὰς ἐχώρει καὶ ἐν κατηγορίᾳ ἐποιεῖτο τὸν Μαξιμῖνον ὡς ἔφησεν ἐς τὴν Σκυθικὴν διαβὰς τὸν Ἀρεόβινδον καὶ τὸν Ἄσπαρα, ἄνδρας στρατηγούς, μηδεμίαν παρὰ βασιλεῖ ἔχειν μοῖραν, καὶ ὡς ἐν ὀλι-

насъ на пиру, мужа изъ числа избранныхъ и начальника многихъ селеній въ Скиѳіи, въ качествѣ посла къ императору, *очевидно* желая, чтобы и онъ, какъ посолъ, получилъ дары отъ Римлянъ. Когда мы во время пути остановились въ одной деревнѣ, былъ пойманъ нѣкій Скиѳъ, перешедшій съ римской земли на варварскую въ качествѣ лазутчика; Аттила приказалъ посадить его на колъ. На слѣдующій день, когда мы проѣзжали чрезъ другія деревни, были приведены два человѣка изъ скиѳскихъ рабовъ со связанными назади руками, убившіе своихъ господъ на войнѣ; ихъ обоихъ распяли на бревнахъ съ перекладинами, привязавъ головами. Пока мы ѣхали по Скиѳіи, Верихъ сопутствовалъ намъ и казался *человѣкомъ* спокойнымъ и ласковымъ. Когда же переправились черезъ Истръ, онъ сталъ относиться къ намъ враждебно изъ-за пустячныхъ предлоговъ, сообщенныхъ ему служителями. Прежде всего онъ отнялъ коня, котораго раньше подарилъ Максимину. Дѣло въ томъ, что Аттила приказалъ всѣмъ своимъ приближеннымъ оказать Максимину любезность дарами и каждый прислалъ ему коня, въ томъ числѣ и Верихъ. Принявъ нѣсколько *коней*, *Максиминъ* отослалъ остальныхъ *обратно*, желая умѣренностью показать свое благоразуміе. Этого-то коня отнялъ *теперь Верихъ* и не хотѣлъ ни ѣхать, ни кушать вмѣстѣ съ нами, такъ что заключенныя нами въ варварской землѣ связи продолжались только до сихъ поръ (?). Оттуда черезъ Филиппополь мы двинулись по направленію къ Адріанополю. Остановившись здѣсь *на отдыхъ*, мы вступили въ разговоръ съ Верихомъ и упрекнули его за молчаніе, *говоря*, что онъ сердится *на насъ* безъ всякой *нашей* вины. Успокоивъ его и пригласивъ на угощеніе, мы двинулись дальше. На дорогѣ встрѣтились съ Виглой, возвращавшимся въ Скиѳію, и, разсказавъ данный Аттилою отвѣтъ на наше посольство, продолжали обратный путь. По прибытіи въ Константинополь мы думали, что Верихъ смѣнилъ свой гнѣвъ *на милость*; но онъ оставался вѣренъ своей дикой натурѣ, продолжалъ враждовать и обвинялъ Максимина въ томъ, что будтобы онъ въ Скиѳіи говорилъ, что воеводы Ареовиндъ и Аспаръ не имѣютъ никакого значенія у царя, и отнесся къ

Digitized by Google

γωρίᾳ τὰ κατ' αὐτοὺς ἐποιήσατο, τὴν βαρβαρικὴν ἐλέγξας κουφότητα.

нимъ съ презрѣніемъ, изобличая *ихъ* варварское легкомысліе.

ΛΟΓΟΣ Δ'.

КНИГА 4-я.

Ἀναζεύξαντα δὲ τὸν Βιγίλαν καὶ ἐν οἷς τὸν Ἀττίλαν τόποις διατρίβειν συνέβαινεν ἀφικόμενον περιστάντες εἶχον οἱ πρὸς τοῦτο παρεσκευασμένοι βάρβαροι, καὶ τὰ χρήματα, ἅπερ τῷ Ἐδέκωνι ἐκόμιζεν, ἀφείλοντο. ὡς δὲ καὶ αὐτὸν παρὰ τὸν Ἀττίλαν ἦγον, καὶ ἀνηρωτᾶτο ὅτου χάριν τοσοῦτον φέροι χρυσίον, ἔφη οἰκείας τε καὶ τῶν παρεπομένων προνοίας ἕνεκα, ὥστε μὴ ἐνδείᾳ τροφῶν ἢ ἵππων σπάνει ἢ καὶ τῶν φορτηγῶν ὑποζυγίων ὑπὸ τῆς μακρᾶς ἐκδαπανηθέντων ὁδοῦ διαμαρτεῖν τῆς περὶ τῆς πρεσβείας σπουδῆς· παρεσκευάσθαι δὲ αὐτῷ καὶ ἐς αἰχμαλώτων ὠνήν, πολλῶν κατὰ τὴν Ῥωμαίων δεηθέντων αὐτοῦ τοὺς σφίσι προσήκοντας λύσασθαι· καὶ ὁ Ἀττίλας «ἀλλ' οὔτι», ἔφη, «σὺ πονηρὸν θηρίον», τὸν Βιγίλαν λέγων, «τὴν δίκην σοφιζόμενος λήσεις, οὐδὲ ἔσται σοι πρόφασις ἱκανὴ ἐς τὸ τὴν κόλασιν διαφυγεῖν, μείζονος μὲν τῆς σῆς δαπάνης παρασκευῆς σοι χρημάτων ὑπαρχούσης, καὶ τῶν ὑπὸ σοῦ ἵππων καὶ ὑποζυγίων ὠνηθησομένων καὶ τῆς τῶν αἰχμαλώτων λύσεως, ἣν σὺν Μαξιμίνῳ παρ' ἐμὲ ἀφικομένῳ ποιεῖν ἀπηγόρευσα». ταῦτα εἰπὼν τὸν υἱόν, ἣν δὲ καὶ τῷ Βιγίλᾳ τότε πρῶτον ἐς τὴν βαρβάρων ἠκολουθηκὼς χώραν, ξίφει καταβληθῆναι παρεκελεύσατο, εἰ μὴ φθάσας εἴποι ὅτῳ τὰ χρήματα καὶ δι' ἣν αἰτίαν κομίζει. ὁ δὲ ὡς ἐθεάσατο τὸν παῖδα ἐπὶ θάνατον στείχοντα, ἐς δάκρυά τε καὶ ὀλοφυρμοὺς ἐτράπη καὶ ἀνεβόα τὴν δίκην ἐπ' αὐτὸν φέρειν τὸ ξίφος, οὐκ ἐπὶ τὸν νέον τὸν ἀδικοῦντα οὐδέν. καὶ μηδὲν μελλήσας τά τε αὐτῷ καὶ Ἐδέκωνι καὶ τῷ βασιλεῖ μελετηθέντα ἔλεγε, συνεχῶς δὲ ἐς ἱκεσίαν τρεπόμενος, ὥστε αὐτὸν μὲν ἀναιρεθῆναι, διαφεθῆναι δὲ τὸν παῖδα. γνοὺς δὲ ὁ Ἀττίλας ἀπὸ τῶν Ἐδέκωνι εἰρημένων μηδὲν διεψεῦσθαι τὸν Βιγίλαν, ἐν δεσμοῖς εἶναι προσέταττεν, οὐ πρότερον λύσειν ἀπειλήσας πρὶν ἢ τὸν παῖδα ἐκπέμψας ἑτέρας αὐτῷ πεντήκοντα χρυσίου λίτρας ὑπὲρ τῶν σφετέρων κομίσοι λύτρων. καὶ ὁ μὲν ἐδέδετο, ὁ δὲ ἐς τὴν Ῥωμαίων ἐπανήει. ἔπεμπε δὲ καὶ Ὀρέστην καὶ Ἥσλαν ὁ Ἀττίλας ἐς τὴν

Когда Вигила, продолжая путь, прибылъ въ тѣ мѣста, гдѣ въ ту пору случилось быть Аттилѣ, его окружили подготовленные для этого варвары и отняли деньги, которыя онъ везъ Едекону. Его самого привели къ Аттилѣ и послѣдній спросилъ его, зачѣмъ онъ везетъ столько золота? Вигила сказалъ, что *взялъ его* изъ предусмотрительности о себѣ и своихъ спутникахъ, чтобы не потерпѣть неудачи въ посольствѣ по недостатку продовольствія или по неимѣнію лошадей или *нужныхъ* для перевозки багажа вьючныхъ животныхъ, которыя могли погибнуть въ продолжительномъ путешествіи; *кромѣ того*, у него заготовлены были *деньги* и для покупки плѣнныхъ, такъ какъ многія *лица* въ Римской землѣ просили его выкупить своихъ родственниковъ. На это Аттила сказалъ: «Нѣтъ, скверное животное (онъ назвалъ такъ Вигилу), ты не уйдешь отъ суда, благодаря своимъ выдумкамъ, и не будетъ у тебя достаточнаго предлога для избѣжанія наказанія, такъ какъ у тебя денегъ больше, чѣмъ надо для твоихъ расходовъ, для покупки лошадей и вьючнаго скота и для выкупа плѣнныхъ, въ которомъ я *и* отказалъ, когда ты пріѣзжалъ ко мнѣ съ Максиминомъ». Сказавъ это, онъ приказалъ заколоть мечемъ сына Вигилы, тогда впервые сопутствовавшаго ему въ варварскую землю, если онъ не скажетъ раньше, кому и съ какой цѣлью везетъ онъ деньги. При видѣ юноши, ведомаго на смерть, Вигила залился слезами и съ воплями вскричалъ, что мечъ по истинѣ долженъ быть занесенъ на него, а не на юношу, ни въ чемъ не повиннаго. Нисколько не медля, онъ разсказалъ задуманное имъ съ Едекономъ, евнухомъ и императоромъ и *при этомъ* безпрестанно умолялъ, чтобы его убили, а сына отпустили. Аттила, узнавъ изъ сказаннаго Едекономъ, что Вигила ни въ чемъ не солгалъ, приказалъ заключить его въ оковы, пригрозивъ, что не освободитъ его прежде, чѣмъ онъ пошлетъ сына и принесетъ ему

Digitized by Google

Κωνσταντίνου. [Exc. de legat. p. 48—71 Par, 169—212 Niebuhr].

9. Ad quem [Attilam] in legationem remissus a Theodosio iuniore Priscus tali voce inter alia refert. ingentia siquidem flumina, id est Tysiam Tibisiamque et Driccam transeuntes, venimus in locum illum, ubi dudum Vidicula, Gothorum fortissimus, Sarmatum dolo occubuit. indeque non longe ad vicum in quo rex Attila morabatur accessimus: vicum, inquam, ad instar civitatis amplissimae, in quo lignea moenia ex tabulis nitentibus fabricata reperimus, quarum compago ita solidum mentiebatur ut vix ab intento posset iunctura tabularum comprehendi. videres triclinia ambitu prolixiore distenta porticusque in omni decore dispositas. area vero curtis ingenti ambitu cingebatur, ut amplitudo ipsa regiam aulam ostenderet. hae sedes erant Attilae regis barbariam totam tenentis: haec captis civitatibus habitacula praeponebat. [Iordanes De reb. Get. c. 34. Haec iungenda iis quae sunt fr. 8, p. 303, 14] [1]).

10. Qui [Attila] quamvis huius esset naturae ut semper magna confideret, addebat ei tamen confidentiam gladius Martis inventus, sacer apud Scytharum reges semper habitus. quem Priscus historicus tali refert occasione detectum. cum pastor, inquiens, quidam gregis unam buculam conspiceret claudicantem, nec causam tanti vulneris inveniret, sollicitus vestigia cruoris insequitur: tandemque venit ad gladium, quem depascens herbas bucula incaute calcaverat, effossumque protinus ad Attilam defert. quo ille munere gratulatus, ut erat magnanimus, arbitratur se totius mundi principem constitutum et per Martis gladium potestatem sibi concessam esse bellorum. [Idem ib. c. 35. Paucis haec indicata in fr. 8, p. 314, 16] [2]).

въ видѣ выкупа за себя еще 50 литръ золота. Итакъ *Вигила* остался въ оковахъ, а *сынъ его* возвратился въ Римскую *землю*. Затѣмъ Аттила послалъ Ореста и Іелу въ Константинополь.

9. Посланный къ нему [т. е. Аттилѣ] Ѳеодосіемъ младшимъ въ качествѣ посла Прискъ между прочимъ сообщаетъ слѣдующее. Переправившись чрезъ огромныя рѣки, именно Тисію, Тибисію и Дрикку, мы прибыли на то мѣсто, гдѣ нѣкогда Видикула, храбрѣйшій изъ Готовъ, палъ жертвою коварства Сарматовъ. Оттуда мы вскорѣ достигли деревни, въ которой пребывалъ царь Аттила: деревни, говорю я, похожей на весьма обширный городъ, въ которой мы нашли деревянныя стѣны, построенныя изъ полированныхъ досокъ, скрѣпленія которыхъ такъ искусно были заглажены, что даже при внимательномъ разсмотрѣніи едва можно было замѣтить соединеніе досокъ. Тамъ видны были просторныя царственныя залы и очень красиво расположенные портики. Площадь опоясывалась заборами на огромномъ протяженіи, такъ что само пространство указывало на царскій дворъ. Таково было мѣстопребываніе царя Аттилы, владѣвшаго всей варварской страной; это обиталище онъ предпочиталъ взятымъ городамъ.

10. Хотя Аттила обладалъ такимъ характеромъ, что всегда полагался на великія *удачи*, однако ему придавалъ еще болѣе самоувѣренности найденный мечъ Марса, всегда считавшійся священнымъ у скиѳскихъ царей. Историкъ Прискъ разсказываетъ, что онъ былъ найденъ по слѣдующему случаю. Нѣкій пастухъ, увидѣвъ одну изъ своихъ коровъ хромающею и не находя причины такой раны, въ безпокойствѣ пошелъ по кровавымъ слѣдамъ и наконецъ пришелъ къ мечу, на который неосторожно наступила пасшаяся на травѣ корова; выкопавъ *мечъ*, онъ тотчасъ принесъ его къ Аттилѣ. Обрадованный этимъ подаркомъ, онъ по свойственному ему высокомѣрію рѣшилъ, что онъ поставленъ владыкою всего міра и что чрезъ Марсовъ мечъ ему вручена власть во всѣхъ войнахъ.

1) Nobis p. 825 v. 36 sq. 2) Nobis p. 832 v. 1 sq.

Digitized by Google

14. Ὅτι οἱ ἀμφὶ τὸν Ἀνατόλιον καὶ Νόμον τὸν Ἴστρον περαιωθέντες ἄχρι τοῦ Δρέγκωνος λεγομένου ποταμοῦ ἐς τὴν Σκυθικὴν διέβησαν· αἰδοῖ γὰρ τῶν ἀνδρῶν ὁ Ἀττίλας, ὥστε μὴ τῷ τῆς ὁδοῦ ἐπιτρίβεσθαι διαστήματι, ἐν ἐκείνῳ τῷ χωρίῳ πρὸς αὐτοὺς ἐποιήσατο ἔντευξιν. καὶ πρῶτον μὲν ὑπερηφάνως διαλεχθεὶς ὑπήχθη τῷ πλήθει τῶν δώρων, καὶ λόγοις προσηνέσι μαλαχθεὶς φυλάττειν τὴν εἰρήνην ἐπὶ ταῖς αὐταῖς ἐπώμνυτο συνθήκαις, ἀναχωρεῖν δὲ καὶ τῆς τῷ Ἴστρῳ ὁριζομένης Ῥωμαίων γῆς καὶ τοῦ πράγματα ἔτι παρέχειν περὶ φυγάδων βασιλεῖ, εἰ μή γε Ῥωμαῖοι αὖθις ἑτέρους καταφεύγοντας παρ' αὐτοῦ δέξοιντο. ἠφίει δὲ καὶ Βιγίλαν, τὰς πεντήκοντα τοῦ χρυσοῦ λίτρας δεξάμενος· ταύτας γὰρ αὐτῷ ἐκεκομίκει ὁ παῖς σὺν τοῖς πρέσβεσιν ἐς τὴν Σκυθικὴν διαβάς· καὶ αἰχμαλώτους ἄνευ λύτρων ἀφῆκε πλείστους, Ἀνατολίῳ καὶ Νόμᾳ χαριζόμενος. δωρησάμενος δὲ καὶ ἵππους αὐτοῖς καὶ θηρίων δορά, αἷς οἱ βασίλειοι κοσμοῦνται Σκύθαι, ἀπέπεμπε, συμπέμψας καὶ τὸν Κωνστάντιον ὥστε αὐτῷ βασιλέα ἐς ἔργον ἀγαγεῖν τὴν ὑπόσχεσιν...

14. Анатолій и Номъ со спутниками [1]), переправившись чрезъ Истръ, проѣхали до рѣки Дренкона и вступили въ Скиѳію; ибо Аттила изъ уваженія къ нимъ встрѣтилъ ихъ въ этой мѣстности, чтобы не утомлять *ихъ* длинною дорогою. Сначала онъ говорилъ надменно, но *потомъ* прельстился множествомъ даровъ и, смягченный почтительными рѣчами, поклялся хранить миръ на прежнихъ условіяхъ, удалиться изъ ограничиваемой Истромъ Римской области и не безпокоить больше императора изъ-за бѣглецовъ, если только Римляне не будутъ снова принимать другихъ бѣглецовъ отъ него. Онъ отпустилъ и Вигилу, получивъ 50 литръ золота, которыя привезъ ему сынъ, прибывшій въ Скиѳію вмѣстѣ съ послами: кромѣ того онъ отпустилъ безъ выкупа множество плѣнниковъ, чтобы доставить удовольствіе Анатолію и Ному. Одаривъ ихъ конями и звѣриными мѣхами, которыми украшаются царскіе Скиѳы, онъ отпустилъ ихъ и вмѣстѣ съ ними послалъ Констанція, чтобы императоръ привелъ въ исполненіе данное ему обѣщаніе...

[23. De Attilae morte v. quae narrat Iordanes c. 49].

---

25. Ὅτι τῶν Ῥωμαίων ἐς Κόλχους ἐλθόντων καὶ συμβαλόντων πόλεμον πρὸς Λαζούς, ὁ μὲν Ῥωμαϊκὸς στρατὸς ἐς τὰ σφέτερα ἐπανέζευξεν, καὶ οἱ ἀμφὶ τὰ βασίλεια πρὸς τὴν ἑτέραν μάχην παρεσκευάζοντο, βουλευόμενοι πότερον τὴν αὐτὴν ἢ τὴν δι' Ἀρμενίας τῆς Περσῶν χώρας προσοίκου πορευθέντες ὁδὸν τὸν πόλεμον ἐπάξουσι, πρότερον πρεσβείᾳ τὸν μόναρχον τῶν Παρθυαίων πείσαντες· κατὰ γὰρ θάλατταν ἄπορον αὐτοῖς εἶναι ἐνομίζετο τὰς δυσχωρίας παραπλεῖν, ἀλιμένου τῆς Κόλχου τυγχανούσης. ὁ δὲ Γωβάζης ἐπρεσβεύετο μὲν καὶ αὐτὸς παρὰ τοὺς Παρθυαίους, ἐπρεσβεύετο δὲ καὶ παρὰ τὸν βασιλέα Ῥωμαίων. καὶ ὁ μὲν τῶν Πάρθων μόναρχος, ὡς πολέμου αὐτῷ συνισταμένου πρὸς Οὔννους τοὺς Κιδαρίτας καλουμένους, ἀπεσείσατο παρ' αὐτὸν τοὺς Λαζοὺς καταφεύγοντας. [Exc. de legat. p. 73—74 Par., 217 Niebuhr].

25. Римляне пришли въ Колхиду и завязали войну съ Лазами [2]); *затѣмъ* Римское войско возвратилось во-свояси и царедворцы стали готовиться къ новой войнѣ, обсуждая *вопросъ о томъ*, продолжать ли войну, двинувшись прежнимъ путемъ, или чрезъ Арменію, прилегающую къ Персидской землѣ, предварительно склонивъ *на свою сторону* чрезъ посольство Парѳянскаго монарха; ибо имъ казалось затруднительнымъ объѣхать моремъ неприступныя мѣста, такъ какъ въ Колхидѣ не было гаваней. Говазъ съ своей стороны тоже отправилъ посольство къ Парѳянамъ, но также и къ Римскому императору. Парѳянскій монархъ въ виду возникшей у него войны съ Уннами, по прозванію Кидаритами, отклонилъ *просьбу* обратившихся къ нему Лазовъ.

V. 36: ἄπορος αὐτοῖς πᾶν cod.: emend. Niebuhr.

1) Cf. de his fragm. 13. Pertinent haec ad a. 449. 2) A. 456.

Digitized by Google

26. Ὅτι Γωβάζης πρεσβεύεται παρὰ Ῥωμαίους. Ῥωμαῖοι δὲ ἀπεκρίναντο τοῖς παρὰ Γωβάζου σταλεῖσι πρέσβεσιν ὡς ἀφέξονται τοῦ πολέμου, εἴ γε ἢ αὐτὸς Γωβάζης ἀπόθοιτο τὴν ἀρχὴν ἢ τὸν παῖδα τῆς βασιλείας ἀφέλοιτο· οὐ γὰρ θέμις τῆς χώρας ἀμφοτέρους ἡγεμονεύειν παρὰ τὸν παλαιὸν θεσμόν. ὥστε δὲ θάτερον βασιλεύειν, Γωβάζην ἢ τὸν αὐτοῦ παῖδα, τῆς Κολχίδος, καὶ τῇδε λυθῆναι τὸν πόλεμον Εὐφήμιος ἐσηγήσατο, τὴν τοῦ μαγίστρου διέπων ἀρχήν. ὃς ἐπὶ συνέσει καὶ λόγων ἀρετῇ δόξαν ἔχων Μαρκιανοῦ τοῦ βασιλέως τὴν τῶν πραγμάτων ἔλαχεν ἐπιτροπήν, καὶ πλείστων τῶν εὖ βουλευθέντων ἐκείνῳ καθηγητὴς ἐγένετο· ὃς καὶ Πρίσκον τὸν συγγραφέα τῶν τῆς ἀρχῆς φροντίδων ἐδέξατο κοινωνόν. τῆς δὲ αἱρέσεως [τῆς] αὐτῷ δοθείσης, ὁ Γωβάζης εἵλετο τῆς βασιλείας παραχωρῆσαι τῷ παιδί, αὐτὸς τὰ σύμβολα ἀποθέμενος τῆς ἀρχῆς. καὶ παρὰ τὸν κρατοῦντα Ῥωμαίων τοὺς δεησομένους ἔπεμπεν, ὡς ἑνὸς Κόλχων ἡγεμονεύοντος οὐκέτι δι' αὐτὸν χαλεπαίνοντα ἐπὶ τὰ ὅπλα χωρεῖν. βασιλεὺς δὲ διαβαίνειν αὐτὸν ἐς τὴν Ῥωμαίων ἐκέλευε καὶ τῶν αὐτῷ δεδογμένων διδόναι λόγον. ὃς δὲ τὴν μὲν ἄφιξιν οὐκ ἠρνήσατο, Διονύσιον δὲ τὸν ἐς τὴν Κολχίδα πάλαι διαπεμφθέντα τῆς τε αὐτοῦ Γωβάζου διαφορᾶς ἕνεκα πίστιν δώσοντα ᾔτησεν, ὡς οὐδὲν ὑποσταίη ἀνήκεστον. διὸ δὴ ἐς τὴν Κολχίδα Διονύσιος ἐστέλλετο, καὶ περὶ τῶν διαφόρων συνέβησαν. [Exc. de legat. p. 41 Par., 155—156 Niebuhr.]

26. Говазъ отправляетъ посольство къ Римлянамъ. Римляне отвѣтили присланнымъ отъ Говаза посламъ, что они воздержатся отъ войны, если или самъ Говазъ сложитъ власть, или отниметъ царство у сына, такъ какъ нельзя *имъ* обоимъ владычествовать надъ страною вопреки старинному уставу. Остаться царемъ въ Колхидѣ одному изъ двухъ, *т. е.* Говазу или его сыну, и этимъ *путемъ* прекратить войну предложилъ Евфимій, имѣвшій достоинство магистра; славный своимъ умомъ и краснорѣчіемъ, онъ получилъ отъ императора Маркіана завѣдываніе *государственными* дѣлами и былъ его руководителемъ въ большинствѣ хорошо обдуманныхъ *дѣлъ*. Онъ пригласилъ и писателя Приска къ участію въ правительственныхъ заботахъ. Изъ предоставленныхъ ему на выборъ *рѣшеній* Говазъ предпочелъ уступку царства своему сыну, а самъ сложилъ знаки *своей* власти и послалъ къ Римскому владыкѣ *послов*ъ съ просьбою, чтобы при единоличномъ владычествѣ надъ Колхами онъ уже не поднималъ оружія ради гнѣва на него. Императоръ повелѣлъ ему перейдти на Римскую *землю* и отдать отчетъ въ своихъ намѣреніяхъ. Говазъ не отказался прибыть, но потребовалъ, чтобы Діонисій, раньше присланный въ Колхиду вслѣдствіе раздоровъ съ нимъ самимъ, поручился за то, что съ нимъ не сдѣлаютъ ничего дурнаго. Поэтому Діонисій посланъ былъ въ Колхиду и они вошли въ соглашеніе относительно разногласій.

---

28. Ὅτι τοῦ Βαλάμερος τοῦ Σκύθου παρασπονδήσαντος καὶ πολλὰς πόλεις δῃωσαμένου καὶ χώρας Ῥωμαϊκάς, ἔπεμπον παρ' αὐτὸν οἱ Ῥωμαῖοι πρέσβεις, οἳ αὐτῷ τοῦ νεωτερισμοῦ κατεμέμφοντο, καὶ ὥστε μὴ αὖθις τὴν χώραν καταδραμεῖν τριακοσίας λίτρας φέρειν αὐτῷ ἑκάστου ἔτους ἔταξαν· σπάνει γὰρ τῶν ἀναγκαίων ἔφραζε πρὸς πόλεμον τὸ οἰκεῖον διαναστῆναι πλῆθος. [Exc. de legat. p. 74 Par., 217—218 Nieb.].

28. Когда Скиѳъ Валамеръ нарушилъ миръ и опустошилъ многіе римскіе города и земли, Римляне отправили къ нему пословъ, которые упрекали его за возстаніе и условились вносить ему ежегодно по 300 литръ съ тѣмъ, чтобы онъ не совершалъ больше набѣговъ; ибо онъ говорилъ, что его полчища подняли войну вслѣдствіе недостатка въ продовольствіи [1]).

---

30. ...Ἐπρεσβεύσαντο δὲ κατ' ἐκεῖνον τὸν χρόνον κατὰ τοὺς ἑῴους Ῥωμαίους Σαρά-

30... Около этого времени [2]) къ восточнымъ Римлянамъ прислали пословъ Сара-

V. 22: Κόλχων Niebuhr: Κόλχου cod.

1) «V. Tillemont VI, p. 373, qui rem narratam ad annum 461 referendam esse censet probabiliter». Müller. 2) A. 463.

Digitized by Google

γουροι καὶ Οὖρωγοι καὶ Ὀνόγουροι, ἔθνη ἐξανεστάντα τῶν οἰκείων ἠθῶν, Σαβίρων ἐς μάχην σφίσιν ἐληλυθότων, οὓς ἐξήλασαν Ἄβαροι, μετανάσται γενόμενοι ὑπὸ ἐθνῶν οἰκούντων μὲν τὴν παρωκεανῖτιν ἀκτήν, [τὴν δὲ χώραν ἀπολιπόντων διὰ τὸ ἐξ ἀναχύσεως τοῦ ὠκεανοῦ ὁμιχλῶδες γιγνόμενον καὶ γρυπῶν δὲ πλῆθος ἀναφανέν· ὅπερ ἦν λόγος μὴ πρότερον παύσεσθαι πρὶν ἢ βορὰν ποιήσασθαι τὸ τῶν ἀνθρώπων γένος· διὸ δὴ ὑπὸ τῶν δὲ ἐλαυνομένοι τῶν δεινῶν τοῖς πλησιοχώροις ἐνέβαλον. καὶ τῶν ἐπιόντων δυνατωτέρων ὄντων οἱ τὴν ἔφοδον μὴ ὑφιστάμενοι μετανίσταντο·] ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες κατὰ ζήτησιν γῆς πρὸς τοῖς Ἀκατίροις Οὔννοις ἐγένοντο, καὶ μάχας πρὸς ἐκείνους πολλὰς συστησάμενοι τό τε φῦλον κατηγωνίσαντο καὶ πρὸς Ῥωμαίους ἀφίκοντο, τυχεῖν τῆς αὐτῶν βουλόμενοι ἐπιτηδειότητος. βασιλεὺς οὖν καὶ οἱ ἀμφ' αὐτὸν φιλοφρονησάμενοι καὶ δῶρα δόντες αὐτοὺς ἀπέπεμψαν.

[Quae hic leguntur de Saraguris etc., eorum plurima habet etiam Suidas v. Ἄβαρις. Hinc Classenus supplevit verba uncis distincta τὴν δὲ χώραν usque ad μετανίσταντο. Nonnulla huius loci repetit Suidas v. Ἀκατίροι et Σαράγουροι... Müller].

гуры, Урогн и Оногуры, племена, выселившіяся изъ родной земли вслѣдствіе враждебнаго нашествія Савировъ, которыхъ выгнали Авары, *въ свою очередь* изгнанные народами, жившими на побережьѣ океана [и покинувшими свою страну вслѣдствіе тумановъ, поднимавшихся отъ разлитія океана, и появленія множества грифовъ: было сказаніе, что они не удалятся прежде, чѣмъ пожрутъ родъ человѣческій; поэтому-то, гонимые этими бѣдствіями, они напали на сосѣдей, и такъ какъ наступающіе были сильнѣе, то *послѣдніе*, не выдерживая нашествія, стали выселяться]. Такъ и Сарагуры, изгнанные *съ родины*, въ поискахъ земли приблизившись къ Уннамъ Акатирамъ и сразившись съ ними во многихъ битвахъ, покорили это племя и прибыли къ Римлянамъ, желая пріобрѣсти ихъ благосклонность. Императоръ и его приближенные, обласкавъ ихъ и давъ подарки, отправили *ихъ назадъ*.

---

34. Ὅτι μετὰ τὸν ἐμπρησμὸν τῆς πόλεως τὸν ἐπὶ Λέοντος ἦκεν ὁ Γωβάζης σὺν Διονυσίῳ ἐς τὴν Κωνσταντίνου, Περσικὴν ἔχων στολὴν καὶ τῷ Μηδικῷ δορυφορούμενος τρόπῳ. ὃν οἱ ἀμφὶ τὰ βασίλεια δεξάμενοι πρότερον μὲν τοῦ νεωτερισμοῦ κατεμέμψαντο, ἔπειτα δὲ φιλοφρονησάμενοι ἀπέπεμψαν· εἶλε γὰρ αὐτοὺς τῇ τε ὀψπείᾳ τῶν λόγων καὶ τὰ τῶν Χριστιανῶν ἐπιφερόμενος σύμβολα. [Exc. de legat. p. 43—44 Par., 160 Niebuhr].

34. Послѣ пожара города при *императорѣ* Львѣ Говазъ прибылъ съ Діонисіемъ въ Константинополь, одѣтый въ персидское платье и окруженный тѣлохранителями по мидійскому обычаю. Царедворцы, принявъ его, сначала сдѣлали ему выговоръ за возстаніе, но потомъ отпустили ласково: онъ подкупилъ ихъ льстивыми рѣчами и *тѣмъ*, *что* носилъ знаки *своею* христіанства [1]).

---

35. Ὅτι Σκίροι καὶ Γότθοι ἐς πόλεμον συνελθόντες καὶ διαχωρισθέντες ἀμφότεροι πρὸς συμμάχων μετάκλησιν παρεσκευάζοντο· ἐν οἷς καὶ παρὰ τοὺς ἑῴους ἦλθον.

35. Скиры и Готѳы, вступивъ въ войну и раздѣлившись, съ обѣихъ сторонъ готовились къ приглашенію союзниковъ [2]); въ томъ числѣ пришли и къ восточнымъ *Рим-*

V. 8: γρυπῶν] γυπων Hemst., v. Steph. Thes. De fragmento uncis incluso v. quae adnotavit Destunis l. c. p. 87, n. 111.

1) «Fragmento 26 legimus Gobazem ad Leonem venire iussum, antequam obsequeretur, postulasse ut Dionysius ad se veniret, qui fidem praestaret nihil iniqui Gobazem passurum esse. Haec assignavimus anno 456, suadente tum Marciani regis mentione, tum serie excerptorum. Contra nostra, quum urbis incendio (die 2 mens. Sept. a. 465) posteriora sint, ad finem anni 465 vel potius ad a. 466 pertinere debent, et cum iis quae fr. 26 narrantur, componi non possunt, ut recte statuit Tillemont. VI, p. 389 et 633». Müller. 2) C. A. 466.

Digitized by Google

καὶ Ἄσπαρ μὲν ἡγεῖτο μηδετέροις συμμαχεῖν, ὁ δὲ αὐτοκράτωρ Λέων ἐβούλετο Σκίροις ἐπικουρεῖν. καὶ δὴ γράμματα πρὸς τὸν ἐν Ἰλλυριοῖς στρατηγὸν ἔπεμπεν, ἐντελλόμενος σφίσι κατὰ τῶν Γότθων βοήθειαν τὴν προσήκουσαν πέμπειν. [Ibid. p. 44 Par., 160 Niebuhr].

лянамъ. Аспаръ полагалъ, *что* не *слѣдуетъ* помогать ни тѣмъ, ни другимъ, а императоръ Левъ хотѣлъ подать помощь Скирамъ. Онъ послалъ Иллирійскому воеводѣ предписаніе послать имъ надлежащую помощь противъ Готѳовъ.

---

36. Ὅτι ἦκε κατὰ τοῦτον τὸν χρόνον παρὰ τῶν Ἀττίλα παίδων ὡς τὸν βασιλέα Λέοντα πρεσβεία, τὰς αἰτίας διαλύουσα τῆς προϋπαρξάσης διαφορᾶς, καὶ ὡς χρὴ αὐτοὺς ἐπὶ εἰρήνῃ σπένδεσθαι, καὶ κατὰ τὸ παλαιὸν ἔθος παρὰ τὸν Ἴστρον ἐς ταὐτὸν ἰόντας Ῥωμαίοις προτιθέναι ἀγορὰν καὶ ἀντιλαμβάνειν ὧν ἂν δέωνται τύχοιεν. καὶ ἡ μὲν σφῶν αὐτῶν πρεσβεία ἐν τοῖσδε οὐσα ἄπρακτος ἐπανῆει· οὐ γὰρ ἐδόκει τῷ βασιλεύοντι Οὔννους τῶν Ῥωμαϊκῶν συμβολαίων μετέχειν πολλὰ τὴν αὐτοῦ κακώσαντας γῆν· οἱ δὲ τοῦ Ἀττίλα παῖδες τὴν ἐπὶ τῇ πρεσβείᾳ ἀπόκρισιν δεξάμενοι πρὸς σφᾶς διεφέροντο· ὁ μὲν γὰρ Δεγγιζίχ, ἀπράκτως ἐπανελθόντων τῶν πρέσβεων, πόλεμον Ῥωμαίοις ἐπάγειν ἐβούλετο, ὁ δὲ Ἱρνὰχ πρὸς ταύτην ἀπηγόρευε τὴν παρασκευήν, ὡς τῶν κατὰ χώραν ἀπαγόντων αὐτὸν πολέμων. [Exc. de legat. p. 44 Par., 160—161 Niebuhr].

1) Epistulae IV et VI integrae a nobis repetuntur, e reliquis ea tantum excerpta sunt, quae ad rem pertinent.

Digitized by Google

τοῖς εὖ πράττουσι καὶ ζητοῦσιν ὧν εὔλογον αὐτοὺς τυχεῖν. μῖσος δὲ καὶ φθόνον καὶ πᾶν δύσκολον πάθος ὡς πολέμια ἐκδιώκοντες παντὶ σθένει διατελοῦσιν.

людей, но радуются чужому благополучію и стремятся къ тому, чего имъ возможно достигнуть; а ненависть, зависть и всякія пагубныя страсти они постоянно всѣми силами изгоняютъ, какъ враговъ.

ε'. Ἄννωνι.

Ἐμοὶ μὲν περίβλημα χλαῖνα σκυθική, ὑπόδημα δέρμα ποδῶν, κοίτη δὲ πᾶσα γῆ, δεῖπνον καὶ ἄριστον γάλα καὶ τυρὸς καὶ κρέας ὀπτὸν, πιεῖν ὕδωρ...

5. Къ Аннону.

Мнѣ одѣяніемъ служитъ скиѳскій плащъ, обувью — кожа *моихъ* ногъ, ложемъ—вся земля, обѣдомъ и завтракомъ—молоко, сыръ и жареное мясо, питьемъ—вода...

ς'. Υἱῷ βασιλέως.

Σοὶ μὲν αὐλοὶ καὶ βαλάντια, ἐμοὶ δὲ βέλη καὶ τόξα. διὸ εἰκότως σὺ μὲν δοῦλος, ἐγὼ δὲ ἐλεύθερος· καὶ σοὶ μὲν πολλοὶ πολέμιοι, ἐμοὶ δὲ οὐδείς. εἰ δὲ θέλεις ῥίψας τὸ ἀργύριον φέρειν τόξα καὶ φαρέτραν καὶ πολιτεύεσθαι μετὰ Σκυθῶν, ὑπάρξει καὶ σοὶ τὰ αὐτά.

6. Къ царскому сыну.

У тебя флейты и кошельки, а у меня—стрѣлы и лукъ. Поэтому естественно, что ты—рабъ, а я—свободенъ, и у тебя много враговъ, а у меня — ни одного. Если же ты хочешь, отбросивъ серебро, носить лукъ и колчанъ и жить со Скиѳами, то и у тебя будетъ то же самое.

θ'. Κροίσῳ.

....ἄκουσον δὲ ἐμῆς ὄψεως ἱστορίαν. μέγα ῥεῦμα διεξέρχεται τὴν Σκυθῶν χώραν, τοῦτο ὃ δὴ Ἴστρον ὀνομάζουσιν. ἐν τούτῳ φορτηγοὶ ναῦν ἔρματι περιβαλόντες ἐπειδὴ οὐδὲν προσαρκέσαι ἐδύναντο, ἀπῆσαν ὀλοφυρόμενοι. λῃσταὶ οὖν τὸ ἐκείνων κακὸν κατανοήσαντες κενῇ προσπλέοντες νηὶ κἄπ' ἀφειδῶς ἐπετίθεντο τῷ φόρτῳ, καὶ τὰ ἀγώγιμα τῆς νεὼς μετέφερον, καὶ τὸ πάθος ἔλαθον μετενεγκόντες. ἡ μὲν γὰρ ἅτε κενωθεῖσα ἀνεκουφίσθη καὶ πλόιμος ἦν, ἡ δὲ τὸν ἐκείνης φόρτον ὑποδῦσα ταχέως εἰς βυθὸν ᾔει χρημάτων ἀλλοτρίων ἁρπαγῇ. τοῦτο δύναται φέρειν τὸν ἔχοντα αἰεί. Σκύθαι δὲ πάντων ἐκτὸς ἔστησαν τούτων. γῆν ἔχομεν πᾶσαν πάντες. ὅσα δίδωσιν ἐκοῦσα λαμβάνομεν, ὅσα κρύπτει χαίρειν ἐῶμεν. βοσκήματα ἀπὸ θηρίων σώζοντες γάλα καὶ τυρὸν ἀντιλαμβάνομεν. ὅπλα ἔχομεν οὐκ ἐπ' ἄλλους, ἀλλ' ὑπὲρ ἑαυτῶν ἐὰν δέῃ. ἐδέησε δὲ οὐδέπω· οἱ αὐτοὶ γὰρ ἀγωνισταὶ καὶ ἆθλα τοῖς ἐπελευσομένοις προκείμεθα. τοῦτο δὲ οὐδὲ πολλοὶ τὸ ἆθλον ἀσπάζονται...

9. Крезу.

...Выслушай разсказъ о томъ, чему я самъ былъ очевидцемъ. Большая рѣка протекаетъ по скиѳской землѣ, именно та, которую называютъ Истромъ. На ней *однажды* купцы посадили свою барку на мель и, не успѣвши ничѣмъ помочь *горю*, съ плачемъ удалились. Разбойники, замѣтивъ ихъ несчастіе, подъѣхали на пустой лодкѣ, немедленно набросились на грузъ, перенесли съ барки все движимое и незамѣтно для себя перенесли и несчастіе: барка, освобожденная *отъ груза*, поднялась и получила способность плавать, а *разбойничья лодка*, поднявшая ея грузъ, скоро пошла ко дну вслѣдствіе похищенія чужого имущества. Это всегда можетъ случиться съ богатымъ. Скиѳы же стали внѣ всего этого: мы всѣ владѣемъ всею землею; то, что она даетъ добровольно, мы беремъ, а что скрываетъ, оставляемъ; защищая стада отъ дикихъ звѣрей, мы беремъ взамѣнъ молоко и сыръ; оружіе имѣемъ мы не противъ другихъ, а для собственной защиты въ случаѣ надобности; но доселѣ *это* не понадобилось: ибо мы являемся для наступающихъ и борцами и призами *за побѣду*[1]); но такой призъ немногіе любятъ...

---

1) Т. е. съ насъ нечего взять побѣдителямъ кромѣ насъ самихъ.

Digitized by Google

ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ ΕΠΙΣΤΟΛΑΙ.

АПОЛЛОНІЯ ТІАНСКАГО ПИСЬМА.

[«Erhalten haben sich unter seinem [sc. Apollonios aus Tyana] Namen 177 meist kurze, aber an Kernsprüchen reiche Briefe.... Aber die Echtheit dieser Briefe ist sehr fraglich, zumal die von Stobaios aus Briefen des Apollonios angeführten Stellen sich in den uns erhaltenen nicht finden, so dass jedenfalls Stobaios noch andere Briefe unseres Philosophen gehabt haben müsste». Christ, Griech. Litt.[3] p. 699.—Текстъ: Epistolographi Graeci, rec. Rud. Hercher, pp. 110—130.

ξα'. Λεσβώνακτι.

Ἀνάχαρσις ὁ Σκύθης ἦν σοφός, εἰ δὲ Σκύθης, ὅτι καὶ Σκύθης.

61. Лесвонакту.

Скиѳъ Анахарсидъ былъ мудръ; если же *онъ былъ* Скиѳъ, *то былъ мудръ*, потому что *былъ* Скиѳъ.

ΔΙΟΓΕΝΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

ПИСЬМА ДІОГЕНА.

[«Ob Sotion mit Recht die zu seiner Zeit unter dem Namen des Kynikers *Diogenes* vorhandenen Briefe für ächt erklärte, oder ob sie erst aus dessen Schule stammten, können wir nicht mehr beurtheilen; die auf uns gekommenen 29 sind ohne Zweifel erst eine späte Fälschung». Susemihl, Gesch. d. Alex. Litt. II, p. 600.—Текстъ: Epistolographi Graeci, rec. Rud. Hercher, pp. 235—258].

α'. Σινωπεῦσιν.

Ὑμεῖς μὲν ἐμοῦ φυγὴν κατεψηφίσασθε, ἐγὼ δὲ ὑμῶν μονήν. οἰκήσετε οὖν διὰ τοῦτο ὑμεῖς μὲν Σινώπην, ἐγὼ δὲ Ἀθήνας, τοῦτ' ἔστιν ὑμεῖς μὲν μετὰ τῶν ἐμπόρων, ἐγὼ δὲ μετὰ Σόλωνος καὶ τῶν τὴν Ἑλλάδα ἠλευθερωκότων ἀπὸ τῶν Μηδικῶν, καὶ ὑμεῖς μὲν Ἡνιόχοις καὶ Ἀχαιοῖς χρώμενοι, ἀνθρώποις ἐκ τοῦ ἐχθροῦ γένους Πανέλλησιν, ἐγὼ δὲ Δελφοῖς καὶ Ἠλείοις, μεθ' ὧν καὶ θεοὶ πολιτεύονται...

1. Къ Синопейцамъ.

Вы меня приговорили къ изгнанію, а я васъ—къ пребыванію *на мѣстѣ*. Вслѣдствіе этого вы будете жить въ Синопѣ, а я—въ Аѳинахъ, то есть, вы съ торгашами, а я—съ Солономъ и освободителями Эллады отъ *ига* Мидянъ, и вы будете имѣть общеніе съ Иніохами и Ахейцами, людьми изъ враждебнаго Панеллинамъ племени, а я—съ Дельфійцами и Элейцами, въ обществѣ которыхъ живутъ и боги...

ε'. Περδίκκᾳ.

...εἰ δ' ἔτι σοι τὰ πρὸς ἀνθρώπους ἔργα λείπεται καὶ τούτου τοῦ πολέμου σχεδὸν αἰσθάνῃ, ἔα μὲν ἡμᾶς Ἀθήνησι καθέζεσθαι, μεταπέμπου δὲ τοὺς Ἀλεξάνδρου στρατιώτας, οἷς κἀκεῖνος ἐπικούροις χρώμενος Ἰλλυριοὺς καὶ Σκύθας ὑπέταξεν.

5. Къ Пердиккѣ.

...Если же у тебя еще остаются дѣла съ людьми и ты почти чувствуешь эту войну, то оставь насъ сидѣть въ Аѳинахъ и пригласи воиновъ Александра, съ помощью которыхъ онъ подчинилъ себѣ Иллирійцевъ и Скиѳовъ.

Digitized by Google

[ΕΡΑΤΟΣΘΕΝΗΣ].

[ЕРАТОСѲЕНЪ].

[См. выше стр. 411. О подложности соч. Καταστερισμοί см. *Christ*, Gesch. d. Griech. Litt.[3] стр. 597 и 778.—Текстъ: Mythographi Graeci. Vol. III, fasc. I Pseudo-Eratosthenis Catasterismi, rec. Al. Olivieri. Lips. ap. Teubn. 1897].

ΚΑΤΑΣΤΕΡΙΣΜΟΙ.

ПРЕВРАЩЕНІЯ ВЪ ЗВѢЗДЫ.

19. Κριοῦ. Οὗτος ὁ Φρίξον διακομίσας καὶ Ἕλλην· ἄφθιτος δὲ ὢν ἐδόθη αὐτοῖς ὑπὸ Νεφέλης τῆς μητρός· εἶχε δὲ χρυσῆν δοράν, ὡς Ἡσίοδος καὶ Φερεκύδης εἰρήκασιν. διακομίζων δ' αὐτοὺς κατὰ τὸ στενώτατον τοῦ πελάγους, τοῦ ἀπ' ἐκείνης κληθέντος Ἑλλησπόντου, ἔρριψεν αὐτήν... τὸν δὲ Φρίξον εἰς τὸν Εὔξεινον πόντον σωθέντα πρὸς Αἰήτην διεκόμισεν· ᾧ καὶ ἐκδὺς ἔδωκε τὴν χρυσῆν δοράν, ὅπως μνημόσυνον ἔχῃ· αὐτὸς δὲ εἰς τὰ ἄστρα ἀπῆλθεν· ὅθεν ἀμαυρότερον φαίνεται...

Объ овнѣ. Это тотъ, который перевезъ Фрикса и Геллу; онъ былъ безсмертенъ и данъ имъ матерью *ихъ* Нефелой. По словамъ Исіода и Ферекида, онъ имѣлъ золотую шкуру. Перевозя ихъ по самому узкому мѣсту моря, названнаго по имени Геллы Геллеспонтомъ, онъ сбросилъ ее,... а Фрикса, невредимо достигшаго Евксинскаго Понта, перевезъ къ Эету, которому и отдалъ на память снятую *съ себя* золотую шкуру, а самъ перешелъ въ число созвѣздій, почему и свѣтитъ довольно тускло...

[ΙΠΠΟΛΥΤΟΥ]

[ИПОЛИТА]

ΠΕΡΙ ΤΩΝ ΙΒ'. ΑΠΟΣΤΟΛΩΝ,

О ДВѢНАДЦАТИ АПОСТОЛАХЪ,

ποῦ ἕκαστος αὐτῶν ἐκήρυξεν καὶ ποῦ ἐτελειώθη.

гдѣ каждый изъ нихъ проповѣдывалъ и гдѣ скончался.

[Migne, Patrol. cursus compl., series Graeca v. X (1857), p. 951. Cf. supra p. 649 et Bardenhewer, Patrologie, p. 127 sq.].

Ἀνδρέας, Σκύθαις, Θρᾳξὶ κηρύξας, ἐσταυρώθη ἐν Πάτραις τῆς Ἀχαΐας ἐπὶ ἐλαίας ὀρθιος καὶ θάπτεται ἐκεῖ.

Андрей, проповѣдывавшій Скиѳамъ и Ѳракійцамъ, былъ распятъ въ Патрахъ Ахейскихъ на масличномъ деревѣ прямо и тамъ же погребенъ.

[ΚΑΛΛΙΣΘΕΝΗΣ].

[КАЛЛИСѲЕНЪ].

[«Aus älterer Zeit (als Chariton) stammt das ganz in sagenhafte Erzählungen aufgelöste Leben Alexanders von Pseudo-Kallisthenes, dessen Kern in der Ptolemäerzeit entstanden ist, wie schon die Hervorhebung des Ptolemaios wahrscheinlich macht, das aber später unter den orientalischen Kaisern des 3. Jahrhunderts vielfach erweitert und fortgesponnen ward. An der Hand der Widersprüche und durch Beobachtung der abgerissenen Fäden der Erzählung ist es zum Theil noch möglich, den ursprünglichen Bestandteil des Romans von seinen späteren Zusätzen zu sondern; namentlich waren es die in der Kaiserzeit so beliebten erdichteter Briefe, welche zur

Digitized by Google

Ausschmückung und Erweiterung der ursprünglich einfacheren Erzählung dienten. Die romanhaft ausgeschmückte Geschichte des grossen Königs gefiel so sehr, dass dieselbe ins Lateinische, Syrische, Armenische, Slavische übertragen wurde». *Christ*, Gesch. d. Griech. Litt.[3] p. 819.—«Die meisten bearbeitungen der Alexandersage, deren es bis zum ende des mittelalters eine unzählige menge gab, weisen auf die Alexandrinische aufzeichnung, welche mit dem namen des Pseudo-Callisthenes bezeichnet zu werden pflegt, als auf ihre hauptsächlichste grundlage zurück. der griechische text des Pseudo-Callisthenes ist in einer leidlichen anzahl von handschriften erhalten (zwölf sind als sicher vorhanden nachweisbar), die aber nicht, wie sonst gewöhnlich handschriften desselben werkes, denselben text mit einzelnen varianten bieten, sondern ähnlich den hss. des Nibelungliedes verschiedene recensionen darstellen und wesentlich von einander abweichen. erst drei (Pariser) hss. sind genauer bekannt und zwar durch die (bis jetzt einzige) ausgabe von Karl Müller: «Pseudo-Callisthenes primum edidit Carolus Muller. accedit itinerarium Alexandri. Paris. 1846» (als anhang zu Dübners ausgabe des Arrian. Paris Firmin Didot). Diese drei hss. (ABC) geben uns im allgemeinen ein bild der drei verschiedenen recensionen. A steht der ursprünglichen Alexandrinischen fassung am nächsten, B bietet «eine etwas jüngere griechische fassung, welche aus jener ältern grossenteils durch eine mit bewuster absicht ausgeführte hervorgieng», und C ist eine erweiterung und veranstaltung von B [1]). genaueres darüber in Müllers ausgabe s. VIII—X und XV ff. und besonders in «Pseudo-Callisthenes. Forschungen zur kritik und geschichte der ältesten aufzeichnung der Alexandersage von Julius Zacher» (Halle 1867) s. 7—14». H. Meusel, Pseudo-Callisthenes nach der Leidener Handschrift herausgegeben von—(V Suppl.-Bd. der Jahrbücher für cl. Phil., Leipz. 1871), s. 703. — De fundamento editionis suae ita dixit Müllerus praef. p. VI: «Hoc igitur [scil. cod. B] fundamento nostrae editionis constituto ita egimus, ut primum narrationis diversitatem e reliquis libris enotaremus, eamque, si paucis continebatur, in annotatione exscriberemus, sin multa erat, in textum reciperemus, uncis a reliquo historiae corpore seclusam. Deinde ubi narratio in omnibus libris eodem modo procedebat, lectionis varietatem praecipuam consignavimus.. Deinde quae in codice 1685 corrupta vel manca leguntur, reliquorum librorum ope corrigere et resarcire tentavimus...Versionis loco subjecta sunt latina Iulii Valerii» etc.—Nos editione Meuseliana pro fundamento posita ceterorum codd. scripturae varietatem qua par est diligentia enotabimus].

ΒΙΟΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΜΑΚΕΔΟΝΟΣ ΚΑΙ ΠΡΑΞΕΙΣ.

ЖИЗНЬ И ДѢЯНІЯ АЛЕКСАНДРА МАКЕДОНСКАГО.

Cap. II inter populos qui Nectanabo imminere nuntiantur in cod. L. enumerantur Σκύθες, ἴβηροι, σπόροι, χαλδαῖοι, ἀγριοφάγοι; in cod. A: Σίδοι (l. Ἰνδοί v. Σίνδοι), Βούσποροι, Ἀγριοφάγοι κτλ.; in cod. B: Ἴβηρες, Βόσποροι, Βασταρνοί, Ἀζανοί, Χάλυβες. Valerius in latina versione cum alios nominat, tum *Scythas*, *Alanos*, *Hiberos*, *Agriophagos*.

ΒΙΒΛΙΟΝ Α΄.

КНИГА 1-Я.

Cap. 23. Alexandri expeditio contra Scythas e cod. *C*: ...πόλεμον οἱ Σκύθαι ὁπλίζουσιν κατὰ Μακεδονίαν. Καὶ Φίλιππος ἀκούσας τὸν στρατὸν ἐπισκέπτεται· καὶ γνοὺς μὴ αὐταρκῆ ἔχειν στρατὸν πρὸς ἀντιπαράταξιν τούτων (πολὺ γὰρ τὸ τῶν Σκυθῶν πλῆθος ἦν, ὡσεὶ χιλιάδες τετρακόσιαι), ἐν ἀμηχανίᾳ [οὖν] ὑπῆρχε Φίλιππος· καὶ προσκαλεσάμενος πάντας τοὺς μεγιστάνους αὐτοῦ καὶ φίλους, διηπορεῖτο περὶ τοῦ πολέμου, ὡς ἂν τί διαπράξεται. Καὶ φησὶν Ἀριστοτέλης· «Ὦ δέσποτα Φίλιππε, δὸς τὸν πόλεμον Ἀλεξάνδρῳ, καὶ ἡ τύχη διαπράξοιτο». Καὶ παρευθὺς προσκαλεῖται

Гл. 23. Походъ Александра противъ Скиѳовъ по рук. *C*: ...Скиѳы поднимаютъ войну противъ Македоніи. Филиппъ, услышавъ *объ этомъ*, произвелъ смотръ *своему* войску и, убѣдившись, что у него недостаточно войска для выступленія противъ нихъ (ибо полчища Скиѳовъ были велики, около 400,000), находился въ затрудненіи. Призвавъ всѣхъ своихъ вельможъ и друзей, онъ изложилъ имъ свое затрудненіе насчетъ войны *и спрашивалъ*, что ему дѣлать. И говоритъ Аристотель: «Государь Филиппъ, предоставь войну Александру и судьба поможетъ *ему*». Филиппъ

1) *A* est cod. Paris. 1711 saec. XI, *B* — cod. Par. 1675 anno 1469 p. Chr. scriptus, *C* — cod. Par. supplementi n° 113, scriptus a. 1567 ab Eustathio hierodiacono. Codicum descriptionem v. ap. Müllerum p. VIII.—*L* littera notatur cod. Leidensis Vulcanii n° 83 saec. XV, ad cuius fidem Pseudo-Callisthenem edidit Meusel. Qui codice accurate descripto haec dicit p. 704: «Im allgemeinen stimmt der text der hss. zu der recension B', ist aber besser, als text der hs. B (cod. Par. 1685)». etc.

Digitized by Google

Digitized by Google

τῶν στρατευμάτων αὐτοῦ. Ὡς δὲ ἐν τῷ τόπῳ ἐγένοντο οἱ Σκύθαι καὶ τῷ φωλεύματι εἰσβάντες, σαλπίζει ὄπισθεν αὐτῶν Ἀλέξανδρος, καὶ βοῶσι Μακεδόνες, καὶ Σκύθαι ἀλλήλους κατωθοῦσι, καὶ τὸ ἔνεδρον ἐκ τῶν ἔμπροσθεν ὑπεξέρχεται καὶ ἄνωθεν εἰσβάλλουσι, καὶ ἵσταντο οἱ Σκύθαι μηδὲν ἄλλο εἰ μὴ τὸν θάνατον ἐκδεχόμενοι· φωνὰς δὲ ἱκετηρίας προσέφερον, καὶ πάντες ἀδεῶς ἐσφάζοντο ὑπὸ τῶν Μακεδόνων. Ἐπικάμπτεται τούτοις Ἀλέξανδρος καὶ παρευθὺς ἀπέχεσθαι τοῦ πολέμου προσέταξε. πάντας δὲ εἶπε δεθῆναι καὶ ἄγεσθαι ἐν τῷ φουσάτῳ αὐτοῦ, ὡς ἂν καὶ περὶ αὐτῶν σκέψηται. Καὶ δὴ ἀπελθόντες ἐν τῷ κελευσθέντι τόπῳ, Ἀλέξανδρος τοὺς προύχοντας αὐτῶν παριστάναι ἐκέλευσε. Παρίσταντο δὲ τρέμοντες, καί φησι πρὸς αὐτοὺς Ἀλέξανδρος· «Ἴδατε ὡς ἡ πρόνοια παρέδωκεν ὑμᾶς εἰς χεῖρας τῶν Μακεδόνων, καὶ οὐκ ἠδυνήθητε ἀντιστῆναι τὰ ἴχνη τῶν ποδῶν ἡμῶν. Ἐστέ μοι δοῦλοι ἢ οὔ»; Οἱ δὲ μετὰ φόβου εἶπον· «Δοῦλοί σου ἐσμέν, δέσποτα, καὶ δουλεύσομέν σοι εἰς τὸν αἰῶνα κατὰ τό σοι βουλητόν». Καὶ πρηνεῖς πεσόντες εἰς γῆν προσεκύνησαν αὐτῷ. Ἀλέξανδρος δὲ ὡς ἂν εἴη φιλοφρονούμενος αὐτοῖς, ἐκέλευσε τῶν δεσμῶν ἀφεθῆναι καὶ σὺν αὐτῷ εἰς τὴν πόλιν Φιλίππου εἰσέρχεσθαι, ὡς ἐπινίκιον ἐπιδείξασθαι νίκης, ἔπειτα δὲ καὶ συγχωρηθῆναι ἀνελθεῖν εἰς τὰ ἴδια καὶ φόρους ἐτησίους τελεῖν ἐκέλευσε πρὸς τοὺς Μακεδόνας.

1 бнлъ въ трубы, Македоняне подняли крикъ, Скиѳы стали толкать другъ друга, засадный отрядъ вышелъ спереди, *другіе* напали на нихъ сверху, — и Скиѳы остановились, 5 ничего не ожидая, кромѣ смерти. Они стали просить пощады, но Македоняне безпрепятственно рѣзали всѣхъ ихъ. Александръ сжалился надъ ними и тотчасъ повелѣлъ прекратить рѣзню, приказавъ всѣхъ связать и привести въ его войско, чтобы по- 10 думать, что съ ними дѣлать. Когда они отошли на указанное мѣсто, Александръ приказалъ представить ихъ начальниковъ. Они предстали, дрожащіе *отъ страха*, и 15 Александръ говоритъ имъ: «Вы видѣли, какъ провидѣніе предало васъ въ руки Македонянъ и вы не могли противостать слѣдамъ ногъ нашихъ. Рабы вы мои, или нѣтъ?» Они со страхомъ сказали: «Мы рабы 20 твои, государь, и будемъ служить тебѣ во вѣки по желанію твоему». И павши ницъ на землю, поклонились ему. Александръ, отнесясь къ нимъ благосклонно, приказалъ освободить ихъ отъ оковъ и *велѣлъ* 25 войдти вмѣстѣ съ нимъ въ столицу Филиппа, чтобы показать трофей своей побѣды, а затѣмъ дозволилъ возвратиться во-свояси и приказалъ платить ежегодную 30 дань Македонянамъ.

Cap. 24 extr. (ϑ cod. *C.*).. Ὁ δὲ Ἀλέξανδρος πενθήσας τὸν Φίλιππον σὺν παντὶ τῷ στρατῷ μετὰ τῆς μητρὸς αὐτοῦ Ὀλυμπιάδος ἄγουσιν αὐτὸν ἐν τῇ πόλει αὐτοῦ ἐπὶ χρυσίου κραβάτου καὶ θάπτουσιν αὐτὸν καθὼς ἔθος ἐστίν, ὅλης τῆς Μακεδονίας συνελθούσης. Οἱ δὲ Σκύθαι μετὰ τὸ παύσασθαι τὸν καιρὸν τοῦ θρήνου προσῆλθον Ἀλεξάνδρῳ αἰτοῦντες τὸ δοκοῦν αὐτῷ. Ὁ δὲ ἀποστείλας αὐτοὺς εἰς τὰ ἴδια εἶπεν· «Ἀπελθόντες εὐτρεπίσατε ὡσεὶ χιλιάδας τριάκοντα πάντας τοξότας. ὁπόταν δὲ πρὸς ὑμᾶς ἀποστείλω, τούτους μοι ἐκπέμψατε τάχιον. εἰ δὲ [τοῦτο] μὴ βούλεσθε γενέσθαι ἡμῖν εἰς τὴν συμμαχίαν, ὁπόταν ἐλεύσομαι πρὸς ὑμᾶς, τὴν γῆν ὑμῶν ἐξεδαφίσω». Ἐπὶ τούτοις οἱ Σκύθαι προσκυνοῦσιν Ἀλέξανδρον καὶ θεὸν αὐτὸν ἀναγορεύουσιν οἴκαδε ἀναχωρήσαντες, συνταξάμενοι αὐτῷ δουλικῶς διακεῖσθαι μέχρι καὶ πέμπτης γενεᾶς.

Гл. 24 кон. ...Александръ, оплакавъ Филиппа со всѣмъ войскомъ, вмѣстѣ съ матерью своей Олимпіадой, привозятъ его въ столицу на золотомъ ложѣ и погребаютъ по обычаю, при чемъ собралась вся Македонія. Когда миновало время траура, Скиѳы пришли къ Александру, спрашивая его приказаній. Онъ, отославъ ихъ во свояси, сказалъ: «Удалившись, приготовьте всего около 30000 стрѣлковъ; когда я пришлю къ вамъ, поскорѣе вышлите мнѣ ихъ; а если вы не желаете быть со мною въ союзѣ, то я, придя къ вамъ, разорю до тла вашу землю». Послѣ этого Скиѳы поклонились Александру и, возвратившись домой, провозгласили его богомъ, постановивъ служить ему рабски до пятаго поколѣнія.

V. 2: χωνεύματι C; em. Müll. || V. 48: ἐκδαφήσω C.

Digitized by Google

Cap. 26 (e cod. *C*)... Συναριθμήσας δὲ πάντας τοὺς παρόντας αὐτῷ, οὓς εἶχεν ἀπὸ τοῦ πατρὸς αὐτοῦ Φιλίππου, εὗρε χιλιάδας ἑβδομήκοντα ἑπτὰ καὶ τοξότας ἑξακισχιλίους πενταχοσίους. Ἀπέστειλε δὲ καὶ πρὸς Σκύθας ἄγγελον, ὡς ἄν, εἰ βούλονται, ἐλεύσονται πρὸς αὐτὸν εἰς συμμαχίαν. Στέλλουσι δὲ πρὸς αὐτὸν Σκύθαι ἄνδρας ἱππεῖς τοξοτῶν χιλιάδας ἑβδομήκοντα πάντας νεανίσκους ἐκλέκτους...

Μετὰ δὲ τὸ ὑποταγῆναι αὐτὸν τὴν Θεσσαλονίκην τὴν πορείαν ἐποιεῖτο ἐπὶ τοῖς ἄνω Σκύθαις. Καὶ τριῶν ἡμερῶν παρελθουσῶν πρέσβεις ἥκασιν ἐκ Σκυθίας φάσκοντες δουλικῶς διακεῖσθαι αὐτῷ καὶ [δεόμενοι] συγχωρεῖν τοῦ μὴ ἐπιβῆναι αὐτοῖς. Ὁ δὲ Ἀλέξανδρός φησι πρὸς αὐτούς· «Ἅπιτε ἐν τῇ γῇ ὑμῶν καὶ ἀποστείλατέ μοι ἄνδρας τοξότας ἐμπείρους εἰς συμμαχίαν χιλιάδας ὅσας ἂν βούλεσθε. καὶ ἰδοὺ ἐγὼ πρὸς Λακεδαιμονίαν ἀπέρχομαι. ἐλεύσονται δέ μοι ἡ ὑμετέρα συμμαχία δι' ἡμερῶν ἑξήκοντα· τῆς δὲ προθεσμίας παρελθούσης κἂν μήπω οἱ προσδοκώμενοι ἥξωσιν, ἐφ' ὑμᾶς ἐπεκτενῶ τὴν φάλαγγα καὶ οὐ μεταστραφήσομαι». Οἱ δὲ Σκύθαι συνετάξαντο πάντα τὰ προσταχθέντα δουλικῶς ποιεῖν. Καὶ ἀπέστειλεν αὐτοὺς φιλοφρονησάμενος εἰς τὰ ἴδια.

Гл. 26... *Александръ*, сосчитавъ всѣхъ бывшихъ у него *воиновъ*, которыхъ онъ получилъ отъ отца своего Филиппа, нашелъ 77000 и 6500 стрѣлковъ. Онъ послалъ вѣстника и къ Скиѳамъ, чтобы они, если желаютъ, пришли къ нему въ качествѣ союзниковъ. Скиѳы послали къ нему 70000 конныхъ стрѣлковъ, все отборную молодежь...

Послѣ покоренія Ѳессалоники *Александръ* выступилъ походомъ противъ верхнихъ Скиѳовъ. По прошествіи трехъ дней прибыли послы изъ Скиѳіи, говоря, что *Скиѳы* рабски подчиняются ему и просятъ не идти на нихъ. Александръ говоритъ имъ: «Идите въ вашу землю и пришлите мнѣ въ качествѣ союзниковъ опытныхъ стрѣлковъ, сколько хотите тысячъ. Я ухожу теперь противъ Лакедэмоніи; пусть ваша союзная рать придетъ ко мнѣ въ 60 дней; если ожидаемые не придутъ по прошествіи *этого* срока, то я выставлю противъ васъ свою фалангу и уже не поверну назадъ». Скиѳы обязались рабски исполнить все приказанное и *тогда Александръ*, обласкавъ ихъ, отпустилъ во-свояси.

Cap. 44 (ed. Meus.). Καὶ παρεγένετο ἐν δυσὶν ἡμέραις εἰς τὴν Βοττίαν καὶ τὴν Ὄλυνθον, καὶ ἐξεπόρθησεν ὅλην τὴν χώραν τῶν Χαλκιδέων καὶ τοὺς σύνεγγυς (αὐτῶν) ἀνεῖλεν κἀκεῖθεν ἦλθε παρὰ τον Εὔξεινον πόντον καὶ πάσας τὰς πόλεις τὰς ἔγγιστα ἔσχεν ὑπηκόους [1])...

Гл. 44... *Александръ* въ два дня пришелъ въ Боттію и къ Олинѳу, опустошилъ всю Халкидскую область и истребилъ ихъ сосѣдей. Оттуда онъ пришелъ къ Евксинскому Понту и подчинилъ себѣ всѣ ближайшіе города...

ΒΙΒΛΙΟΝ Γ'.

Cap. 25 (ed. Meus.)... Καὶ ἐκεῖθεν τὴν ὁδοιπορίαν ἐποιήσατο [ὁ Ἀλέξανδρος] ἐπὶ Ἀμαζόνας. γενόμενος δὲ παρ' αὐτὰς ἀπέστειλεν αὐταῖς γράμματα περιέχοντα οὕτως·

Βασιλεὺς Ἀλέξανδρος Ἀμαζόσι χαίρειν· ...ἐκεῖθεν οὖν ἀναζευγνύομεν πρὸς ὑμᾶς·

КНИГА 3-Я.

Гл. 25... Оттуда [Александръ] двинулся въ путь къ Амазонкамъ. Приблизившись къ нимъ, онъ послалъ имъ письмо слѣдующаго содержанія:

«Царь Александръ Амазонкамъ *желаетъ* здравствовать... Оттуда [т. е. отъ

---

1) Versio Valerii latina praebet haec: «His dictis iter ad Euxinum tendit omnesque sibi urbes ejus litoris vindicat. Equestri denique Neptuno sollemniter operatus ad Maeotim paludem venit asperam satis et inviabilem prae rigore» etc.

Digitized by Google

ὑμεῖς δὲ συναντήσατε ἡμῖν γηθοσύνως· οὐ γὰρ ἐρχόμεθα κακοποιῆσαι, ἀλλ' ὀψόμενοι τὴν χώραν, ἅμα δὲ καὶ ὑμᾶς εὐεργετῆσαι· ἔρρωσθε.

брахмановъ] мы предпринимаемъ путь къ вамъ. Вы встрѣтьте насъ радушно: мы приходимъ не *съ цѣлью* обидѣть васъ, а *только* посмотрѣть страну и вмѣстѣ *съ тѣмъ* облагодѣтельствовать васъ. Будьте здоровы».

Δεξάμεναι δὲ τὰ γράμματα Ἀλεξάνδρου καὶ ἀναγνοῦσαι ἀντέγραψαν Ἀλεξάνδρῳ ταῦτα· Ἀμαζονίδων αἱ κράτισται καὶ ἡγούμεναι Ἀλεξάνδρῳ χαίρειν. ἐγράψαμέν σοι ὅπως εἰδῇς πρὸ τοῦ σε ἐπιβῆναι ἐπὶ τοὺς τόπους ἡμῶν, ἵνα μὴ ἀδόξως ἀναλύσῃς. διὰ δὲ τῶν γραμμάτων ἡμῶν διασαφοῦμεν τὰ κατὰ τὴν χώραν ἡμῶν καὶ ἡμᾶς αὐτὰς οὔσας σπουδαίας τῇ διαίτῃ· ἔσωθεν γὰρ τοῦ Ἀμαζονικοῦ ποταμοῦ πέραν οἰκοῦμεν, ἐν μέσῳ δέ. ἔστι δὲ τὸ περίμετρον τῆς γῆς ἡμῶν ἐνιαυτοῦ ἔχον κύκλευμα· ποταμὸς δὲ οὐκ ἔχων ἀρχήν. ἔστι δὲ εἴσοδος ἡμῖν μία, ἐσμὲν δὲ αἱ κατοικοῦσαι παρθένοι ἔνοπλοι μυριάδες κζ'. ἄρρεν δὲ παρ' ἡμῖν οὐδὲ ἓν ὑπάρχει· οἱ δὲ ἄνδρες πέρα τοῦ ποταμοῦ κατοικοῦσι τὴν χώραν νεμόμενοι. ἡμεῖς δὲ κατ' ἐνιαυτὸν ἄγομεν πανήγυριν ἱπποφονίαν, θύουσαι τῷ Διὶ καὶ Ποσειδῶνι καὶ Ἡφαίστῳ καὶ Ἄρει ἡμέρας λ'. ὅσαι δὲ βούλονται ἐξ ἡμῶν διακορεῦσαι, (ἡμέρας) τινὰς καταμένουσι πρὸς αὐτούς. καὶ τὰ θηλυκὰ ὅσα ἂν τίκτωσι τρέφονται παρ' αὐτῶν καὶ γενόμενα ἑπταετῆ διαβιβάζουσι πρὸς ἡμᾶς. ὅταν δὲ πολέμιοι ἐπιστρατεύουσιν ἐπὶ τὴν ἡμετέραν χώραν, ἐκπορευόμεθα ἐφ' ἵππων μυριάδες δῶδεκα· αἱ δὲ λοιπαὶ τὴν νῆσον διαφυλάττουσι. καὶ ἐρχόμεθα εἰς συνάντησιν ἐπὶ ὅρια· οἱ δὲ ἄνδρες ὄπισθεν παρατεταγμένοι ἀκολουθοῦσιν ἡμῖν. καὶ εἴ τις ἐν τῷ πολέμῳ τραυματίας γένηται, προσκυνεῖται ὑπὸ τῆς ἡμετέρας ἀγερωχίας καὶ στεφθεῖσα ἀείμνηστος ὑπάρχει· εἴ τις δὲ ἐὰν πέσῃ ἐν πολέμῳ ὑπερμαχοῦσα, ἡ ἐγγὺς οὖσα αὐτῇ χρήματα λαμβάνει οὐκ ὀλίγα ὄντα. ἐὰν δέ τις σῶμα ἀγάγῃ τῶν ἐναντίων εἰς τὴν νῆσον, πρόκειται ἐπὶ τοῦ-

Получивъ и прочитавъ это письмо, Амазонки отписали Александру слѣдующее: «Сильнѣйшія и правящія изъ Амазонокъ Александру *желаютъ* здравствовать. Мы написали тебѣ для свѣдѣнія до нашествія на нашу землю, чтобы ты не возвратился безславно. А письмомъ нашимъ сообщаемъ тебѣ свѣдѣнія о нашей странѣ и о насъ самихъ, ведущихъ суровую жизнь. Мы живемъ за Амазонской рѣкой посрединѣ. Окружность нашей земли простирается на годъ *пути*, а рѣка не имѣетъ начала. Входъ къ намъ одинъ. Мы, живущія здѣсь, — вооруженныя дѣвицы въ числѣ 270,000; у насъ нѣтъ ни одного *существа* мужскаго пола, а мужчины живутъ за рѣкою, владѣя *тамошнею* землею. Мы ежегодно совершаемъ праздникъ конеубіенія, принося жертвы Зевсу, Посидону, Ифэсту и Арею въ теченіе 30 дней. Тѣ изъ насъ, которыя желаютъ соединиться съ ними, остаются у нихъ на нѣсколько дней; всѣ рожденныя ими дѣти женскаго пола вскармливаются ими, но по достиженіи 7 лѣтъ онѣ переводятъ *ихъ* къ намъ. Когда непріятели предпримутъ походъ на нашу землю, мы выступаемъ на коняхъ, въ количествѣ 120000, а остальныя охраняютъ островъ. Мы приходимъ на встрѣчу на границѣ, а за нами слѣдуютъ мужчины, выстроившись въ тылу. Если которая *изъ насъ* получитъ на войнѣ рану, то пользуется почетомъ вслѣдствіе нашей храбрости и, увѣнчанная, остается приснопамятною; если же которая падетъ на войнѣ, защищаясь, то близкая къ ней получаетъ не малую сумму денегъ. Если кто приве-

---

V. 1: ὑμεῖς οὖν συναντήσαντες ἡ γ. ὑποδέξασθε et mox κακοποιήσοντες cod. B. || V. 6: Ἀλεξάνδρῳ: αὐτῷ B. || V. 7: Ἀμαζόνων B. || V. 8: Ἀλεξάνδρῳ βασιλεῖ B. || V. 9: εἰδῇς: ἴδῃς B. || V. 11: ἡμῶν ἤδη διασαφοῦμέν σοι B. || V. 14: «Sic C; παρανοικοῦμεν ἐν μέσῃ δὲ B; πέραν, οἰκοῦμεν δὲ ἐν μέσῳ A. Ludit auctor de insula loquens flumine cincta». Müll. || V. 16: κύκλωμα B. || V. 17: ἔστι δὲ μία πρόσοδος ἡμῖν, δι' ἧς ἐρχόμεθα dedit Müll. ex C, pro quibus B: ἐν τῇ προσόδῳ αὐτῶν. «Alia subobscura addit Valesius». Müll. || V. 19: ἐν ἡμῖν οὐδέν B. || V. 21: post νεμόμενοι Müll. ex B addit μετὰ τῶν ποιμνίων καὶ βουκόλων ἡμῶν. || V. 25: Müll. ex A et C dedit ita: ὅσαι δὲ βούλωνται ἐξ ἡμῶν περάσαι καὶ συμμιγῆναι αὐτοῖς, καταμένουσι πρὸς αὐτούς. Cod. L habet διακουρεῦσαι. «wahrscheinlich hinter diesem wort ausgefallen: διαπερῶσι καὶ ἡμέρας». Meus. || V. 27: τρέφονται— καὶ addidi ex ed. Müll. || V. 29: ἐπιστρατεύσωσιν B. || V. 31: ἔφιπποι B. || V. 38: Müll. ex A dedit ὑπερμαχοῦσα, αἱ ἔγγιστα αὐτῆς χρ. λαμβάνουσι κτλ.; ἡ ἐγγίζουσα, αὕτη... καταλαμβάνει s. λαμβάνει habent BCL.

Digitized by Google

το χρυσίον καὶ ἀργύριον καὶ σιτηρέσια ἐπὶ τοῦ διαβιῶσαι (αὐτήν)· ὥστε ἡμᾶς ἀγωνίζεσθαι ὑπὲρ τῆς ἰδίας δόξης. ἐὰν δὲ πολεμίων κρατήσωμεν ἢ πάλιν φύγωσιν, αἰσχρὸν εἰς αὐτοὺς καταλείπεται εἰς ἅπαντα χρόνον ὄνειδος· ἐὰν δὲ ἡμᾶς νικήσωσιν, ἔσονται γυναῖκας νενικηκότες. ὅρα οὖν, βασιλεῦ Ἀλέξανδρε, μὴ τὰ αὐτὰ σοι συμβήσονται. βουλευσάμενος οὖν ἀντίγραψον ἡμῖν καὶ εὑρήσεις ἡμῶν τὴν παρεμβολὴν ἐπὶ τῶν ὁρίων. (ἔρρωσο).

зетъ на островъ тѣло врага, то за это дается въ награду золото, серебро и пожизненное продовольствіе. Такимъ образомъ мы ратоборствуемъ за нашу славу. Если мы одолѣемъ непріятелей или они обратятся въ бѣгство, то имъ остается на вѣчныя времена стыдъ и позоръ; а если они побѣдятъ насъ, то окажутся побѣдителями женщинъ. Итакъ смотри, царь Александръ, чтобы съ тобою не случилось того же. Подумай и отпиши намъ—и найдешь нашу рать на границахъ. Будь здоровъ».

Cap. 26. Ὁ δὲ Ἀλέξανδρος ἐντυχὼν τοῖς γράμμασιν αὐτῶν καὶ μειδιάσας ἀντέγραψεν αὐταῖς τάδε· Βασιλεὺς Ἀλέξανδρος Ἀμαζόσι χαίρειν. τὰ τρία μέρη τῆς οἰκουμένης ἐκυριεύσαμεν καὶ οὐ διελίπομεν τρόπαια συνιστῶντες κατὰ πάντων. αἰσχρὸν μὲν οὖν ἡμῖν ἀπολειφθήσεται, ἐὰν μὴ ἐπιστρατευσώμεθα ἐφ' ὑμᾶς. καὶ εἰ μὲν οὖν θέλετε ἀπολέσθαι καὶ ἀοίκητον τὴν ἑαυτῶν χώραν ἔσεσθαι, μείνατε ἐπὶ τῶν ὁρίων· εἰ δὲ βούλεσθε εἰς τὴν ἰδίαν γῆν κατοικεῖν καὶ μὴ πεῖραν πολέμου λαβεῖν, διαβᾶσαι εἰς τὸν ποταμὸν ὑμῶν [καὶ] ὄφθητε ἡμῖν. ὡσαύτως καὶ οἱ ἄνδρες μενέτωσαν ἐν τῷ πεδίῳ. καὶ ἐὰν ταῦτα πράξητε ὄμνυμι ἐγὼ ἐμὸν πατέρα καὶ ἐμὴν μητέρα Ὀλυμπιάδα μὴ ἀδικῆσαι ὑμᾶς· ἀλλὰ καὶ ὃν δ' ἂν φόρον βούλεσθε, λήψομαι παρ' ὑμῶν καὶ οὐκ ἐλεύσομαι εἰς τὴν ὑμετέραν γῆν. ἃς δὲ ἀνεκρίνατε ἐφίππους, ἐξαποστείλατε πρὸς ἡμᾶς. δίδομεν δὲ κατὰ μῆνα ἑκάστῃ τῶν πεμπομένων παρ' ὑμῶν ἀντιμίσθιον χρυσίου στατῆρα καὶ τὰ σιτηρέσια. μετὰ δὲ τὸν ἐνιαυτὸν αὐταὶ μὲν ἀπελεύσονται, ἄλλας δὲ ἀποστείλατε. βουλευσάμεναι δὲ ἀντιγράψατε ἡμῖν. ἔρρωσθε.

Гл. 26. Александръ, прочитавъ ихъ письмо и улыбнувшись, отписалъ имъ слѣдующее: «Царь Александръ Амазонкамъ *желаетъ* здравствовать. Мы покорили три четверти вселенной и не переставали ставить трофеи надъ всѣми. Поэтому намъ останется позоръ, если мы не пойдемъ войною на васъ. И если вы хотите погибнуть и оставить свою землю не обитаемою, то останьтесь на границахъ. Если же желаете жить въ своей землѣ и не пытать *счастья* въ войнѣ, то перейдите къ своей рѣкѣ и покажитесь намъ. Точно также и мужчины пусть остаются на равнинѣ. Если вы это сдѣлаете, то я клянусь моимъ отцомъ и матерью моею Олимпіадою, что не обижу васъ. Я приму отъ васъ дань, какую вы *сами* захотите *дать*, и не приду въ вашу землю. Выбранныхъ вами всадницъ пришлите къ намъ. Мы будемъ давать каждой изъ присланныхъ вами ежемѣсячно по золотому статиру жалованья и кормовыя. Черезъ годъ онѣ уѣдутъ, а вы пришлите другихъ. Подумайте и отпишите намъ. Будьте здоровы».

Δεξάμεναι δὲ καὶ ἀναγνοῦσαι τὰ γράμματα Ἀλεξάνδρου, ἐκκλησίαν ἑαυταῖς ποιήσασαι καὶ βουλευσάμεναι ἀντέγραψαν αὐτῷ ταῦτα [1]· Ἀμαζόνων αἱ κρατίσται καὶ ἡγούμεναι βασιλεῖ Ἀλεξάνδρῳ χαίρειν· δίδομέν σοι ἐξουσίαν ἐλθεῖν πρὸς ἡμᾶς καὶ θεάσασθαι ἡμῶν τὴν χώραν. τασσόμεθα δέ σοι διδόναι κατ' ἐνιαυτὸν χρυσίου τά-

Получивъ и прочитавъ письмо Александра, *Амазонки* устроили вѣче и послѣ совѣщанія отписали ему слѣдующее: «Сильнѣйшія и правящія изъ Амазоновъ царю Александру *желаютъ* здравствовать. Мы даемъ тебѣ разрѣшеніе придти къ намъ и обозрѣть нашу страну. Мы опредѣляемъ давать тебѣ ежегодно по 100 талантовъ

V. 1: καὶ σίτησις διὰ βίου A. || V. 5: αὐτοῖς B. || V. 7: ὅρα οὖν καὶ σὺ... συμβήσεται B. post haec Müll. ex C addidit: Στεφανοῦμεν δέ σε κατ' ἐνιαυτὸν ὅσον ἂν συντάξῃς. || In cap. 26 Mülleri editio hisce gravioribus discrepat: V. 15: τῶν τριῶν μερῶν. || V. 18: ὑπολειφθήσεται et στρατεύσωμεν πρὸς ὑμᾶς. || V. 20: ὑμῶν pro ἑαυτῶν. || V. 25: μενέτωσαν: παραταξάτωσαν ἑαυτούς. || V. 27: matris nomen om. || V. 28—30: καὶ ὃν ἂν — οὐκ ἐλευσόμεθα. || V. 30: ἃς δὲ ἂν κρίνητε. || V. 33: ἀντιμισθίαν. || V. 35: ἀπελεύσονται ἐπὶ τὰ ἴδια.

1) Haec epistola in codice C longe aliter composita est: v. ed. Müll. p. 138.

Digitized by Google

λαντα ρ', καὶ τὰς κρατίστας ἐξ ἡμῶν φ' ἀπεστάλκαμέν σοι εἰς ὑπάντησίν σου, φερούσας σοι καὶ τὰ χρήματα καὶ ἵππους γενναίους ρ'. αὗται οὖν ἔσονταί σοι τὸν ἐνιαυτόν. εἴ τις δὲ ἐὰν διακορευθῇ ὑπό τινος ἀλλοδαποῦ, μενέτω παρ' ὑμῖν. τὰς δὲ λοιπὰς ἐξαποστείλας λήψει ἄλλας. πειθαρχοῦμεν δέ σοι καὶ παρόντι καὶ ἀπόντι· ἀκηκόαμεν γάρ σου τὰς ἀρετὰς καὶ ἀνδραγαθίας. † ἡμεῖς γὰρ ἐσμὲν παρὰ τὴν οἰκουμένην κατοικοῦντες· † ἐπελήλυθας δὲ ἡμῖν ὁ δεσπότης. ἔδοξε δὲ ἡμῖν γράψαι καὶ ἐπὶ τῆς οἰκείας γῆς οἰκεῖν ἡμᾶς καὶ πειθαρχεῖν σοι ὡς δεσπότῃ. ἔρρωσο.

Cap. 27. Τούτων δὲ διαπεμφθέντων γράφει Ἀλέξανδρος τὰ πεπραγμένα τῇ ἑαυτοῦ μητρὶ Ὀλυμπιάδι οὕτως.

[Ἐπιστολὴ Ἀλεξάνδρου πρὸς τὴν μητέρα αὐτοῦ Ὀλυμπιάδα ἔχουσα οὕτως].

Βασιλεὺς Ἀλέξανδρος τῇ γλυκυτάτῃ μου μητρὶ Ὀλυμπιάδι χαίρειν. ταῖς Ἀμαζόσι παραταξάμενος τὴν πορείαν ἐποιούμην ἐπὶ τὸν Πρύτανιν ποταμόν... μελλόντων δὲ ἡμῶν διαβαίνειν τὸν ποταμὸν τὸν καλούμενον Πρύτανιν συνέβη πολλοὺς ἀναιρεθῆναι τῶν ἐγχωρίων ὑπὸ τῶν στρατιωτῶν. ἤλθομεν οὖν ἐπὶ τὸν ποταμὸν τὸν καλούμενον Θερμώδοντα, ὃς ἐξέρχεται χώραν πεδινὴν καὶ εὐδαίμονα, ἐν ᾗ ᾤκουν Ἀμαζονίδες γυναῖκες τῷ μεγέθει ὑπερέχουσαι καθ' ὑπερβολὴν τῶν λοιπῶν γυναικῶν, κάλλει τε καὶ εὐρωστίᾳ σπουδαῖαι, ἐσθῆτα δὲ φοροῦσαι ἀνθινήν· ὅπλοις δὲ ἐχρῶντο ἀργυρέοις καὶ ἀξίναις, σίδηρος δὲ καὶ χαλκὸς οὐκ ἦν ἐν αὐταῖς, συνέσει δὲ καὶ ἀγχινοίᾳ τεταγμέναι. παραβαλλόντων δὲ ἡμῶν παρὰ τὸν ποταμὸν ἔνθα Ἀμαζόνες ᾤκουν—ἔστι δὲ ὁ ποταμὸς μέγας καὶ ἀδιάβατος, ἔχει δὲ θηρίων πλῆθος — αὗται οὖν διαβᾶσαι παρετάξαντο ἡμῖν. ἡμεῖς δὲ δι' ἐπιστολῶν ἡμῶν ἐπείσαμεν αὐτὰς ὑποταγῆναι ἡμῖν.

Cap. 28. Καὶ λαβόντες παρ' αὐτῶν φόρους ἀνεχωρήσαμεν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν...

дани и послали къ тебѣ на встрѣчу 500 сильнѣйшихъ изъ насъ, которыя везутъ тебѣ и деньги и *ведутъ* 100 кровныхъ коней. Онѣ пробудутъ у тебя годъ. Если которая-либо изъ нихъ вступитъ въ связь съ какимъ-нибудь чужеземцемъ, то пусть остается у васъ, а остальныхъ отошли назадъ и *взамѣнъ ихъ* получишь другихъ. Мы готовы повиноваться тебѣ и лично и заочно, такъ какъ наслышаны о твоихъ доблестяхъ и мужествѣ... Ты пришелъ къ намъ господиномъ. Мы рѣшили написать тебѣ, *остаться* жить на родной землѣ и повиноваться тебѣ какъ господину. Будь здоровъ».

Гл. 27. По полученіи этого *письма* Александръ описалъ свои дѣянія матери своей Олимпіадѣ слѣдующимъ образомъ:

[Письмо Александра къ матери его Олимпіадѣ слѣдующаго содержанія]:

Царь Александръ дражайшей матери моей Олимпіадѣ *желаю* здравствовать. Выступивъ противъ Амазонокъ, я направилъ путь къ рѣкѣ Притану... Когда мы намѣревались переправиться чрезъ рѣку, называемую Пританомъ, многіе туземцы были перебиты солдатами. Мы прибыли къ рѣкѣ, называемой Термодонтомъ и протекающей по богатой равнинѣ, въ которой жили женщины Амазонки, значительно превосходящія ростомъ прочихъ женщинъ, отличающіяся красотою и здоровьемъ и носящія цвѣтную одежду; онѣ употребляли серебряныя сѣкиры, а желѣза и мѣди у нихъ не было; онѣ отличаются сообразительностью и остроуміемъ. Когда мы выстроились вдоль рѣки, гдѣ жили Амазонки (рѣка эта велика и непроходима и въ ней множество животныхъ), послѣднія, переправившись, построились противъ насъ. Но мы письмами убѣдили ихъ покориться намъ.

Гл. 28. И взявъ съ нихъ дань, мы отправились къ Красному морю...

V. 1: τὰς κρατίστας ἡμῶν πεντακοσίας ἀπεστείλαμέν σοι εἰς τὰ ὅρια εἰς ἀπάντησιν. || V. 5: ἐὰν δέ τις διακορευθῇ ὑπό τινος ἀλλογενοῦς. || V. 10: ἡμεῖς γὰρ οὐ παρὰ τὴν οἰκουμένην οἰκοῦμεν, ἣν σὺ ἐπελήλυθας, ὥστε ἀντιποιεῖσθαι πραγμάτων· ἐδόκει δὲ ἡμῖν ἐπὶ τῆς ἰδίας γῆς κατοικεῖν ἡμᾶς κτλ. || V. 18—19: «das eingeklammerte als überschrift mit rother tinte». Mens. Absunt haec in ed. Müll. De totius narrationis discrepantia in libris mss. vide quae adnotavit Müll. p. 139. || V. 23: *Hypanim* Valerius. || V. 29: οἰκοῦσιν Ἀμαζόνες ed. Müll. || V. 31: ἑτέρων γυναικῶν [καὶ] κάλλει καὶ εὐρωστίαις, σπουδαῖαι εἰς τὸ πολεμεῖν, ἐσθῆτας δὲ φορεῦσαι ἀνθινάς ibid. || V. 33: ἀργυρέοις ἀξίναις ibid. (quod Rossice vertimus). || V. 35: παρ' αὐταῖς ibid. || V. 35: τεταγμέναι] κεκοσμημέναι (quod multo praestat) ibid. || V. 37: ἔστι δὲ ὁ ποτ. recepi ex ed. Müll. ἔστι γὰρ L. || V. 38: ἔχει δὲ καὶ θηρία πολλὰ ed. Müll.

Digitized by Google

ΤΑ ΚΛΗΜΕΝΤΙΑ. КЛИМЕНТОВСКІЯ СОЧИНЕНІЯ.

[Св. Климентъ Римскій, ученикъ апостола Петра, былъ епископомъ въ Римѣ съ 92 года. Сосланный Траяномъ въ Херсонисъ Таврическій, онъ окончилъ жизнь мученикомъ около 103 года. Клименту приписываются слѣдующія произведенія: 1) Посланія, 2) Бесѣды и 3) Воспоминанія. Ученые считаютъ подлиннымъ лишь «Первое посланіе къ Коринеянамъ». «Воспоминанія» (Recognitiones) въ 10 книгахъ и 20 «Бесѣдъ» (Ὁμιλίαι) составляютъ такъ называемыя Clementina (Κλημέντια), по всей вѣроятности обязанныя своимъ происхожденіемъ какому-либо сирійскому еретику второго вѣка. См. о нихъ Preuschen-Harnack, Die Ueberlieferung und der Bestand der altchristlichen Litteratur (Leipz. 1893), стр. 212—231: Pseudoclementinische Schriften; Bardenhewer, Patrologie, стр. 44 сл.—Текстъ: Migne, Patrol. cursus compl., ser. Gr. voll. I et II].

Извлеченія и переводъ С. А. Селиванова.

RECOGNITIONES. ВОСПОМИНАНІЯ.

Lib. IX, c. XXIV (Patr. v. I, c. 1412). ...Apud Sarmatas et Scythas atque omnes, quae sub axe septentrionis iacent Pontici littoris gentes, et in Chrysea [1]) insula numquam invenitur trapezita nec sculptor aut pictor aut architectus aut geometres aut tragoedus aut poeta...

...У Сарматовъ, Скиѳовъ и всѣхъ народовъ, обитающихъ въ сѣверной части Понтійскаго побережья, равнымъ образомъ на островѣ Хрисеѣ никогда не встрѣчаются ни банкиръ, ни ваятель, ни живописецъ, ни зодчій, ни землемѣръ, ни трагическій актеръ, ни поэтъ...

Lib. X, c. XXV (Patr. I, c. 1434). ...Adorari ab eis (stultis hominibus) eos, quos etiam homines ipsi et defunctos vel potius punitos esse profitentur, verbi gratia ut Syri Adonem, Aegyptii Osirin, Ilienses Hectorem, apud Leuconessum Achillem, apud Pontum [2]) Patroclum, apud Rhodum Alexandrum Macedonem.

...Неразумные люди воздаютъ поклоненіе тѣмъ, которые, по собственному ихъ признанію, умерли или даже болѣе того—были наказаны, какъ, напр., Сирійцы (поклоняются) Адонису, Эгиптяне—Осирису, Иліонцы—Гектору, на Левконессѣ—Ахиллу, въ Опунтѣ—Патроклу, на Родосѣ—Александру Македонскому.

ΟΜΙΛΙΑ Ε'. БЕСѢДА 5-я.

Cap. XXIII (Patr. II, col. 192). ...Κρόνου γὰρ ἐν τοῖς Καυκασίοις ὄρεσιν, οὐκ ἐν οὐρανῷ, ἀλλ' ἐν γῇ τάφος τις δείκνυται, ἀνδρὸς ἀγρίου καὶ τεκνοβόρου...

...Въ самомъ дѣлѣ, показываютъ въ Кавказскихъ горахъ, не на небѣ, но на землѣ, какую-то могилу Крона, человѣка жестокаго и пожиравшаго дѣтей...

---

1) Non una fuit insula, quae hoc nomen habebat (Χρυσέα, Χρύση—ad Cretam sita, Χρυσῆ νῆσος—nomen Thasi antiquum), sed harum insularum nulla ad Ponticum litus erat sita, cuius de incolis hic res agitur, quam ob causam pro «Chrysea» fortasse legendum est «Achillea», notissima illa Leuce insula, cuius saepissime apud veteres scriptores mentio fit. (Selivanov). 2) Vulgo «Pontum» legitur, sed collato Homil. VI, cap. XXII (Patrol. II, col. 213) Πάτροκλον Ὀπούντιοι (προσκυνοῦσιν) «Opuntem» legendum esse putaverim, de qua re cf. Patrol. I, p. 1434 annot. 52. (Selivanov).

Digitized by Google

ΟΜΙΛΙΑ ϛ'.

Cap. XXI (Patr. II, c. 213). ...Ὡς καὶ ἄλλοτε εἶπον, ἐν τοῖς Καυκασίοις ὄρεσι Κρόνου τινὸς σῆμα ἀνθρώπου δείκνυται, τυράννου ἀγρίου καὶ τεκνοβόρου...

БЕСѢДА 6-я.

...Какъ и въ другомъ мѣстѣ я сказалъ, въ Кавказскихъ горахъ показываютъ могилу какого-то человѣка Крона, царя жестокаго и пожиравшаго дѣтей...

Cap. XXII (Patrol. ibid.). ...Καὶ μὴ θαύμαζε, εἰ οἱ κατ' Ἀσκληπιὸν καὶ Ἡρακλέα γενόμενοι ἐξηπατήθησαν ἢ κατὰ Διόνυσον ἢ κατ' ἄλλον τινὰ τῶν τότε, ὅπου καὶ Ἕκτορα ἐν Ἰλίῳ καὶ Ἀχιλλέα ἐν Λευκῇ τῇ νήσῳ οἱ ἐκεῖ προσκυνοῦσιν, Πάτροκλον Ὀπούντιοι, τὸν Μακεδόνα Ἀλέξανδρον Ῥόδιοι.

...Не удивляйся, что поддались обману тѣ, которые жили во времена Асклипія и Геракла, или современники Діониса или кого-либо другого изъ живших тогда, если и Гектору въ Иліодѣ и Ахиллу на островѣ Бѣломъ мѣстные жители воздаютъ поклоненіе, *а также* Патроклу — Опунтійцы, Александру Македонскому — Родосцы.

ΠΕΡΙ ΤΩΝ ΠΡΑΞΕΩΝ, ΕΠΙΔΗΜΙΩΝ ΤΕ ΚΑΙ ΚΗΡΥΓΜΑΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΚΟΡΥΦΑΙΟΥ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ ΠΕΤΡΟΥ ΕΠΙΤΟΜΗ, ΕΝ Ηι ΚΑΙ Ο ΑΥΤΟΥ ΣΥΜΠΕΡΙΕΙΛΗΠΤΑΙ ΒΙΟΣ, ΠΡΟΣ ΙΑΚΩΒΟΝ ΕΠΙΣΚΟΠΟΝ ΙΕΡΟΣΟΛΥΜΩΝ.

О ДѢЯНІЯХЪ, ПУТЕШЕСТВІЯХЪ И ПРОПОВѢДЯХЪ СВЯТАГО И ВЕРХОВНАГО ИЗЪ АПОСТОЛОВЪ ПЕТРА СОКРАЩЕНІЕ, ВЪ КОТОРОМЪ ВКЛЮЧЕНО И ЖИЗНЕОПИСАНІЕ САМОГО [КЛИМЕНТА], КЪ ІАКОВУ ЕПИСКОПУ ІЕРУСАЛИМСКОМУ.

[Patrol. II, coll. 469—604. De compositione Epitomae cf. «Monitum» editoris p. 469].

Переводъ **В. Л.**

CLXVI (Patr. c. 592 sq.). Μαρμεντῖνος [1]) δὲ τῆς πόλεως ἔπαρχος ...Τραιανῷ περὶ αὐτοῦ τῷ αὐτοκράτορι ἀναφέρει. Καὶ ὁ βασιλεὺς αὐτῷ οὕτως ἐπιλύει τὰ γεγραμμένα, ὡς ἢ θῦσαι τὸν Κλήμεντα τοῖς πατρῴοις θεοῖς, ἢ πέραν τοῦ Πόντου εἰς ἔρημόν τινα πόλιν τῶν τῇ Χερσῶνι παρακειμένων ἀπὸ τῆς Ῥώμης ἀϊδίῳ φυγῇ ἐλαθῆναι.

Городской префектъ Марментинъ.... доноситъ о немъ [Климентѣ] императору Траяну. И царь въ отвѣтъ на его донесеніе объявляетъ ему рѣшеніе, чтобы Климентъ или принесъ жертву отеческимъ (языческимъ) богамъ, или удалился изъ Рима въ вѣчное изгнаніе за Понтъ въ какой-либо покинутый городъ изъ числа лежащихъ около Херсона.

CLXVII... Πολλοὶ δὲ αὐτῷ καὶ τῶν εὐλαβῶν ἠκολούθησαν· καὶ εἰς τὴν ὑπερορίαν γενόμενοι καταλαμβάνουσιν ἐν τῇ τῶν μαρμάρων λατομίᾳ χριστιανοὺς περὶ πουτοὺς χιλίους ἢ καὶ πλείονας, πολὺν διὰ τὴν εὐσέβειαν ἐκεῖ χρόνον κατεχομένους. Οἳ καὶ περὶ τοῦ πατριάρχου πρότερον ἀκούσαντες καὶ ὅτι τῆς πόλεως ἀπελαθεὶς ὑπερόριος πρὸς ἐκείνους καὶ αὐτὸς ἄγεται, παραμυθίαν ἔσχον οὐ τὴν τυχοῦσαν τὴν ἐκείνου ἐπιδημίαν.

...За Климентомъ послѣдовали многіе изъ благочестивыхъ (т. е. христіанъ). Прибывъ на мѣсто ссылки, они застаютъ въ мраморной каменоломнѣ около тысячи или даже болѣе христіанъ, долгое время содержавшихся тамъ за благочестіе. Послѣдніе, *еще* раньше слышавшіе о патріархѣ и *о томъ*, что онъ, изгнанный изъ города, отправляется къ нимъ въ ссылку, получили не малое утѣшеніе отъ его прибытія.

V. 25: al. δισχιλίους. Cf. Martyr. S. Clementis c. XX (Patrol. II, c. 628): περιτέρω δύο χιλιάδων Χριστιανοὺς αὐτόθι κατέλαβε.

1) Idem in Martyrio S. Clementis c. XVII (Patrol. II, p. 625) vocatur Μαμερτῖνος.

Digitized by Google

CLXVIII. Ὅτε γοῦν πρὸς αὐτοὺς κατελάμβανε, τοῦ τῶν χειρῶν ἔργου ἀφέμενοι καὶ τούτῳ προσελθόντες μετὰ δακρύων καὶ τῶν ἁγίων ἐκείνου ποδῶν ἁψάμενοι καὶ τὰς καθαρὰς περιπτυξάμενοι χεῖρας τὰς καταλαβούσας αὐτοὺς ἀνεκλαίοντο συμφορᾶς, τὴν τῆς πατρίδος ἔκπτωσιν, τὴν ἄφιλον ἐπὶ ξένης διαγωγήν, τῶν ἀναγκαίων τὴν ἀπορίαν καὶ ὃ πάντων βαρύτατον ἦν, τὴν αὐτοῦ τοῦ ὕδατος ἔνδειαν. Εἰ γάρ τις ὅλην τὴν ἡμέραν τῇ τῶν χειρῶν ἐργασίᾳ καὶ τῷ καμάτῳ προσεστηκώς, ἔλεγον, ὕδατος βραχεῖάν τινα σταγόνα λαβεῖν ἐθελήσειεν, ὥστε τὴν ἐκ τοῦ κόπου ἀναψύξαι ταλαιπωρίαν, οὐκ ἔλαττον ὁ τοιοῦτος ἢ σταδίους πέντε καὶ τεσσαράκοντα προελθὼν ἂν ὕδωρ κομίσαιτο. Πρὸς ταῦτα συναλγήσας τε αὐτοῖς ὁ πατριάρχης καὶ συνδακρύσας, εἶτα καὶ τῷ Θεῷ εὐχαριστήσας καὶ ἱκανῶς τὰς ἐκείνων ψυχὰς παραμυθησάμενος, οὐχ ἁπλῶς οὕτω καὶ ἀλόγως, εἶπεν, ἐνταῦθά με ὁ Θεὸς συνεχώρησεν ἐκβληθῆναι, ἀλλ' ὥστε καὶ κοινωνὸν ὑμῖν γενέσθαι τῶν παθημάτων, καὶ ὑπομονῆς μάλιστα καὶ καρτερίας ὑπόθεσιν.

Когда онъ прибылъ къ нимъ, они, бросивъ свои работы и приблизившись къ нему со слезами, обнимали его святыя ноги, цѣловали его чистыя руки и оплакивали постигшія ихъ бѣдствія,—изгнаніе изъ отечества, непріятное пребываніе на чужбинѣ, нужду въ предметахъ *первой* необходимости и, что было тяжелѣе всего, недостатокъ даже воды. «Если кто-нибудь, говорили они, цѣлый день занимаясь тяжелою ручною работою, захотѣлъ бы выпить ничтожную каплю воды, чтобы освѣжить усталость отъ труда, то онъ можетъ добыть воды не иначе, какъ пройдя не менѣе 45 стадій. Патріархъ, соболѣзнуя имъ въ этомъ и проливъ слезы вмѣстѣ съ ними, а затѣмъ возблагодаривъ Бога и довольно утѣшивъ ихъ души, сказалъ: «Не просто и не безцѣльно Богъ сонзволилъ, чтобы я сталъ соучастникомъ вашихъ страданій и въ особенности примѣромъ терпѣнія и выносливости».

CLXIX. Ἔπειτα μέντοι καὶ εἰς εὐχὴν τρέπεται καὶ δεῖται σὺν αὐτοῖς τοῦ Θεοῦ, ὥστε τοῖς αὐτοῦ ὁμολογηταῖς πηγὴν ὕδατος διανοῖξαι· καὶ ὁ πατάξας πέτραν ἐν ἐρήμῳ, καὶ ἐρρύησαν ὕδατα [1]), αὐτὸς ἄφθονον καὶ αὐτοῖς τοῦ ὕδατος παρέχει τὴν χορηγίαν. Ἤδη γὰρ πάντων τῇ εὐχῇ προσκειμένων ὁ πατριάρχης τῇδε κἀκεῖσε περιβλεψάμενος ἀμνόν τινα ὁρᾷ, τὸν δεξιὸν μετεωρίζοντα πόδα καὶ ὥσπερ ἐκείνῳ ὑποδεικνύντα τὸ ὑποκείμενον ἔδαφος· οὐδενὶ γὰρ ὁ ἀμνὸς τῶν ἄλλων τεθέατο. Καὶ συμβαλὼν τὴν ὄψιν ὁ πατριάρχης τῷ ὑποδειχθέντι τόπῳ μετὰ τῶν παρόντων ἐφίσταται καὶ φησιν· Ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνταῦθά μοι, τέκνα, ὀρύξατε. Καὶ ἐπειδὴ αὐτόν τε τὸν τόπον, εἰς ὃν ὁ ἀμνὸς ἵστατο, καὶ τὸ κύκλῳ πᾶν περιέσκαψαν, λαβὼν σκαφεῖον ὁ πατριάρχης κρούει τὸν τόπον, ἔνθα ὁ ἀμνὸς ὑπεδείκνυ, κούφῳ τινὶ καὶ μετεώρῳ τῷ κρούματι· καὶ παραχρῆμα διειδὲς ὕδωρ ἡ γῆ καὶ ἡδὺ πιεῖν ἀναδίδωσι· καὶ τοῦτο σὺν ὁρμῇ ἐκχυθὲν ποταμὸν ἀθρόον ποιεῖ. Πάντων οὖν χαιρόντων ἐπὶ τῷ ὕδατι ὁ πατριάρχης «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ» [2]) ἔλεγεν.

Затѣмъ онъ начинаетъ молиться и проситъ вмѣстѣ съ ними Бога открыть своимъ исповѣдникамъ источникъ воды. И ударившій скалу въ пустынѣ, и потекли воды, самъ доставляетъ и имъ изобильную воду. Именно, когда всѣ уже были заняты молитвою, патріархъ, оглянувшись туда и сюда, видитъ агнца, поднимающаго правую ногу и какъ бы указывающаго ею на лежащую подъ нимъ почву; ибо никому другому агнецъ не былъ виденъ. Понявъ видѣніе, патріархъ, вмѣстѣ съ присутствующими становится на указанномъ мѣстѣ и говоритъ: «Во имя Господа нашего Іисуса Христа здѣсь копайте, чада». И когда вскопали самое мѣсто, на которомъ стоялъ агнецъ, и все кругомъ, патріархъ, взявъ лопату, ударяетъ мѣсто, гдѣ указывалъ агнецъ, легкимъ и поверхностнымъ ударомъ; и тотчасъ земля испускаетъ свѣтлую и пріятную для питья воду, которая, излившись съ силою, образуетъ большую рѣку. Когда всѣ радовались водѣ, патріархъ сказалъ: «Рѣчные потоки веселятъ градъ Божій».

V. 34: post ὁρᾷ al. inser. ἑστῶτα.
1) Num. XX, 6. Psal. LXXVII, 20. 2) Psal. XLV, 5.

Digitized by Google

CLXX. Ἐντεῦθεν ἡ πόλις περὶ αὐτὸν πᾶσα συνέρρεον καὶ τῇ τῆς πνευματικῆς ἐκείνης διδασκαλίας γλυκύτητι πρὸς τὴν ἀληθῆ πίστιν πάντας ἐπήγετο, ὡς καὶ πολλοὺς ὅσαι ἡμέραι βαπτίζεσθαι, εἰς πεντακοσίους τε τὸν ἀριθμὸν ἀναβῆναι καὶ τὴν εὐσέβειαν καθ' ἑκάστην ἐπιδιδόναι. Οὕπω τοίνυν ἐνιαυτὸς τὴν ὑπερορίαν ἐμέτρει, καὶ οἰκοδομοῦνται μὲν ὑπὸ τῶν πιστευσάντων ἐκκλησίαι τὸν ἀριθμὸν πέντε καὶ ἑβδομήκοντα, τεμένη τε εἰδώλων καὶ ναοὶ καθαιροῦνται, καὶ τὰ παραπεφυκότα τούτοις ἄλση, ἐπὶ πολὺ γῆς διικνούμενα, τὸ πῦρ κατανέμεται καὶ πᾶσα τῶν δαιμόνων καταβάλλεται ἡ μανία.

1 После этого к нему стекался весь городъ и онъ всѣхъ приводилъ въ истинную вѣру сладостью этого духовнаго ученія, такъ что ежедневно многіе крестились, число ихъ возросло до пятисотъ и благочестіе съ каждымъ днемъ возрастало. Еще не прошло и года ссылки, какъ увѣровавшими строятся церкви въ числѣ 75, капища и храмы идоловъ уничтожаются, огонь истребляетъ выросшія вокругъ ихъ рощи, занимавшія большія *пространства* земли, и все безуміе демоновъ низвергается.

CLXXI. Τηνικαῦτα οὖν ἐπίφθονός τε καὶ βαρεῖα φήμη τὰς τοῦ βασιλέως ἀκοὰς ὑποτρέχει, ἐπιδοῦναι τὰ Χριστιανῶν εἰς πλῆθος ἀριθμοῦ κρεῖττον καὶ καθ' ἑκάστην αὔξεσθαι τὴν ἡμέραν διδάσκουσα. Ἐφ' ᾧ δὴ καὶ Αὐφιδιανὸν αὐτίκα τὸν ἡγεμόνα ἐκεῖνος ἐκπέμπει, ὥστε μὴ μόνον μηδὲ περαιτέρω προελθεῖν αὐτὰ συγχωρῆσαι, ἀλλὰ καὶ τοὺς ἤδη χειρωθέντας ἐπαναγαγεῖν καὶ ἀποστῆσαι τῆς εὐσεβείας. Οὗτος τοίνυν τὴν Χερσῶνα καταλαβὼν καὶ πολλοὺς τῶν Χριστιανῶν πολλαῖς βασάνοις καὶ ποικίλαις ὑποβαλών, ἐπεὶ πάντας τῇ προθέσει μάρτυρας γεγενημένους ἑώρα καὶ πρὸς μυρίους παρεσκευασμένους θανάτους, τί ποιεῖ; ἀπέχεται μὲν τοῦ πλήθους, μὴ καὶ ἀπὸ τοῦ τέλους μάρτυρας πλείονας ἐργάσηται· τὸν αἴτιον δὲ μόνον κολάζει καὶ πάντα θυμὸν κατὰ τῆς μακαρίας ἐκείνης τοῦ Κλήμεντος ἀφίησι κεφαλῆς. Ἐπειδὴ δὲ πάντα ἦν αὐτῷ κοῦφα καὶ εἰς οὐδὲν λογιζόμενα, καὶ ἀφ' ὧν αὐτὸς ἔπασχε μᾶλλον πλείονα τοῖς ἄλλοις παρείχετο τὴν ἀσφάλειαν, σύντομον ἀπαλλαγὴν αὐτῷ τοῦ βίου καὶ ταχεῖαν ἐπινοεῖται, καὶ εἰς μέσην τὸν μάρτυρα τὴν θάλασσαν ἀγαγὼν καὶ ἄγκυραν σιδηρᾶν τοῦ τραχήλου ἐκδήσας καθίησι τῷ βυθῷ, ὅπως μηδὲ λείψανον ἐκείνου, φησίν, ὑπολειφθείη Χριστιανοῖς.

Тогда до ушей царя доходитъ зависливая и тяжкая молва, свидѣтельствующая, что число христіанъ возрастаетъ изо дня въ день и ежедневно увеличивается. Вслѣдствіе этого онъ немедленно высылаетъ *туда* игемона Авфидіана съ тѣмъ, чтобы онъ не только не позволялъ распространяться *христіанскому ученію*, но и просвѣщенныхъ имъ уже возвратилъ и заставилъ отступить отъ благочестія. Когда онъ, прибывъ въ Херсонъ и подвергнувъ многихъ христіанъ многимъ разнообразнымъ мученіямъ, увидѣлъ, что всѣ они добровольно сдѣлались мучениками и готовы были на тысячу смертей, то что онъ дѣлаетъ? Онъ отказывается отъ *преслѣдованія* толпы, чтобы не сдѣлать больше мучениковъ и изъ властей, а наказываетъ одного виновника и устремляетъ всю свою ярость на блаженную главу Климента. А такъ какъ для него все было легко и незначительно и отъ того, что онъ самъ переносилъ, онъ доставлялъ другимъ бо́льшую безопасность, то *Авфидіанъ* придумываетъ для него короткій и скорый конецъ жизни: привезя мученика на средину моря и привязавъ къ его шеѣ желѣзный якорь, онъ бросаетъ его въ бездну, чтобы, какъ онъ говорилъ, даже останки его не достались христіанамъ.

CLXXII. Ἀλλ' ὁ μὲν ἔρριπτο κατὰ τοῦ πελάγους· τὸ δὲ τῶν Χριστιανῶν πλῆθος ἐπὶ τοῦ αἰγιαλοῦ ἑστὸς ἐθρήνουν ἐλεεινῶς, ὠλοφύροντο καὶ οἰκτροτάταις φωναῖς ἀνεκάλουν τὸν πατριάρχην. Κορνήλιος δὲ καὶ Φοῖβος οἱ μαθηταὶ οἵας τὸ πάθος ἀπῄτει φωνὰς καὶ αὐτοὶ βοῶντες καὶ οὐκ ἔχοντες ὅ τι τῆς συμφορᾶς ποιήσονται παραμύθιον, Εὐξώμεθα πάντες ὁμοθυμαδόν, εἶπον, ὥστε

Такимъ образомъ онъ былъ брошенъ въ море; множество христіанъ, стоя на берегу, жалобно рыдали, стенали и самыми плачевными голосами призывали патріарха. Ученики его Корнилій и Фивъ, также взывая голосами, какихъ требовало мученіе, и не зная, чѣмъ утѣшить себя въ этой скорби, сказали: «Помолимся всѣ единодушно, чтобы намъ были показаны хотя останки

Digitized by Google

καὶν ἀναδειχθῆναι ἡμῖν τὸ τοῦ μάρτυρος λείψανον. Καὶ προσευχομένων αὐτῶν, ὦ τῶν μεγάλων σου, Δέσποτα, τεραστίων, θαυματουργεῖταί τι καὶ ταῦθα Θεὸς τοῦ Μωσέως παραδοξότερον [1]). Ὑποφεύγει μὲν γὰρ ἡ θάλασσα προσωτέρω σταδίους σχεδὸν οὐκ ἐλάττους τῶν εἴκοσι· προσελθόντες δὲ τὸ πλῆθος διὰ ξηροῦ τοῦ ἐδάφους — τῆς θαυμαστῆς σου καὶ τοῦτο, Χριστέ, δυνάμεως — εὑρίσκουσι λίθον ἐν εἴδει ναοῦ παρὰ τῆς σῆς ἀπορρήτου σοφίας πεποιημένον καὶ τὸ μαρτυρικὸν σῶμα λαμπρῶς ἐν αὐτῷ κείμενον καὶ τὴν βαρεῖαν ἐκείνην ἄγκυραν ἐγγιστά που τοῦ λίθου καὶ αὐτὴν κειμένην.

1 мученика». И когда они молились,— о, великіи чудеса Твои, Владыко, — Богъ совершаетъ и здѣсь чудо, болѣе удивительное, чѣмъ Моисеево: море отступаетъ далѣе не меньше, чѣмъ на двадцать стадій, и толпа, подойдя по сухому дну,—это также дѣло Твоей удивительной силы, Христе,— находитъ камень, устроенный Твоею таинственною мудростью въ видѣ храма, и великолѣпно возлежащее въ немъ тѣло мученика и тотъ тяжелый якорь, также лежащій весьма близко къ камню.

CLXXIII. Ἀλλ' ἀπεκαλύφθη Κορνηλίῳ καὶ Φοίβῳ ὥστε μὴ τὸ λείψανον ἐκεῖθεν μετακινῆσαι, καλῶς ἐν τῷ βυθῷ κείμενον· καὶ ὅτι καθ' ἑκάστην ἐνιαυτοῦ περιτροπὴν ἐν τῷ καιρῷ τῆς τοῦ μάρτυρος τελειώσεως ὑποχωρήσει παρ' ὅλας ἑπτὰ ἡμέρας τοῖς προσιοῦσιν ἡ θάλασσα, πεζῇ καὶ βάδην αὐτοῖς μέχρι τοῦ λειψάνου τὴν πάροδον ἐπιτρέπουσα. Ὅπερ ἐτησίως ἐξ ἐκείνου καὶ εἰς δεῦρο τελεῖται, τὴν ἐπιδημίαν τῆς αὐτοῦ μνήμης οἱονεί τινα ὅρον ἔχον καὶ προθεσμίαν. Ἐντεῦθεν αἵρεσις παρ' αὐτοῖς πᾶσα καὶ ἑλληνισμὸς καταλέλυται, τῶν ἐν τῇ τοῦ μάρτυρος μνήμῃ τελουμένων ἐκεῖ σημείων καὶ τῶν θαυμάτων εἰς ἐπίγνωσιν πάντας χειραγωγούντων καὶ καθαρῶς ἐναγόντων πρὸς τὴν ἀλήθειαν. Οὐδενὶ γὰρ τῶν ὑπό τινος ἀνηκέστου κακοῦ πιεζομένων τῆς τοῦ ὕδατος ἐκείνου μεταλήψεως καὶ τοῦ ῥαντισμοῦ πλέον ἐδέησε πρὸς τὴν τοῦ κατέχοντος αὐτὸν πάθους ἀπαλλαγήν.

Но Корнелію и Фиву было открыто, чтобы не переносили оттуда останковъ, прекрасно лежащихъ въ пучинѣ, и что по прошествіи каждаго года во время кончины мученика море въ теченіе цѣлыхъ семи дней будетъ отступать для приходящихъ, предоставляя имъ доступъ къ останкамъ сухимъ путемъ и медленнымъ шагомъ. Это *чудо* съ тѣхъ поръ ежегодно совершается доселѣ, имѣя наступленіе его памяти какъ бы предѣломъ и срокомъ. Вслѣдствіе этого у нихъ уничтожилась всякая ересь и идолопоклонство, такъ какъ совершаемыя тамъ въ *дни* памяти мученика знаменія и чудеса всѣхъ приводятъ къ познанію и прямо ведутъ къ истинѣ. Ибо никому изъ страдающихъ какою-либо неизлѣчимою болѣзнью не нужно было *ничего*, кромѣ принятія этой воды и окропленія *ею*, для избавленія отъ одержащаго его страданія.

CLXXIV. Ἀλλὰ ταῦτα μὲν δὴ τοιαῦτα καὶ οὕτως ἔχοντα· ἐκεῖνο δὲ καὶ λίαν πολλῷ μεῖζον καὶ ἱκανὸν τὰ προλαβόντα πιστώσασθαι. Ἐπειδὴ γάρ, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, εἰς πέλαγος ὁ μάρτυρ ἐφίετο καὶ εἰς ὑδάτων μυχοὺς ἔρριπτο, ἥ τε θάλασσα ὑπέβαινε πορρωτέρω, καθάπερ ὑπὸ πόδα χωροῦσα, μηνυτὴς τοῦ λειψάνου παραδόξως γινομένη καὶ βυθὸν πεζεύειν τῷ βουλομένῳ παρέχουσα· πολὺ μέντοι πλῆθος τηνικαῦτα Χριστιανῶν πρὸς τὴν τοῦ λειψάνου θέαν ἠπείγοντο. Μετὰ δὲ ταῦτα καὶ ἡ μεγίστη ἑορτὴ τὸ θαῦμα ἤγετο· ἐκεῖνο δὲ μᾶλλον ἐποίει τὴν ἑορτήν, οὐ γεγονὸς ἅπαξ, εἶτα παυσάμενον, ἀλλὰ καθ' ἑκάστην ἐνιαυτοῦ περίοδον ὁμοίως τελούμενον καὶ

Таковы были и такъ совершались эти *чудеса*. Но слѣдующее *чудо* было еще гораздо больше и достаточно, чтобы удостовѣрить предыдущее. Когда, какъ указано въ предыдущей рѣчи, мученикъ былъ опущенъ въ море и брошенъ въ водяныя бездны, море отступило дальше, какъ бы идя подъ ногами, удивительнымъ образомъ дѣлаясь указателемъ *мѣста нахожденія* мощей и предоставляя пучину для пѣшаго хожденія всякому желающему. Тогда большое количество христіанъ спѣшило для созерцанія мощей. Послѣ этого и величайшій праздникъ принесъ съ собою чудо; а оно еще больше дѣлало праздникъ, такъ какъ произошло не однажды только, а потомъ пре-

V. 46: «al. πολλοὺς ἐπὶ θέαν ἐπήγετο. μετά».
1) Exod. XIV.

Digitized by Google

τὰς ἀσεβεῖς ψυχὰς συγκαλοῦν εἰς ἑστίασιν. Ἐπεὶ τοίνυν οὕτω ταῦτα, καὶ οἱ κατὰ Χερσῶνα πάντες Χριστιανοὶ πρὸς τὴν τοῦ θαύματος πανήγυριν ἐτησίως συνέτρεχον, θαυματουργεῖ τι κἀνταῦθα Θεός, τῶν προγεγονότων παραδοξότερον.

CLXXV. Ἀνὴρ γάρ τις θεοσεβὴς ἅμα γυναικὶ καὶ ἄρρενι τέκνῳ, τοῦ θαύματος ἤδη τελουμένου, πρὸς τὸ μαρτυρικὸν ἐκεῖνο καὶ αὐτοὶ σῶμα μετὰ τοῦ συρρέοντος πλήθους ἐχώρουν. Τὸ πέλαγος οὖν ἐκ ποδὸς διαβάντες καὶ τὸν ἐν μυχῷ τούτου καταλαβόντες ναόν, τῆς χειρὸς λαβόμενοι τοῦ παιδὸς οἱ πατέρες, ἐπεὶ τοῦ ναοῦ ἔνδον ἐγένοντο καὶ τὴν ἁγίαν ἐκείνην περιστάντες σορὸν τά τε ἄλλα ἐδέοντο τοῦ ἁγίου καὶ ὑπὲρ τοῦ παιδὸς ἐλιπάρουν ὅσα πατέρας εἰκός. Εὐξάμενοι οὖν καὶ θερμῶς τὸν τάφον περιπτυξάμενοι, αὐτοὶ μὲν ἤδη τῆς πανηγύρεως τελεσθείσης καὶ οἰκαδε πάντων ἐπανιόντων ὀπίσω πάλιν μετὰ τοῦ συνδραμόντος πλήθους ἐχώρουν· τὸ παιδίον δὲ τοὺς τεκόντας λαθὸν οὐκ οἶδ' ὅπως μόνον παρὰ τῇ σορῷ κατελέλειπτο, πάντως τῆς ἀκαταλήπτου προνοίας τοῦ Θεοῦ καὶ τοῦτο οἰκονομησαμένης, ἵνα τιμήσῃ πλέον τὸν καὶ ψυχὴν καὶ σῶμα δι' αὐτὸν ἡδέως προθέμενον. Καὶ τὸ μὲν ὕδωρ ἐπαναστρέφον εἰς τὰ οἰκεῖα ἐκάλυπτε τὸν βυθὸν καὶ πέλαγος ἐγίνετο.

CLXXVI. Οἱ πατέρες δὲ μικρὸν ἀπὸ τοῦ λειψάνου προελθόντες, ὡς ἤδη τὸν παῖδα παρ' αὐτοῖς οὐχ ἑώρων, εἰς ἔρευναν αὐτοῦ τρέπονται καὶ ὀπίσω στραφέντες, ὥστε τὸ παιδίον εὑρεῖν, πέλαγος ὁρῶσι πάλιν τὴν ἐπὶ τὸ λείψανον ἐξῆς φέρουσαν· καὶ αὐτίκα θορυβοῦνται, ταράττονται, κλονοῦνται, θερμότερον ὁρμῶσι πρὸς τὴν τοῦ παιδὸς ζήτησιν. τὸ δὲ ἄρα ἦν ἐν τῇ σορῷ καταλελειμμένον. Ἐπεὶ δὲ πολλὰ καμόντες τὸ παιδίον οὐχ εὗρον, ἀλλ' ἐν τῷ βυθῷ καταλελεῖφθαι αὐτοῖς ἐνομίσθη, ὥσπερ ἄρα καὶ ἦν, μακρόν τε καὶ γοερὸν ἀνεβόων ἀνακαλούμενοι τὸν υἱὸν καὶ τὰ στήθη ἔπαιον καὶ τὴν κατασχοῦσαν αὐτοὺς ἀνωλοφύροντο συμφοράν. Εἶτα καὶ πρὸς τὸν ἅγιον οἷά περ ἂν ὀδυνωμένη ψυχὴ φθέγξαιτο ἔλεγον, θάνατον ἑαυτοῖς ἀντὶ τῶν παρόντων εὐχόμενοι· ἕως τῶν πλησίον τινὲς περιπεσόντες αὐτοῖς ἐκ-

кратилось, но въ каждый годовой періодъ совершалось одинаково и созывало нечестивыя души на пиршество. Когда это *совершалось* такимъ образомъ и всѣ христіане въ Херсонѣ ежегодно сходились на празднованіе чуда, Богъ и тутъ совершаетъ *новое* чудо, еще болѣе поразительное, нежели предыдущія.

Нѣкій благочестивый мужъ съ женою и дитятею мужскаго пола, когда уже совершалось чудо, пошли вмѣстѣ съ собравшеюся толпою къ тому мученическому тѣлу. Перейдя пѣшкомъ море и достигнувъ находящагося въ глубинѣ его храма, родители, державшіе за руку дитя, войдя въ храмъ и ставъ окрестъ святаго гроба, возсылали молитвы святому и особенно молились за дитя, какъ и подобаетъ родителямъ. Помолившись и горячо облобызавъ гробъ, сами они, когда уже окончилось празднество и всѣ возвращались домой, пошли назадъ вмѣстѣ съ собравшеюся толпою; между тѣмъ ребенокъ, непзвѣстно какимъ образомъ скрывшись изъ глазъ родителей, остался одинъ у гроба; безъ сомнѣнія, и это устроилъ непобѣдимый Промыслъ Божій, дабы *еще* болѣе почтить того, кто охотно предалъ за него и душу и тѣло. Вода, возвращаясь на прежнее мѣсто, покрыла дно и образовала море.

Родители, пройдя немного впередъ отъ мощей и не видя при себѣ дитяти, начинаютъ разыскивать его и, обернувшись назадъ, чтобы найти дитя, видятъ снова море на мѣстѣ дороги, ведущей къ мощамъ. Они тотчасъ приходятъ въ безпокойство, смущеніе, суетятся, начинаютъ еще ревностнѣе разыскивать ребенка, — а онъ былъ оставленъ у гробницы. Когда они послѣ многихъ трудовъ не нашли ребенка и подумали, что онъ остался въ безднѣ, какъ и было на самомъ дѣлѣ, то стали испускать продолжительные и жалобные крики, призывая дитя, били себя въ грудь и оплакивали поразившее ихъ несчастіе. Затѣмъ они говорили и святому, что можетъ выражать наболѣвшая душа, прося себѣ смерти вмѣсто настоящихъ *бѣдъ*. Наконецъ нѣкоторые изъ близкихъ, встрѣтивъ ихъ уже

V. 1: «al. εὐσεβεῖς, ut legit interpres».

Digitized by Google

λελυμένοις ὑπὸ τῶν θρήνων ἤδη καὶ πολλὰ ἐπὶ τῷ πάθει καὶ αὐτοὶ ἐκχέαντες δάκρυα, παρεμυθήσαντό τε αὐτοὺς καὶ ὑφεῖναι τῆς μακρᾶς λύπης ἐποίησαν. Ἀλλὰ πρὸς τὴν οἰκίαν ἐκείνων ἐπανελθόντων μεῖζον καὶ πάλιν τὸ πάθος ἐγίνετο, καὶ ἱμάτιον ὀφθὲν τοῦ παιδὸς, εἴτε τινὰ τῶν ἐκείνῳ συνήθων εἰς μνήμην τοῖς πατράσιν ἐλθόντα, χαλεπωτέραν αὐτοῖς ἐποίει τὴν συμφοράν.

CLXXVII. Τοῦ ἐνιαυτοῦ δὲ ἤδη περιελθόντος καὶ τῆς λαμπρᾶς ἑορτῆς ἐκείνης ἄγεσθαι πάλιν μελλούσης ἐκέντει τε αὐτοὺς ἐπὶ πλέον τὸ πάθος καὶ σφοδρότερον πάλιν τοῦ παιδὸς ἀνεμίμνησκε. Καὶ δῆτα πρὸς ἀλλήλους «Ἴωμεν, φασί, πρὸς τὸν τάφον· ἴδωμεν εἴ τι τοῦ παιδὸς ὑπολέλειπται λείψανον, εἴ πως κἂν αὐτὸ κομιούμεθα». Ταῦτα καὶ ὅσα τοῦ πάθους πρὸς ἑαυτοὺς κοινολογησάμενοι προέρχονται τῆς οἰκίας πενθικῶς ἐσκευασμένοι καὶ τὰς ὁράσεις ὑπὸ τῶν δακρύων ἐκτετηκότες, καὶ παρὰ τὸν αἰγιαλὸν ἀφικνοῦνται. Καὶ ὑποχωρεῖ μὲν εὐθέως ἡ θάλασσα τῆς προθεσμίας καταλαβούσης· ἀκολουθοῦσι δὲ αὐτοὶ πρῶτοι, καὶ μετὰ πόδας ἕτεροι πάλιν, τῇ θαλάσσῃ καθάπερ ὁδηγῷ χρώμενοι. Καὶ τὸν αὐτομάτως οἰκοδομηθέντα ναὸν ἐκεῖνον, μᾶλλον δὲ ὑπὸ τῆς σῆς, Δέσποτα, σοφίας δημιουργηθέντα καταλαβόντες ὁρῶσι τὸ παιδίον, ὢ τοῦ θαύματος! ζῶν καὶ ἀλλόμενον παρὰ τῷ ναῷ [1]). Καὶ πρῶτον μὲν ἀμφιβόλως εἶχον πρὸς τὰ ὁρώμενα, λογιζόμενοι μὴ οὐχ ὁ παῖς ᾖ τὸ φαινόμενον. Ἐπεὶ δὲ καὶ τοῖς γνωρίσμασι καὶ τοῖς σχήμασι πάντοθεν εἰς πίστιν αὐτοὺς τὸ παιδίον ἐνῆγε καὶ τοῦτον ἐκεῖνον εἶναι τὸν υἱὸν ἐπίστευσαν, περιχυθέντες εὐθέως αὐτῷ καὶ ὀφθαλμοὺς καὶ χείλη προσφύντες ἔκλαιόν τε μέχρι πολλοῦ, τὰ γλυκέα δὴ ταῦτα ὑφ' ἡδονῆς προχέοντες δάκρυα, καὶ θερμῶς αὐτὸν ὥσπερ γυμνῇ τῇ ψυχῇ κατεφίλουν.

CLXXVIII. Ἔπειτα μικρὸν ἑαυτοὺς ἀναλαβόντες ἠρώτων ἀκριβῶς ἕκαστα τὸ παιδίον, ὅπως οὕτω παραδόξως διεσώθη, τίνος φυλάττοντος, τίνος τρέφοντος, τίνος θάλποντος, τίνος ζωογονοῦντος· Τὸ δὴ τῇ μὲν λαιᾷ χειρὶ τὴν σορὸν κατέχον, θατέρᾳ δὲ τὸν ἐν αὐτῇ κείμενον ὑποδεικνύον, «Οὗτός μοι καὶ τῆς ζωῆς πάροχος, ἔλεγε, καὶ τροφεὺς καὶ φύλαξ, παρ' ἑαυτῷ γνησίως ἀεί με τηρῶν καὶ καλῶς τιθηνούμενος». Θαύ-

1 изнемогшихъ отъ рыданій, пролили и сами обильныя слезы о *постигшемъ ихъ* горѣ, *но потомъ* утѣшили ихъ и побудили успокоиться отъ тяжкой печали. Но когда они возвратились домой, ихъ горе снова усилилось: видъ платья ребенка и воспоминанія объ его привычкахъ дѣлали несчастіе родителей еще болѣе тяжкимъ.

Прошелъ уже *цѣлый* годъ. Когда снова долженъ былъ совершиться этотъ славный праздникъ, горе еще болѣе стало мучить ихъ и сильнѣе напоминать снова о дитяти. И вотъ они говорятъ другъ другу: «Пойдемъ ко гробу! посмотримъ, не сохранились ли какіе-нибудь останки дитяти и нельзя ли хоть ихъ принести сюда». Обмѣнявшись этими *словами* и другими *выраженіями* скорби, они выходятъ изъ дому въ печальномъ одѣяніи, съ очами истаявшими отъ слезъ, и приходятъ къ берегу. Съ наступленіемъ срока море тотчасъ отступаетъ; они слѣдуютъ первыми, а по слѣдамъ ихъ *идутъ* другіе, какъ бы имѣя море путеводителемъ. Достигнувъ храма, который воздвигся самъ собою или, точнѣе *говоря*, былъ созданъ Твоею премудростью, Владыко, они — о чудо! — видятъ дитя здравымъ и прыгающимъ подлѣ храма. Сначала они не вѣрили своимъ глазамъ, недоумѣвая, сынъ ли имъ представляется. Но когда ребенокъ всѣми примѣтами и жестами довелъ ихъ до убѣжденія и они повѣрили, что онъ именно ихъ сынъ, то тотчасъ обняли его и, впившись глазами и устами, долго плакали, проливая теперь сладкія слезы радости, и горячо цѣловали, раскрывая всю свою душу.

Затѣмъ, немного придя въ себя, они стали распрашивать дитя о подробностяхъ: какъ онъ былъ спасенъ столь поразительнымъ образомъ, кто его охранялъ, кто кормилъ, кто согрѣвалъ, кто оберегалъ жизнь? Дитя, держась лѣвою рукою за гробницу, а правою указывая на лежащаго въ ней, сказало: «Вотъ онъ былъ и спасителемъ моей жизни, и кормильцемъ, и охранителемъ; онъ всегда держалъ меня при себѣ и пре-

1) «Ἀλλώμενον ex Ephraemo. At Nicephorus, παρακαθήμενον λάρνακι. In ms. 2421, ἐν τῇ τοῦ ἁγίου καθήμενον λάρνακι. Gregorius, *dormientem*»... Cot.

Digitized by Google

ματι οὖν οἱ τεκόντες ἀπορρήτῳ σὺν ἡδονῇ ληφθέντες τοὺς προτέρους θρήνους καὶ τὰ σκυθρωπὰ τοῦ πάθους ἐκεῖνα ῥήματα εἰς φαιδρότητα καὶ εὐχαριστίαν μετέβαλον, «Θαυμαστὸς, λέγοντες, ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ» [1]) καὶ ὅσα ἑξῆς προστιθέντες. Ἐπανέρχονται τοίνυν μακάριοι καὶ ζηλωτοὶ πρὸς τὴν οἰκίαν, ὃν ὡς νεκρὸν ἐπένθουν καὶ τάφον αὐτῷ θαλαττίου γαστέρα θηρὸς ἐπεφήμιζον, μᾶλλον δὲ οὐ μηδὲ λείψανον εὑρεῖν προσεδόκουν, τοῦτον μεθ' ἑαυτῶν βαδίζοντα ἔχοντες καὶ συλλαλοῦντα ὁρῶντες ἄφατόν τι χρῆμα πατράσιν εἰς ἡδονὴν καὶ ἀπόρρητον γλυκύτητα τοῖς ἐκείνων σπλάγχνοις ἐναποστάζον [2])...

красно кормилъ». Родители, пораженные несказаннымъ чудомъ и радостью, перемѣнили прежнія причитанія и печальныя слова горести на веселіе и благодарность, говоря: «Дивенъ Богъ во святыхъ Его» и прибавляя послѣдующія *слова*. Счастливые и завидные возвращаются они домой; тотъ, кого они оплакивали какъ мертваго и чьимъ гробомъ называли чрево морскаго чудовища, или, лучше *сказать*, чьихъ останковъ даже не ожидали они найдти,—тотъ шелъ вмѣстѣ съ ними, и они видѣли, какъ онъ лепеталъ что-то, доставлявшее родителямъ невыразимое удовольствіе и проливавшее въ ихъ сердца таинственную сладость...

ΟΡΦΕΩΣ ΑΡΓΟΝΑΥΤΙΚΑ. ОРФЕЕВЪ ПОХОДЪ АРГОНАВТОВЪ.

[«Argonauticorum scriptorem antiqui Orphei nomen ementitum saeculo post Christum natum quarto post Quintum Smyrnaeum et ante Nonnum vixisse argumentis e re metrica et dicendi genere sumptis probavit Hermann». (Abel).—Текстъ: Orphica. Recensuit Eug. Abel. Pragae-Lipsiae 1885].

[Стихи 1—46 содержатъ обращенное къ Аполлону вступленіе].

47. Νῦν δὲ....
49. πεύσῃ ἀφ' ἡμετέρης ἐνοπῆς, ὅσσα πρὶν ἔκευθον·
ὡς ποτε Πιερίην Λειβήθρων τ' ἄκρα κάρηνα
ἡρώων τε καὶ ἡμιθέων πρόμος εἰσεπέρησε
λισσόμενος μ' ἐπίκουρον ἑοῦ νόστοιο γενέσθαι
ποντοπόρῳ σὺν νηὶ πρὸς ἄξενα φῦλ' ἀνθρώπων
ἔθνος ἐς ἀφνειὸν καὶ ἀτάσθαλον, ᾧ ἔνι κραῖνεν
55. Αἰήτης, υἱὸς φαεσιμβρότου Ἠελίοιο.
Θέσφατα γὰρ Πελίης δειδίσσετο, μή οἱ ὄπισθε
χειρὸς ὕπ' Αἰσονίδης καθέλῃ βασιλήιον ἀρχήν.

Теперь... ты узнаешь изъ нашихъ словъ, что я прежде скрывалъ: какъ нѣкогда первый изъ героевъ и полубоговъ пришелъ въ Піерію и на крутыя вершины Ливееровъ, прося меня быть сотрудникомъ его плаванія на мореходномъ кораблѣ къ негостепріимнымъ племенамъ людей, къ богатому и дерзкому народу, надъ которымъ царствовалъ Эитъ, сынъ лучезарнаго Илія.

Ибо Пелій очень боялся, чтобы впослѣдствіи Эсонидъ не отнялъ у него силою царскую власть, и *поэтому* хитроумно указалъ ему коварный путь: онъ приказалъ

---

1) Psal. LXVII, 36. 2) Объ изложенномъ чудѣ существуетъ особое сказаніе, приписываемое св. Ефрему, архіепископу Херсонскому (Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἐφραὶμ ἀρχιεπισκόπου Χερσῶνος περὶ τοῦ θαύματος τοῦ γεγονότος εἰς παῖδα ὑπὸ τοῦ ἁγίου ἱερομάρτυρος Κλήμεντος. Migne, Patrol. ser. Gr. v. II, cc. 633—646 и по Моск. рукописи въ *Зап. Од. Общ.* т. IX, стр. 134—148). Оно будетъ приведено въ 3-мъ томѣ нашего сборника въ отдѣлѣ житій святыхъ, подвизавшихся въ предѣлахъ Скиѳіи и Кавказа. Тамъ же приведемъ и выдержки изъ Μαρτύριον τοῦ ἁγίου Κλήμεντος» (Migne, ibid. cc. 617—632; *Зап. Од. Общ.* X, стр. 139—163).

Digitized by Google

καὶ οἱ ὑπὸ πραπίδεσσι δόλου τρίβον ἡπεροπευε·
τάσσε γὰρ ἐκ Κόλχων κῶας χρύσειον ἐνεῖκαι
Θεσσαλίην εὔπωλον....

ему привезти изъ Колхиды въ богатую конями Ѳессалію золотое руно...

[Получивъ такое приказаніе, Іасонъ обратился съ молитвою къ Ирѣ, которая приказала Аѳинѣ построить для него корабль, а затѣмъ приступилъ къ Орфею съ просьбою сопутствовать ему въ отдаленныя края негостепріимнаго моря къ Фасиду (ст. 85: Ἀξείνου πόντοιο μυχοὺς καὶ Φᾶσιν ἐραννόν). Орфей соглашается исполнить эту просьбу и приходитъ съ лирою къ Миніямъ на Пагассейскіе берега (ст. 60—112). Далѣе идетъ перечень героевъ, участвовавшихъ въ походѣ, съ указаніемъ происхожденія и качествъ каждаго (ст. 113—230), описаніе приготовленій къ походу и начало самаго похода до прибытія къ р. Парѳенію (ст. 231—732)].

ἔνθεν ἄκρην προβλῆτα παραπλώσαντες ἔβημεν
γῆν ἐπὶ Παφλαγόνων, τὴν οἱ παράμειψε θέουσα
Ἀργὼ ὑπὲρ μέγα λαῖτμα· Καραμβίην δ' ἵκετ' ἄκρην,
ἧ ἔπι Θερμώδων χέεται Ἅλυός τε ῥέεθρον
πολλὸν ἐπ' Αἰγιαλὸν δίνας ἁλιμυρέας ἔλκον.
νέρθεν δ' ἐπιθρώσκουσι Βορειάδος ἀντίον ἄρκτου
μακρὰ Θεμισκύρης Δοιαντίδος**
ἀγχὶ δ' Ἀμαζονίδων δαμνίππων ἄστεα κεῖται
καὶ Χάλυβες Τιβαρηνά τ' ἔθνη λαοί τε Βέχειρες
μίγδην Μοσσύνοισι πέδον περιναιετάουσι.
βαιὰ δ' ἐπιπλώσαντες ἐκέλσαμεν αἰγιαλοῖσιν,
ἠχί τε Μακριέες Μαριανδυνοῖσιν ὅμουροι.
νέρθε δέ τοι Ἑλίκης δολιχὸς παρακέκλιται αὐχήν,
ἔνθα δ' ὑπωρείῃσιν ἐπὶ προβλῆσι κυκλοῦνται
τηλεφανεῖς αὐλῶνες ὑπὲρ μυχὸν εὐρέα πόντου·
οὐ Σίνδης ὄρος αἰπὺ καὶ εὐθαλέες λειμῶνες·
ἔνθα τ' Ἀράξεω ῥεῦμα μεγαβρεμέτου ποταμοῖο,

Оттуда, миновавъ выступающій мысъ, мы пошли къ землѣ Пафлагонянъ, которую обогнулъ Арго, быстро двигаясь по высокимъ волнамъ. Онъ прибылъ къ мысу Карамвійскому, у котораго течетъ Ѳермодонтъ и потокъ Алія, клубящійся большими и бурными водоворотами къ Эгіалу. Съ другой стороны, противъ Сѣверной Медвѣдицы, выступаютъ длинныя... Діантской Ѳемискиры, а вблизи лежатъ города конеборныхъ Амазонидъ и живутъ Халивы, племена Тиварнскія и народы Вехиры на равнинѣ вмѣстѣ съ Моссинами.

Проплывъ немного, мы пристали къ берегамъ, гдѣ Макріейцы сосѣдятъ съ Маріандинами. Затѣмъ тянется длинный перешеекъ Елики, гдѣ на выдающихся подгорьяхъ идутъ кругомъ далеко видныя ущелья надъ широкимъ заливомъ моря. Тамъ крутая гора Синдъ и цвѣтущіе луга и потокъ многошумной рѣки Аракса, изъ которой текутъ Ѳермодонтъ, Фасидъ и Танаидъ. Тамъ славныя племена Колховъ, Пніоховъ и Авазговъ. Минуя его, мы пристали къ отдаленнѣйшимъ пристанямъ Уровъ, Хиндэевъ, Харандэевъ и Солимовъ,

---

V. 739 «Lacunae signa Ruhnken posuit pro verbis ἄψεα κεῖται e versu sequ. temere repetitis». Abel [omnes quae sequuntur adnotationes criticae ex eiusdem editione exscriptae sunt]. — 741 λαοί τε Βέχειρες Stephanus et miniator codicis Vossiani] λαοί τ' ἐπίχειρες. — 742 Μοσσύνοισι Hermann] μνημοσύνης (codd. dett. ἐν μοσύνοισι).—744 Μακριέες Abel] μάκροι (μαῦροι) ἔσαν.—748 Σίνδης Hermann] σύμης.

Digitized by Google

750. ἐξ οὗ Θερμώδων, Φᾶσις Τάναΐς τε ῥέ-
ουσιν·
οὐ Κόλχων κλυτὰ φῦλα καὶ Ἠνιόχων
καὶ Ἀβάσγων·
ὃν παραμειβόμενοι μυχάτοις ἐπεπλείο-
μεν ὅρμοις
Οὔρων Χινδαίων τε Χαρανδαίων Σολύ-
μων τε,
Ἀσσυρίων τε λεὼν τρηχύν τ' ἀγκῶνα
Σινώπης,
755. καὶ Φίλυρας Ναπάτας τε καὶ ἄστεα
πυκνὰ Σαπείρων,
Βύζηράς τ' ἐπὶ τοῖσιν ἰδ' ἄξενα φῦλα
Σιγύννων.
Ἴκτο δ' ὑπὸ πνοιαῖς ἀνέμου πλησίστιος
Ἀργὼ
ὄρθριος, ἐρχομένης ἠοῦς ἐπ' ἀπείρονα
κόσμον,
ἐς πέρατ' Ἀξείνου Φᾶσιν κατὰ καλλι-
ρέεθρον.
760. αὐτὰρ ἐπεὶ ποταμοῖς διὰ στόμα πρηὺ
ῥέοντος
ἰκόμεθ' αὐτίκα οἱ στέφανος καὶ τεῖχος
ἐρυμνὸν
Αἰήτεω κατέφαινε καὶ ἄλσεα· τοῖς ἔνι
κῶας
χρύσεον ἠώρητο χαλαζαίῃ ἐπὶ φηγῷ.

затѣмъ миновали народъ Ассирійскій, крутой выступъ Синопы, Филировъ, Напатовъ, густо населенные города Сапировъ, а за ними — Визировъ и негостепріимныя племена Сигинновъ.

Утромъ, когда денница разливалась по безграничному міру, Арго съ надутыми парусами подъ дыханіемъ вѣтра прибылъ къ предѣламъ Аксина у краснаго потока Фасида. Когда мы прошли черезъ устье спокойно текущей рѣки, тотчасъ показался вѣнецъ и крутая стѣна Эта и рощи, въ которыхъ висѣло золотое руно на крѣпкомъ букѣ.

[Въ ст. 764—1019 содержится подробный разсказъ о похищеніи золотаго руна Іасономъ при помощи Медіи].

1020. Ἥρωες Μινύαι μέγ' ἐγήθεον, ἂν δ' ἄρα χεῖρας
ἀθανάτοις ἤειραν, οἳ εὐρανὸν εὐρὺν
ἔχουσιν.
ὣς οἳ μὲν περὶ κῶας ὁμίλεον· αἶψα δ' Αἰήτης
ἀμφιπόλων ἤκουσε ἀποιχομένην Μήδειαν.
ὦκα δ' ἄρ' Ἄψύρτῳ ἐπετέλλετο λαὸν ἀγείρειν,
1025. μαστεύειν δ' ἄρα παῖδα κασιγνήτην καὶ ὅπατρον·
ἀλλὰ οἱ ὠκὺς ἕπειγε παρὰ προχοὰς ποταμοῖο
ἐς λόχον ἡρώων, ἔκιχεν δ' ἄρα παρθένον αἰνήν.
νὺξ δὲ οἱ ἀστροχίτων μέσσης παράμειβε πορείην·
ἐκ δ' ἐτελεῖτο δόλος στυγερὸς καὶ κῆρες ἀϊδναὶ

Минійскіе герои очень обрадовались и подняли руки къ безсмертнымъ, живущимъ на широкомъ небѣ. Такъ занимались они руномъ. Вдругъ Эетъ услышалъ отъ прислужницъ объ уходѣ Медіи; онъ тотчасъ приказалъ Апсирту собрать народъ и отправиться на поиски единокровной сестры. Тотъ быстро поспѣшилъ къ устью рѣки къ отряду героевъ и встрѣтилъ *тамъ* могучую дѣву. Звѣздная ночь застала его посреди̇ пути; совершилось ужасное коварство и жестокое убіеніе славнаго Апсирта вслѣдствіе любви Медіи. Его убили и бросили въ устье текучей рѣки; она понесла его быстрою волною и, крутя въ водоворотахъ въ волны вѣчно плещущаго моря, выбросила на островахъ, которые зовутъ Апсиртовыми. Но *убійцы* не скрылись отъ всевидящаго Зевса и отъ возмездія. Они бросились на корабль, обрубили съ обѣихъ

751 Ἀβάσγων Hermann] ἀραξων.—756 Σιγύννων Eschenbach] σιγύμνων.—1022 ὁμίλεον Abel] ὀπώπεον.

Digitized by Google

Μηδείης ὑπ' ἔρωτος ἀγακλύτου Ἀψύρτοιο,
ὃν ῥα κατακτείναντες ἐπὶ προχοὰς μεδέηκαν
ὀρνυμένου ποταμοῖο· φέρεν δ' ὄγε κύματι κραιπνῷ
θεινόμενον δίναις δ' ἐς κῦμ' ἁλὸς ἀτρυγέτοιο
κέλσεν ὑπὲρ νήσων, Ἀψυρτίδας ἃς καλέουσιν.
ἀλλὰ οἱ οὔτι λάθον Διΐ ἐπόψιον οὐδὲ θέμιστας.
αὐτὰρ ἐπεὶ νηὸς μὲν ἔσω κίον, ἐκ δ' ἐκάτερθεν
ὄχθης πείσματ' ἔκοψαν, ὑπ' εἰρεσίαις δὲ θοῇσι
πλεῖον ἐπειγόμενοι ποταμοῦ τόμον· οὐδὲ κατ' ἰθὺ
πόντον ἐπ' ἰχθυόεντα διὰ στόμα Φάσιδος εὐρὺ
ἐμεθ'· ἀμπλακίῃ δὲ φορεύμεθα πολλὸν ὀπίσσω
αἰὲν ἀναπλείοντες· ἐλείπετο δ' ἄστεα Κόλχων
ἀφραδέσιν Μινύαις, δνοφερὴ δέ τε ἄμφεχεν ὄρφνη.
αὐτὰρ ἐπειγόμενοι θέομεν ῥόον ἀφραδίῃσι
μεσσάτιοι πεδίοιο· βροτοὶ δέ μιν ἀμφινέμονται
Γυμνοὶ Βουονόμαι τε καὶ Ἄρκυες ἀγροιῶται
Κερκετικῶν τ' ἀνδρῶν φῦλον Σίνδων τ' ἀγερώχων,
οἳ νάσσαντο μεσηγὺ Χαρανδαίων αὐλώνων
Καυκάσιον παρὰ πρῶνα διὰ στεινῆς Ἐρυθείης.
ἀλλ' ὅτ' ἀπ' ἀντολίης ἐφάνη τερψίμβροτος ἠώς,
ποιανθεῖ νήσῳ προσεκέλσαμεν, ἔνθα τε δισσὰ
χεύμασιν ἁπλήτοισι περισχίζουσι ῥέεθρα,
Φᾶσις τ' εὐρυμενὴς ἀκαλαρρείτης τε Σαράγγης,
τόν ῥα πλημμύρουσα διὰ χθονὸς εἰς ἅλα πέμπει
Μαιῶτις καναχηδὸν ἐλειονόμου διὰ ποίης.

сторонъ причалы, *привязывавшіе его* къ берегу, и быстро поплыли на веслахъ по рѣчному разрѣзу; но мы не бросились прямо къ изобильному рыбою морю чрезъ широкое устье Фасида; мы были увлечены заблужденіемъ, постоянно выплывая далеко назадъ. Города Колховъ остались позади неразумныхъ Миніевъ и густой туманъ окуталъ ихъ. Затѣмъ мы по неразумію поспѣшно бѣжали по теченію посреди равнины; ее населяютъ смертные Гимны, Вуономы и дикіе Аркіи, а также племя мужей Керкетскихъ и гордыхъ Синдовъ, которые жили посреди Харандэйскихъ ущелій у Кавказскаго хребта въ узкой Ерноіи. Когда на востокѣ появилась веселящая смертныхъ денница, мы пристали къ покрытому травою острову, который образуютъ своими изобильными руслами два потока, именно широко-могучій Фасидъ и плавно текущій Сарангъ, который съ шумомъ посылаетъ по землѣ въ море полноводная Меотида чрезъ болотную траву.

1030 ἀγακλύτου Abel] ἐρικλύτου.—1033 θεινόμενον δίναις δ' Hermann] θεινόμενος δὲ δίναις.—1038 οὐδὲ κατ' ἰθύ Hermann] οὔτι κατευθύ.—1042 δνοφερὴ Ruhnken] σκοτερή.—1045 βουνόμαι codd.—1046 Σίνδων Eschenbach] σινδῶν (σιντῶν).—1047 νάσσαντο Hermann] κείσαντο (κήσαντο).—1050 ἔνθα τε δισσὰ Hermann] ἐνθάδε δισσοί.—1051 ἁπλήτοισι Herman] ἁπλώτοισι.

Digitized by Google

καὶ τόθ' ὑπ' εἰρεσίῃ πλέομεν διὰ νύκτα καὶ ἦμαρ·
δισσαῖς δὲ τρομερῇσι Βοὸς πόρον ἐξικόμεσθα,
λίμνης ὄντα μεσηγύ, βοοκλόπος οὔ ποτε Τιτὰν
ταύρῳ ἐφεζόμενος βριαρῷ πόρον ἔσχισε λίμνης.
καί ῥα πανημερίῃσι πονεύμενοι εἰρεσίῃσι
Μαιώτας πρώτους ἀφικάνομεν ἀβροχίτωνας
ἠδὲ Γελωνὸν ἔθνος Βαθυάγρων τ' ἄπλετα φῦλα
Σαυρομάτας τε Γέτας τε καὶ Ὑλαίους Κέκρυφάς τε
Ἀρσωπάς τ' Ἀριμασπά τ' ἔθνη, πολυπάμονα λαόν,
ὧν περιναιετάει γενεὴ Μαιώτιδα λίμνην.
αὐτὰρ ἐπειγομένοισι δύην ἀμέγαρτον ἔθηκαν
ἀθάνατοι, πύματον δὲ βρυχὸς διαμείψαμεν ὕδωρ·
ὄχθαις δὲ χθαμαλῇσιν ἀποβλύει αἰπὺν ὄλεθρον
ῥοίζῳ ἐλαυνομένη. καναχῇ δέ τοι ἄσπετος ἅλμη
ἀρκτῴοις περάτεσσιν ἐπέρχεται Ὠκεανόνδε.
τῇ ῥα τόθ' ἁρπαχθεῖσα διὰ στόματος κίεν Ἀργώ.
ἐννέα μὲν νύκτας τε καὶ ἤματα μοχθίζοντες
λείπομεν ἔνθα καὶ ἔνθα βροτῶν ἀγχίῤῥεα φῦλα,
πακταίων Ἀρκτίων τε γένος Λελίων τ' ἀγερώχων,
τοξοφόρους τε Σκύθας, Ἄρεος πιστοὺς θεράποντας,
Ταύρους τ' ἀνδροφάγους, οἳ ἀμειδέα θύσθλα φέρουσι
Μουνυχίῃ, βροτέῳ δ' ἐπιδεύεται αἵματι κρητήρ·
ἄνδρας Ὑπερβορέους, Νομάδας καὶ Κάσπιον ἔθνος·
αὐτὰρ ἐπεὶ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
Ῥιπαίους αὐλῶνας ἐκέλσαμεν, ἐκ δ' ἄφαρ Ἀργὼ
ἴη' ἐπιπροθέουσα διὰ στεινοῖο ῥεέθρου,

Тогда мы плыли на веслахъ день и ночь и въ двое страшныхъ *сутокъ* прибыли къ находящемуся посреди озера Воспору, гдѣ нѣкогда ворующій быковъ Титанъ, сидя на сильномъ быкѣ, прорѣзалъ проходъ въ озерѣ. Цѣлый день трудясь надъ веслами, мы прежде всего прибыли къ Меотамъ въ мягкихъ одеждахъ, затѣмъ къ народу Гелоновъ, безчисленнымъ племенамъ Ваѳіагравовъ, къ Савроматамъ, Гетамъ, Илейцамъ, Кекрифамъ, Арсопамъ и племенамъ Аримаспонъ, богатому народу, поколѣніе котораго живетъ вокругъ Меотійскаго озера. Но намъ спѣшащимъ безсмертные ниспослали страшное несчастіе и мы миновали конечныя шумныя воды. Шумно волнующееся *озеро* изливаетъ жестокую гибель на низменные берега; изобильная пѣна съ шумомъ несется къ сѣвернымъ предѣламъ въ океанъ. Подхваченный ею Арго пробѣжалъ тогда чрезъ устье. Трудясь девять ночей и *столько же* дней, мы миновали тамъ и сямъ сосѣдніе племена смертныхъ, *именно* роды Пактэевъ, Аркгіевъ, гордыхъ Леліевъ, луконосныхъ Скиѳовъ, вѣрныхъ служителей Арея, и людоѣдовъ Тавровъ, которые приносятъ суровыя жертвы Мунихіи, и чаша бываетъ мала для человѣческой крови; *затѣмъ миновали* Иперборейскихъ мужей, Номадовъ и народъ Каспійскій. Когда же появилась десятая денница, освѣщающая смертныхъ, мы прошли Рипейскія ущелья, а оттуда Арго побѣжалъ впередъ по узкому потоку и вошелъ въ океанъ, который Иперборей называютъ Кроновымъ, а также мертвымъ моремъ...

1062 Ὑλαίους Hermann] γυμναίους.—1063 πολυπάμονα Gesner] πολυπήμονα. — 1064 γενεὴ Pierson] ἐν γῇ.—1065 ἐπειγομένοισι Wiel.] ἐπεὶ μὲν τοῖσι.—1066 βρυχὸς Wiel.] βυθοῦ.—1068 ἅλμη Hermann] ὕλη.—1072 ἀγχίῤῥεα Hermann] ἀγνηνέα (ἀγνινέα). — 1077 ἄνδρας Wiel.] ἂν δ' ἄρ'.—1080 ἴη' Hermann] ἄγεν.

Digitized by Google

ἔμπεσε δ' Ὠκεανῷ. Κρόνιον δέ ἑ κικλήσκουσι
πόντον Ὑπερβόρεοι μέροπες νεκρήν τε θάλασσαν....

...Когда пришла шестая деннница, свѣтящая смертнымъ, мы прибыли къ зажиточному и богатому народу Долговѣчныхъ, которые живутъ многіе годы, *именно* двѣнадцать тысячъ столѣтнихъ мѣсяцевъ въ цвѣтѣ лѣтъ безъ всякихъ тягостей *жизни*; когда исполнится назначенное время цвѣтущей жизни, они достигаютъ смертнаго конца въ сладкомъ снѣ. У нихъ нѣтъ заботы о средствахъ къ жизни и дѣлахъ человѣческихъ; среди травъ они питаются медовыми кормами, черпая себѣ божественное питье въ безсмертной росѣ, и всѣ одинаково блистаютъ въ пріятномъ равенствѣ лѣтъ. У дѣтей и родителей постоянно свѣтится на челѣ мягкій и ясный взглядъ, а спокойствіе ума *побуждаетъ* *ихъ* дѣлать должное и говорить разумно. Мы миновали ихъ всѣхъ, идя пѣшкомъ по берегу. Затѣмъ, направляя быстрый корабль, мы прибыли къ Киммерійцамъ, которые одни лишены сіянія огненоснаго солнца: съ востока его закрываютъ Рипейская гора и Калпійскій перешеекъ, а огромная Флегра виситъ близко, затѣняя воздухъ съ полудня; вечерній же свѣтъ закрываютъ несчастнымъ смертнымъ длинныя Альпы, такъ что надъ ними всегда разстилается мракъ...

αὐτὰρ ἐπεὶ ἕκτη φαεσίμβροτος ἤλυθεν ἠώς,
ἔθνος ἐς ἀφνειὸν καὶ πλούσιον ἐξικόμεσθα
Μακροβίων, οἳ δὴ πολέας ζώουσ' ἐνιαυτούς,
δώδεκα χιλιάδας μηνῶν ἑκατονταετήρων
πληθούσης ἥβης χαλεπῶν ἔκτοσθεν ἁπάντων·
αὐτὰρ ἐπὴν ἥβης τὸ πεπρωμένον ἐξανύσωσιν,
ὕπνῳ ὕπο γλυκερῷ θανάτου μάρπτουσι τελευτήν.
οὐδ' ἄρα τοῖσι μέλει βίοτος καὶ ἔργ' ἀνθρώπων,
ποίαις δ' ἐν μεσάταις μελιηδέα φορβὰ νέμονται
ἕρσῃ ὑπ' ἀμβροσίῃ θεῖον πότον ἐξαρύοντες,
πάντες ὁμῶς στίλβοντες ὁμηλικίην ἐρατεινήν.
μειλιχίη δέ οἱ αἰὲν ἐπ' ὀφρύσι νεῦσε γαλήνη
παίδεσιν ἠδὲ τοκεῦσιν, ἐπιφροσύνη δὲ νόοιο
αἴσιμά τε ῥέζειν πεπνυμένα τ' ἐξαγορεύειν.
καὶ τοὺς μέν ῥ' ἀθρόους παραμείβομεν αἰγιαλόνδε
ποσσὶν ἐπιστείβοντες, ἔπειτα δὲ Κιμμερίοισι
νῆα θοὴν ἐπάγοντες ἱκάνομεν, οἵ ῥά τε μοῦνοι
αἴγλης ἄμμοροί εἰσι πυριδρόμου ἠελίοιο.
ἐν μὲν γὰρ Ῥίπαιον ὄρος καὶ Κάλπιος αὐχὴν
ἀντολίας εἴργουσιν· ἐπικρέμαται δὲ πελώρη
ἄσσον ἐπισκιάουσα μεσημβρινὸν ἠέρα Φλέγρη·
δείελον αὖ κρύπτουσι φάος τανυήκεες Ἄλπεις
δειλοῖσιν μερόπεσσι, ἀχλὺς δ' ἐπικέκλιται αἰεί...

1082 Ὑπερβόρεοι Schneider] ὑπερβορέην. — 1109 ἥβης Wiel.] μήνης. — 1117 ἐπιφροσύνη δὲ Abel] ἐπὶ φρεσὶν ἠδέ. — 1122 πυριδρόμου Ruhnken] πυριβρόμου. — 1124 εἴργουσιν· ἐπικρέμαται Wiel.] εἴργουσ'· ἐπικέκλιται.—1127 δειλοῖσιν Wiel.] κείνοισιν.

Digitized by Google

[Остальная часть поэмы (ст. 1128—1376) описываетъ путешествіе Аргонавтовъ къ р. Ахеронту, къ Іернскимъ островамъ, затѣмъ къ Киркѣ на о. Эею, оттуда чрезъ Тартисское устье и Иракловы столпы къ Сардиніи, Тирренскимъ берегамъ и къ Сициліи, далѣе мимо Харибды и Сиренъ на о. Керкиру къ Фэакамъ, гдѣ царствовалъ Алкиной и гдѣ они встрѣтились съ отрядомъ, посланнымъ Ээтомъ на розыски Медеи; здѣсь совершился бракъ Іасона съ Медеей, а затѣмъ Аргонавты вернулись на родину].

ΠΡΟΣΘΗΚΑΙ ΚΑΙ ΔΙΟΡΘΩΣΕΙΣ. ДОПОЛНЕНІЯ И ПОПРАВКИ.

ΕΚΑΤΑΙΟΣ ΜΙΛΗΣΙΟΣ.

Къ стр. 3. Отрывки миѳологическаго содержанія см. на стр. 424 (схол. Аполл. Род. I, 256) и 428 (ibid. II, 675). Кромѣ того ср. стр. 434 (схол. Ап. Род. IV, 259) и 435 (ibid. IV, 284).

ΗΡΟΔΟΤΟΣ.

Къ стр. 4 слѣдуетъ вставить:

I, 15. Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγην βασιλεύσαντος μνήμην ποιήσομαι. οὗτος δὲ Πριηνέας τε εἷλε ἐς Μίλητόν τε ἐσέβαλε, ἐπὶ τούτου τε τυραννεύοντος Σαρδίων Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν νομάδων ἐξαναστάντες ἀπίκοντο ἐς τὴν Ἀσίην καὶ Σάρδες πλὴν τῆς ἀκροπόλιος εἷλον.

16. Ἄρδυος δὲ βασιλεύσαντος ἐνὸς δέοντα πεντήκοντα ἔτεα ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος καὶ ἐβασίλευσε ἔτεα δυώδεκα, Σαδυάττεω δὲ Ἀλυάττης. οὗτος δὲ... Κιμμερίους ἐκ τῆς Ἀσίης ἐξήλασε...

Я упомяну объ Ардіи сынѣ Гига, царствовавшемъ послѣ Гига. Онъ покорилъ Пріенну и совершилъ набѣгъ на Милитъ. Въ его царствованіе въ Сардахъ Киммерійцы, изгнанные съ родины Скиѳами кочевниками, пришли въ Азію и взяли Сарды за исключеніемъ акрополя.

Ардію, царствовавшему 49 лѣтъ, наслѣдовалъ сынъ его Садіаттъ и царствовалъ 12 лѣтъ, а за Садіаттомъ *послѣдовалъ* Аліаттъ. Онъ... выгналъ Киммерійцевъ изъ Азіи...

Къ стр. 8. Иродота кн. II гл. 104 цитируетъ Ѳеонъ, Προγυμν. c. IV (Rhetores Graeci ex recogn. L. Spengel, v. II p. 83): ...ἐπὶ δὲ τῆς εὐθείας, ὡς παρ' Ἡροδότῳ ἐν τῇ πρώτῃ· εἰσὶ δὲ καὶ Αἰγύπτιοι Κολχοί· ἄδηλον γὰρ πότερον οἱ Αἰγύπτιοι Κολχοί εἰσιν ἢ τουναντίον οἱ Κολχοὶ Αἰγύπτιοι κ. τ. λ.

Къ стр. 13. Къ разсказу о связи Иракла съ эхидной (IV, 9) ср. Парѳеній Никейскаго Περὶ ἐρωτικῶν παθημάτων c. 30 (Erotici scriptores Graeci rec. Rud. Hercher, v. I p. 29).

ΣΤΡΑΒΩΝ.

Къ стр. 128 слѣдуетъ вставить:

IX, 2, 42... ἱστοροῦσι δὲ τοὺς ἐν τῷ Πόντῳ καλουμένους Ἀχαιοὺς ἀποίκους Ὀρχομενίων εἶναι τῶν μετὰ Ἰαλμένου πλανηθέντων ἐκεῖσε μετὰ τὴν τῆς Τροίας ἅλωσιν...

...Говорятъ, что такъ называемые понтійскіе Ахейцы — выселенцы Орхоменянъ, забредшихъ туда съ Іалменомъ послѣ взятія Трои...

Digitized by Google

ΑΡΡΙΑΝΟΣ.

Къ стр. 217. О составѣ Аррianова «Перипла» ср. C. G. Brandis, Arrians Periplus Ponti Euxini въ *Rhein. Museum* т. 51 (1896), стр. 109—126.

ΣΤΕΦΑΝΟΣ ΒΥΖΑΝΤΙΟΣ.

Стр. 252 вставить: Ἀγάθυρσοι, ἔθνος ἐνδοτέρω τοῦ Αἵμου. κέκληνται δὲ ἢ ἀπ' Ἀγαθύρσου τοῦ Ἡρακλέους, ἢ, ὡς Πείσανδρος, ἀπὸ τῶν θύρσων τοῦ Διονύσου. ὁ τόνος βαρύς... λέγονται καὶ Ἀγαθύρσιοι κτητικῶς ἢ ἐθνικῶς...

Агаѳирсы—народъ за Эмомъ. Названіе получили или отъ Агаѳирса сына Иракова, или, какъ *думаетъ* Писандръ, отъ ѳирсовъ Діониса. Удареніе — тяжелое... Называются и Агаѳирсіями притяжательно или народно...

Стр. 254 послѣ Ἄορσοι вставить: Ἀπασιακαί, Μασσαγετῶν ἔθνος. Στράβων ἐνδεκάτῃ [1]) καὶ Πολύβιος δεκάτῃ [2])· οἱ δ' Ἀπασιακαὶ νομάδες κατοικοῦσι μὲν ἀνὰ μέσον Ὄξου καὶ Τανάιδος.

Апасіаки, племя Массагетовъ. Страбонъ въ 11-й *книгѣ* и Полибій въ 10-й *книгѣ*: Апасіаки кочевники живутъ между Оксомъ и Танаидомъ.

Стр. 259 послѣ Ἐλευθεραὶ вставить: Ἑλίξοια, νῆσος Ὑπερβορέων οὐκ ἐλάσσων Σικελίας, ὑπὸ ποταμῷ Καραμβύκα. οἱ νησιῶται Καραμβύκαι ἀπὸ τοῦ ποταμοῦ, ὡς Ἑκαταῖος ὁ Ἀβδηρίτης.

Еликсія, островъ Ипербореевъ, не меньшій Сициліи, подъ рѣкою Карамвикомъ. Островитяне *называются* Карамвиками отъ рѣки, какъ *говоритъ* Екатэй Авдирскій.

Стр. 261 послѣ Καδούσιοι вставить: Καραμβύκαι, ἔθνος Ὑπερβορέων, ἀπὸ ποταμοῦ Καραμβύκα, ὡς Ἑκαταῖος ὁ Ἀβδηρίτης.

Карамвики, народъ Иперборeевъ, отъ рѣки Карамвика, какъ *говоритъ* Екатэй Авдирскій.

Стр. 262 къ сл. Κρέμη ср. Müller, FHG. III, p. 605 ad. fr. 9: «Urbs ignota, nisi forte eadem est, quae Κρῶμνα».

Тамъ же къ сл. Μακροκέφαλοι ср. Müller, FHG. II, p. 339.

Стр. 267 послѣ Τάφραι вставить: Τέως, πόλις Ἰωνίας... ἔστι καὶ ἑτέρα πόλις ἐν Δυρβαίοις τῆς Σκυθίας, ἐν ᾗ λέγουσι λίμνην ἰχθύων ἔχουσαν πλῆθος. ἀφ' ὧν εὐδίας γενομένης ἔλαιον ἐπιπολάζει τοσοῦτον, ὅσον ἀρύεσθαι αὐτὸ ταῖς χερσὶν εἰς σκάφος καὶ χρῆσθαι αὐτῷ.

Теосъ, городъ *въ* Іоніи... Есть и другой городъ въ *странѣ* Дирбэевъ въ Скиѳіи, въ которомъ, говорятъ, *есть* озеро, изобилующее рыбами; отъ нихъ въ хорошую погоду плаваетъ на поверхности столько жира [собств. масла], что его черпаютъ руками въ лодку и употребляютъ въ дѣло.

---

1) XI, 8, 8 (p. 518). 2) Cap. 48 (v. supra p. 444).

Digitized by Google

ΟΜΗΡΟΣ (p. 303 вставить):

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

СХОЛІИ КЪ ОМИРОВОЙ ИЛІАДѢ.

[Изъ парижскихъ рукописей, изданы въ Anecdota Graeca e codd. manuscriptis bibliothecae regiae Parisiensis ed. I. A. Cramer. 4 voll. Oxon. 1839—41].

Извлеченія и переводъ С. А. Селиванова.

Εἰς τὴν A. 108 (e cod. 2679, Cramer v. III p. 4)... Ἐν Ταύροις τῆς Σκυθίας εἰς τὸ ἱερὸν τῆς θεοῦ πεμφθῆναι αὐτήν (sc. Ἰφιγένειαν). ἡ ἱστορία... καὶ παρὰ Δίκτυι τῷ γράψαντι τὰ Τρωϊκά...

...Она [Ифигенія] была послана въ храмъ богини [Артемиды] въ Тавридѣ, что въ Скиѳіи. Разсказъ *объ этомъ есть*... и у Диктія, написавшаго «Τρωϊκά»...

Εἰς τὴν K. 224 (e cod. 2681, Cram. III p. 86)... Ὁ μὲν Σκύθης ὁ τὸν τοῦ ἵππου χρεμετισμὸν ἀρίστης μουσικῆς ὑπερθέμενος δίδωσι τῆς βαρβάρου γνώμης δίκας τοῖς παλαιοῖς...

...Скиѳъ, конское ржаніе поставившій выше лучшей музыки, у древнихъ порицается за свое варварское сужденіе...

Εἰς τὴν A. 492 (e cod. 2767, Cram. III p. 184). Ζεὺς ἐρασθεὶς Θέτιδος τῆς τοῦ Νηρέως ἐδίωκεν αὐτὴν βουλόμενος βιάσασθαι· γενόμενος δὲ ἐπὶ τὸ Καυκάσιον ὄρος ἐκωλύθη ὑπὸ Προμηθέως, φήσαντος τὸν ἐκ Θέτιδος γενόμενον ἀμείνονα ἔσεσθαι τοῦ ἰδίου πατρός. Δείσας οὖν ὁ Ζεὺς περὶ τῆς ἐν οὐρανῷ βασιλείας... ἀπέρχεται...

Зевсъ, влюбившись въ дочь Нирея Ѳетиду, преслѣдовалъ ее, желая изнасиловать. Когда онъ явился на Кавказскую гору, то *здѣсь* ему помѣшалъ Прометей, сказавъ, что родившійся отъ Ѳетиды будетъ сильнѣе собственнаго отца. Итакъ, испугавшись за свое царство на небѣ... Зевсъ удаляется...

Εἰς τὴν N. 5 (e cod. 3058, Cram. III p. 372)... (Πάντων Σκυθῶν) ὑποκυψάντων Ἀλεξάνδρῳ μόνους Ἀβίους φασὶν οὐχ ὑπεῖξαι· μόνον δὲ ἐπισκεψαμένους τὴν ψυχὴν τοῦ ἀνδρὸς ἐπικηρυκεύσασθαι πρὸς αὐτόν· οὓς δικαιοτάτους φησὶ διὰ τὸ ἀνεπίμικτον· ἢ ὅτι κοινοὺς ἔχουσι παῖδας καὶ γυναῖκας καὶ τὰ πάντα πλὴν ποτηρίου καὶ ξίφους· τούτοις αὐτόματος ἡ γῆ φύει βοτάνας, ζῶον δὲ οὐδὲν ἐσθίουσιν. Ἄβιοι δὲ οἱ ἀνέστιοι, οὗτοι καὶ ἀμαξόβιοι καὶ νομάδες ὀνομάζονται.

...Когда *всѣ Скиѳы* покорились Александру, одни лишь Авіи, говорятъ, не подчинились *ему*; познавъ лишь душу его, они завязали съ нимъ сношенія. *Омиръ* называетъ ихъ справедливѣйшими потому, что они избѣгали сношеній *съ другими народами*, или потому, что у нихъ общи дѣти, жены и все прочее, кромѣ кубка и меча. Сама собою земля родитъ имъ растенія, а животныхъ они совсѣмъ не ѣдятъ. Авіи *значитъ* не имѣющіе очаговъ; они же называются живущими на телѣгахъ и кочевниками.

Digitized by Google

ΟΜΗΡΟΥ ΕΠΙΜΕΡΙΣΜΟΙ [1]) ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ.

ОБЪЯСНЕНІЯ КЪ ОМИРУ ВЪ АЛФАВИТНОМЪ ПОРЯДКѢ.

[Anecdota Graeca e codd. manuscriptis bibliothecarum Oxoniensium descripsit I. A. Cramer. Vol. I. Oxon. 1835].

Извлеченія и переводъ А. І. Малеина.

P. 32—33. Ἀμαζόνες (Il. Γ. 189). Ἡ εὐθεῖα Ἀμαζών· ἐκλήθη ἐκ τοῦ μαζός, καὶ τοῦ στερητικοῦ α Ἀμαζών, πρὸς γὰρ τὸ μὴ ἐμποδίζεσθαι αὐτὰς ἐν τῷ τοξεύειν, τὸν ἕνα αὐτῶν μασθὸν ἀπέκοπτον, ἢ ὅτι λαμβάνουσαι ζώνας καὶ πανοπλίᾳ ἐξερχόμεναι ἥμων καὶ ἐθηρίζον (sic), ὥστε αὐτὰς κληθῆναι παρὰ τὸ ἐν ταῖς ζώναις ἁμᾶν, ἢ ὅτι μαζοῦ καὶ τροφῆς οὐ μετέσχον, ἀλλ' ὄφεσι καὶ ἄλλοις τισὶ θηρίοις ἐτρέφοντο.

Амазонки (Ил. 3. 189). Имен. падежъ Ἀμαζών; названіе Ἀμαζών *происходитъ* отъ *слова* μαζός и лишающаго α, ибо съ цѣлью избѣжать препятствій въ стрѣльбѣ изъ лука онѣ отсѣкали одну изъ своихъ грудей; или потому, что онѣ жали и косили, надѣвая пояса и выходя въ полномъ вооруженіи, такъ что онѣ были названы *Амазонками* отъ жатья въ поясахъ; или потому, что онѣ были лишены кормленія грудью, но питались змѣями и разными другими животными.

P. 80. Ἀμαζών (Il. Γ. 189). Ἀπὸ τοῦ ἐστερῆσθαι μαζῶν· ἀπιθανος (sic) δὲ ἡ τοιαύτη ἐτυμολογία· Θεμισταγόρας [2]) δὲ καὶ ἐν τῇ χρυσῇ βίβλῳ φησίν· Ὅτι αἱ κατὰ τὴν Ἀλόπην τὴν νῦν καλουμένην Λυκίαν, τὴν πρὸς τῇ Ἐφέσῳ, γυναῖκες μίᾳ συμβουλῇ τὰ συνήθη ταῖς γυναιξὶν ἔργα ἀπαρνησάμεναι καὶ ζώναις χρησάμεναι καὶ ὁπλισμοῖς, τὰ τῶν ἀνδρῶν πάντα ἐπετήδευον· πρὸς δὲ τὰ ἄλλα καὶ ἥμων σὺν αὐταῖς ζώναις, ὃ ἔστιν ἐθηρίζον· διὰ τοῦτο καὶ Ἀμαζόνας κεκλῆσθαι τὰς σὺν ταῖς ζώναις ἀμώσας· ἢ ὅτι τὸν ἕνα τῶν μαζῶν ἕκαιον χάριν τοῦ τοξεύειν, ἢ ὅτι μάζαις οὐκ ἐχρῶντο, ἀλλ' ὄφεσι καὶ σκορπίοις καὶ σαύραις καὶ χελώναις· οἱ δὲ ἀπὸ μητρὸς Ἀμαζοῦς [3]).

Амазонка (Ил. 3. 189). Отъ ненмѣнія грудей, но такое производство не вѣроятно. Ѳемистагоръ же говоритъ въ Золотой книгѣ: «Такъ какъ живущія въ Алопѣ, называемой нынѣ Ликіей, что у Ефеса, женщины, отказавшись въ единодушномъ совѣтѣ отъ обычныхъ женскихъ занятій и надѣвъ пояса и вооруженіе, исполняли всѣ мужскія дѣла, а сверхъ прочаго и ἥμων, т. е. жали съ этими поясами; поэтому и названы Амазонками жавшія въ поясахъ»; или потому, что онѣ выжигали одну изъ грудей для стрѣльбы изъ лука, или потому, что онѣ не питались лепешками, но змѣями, скорпіонами, ящерицами и черепахами; иные же *производятъ* названіе отъ матери Амазон.

P. 436. Χαλκός (Il. A. 236): Ἐκ τοῦ Χάλυψ Χάλυβος· σημαίνει δὲ ἔθνος· ἐκεῖ γὰρ εὑρέθη ὁ χαλκός...

Мѣдь (Ил. 1, 236). Отъ *слова* Халивъ, [род. пад.] Халива; означаетъ народъ, ибо тамъ была найдена мѣдь...

ΑΙΣΧΥΛΟΣ.

На стр. 334 слѣдуетъ прибавить: въ ΕΥΜΕΝΙΔΕΣ v. 618 упоминаются τόξα ἐκήβολα Ἀμαζόνων, въ ΙΚΕΤΙΔΕΣ v. 277 Амазонки называются ἀνανδροι, χρεοβόροι, τοξοτευχεῖς.

ΑΚΟΥΣΙΛΑΟΣ (p. 348).

Другой отрывокъ см. на стр. 437 у схол. Аполл. Род. IV, 1147.

---

1) De vocabulo ἐπιμερισμοί cf. H. Sauppe, Ausgewählte Schriften (Berl. 1896), p. 13 sqq.
2) De Themistagora v. p. 876. 3) Cf. supra p. 575.

Digitized by Google

ΕΛΛΑΝΙΚΟΣ (p. 349).

Еще отрывокъ см. на стр. 327 у схол. Аполл. Род. II, 404.

ΦΕΡΕΚΥΔΗΣ (p. 361).

Еще отрывокъ см. на стр. 432 у схол. Аполл. Род. III, 1093.

ΠΛΑΤΩΝ.

Стр. 361. Къ отмѣткѣ объ упоминаніи Анахарсида въ *Polit.* X, 3 слѣдуетъ добавить, что онъ упоминается, какъ сдѣлавшій много полезныхъ изобрѣтеній. Кромѣ того слѣдуетъ внести:

ΠΟΛΙΤΕΙΑ, l. IV c. 11 (p. 435E). Ἆρ' οὖν ἡμῖν, ἦν δ' ἐγώ, πολλὴ ἀνάγκη ὁμολογεῖν, ὅτι γε τὰ αὐτὰ ἐν ἑκάστῳ ἔνεστιν ἡμῶν εἴδη τε καὶ ἤθη, ἅπερ ἐν τῇ πόλει; οὐ γάρ που ἄλλοθεν ἐκεῖσε ἀφῖκται. γελοῖον γὰρ ἄν εἴη, εἴ τις οἰηθείη τὸ θυμοειδὲς μὴ ἐκ τῶν ἰδιωτῶν ἐν ταῖς πόλεσιν ἐγγεγονέναι, οἳ δὴ καὶ ἔχουσι ταύτην τὴν αἰτίαν, οἷον οἱ κατὰ τὴν Θράκην τε καὶ Σκυθικὴν καὶ σχεδόν τι κατὰ τὸν ἄνω τόπον...

Итакъ, сказалъ я, развѣ намъ не необходимо признать, что у каждаго изъ насъ тѣ же самые взгляды и обычаи, какъ и въ государствѣ? Вѣдь они не пришли туда извнѣ. Было бы смѣшно, еслибы кто-нибудь подумалъ, что, напр., мужество явилось въ государствахъ не отъ отдѣльныхъ лицъ, которымъ и приписывается это качество, какъ напр. живущимъ во Оракіи, Скиѳіи и вообще въ сѣверныхъ странахъ...

NOMOI, l. VII c. V (p. 795 A)... ἔδειξε δὲ ταῦτα ὁ τῶν Σκυθῶν νόμος, οὐκ ἐν ἀριστερᾷ μὲν τόξον ἀπάγων, ἐν δεξιᾷ δὲ οἰστὸν προσαγόμενος μόνον, ἀλλ' ὁμοίως ἑκατέραις ἐπ' ἀμφότερα χρώμενος...

...Это доказываетъ [1]) обычай Скиѳовъ, которые не натягиваютъ лукъ *только* лѣвою *рукою*, а правою только накладываютъ стрѣлу, но одинаково прилѣпляютъ объ *руки* для обоихъ *дѣйствій*...

ΕΦΟΡΟΣ (p. 362).

Кромѣ указанныхъ фрагментовъ см. еще Стеф. Визант. s. v. Ἰαζαβάται (p. 260), схол. Аполл. Род. I, 1276 (p. 425) и Элія Ирод. I, 28 (p. 595).

ΑΙΣΧΙΝΗΣ (p. 370).

Въ рѣчи ΠΕΡΙ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ, § 78, Эсхинъ, обращаясь къ Димосѳену, называетъ его «происходящимъ по матери изъ кочевыхъ Скиѳовъ» (ἐκ τῶν νομάδων Σκυθῶν τὸ πρὸς μητρὸς γένος ὤν), а въ § 180 называетъ его же λογογράφος καὶ Σκύθης. — Въ рѣчи ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ дважды упоминается походъ Филиппа въ Скиѳію. § 128: οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ Φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ Ἑλλάδι παρόντος, ἀλλ' ἐν Σκύθαις οὕτω μακρὰν ἀπόντος... § 129: πολλῷ χρόνῳ ὕστερον, ἐπανεληλυθότος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας κτλ.

1) Рѣчь идетъ о необходимости пріучать дѣтей одинаково владѣть правою и лѣвою рукою.

Digitized by Google

АРІСТОТЕЛНЅ.

Стр. 376 стрк. 8 св. (въ русскомъ текстѣ) слѣдуетъ читать «виноградныхъ ягодъ» вмѣсто «науковъ». Къ стр. 381 вставить:

ПРОВАНМАТА.

Γ',7. Διὰ τί οἱ μὲν παῖδες θερμοὶ ὄντες οὐ φίλοινοί εἰσι, Σκύθαι δὲ καὶ οἱ ἄνδρες οἱ ἀνδρεῖοι θερμοὶ ὄντες φίλοινοι; ἢ ὅτι οἱ μὲν θερμοὶ ὄντες καὶ ξηροὶ (ἡ γὰρ τοῦ ἀνδρὸς ἕξις τοιαύτη), οἱ δὲ παῖδες ὑγροὶ καὶ θερμοί, ἡ δὲ φιλοποσία ἐστὶν ἐπιθυμία ὑγροῦ τινος; ἢ οὖν ὑγρότης κωλύει διψητικοὺς εἶναι τοὺς παῖδας· ἔνδεια γάρ τίς ἐστιν ἡ ἐπιθυμία.

ПРОБЛЕМЫ.

III, 7. Почему мальчики, будучи горячи, не любятъ вина, а Скиѳы и взрослые мужчины, будучи горячи, любятъ его? Или потому, что послѣдніе горячи и сухи (ибо таково состояніе мужчины), мальчики же влажны и горячи, а любовь къ вину есть желаніе чего-либо влажнаго? Влажность препятствуетъ мальчикамъ чувствовать жажду, ибо желаніе *чего-либо* есть потребность.

ΚΓ',6. Διὰ τί ἡ θάλαττα λευκοτέρα ἡ ἐν τῷ Πόντῳ ἢ ἡ ἐν τῷ Αἰγαίῳ; πότερον διὰ τὴν ἀνάκλασιν τῆς ὄψεως τὴν γινομένην ἀπὸ τῆς θαλάττης εἰς τὸν ἀέρα; ὁ μὲν γὰρ περὶ τὸν Πόντον ἀὴρ παχὺς καὶ λευκός, ὥστε καὶ τῆς θαλάττης ἡ ἐπιφάνεια τοιαύτη φαίνεται, ὁ δ' ἐν τῷ Αἰγαίῳ κυανοῦς διὰ τὸ μέχρι πόρρω εἶναι καθαρός, ὥστε καὶ ἡ θάλαττα ἀνταυγοῦσα τοιαύτη φαίνεται. Ἢ ὅτι πᾶσαι αἱ λίμναι λευκότεραι τῆς θαλάττης, ὁ δὲ Πόντος ἐστὶ λιμνώδης διὰ τὸ πολλοὺς ποταμοὺς εἰς αὐτὸν ῥεῖν; αἱ δὲ λίμναι διαλευκότεραι τῆς θαλάττης καὶ τῶν ποταμῶν· γράφουσι γοῦν οἱ γραφεῖς τοὺς μὲν ποταμοὺς ὠχρούς, τὴν δὲ θάλατταν κυανέαν...

23,6. Почему морская вода въ Понтѣ бѣлѣе, чѣмъ въ Эгейскомъ *морѣ*? Не вслѣдствіе ли преломленія зрѣнія, происходящаго отъ моря въ воздухѣ? Ибо воздухъ, окружающій Понтъ, густъ и бѣлъ, вслѣдствіе чего и поверхность моря кажется таковою же, а надъ Эгейскимъ моремъ онъ голубой вслѣдствіе того, что чистъ на далекое пространство, такъ что и отражающее его море кажется такимъ же. Или потому, что всѣ озера бѣлѣе моря, а Понтъ изобилуетъ озерами (лиманами) вслѣдствіе того, что въ него текутъ многія рѣки? а озера бѣлесоватѣе моря и рѣкъ; по крайней мѣрѣ живописцы рисуютъ рѣки блѣдными, а море голубымъ...

Отрывки изъ неизвѣстныхъ сочиненій о животныхъ см. на стр. 603 у Эліана *Hist. an.* V, 27 и на стр. 605 у него же, XVI, 33.

ΣΧΟΛΙΑ ΕΙΣ ΑΡΙΣΤΟΤΕΛΗ (p. 384).

Цитируемое Филопономъ мѣсто Ѳемистія см. на стр. 689.

ΘΕΟΦΡΑΣΤΟΣ (p. 388).

Кромѣ приведенныхъ отрывковъ см. еще на стр. 430 у схол. Аполл. Род. II, 1248.

Digitized by Google

ΔΟΥΡΙΣ ΣΑΜΙΟΣ (p. 390).

Кромѣ указаннаго отрывка см. еще на стр. 402 въ схол. Цеца къ Ликофр. ст. 183 и стр. 486 у Плут. *Алекс.* 46.

ΜΕΓΑΣΘΕΝΗΣ (p. 390).

См. еще отрывокъ на стр. 664 у Евсев. *Ев. прип.* IX, 41.

ΣΙΜΜΙΑΣ ΡΟΔΙΟΣ (p. 391).

О Βοΐος'ѣ, упоминаемомъ въ надписи къ fragm. 2, см. *Knaack* у Pauly-Wissowa, Real-Encyclop. п. сл. *Boio.*

ΚΑΛΛΙΜΑΧΟΣ (p. 393).

Въ переводѣ ст. 291 гимна εἰς Δῆλον слѣдуетъ вставить три пропущенныхъ слова и читать такъ: «Первыя принесли тебѣ это отъ бѣлокурыхъ Аримаспонъ Уписъ» и т. д.

ΛΥΚΟΦΡΩΝ.

На стр. 409 (послѣ схолій къ Ликофрону) вставить:

ΛΕΞΕΙΣ ΑΛΕΞΑΝΔΡΑΣ ΛΥΚΟΦΡΟΝΟΣ

СЛОВА ИЗЪ «АЛЕКСАНДРЫ» ЛИКОФРОНА.

[Anecdota Graeca e codd. mss. bibl. Reg. Paris. descripsit L. Bachmannus. Vol. II (Lips. 1828), p. 198—386].

v. 174 [1]): τὸν Ἀχιλλέα· μετὰ γὰρ θάνατον μυθεύονται ὅτι ἠγάγετο Μήδειαν τὴν Αἰήτου ἐν μακάρων νήσοις εἰς γυναῖκα —ἄνδρα τῆς Μηδείας· ἀπὸ Κυταίας πόλεως Κολχίδος (in marg. Σκυθικῆς).

Поэтъ разумѣетъ Ахилла, такъ какъ онъ, по преданію, послѣ смерти взялъ въ жены Мидію, дочь Эита, на островахъ блаженныхъ; — мужа Мидіи: изъ Колхидскаго города Китэи.

v. 186 [v. supra p. 398]. ...τῆς Σκυθικῆς θαλάσσης· Σαλμυδησσὸς γὰρ κόλπος τῆς Σκυθίας.

. . . Скиѳскаго моря; ибо Салмидиссъ—заливъ *въ* Скиѳіи.

v. 188 [v. ibid.] ἐπὶ πολὺν χρόνον—Λευκήν· ἔστι δὲ νῆσος ἀπὸ πολλῶν πελαργῶν· — οἰκήσει τὴν Λευκὴν νῆσον τὴν ἐν Ἴστρῳ τῷ ποταμῷ.

На долгое время—Бѣлый; это островъ, *названный такъ* отъ множества аистовъ;—будетъ жить на Бѣломъ островѣ, *лежащемъ* на рѣкѣ Истрѣ.

v. 189 Κέλτρου] ὄνομα λίμνης ἢ ποταμοῦ, ἐξ οὗ ὁ Ἴστρος ἐκδίδωσι.

Келтра] имя озера или рѣки, изъ которой вытекаетъ Истръ.

---

1) τὸν μελλόνυμφον εὑνέτην Κυταΐκῆς τῆς ξεινοβάκχης κτλ.

Digitized by Google

v. 192. βαθὺς δὲ δρόμος ἐκ τοῦ λιμέ-ος, ἢ αἰγιαλός, μέχρι τῶν ἐρήμων τῆς Σκυθίας, Ἀχίλλειος λεχθήσεται.

Глубокій бѣгъ изъ гавани, или берегъ, до пустынь Скиѳіи будетъ названъ Ахилловымъ.

v. 200. καὶ ὁ μὲν Ἀχιλλεὺς ἐνδιατρίψει εἰς τὸν χῶρον θρηνῶν τὸν Σκύθην.

И Ахиллъ съ плачемъ будетъ пребывать въ Скиѳской странѣ.

v. 1024. ὁ τῆς Κολχίδος τῶν πόλεων τῆς Αἴας καὶ Κορίνθου βασιλεύς—ὁ ἀνὴρ τῆς Εἰδυίας, γυναικὸς Αἰήτου.

Царь Колхидскихъ городовъ Эи и Коринѳа; супругъ Идіи, жены Эита.

v. 1109. τῷ ἐκ Χαλύβων· ἔστι δὲ ἔθνος Παφλαγονίας οἱ Χάλυβες, παρ' οἷς δοκεῖ πρῶτον σίδηρος εὑρεθῆναι.

Изъ Халибовъ. Халибы — народъ Пафлагоніи, у которыхъ, какъ кажется, впервые найдено желѣзо.

v. 1288. τὴν λίμνην τέμνων ὁ Τάναϊς, ποταμὸς Σκυθίας...

Прорѣзывающій озеро Танаидъ—рѣка Скиѳіи...

v. 1312. πόλιν Κολχίδος· ὅστις εἰς τὴν Κυταίαν, ἔστιν δὲ ὄνομα τόπου — τὴν γείτονα τῶν Λιγυστίνων ἐλθών.

Въ городъ Колхидскій. Который, пришедши въ Китаю — это названіе мѣстности—сосѣднюю съ Лигистинами.

v. 1336. ὑπὲρ τὸν βαθὺν Ἴστρον, ποταμὸν Σκυθίας, τὸν Δανούβιον—τοὺς Σκύθας ἐξήλασαν.

Выгнали Скиѳовъ за глубокій Истръ, рѣку *въ* Скиѳіи, *нынѣ* Дунай.

ΝΥΜΦΟΔΩΡΟΣ (p. 409).

Еще отрывокъ см. на стр. 425 у схол. Аполл. Род. I, 1024.

ΕΥΔΟΞΟΣ (p. 409).

Fragm. 5 (Steph. Byz. s. v. Ἀρμενία) ср. также на стр. 205 у Евстаѳія, комм. къ Діон. 694.

Еще отрывокъ на стр. 159 у Страв. XII, 3, 21.

ΑΝΤΙΓΟΝΟΣ ΚΑΡΥΣΤΙΟΣ (p. 410).

См. о немъ R. Nebert, Studien zu Antigonos von Karystos въ Neue Jahrb. für Philologie 1895 и 1896.

ΦΙΛΟΣΤΕΦΑΝΟΣ (p. 438).

Еще отрывки см. на стр. 338 у схол. Пинд. Олимп. 3, ст. 28, и стр. 434 у схол. Аполл. Род. IV, 277.

ΑΓΑΘΑΡΧΙΔΗΣ.

Къ стр. 439. Извлеченія Фотія (Bibl. cod. 250. Ed. Bekker v. II p. 441 sq.).

ΠΕΡΙ ΤΗΣ ΕΡΥΘΡΑΣ ΘΑΛΑΣΣΗΣ.

Ἐκ τοῦ α' λόγου·

(p. 443 col. 1 Bekk.)... ἐπὶ τούτοις τὴν Ἰὼ γεγονέναι μὲν ποταμοῦ θυγατέρα, ταυ-

О КРАСНОМЪ МОРѢ.

Изъ 1-й книги.

